l. 1 Hic etiam Aeolensium moris oxytona gravandi mentionem factam esse ex Schol. ad Dionys. concludi potest, eum fere in modum, quo expositum est ap. Choer. Dict. 843, 6: πᾶϲαν λέξιν ὑπὲρ μίαν ϲυλλαβὴν παρ' ἡμῖν ὀξύτονον βαρύνουϲιν οἱ Αἰολεῖϲ χωρὶϲ τῶν προθέϲεων καὶ ϲυνδέϲμων οἷον Ἀχίλλευϲ, ϲόφοϲ. πρόϲκειται «χωρὶϲ τῶν προθέϲεων καὶ τῶν ϲυνδέϲμων», ἐπειδὴ ἐπὶ τούτων οἱ Αἰολεῖϲ φυλάττουϲι τὴν ὀξεῖαν τάϲιν οἷον ἀνά, κατά, ἀτάρ, αὐτάρ. l. 2 propter sententiam adieci verba: καὶ περὶ πνευμάτων πραγματείαν μὴ γνούϲ, ita ut verba τίνα τέ ἐϲτι τὰ ἐγκλινόμενα κτλ. suspensa sint ex verbo εἴποι. l. 10 lacunam, quam Blochius ad sententiam apte explevit sic ὀξύνομεν, ἐν δὲ τῷ Ἀχιλλεύϲ, equidem ex Choer. in Schol. ad Dionys. 708, 3 sanavi verbis οὐ κοιμίζεται — καὶ Ἀχιλλεύϲ interpositis. Totum autem Choerobosci locum p. 707, 27 quem ex Herodiano promptum esse et noster locus et Arcad. p. 5 in argumento libri, in quo τὸ ἀναγνωϲτικὸν εἶδοϲ κατὰ ϲύνταξιν τῶν λέξεων παραδέδοται, ostendunt, hic subiicio: ἰϲτέον ὅτι πᾶϲα λέξιϲ ὀξύτονοϲ ἐν τῇ ϲυνεπείᾳ ἤγουν ἐν τῇ φράϲει κοιμίζει τὴν ὀξεῖαν εἰϲ βαρεῖαν, χωρὶϲ τοῦ τίϲ οἷον «Ζεὺϲ δ' ἐπεὶ οὖν Τρῶαϲ τε» (Il. 13, 1), καλὸϲ ἄνθρωποϲ ἦλθε, ϲοφὸϲ ἄνθρωποϲ παρεγένετο· πρόϲκειται «χωρὶϲ τοῦ τίϲ», ἐπειδὴ τοῦτο φυλάττει τὴν ὀξεῖαν τάϲιν οἷον «τίϲ πόθεν εἰϲ ἀνδρῶν» (Ξ 187). δεῖ δὲ ἐν τῷ κανόνι προϲθεῖναι χωρὶϲ εἰ μὴ ἐπιφέροιτο ϲτιγμὴ ἢ ἐγκλιτικόν· ἐὰν γὰρ ἐπιφέρηται ϲτιγμὴ ἢ ἐγκλιτικόν, οὐ κοιμίζεται ἡ ὀξεῖα εἰϲ βαρεῖαν οἷον «τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ». τὸ γὰρ Ἀχιλλεύϲ οὐ κοιμίζει τὴν ὀξεῖαν εἰϲ βαρεῖαν, ἐπεὶ ἔχει ἐπιφερομένην τὴν ϲτιγμήν. καὶ πάλιν ἐν τῷ «Ζεύϲ τε καταχθόνιοϲ» (Ι 457) τὸ Ζεύϲ οὐ κοιμίζει τὴν ὀξεῖαν εἰϲ βαρεῖαν, ἐπειδὴ ἔχει ἐπιφερόμενον ἐγκλιτικόν, λέγω δὴ τὸν τέ ϲύνδεϲμον.

l. 17 cod. ἡγούμενον. de re cf. Io. Al. 26, 32 et quae ad eum locum apposui Herodiani praecepta e. g. Il. Pr. Β 839. l. 19 et 20 τήν τε — ἀκρίβειαν scripsi cum Lehrsio pro τῆϲ τε — ἀκριβείαϲ; Bloch. λόγον addere voluit. ad rem cf. Theogn. p. 2 et Hesych. epist. ad Eulogium: γράφων ἐγὼ μετὰ πάϲηϲ ὀρθότητοϲ καὶ ἀκριβεϲτάτηϲ γραφῆϲ κατὰ τὸν γραμματικὸν Ἡρωδιανόν.

δέοντα τόνον ἐπιθείη ταῖς λέξεσι, πειράσομαι παραδοῦναι, προομολογουμένου δηλονότι τοῦ ἐπὶ ποίας ἑκάστη λέξις συλλαβῆς δέχεται τὸν τόνον, καὶ ἐπὶ τῆς τῶν χρόνων δυνάμεως πότε ἐκτείνονται καὶ πότε συστέλλονται, καὶ προσέτι πότε διὰ μόνου τοῦ ῑ καὶ πότε διὰ τῆς ει̅ διφθόγγου γράφειν ἑκάστην δεήσει λέξιν· πλὴν ὅτι, ἐφ' ὧν ἂν δυνατὸν εἴη συντομώτερον ὡς πρὸς τὴν παροῦσαν ἐπαγγελίαν καὶ τὴν συλλαβὴν διδάξαι, ἐφ' ἧς δεήσει τὸν τόνον τιθέναι, καὶ τοῦτο παραδώσομεν ἐκ τῶν τοῦ πολυμαθεστάτου Ἡρωδιανοῦ ἐν ἐπιτομῇ ἐκλεξάμενοι τὰ χρησιμώτερα. ἄρξομαι δὲ ἐντεῦθεν, παρήσω δὲ καὶ τὰ τῶν διαλέκτων ἰδιώματα.

Ἡ ὀξεῖα ἢ ἐν τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο· πρὸ τριῶν δὲ οὐκ ἔτι. τὸ γὰρ Μήδεϊα παρὰ Σαπφοῖ πεπονθὸς παραιτούμεθα, ὅτι τὴν ει̅ δίφθογγον διεῖλεν.

Ἡ περισπωμένη ἢ ἐν τέλει τίθεται ὡς ἐπὶ τοῦ Ἑρμῆς, Ἡρακλῆς. ἢ πρὸ μιᾶς τοῦ τέλους ὡς ἐπὶ τοῦ κῆπος, μῶλος· πρὸ δύο δὲ οὐκέτι. οὐδέ ποτε ἐπὶ βραχείας τίθεται περισπωμένη οὔτε ἐπὶ θέσει μακρᾶς, ἀλλὰ μόνον ἐπὶ φύσει μακρῶν.

Ἰστέον δὲ ὅτι πᾶσα βραχεῖα συλλαβὴ πρὸ βραχείας ἢ πρὸ μακρᾶς ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον ὀξύνεται· τοῦ μὲν προτέρου φίλος, τοῦ δὲ δευτέρου Ἕκτωρ, ἔρως. πᾶσα συλλαβὴ πρὸ δύο τοῦ τέλους ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον ὀξύνεται, Ὅμηρος, Μενέλαος. Οὐδέποτε, μακρᾶς οὔσης τῆς ἐπὶ τέλους, τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· ἔνθεν τῆς εὐθείας τοῦ Ὅμηρος καὶ αἰτιατικῆς καὶ κλητικῆς προπαροξυνομένων, Ὅμηρος Ὅμηρον Ὅμηρε, ἡ γενικὴ καὶ δοτική, τοῦ Ὁμήρου καὶ τῷ Ὁμήρῳ, διὰ τὴν ἐπὶ τέλους μακρὰν παροξύνονται, σεσημειωμένων τῶν Ἀττικῶν, πόλεως, μάντεως. τὸν γὰρ τῶν κοινῶν εὐθειῶν τόνον φυλάττουσι τὰ Ἀττικὰ ἐπὶ πάσης πτώσεως· ὁ ναός ὀξύνεται, διὰ τοῦτο καὶ ὁ νεώς, τοῦ νεώ καὶ αἱ λοιπαὶ πτώσεις ὀξύνονται ὁμοίως. καὶ ἔτι τοῦ Μενέλαος προπαροξυνομένου τὸ Μενέλεως καὶ αἱ λοιπαὶ πτώσεις καὶ οἱ ἀριθμοὶ προπαροξύνονται, κἂν κατὰ γενικὴν μόνην γένηται ἡ ἐπέκτασις ὡς ἐπὶ τοῦ πόλεως καὶ μάντεως. Πᾶσα φύσει μακρὰ πρὸ

---

l. 6 πρὸς post ὡς inserui. l. 8 cod. ἐκδεξάμενοι, Dindorf. emendavit. l. 11 Causam, cur accentus ante tertiam syllabam a fine non rejiciatur, hanc Choer. Dict. 398 proponit: οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὴν τρισυλλαβίαν. τούτου χάριν οὐδὲ τόνος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς· πρόσκειται «ἁπλῆ» διὰ τὰς συνθέτους οἷον διὰ τὸ φιλόσοφος, Ἀρίσταρχος. πρόσκειται «πρωτότυπος» διὰ τὰς παραγώγους οἷον διὰ τὸ σοφώτερος, ταχύτερος. «ἀκίνητος» δὲ διὰ τὸ κείρω καὶ ποιῶ. γίνεται γὰρ τούτων ὁ ὑπερσυντέλικος ἐκεκάρμην καὶ ἐπεποιήκειν. l. 12 de Μήδεϊα cf. Ahrens de dial. Aeol. p. 12 cum not. 6. l. 15 cod. μῶλον. l. 17 μόνον τῶν φύσει cod. l. 18 cod. ἔτι δέ. l. 29 cod. τοῦ Μενέλεως. — De re cf. Io. Alex. 9, 30 Arcad. 127, 24 Choer. 399, 26: φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς τρίτη ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα, χωρὶς εἰ μὴ εὑρεθῇ τὸ ω̅ ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε̅ ὡς ἐπὶ τοῦ πόλεως, μάντεως, πράξεως, πόλεων, μάντεων, πράξεων καὶ ὡς ἐπὶ τῶν παρὰ ταῖς διαλέκτοις οἷον Ἀτρείδεω, Πηλείδεω. ἰστέον ὅτι ταῦτα προπαροξυνόμενα οὐ θέλουσιν ἔχειν μεταξὺ τοῦ ε̅ καὶ τοῦ ω̅ σύμφωνον ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων· ἐὰν δὲ ἄρα καὶ ἔχωσι, πάντως εὑρίσκεται ἢ τὸ λ̅ ἢ τὸ ρ̅ ὡς

βραχείας ληκτικῆς ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, οἶκος, ἦθος, ὦμος· χωρὶς τῶν διὰ τοῦ ῑ ἢ θ̄ε̄ ἐπεκτεταμένων· ταῦτα γὰρ φυλάττει τὸν τόνον, ἅτε δὴ περιττῆς οὔσης τῆς συλλαβῆς. παροξύνεται γοῦν τὸ ναίχι καὶ εἶθε καὶ αἶθε. ἔνθεν σημειούμεθα τὸ οὐχί ὀξυνόμενον· τὸ δὲ ἦχι προπερισπᾶται «ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος» (Ε 774). Ἡ ᾱι καὶ ο̄ι ἐν τέλει λέξεων κείμεναι, μὴ ἐπιφερομένου συμφώνου, ἐπὶ μὲν τῶν ἄλλων πάντων ἀντὶ βραχείας παραλαμβάνονται, ἐπὶ μέντοι τῶν εὐκτικῶν καὶ τῶν ἐπιῤῥημάτων ἀντὶ μακρᾶς· οἷον τοῦ μὲν πρώτου τὸ Μήδειαι καὶ ἄνθρωποι προπαροξύνονται· ἔτι δὲ καὶ τὸ μοῦσαι καὶ κοῦροι προπερισπᾶται, ὡς τῶν τελευταίων συλλαβῶν βραχειῶν οὐσῶν. εἰ δὲ σύμφωνον ἐπιφέρεται, μακραὶ γίνονται, ὅθεν τοῖς Ὁμήροις καὶ ταῖς Μηδείαις ὁ τόνος καταβιβάζεται καὶ πρὸ μιᾶς τοῦ τέλους ὀξὺς δίδοται· ὁμοίως καὶ ἐπὶ ταῖς μούσαις καὶ κούροις. τὸ μέντοι οἴκοι τοπικὸν ἐπίῤῥημα καὶ οἴμοι σχετλιαστικὸν προπαροξύνονται· καίτοι, ὅτε ἐστὶν ὄνομα τὸ οἶκοι, προπερισπᾶται. ἀλλὰ καὶ τὸ ποιῆσαι καὶ κεῖραι, εἰ μὲν ἀπαρέμφατον εἴη, προπερισπᾶ-

---

ἐπὶ τοῦ χρυσόκερως, φιλόγελως; p. 403, 12 additur: καὶ χωρὶς τοῦ η̄ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς ᾱι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς· τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα. τὸ γὰρ τύπτομαι οἱ Βοιωτοὶ τρέποντες τὴν ᾱι δίφθογγον εἰς τὸ η̄ προπαροξύνουσι καὶ λέγουσι τύπτομη. ἔτι δεῖ προσθεῖναι, καὶ χωρὶς τοῦ ῡ τοῦ μακροῦ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς ο̄ι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς. τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ Ὅμηροι τρέποντες τὴν ο̄ι δίφθογγον οἱ Βοιωτοὶ εἰς τὸ ῡ μακρὸν προπαροξύνουσι καὶ λέγουσιν Ὅμηρυ. Prius adnotamentum de ᾱι in fine syllabae ex Herodiano petitum esse testatur Eustath. 365, 27: Ἡρακλείδης ἄνευ τοῦ ῑ γράφει τοὺς ἀπὸ τοῦ Μαίονας κληθέντας Μῄονας λέγων Βοιωτίαν εἶναι τὴν τοιαύτην μεταβολὴν ὡς τῶν Βοιωτῶν τὴν ὅλην ᾱι δίφθογγον εἰς η̄ καταμόνας μεταβαλλόντων, ὥς που καὶ ὁ Χοιροβοσκὸς παρασημειοῦται, ἐν οἷς ἐξηγεῖται τὸν Ἡρωδιανὸν λέγων καὶ ὅτι τὰς θηλυκὰς πληθυντικὰς εὐθείας τῶν παθητικῶν ἐνεστώτων τὸ ποιούμεναι λεγόμεναι καὶ τὰ τοιαῦτα ποιούμενη λεγόμενη ἐκεῖνοί φασιν· οὕτω δὲ καὶ τὰ ὅμοια. cf. Ahrens de dial. Aeol. 186 not. 1, atque alterum etiam de ῡ praeceptum, quin ex Herodiano sumptum sit, non dubito cf. Ahrens p. 191 not. 6. l. 2 Ab Io. Alex. praeterita est consuetudo Doriensium nominativos tertiae declinationis, qui vulgo proparoxytoni vel perispomeni sunt, in proxima ultimae acuendi, quam consuetudinem hic memoratam fuisse coniicio ex Choer. 427, 19 οἱ Δωριεῖς ὀξεῖαν παρέχουσιν ἐπὶ τῶν τοιούτων οἷον παῖδες, αἶγες, γυναῖκες· ταῦτα γὰρ ἡμεῖς μὲν περισπῶμεν, οἱ δὲ Δωριεῖς παροξύνουσιν, ὀφείλοντες καὶ αὐτοὶ προπερισπᾶν et p. 651, 15, ubi etiam aliae Doricae dialectus proprietates afferuntur: πολλάκις οἱ Δωριεῖς ἐναλλαγὰς ποιοῦνται τόνων πρὸς τὴν κοινὴν διάλεκτον· καὶ γὰρ τὰς παρ' ἡμῖν προπερισπωμένας λέξεις αὐτοὶ παροξύνουσιν οἷον πᾶνες πάνες, αἶγες αἴγες, φῶτες φώτες, καὶ πάλιν τὰς παρ' ἡμῖν βαρυτόνους λέξεις αὐτοὶ πολλάκις περισπῶσι· τὸ γὰρ πάντων καὶ παίδων παντῶν καὶ παιδῶν λέγουσι περισπωμένως· καὶ πάλιν τὰς παρ' ἡμῖν περισπωμένας λέξεις αὐτοὶ πολλάκις συστέλλοντες ὀξύνουσιν οἷον δασμοφορεῖν καὶ ποιεῖν αὐτοὶ δασμοφορέν καὶ ποιέν λέγουσιν· ἐπειδὴ οὖν ἐναλλαγὰς τόνων ποιοῦνται οἱ Δωριεῖς πρὸς τὴν κοινὴν διάλεκτον, εἰκότως περισπῶσι τοὺς ὁριστικοὺς μέλλοντας τυψῶ, γραψῶ, λεξῶ, ἀμελξῶ, ἵνα καὶ ἐπὶ τούτων ἐναλλαγὴν ποιήσωνται τόνου πρὸς τὴν κοινὴν διάλεκτον cf. Ahrens de dial. Dor. 29 cum not. 9. — De ναίχι εἶθε αἶθε cf. Il. Pr. K 292; de ἦχι οὐχί Io. Al. 37, 5 Arc. 183, 10. l. 8 μέντοι pro μέν Dindorf. l. 11 σύμφωνος cod. l. 14 de οἴκοι cf. Io. Al. 36, 12 et de οἴμοι Io. Al. 36, 18. Caeterum ex adverbiorum numero excipiuntur, quia ᾱι pro brevi accipitur, πάλαι καὶ τὰ παρ' αὐτοῦ οἷον ἔκπαλαι, πρόπαλαι Choer. 402, 3.

ται· εἰ δὲ εὐκτικόν, παροξύνεται· ὅτε δέ ἐστι τὸ ποίησαι προστακτικῆς μέσης ἀόριστος πρῶτος, προπαροξύνεται.

Πᾶσα ὀξεῖα ἐπὶ τέλους λέξεως οὖσα, εἰ μὴ ἐπιφέροιτο μετ᾽ αὐτὴν στιγμή, πάντως ἐν τῇ συμφράσει κοιμίζεται εἰς βαρεῖαν οἷον «Ζεὺς δ᾽ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα» (Il. 13, 1) τό τε Ζεὺς καὶ ἐπὶ βαρύνεται, ὅτι στιγμὴ μετὰ ταῦτα οὐ τίθεται. Ἰστέον δὲ ὅτι καθ᾽ ἑκάστην λέξιν ἐν μιᾷ συλλαβῇ τίθεμεν ἢ ὀξεῖαν ἢ περισπωμένην, ἐν δὲ ταῖς λοιπαῖς συλλαβαῖς βαρεῖαν· οἷον ἐν τῷ Μὲνέλὰὸς δευτέρα συλλαβὴ ὀξύνεται, αἱ δὲ λοιπαὶ βαρύνονται, καὶ ἐν τῷ ἂλλοῖὸς ἡ μέση περισπᾶται, ἡ δὲ πρώτη καὶ τρίτη βαρύνονται· διὸ καὶ βαρύτονα καλεῖται τὰ παροξύτονα καὶ προπαροξύτονα καὶ προπερισπώμενα, διὸ ἡ τελευταία τούτων βαρύνεται· ἀλλ᾽ ὡς ὁμολογουμένας τὰς τοιαύτας βαρείας ἐῶμεν, διὰ τὸ μὴ καταστίζειν τὰ βιβλία. Ἡ ὀξεῖα οὖν καὶ ἡ βαρεῖα περισπωμένην ποιοῦσιν οἷον φάὸς φῶς, εὐγενέὸς εὐγενοῦς. ἀνάπαλιν δὲ ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα, οἷον ζὼός ζώς, Πρὸΐτου Προίτου, κὸΐλου κοίλου· τὸ γὰρ κοῖλος κοῖλος διὰ τονικὸν παράγγελμα περιεσπάσθη. τὸ δὲ ἀδελφιδὲός ἀδελφιδοῦς καὶ τὰ ὅμοια δι᾽ ἕτερον λόγον περιεσπάσθη· τὰ γὰρ εἰς ους ἁπλᾶ πάντα περισπᾶται οἷον βοῦς, χοῦς, πλοῦς. τὰ δὲ σύνθετα βαρύνεται οἷον Μελάμπους, Οἰδίπους, ὅθεν σημειούμεθα τὸ πούς καὶ ὀδούς παραλόγως

---

l. 1 Il. Pros. A 302. A 255. Choer. 763, 17, qui utroque loco laudato causas, cur diphthongi pro brevibus accipiantur, explicite exponit. Quae hic in Io. Alex. prooemio l. 3—p. 11, 4 leguntur, etiam ap. Arcad. 175, 1—17 reperiuntur, qui locus Arcadii non vilissima lacinia est, ut Schmidtio editori videtur, sed ex Herodiani prooemio in alienum locum illatus est. Quod ut perspici possit, Arcadii sectionem hic subiicio:

(ὅτι) πᾶσα συλλαβὴ περισπωμένη φύσει μακρά ἐστι, καὶ οὐ θέσει, οὔτε βραχεῖα.

(ὅτι) πᾶσα λέξις ὀξύτονος ἐν τῇ συνεπείᾳ κοιμίζει τὴν ὀξεῖαν εἰς τὴν βαρεῖαν χωρὶς τοῦ τίς, ὅπερ φυλάττει τὴν ὀξεῖαν, καὶ χωρὶς εἰ μὴ στιγμὴ ἐπιφέροιτο ἢ ἐγκλιτικόν ἐστι (in quibus verbis Schm. καὶ iniuria seclusit).

(ὅτι) πᾶσα λέξις μὴ περισπωμένη ἢ ὀξυνομένη βαρύνεται.

(ὅτι) ἡ ὀξεῖα καὶ βαρεῖα συνερχόμεναι εἰς συναίρεσιν περισπωμένην ἀποτελοῦσι, [ἀνάπαλιν δὲ ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται] εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα, ὡς ἐπὶ τοῦ ἀδελφιδὲός ἀδελφιδοῦς καὶ θυγατριδὲός θυγατριδοῦς· ταῦτα γὰρ συναιρεθέντα οὐκ ὀξεῖαν, ἀλλὰ περισπωμένην ἔσχον (verba ἀνάπαλιν — εἰς ὀξεῖαν συναιροῦνται inserenda esse et pro ἀδελφιδέος θυγατριδέος scribenda esse ἀδελφιδὲός, θυγατριδὲός et intellectus docet et Io. Al. Prooemium).

(ὅτι) ἡ ὀξεῖα καὶ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται Διομήδεος Διομήδους, χωρὶς εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα.

l. 12 et 13 apte Lehrsius Arist. p. 371 cum nostro loco comparat Schol. ad Dionys. 688, 31: εἶτα τὴν αἰτίαν ἀποδιδοὺς δι᾽ ἣν οὐ τίθεται νῦν ἐπὶ πάσης συλλαβῆς ἡ βαρεῖα φησίν «ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία τοῦτο νῦν οὐ γίνεται». ἐπιλαμβάνονται δὲ πολλοὶ τοῦ τεχνικοῦ καί φασιν, ὅτι οὐκ εὔλογα δοκεῖ λέγειν· κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ὁ εὑρὼν ἐσφαλμένον βιβλίον οὐκ ὀφείλει τοῦτο διορθοῦσθαι καὶ ξέειν τὰ κακῶς γραφέντα, ἀλλ᾽ ἐᾶν ἀδιόρτωτον, ἵνα μὴ τὸ βιβλίον ἀκαλλές τε ὁρῷτο καί τινα τρόπον ἀμυχὰς ξεσμάτων ἐπιφερόμενον. l. 16 de ζὼός ζώς cf. Il. Pr. Ε 887 Arcad. 127, 1. de κοῖλος Mon. 21, 1 cum Lehrsii adnotatione. l. 17 de ἀδελφιδὲός (sic enim non ut ap. Arcad. et hoc loco ἀδελφιδέὸς scribendum esse sententia docet) ἀδελφιδοῦς cf. praeter Arcad. 93, 6 etiam Choer. 246, 5, ex quo derivatum est E. M. 16, 141 ubi falso θυγατρίδεος proparoxytonos prolatum est; iniuria igitur Curtius Grundzüge der Griech. Etymologie II 202 Nauckio Aristoph. Byz. 145 not. 43 ἀδελφίδεος tuenti adstipulatur.

ὀξυνθέντα. αἱ δύο βαρεῖαι εἰς βαρεῖαν συναιροῦνται, ὡς τὸ Δημοσθέ-νὲὸς Δημοσθένους. πάλιν τὸ χρύσὲὸς καὶ ἀργύρὲὸς μετὰ τὴν συναίρεσιν περιεσπάσθη διὰ τὸν εἰρημένον κανόνα, ὡς τὰ εἰς ους ἁπλᾶ περισπᾶσθαι θέλει.

Ταῦτα μὲν οὖν ἱκανὰ τοῖς εἰδόσιν ἐπὶ ποίας συλλαβῆς ἔδει τὸν τόνον τιθέναι. Πολλῆς δὲ οὔσης τούτων διδασκαλίας, ἣν ἡμῖν Ἡρωδιανὸς ἐν τῇ καθόλου παρέδωκε πραγματείᾳ, ὀλίγα ἐξ αὐτῶν τὰ χρειωδέστερα συντόμως ἐκλεξάμενοι παραθήσομεν, ὡς εὐχερεστέραν εἶναι τοῖς στίζειν ἐθέλουσι τὴν τούτου μάθησιν.

---

l. 5 τὸν τόνον addidit Bloch., idem πολλῆς pro πολλά, l. 7 δὲ post ὀλίγα omisi. Quae ap. Io. Al. 7, 3—15 sequuntur, quia suam excerpendi rationem epitomator exponit, ut a Catholica Herodiani, quam restituere volumus, aliena sub textum reiecimus: πολλοὶ μὲν οὖν καὶ ἐκ ψιλῆς συνηθείας τὸ ἐπὶ ποίας συλλαβῆς ὁ τόνος ἑκάστης ὑπάρχει λέξεως ἴσασι· διὰ δὲ τῶν εἰρημένων κανόνων δῆλον ἔσται ὡς εἰ πρὸ τέλους εἴη τῆς λέξεως ἡ προσῳδία, ποῖον δεήσει τιθέναι τόνον· ἀλλ' ἐπειδήπερ ἡ προσῳδία ἐπὶ τέλους (sic pro ἡ πρὸ τέλους scribendum est) εἴη φύσει μακρᾶς οὔσης τῆς τελευταίας, τότε λοιπὸν τυγχάνει δυσχερὲς εἴτε περισπᾶν δεήσει ταύτην εἴτε ὀξύνειν. τοῦτο μεθοδεῦσαι τὸ μέρος ἐπί τε τῶν εὐθειῶν καὶ ἐπὶ τῶν ῥημάτων ἐκ τῶν Ἡρωδιανοῦ συντόμως πειράσομαι. εἰπόντες οὖν ποῖαι τῶν ἐπὶ τέλει τὸν τόνον ἐχουσῶν λέξεων περισπῶνται, δηλονότι τὰς λοιπὰς ὀξυνομένας καταλείψομεν. ἄρξομαι δὲ ἐκ τῶν ὀνομάτων.

ΤΑ ΕΙΣ ν̄.

ΒΙΒΛΙΟΝ α΄.

Τὰ εἰς ᾱν λήγοντα ἁπλᾶ ὀνόματα ὀξύνεσθαι θέλει, ἐπ' εὐθείας πτώσεως μὴ τροπὴν ἀναδεξάμενα ἀπὸ τῶν εἰς ην̄ βαρυτόνων οἷον Παιάν, Ἰάν, Δωριάν, Ἀλκμάν, τιτάν, πελεκάν. Ἀθαμάν ἔθνος Ἰλλυρίας, οἱ δὲ Θετταλίας. Ἀζάν ὁ Ἀρκάδος καὶ ἔθνος τῆς Ἀρκαδίας· λέγεται δὲ καὶ Ἀζήν. Ἀγριάν ἔθνος Παιονίας, ὡς ἐν τῷ ἐπιγράμματι γραφέντι εἰς Νεοπτόλεμον Πισίδην οὕτως

εἰμὶ Νεοπτόλεμος Κρεσσοῦ, τρισσῶν δ' ἕν' ἀδελφῶν
  ἔστασαν Τλωεῖς, κῦδος ἐμὸν δόρατος·
οὕνεκεν ὧν Πισίδας καὶ Παίονας ἠδ' Ἀργιᾶνας
  καὶ Γαλάτας τόσσους ἀντιάσας στόρεσα.

---

l. 5 pro δωρεάν librorum scriptura cum Lobeckio Parall. 190 not. 2 exhibui Δωριάν (Steph. Byzant. 253, 7), Schmidtius recepit, quod idem Lob. proposuit Δαρειάν cum Ἀργειάν comparandum; longius abest, quod Schm. ad Hesych. ὀρείονες commendat ὀρεάν. Nomina inde ab Ἀθαμάν usque ad Φαράν (p. 13 l. 23) addidi ex Steph. Byzant., Ἀθαμάν ex p. 33, 10, ubi Ἀθαμανία χώρα Ἰλλυρίας, οἱ δὲ Θεσσαλίας. τὸ ἐθνικὸν Ἀθαμᾶνες atque hunc in modum reliquos locos Stephani immutavi ut ad rem, de qua quoque loco agitur, accommodaretur. Ἀζάν ex 30, 16, Ἀγριάν 21, 17. Neoptolemus autem est imperator Mithridatis, de quo Strabo 73, 307, Αἰνιάν 51, 2 collato Eustathio Il. 2, 749, cui similia habet E. M. 599, 15. Ἀκαρνάν 58, 1, ubi Ἀκαρνάν ὡς Αἰνιάν Ἀτιντάν Ἀθαμάν Ἀζάν· ἁπλᾶ γάρ· τὸ Τιτανόπαν σύνθετον. Ἀρκτάν 122, 1, Ἀτιντάν 142, 14, Βραχμάν 184, 18, Γινδάν 208, 6, Δυμάν 240, 6, ubi exciderunt quae s. v. Ἀκαρνανία se de forma vocis dicturum esse promiserat his verbis: περὶ τοῦ Δύμαν εἰρήσεται; cf. Choer. Dict. Gaisf. 271, 15: περὶ τοῦ Δύμαν, ἀπὸ ποίας εὐθείας ἐστίν, ἐν τῷ ὀνοματικῷ Ἡρωδιανοῦ μαθησόμεθα et 37, 20 (E. M. 291, 17) Δύμας Δύμαντος. Ἐγχελᾶνες (sic cum Mein. scripsi pro Ἐγγελᾶνες) 260, 5. Εὐρυτάν 287, 3. Λυκάν 420, 17, ubi Λυκάων καὶ Λυκάν ὡς μεγιστάν, quod mutavi, quia μεγιστάν iam commemoratum erat et ut, quod St. B. 323, 1 ἐκ τοῦ Ἰάων Ἰάν habet, insererem. Φαράν 658, 12. Ἀρετάν ex E. M. 138, 22 adieci, qui locus ex pleniore Stephani exemplari fluxisse videtur; Philostephanum autem saepius ab Herodiano in testimonium vocatum esse in Prolegomenis vidimus. E nominibus a Stephano relatis omisi Σόανες ἔθνος ἀνδρεῖον, ὡς Στράβων ἑνδεκάτῃ «πλησίον δὲ καὶ οἱ Σόανες» p. 581, 1, quia accentus non congruit cum reliquis, quin diserte eius variationis mentio facta sit; porro Φρίκανες p. 672, 6, quod Mein. utrum Φρικᾶνες an Φρίκωνες scribendum sit dubitat. Cum Σόανες propter accentum comparat Lobeck. l. c. ψάγδαν, Εὔαν. Profert idem ibid. praeterea μαριθάν, Αἰγάν, quod nititur in Strabonis loco 13 p. 615 parum intellecto cf. Mein. ad St. B. s. Αἰγά (hoc enim nomen fuit promontorio Aeolico); in El. I, 278 not. Ἑρμάν ex Etym. Gud. 530, et ἁρμάν, ὃ σημαίνει τὸν πόλεμον ἐν τῇ τῶν Φρυγῶν διαλέκτῳ ex E. Magn. 145, 42.

Αἰνιάν ἔθνος Περραιβῶν· λέγονται δὲ καὶ Αἰνιεῖς. ἐκαλοῦντο δὲ καὶ Μηλιεῖς οἱ αὐτοί. Στράβων δὲ ἐν τῇ ἑνδεκάτῃ (p. 508) φηςὶν ἐν τῷ Πόντῳ Αἰνιᾶνας ἄλλους εἶναι, οὓς καλεῖςθαι νῦν Παρςίους· καὶ εἰ μὲν ἀπὸ τοῦ κυρίου Αἰνιᾶνος γέγονεν, εὔλογος ἡ ὁμοφωνία αὐτοῦ ὡς τὸ Τρώς καὶ Ἀχαιός μὴ ὁμοφωνοῦντος τοῦ Τευκρός καὶ Γραικός· εἰ δὲ παρὰ τὴν πόλιν Αἰνίαν, εὑρεθήςεται πρότερον Αἴνιος ὡς τῆς Λυκίας Λύκιος, εἶτα διὰ τὴν ὁμοφωνίαν τοῦ ποταμοῦ πρὸς διάκριςιν Αἰνιάν γενέςθαι ὡς μέγιςτος μεγιςτάν καὶ ἄλκιμος Ἀλκιμάν, ὅθεν ὁ Ἀλκμάν, καὶ νέος νεάν, ὅθεν ἡ νεᾶνις καὶ νεανίας. Ἀκαρνάν ὁ ἥρως καὶ ἔθνος πρὸς τῷ Ἀχελῴῳ. Ἀρκτάν ἔθνος Ἠπειρωτικόν. Ῥιανὸς ἐν τετάρτῃ Θεςςαλικῶν. Ἀτιντάν υἱὸς Μακεδόνος καὶ ἔθνος Μακεδονίας. Βραχμάν Ἰνδικὸν ἔθνος ςοφώτατον, οὓς καὶ Βράχμας καλοῦςιν. Γινδάν ἔθνος Λιβυκὸν λωτοφάγον «οἳ τὸν καρπὸν μόνον τοῦ λωτοῦ ἐςθίοντες ζῶςι» (Herodot. IV, 177). Δυμάν ὁ υἱὸς Αἰγιμίου, ὡς Ἔφορος α΄ «Αἰγίμιος γὰρ ἦν τῶν περὶ Οἴτην Δωριέων βαςιλεύς. ἔςχε δὲ δύο παῖδας Πάμφυλον καὶ Δυμᾶνα καὶ τὸν τοῦ Ἡρακλέους Ὕλλον ἐποιήςατο τρίτον, χάριν ἀποδοὺς ἀνθ᾽ ὧν Ἡρακλῆς ἐκπεπτωκότα κατήγαγεν.» καὶ Δυμᾶνες φυλὴ Δωριέων. Ἐγχελᾶνες ἔθνος Ἰλλυρίας οἱ αὐτοὶ τοῖς Ἐγχελέαις, ὡς Μναςέας ἐν γ΄ τῶν περιηγήςεων. λέγεται δὲ Ἐγχελέαι ἀπὸ τοῦ Ἐγχελέης ἢ Ἐγχελέας· λέγονται δὲ καὶ Ἐγχελεῖς ἢ ἀπὸ τοῦ Ἐγχελής ἢ ἀπὸ τοῦ Ἐγχελεύς. Εὐρυτάν ἔθνος Αἰτωλικόν. Λυκόφρων «μάντιν δὲ νεκρὸν Εὐρυτὰν ςτέψει λεώς» (v. 799). Λυκάν ἐκ τοῦ Λυκάων κατὰ ςυγκοπὴν ὡς Ἰάν ἐκ τοῦ Ἰάων. Φαράν πόλις μεταξὺ Αἰγύπτου καὶ Ἀραβίας. Ἀρετάν ποταμὸς Κροτωνιάδος χώρας παρὰ τὴν Ἀρέταν τὴν γυναῖκα Ἀλκίμου, ἧς περιρρεῖ τὸ μνῆμα, ὡς μαρτυρεῖ Φιλοςτέφανος.

Τὰ εἰς $\overline{\text{αν}}$ ςύνθετα ἀπὸ ἁπλῶν ῥητῶν πάντα βαρύνονται οἷον εὐπαίαν, Αἰγίπαν, Ἑρμόπαν, Ἀντίπαν, Εὐήπαν, Τιτανόπαν, Αἰνοτίταν. τὸ δὲ καρβάν ὀξύνεται καὶ ὅςα μὴ ἀπὸ ἁπλῶν ῥητῶν.

Τὰ εἰς $\overline{\text{αν}}$ λήγοντα ἢ καθαρεύειν ἐθέλει ὡς τὸ Παιάν Ἰάν ἢ ἓν ἔχειν ςύμφωνον πρὸ τοῦ $\bar{\alpha}$ ὡς τὸ Λυκάν Ἀζάν, ἢ δύο καὶ ταῦτα ἢ κατὰ ςύλληψιν ὡς τὸ ἰδμάν μεγιςτάν ἢ κατὰ διάςταςιν ὡς τὸ Πορθάν Πελλάν, οὐδέποτε δὲ τρία· ςεςημείωται τὸ Ἀλκμάν ἔχον τρία

l. 27 et 28 ad Arcadii nomina accesserunt εὐπαίαν, Ἀντίπαν, Εὐήπαν, Τιτανόπαν ex Choer. 271, 3 (Bekker. Anecd. 986, 11) et 68, 17. cf. Herod. in An. Ox. IV, 337, 17. Lobeck. Parall. 190 ex Hesych. s. Τιτᾶνες addit ἀτίταν. — de καρβάν Choer. 68, 18: μόνον τὸ κάρβαν (ςημαίνει δὲ τὸν βάρβαρον) οὔτε ἁπλοῦν ἐςτιν οὔτε ςύνθετον, καὶ ὀξύνεται· ἔςτι γὰρ ἀπὸ τοῦ Κάρ Καρός καὶ τοῦ βοή καριβοός ςύνθετον οἷον ὁ ἔχων βοὴν Καρός, τουτέςτι βάρβαρον, οἱ γὰρ Κᾶρες βάρβαρον φωνὴν εἶχον, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων, Νάςτης Καρῶν ἡγήςατο βαρβαροφώνων (B 867) cf. E. M. s. v. l. 30—p. 14 l. 5 ex Theognosto Cr. II, 26, 24, ubi in fine οὕτως Ἡρωδιανὸς ἐν τῇ καθολικῇ. eundem locum ex Catholica exscripsit Choer. 271, 28 sic: ἄξιόν ἐςτι ζητῆςαι, εἰ ἄρα τὰ εἰς $\overline{\text{αν}}$ λήγοντα οὐδέποτε τρία ςύμφωνα ἔχουςι πρὸ τοῦ $\bar{\alpha}$, ἀλλ᾽ ἢ καθαριεύουςιν ὡς τὸ Παιάν ἢ ἔχουςιν ἓν ςύμφωνον ὡς τὸ Τιτάν πρὸ τοῦ $\bar{\alpha}$ ἢ δύο, καὶ ταῦτα ἢ κατὰ ςύλληψιν ἢ κατὰ διάςταςιν, κατὰ ςύλληψιν μὲν ὡς τὸ ἰδμάν (ςημαίνει δὲ τὸν ἔμπειρον), μεγιςτάν, κατὰ διάςταςιν δὲ ὡς ἐν τῷ Πορθάν, Ἑλλάν, οὐδέποτε δὲ τρία ςύμφωνα ἔχουςιν,

cύμφωνα καὶ κατὰ cύλληψιν καὶ κατὰ διάcταcιν· καὶ δηλονότι πλεοναcμὸc ἐγένετο cυμφώνου ἐν τῷ ὀνόματι· εἰ γὰρ παρὰ τὴν ἀκμήν ἐγένετο, πεπλεόνακε τὸ λ̄, εἰ δὲ παρὰ τὴν ἀλκήν, πεπλεόνακε τὸ μ̄· εἰ δὲ παρὰ τὸ ἄλκιμοc, ἐν cυγκοπῇ γέγονεν· τῷ γὰρ κύριον εἶναι τὸ ὄνομα οὐκ εὐθύνεται ὑπὸ τοῦ cημαινομένου.

Τὰ εἰc ᾱν̄ οὐ παραλήγονται τῇ ε̄ῑ διφθόγγῳ οἷον Ἀλκμάν, Παιάν· τὸ γὰρ Ἀργειάν, ἔcτι δὲ ὄνομα ὄρουc Μεccηνίαc, ἀπὸ τοῦ Ἀργεῖοc ἔχει τὴν δίφθογγον.

Τὰ εἰc η̄ν̄ λήγοντα μὴ cυντεθειμένα ἀπὸ τῶν εἰc η̄ν̄ ῥητῶν, εἰ ἔχοι πρὸ τοῦ η̄ν̄ δαcὺ cύμφωνον ἢ ψιλόν, ὀξύνεcθαι θέλει οἷον ἀχήν, λειχήν, αὐχήν, Κηφήν ἀπὸ Κηφέωc τοῦ πατρὸc Ἀνδρομέδαc ὁ Αἴθιοψ, Ὀρφήν. in huiuscemodi tamen terminatione (sc. ε̄ῡc̄) quaedam inveniuntur mutatione ēūs̄ diphthongi in ēs̄ longam prolata ut Ἀχιλλεύc Achillēs, Περcεύc Persēs, Οὐλιξεύc Ulixēs, in quo Doris sequimur, qui pro Φυλεύc Φύληc, pro Ὀρφεύc Ὄρφηc et Ὀρφήν dicunt, pro Τυδεύc Τύδηc. Sic Antimachus in I Thebaidos: «Τύδηc τ' Οἰνείδηc» et vocativum in ε̄ productam: «τὸν καὶ φωνήcαc προcέφηc, Οἰνήϊε Τύδη» teste *Herodiano*, qui hoc ponit in *I Catholicorum.* similiter Ibycus ὀνομακλυτὸc Ὀρφήν dixit (Priscian. lib. VI c. 92 p. 276 Hertz.). Κωφήν πόλιc οὐκ ἄπωθεν Μαccαγετῶν, ἣ καὶ Ἀραχωcία καλεῖται.

Τὰ εἰc η̄ν̄ ἔχοντα ἐν τῇ πρὸ τέλουc cυλλαβῇ τὸ ᾱ ἤτοι μόνον ἢ καὶ cὺν ἑτέρῳ φωνήεντι διcύλλαβα ὀξύνεται, εἰ μὴ ἔχοι οὐδετέρου

ὡc εἴρηται, πῶc οὖν τὸ Ἀλκμάν τρία cύμφωνα ἔcχεν; Φηcὶν οὖν ὁ Ἡρωδιανὸc ἐν τῇ καθόλου περὶ τούτου ἀπολογούμενοc, ὅτι ἢ παρὰ τὴν ἀκμήν γέγονεν ἀκμάν καὶ πλεοναcμῷ τοῦ λ ἀλκμάν οἱονεὶ ὁ ἀκμάζων, ἢ παρὰ τὸ ἀλκή, ὃ cημαίνει τὴν δύναμιν, γέγονεν ἀλκάν καὶ πλεοναcμῷ τοῦ μ̄ ἀλκμάν οἱονεὶ ὁ ἰcχυρόc, ἢ παρὰ τὸ ἄλκιμοc ἀλκιμάν καὶ ἐν cυγκοπῇ ἀλκμάν. Ex hoc loco Lobeck. in El. I, 278 not. 3 pro πορμάν ap. Theogn. emendavit Πορθάν, idem p. 13 l. 31 pro Ἀκάν scripsit Ἀζάν et p. 14 l. 4 pro τὸ κύριον εἶναι p. 279 τῷ κύριον εἶναι. Ut hic Herodianus Ἀλκμάν, sic etiam Ἀλκμήνη per pleonasmum literae μ̄ aut λ̄ expedivit in libro περὶ παθῶν E. M. 66, 16: Ἀλκμήνη: παρὰ τὴν ἀλκήν Ἀλκήνη καὶ πλεοναcμῷ τοῦ μ̄ Ἀλκμήνη ὡc Ἄλκμων Ἀλκμάων ἢ παρὰ τὴν ἀκμὴν Ἀκμήνη καὶ Ἀλκμήνη. οὐδὲν γὰρ ἔχομεν εἰπεῖν ἐπὶ τούτου πλέον· κύριον γάρ ἐcτι τὸ ὑποκείμενον. οὐ δεῖ γὰρ ἐπὶ κυρίων ἐτυμολογίαc λαμβάνειν. οὕτωc Ἡρωδιανὸc ἐν τῷ περὶ παθῶν. l. 6—8 ex Choer. Orthogr. 263, 26, ubi Ἀκμάν et Παράν, in quo Lobeck. El. l. c. Ἑρμάν latere putat, equidem Παιάν scripsi. Inde quod Herodianus de consonis, quae terminationem ᾱν̄ praecedunt, in Catholica egit, consequitur eum etiam de antecedentibus vocalibus dixisse. l. 10 ἀχήν pro ἀρχήν, λειχήν pro εὐχήν, αὐχήν pro ναυχήν scripsi cum Lobeck. Parall. p. 191. l. 11 Κηφήν accessit ex St. B. 333, 17 et 679, 12. In Prisciani loco Bergkius recte pro ὀνομακλυτὸν Ὄρφην emendasse videtur ὀνομακλυτὸc Ὀρφήν, nam quum Herodianus in primo Catholicorum libro de variatione terminationum ε̄ῡc̄ et ηc dixisse perhibeatur, ad hanc rem deferri alio vix modo potuit nisi ita ut exponeret in quibusdam nominibus exitum communem in ε̄ῡc̄ et in η̄c̄ et in η̄ν̄ mutatum esse, cuius generis exemplum Ὀρφεύc Ὄρφηc Ὀρφήν proposuit; agitur enim hoc loco de nominibus in ν̄. l. 20 Κωφήν ex St. B. 110, 11. — Ab epitomatoribus omissum est λεcχήν, quod Mein. philol. exercitt. in Athen. Π p. 6 Theoni Phliasio ap. Diogen. Laert. IX 40 restituendum suspicatur.

παραςχηματιςμὸν οἷον Ἀγήν, αὐχήν, ἀτμήν, ἀπτήν, ἀκτήν, ἀδήν ἡ νόςος.

Τὰ εἰς ην λήγοντα ἔχοντα πρὸ τοῦ η τὸ ς ἢ διπλοῦν ςύμφωνον μὴ παραληγόμενον τῇ ου διφθόγγῳ ὀξύνεςθαι θέλει, εἰ μὴ παραςχηματίζοιτο οὐδετέρῳ γένει οἷον ἐςςήν ὁ οἰκιςτής «Μυρμιδόνων ἐςςῆνα» Καλλίμαχος. καμαςήν ὁ ἰχθῦς, Δαμαςήν, ἐρςήν, Αἰζήν, Ταντάλου παῖς, ἀφ' οὗ ἐν Φρυγίᾳ πόλις Αἰζανοί. Ἀζήν ἔθνος τῆς Ἀρκαδίας ὃ καὶ Ἀζάν, ἀζήν ὁ πώγων κατὰ Φρύγας, ἀψήν. Τροιζήν καὶ ὁ κτιςτὴς καὶ ἡ πόλις. εὑρίςκεται γὰρ καὶ πόλεςιν ὁμοφωνοῦντα τὰ τῶν κτιςτῶν ὀνόματα· Κάμικος Κολοφών Κόρινθος Κῶς Cικυών Κύρνος Λέςβος· οὕτως καὶ Τροιζήν· ἔςτι δὲ πόλις Πελοποννήςου· ἔςτι καὶ ἄλλη Τροιζήν ἐν Μαςςαλίᾳ τῆς Ἰταλίας, ἣν Χάραξ Τροιζηνίδα χώραν φηςίν.

Τὰ εἰς λην λήγοντα ὀξύνεται βαλλήν οὕτως ὁ βαςιλεύς, Τελλήν, Ὠλήν, ςωλήν, κωλήν, ςτελήν. ςεςημείωται τὸ Ἕλλην βαρυνόμενον.

Τὰ εἰς ην ἁπλᾶ ἔχοντα δεδιπλαςιαςμένον ςύμφωνον ὀξύνεται, ἐςςήν, ὀςςήν, Τελλήν, βαλλήν πλὴν τοῦ Ἕλλην καὶ ὁ ἥρως καὶ τὸ ἔθνος. τὸ δὲ ἄρρην ἀττικῶς ἀπὸ τοῦ ἄρςην γέγονε.

Τὰ εἰς ην κατ' ἐπιπλοκὴν δύο ςυμφώνων ὀξύνεται, πυθμήν, Κεβρήν ποταμός, ἀφ' οὗ Κεβρηνία χώρα τῆς Τρῳάδος. Δίδυμος δὲ Κεβρῆνα τὴν πόλιν φηςίν — πλὴν τοῦ Ἕκτην, ὃ ἔχει τὴν πρὸ τέλους

---

l. 1 ἀκτήν pro αἰτήν cum Schmidtio praeeunte Lobeckio l. c. p. 190.
l. 4 verba τῇ ου διφθόγγῳ scrupulum relinquunt, quum huiuscemodi nomina omnino nobis non servata sint. l. 5 ἐςςήν explevi ex Mon. 17, 7, ad quem locum annotat Lehrsius Herodianum, fortasse ideo hanc vocabuli significationem, non alteram βαςιλεύς (E. M. 383, 28 ἐςςήν ὁ βαςιλεύς, ὡς παρὰ Καλλιμάχῳ «οὗ ςε θεῶν ἐςςῆνα πάλοι θέςαν» (hymn. in Iov. v. 66) posuisse, quod prima et propria ei visa sit ἀπὸ τοῦ ἕςςαι καὶ ἱδρῦςαι E. M. 383, 32. In Catholica fortasse utramque explicationem cum etymologia proposuerat, nam E. M. hinc derivatum videtur. l. 6 Δαμαςήν scripsit pro ναςςήν Lob. ex Nonn. XXV 453. Αἰζήν explevi ex St. B. 31, 5, ubi: Ἀζανοί Φρυγίας πόλις: Ἡρωδιανὸς διὰ τῆς αι ἐν πρώτῃ τῶν καθόλου λέγων, Αἰζήν Ταντάλου παῖς κτλ. cf. Mon. 17, 4 Αἰζήν Ταντάλου παῖς. l. 7 Ἀζήν ex St. B. 30, 16. l. 8 ὁ πώγων κατὰ Φρύγας addidi ex Choer. 275, 18. Τροιζήν ex St. B. 49, 18, cum quo cf. 639, 5 Τροιζήν πόλις Πελοποννήςου ἀπὸ Τροιζῆνος τοῦ Πέλοπος. p. 325, 6 Apollonii ex libro περὶ παρωνύμων decretum affertur, unde concludit Mein. Apollonium diverse ab Herodiano distinxisse inter Τροίζην et Τροιζήν. Verba Apollonii sunt: ἀπὸ γενικῶν εὐθεῖαι παράγονται, τῶν μὲν ὑπὲρ δύο ςυλλαβὰς ὁμοίως τῇ εὐθείᾳ κατὰ τὸν τόνον προπαροξυνόμεναι, καὶ ἢ ἐν ἁπλῷ ςχήματι ἢ ἐν ςυνθέτῳ· ἁπλοῦν μὲν οὖν μάρτυρ μάρτυρος ὁ μάρτυρος, Χάροψ Χάροπος ὁ Χάροπος — Τροίζην Τροίζηνος ὁ Τροίζηνος «υἱὸς Τροιζήνοιο» (Il. 2, 847); sed Lehrsius de Arist. p. 277[2] ipsius urbis accentum inconstantem inveniri dicit. Eustathius autem ad Hom. 287, 20 ςημείωςαι ὅτι τινὰ τῶν παλαιῶν ἀντιγράφων Τροίζηνα προπαροξυτόνως ἔγραψαν, οἷς καὶ Ἡρωδιανὸς ςυνηγορεῖ ἐν τῷ περὶ ταχυτῆτος καὶ δηϊότητος εἰπών, ὅτι κτλ. pervertisse videtur Herodiani sententiam. l. 13 λην pro ην scripsi. βαλλήν et ap. Arcad. et in Mon. 17, 5, unde vocem explevi, per duplex λ scriptum est, Lob. praefert βαλήν propter βλῆνος. l. 14 pro ςιπελήν librorum scriptura ex Mon. 17, 4 cum Lob. exhibui ςτελήν vocabulum ignotum, Schmidt. Πελλήν posuit. l. 17 Ἕλλην explevi ex St. B. 268, 4. l. 20 Κεβρήν explevi ex St. B., ubi haec exstant: Κεβρηνία χώρα τῆς Τρωάδος, ἀπὸ Κεβριόνου τοῦ Πριάμου. Ἡρωδιανὸς δὲ ἀπὸ Κεβρῆνος ποταμοῦ. l. 21 explevi ex Theogn. Cr. II 27, 11, cum quo cf. E. M. 311, 36.

καὶ διὰ τριῶν cυμφώνων Ἔγκτην. Ἔγκτηνες δὲ ἐλέγοντο οἱ μετὰ τοὺς Ὕαντας τὴν Βοιωτίαν οἰκήcαντες.

Τὰ εἰc ην ἔχοντά τι τῶν μέcων πρὸ τοῦ η ὀξύνεται, ὁπότε διχρόνῳ παραλήγοιτο ἢ φύcει μακρᾷ οἷον Ὠγήν, ἀδήν, ταγήν ὁ ἀτταγήν, τριβήν ὁ τρίπους.

Τὰ εἰc ην ὑπὲρ δύο cυλλαβὰc χαίρουcι τῇ ὀξείᾳ οἷον ἀτταγήν, κορδυλήν, μαριθήν, δοθιήν, ἠλακατήν ὄνομα ἰχθύοc κητώδουc καὶ κύριον. Ἀραδήν πόλιc Κρήτηc, Ἀραφήν εἷc τῶν ἑκατὸν ἡρώων καὶ δῆμοc Αἰγηΐδοc φυλῆc, Κεφαλλήν ἔθνοc ἀπὸ Κεφάλου τοῦ Δηϊονέωc κληθέν, κεῖται δὲ παρὰ Cοφοκλεῖ ἐν τῷ «ὦ ξεῖνε Κεφαλλήν». γίνεται δὲ παρὰ τὸ Κέφαλοc Κεφαλήν ὡc παρὰ τὸ κῶλοc κωλήν, μέγιcτοc μεγιcτήν καὶ μεγιcτάν. ἡ δὲ παλαιὰ χρῆcιc ἅπαcα ἔχει τοὺc Κεφαλλῆναc καὶ τὴν Κεφαλληνίαν ἐν δυcὶ λλ — πλὴν·τοῦ περπέρην.

Τὰ εἰc ην ἀπὸ ῥητῶν ἤτοι διαλεγομένων τῶν εἰc ην βαρύνεται οἷον Ἕλλην φιλέλλην, Πανέλληνεc ὡc Παναχαιοί ἀπὸ μέρουc τὸ πᾶν ὡc παρὰ τῷ ποιητῇ «Λέλεγαc καὶ Τρῶαc ἀναίρειν» (Il. 20, 96). Ἕλληνεc γὰρ παρ' αὐτῷ οἱ τὴν Φθιῶτιν Ἑλλάδα κατοικοῦντεc «Μυρμιδόνεc δὲ καλεῦνται καὶ Ἕλληνεc καὶ Ἀχαιοί» (Il. 2, 684), εἴρην μελλείρην, ποιμήν ἀρχιποίμην, αὐχήν ἐριαύχην, ῥήν πολύρρην παρὰ τῷ τὰ Ναυπακτικὰ ποιήcαντι·

---

l. 4 hic ut supra Arcad. 8, 19 ἀδήν scriptum est, sed propter regulas in Il. Pros. Ε 203 Λ 88 ἁδήν scribendum videtur; Photius et Bekk. Anecd. 342, 31 ὀξύνεται δὲ ἡ λέξιc καὶ δαcύνεται παραλόγωc, ὥc φηcιν Ἡρωδιανόc, ubi παραλόγωc non ex Herodiani sententia esse animadvertit Lehrs. Mon. 16, 19. ibid. pro ἀττήν ἀτταγήν cum Lob. exhibui ταγήν ὁ ἀτταγήν. l. 7 pro μαραθήν cum Lob. μαριθήν scr. De δοθιήν hoc adnotamentum in Mon. 17, 1 exstat: δοθιήν: οὐδὲν εἰc ην λῆγον ὄνομα ὀξυνόμενον καθαρεύει κατὰ χρῆcιν Ἑλλήνων, ἀλλ' ἀεὶ πρὸ τοῦ η cύμφωνον ἔχει ἢ cύμφωνα· οἷον cωλήν, λειχήν, κηφήν, αὐχήν, Πειρήν καθ' Ἡcίοδον πατὴρ Ἰοῦc, Αἰζήν Ταντάλου παῖc. cτελήν (?), cειρήν, βαλλήν, οὕτωc ὁ βαcιλεύc, ἐccήν ὁ οἰκιcτήc «Μυρμιδόνων ἐccῆνα» Καλλίμαχοc, πυθμήν, λιμήν, ἀτμήν, καμαcήν ἰχθῦc τιc λέγεται, Ἀραφήν εἷc τῶν ἑκατὸν ἡρώων, ἠλακατήν, καὶ τοῦτο ὄνομα ἰχθύοc κητώδουc. ἀλλὰ καὶ τὸ κύριον. δῆλον ὅτι cημειῶδεc ὁ δοθιήν παρ' Ἀττικοῖc λεγόμενοc καὶ μὴ ἔχων πρὸ τοῦ η cύμφωνον· Τηλεκλείδηc «ὅδ' ἀπ' Αἰγίνηc νήcου χωρεῖ δοθιῆνοc ἔχων τὸ πρόcωπον» καὶ Ἕρμιπποc ἐν Θεοῖc «φήμηc ἱερᾶc ἐξοιγνυμένηc ὥcπερ πέπονοc δοθιῆνοc». Εἰ δέ τιc λέγοι, ὅτι καὶ τὸ Ζαήν καθαρεύει, οὗ ἡ αἰτιατικὴ παρὰ ποιητῇ κατ' ἔκθλιψιν τοῦ α «ὦρcε δ' ἐπὶ Ζαῆν' ἄνεμον» πρῶτον μὲν εἴcεται, ὡc οὐχ ὑγιῶc τὸ τοιοῦτο παραλήψεται, οὗ πίcτιν ὀφείλει ἐξ ἄλλων πτώcεων παραθέcθαι. προείπομεν δέ, ὅτι κατὰ χρῆcιν τῶν Ἑλλήνων, οὐχὶ καθ' ὑπόcταcιν λέγομεν ἅπαντα. ἀλλ' οὐδὲ ὁμολογούμενον τὸ Ζαῆνα. φυλακτέον δὲ ὡc πολλοὶ ἐν τῇ cυνηθείᾳ διὰ τοῦ ω λέγουcι τὸ δοθιών, cυναποφερόμενα τῷ Κνακιών καὶ Ἀcιών καὶ ἀνθεcτηριών καὶ τοῖc τοιούτοιc. Ex hoc loco recepi ἠλακατήν et Ἀραφήν, quod praeterea ope Stephani p. 110, 1 explevi; ex eodem sumpsi Ἀραδήν 108, 7. l. 10 quae de Κεφαλλήν posui, deprompta sunt ex Eustath. ad Dionys. 431 et ad Hom. p. 1396, 7, qui ipse ex Stephan., apud quem hoc loco lacuna est, hausit; verba γίνεται δὲ παρὰ τὸ Κέφαλοc usque ad μεγιcτάν sunt ex E. M. 586, 40. l. 15 Πανέλληνεc — Ἀχαιοί l. 18 ex St. B. 500, 1. l. 18 de accentus fluctuatione in εἴρην cf. Lob. Parall. 194, sed Herodianus, ut ex hoc loco et ex Choerob. Dict. 69, 17, ubi de declinatu vocis agit, apparet, vocabulum paroxytonos scripsit. In Glossar. Herodoti ed. Franz. p. 608 nihil diserte de simplicis εἰρήν (sic) accentu praecipitur, sed de composito tantum: βαρυτόνωc τὸ μελείρην ὥcπερ πυθμήν ἀπύθμην, αὐχήν ὑψαύχην. l. 19 αὐχήν ἐριαύχην addidi ex Theogn. 133, 5, ῥήν πολύρρην ex Mon. 15, 24.

ἀλλ' ὃ μὲν οὖν ἀπάνευθε θαλάσσης εὐρυπόροιο
οἰκία ναιετάασκε πολύῤῥην, πουλυβοώτης.

τούτου καὶ πληθυντικὸν παρὰ τῷ ποιητῇ (I 154)

ἐν δ' ἄνδρες ναίουσι πολύῤῥηνες, πολυβοῦται.

Τὰ εἰς μην ὀξύνεται, εἰ μὴ σύνθετα ἀπὸ ἁπλῶν εἴη τῶν εἰς μην, Δαμήν· ἔστι δὲ Ἀργολικὸς συγγραφεύς. λιμήν, ὑμήν, ποιμήν· ἔστι καὶ Ποιμήν ὄρος τῆς Ποντικῆς, ἀφ' οὗ καταῤῥεῖ ὁ Παρθένιος σχίζων τὴν Ἄμαστριν, πυθμήν, ἀϋτμήν.

Τὰ εἰς ρην καθαρὸν μὴ ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς τὸ ε φωνῆεν καταλήγουσαν ὀξύνεται, Σειρήν, Πειρήν καθ' Ἡσίοδον πατὴρ Ἰοῦς, πυρήν, πλὴν τοῦ ἄῤῥην.

Τὰ εἰς ρην καθαρὸν τῷ ε παραλήγοντα παροξύνεται, Γέρην πόλις καὶ κώμη Λέσβου ἀπὸ Γέρηνος τοῦ Ποσειδῶνος. τὸ ἐθνικὸν ὁμοφώνως, τέρην, Θέρην ποταμός, περπέρην.

Τὰ εἰς ιν δικατάληκτα ἁπλᾶ μὲν ὀξύνεται, δελφίν καὶ δελφίς, Τελχίν καὶ Τελχίς. Τελχῖνες δὲ ἐλέγοντο οἱ Κρῆτες. εἰσὶ δὲ καὶ φθονεροὶ δαίμονες οἰκήσαντες τὴν Ῥόδον· λέγονται δὲ καὶ Τελχῖνες θηλυκῶς αἱ ὑπὸ πληγῆς εἰς θάνατον καταφοραί· ἔστι δὲ καὶ Τελχίς πόλις Αἰθιοπίας πρὸς τῇ Λιβύῃ. Σαλαμίν καὶ Σαλαμίς, Ἐλευσίν καὶ Ἐλευσίς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ἀκτίν καὶ ἀκτίς. Τούτοις ὅμοιον καὶ τὸ Ἀβοριγῖνες ἔθνος Ἰταλικόν, ὡς Ἰόβας ἐν Ῥωμαϊκῆς ἱστορίας πρώτῳ· «μέχρι μὲν οὖν τοῦ Τρωϊκοῦ πολέμου τὴν ἀρχαίαν Ἀβοριγίνων ὀνομασίαν διέσωζον, Λατίνου δὲ βασιλεύσαντος οὕτως προσηγορεύθησαν». τὰ αὐτὰ καὶ Χάραξ. εἰκὸς οἴεσθαί τινας τούτου τὴν

---

l. 6 Δαμήν explevi ex Ep. Hom. 366, 15: πάντα τὰ εἰς μην λήγοντα ἁπλᾶ ὀξύνεται· πρόσκειται «ἁπλᾶ», ἐπεὶ τὰ σύνθετα ἀναδιδόασι τοὺς τόνους ὄντα διὰ τοῦ ε· λιμένος, πυθμένος· σεσημείωται τὸ Δαμήν Δαμῆνος· ἔστι δὲ Ἀργολικὸς συγγραφεὺς ὁ Δαμήν. πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ μήν μηνός, qui canon congruit et cum Arcadio et cum Mon. 32, 7: τὰ εἰς ην λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβήν, ἐὰν μὲν ἔχωσι τὸ μ, ἐπὶ γενικῇ τὸ η εἰς ε τρέπει, ποιμένος, λιμένος, πυθμένος· ἀλλὰ μόνον τὸ Δαμήν ἐφύλαξε τὸ η. Δαμῆνος γὰρ ἐπιγράφεται Ἀργολικά. ἴσως δὲ ἐπεὶ κύριόν ἐστι, παραλλαγὴν ἐποιήσατο· τὸ δὲ Ἀλλαμήν παραιτοῦμαι· οὐ γὰρ γνήσιον ὄνομα ὑπὸ Διοδώρου παραπεποιημένον κτλ. l. 7 Ποιμήν proprium addidi ex St. B. 530, 11, πυθμήν ex Mon. l. c., ἀϋτμήν ex Il. Pr. Ψ 765: τὸ ἀϋτμένα ὡς ποιμένα τῷ τόνῳ· καὶ καθόλου τὰ εἰς μην ἁπλᾶ ὀξύνεσθαι θέλει. l. 10 de Σειρήν Mon. 16, 16: Σειρήν. οὐδὲν εἰς ην λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενον θηλυκόν, μόνον δὲ τὸ Σειρήν· ὁπότε δὲ καὶ μελίσσης εἶδος σημαίνει, ἀρσενικῶς ἁπλῶς λεγόμενον οὐ κεκοινώνηκε. διὸ καὶ οἱ ἀδένες ἀρσενικῶς λεγόμενοι παρ' Ἱπποκράτει ἀναλόγως λέγονται. — Πειρήν explevi ex Mon. 17, 3. l. 11 πυρήν pro διπρήν Lob. l. 12 pro ἔῤῥην posui Γέρην cum additamento ex St. B. 205, 3; pro τέῤῥην Θέῤῥην ποταμός πέῤῥην scripsi, quae posui, cum Schmidt., qui Γέρην et τέρην etiam ap. Choer. 276 legi animadvertit. — Nomina ab Arcadio omissa recenset Lob. Parall. 191 seqq.; quae in Herodiani scriptis et apud excerptores reperiuntur, adieci, nisi si ut in Σέβην Σέβηνος ap. Choer. 276, 22, cuius accentus canoni ab Arcadio proposito adversatur, dubii aliquid remansit. l. 16 cod. C habet pro Τελχίν καὶ Τελχίς: Τριχίν καὶ Τριχίς, unde Schmidt. suspicatur hic scribendum esse Τελχίν καὶ Τελχίς, Τραχίν καὶ Τραχίς. Τελχίν explevi ex St. B. 614, 4; verba εἰσὶ δὲ καὶ — Ῥόδον ex Choer. 69, 33 et 278, 20. l. 19 Ἐλευσίν addidi ex Choer. ll. cc. l. 21 Ἀβοριγῖνες ex St. B. 7, 18.

κλίσιν ἀπὸ τῆς Ἀβοριγῖνος εὐθείας ὡς Λεοντῖνος Ἀκραγαντῖνος. ἀλλὰ Διονύσιος ὁ Ἁλικαρνασσεὺς Ἀβοριγῖνες καὶ Ἀβοριγῖσι φησὶν ὡς δελφῖσιν. ἔστι δὲ καὶ ἄλλη κλίσις ἐν χρησμῷ κειμένη, ὃν αὐτὸς παρατίθησιν (I 19). ὡς γὰρ ἀπὸ τοῦ ναῦται ναυτέων, οὕτως Ἀβοριγῖναι Ἀβοριγινέων· ἔχει δ' ὁ χρησμὸς οὕτως·

στείχετε μαιόμενοι Σικελῶν Σατουρνίαν αἶαν,
ἠδ' Ἀβοριγινέων Κοτύλην, οὗ νᾶσος ὀχεῖται,
οἷς ἀναμιχθέντες δεκάτην ἐκπέμψατε Φοίβῳ,
καὶ κεφαλὰς Κρονίδῃ καὶ τῷ πατρὶ πέμπετε φῶτα.

ἀλλ' αὐτὸς τῷ χρησμῷ μὴ πειθόμενος ταῖς προειρημέναις ἐχρήσατο κλίσεσιν. σύνθετα δὲ βαρύνεται, εὐάκτιν, χρυσάκτιν, τριγλώχιν ὡς παρὰ Σιμωνίδῃ «τριγλώχιν ὀϊστός» καὶ παρὰ Καλλιμάχῳ «τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ».

Τὰ εἰς υ̅ν̅ λήγοντα βαρύνεται ἐξαιρέτως παρὰ τοῖς Αἰολεῦσιν, Φόρκυν, Πόλτυν, Γόρτυν ὄνομα ἥρωος καὶ πόλις Κρήτης, Κότυν, Κάπυν, μόσυν, τέκτυν ὁ τέκτων, κίνδυν· οὕτω δὲ ἔφη Σαπφὼ τὸν κίνδυνον· ὁ γοῦν Ἀλκαῖος τὴν δοτικὴν ἔφη τῷ κίνδυνι.

Τὰ εἰς ω̅ν̅ τοὺς τρεῖς ἐπιδέχεται τόνους, τὰ μὲν γὰρ ὀξύνεται ὡς αἰών, τὰ δὲ βαρύνεται ὡς Πλάτων, τὰ δὲ περισπᾶται ὡς Ξενοφῶν.

Τὰ εἰς ω̅ν̅ ἀρσενικὰ δισύλλαβα παραληγόμενα ᾰ βραχεῖ ἢ ε̄ βαρύνεται, μὴ ὄντα περιεκτικά, Φάων, Κάων, Κρέων, Θέων, Κλέων, λέων, Νέων, νεών δὲ ὡς περιεκτικόν· ὡσαύτως δὲ καὶ Νεών πόλις Φωκίδος. Ἡρόδοτος ὀγδόῃ (c. 32).

Τὰ εἰς ω̅ν̅ παραληγόμενα ᾱ μακρῷ βαρύνεται, Ἄων ἔθνος Βοιω-

---

l. 11 τριγλώχιν — Ἐγκελάδῳ ex Choer. 279, 13. — Eundem canonem habet E. M. 395, 36: εὖρις κύων· τὰ εἰς ι̅ν̅ δικατάληκτα ἁπλᾶ ὀξύνονται ῥίν καὶ ῥίς· εἰ δὲ σύνθετα, παροξύνονται οἷον εὔριν καμπυλόριν. l. 14 de Φόρκυν cf. Il. Pr. P 218: Φόρκυν ὡς βότρυν, ἀπ' εὐθείας εἰς ς̄ ληγούσης, ἡ μέντοι Φόρκυνα (312) αἰτιατικὴ ἀπ' εὐθείας τῆς εἰς ν̄. τὸ δὲ τοιοῦτον ἴδιον ποιητικῆς· οὐχ ὑγιῶς δὲ ὁ Τυραννίων ἐκτείνει τὸ ῠ, ἐπεὶ εὑρέθη, φασί, καὶ ἡ εὐθεῖα ἐκτεινομένη· «Φόρκυς αὖ Φρύγας ἦγε» (Il. 2, 862)· ἐκεῖ γὰρ τὸ μέτρον κατήπειγεν, ἐνθάδε δὲ οὐδὲν κατεπείγει. l. 15 ὄνομα ἥρωος ad Γόρτυν addit Theogn. 27, 17; reliqua St. B. 212, 2. Κότυν, pro quo perverse scriptum Κόλυν, Κάπυν Theogn. 27, 17 adiecit; Lobeck Parall. 200 not. 15 haec ignota, sed Κότυς et Κάπυς notissima esse annotat.

l. 16 κίνδυν accessit ex Choer. 282, 31. l. 18 Canonem ex Arc. 17, 21 huc retraxi. Pariter omnes canones, qui agunt de exitu ω̅ν̅ praecedente vocali ex fine libri primi, ubi ap. Arcadium praeter Herodiani a vocalibus initium facientis consuetudinem locum habent, huc retuli. l. 21—24 Arcad. 17, 26. ἢ ε̄ propter ipsam canonis formam addidi. Κάων habet etiam Theogn. 30, 10 et Choer. Dict. 71, 19 corrupte Καύων, quare non necesse est cum Lob. ad Ai. p. 164 Ψάων aut Λάων scribere, quamquam hoc comici poetae nomen hic commemoratum fuisse probabile est. Θέων accessit ex Choer. 78, 8, Κλέων ex eod. 78, 10. Νέων barytonon andronymicum esse iure contendit Lob., non topicum, nam Choer. 71, 20 Νέων refert inter τὰ εἰς ω̅ν̅ λήγοντα ἀρσενικά, quare post νεών comprehensivum urbis nomen oxytonos scriptum addidi ex St. B. 473, 10.

l. 25 Arcad. 18, 7. Bisyllaba ᾱ longo praefinita apposui ex St. B. s. vv., tum ex eodem Ἰάων — Λυκάων, ὀπάων ex Theogn. 28, 23, Ἱκετάων ex Choer. 71, 7,

τίας, Δάων ἔθνος τῆς Ἰνδικῆς ἀπὸ Δάονος, Χάων ἔθνος Ἠπείρου. Ἑλλάνικος ἱερειῶν Ἥρας τρίτῳ «Ἀμβρακιῶται καὶ οἱ μετ' αὐτῶν Χάονες καὶ Ἠπειρῶται». καὶ ὁ Πρόξενος δὲ καταλέγων αὐτούς φησι· «Χάονες, Θεσπρωτοί, Τυμφαῖοι, Παραυαῖοι, Ἀμύμονες, Ἄβαντες, Κασσωποί». Ἰάων, Κατάων ἔθνος Καππαδοκίας, ὡς Στράβων (12 p. 533), Βαγαδάων ἔθνος Καππαδοκίας, Λυκάων ἔθνος Λυκίας τε καὶ Ἰσαυρίας ὁμοφώνως τῷ κτιστῇ, ὀπάων, Μαχάων, Ποσειδάων, Ἀρετάων, Ἱκετάων, Ἀμυθάων ὁ Κρηθέως.

* Τὰ εἰς ων ἀρσενικὰ ὑπὲρ δύο συλλαβὰς παραληγόμενα ε βαρύνεται, ὁπότε μὴ εἴη περιεκτικὰ ἢ μέρος σώματος σημαίνοντα ἢ ὑποκοριστικά, Γελέων· Γελέοντες δέ εἰσι φυλὴ παλαιά, μία τῶν τεσσάρων τῶν ἀπὸ Ἴωνος παίδων, Ἀλκμέων, Τυφέων, Ποσειδέων, ἐξ οὗ Ποσειδῶν συνῃρέθη — τὸ δὲ Ποσειδεών ὄνομα μηνὸς ὀξύνεται — τὸ ἀνδρεών, παρθενεών ἐστι περιεκτικά, τὸ δὲ ἀνθερεών καὶ κενεών μέρος σώματος σημαίνει, καὶ τὸ πορθεών, λυμεών, ἀπατεών ὑποκοριστικά, τὸ δὲ Ἐλεών πόλις τῆς Ταναγρικῆς θηλυκόν ἐστι, ὡς καὶ Μεδεών πόλις, ᾗ συμφωνεῖ τὸ κύριον Μεδεών. τούτῳ δὲ συνηκολούθησε Ξυπετεών ὁ οἰκήτωρ δήμου Ξυπετῆς.

Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς τὸ η παραλήγοντα βαρύνεται, προπρήων, ξυνήων, παιήων, Ἰήων.

Τὰ εἰς ιων πατρωνυμικὰ καὶ ἐθνικὰ καὶ ὑποκοριστικὰ βαρύνονται, Κρονίων, Πριαμίων, Μολίων, Αἰολίων· οἱ γὰρ τὴν Λέσβον κατοικοῦντες Αἰολεῖς καὶ Αἰολίωνες ὀνομάζονται. Βουπρασίων ὁ Βουπράσιον πόλιν τῆς Ἤλιδος κατοικῶν, λέγεται δὲ καὶ Βουπράσιος καὶ Βουπρασιεύς, Ὠστίων ἔθνος παρὰ τῷ δυτικῷ ὠκεανῷ, οὓς Κοσσίνους Ἀρτεμίδωρός φησι, Πυθέας δὲ Ὠστιαίους «τούτων δ' ἐξ εὐωνύ-

---

Ἀμυθάων ex St. B. 87, 14. l. 9 Canonem de plurisyllabis in εων composui ex Choer. 72, 1, quamquam hic perverse andronymica oxytona esse dicit, ita ut exceptiones secundum Arcadii indicia adderem. l. 11 Γελέοντες — παίδων ex St. B, 41, 2. Ποσειδέων explevi ex Io. Alex. 6, 8, oxytonon Ποσειδεών adieci ex Arc. 18, 9, ἀνδρεών ex Theogn. 28, 25 collato Arcad. 15, 4, παρθενεών Theogn. 28, 29, πορθεών Choer., λυμεών ἀπατεών Theogn. l. 27 et 28 (cf. Lob. ad Buttm. II p. 443). ἀνθερεών κενεών ex Theogn. 28, 25 collato Arc. 12, 12. Ἐλεών ex St. B. 266, 16 collato Arc. 17, 3; Μεδεών ex St. B. 439, 19, Ξυπετεών ex eodem 481, 21, ubi ὁ δημότης Ξυπετεών ὡς Μακεδών, pro quo iure Meinekius Μεδεών scribendum suspicatur. l. 19 canon de bisyllabis in ηων praetermissus est, quum πρηών et Μήων dialecticae species sint. Canonem de hyperdisyllabis ex Arc. 11, 21, ubi τὰ εἰς ων βαρύνεται παιήων, ξυνήων, huc traxi et explevi ex Choer. 71, 32 et Theogn. 29, 7, Ἰήων accessit ex St. B. 322, 21. l. 21 Arcadii canon (17, 24) sic procedit: τὰ εἰς ων συγκριτικὰ καὶ ὑποκοριστικὰ βαρύνεται, Ἀτρείων, Κρονίων, Μολίων, Ἡφαιστίων. In praecepto ipso excidit πατρωνυμικά et inter exempla desiderantur συγκριτικά. Equidem canonem in diversas particulas distribui, seiungens nomina in ειων a vocabulis in ιων, porro comparativa nomina, quum in iis etiam quaedam consona praefinita sint, in extremam partem primi libri relegavi. Sed addidi propter vocabula a Stephano relata in primo de nominibus in ιων canone ἐθνικά. Πριαμίων ex Theogn. 27, 22 adieci, Μολίων cum Lob. ad Ai. 173 not. 23 pro μωτίων scripsi, Dindorf. Μωρίων, Schmidt. Μητίων vel Σωτίων proponit. Αἰολίων ex St. B. 53, 14, Βουπρασίων ex eodem 182, 18, Ὠστίων item ex p. 712, 21, Ξενίων — Τυραννίων ex Theogn. 27, 27.

μων οἱ Κόϲϲινοι λεγόμενοι Ὠϲτίωνεϲ, οὓϲ Πυθέαϲ Ὠϲτιαίουϲ προϲαγορεύει». Ἡφαιϲτίων, Ξενίων, Μοϲχίων, Μελανίων, Πορφυρίων, Τυραννίων.

Τὰ διὰ τοῦ ι̅ω̅ν̅ ι̅ βραχεῖ παραληγόμενα βαρύνεται, Δίων, Ἴων τὸ κύριον καὶ τὸ ἐθνικόν, Ἠμαθίων, Ἐνδυμίων, Ἠετίων, Εὐρυτίων, Εὐρυθαλίων, Ἀϲτερίων, Δευκαλίων, Ἰαϲίων ὁ πατὴρ Παρίου. Ὠρίων. ἔϲτι δὲ ἀναλογώτερον ϲυϲτέλλον τὸ ι̅ ὡϲ παρ' Εὐριπίδῃ «τά τ' ἄϲτρα καὶ τὸν Ὠρίωνα δέρκομαι» (Cycl. 213)· ὁ γὰρ ποιητὴϲ ἐξέτεινε αὐτὸ εἰπὼν «ἥ τ' αὐτοῦ ϲτρέφεται καί τ' Ὠρίωνα δοκεύει» (Σ 488). ϲεϲημείωται τὸ Κνακιών ὄνομα ποταμοῦ καὶ Ἀϲιών, ἔϲτι δὲ ὄνομα ὄρουϲ· καὶ κυρηβιών, ϲημαίνει δὲ τὸν καθαρματώδη καὶ τὸ δοθιών τὸ ἐν τῇ ϲυνηθείᾳ λεγόμενον ἀντὶ τοῦ δοθιήν.

Ἔτι καὶ τὰ ἔχοντα ι̅ μακρὸν βαρύνεται, κίων, πίων, πρίων προϲηγορικὸν καὶ ποταμόϲ, Ἐχίων ὃϲ ἔκτιϲεν Ἐχῖνον, πόλιν Θεϲϲαλίαϲ, ἣν Ῥιανὸϲ «Ἐχίονοϲ ἄϲτυ» εἶπε, Δηΐων, Ἀμφίων, Πανδίων, Δολίων· Δολίονεϲ οἱ τὴν Κύζικον οἰκοῦντεϲ, οὓϲ Δολιέαϲ εἶπεν Ἑκαταῖοϲ, βραχίων.

* Τὰ εἰϲ ι̅ω̅ν̅ θηλυκὰ ὀξύνονται, χιών, ἠϊών· ἔϲτι καὶ πόλιϲ ἐν χεῤῥονήϲῳ, ὡϲ Θουκυδίδηϲ· ἔϲτι δὲ καὶ ἄλλη πρὸϲ τῇ Πιερίᾳ. Ἑρμιών πόλιϲ Ἀργολίδοϲ· ἐλέγετο δὲ καὶ Ἑρμιόνη ἀπὸ τῆϲ Ἑρμιόνοϲ

---

l. 4 pro Arcadii verbis (18, 3) τὰ διὰ τοῦ ι̅ω̅ν̅ βραχεῖ παραληγόμενα scripsi τὰ διὰ τοῦ ι̅ω̅ν̅ ι̅ βραχεῖ παραληγόμενα. Δίων addidi ex Choer. 286, 16, Ἴων ex St. B. 49, 9, Ἠετίων usque ad Ἀϲτερίων ex Choer. 285, 32, Ἰαϲίων St. B. 505, 14, Ὠρίων Choer. l. c. — ϲεϲημείωται Κνακιών — καὶ Ἀϲιών ex Theogn. 38, 9 et Choer. 296, 29, ubi Κνακυών per υ̅; κυρηβιών, quod vitiose κηρυβιών scriptum est, ex Theogn. De hoc E. M. 512, 7: κυρηβιών: καθαρματῶδέϲ ἐϲτι ὄνομα. κυρήβια γὰρ τὰ ἀποβράϲματα τῶν κυάμων. Κρατῖνοϲ «Δαϲὺν ἔχων — τὸν πρωκτὸν ἅτε κυρήβι' ἐϲθίων» (Mein. I, 61 ed. min.): εἰ μὴ ἄρα περιεκτικὴ ἔννοιά ἐϲτιν ἕνεκα ἐμφάϲεωϲ· καὶ ὑγιῶϲ ὀξύνεται, ὡϲ ἄπειροϲ ἀπείρων καὶ ἄναιμοϲ ἀναίμων, οὕτω κατάπυγοϲ καταπύγων καὶ ϲυϲτέλλεται ἐν τῇ γενικῇ, quod sic mutandum arbitror: εἰ μὴ ἄρα περιεκτικὴ ἔννοιά ἐϲτιν ἕνεκα ἐμφάϲεωϲ, οὐχ ὑγιῶϲ ὀξύνεται καὶ φυλάττει τὸ ω̅ ἐπὶ τῆϲ γενικῆϲ (sic enim tradit Theogn.)· ὡϲ γὰρ ἄπειροϲ ἀπείρων καὶ ἄναιμοϲ ἀναίμων καὶ κατάπυγοϲ καταπύγων καταπύγονοϲ, οὕτωϲ ἔδει καὶ κυρήβιοϲ κυρηβιών βαρύνεϲθαι καὶ ϲυϲτέλλεϲθαι ἐπὶ τῆϲ γενικῆϲ. — δοθιών accessit ex Mon. 17, 22. omisi Cυλίονεϲ ἔθνοϲ Χαονίαϲ ὡϲ Ῥιανὸϲ ἐν τετάρτῳ Θεϲϲαλικῶν «Cυλίονεϲ δ' ἕϲποντο ὁμοῦ (St. B. 591, 11), quod nomen abhorret a canone Choer. 71, 5 τὰ εἰϲ ων καθαρὰ βαρύτονα ἔχοντα δίχρονον ἐν τῇ παραληγούϲῃ, εἰ μὲν ἐκτείνουϲι τὸ δίχρονον, τρέπουϲι τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ Ἐχίων Ἐχίονοϲ — εἰ δὲ ϲυϲτέλλουϲι τὸ δίχρονον, φυλάττουϲι τὸ ω̅ ἐν τῇ γενικῇ οἷον Ἠετίων Ἠετίωνοϲ.

l. 13 Arcad. 18, 5, πίων ex Choer. 71, 11, Πρίων ποταμόϲ St. B. 677, 12, Ἐχίων explevi ex St. B. 292, 17, Πανδίων sumpsi ex Choer. 285, 11, Δολίων Choer. 70, 10 et St. B. 235, 8. l. 18 canonem de femininis in ι̅ω̅ν̅ ipse composui; χιών sumpsi ex E. M. 812, 19 χιών παρὰ τὸ χέω χεών καὶ τροπῇ χιών ὡϲ τέρπω τερπών. κλίνεται χιόνοϲ; nam Herodianum hanc vocem non praetermisisse pro certo habendum est. Ἑρμιών St. B. 277, 13 Μεδιών (sic Mein. pro Μεδίων) ex St. B. 440, 1, Αὐενιών 145, 16, Καβελλιών 345, 17, Κορουιών, quae ap. Dionys. Κορβιών scribitur, p. 376, 5. Ἰβιών ex Choer. Orth. 221, 5 et Theogn. 39, 25, ubi falso Ἠβιών Ἠβιόνοϲ· ἔϲτι δὲ ὄνομα νήϲου, et Choer. Dict. 341, 25 pro Βιών Βιόνοϲ reponendum est Ἰβιών Ἰβιόνοϲ. In fine addere potui ϲεϲημείωται Ἀλβίων νῆϲοϲ Βρεττανική, quod ap. St. B. 69, 19 gravatur. Quadrat ad hoc vocabulum, quod Lob. Proll. 65 not. 18 de barytonesi urbis Picentinorum Ἄγκων dicit, barbarica esse ἀκανόνιϲτα καὶ ἀχαρακτήριϲτα.

γενικῆϲ ὡϲ ἀπὸ τοῦ κάλυκοϲ ἡ καλύκη καὶ τῆϲ χιτῶνοϲ ἡ χιτώνη καὶ ἡγεμόνοϲ Ἡγεμόνη. Ἑρμιών δὲ ἐλέγετο ἀπὸ τοῦ τὸν Δία καὶ τὴν Ἥραν ἐνταῦθα ἀπὸ Κρήτηϲ ἀφικομένουϲ ὁρμιϲθῆναι καὶ τροπῇ τοῦ ο εἰϲ ε, ὅθεν καὶ ἱερὸν Ἥραϲ παρθένου ἦν ἐν αὐτῇ· Μεδιών πόλιϲ πρὸϲ τῇ Αἰτωλίᾳ· Πολύβιοϲ ὀκτωκαιδεκάτῳ. Αὐενιών πόλιϲ Μαϲϲαλίαϲ πρὸϲ τῷ Ῥοδανῷ, Καβελλιών πόλιϲ Μαϲϲαλίαϲ. Ἀρτεμίδωροϲ ἐν πρώτῃ γεωγραφουμένων. Κορουιών πόλιϲ Αἰκανῶν ἐν Ἰταλίᾳ. Διονύϲιοϲ ι´ Ῥωμαϊκῆϲ ἀρχαιολογίαϲ (c. 24). Ἰβιών πόλιϲ ἐν Αἰγύπτῳ, μᾶλλον δὲ νῆϲοϲ.

Τὰ εἰϲ ων πατρωνυμικὰ καὶ ἐθνικὰ τῇ ει διφθόγγῳ παραληγόμενα βαρύνεται, Ἀτρείων, Πηλείων, Ἀργείων, Καδμείων, Βακχείων, Ἡρακλείων, Χαρικλείων.

* Τὰ εἰϲ αιων διϲύλλαβα βαρύνεται, Μαίων τὸ ἐθνικὸν ὁμωνύμωϲ τῷ κτιϲτῇ καὶ ποταμὸϲ περὶ τὴν Ἀϲιάδα γῆν ῥέων· καὶ τροπῇ τῆϲ αι διφθόγγου εἰϲ η Μήων· Μήονεϲ δὲ ἐκαλοῦντο οἱ Λυδοὶ τὸ παλαιόν, εἶτα Λυδοὶ ἀπὸ Λυδοῦ τοῦ Ἄτυοϲ· τὸ δὲ αἰών ὄνομα χρόνου ὀξύνεται.

Τὰ εἰϲ αιων ὑπερδιϲύλλαβα, εἰ μὴ εἴη ὀνόματα μηνῶν ἢ ποταμῶν ἢ περιεκτικά, βαρύνονται οἷον Εὐφραίων, Αἰγαίων, Ἀκταίων,

l. 10 Arc. 17, 25 Πηλείων ex Choer. 70, 20, Ἀργείων Καδμείων ex Choer. 72, 12, Βακχείων Theogn. 28, 21, Ἡρακλείων Χαρικλείων ex eodem 46, 26.
l. 13 canonem de bisyllabis in αιων ex St. B. 426, 13, Μαίων ipse constitui, verba τροπῇ τῆϲ αι διφθόγγου εἰϲ η Μήων ex Eust. ad Hom. 365, 27: Ἡρακλείδηϲ ἄνευ τοῦ ι γράφει τοὺϲ ἀπὸ Μαίονοϲ κληθένταϲ Μήοναϲ, λέγων Βοιωτίαν εἶναι τὴν τοιαύτην μεταβολὴν ὡϲ τῶν Βοιωτῶν τὴν ὅλην αι δίφθογγον εἰϲ η καταμόναϲ μεταβαλλόντων, ὥϲ που καὶ Χοιροβοϲκὸϲ παραϲημειοῦται, ἐν οἷϲ ἐξηγεῖται τὸν Ἡρωδιανὸν κτλ. cf. Ahrens de dial. Boeot. 186 not. 1. Verba Μήονεϲ — Ἄτυοϲ praebet Schol. A ad Il. Γ 401 addens in fine ὥϲ φηϲιν Ἡρωδιανόϲ. Herodianus ap. St. B. discrimen accentus inter Μαίων andronymicum et gentile, quod Schol. A ad Δ 394 οὕτωϲ Μαίων βαρυτόνωϲ εἰϲ ἀποφυγὴν τοῦ ἐθνικοῦ statuit, non agnoscit; voces Παίων παιών et βαίων ob testium discrepantiam omittere satius duxi. Ep. Hom. 276, 7 E. M. 583, 38 (τὰ εἰϲ ων λήγοντα ὀξύτονα τῇ αι διφθόγγῳ παραληγόμενα, εἰ μὲν ὦϲιν ἐθνικά, τρέπουϲι τὸ ω τῆϲ εὐθείαϲ εἰϲ ο ἐπὶ γενικῆϲ οἷον Παιών Παιόνοϲ, «Παιόναϲ ἄνδραϲ ἄγων δολιχεγχέαϲ» (Φ 154), Μαιών Μαιόνοϲ· εἰ δὲ μὴ ὦϲιν ἐθνικά, φυλάττουϲι τὸ ω ἐπὶ τῆϲ γενικῆϲ οἷον βαιών βαιῶνοϲ· ἔϲτι δὲ ὄνομα ἰχθύοϲ. Παιών Παιῶνοϲ ὄνομα κύριον) Παίων pariter atque Μαίων omnino exytona esse et declinatum tantum in diverso intellectu diversum esse statuunt, de quo declinatus differentia Choer. 71, 29 nihil, imo omnia in ων disyllaba vocali producta vel diphthongo praefinita per ονοϲ flecti dicit; cum Epim. congruit Theogn. 38, 1 τὰ εἰϲ ων καθαρὸν ὀξύτονα ἀρϲενικὰ μὴ ὄντα ἐθνικὰ διὰ τοῦ ω μεγάλου γράφεται τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ οἷον παιών παιῶνοϲ ἐπὶ τοῦ ὕμνου, ἐπὶ γὰρ τοῦ ἔθνουϲ διὰ τοῦ ο μικροῦ. Eustath. 138, 10 et 1109, 11: Παίων Παίονοϲ τὸ ἐθνικὸν ὡϲ Μαίων καὶ κύριον. παιών δὲ παιῶνοϲ ὡϲ αἰών Ληναιών τὸ ἐπὶ ἰατροῦ «Ἀϲκληπιοῦ παιῶνοϲ εὐμενοῦϲ τυχών» (Arist. Plut. 636) Παίων ethnicum et andronymicum ab appellativo et accentu et declinatu differre dicit, Suidas παιῶνοϲ ἐπὶ τοῦ ὕμνου, παίωνοϲ δὲ τοῦ ἰατροῦ etiam appellativo in diverso significatu diversum accentum, parem declinatum assignat. In hac explicationum discrepantia vix quae Herodianea sit, expedias; sed verisimillimum videtur Herodianum Παίων proprium per ονοϲ declinasse et gravasse, παιών vere idem atque παιάν significans per ωνοϲ flexisse et acuisse. Pariter incertum est βαιών et ad accentum et ad declinatum, de quo E. M. praeter locum iam allatum p. 192, 52 hoc tradit: βαίων, ὃϲ καὶ βλέννοϲ λέγεται. Ἐπίχαρμοϲ δὲ βαιόναϲ λέγει. l. 18, Arcad. 18, 11. inserui l. 19 ἢ περιεκτικά, quae Herodianum omisisse non est verisimile, Αἰγαίων et nomina

Ἀλκμαίων, Ἀνταίων, ἀφ' οὗ Ἀνταιούπολις πόλις ἐν Αἰγύπτῳ, καὶ τὸ ἐθνικὸν ὁμοφώνως, Εὐγαίων, Καδμαίων, Ἀθηναίων, εὐαίων, δυσαίων, ἰσαίων. τὸ δὲ Ἑκατομβαιών ὄνομα μηνός, τὸ δὲ...... ὄνομα ποταμοῦ, τὸ δὲ ἐλαιών περιεκτικόν.

* Τὰ εἰς αυων βαρύνεται, Χαύων χώρα τῆς Μηδίας· Κτησίας ἐν πρώτῳ Περσικῶν «ἡ δὲ Σεμίραμις ἐντεῦθεν ἐξελαύνει αὐτή τε καὶ ἡ στρατιὰ καὶ ἀφικνεῖται εἰς Χαύονα τῆς Μηδίας». καὶ τὸ ἐθνικὸν ὁμοφώνως.

* Τὰ εἰς υων δισύλλαβα βαρύνεται, κύων τὸ ζῷον, Μύων πόλις Λοκρῶν ἐν τῇ ἠπείρῳ ἡ καὶ Μυονία· τὸ ἐθνικὸν ὁμοφώνως. Θουκυδίδης δὲ τρίτῃ (101) Μυονέας αὐτούς φησι.

Τὰ εἰς υων ὑπὲρ δύο συλλαβὰς καὶ βαρύνεται καὶ ὀξύνεται. καὶ βαρύνεται μὲν ὅσα κλίνεται διὰ τοῦ ω, μὴ συμπίπτοντα πόλεσιν ὡς ἔχει Ἀμφιτρύων, Ἠλεκτρύων, Ἰχθύων, Ἡμικύων, Ἡμίκυνες ἔθνος οὐ πόρρω Μασσαγετῶν καὶ Ὑπερβορέων. Σιμμίας ἐν Ἀπόλλωνι

Ἡμικύνων τ' ἐνόησα γένος περώσιον ἀνδρῶν,
τοῖς ὤμων καθύπερθεν ἐϋστρεφέων κύνεος κράς
τέτραφε γαμφηλῇσι περικρατέεσσιν ἐρυμνός.
τῶν μέν θ' ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τοίγε
ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν.

καὶ Ἡσίοδος· τὸ δὲ Σικυών ὀξύνεται· ἔστι δὲ πόλις Πελοποννήσου καὶ ὁ κτιστὴς ὁμοφώνως. ὡσαύτως δὲ καὶ Κρεμμυών κώμη Κορίνθου. Εὔδοξος ἐν ἕκτῳ γῆς περιόδου. καὶ Κρομμυών πόλις Λιβύης. Ἑκαταῖος. Τὰ μέντοι κατὰ γενικὴν τρέποντα τὸ ω εἰς ο ὀξύνεται, ἀλεκτρυών, Γηρυών, Κερκυών, Ἀμφικτυών, κελενδρυών, κολοκτρυών.

Τὰ εἰς βων δισύλλαβα ἀρσενικὰ βαρύνεται, εἰ μὴ μέρος σώματος δηλοῖ οἷον στίλβων, Στίβων, τρίβων, Στράβων, ἄμβων, Νάρβων ἐμπόριον καὶ πόλις Κελτική. Στράβων τετάρτῃ (p. 181), Σίρβων

---

l. 1 Πλατανιστών addidi secutus Theogn. 39, 4, ubi Πλατανιστών ὄνομα ποταμοῦ diserte inter oxytona refertur. τὸ δὲ Βιστών usque ad finem ex St. B. 171, 15. — Accentus ethnicorum satis inconstans est; quum enim Βιστών acuatur, gravatur Σάντονες ἔθνος τῆς Ἀκυϊτανίας St. B. 555, 7 quamvis et ipsum per ο̅ declinatur, et contra Γραστῶνες τὸ ἐθνικὸν τῆς Γραστωνίας, χώρας Θρᾴκης 213, 9 quamvis per ω̅ flexum acuitur item atque Κρηστῶνες, οὕτως τοὺς πολίτας Κρηστώνης πόλεως. Ἑκαταῖος Εὐρώπῃ 388, 16, sed Κύρτωνες πόλις Βοιωτίας. Παυσανίας ἐνάτῳ (c. 24, 4)· τὸ δὲ ἀρχαῖον τῷ πολίσματι ὄνομα Κυρτώνη. τὸ ἐθνικὸν Κυρτώνιος, τοῦ δὲ νῦν πολιχνίου Κύρτωνες gravatur. cf. Lob. ad Ai. 172. — Comprehensivis in των adnumerat Eustath. ad Hom. 1698, 25 ἑορτών: τῶν περιεκτικῶν εἰς ων ὀξύτονος ἡ κατάληξις· ἐν οἷς καθ' Ἡρωδιανὸν καὶ ὁ πλαταμών, ἔτι δὲ πρὸς ἄλλοις καὶ ὁ ἑορτών, μὴν Ἀττικός; sed si contuleris Choer. 295, 30: τὰ λεγόμενα ὡς περιεκτικὰ οὐκ ἔχουσι τὴν ὀνομασίαν ἀπὸ τῶν περιεχομένων· οὐδὲ γὰρ ἀπὸ τοῦ ἔχειν χρόνους ὁ αἰών ἔσχε τὸ ὄνομα, ἐπεὶ χρονών ὤφειλεν εἶναι, οὐδὲ ἐκ τοῦ περιέχειν ἡμέρας καὶ ἑορτὰς ὁ Βοηδρομιών καὶ ὁ Πυανεψιών καὶ Μεταγειτνιών ἔσχον τὸ ὄνομα, ἐπεὶ ἡμερών καὶ ἑορτών, εἰ τύχοι, ὤφειλον λέγεσθαι, ab Eustathio Herodianum male intellectum esse concludas.

l. 6 Εὐρυφῶν — Βελλεροφῶν adieci ex Mon. 9, 26. Κτησιφῶν κύριον ex Choer. 297, 30, καὶ πόλις St. B. 388, 15. l. 9 et 10 usque ad κύφων ipse explevi consulto Theogn. 33, 6, Choer. 77, 30. Κολοφών explevi ex St. B. 49, 17, καὶ Τολοφών ex eodem 128, 1 et l. 12 ὡς θηλυκά adieci ex E. M. 513, 32, de κατηφών cf. Il. Pr. Ω 253 κατηφόνες ὡς Μακεδόνες. τὸ δὲ Τυφῶν usque ad finem ex Io. Alex. 9, 1. l. 15 Βρύχων explevi ex Theogn. 33, 30 (cf. Hes. Βρύχων ποταμὸς περὶ Παλλήνης), Τύχων ex eodem et Choer. 77, 31, unde etiam Σπέρχων, Τάρχων ex St. B. 607, 4. l. 17 de γλήχων, quod pro γλίχων substituit, cf. Lob. ad Ai. l. c. — De perispasi nominis Πολυσπερχῶν dubitandum est, quum non Πολυσπερχῶντος, sed Πολυσπέρχοντος declinetur et Arcadius sententiam pervertisse videtur, si conferas Choer. 78, 4 τὰ ὑπὲρ δύο συλλαβὰς μετοχικὰ μὲν ὄντα, διὰ τοῦ ντ κλίνονται καὶ δηλονότι τρέπουσι τὸ ω εἰς τὸ ἐν τῇ γενικῇ οἷον Φαέθων Φαέθοντος, Πυριφλεγέθων Πυριφλεγέθοντος, Πολυσπέρχων Πολυσπέρχοντος. Fortasse nihil mutandum nisi περισπᾶται in βαρύνεται, nam circumflexum vocabulum in χων neque in Mon. loco profertur neque a Lobeckio in Proll. 317.

l. 20 Hunc canonem Io. Alex. 8, 8 sic exhibet: τῶν ὑπὲρ μίαν συλλαβὴν ἐν μὲν

νόμενα περισπᾶται, Ξενοφῶν, Ἱπποκῶν, Δημοφῶν, Ἀντιφῶν, ἀμνοκῶν. σεσημείωται τὸ Ποσειδῶν καὶ ταῶν καὶ Τυφῶν περισπώμενα μέν, οὐ μέντοι διὰ τοῦ ντ κλινόμενα. καὶ τὸ μὲν Ποσειδῶν ἔχει τοιαύτην ἀπολογίαν. οὐδὲν περισπώμενον εἰς δων λήγει. τὸ δὲ Ποσειδῶν ἔχει τὸ δ πρὸ τοῦ ω. τῶν μὲν εἰς ων περισπωμένων γίνεται διαίρεσις διὰ τοῦ ο, τοῦ δὲ Ποσειδῶν οὐ διὰ τοῦ ο, ἀλλ' ἢ διὰ τοῦ ε ἢ διὰ τοῦ α οἷον Ποσειδέων καὶ Ποσειδάων· οὐκ ἄρα περισπᾶται. τὰ εἰς ων περισπώμενα οὐ παραλήγεται φύσει μακρᾷ οἷον Κτησιφῶν Δεξικρῶν. τὸ δὲ Ποσειδῶν φύσει μακρᾷ παραλήγεται, ὥστε οὐ περισπώμενον. οὐδὲν περισπώμενον ἀποκόπτεται κατὰ γενικὴν πτῶσιν, τὸ δὲ Ποσειδῶν ἐξεκόπη παρ' Ἀριστίᾳ Ποσειδῶ. Πάλιν τῶν εἰς ων περισπωμένων ὁμόχρονος ἡ κλητικὴ τῇ εὐθείᾳ· ὁ Ξενοφῶν ὦ Ξενοφῶν ὁ Κτησιφῶν ὦ Κτησιφῶν. τοῦ Ποσειδῶνος δὲ οὐχ ἡ αὐτὴ κλητική, ὁ Ποσειδῶν γὰρ καὶ ὦ Πόσειδον διὰ τοῦ ο μικροῦ, ὥστε οὐ περισπώμενον. οὐδὲν περισπώμενον ὑπὲρ δύο συλλαβὰς τρέπει τὸ ω εἰς α παρ' Αἰολεῦσιν. τὸ δὲ Ποσειδῶν ἐγένετο Ποσίδαν. οὐκ ἄρα περισπώμενον. ἰδοὺ οὖν κατὰ ἑπτὰ τρόπους καὶ κανόνας δείκνυται τὸ Ποσειδῶν μὴ περισπώμενον, λέγω δὲ ἀπὸ ληγούσης, ἀπὸ διαιρέσεως, ἀπὸ κλίσεως, ἀπὸ παραληγούσης, ἀπὸ ἀποκοπῆς, ἀπὸ κλητικῆς καὶ ἀπὸ διαλέκτου. εἰ δὲ περισπώμενον οὐκ ἔστι, δηλονότι ὀξύνεται. καὶ γὰρ εἰς δων πολλὰ ὀξύτονα Χελιδών Μυρμιδών. τὰ δ' εἰς δων λήγοντα διὰ ο κλίνεται, χωρὶς εἰ μὴ παραλήγοιτο τῷ υ οἷον Καλυδών Ἀμυδών. εἴπερ οὖν ὀξύτονον τὸ Ποσειδῶν, ἔδει διὰ τοῦ ο κλίνεσθαι. οὐ κλίνεται δέ. οὐκ ἄρα ὀξύτονον. Δῆλον οὖν, ὅτι κατὰ ταῦτα πάντα μονῆρές ἐστι τὸ ὄνομα οὔτε τοῖς ὀξυνομένοις τὴν αὐτὴν ἀκολουθίαν σῶζον οὔτε τοῖς περισπωμένοις. Ἀλλ' ἔστιν εἰπεῖν, ὅτι Ποσειδέων παροξυτόνως παρ' Ἴωσι λέγεται ὁ θεός. ἐκ δὲ τούτου τοῦ Ποσειδέων συνῃρέθη Ποσειδῶν. ἐκ ταύτης οὖν συναλοιφῆς δείκνυται περισπώμενον. ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰς περισπωμένην συνέρχονται. — τὸ δὲ Τυφῶν καὶ ταῶν οὐκ ἐκλίθη διὰ τοῦ ντ, ἐπεὶ καὶ ἑτέραν ἔσχε κατάληξιν· Τυφῶς γὰρ καὶ ταῶς διὰ τοῦ ς.

Τὰ εἰς ων θηλυκὰ μὴ ἐπὶ πόλεων κατηγορούμενα ὀξύνεται, ὁπότε μὴ διὰ τοῦ ω κλίνεται, χιών, λαγών, τρυγών, σταγών, γοργών.

τοῖς εἰς ν λήγουσιν ἀρσενικοῖς τὰ εἰς ων ἐπὶ τέλους τὸν τόνον ἔχοντα, εἰ διὰ τοῦ ντ κλίνοιτο, περισπᾶται, εἰ δὲ μὴ οὐκέτι, πλὴν μόνου τοῦ Ποσειδῶν. τοῦτο γὰρ περιεσπάσθη συνῃρημένον ἐκ τοῦ Ποσειδέων. τῶν περισπωμένων ὑποδείγματα Δημοφῶν, ἀμνοκῶν, Ἀντιφῶν καὶ εἴ τι τοιοῦτον, unde addidi haec tria exempla. Herodianus in fine articuli Ποσειδῶν in Mon. 14, 11 dicit: ὅτι πολλοὺς ἐποίησε σχηματισμοὺς (sc. Ποσειδῶν) καὶ ἐν ἑτέροις εἴρηται, atque fusius de abnormitate nominis non solum in Onomatico (cf. Choer. 298, 6) sed etiam in Catholica exposuisse putandus est. Quare quae de Ποσειδῶν proposui, concinnavi ex Mon. 9, 3, Io. Al. l. c. et Cram. An. Ox. III 240, qui locus ex fontibus Herodianeis fluxit (cf. schedas Herodianeas meas p. 3, Ahrens in Philol. XXIII p. 8 seqq., qui Ποσίδαν pro Ποσειδάν scribendum esse probat). l. 29 et 30 supplevi ex Eust. 346, 13: Ἡρωδιανὸς τοῖς εἰς ων περισπωμένοις οἷον τῷ Δημοφῶντι καὶ Ξενοφῶντι καὶ τοῖς ὁμοίοις συντεταχὼς καὶ τὸν τυφῶνα καὶ τὸν ταῶνα λέγει, ὡς μόνον τὸ τυφῶν κτλ.

τὸ δὲ τρήρων, μήκων, γλήχων βαρύνονται φυλάττοντα τὸ ω̄ ἐπὶ τῆς γενικῆς.

Τὰ εἰς ων̄ δισύλλαβα ἐπὶ πόλεων ὀξύνονται· εἰ δέ τι βαρυνθῇ, ἑτέρῳ χαρακτῆρι ἢ διαστολῇ σημαινομένου, Ἠϊών, Πλευρών, Πυθών, Σιδών, Γυρτών πόλις Θεσσαλίας καὶ Περραιβίας, ἣν Ὅμηρος Γυρτώνην καλεῖ ὡς Ἰτώνην καὶ Ἴτωνα, ἀπὸ Γύρτωνος τοῦ Φλεγύου ἀδελφοῦ, ὅστις αὐτὴν ἔκτισεν. Αἰσών. Δερτών πόλις Λιγύρων, Κρηστών πόλις Θρᾴκης παρ' Ἡροδότῳ (I 57)· λέγεται καὶ Κρηστώνη Λυκόφρων (v. 937) «ὁρμοκωτῆσαι τόν τε Κρηστώνης θεόν». Κραννών, Νεών. τὸ Ἴτων πόλις Θεσσαλίας βαρύνεται ὡς ἑτέρῳ κανόνι ὑποπεσόν — καθόλου γὰρ τὰ εἰς των̄ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται, μὴ ὄντα τοπικά. πρόσκειται μὴ ὄντα τοπικὰ διὰ τὸ κοιτών. τὰ δὲ ἄλλα βαρύτονα. Πλούτων, γείτων, Τρίτων, Κρίτων, Βίτων. ἐκτέταται δὲ ποιητικῶς τὸ «Ἴτωνά τε μητέρα μήλων» (B 696). οἱ δὲ ἐγχώριοι ὀξυτόνως αὐτήν φασιν Ἰτών· τινὲς δὲ Σιτῶνα αὐτήν φασι διὰ τὸ σιτοφόρον. λέγεται δὲ καὶ ἡ Ἴτωνος ἀπὸ Ἰτώνου ἥρωος, ἀφ' οὗ καὶ Ἰτωνία ἡ Ἀθηνᾶ, ἥτις καὶ Ἰτώνη. σεσημείωται τὸ Σούλμων πόλις Σικελίας. τὸ δὲ Κρότων διαστολὴν ἔχει σημαινομένου.

Τὰ εἰς ων̄ ὑπὲρ δύο συλλαβὰς ἐπὶ πόλεων ὀξύνεσθαι θέλει, εἰ μὴ εἰς λων λήγοι, ἔχοντα πρὸ τοῦ τέλους ᾱ, ἢ ἔννοιαν συνθέσεως ἔχοι, Ἐλεών, Μεδεών Βοιωτικὴ πόλις. καὶ Φωκικὴ ἑτέρα. Στράβων ἐνάτῃ (p. 410. 423). ἐκλήθη δὲ ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου καὶ Ἠλέκτρας. ἔστι καὶ τῆς Ἠπείρου πόλις καὶ κώμη.... Πετεών πόλις Βοιωτίας, Πορφυρεών πόλις Φοινίκη, Μεδιών, Σικυών, Βαβυλών. σεσημείωται τὸ Ἀσκάλων καὶ Καστάλων βαρύτονα ὡς εἰς ᾱλων ληγόμενα· τὸ δὲ

l. 4 Ἠϊών pro Ἰών Schmidt. ex St. B. 55, 5, quamquam eo ipso loco Ἠϊών corruptum esse propter sequentia verba πάντων ἡ κλίσις διὰ τοῦ ω̄ adnotavit Meinek. l. 5 Γυρτών addidi ex St. B. 215, 20, quo in loco ἀπὸ Γύρτωνος secundum Eustath. 333, 25 et libros Stephani scripsi monente Lehrsio de Arist. 277², etsi Mein. exhibet Γυρτῶνος ita ut inter andronymicum et gentile discrimen non magis stutuatur quam in Κρότων; sed librorum scriptura in his servanda videtur, quum magna usus inconstantia in discriminandis hisce nominibus sit. l. 7 Αἰσών accessit ex St. B. l. supra citato, Δερτών 226, 8, Κρηστών 383, 16. Κραννών l. supra laudato, Νεών St. B. 55, 5 et 473, 10. l. 10 πόλις Θεσσαλίας addidi ex St. B. 342, 5. l. 12 πρόσκειται μὴ ὄντα τοπικὰ apposui propter sententiam et l. 13 ἄλλα . . Κρίτων ex St. B. 171, 12, Βίτων 54, 5. ἐκτέταται — μήλων ex Dichr. 297, 33 adieci. — l. 15 οἱ δὲ ἐγχώριοι — l. 17 Ἰτώνη ex St. B. 342, 5; σεσημείωται ex eod. 55, 6. Σικελίας non mutandum esse in Ἰταλίας monuit Mein., quia Herodianus Siciliam de inferiore parte Italiae dixit cf. Arc. 83, 6 Λωμεντός Λαυρεντός Σικελικαὶ πόλεις, quem usum secutus est St. B. 570, 8 Σινόεσσα πόλις Σικελίας (cf. Proll.). l. 18 pro πλὴν τοῦ Κρότων exhibui, quae posui, canone ipso iubente et praeeunte St. B. 55, 3. Caeterum canon ap. St. B. sic procedit: τὰ εἰς ων̄ δισύλλαβα ἐπὶ πόλεων ὀξύνεται, εἰ μὴ διαστολὴν ἔχοι σημαινομένου, ὡς τὸ Κρότων βαρύνεται. ὀξυνόμενον γὰρ δηλοῖ ζωΰφιον· ἢ χαρακτῆρι ὑπάγοιτο ὡς τὸ Ἴτων συναπενεχθὲν τῷ Τρίτων Γίτων Βίτων οἷον Ἠϊών Κραννών Γυρτών Νεών. σεσημείωται τὸ Σούλμων· ἔστι πόλις Ἰταλίας. l. 20 ω̄ in ᾱ mutavit et ἔχοι addidit Schm., idem Ἐλεών, quod habet St. B. 266, 16, pro ἐλαιών et Μεδεών pro μηδεών ex Il. Pr. B 717: Ὀλιζῶνα: προπερισπωμένως ὡς Μεδεῶνα, nomen explevi ex St. B. 439, 19, ex eodem addidi Πετεών 519, 13 et Πορφυρεών 533, 7. Μεδιών ex St. B. 440, 1 cf. supra p. 21, 4. l. 25 pro Καστάλων, quod iam Goettling. proposuit, in libris Ἀσσάλων, ap. Theogn. 36, 6 Νασσάλων ὄνομα πό-

Εὐαίμων πόλις Ὀρχομενίων καὶ τὸ Λακεδαίμων βαρύνεται ὡς ἔχοντα ἔννοιαν συνθέσεως.

Τὰ εἰς ων περιεκτικὰ ἢ μέρος σώματος σημαίνοντα καὶ τοπικὴν ἔχοντα ἔννοιαν ὀξύνεται, ἀγών, ἀγκών, φηγών, πιθών, κροκών, πευκών, χαλκών, πυλών, αὐλών, μυλών, κευθμών, δρυμών, δαφνών, ξενών, ἱππών, πεπών, ἀντρών, λουτρών, ἀνδρών, θυρών, κισσών, κοιτών, ἱστών, χαρακών, ἀνθρακών, φαρμακών, γυναικών, ἀμπελών, καμηλών, καλαμών, πλαταμών, κεραμών, πλατανών, παρθενών, ἀχυρών, προβατών, ἐλαιών, ἀνδρεών, ἀνθερεών, κενεών, κυκεών, πυλεών, ξενεών, λουτρεών, περιστερεών, παρθενεών, λαυρεών, οἰνεών καὶ Οἰνεών Λοκρίδος λιμήν. Θουκυδίδης τρίτῃ (c. 95. 102). Μαραθών, Ἀργανθών, Ἑλικών, Κιθαιρών.

Τὰ εἰς ων ὀνόματα μηνῶν ἢ χρόνων ὀξύνεται, Ἑκατομβαιών, Μεταγειτνιών, Βοηδρομιών, Πυανεψιών, Μαιμακτηριών, Ποσειδεών, Γαμηλιών, Ἀνθεστηριών, Ἐλαφηβολιών, Μουνυχιών, Θαργηλιών, Σκιροφοριών, μῆνες τῶν Ἀθηναίων, παχών ὄνομα μηνὸς παρ' Αἰγυπτίοις, αἰών, χειμών, πλειών ὁ ἐνιαυτός.

Τὰ εἰς ων σύνθετα, ἀπὸ ἁπλῶν συντεθειμένα ῥητὰ ἀπὸ βαρυτόνων βαρύνονται, Ἀνακρέων, Χαμαιλέων. τὰ δὲ ἀπὸ περισπωμένων περισπῶνται, φιλοξενοφῶν, φιλοκτησιφῶν. καὶ τὰ ἀπὸ ὀξυτόνων φυλάττει τὴν ὀξεῖαν, φιλομακεδών, ἱππαλεκτρυών.

Τὰ εἰς ων ὀξύτονα δισύλλαβα καὶ μονοσύλλαβα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον, ὁπότε μὴ σχέσει τοπικῇ ἥνωται, ὡς ἔχει τὸ κατὰ συνήθειαν, προκοιτών, προπυλών, προθυρών. τὰ δὲ ἄλλα ἀναβιβάζουσι τὸν τόνον οἷον βαθυλείμων, εὐλείμων, ἀχίτων, μακραίων, αὐτόχθων.

Τὰ εἰς ιων λήγουσαι μετοχαὶ δισύλλαβοι ὀξυτονούμεναι καὶ ὀνόματα κύρια γινόμενα μετατιθέασι τὸν τόνον οἷον Ἀμφίων, Ὑπερίων, τὰ

λεως; ap. St. B. 710, 8 Κασταλων hoc accentu, sed 366, 8 Κασταλών v. supr. p. 31 verba βαρύτονα usque ad finem canone ipso ducente explevi. l. 3 canonem de periecticis et topicis composui ex Arcad. 18, 9 ubi: καὶ τὰ τοπικὰ περιεκτικά, ἀγών, ἱππών, ἀνδρών et Arc. 12, 9 μέρος σώματος σημαίνοντα, ἀγκών, E. M. 513, 29 τὸ Κιθαιρών ὀξύνεται τοπικὴν ἔχον ἔννοιαν ὁμοίως καὶ Μαραθών καὶ τὸ Ἀργανθών, omnia, quae in specialibus Arcadii canonibus memorata sunt vocabula complexus, ex St. B. 485, 18 Οἰνεών addens; reliqua ex Theogn. 28, 22. καυσεών ap. Theogn. ex praecedente κυκεών corruptum videtur. l. 14 canonem de mensem et tempus significantibus nominibus, quem Arcadius 18, 8 τὰ εἰς ων ὀνόματα μηνῶν ἢ χρόνων ὀξύνεται, Ποσειδεών, Ἐλαφηβολιών ex Theogn. 27, 31, Choer. 295 ipse addens menses Atticos, qui a tribus epitomatoribus omissi sunt, παχών ex Arc. 16, 7 et αἰών et χειμών eodem indicante, πλειών ex Choer. 252, 15 πλειών — ὀξύνεται, ἐπειδὴ δοκεῖ περιεκτικὸν εἶναι (E. M. 675, 53).
l. 25 ex Ep. Cr. I 435, 9 (E. M. 805, 56) τὰ εἰς ων λήγοντα εἴτε μονοσύλλαβα εἴτε ὑπὲρ δύο συλλαβὰς ἐν τῇ συνθέσει ἀνεβίβασε τὸν τόνον οἷον χθών αὐτόχθων, λειμών εὐλειμών, χιτών χαλκοχίτων, αἰών μακραίων — χωρὶς εἰ μὴ τοπικὴν σχέσιν τινὰ σημαίνει ὡς τὸ κοιτών προκοιτών, θυρών προθυρών addidi εὐλείμων et αὐτόχθων, nam exemplum nominis a monosyllabo compositi desideratur.
l. 28 cum Schmidt. ιων scripsi pro ων, l. 29 pro κλινόμενα: γινόμενα et κύρια apposui propter sequentia: τὰ δὲ κοινὰ τῷ γένει usque ad finem, quae sunt ex

δὲ κοινὰ τῷ γένει φυλάττουϲι τὸν τόνον, περικτιών, ἀμφικτιών, ἰθυκτιών, ὧν καὶ βραχεῖα ἡ παραλήγουϲα.

* Τὰ εἰϲ ω̅ν̅ ϲυγκριτικὰ πάντα βαρύνεται, μείζων, ὀλίζων, κρείϲϲων, ἥϲϲων, θάϲϲων, ἐλάττων, ἀμείνων, χερείων χείρων, πλείων, μείων, ἀρείων, βελτίων, ἡδίων, γλυκίων, κακίων, βραχίων εἴτε ἐπὶ τοῦ ϲυγκριτικοῦ εἴτε ἐπὶ τοῦ μέρουϲ ϲώματοϲ, οὐδὲ γὰρ λέγομεν βραχιών ὀξυτόνωϲ, ὡϲ λέγουϲιν ἐν τῇ ϲυνηθείᾳ, ἀλλὰ βραχίων βαρυτόνωϲ.

Eustath. 1175, 15 καθ' Ἡρωδιανὸν ὡϲ ὁ κηδεμών οὕτωϲ ὀξύνεται καὶ ὁ περικτιών καὶ ἀμφικτιών, ὧν καὶ βραχεῖά φηϲι ἡ παραλήγουϲα; ἰθυκτιών, quod Lob. Proll. 203 pro ἰνδικτιών restituit, ex Theogn. 29, 23 accessit. τὰ δὲ κοινὰ τῷ γένει ex Choer. orth. 168, 10 addidi: Ἀμφίων: διὰ τοῦ ῑ· ἔϲτι γὰρ ὄνομα κύριον ἀπὸ τῆϲ ἀμφί προθέϲεωϲ καὶ τῆϲ ἰών μετοχῆϲ, ἀμφιϊών καὶ Ἀμφίων κατὰ κρᾶϲιν τῶν δύο ῑ εἰϲ ἓν μακρὸν [βαρύτονον δὲ γέγονεν, ἐπειδὴ αἱ μετοχαὶ ϲυντιθέμεναι, ἐὰν μὲν φυλάττωϲι τὸ αὐτὸ μέροϲ τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουϲιν οἷον βάϲ ἀναβάϲ, ϲτάϲ ἀναϲτάϲ· ἐὰν δὲ ἐναλλάϲϲωϲι τὸ αὐτὸ μέροϲ τοῦ λόγου, τούτου χάριν καὶ τὸν τόνον ἐναλλάϲϲουϲι. haec verba ex E. M. 92, 1, ubi in fine οὕτωϲ Χοιροβοϲκὸϲ εἰϲ τὴν ὀρθογραφίαν αὐτοῦ]. τὰ διὰ τοῦ ι̅ω̅ν̅ βαρύτονα εἴτε τρέποντα τὸ ω̄ εἰϲ τὸ ο̄ ἐν τῇ γενικῇ εἴτε μὴ εἴτε κύρια εἴτε μὴ κύρια οἷον Ἠμαθίων Ἠμαθίωνοϲ, καὶ τὰ ὀξύτονα τὰ κοινὰ τῷ γένει οἷον ὁ περικτιών καὶ ἡ περικτιών ἀποϲτρέφονται τὴν ε̅ι̅ δίφθογγον κατὰ τὴν παραλήγουϲαν κτλ. [ἄλλοι δὲ λέγουϲι, ὅτι οὐ γέγονεν ἀπὸ τοῦ ἀμφί καὶ τοῦ ἰών, ἀλλ' ἀπὸ τῆϲ ἀμφί προθέϲεωϲ κατὰ παραγωγὴν καὶ ἐξέτεινε τὸ ῑ ποιητικῶϲ ὡϲ τὸ Ἰξίων καὶ Δολίων E. M.]. His locis comparatis Herodianus Ἀμφίων et Ὑπερίων gravanda censuit, quia nomina propria facta essent, non propter declinatum nominalem, quem habent quidem περικτιών ἀμφικτιών, sed accentum non mutant, quia generis communis sunt, quo etiam accedit, quod Ἀμφίων Ὑπερίων ῑ producunt, περικτιών ἀμφικτιών breve retinent. Concidit igitur Schmidtii emendatio ὡϲ ὀνόματα κλινόμενα. Caeterum existimo hoc loco quosdam canones de participiorum, quae in nomina abeunt, accentu excidisse, qui sic fere concepti fuerint:

Τὰ εἰϲ ω̄ν μετοχαὶ διϲύλλαβοι ὀξυτονούμεναι καὶ ὀνόματα γινόμενα βαρύνονται, δρακών Δράκων, τυχών Τύχων, πυθών Πύθων, πιθών Πίθων.

Τὰ εἰϲ ω̄ν μετοχαὶ διϲύλλαβοι ὀξυτονούμεναι ϲυντιθέμεναι, ἐὰν μὲν φυλάττωϲι τὸ αὐτὸ μέροϲ τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουϲι οἷον ἐλθών ἀνελθών χωρὶϲ τοῦ ἑκών ἀέκων. ἐὰν δὲ ὀνόματα γίνωνται, τὸν τόνον ἐναλλάϲϲουϲι οἷον ἐλθών Εὐέλθων κύριον παρὰ Ἡροδότῳ (IV 162. V 104). De Εὐέλθων Eustath. p. 1098 init. τὸ ἀέκων παροξύνεται παραδόξωϲ. οὐδεμία γὰρ μετοχὴ ἐν ϲυνθέϲει ἀναβιβάζει τὸν τόνον ὅτι μὴ μόνον ἡ ἀέκων (cf. Arcad. 178, 8). τὸ Εὐέλθων οὐκ ἀντίκειται πρὸϲ τὸν τοιοῦτον λόγον, οὐ γὰρ ἁπλῶϲ μετοχή, ἀλλὰ κύριον παρὰ Ἡροδότῳ μετοχικόν ἐϲτιν ὄνομα. l. 3 canonem de comparativis composui ex Choer. 70, 31 et 285, 16, Theogn. 28, 4, Arcad. 17, 24.

ΠЄΡΙ ΤΩΝ ЄΙC ξ ΚΑΙ ЄΙC ρ ΚΑΙ ЄΙC αc ΛΗΓΟΝΤΩΝ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ β΄.

Πᾶν ὄνομα εἰς αξ λῆγον ὑπὲρ μίαν cυλλαβὴν βαρύνεται, εἰ μὴ παρὰ ῥῆμα εἴη cυντεθειμένον, καὶ μίαν cυλλαβὴν φυλάττοι τοῦ ῥήματος καὶ ἐπιθετικὸν ὑπάρχοι, μὴ ἐθνικόν, κόραξ, ἔcτι καὶ Κόραξ ὄρος μεταξὺ Καλλιπόλεως καὶ Ναυπάκτου. Πολύβιος εἰκοςτῷ· κόλαξ, φύλαξ, ἄναξ, βόαξ, νέαξ, φέναξ, κόρδαξ, ἅρπαξ, κέκραξ, λάλαξ, λάταξ, χάραξ, ἔcτι καὶ Χάραξ Ἀλεξάνδρου τόπος περὶ Κελαινὰς τῆς Φρυγίας, ἔνθα Ἀλέξανδρος ὁ τοῦ Φιλίππου ἐςτρατοπεδεύcατο. ἔcτι καὶ Καρίας ἄλλη πόλις Χάραξ ἡ νῦν Τράλλις. ἔcτι καὶ ἄλλος Χάραξ ἐμπόριον μέγιστον, ἐν τῷ τῆς Νικομηδείας κόλπῳ πληςίον αὐτῆς. ἔcτι καὶ ἄλλος τόπος τῆς Ποντικῆς. Ἄταξ ποταμός, Μίμαξ ἔθνος Λιβυκόν. Φίλιςτος Cικελικῶν ὀγδόῳ. Μύλαξ ἔθνος Ἠπειρωτικόν. Λυκόφρων (v. 1021) «Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὄρος». Νύραξ πόλις Κελτική. Ἑκαταῖος Εὐρώπῃ. Ῥύνδαξ ποταμὸς μεταξὺ Φρυγίας καὶ Ἑλληςπόντου ὁ καὶ Ῥύνδακος. Κάςταξ πόλις Ἰβηρίας. Μάρμαξ ἔθνος Αἰθιοπικόν· Ἑκαταῖος Ἀςίᾳ. Θόρναξ ὄρος τῆς Λακωνικῆς. Νικόλαος δ΄. Ἄμβραξ καὶ Ἄμπραξ ὁ παῖς Θεςπρωτοῦ τοῦ Λυκάονος. Τάμβραξ πόλις Παρθυαίων. ὄμφαξ, φόρταξ, Φαίαξ· Ἑλλάνικος Ἱερειῶν α΄ «Φαίαξ ὁ Ποςειδῶνος καὶ Κερκύρας τῆς Ἀςωπίδος, ἀφ᾿ ἧς ἡ νῆςος Κερκύρα ἐκλήθη, τὸ πρὶν Δρεπάνη τε καὶ Cχερία κληθεῖςα». καὶ τὸ ἐθνικὸν ὁμοφώνως. θώραξ· ἔcτι καὶ πόλις Αἰτωλίας καὶ Μαγνηςίας, οἴαξ, πλούταξ, βῷμαξ, κνώδαξ. Νῶραξ ὁ Ἐρυθείας καὶ Ἑρμοῦ ὡς Παυςανίας, πῖδαξ, κλῖμαξ, λεῖμαξ, βῶλαξ, μεῖραξ, Γῦναξ, Γῦλαξ, εἰςὶ δὲ ταῦτα κύρια ὀνόματα, cαῦcαξ, φαςὶ δὲ εἶναι τοῦτο ὄςπρεον, cχίδαξ, αὖλαξ, θρῖδαξ, καύαξ, ἀςπάλαξ, ἱέραξ, Ἐπιδαύραξ, Τεκτόcαξ ἔθνος Γαλατικόν. εὕρηται καὶ Τεκτοςάγης εὐθεῖα καὶ Τεκτοςάγαι· ὡς γὰρ Καππάδοκος Καππαδόκης, οὕτω Τεκτόςαγος Τεκτοςάγης. ὀρθίαξ, θυμέλαξ, Ἀχαρνοφαίαξ, λινοθώραξ, Cαμόθρᾳξ, Ἱππῶναξ, Ἀρχεάναξ, χαρτοφύλαξ, φιλάρπαξ, ἐριβῶλαξ, πολυπῖδαξ. τὰ δὲ ἀπὸ ῥήματος cυγκείμενα ὀξύνεται

l. 3 εἰς αξ scripsi pro εἰς ξ. Caeterum canonem Arcadii 18, 18, quem similiter proferunt Epim. in An. Par. III 307, 2, explevi ex Dichr. 283, 15 et Choer. Dictat. 303—6; simplicium in αξ barytonorum exempla haec tantum ap. Arcad. exstant: Φαίαξ, θώραξ, ἄναξ, κλίμαξ, αὖλαξ et Ἄςφαξ; reliqua addidi ex Dichr., sed proprium Κόραξ ex St. B. s. v., l. 7 φέναξ — λάταξ ex Choer., l. 8 Χάραξ proprium ex St. B., l. 12 Ἄταξ ex eodem usque ad l. 19 Τάμβραξ; ex eodem explevi Φαίαξ et θώραξ et Νῶραξ adieci. l. 25 pro Γῦναξ Γῦλαξ in Dichr. habet Choer. Ὕλαξ et Κῆαξ; idem cαῦαξ pro cαῦcαξ· ἀςπάλαξ accessit ex Choer., Τεκτόcαξ ex St. B., λινοθώραξ ex Choer., ex St. B. Cαμόθρᾳξ, quod nomen Herodianum gravasse Arcadii canon docet cf. praeterea E. M. 435, 34, χαρτοφύλαξ, φιλάρπαξ ex Choer., ἀποςφάξ ex Ep. Hom. 34, 20, E. Gud. 52, 22, ubi idem fere

ἀποσφάξ, διασφάξ, βλεφαροσπάξ καὶ φιτροβαστάξ καὶ νεκροβαστάξ. τὸ δὲ Ἄσφαξ βαρύνεται ὡς ἐθνικόν. μή τις δὲ Ἄσφαξ τὸ ἔθνος καὶ τὸ Ἄτραξ τὸ κύριον σύνθετον οἰηθείη. ἁπλᾶ γάρ ἐστιν. καὶ τὸ μὲν Ἄσφαξ ἐστὶν ἔθνος ἐποικίσαν τὴν Κύπρον. ὁ δὲ Ἄτραξ Πηνειοῦ καὶ Βούρας παῖς, ἀφ' οὗ πόλις Θεσσαλίας κτισθεῖσα ἐκλήθη Ἄτραξ καὶ Ἀτρακία. καὶ τὸ ἐθνικὸν Ἄτραξ ὁμοφωνεῖ τῇ πόλει. Λυκόφρων (v. 1309) «καὶ δευτέρους ἔπεμψαν Ἄτρακας λύκους».

Τὰ εἰς εξ ὀνόματα βαρύνεται, Λέλεξ, Βέρεξ ἔθνος μεταξὺ Ἰνδίας καὶ Αἰθιοπίας ὡς Τιμοκράτης ὁ Ἀδραμυττηνός, ἐπίτεξ, ἀγχίτεξ, πινυτάλεξ καὶ εἴ τι ὅμοιον.

Τὰ εἰς οξ ὀνόματα βαρύνονται· σπάνια δέ εἰσιν· Ἀλλόβροξ, ἔθνος Γαλατικόν· Πολύβιος δὲ διὰ τοῦ ι αὐτοὺς καλεῖ Ἀλλόβριγας καὶ ὡσαύτως δὲ οἱ πλείους, Ἀπολλόδωρος δὲ διὰ τοῦ υ Ἀλλόβρυγας, Χάραξ δὲ διὰ τοῦ ο Ἀλλόβρογας. ἴσοξ ποιός τις ἰχθῦς, ἄλοξ, παρὰ δέ τισιν αὖλαξ, πρὸς τούτοις δὲ καὶ τὸ Καππάδοξ ἔθνος τῇ Κιλικίᾳ πρόσχωρον. τοῦτο δὲ λέγεται καὶ Καππάδοκος — οὕτως καὶ ὁ κτιστὴς εἴρηται ὑπὸ Μενάνδρου — καὶ Καππαδόκης. Ἡρόδοτος δέ φησιν (I 72).

Τὰ εἰς ιξ βαρύνεται· φοῖνιξ· ἔστι δὲ καὶ κύριον Φοῖνιξ Ἀγήνορος παῖς ἢ Ποσειδῶνος καὶ Λιβύης, ᾧ ὁμοφωνεῖ τὸ ἐθνικόν. ἔστί καὶ φρούριον Καρίας οὐ πολὺ ἀπέχον Ῥόδου. καὶ ποταμός ἐστι Φοῖνιξ. βέμβιξ, Τέμμιξ ἔθνος πρῶτον οἰκῆσαν ἐν Βοιωτίᾳ. Λυκόφρων «Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι» (v. 644), πέμφιξ, τέττιξ, σκάνδιξ λάχανόν τι ποιόν, πέρδιξ, χοῖνιξ, Κίλιξ τὸ κύριον καὶ τὸ ἐθνικόν, Αἶθιξ ἔθνος. ἐν Θετταλίᾳ δ' ᾤκουν ἐν τῷ Πίνδῳ ὄρει· Μαρσύας δὲ μέσον τῆς Τυμφαίας καὶ Ἀθαμανίας κεῖσθαί φησι τὴν χώραν. Ἕρνιξ ἔθνος Λατίνων. Διονύσιος ὀγδόῳ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας.

---

canon atque ap. Arcad. l. 1 φιτροβαστάξ ex Lobeckii coniectura recepi pro ληтροβαστάξ codicis A vel λιτροβαστάξ Herodiani ap. Is. Vossium ad Hes. s. βάστας vel κιτροβαστάξ codd. BC. l. 2 μή τις δὲ usque ad l. 7 sunt ex St. B. De nominibus in αξ a verbo compositis cf. etiam E. M. 270, 17 διασφάξ ὁ διεστὼς τόπος. Ἡρόδοτος «τοῦ ὄρεός ἐστι διασφάξ» καὶ διὰ τῆς διασφάγος Αἴσωπὸς ῥεῖ. εἴρηται ὡς ἀπὸ τοῦ θερίζω θρίζω θρίξ, βαστάζω βαστάξω βαστάξ καὶ νεκροβαστάξ· οὕτως ἀπὸ τοῦ σπάω σπάζω σπάξ καὶ σφάξ διασφάξ. — Ab Herodiano hic etiam traditum fuit, quo accentu barytona insignienda sint, sic fere: καὶ τὰ μὲν πυρριχιακὰ καὶ ἰαμβικὰ καὶ τροχαϊκὰ μετὰ θέσει μακρᾶς παροξύνονται, τὰ δὲ τροχαϊκὰ μετὰ φύσει μακρᾶς περισπῶνται cf. Choer. 312, 23 τὸ φοῖνιξ καὶ κῆρυξ ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν προπερισπῶνται et Herod. in Bekk. Anecd. περὶ τοῦ ἔστιν p. 1148 et 1149. l. 8 Arcadius terminationes εξ ιξ οξ υξ hoc brevi canone comprehendit: τὰ εἰς εξ καὶ ιξ καὶ οξ καὶ υξ πάντα βαρύνεται, Λέλεξ πέρδιξ Καππάδοξ κῆρυξ; equidem unicuique exitui privum praeceptum assignavi et quidem canonem de nominibus in εξ composui ex Arcadio et Eustath. 1922, 8 et Theogn. 40, 5, ad Βέρεξ quae addidi, sunt ex St. B. s. v., unde etiam ap. Theogn. pro Βέβρεξ scribendum videtur Βέρεξ. l. 11 canonem de vocabulis in οξ constitui ex Theogn. 409, consulto St. B. ad Ἀλλόβροξ s. v., ubi ὁ δὲ τεχνικὸς Ἀλλόβροξ ἔθνος Γαλατικόν, sed clarum est etiam reliqua ab Herodiano prolata esse, qui Apollodori explicationem et Characis scripturam adoptavit. De Καππάδοξ cf. etiam E. M. 490, 19. l. 18 canon de nominibus in ιξ ex Theogn. 40, 25 et Dichr. 285, 5 compositus est. Quae ad Φοῖνιξ adiecta sunt, sumpta ex St. B. s. v., ad Κίλιξ ex eodem p. 49, 11; Αἶθιξ s. v. Αἴθικες ὡς Κίλικες. Ἕρνιξ ex eod.

Θρέϊξ καὶ Θρῆϊξ καὶ κατὰ συναλοιφὴν Θρῇξ, ἄϊξ, κῶδιξ, ἧλιξ, πάλλιξ, μάστιξ, χάλιξ, χόλιξ, ἕλιξ, κύλιξ, ἄδδιξ μέτρον τετραχοίνικον, Μαγίστριξ ἔθνος τῶν Ταυρίσκων τοῖς Γερμανοῖς ὁμοροῦν. μῆνιγξ τὸ προσηγορικὸν καὶ νῆσος περὶ τὰς Σύρτεις καὶ πόλις. ὅστλιγξ ὁ παρὰ μὲν Ἀπολλωνίῳ καὶ Φιλητᾷ διὰ τοῦ ᾱ, σάλπιγξ, σύριγξ· σημαίνει τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν καὶ πάθος καὶ τὴν δορατοθήκην. ἔστι δὲ κατὰ μίμησιν τοῦ γινομένου ἤχου. ὄρνιξ οἱ Δωριεῖς λέγουσι τὸ ὄρνις. ὁμοίως δὲ καὶ τὰ σύνθετα Λιβοφοῖνιξ, ὁμόστιξ, σύμμιξ, ὁμῆλιξ, καλλίθριξ, πολυᾶϊξ, κορυθᾶϊξ.

Τὰ εἰς ῡξ βαρύνεται, εἰ μὴ ἔχοι ἔννοιαν περιεκτικήν· αἶθυξ ὁ εὐκίνητος παρὰ τὸ αἰθύσσω, ἔστι δὲ καὶ ὄνομα ἔθνους καὶ κύριον. βαΐβυξ, δοῖδυξ, θρᾶνυξ ἐπὶ τοῦ θρόνου παρὰ Κορίννῃ, θρῆνυξ ἐπὶ τοῦ αὐτοῦ καὶ ἔστιν ἡ χρῆσις παρ' Εὐφορίωνι ἐν Πολυχάρει, ἶβυξ, ἔστι δὲ εἶδος ὀρνέου, ἶδυξ ἐπὶ τῆς ἴκτιδος ὡς Ἀλέξανδρος ὁ Μύνδιος, κῆρυξ, Κῆϋξ, Κῶδυξ ἐπὶ τοῦ κωδύου, Νᾶρυξ· ἔστι δὲ πόλις Λοκρίδος θηλυκῶς λεγομένη, τινὲς δὲ Νarύκιον τὴν πόλιν φασίν· λέγεται καὶ Ναρύκη. βαῖτυξ ἡ βδέλλα, ἦλυξ ἡ σκιά, πῶϋγξ. Βέβρυξ, ἔστι δὲ ἔθνη δύο τὸ μὲν πρὸς τῷ Πόντῳ ἐν τῇ Ἀσίᾳ, τὸ δὲ πρὸς τοῖς Ἴβηρσιν ἐν τῇ Εὐρώπῃ. περὶ δὲ τοῦ ἐν Ἀσίᾳ διάφοροι γεγόνασι δόξαι, ὅτι ἀπὸ Βέβρυκος ἢ Βεβρύκης καὶ ἄλλοι ἄλλως. βόμβυξ αὐλοῦ τι εἶδος καὶ ζῷον, ἀφ' οὗ τὰ βομβύκινα ὑφάσματα, κατὰ Λάκωνας δὲ στάμνον δηλοῖ. Σάμβυξ κύριον· ἔστι δὲ καὶ ποταμὸς καὶ ἔθνος. Ἄμπυξ κύριον ὄνομα καὶ κόσμος ἤγουν κεφαλοδέσμιον καὶ τροχός. Ἔρυξ ὁ ἥρως ὁ Ἀφροδίτης καὶ Βύτου καὶ ἡ πόλις Σικελίας παρὰ τῷ Ἐρατοσθένει ἀρσενικῶς. Ἄδρυξ πόλις Συρακουσίων, ἀρσενικῶς λεγομένη «ἔφυγον εἰς τὸν Ἄδρυκα». Φίλιππος ὁ ἱστορικός φησιν. ἄμβυξ, Γάνυξ ὁ Γανύκτωρ παρὰ τῷ Ἐρατοσθένει, κάλυξ· θηλυκῶς δὲ λέγεται καὶ σημαίνει τὸ καλούμενον ῥόδον. ψάλυξ· τινὲς δὲ τὰς ψυχὰς ἐδέξαντο σημαίνειν

l. 1 Θρέϊξ ex St. B. 317, 1. ἄϊξ ex Il. Pr. O 707. κῶδιξ habet Theogn., videtur altera forma esse vocis κῶδυξ ἐπὶ τοῦ κωδύου in canone sequente sicut Αἶθυξ idem videtur populus esse atque Αἶθιξ similiter gentili Ἀλλόβριξ et Ἀλλόβρυξ. l. 2 πάλλιξ debetur Theogn. cf. Ep. Cr. I 320, 28 et II 373: ἐκ τοῦ πάλλω τὸ κινῶ πάλλιξ καὶ ἀποβολῇ τοῦ π̄ καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ ἧλιξ· οἱ γὰρ Ἀττικοὶ τοὺς νεωτέρους πάλλικας λέγουσιν, quod vocabulum quamquam a grammaticis tantum commemoratur, tamen non addubitandum est, praesertim quum inveniatur ap. ipsum Herodianum, a quo mutuatus est Theogn. cf. Lob. El. I 118. l. 3 Μαγίστριξ ex St. B. et ex eodem Μῆνιγξ, propter quod μῆνιγξ appellativum, quod Herodianus procul dubio attulerat, adieci. l. 4 ὅστλιγξ ex Schol. ad Apoll. Rhod. A 1297 ὅστλιγγες· τοῦτό φησιν Ἡρωδιανὸς ἐν τῷ δευτέρῳ τῆς καθόλου, παρὰ μὲν κτλ. σάλπιγξ accessit ex Choer. 344, 14 et σύριγξ ex E. M. 736, 28, ubi subscriptum est οὕτως Ἡρωδιανός, quum in E. Orion. 146, 33 οὕτως Ἡρακλείδης additum sit. Sed explicatio, quae fere congruit cum Hesych., simillima est aliis aliorum vocabulorum, quae ex Catholica servatae sunt. l. 7 ὄρνιξ ex Choer. 310, 17, ex eod. Λιβοφοῖνιξ et ὁμόστιξ, l. 9 πολυᾶϊξ κορυθᾶϊξ ex Il. Pr. l. c. l. 10 canonem de vocc. in ῡξ sumpsi cum omnibus exemplis ex Choer. 80, 16—88, 21 et 313, 4—314, 16 collatis Dichr. 285, 19, ad quem locum Lehrsius adnotat Choerobosci vocabula ex Herodiani fontibus manasse; ἴυγξ accessit ex Eust. 1635, 23; etiam ap. St. B. reperiuntur Νᾶρυξ, Βέβρυξ, Ἄδρυξ,

τὴν λέξιν, Δίδυμος δέ φησιν τοὺς ἀσθενεῖς σπινθῆρας δηλοῦν τὴν λέξιν· ἔστι δὲ ἀπὸ τοῦ ψεφάλυξ καὶ κατ' ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς. ἄντυξ, βλέκυξ ἡ φλυαρία, ὄρτυξ, ὄρυξ, κόκκυξ, Μόρτυξ βασιλεὺς Κερκυραίων, φάρυξ. γράφεται δὲ χωρὶς τοῦ γ̄ ἡ εὐθεῖα καὶ ἡ γενικὴ δι' ἑνὸς γ̄ «φάρυγος δ' ἐξέσσυτο οἶνος» (Od. ι 373). μαρτυρεῖ δὲ τῇ δι' ἑνὸς γ̄ γραφῇ τῆς φάρυγος καὶ τὸ φαρύγεθρον· ἔστι καὶ αἱ Φαρύγαι τόπου ὄνομα. καὶ ἀρσενικῶς μὲν παρὰ Δωριεῦσι, θηλυκῶς δὲ παρὰ Ἀθηναίοις λέγεται. στόνυξ. ὄνυξ, ἴυγξ, λάρυγξ, στόρθυγξ· σημαίνει δὲ πᾶν εἰς ὀξὺ λῆγον. Ἰᾶπυξ· ἔστι δὲ ἔθνος, Ἰᾶζυξ ἔθνος Εὐρωπαῖον, σπινθάρυξ. ταρβάλυξ ὁ ταρακτικός, πομφόλυξ. ἀμάρυγξ ἐπὶ ἀκτῖνος καὶ λαμπηδόνος καὶ ὄφεως· ὡσαύτως δὲ καὶ τὰ σύνθετα· Κολοῖφρυξ, ἐπῆλυξ, καταῖτυξ, τανυπτέρυξ, διῶνυξ, μονῶνυξ, μῶνυξ, ἀκρόνυξ, εἰνάνυξ, ἔννυξ. μεσόνυξ εἷς τῶν πλανήτων παρὰ τοῖς Πυθαγορείοις· μέμνηται Στησίχορος. διῶρυξ, τετρῶρυξ, πρόφυξ, πρόσφυξ, ἄζυξ, δίζυξ, σύζυξ, ὁμόζυξ. — Τὸ δὲ πτερύξ σεσημείωται ὑπὸ Ἀριστάρχου ὀξυνθὲν διὰ τὸ ἐννοίας περιεκτικῆς εἶναι· οὕτω γάρ, φησίν, ἀνέγνωμεν ἐν τῇ Β ῥαψῳδίᾳ (v. 316). «πτερύγος λάβεν ἀμφιαχυῖαν». οἱ δὲ ἄλλοι προπαροξύνουσιν τὸ πτέρυγος ὡς ὄρτυγος.

Τὰ εἰς η̄ξ̄ μὴ ὄντα σύνθετα ἐπιθετικὰ βαρύνεται, μύρμηξ· ἔστι δὲ καὶ κύριον Μύρμηξ ἡ Ἐπιμηθέως γυνή, σκώληξ, νάρθηξ, κάχληξ, ἀλώπηξ. Ζάρηξ πόλις Λακωνικὴ πρὸς τῇ θαλάσσῃ καὶ ἥρως Ἀθηναῖος, ὡς Παυσανίας ἐν πρώτῳ (c. 38, 4) «ἔστι καὶ Ἱπποθόωντος ἡρῷον, ἀφ' οὗ τὴν φυλὴν ὀνομάζουσι καὶ πλησίον Ζάρηκος». Ζαύηξ ἔθνος Λιβύης. Ἡρόδοτος δ' (c. 193). «Ζαύηκος ἔθνος» Ἑκαταῖος ἐν περιηγήσει Ἀσίας. πήληξ καὶ Πήληξ δῆμος τῆς Λεοντίδος φυλῆς καὶ ὁ δημότης.

Ἔρυξ, Ἰᾶπυξ, ex eo accesserunt Ἰᾶζυξ et Κολοῖφρυξ; l. 12 καταῖτυξ ex Il. Pr. Κ 258 ἡ καταῖτυξ προπερισπᾶται· πάντα γὰρ τὰ εἰς ῡξ̄ συστέλλει τὸ ῡ, τὰ μέντοι διὰ τοῦ κ̄ κλινόμενα ἐκτείνει ἐνίοτε τὸ ῡ ἐπὶ τῶν ἄλλων πτώσεων οἷον βόμβυκος, κήρυκος· τὸ γὰρ «κήρυκι Ἠπυτίδῃ» (Il. 17, 324) συνέσταλται διὰ τὸ μέτρον. — l. 13 εἰνάνυξ ex Il. Pr. Ι 470: εἰνάνυχες· ὡς μονώνυχες ἀπ' εὐθείας τῆς εἰνάνυξ.

l. 4 de scriptura vocis φάρυξ ex Theogn. 40, 2 φάρυξ, οὕτω γὰρ ὅ τε Ἡρωδιανὸς καὶ οἱ λοιποὶ γραμματικοὶ χωρὶς τοῦ γ̄ τὴν εὐθεῖαν καὶ τὴν γενικὴν δι' ἑνὸς γ̄ et Eustath. 1630, 23 ἧς (sc. τῆς φάρυγος) κοινῶς μὲν εὐθεῖα φάρυγξ καὶ γενικὴ φάρυγγος ὡς ἴυγγος. ἄλλως δὲ φάρυξ φάρυγος ὡς ἄντυγος Ἰάπυγος. τὰ γοῦν ἀκριβέστερα τῶν ἀντιγράφων διὰ τὸ εὐμετρητότερον «φάρυγος δ' ἐξέσσυτο οἶνος» φησί. καὶ ἔχει αὐτὸ συνηγορίαν καὶ ἐκ τῶν Ἡρωδιανοῦ, ὃς ἐν τῷ περὶ τοῦ στύξ στυγός μονοσυλλάβου οὔσης εὐθείας κατὰ τὸ τρύξ τρυγός ἐπαγαγὼν καὶ ὑπὲρ μίαν συλλαβὴν τὸ ἄντυξ ἄντυγος ἐπιφέρει· οὕτω καὶ ἡ πομφόλυξ· ἐξ οὗ δῆλον ὅτι ἐν τῷ φάρυγξ καὶ πομφόλυγξ ἴσως δὲ καὶ ἐν τοῖς ὁμοίοις ἐκ πλεονασμοῦ ἔγκειται τὸ ν̄. μαρτυρεῖ δὲ τῇ δι' ἑνὸς γ̄ γραφῇ τῆς φάρυγος καὶ τὸ φαρύγεθρον καὶ Φαγύρου τόπου ὄνομα cf. 229, 40. l. 16 exceptio de πτερύξ sumpta est ex Eustath. 229, 40 cf. Ep. Hom. 355, 8, Choer. Dict. 81, 13, E. M. 674, 20, Choer. Ep. in Psalm. 125, 20, Anecd. Paris. III 280, 16, IV 337, 22, Lehrs de Arist. 301[2]. l. 20 canon de nom. in η̄ξ̄ ex Arc. 19, 3; Μύρμηξ κύριον accessit ex St. B. 373, 17, νάρθηξ, κάχληξ ex Theogn. 40, 18, Ζάρηξ et Ζαύηξ ex St. B., πήληξ Choer. 342, 25, Πήληξ ex St. B. 520, 24, ubi τὰ τοπικὰ ἐν Πήληκι εἰς Πήληκα ἐκ Πηλήκων καὶ θαυμαστὸν τοῦτο, ὅτι ὁ δῆμος πληθυντικῶς λέγεται, ἑνικῶς δὲ τὰ τοπικά. Mein. annotat etiam ἑνικῶς dictum fuisse praeter

ὁ δὲ δῆμος πληθυντικῶς λέγεται, ἑνικῶς δὲ τὰ τοπικὰ ἐν Πήληκι εἰς Πήληκα.

Τὰ εἰς ηξ σύνθετα παρὰ ῥῆμα ὀξύνεται, εἰ ἐπιθετικὰ εἴη, βουπλήξ, κωμοπλήξ, κυματοπλήξ καὶ κυμοπλήξ, μεθυπλήξ, οἰστροπλήξ, παραπλήξ, λαοπλήξ, ἀκανθοπλήξ, βουπλήξ, μολυβδοτήξ, ὅ τινες βαρύνουσι παραλόγως. τὸ ὕσπληξ καὶ ἀντίπηξ βαρύνεται, ὅτι οὐκ ἐπιθετικά. τὸ δὲ χηναλώπηξ καὶ αὐτὸ βαρύνεται ὡς τὸ χαμαισκώληξ, λεοντομύρμηξ.

Τὰ εἰς ωξ ὀξύνεται, ὅσα μίαν συλλαβὴν ἔχει ἐπὶ τέλους ἐν τῇ συνθέσει, ἀρρώξ, ἀπορρώξ, κυαμοτρώξ, γραμματοτρώξ, θυλακοτρώξ, ἀπτώξ, πολυπτώξ, κυμορρώξ· τὸ δὲ θηροδίωξ, αἰγοδίωξ βαρύνεται ὡς δύο φυλάξαντα συλλαβὰς ἐν τῇ συνθέσει.

* Μόνον εἰς αιξ δισύλλαβον τὸ γύναιξ. τοῦτο δὲ πλαγίαν μὲν ἔχει, εὐθεῖαν δὲ οὔ. τὰ γὰρ εἰς αιξ λήγοντα ἢ ἀρσενικοῦ μόνου γένους εἰσὶν οἷον Θρᾷξ καὶ ἐὰν ὦσι θηλυκοῦ γένους, πάντως καὶ ἀρσενικοῦ εἰσιν οἷον ὁ Γραίξ καὶ ἡ Γραίξ, ὁ αἴξ καὶ ἡ αἴξ. ἐπειδὴ οὖν καὶ τὸ γύναιξ οὐκ ἠδύνατο ἀρσενικοῦ γένους εἶναι, ἡ γὰρ σημασία κωλύει, τούτου χάριν ἡ γύναιξ εὐθεῖα ἐπιλέλοιπεν, ᾗ συνεπιλείπεται καὶ ἡ ἐντελὴς κλητική. τὸ γὰρ γύναι, καθὰ καὶ τὸ «Ζεῦ ἄνα» (Γ 351) λείπεται διπλοῦ τοῦ κατ' ἀναλογίαν. ἐν δὲ τῇ συνθέσει, ἐπειδὴ γίνεται ἀρσενικοῦ γένους, ἀναδέχεται τὴν εἰς αιξ κατάληξιν οἷον «ὡς ὧν ἄπαις τε κἀγύναιξ κἀνέστιος» παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι (fr. 4 Nauck). βαρύνεται δέ.

Περὶ τῶν ληγόντων εἰς ρ.

Τὰ εἰς αρ ὑπὲρ μίαν συλλαβὴν εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ βαρύνεται, μάκαρ, δάμαρ, Ἄραρ τις λέγεται ποταμός, ὡς παρ' Ἐρατοσθένει, καὶ ἐπίγραμμα ἔχον οὕτως

---

topica docere Photium Πήληξ δῆμος Λεοντίδος, Hes. s. v. Πήληξ. Equidem existimem Herodianum tradidisse demum vulgo pluraliter, sed ἐν Πήληκι εἰς Πήληκα non aliter nisi in singulari dicta esse idque Stephanum parum intellexisse.

l. 4 cod. A habet κυμοπλήξ, BC κωμοπλήξ, Choer. 308, 33 κυματοπλήξ, equidem omnia posui, ex Choer. ad tria Arcadii nomina βουπλήξ κωμοπλήξ μεθυπλήξ omnia usque ad μολυβδοτήξ accesserunt, de quo p. 309, 11 τὸ μολυβδοτήξ, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου, τινὲς δὲ βαρύνουσι παραλόγως. Caeterum ad accentus doctrinam Choer. ad verbum fere congruit cum Arcadio. cf. etiam Il. Pr. Z 135 βουπλῆγι: προπερισπωμένως· ἡ γὰρ εὐθεῖα ὀξύνεται, βουπλήξ. τὰ γὰρ παρὰ παρακείμενον συντιθέμενα ἐπιθετικὰ φιλεῖ ὀξύνεσθαι, ὁπότε καὶ μίαν συλλαβὴν ἀποφέρεται τοῦ ῥήματος, ἀδμής, ἡμιθνής, κυαμοτρώξ· οὕτω καὶ μεθυπλήξ· ὕσπληξ δὲ καὶ ἀντίπηξ. l. 10 ex Theogn. 41, 11 accesserunt ἀρρώξ ἀπτώξ πολυπτώξ, ex Eustath. 1922, 8 γραμματοτρώξ, ubi diserte Herodiani nomen profertur. De ἀπορρώξ cf. Schol. ad Odyss. ν 98 προπερισπαστέον τὸ ἀπορρῶγες et de θηροδίωξ καὶ αἰγοδίωξ, E. M. 451, 23 ἰστέον ὅτι παροξύνεται. l. 13 canonem de nominibus in αιξ composui ex Theogn. 132, 30, Eustath. 1922, 8 et Choer. 306, 32 cf. E. M. 243, 48. l. 25 pro εἴτε οὐδέτερα exhibui εἴτε θηλυκά, quod propter δάμαρ dictum est, nam de neutris hic non sermo est, quare in fine canonis etiam verba ab epitomatore assuta ὄναρ οὖθαρ omisi. l. 26 Ἄραρ adieci ex Mon. cum versu epigrammatis, nomen exstat etiam ap. Choer. 316, 19

μιςγόμεθ' ἀλλήλων ὡς Ἄραρος Ῥοδανός.

Ἰνσόβαρ ἔθνος Κελτικὸν πρὸς τῷ Πάδῳ. Πολύβιος, οὓς καὶ Ἴνσοβρας φηςίν.

Τὰ εἰς υρ βαρύνεται οἷον μάρτυρ. γίνεται δὲ ἐκ τοῦ μάρτυς κατὰ τὴν Αἰολέων διάλεκτον· ἐκεῖνοι γὰρ τὸ ς̄ εἰς ρ̄ μεταβάλλουςι τὸ οὗτος οὗτορ λέγοντες καὶ τὸ ἵππος ἵππορ· οὕτως οὖν καὶ μάρτυς μάρτυρ, ἀφ' ἧς ἐκτίπτει πληθυντικὸν οἱ μάρτυρες παρά τε κωμικοῖς καὶ Ἱππώνακτι. οἱ δέ γε μάρτυροι ἀπὸ τῆς ὁ μάρτυρος εὐθείας οἷον «Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω» (Η 76). ψίθυρ. ταῦτα δὲ μόνα εἴρηται· τὸ γὰρ Ἴλλυρες καὶ Κέρκυρες καὶ Ἄςςυρες παρὰ Ἐρατοςθένει οὐ κλίςεως ἐςτὶν ἀπὸ εὐθείας τῆς Ἴλλυρ, Κέρκυρ, Ἄςςυρ, ἀλλὰ κατὰ τὴν αὐτὴν πτῶςιν μεταπέπλαςται ἐκ τοῦ Ἰλλύριοι καὶ Κερκυραῖοι καὶ Ἀςςύριοι ὡς οἱ θεράποντες εὕρηνται θέραπες λεγόμενοι καὶ οἱ πολύποδες πώλυπες. ὡςαύτως ἔχει καὶ τὸ Λίγυρες ἔθνος προςεχὲς τοῖς Τυρρηνοῖς. Ἀρτεμίδωρος. ἀπὸ Λιγύρου ποταμοῦ· καὶ φίλυρες ἔθνος πρὸς τῷ Πόντῳ ἀπὸ Φιλύρας τῆς μητρὸς Κρόνου.

Τὰ εἰς η̄ρ̄ ὀξύνεται καὶ βαρύνεται. καὶ ὀξύνεται μὲν ἁπλᾶ ὄντα ἀρςενικά. ὁ δὲ λόγος περὶ τῶν εἰς ηρ τοῦ τ̄ προηγουμένου τοῦ η̄, ςτατήρ, ἐλατήρ, καμπτήρ, ὀλετήρ, ξυςτήρ, γενετήρ, πατήρ, ςωτήρ, χρηςτήρ, ζωςτήρ, καὶ Ζωςτὴρ τῆς Ἀττικῆς ἰςθμός, ὅπου φαςὶ τὴν Λητὼ λῦςαι τὴν ζώνην καὶ καθεῖςαν ἐν τῇ λίμνῃ λούςαςθαι. ἐνταῦςθα θύουςιν Ἁλαεῖς Λητοῖ καὶ Ἀρτέμιδι καὶ Ἀπόλλωνι Ζωςτηρίῳ. ἐξαυςτήρ. Ἐξαύτηρ δὲ κύριον ὡς τὸ ἀμάτηρ καὶ ἄντηρ καὶ Ἄςτηρ κύριον. τὸ δὲ φράτηρ Ἀττικοὶ μὲν βαρύνουςιν, οἱ Δωριεῖς ὀξύνουςιν. φράτερες δέ

---

per Γαλατίας ποταμός explicatum. Ἰνσόβαρ accessit ex St. B. s. v., sed Ἔαρες ἔθνος Ἰνδικὸν Dionysii Bassaricorum testimonio firmatum omisi. l. 4 ἔτι quod initio ap. Arc, praefixum est, ut ab epitomatore profectum omisi, sed βαρύνεται addidi. μάρτυρ explevi ex Eustath. 114, 15 collat. p. 1807, 16 (Favorin. 429. 18), Κέρκυρ ex E. M. 560, 20, qui locus ex libro περὶ παθῶν sumptus est, cum quo coniunxi St. B. 137, 5 Ἄςςυρες et Eustath. ad Dionys. 492, cui debentur, quae de θέραπες et πώλυπες annotata sunt, Λίγυρ ex St. B., item Φίλυρ cf. Lob. El. II 290. l. 18 περὶ τῶν εἰς ηρ addidi coll. Choer. 56, 3, l. 19 vocabula ὀλετήρ — πατήρ addidi ex Choer. 85, 24 et 317, ςωτήρ χρηςτήρ ex p. 273, ζωςτήρ et Ζωςτήρ ex St. B. Post ἐξαυςτήρ, de quo Choer. Orth. 250, 15 Πίηρ: ῑ, τὰ γὰρ εἰς η̄ρ̄ βαρύτονα ἐνὶ φωνήεντι θέλουςι παραλήγεςθαι πλὴν τοῦ Ἐξαύτηρ. ἔςτι δὲ ὄνομα κύριον καὶ βαρύνεται. ἡνίκα δὲ ςημαίνει τοὺς ὀγκίνους, ὀξύνεται, ap. Arcadium leguntur ἐξαύτηρ δὲ κύριον ὡς τὸ ἀμάτηρ καὶ ἄντηρ καὶ ἄςτηρ, κύριον. Quae verba retinui, quia certum quid substitui non potest, quamquam aperte corrupta sunt. Nam ἀμάτηρ, ἄντηρ nihili sunt, Ἀςτήρ κύριον autem in sequentibus oxytonon esse perhibetur, nam quod Eustath. p. 1967, 20: καὶ Ἄςτηρ μὲν πόλις, ἀςτήρ δὲ ὁ κατ' οὐρανόν dicit, a Philopono mutuatus esse videtur Lehrsio de Arist. p. 291 ed. II. Herodianus hoc loco videtur docuisse vocabula in τ̄η̄ρ̄ etiamsi in propria transeant, oxytonos scribi (in sequente canone dicit: τὰ εἰς η̄ρ̄ ἐθνικὰ ἢ κύρια μὴ ςυνεμπίπτοντα προςηγορικοῖς βαρύνονται), nisi mutatio quaedam formae velut in ἐξαυςτήρ et Ἐξαύτηρ facta sit. l. 24 φράτηρ addidi ex Ep. Hom. 346, 16 (cf. Ahrens de dial. Dor. p. 26 not. 2) et Choer. 86, 1 (Theodos. 992, 11) τῶν εἰς η̄ρ̄ βαρυτόνων τὰ μὲν μακρᾷ παραληγόμενα τρέπουςι τὸ η̄ εἰς ε̄ ἐν τῇ γενικῇ οἷον Πίηρ Πίερος, φράτηρ φράτερος (φράτερες δέ εἰςιν οἱ ςυγγενεῖς). Nominibus in τηρ addi potest ἐτήρ in Sophocl. fr. 682 Nauck «ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίους ex Cram. An. Ox. IV 329, 20 τὸ ἐτήρ παρὰ τὸ ἔτος Σοφοκλῆς» ἐτῆρας ἄμνους θεοῖς ἐρέξας ἐπακτίοις. γράφεται δὲ καὶ εὐείρας.

εἰcιν οἱ cυγγενεῖc. ἀρcενικὰ δὲ εἶπον διὰ τὰ θηλυκά. καὶ γὰρ τὰ εἰc η̅ρ̅ θηλυκά, μὴ μετατιθέμενα κατά τι ἔθοc ποιητικὸν εἰc διάφορον γένοc, βαρύνεται, μήτηρ, θυγάτηρ, Δημήτηρ, εἰνάτηρ. προcέθηκα δὲ «μὴ μετατιθέμενα κατά τι ἔθοc ποιητικὸν εἰc διάφορον γένοc» διὰ τό, «ῥαιcτῆρα κρατερήν» (C 477) «ὕλην cτεγαcτῆρα». τοιαῦτα γάρ ἐcτιν ὁποῖον ἡ αἰθήρ ἡ ἀήρ. cημειώδηc ἄρα ἡ γαcτήρ ὀξυνομένη.

Τὰ εἰc η̅ρ̅ ἐθνικὰ ἢ κύρια, μὴ cυνεμπίπτοντα προcηγορικοῖc, βαρύνονται, Ἴβηρ ὁ ποταμόc, οὗ μέμνηται Ἀπολλόδωροc ἐν τῇ περὶ γῆc β'

ἐντὸc δὲ Πυρήνηc Ἴβηρ τ' ἐcτὶν μέγαc
ποταμὸc φερόμενοc ἐνδοτέρω.

καὶ τὸ ἐθνικὸν ὁμοφώνωc. Ἀριcτοφάνηc Τριφάλητι «μανθάνοντεc τοὺc Ἴβηραc τοὺc Ἀριcτάρχου πάλαι» καὶ «τοὺc Ἴβηραc οὓc χορηγεῖc μοι βοηθῆcαι δρόμῳ» καὶ Ἀρτεμίδωροc ἐν δευτέρῳ τῶν γεωγραφουμένων «γραμματικῇ δὲ χρῶνται τῇ τῶν Ἰταλῶν οἱ παρὰ θάλατταν οἰκοῦντεc τῶν Ἰβήρων». Ἰλλίβηρ, Δόβηρ ἔθνοc Παιονίαc, Πίηρ, Βύζηρ ἔθνοc ἐν τῷ Πόντῳ. τὸ μέντοι Ἐλευθήρ εἷc τῶν Κουρήτων, ἀφ' οὗ Ἐλευθεραί πόλιc Κρήτηc, καὶ υἱὸc Ἀπόλλωνοc, ἀφ' οὗ Ἐλευθεραί πόλιc Βοιωτίαc, ὀξύνεται ὡc τὸ Ἀcτήρ.

Τὰ εἰc η̅ρ̅ μὴ ὄντα cύνθετα μηδὲ ἐθνικὰ ὀξύνεται, ἀνήρ, δαήρ, ἀήρ, αἰθήρ, cπινθήρ. τὸ μέντοι ἐρίηρ ὡc cύνθετον βαρύνεται.

Τὰ εἰc η̅ρ̅ ὀξύτονα φυλάττοντα τὸ η̅ κατὰ τὴν γενικὴν φυλάττει καὶ τὸν τόνον ἐν τῇ cυνθέcει οἷον δετήρ ἀμαλλοδετήρ, cτατήρ ὀβελοcτατήρ. τὸ μέντοι ἀνήρ λιπάνηρ, δαήρ πολυδάηρ, πατήρ αἰνοπάτηρ ὡc μὴ φυλάττοντα τὸ η̅ βαρύνονται. καὶ τὸ πάνθηρ καὶ cατυρόφηρ ἀπὸ μονοcυλλάβων.

Nam hic locus ex fontibus Herodianeis derivatus videtur aeque atque quae statim sequuntur de paronymis in ωνιοc et ωcιοc. l. 1 pro εἶπε ex Herodiani persona scripsi εἶπον. l. 3 εἰνάτηρ addidi ex Mon. 16, 22, quo loco consulto adieci verba inde a προcέθηκα δὲ usque ad l. 6 ἀήρ, quo facto pro Arcadii verbis τὸ δὲ γαcτήρ ὀξύνεται, quae posui, cημειώδηc κτλ. exhibui. l. 8 Ἴβηρ explevi ex St. B. l. 15 Ἰλλίβηρ pro codicum scriptura Ἀνίβηρ Lob. Parall. p. 211 not. emendavit etiam Κελτίβηρ proponens, potui etiam Αὐτίβηρ scribere cum Mein. ad St. B. 325, 10. Schmidt. Ἀνίβηρ tuetur ex Ἄναc (fluvio) et Ἴβηρ compositum putans. Δόβηρ ex St. B. explicavi, Βύζηρ ex eodem adieci p. 190, 11 et 324, 10. Propter abnormem accentum omisi Τριῆρεc ἔθνοc ἀπὸ Τριήρου τοῦ Ὀβριάρεω παιδὸc καὶ Θρᾴκηc, ὡc Ἀρριανὸc ἐν Βιθυνιακοῖc, qui Meinekio idem populus atque Τρῆρεc videtur; quod nomen Τρίηρεc scribendum fuit. Ἐλευθήρ explevi ex St. B. p. 265, 11. l. 19 ἁπλᾶ ante μὴ ὄντα eieci, quod unde natum sit, perspici potest ex Choer. Ep. in Psalm. 6, 21: τὰ εἰc η̅ρ̅ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν ἁπλᾶ μὴ ὄντα κύρια μηδὲ ἐθνικὰ ὀξύνονται οἷον αἰθήρ, δαήρ, ἀήρ, ἀνήρ. μάχεται τὸ ἐρίηρ· ἴcωc δὲ τοῦ ἐρίηροc ἐcτὶν ἀποκοπή. De ἀνήρ cf. Mon. 21, 19: οὐδὲν εἰc η̅ρ̅ λῆγον ὀξυνόμενον ἔχει τὸ ν̅ πρὸ τοῦ η, ἀλλὰ μόνον τὸ ἀνήρ· τὸ δ' αἴτιον πρόδηλον. προcέθηκα δὲ ὀξυνόμενον διὰ τὸ cύνηθεc (†) βαρυνόμενον κύριον καὶ δηλοῦν ποταμὸν ἐν Cικελίᾳ. l. 25 omisi vocabulum a Choer. Dict. 272, 35 commemoratum τριβολέτηρ εἶδοc ἀκάνθηc, cuius origo perdubia est neque accentus suspicione caret cf. Lob. Proll. 131 not. 5, qui τριβηλατήρ scribendum proponit. Hermannus opusc. VI 131 vocem a τρίβοc et ὄλλυμι propagatum esse et proprie „Wegesperre“ significare autumat. Quidni pro composito ex τρίβοc et ὀλετήρ „Wegeverderber“ composito existimemus? Tum vero accentus mutandus esset τριβολετήρ, cuius generis vitia Choerobosci librarii non

Τὰ εἰc ωc πάντα βαρύνονται, ῥήτωρ, κλήτωρ, ἵςτωρ, Ἕκτωρ, πέλωρ, ἐξ οὗ ὁ πελώριος, κέλωρ, σημαίνει δὲ τὸν υἱὸν παρὰ τὸ κελεύεσθαι, ἄκτωρ, Σπέρχωρ, ἄχωρ τὸ τῆς κεφαλῆς πιτύρισμα, ἀνάκτωρ, Ἀννίχωρ ὁ οἰκῶν Ἀννίχωρον, οὗ μέμνηται Ἀλκμάν, πλησίον Περσῶν. λέγονται δὲ οἱ Ἀννίχωρες καὶ Ἀννίχωροι, Κάστωρ, Θέστωρ, Νέστωρ, μήστωρ καὶ Μήστωρ. φράτωρ, ὃ καὶ φράτηρ ἐλέγετο, ἀλλὰ τὸ μὲν φράτηρ ἀρχαῖον μετὰ τῆς αὐτοῦ κλίσεως, θάτερον δὲ νεώτερον, Μέντωρ κύριον καὶ ἔθνος πρὸς τοῖς Λιβυρνοῖς. Ἑκαταῖος Εὐρώπῃ. κωμήτωρ, οἰκήτωρ, παγκράτωρ, προπάτωρ, Νικάνωρ, ἠλέκτωρ ὁ ἥλιος, ταλάωρ τὸ τόξον. Χαλκήτωρ ὁ οἰκήτωρ Χαλκητορίου πόλεως Κρήτης. Κρατερὸς ἐν τῷ περὶ ψηφισμάτων, Ἀπολλόδωρος δὲ Χαλκητορεῖς αὐτούς φησι τετάρτῳ χρονικῶν «μεθ' οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς». ἀλάστωρ ὁ Ζεὺς ὁ ὑποπτεύων τοὺς ἀλαστὰ καὶ χαλεπὰ ποιοῦντας· ἢ ὁ ἀσεβὴς ἢ ὁ κακοποιός. σημειῶδες ἄρα τὸ ἰχώρ μόνον ὀξυνόμενον. τὸ δὲ αἴτιον, ὅτι τοῦτο μόνον διήλλαξε περὶ τὴν κλίσιν. τὰ γὰρ εἰς ωρ ἀρσενικὰ δισύλλαβα μὴ ἔχοντα τὸ λ διὰ τοῦ ο κλίνονται οἷον Νέστορος Ἕκτορος· τὸ τοίνυν ἰχώρ μὴ ὁμοίως τοῖς ἄλλοις κλιθὲν ἐνήλλαξε καὶ περὶ τὸν τόνον.

Τὰ εἰς ειρ ὑπὲρ μίαν συλλαβὴν ἀσυνήθη μέν, τὰ δὲ εὑρεθέντα βαρύνεται, Βέχειρ ἔθνος Σκυθικόν, Σάπειρ ἢ μετὰ τοῦ ς Σάσπειρ ἔθνος ἐν μεσογαίᾳ τῆς Ποντικῆς οἱ νῦν διὰ τοῦ β λεγόμενοι Σάβειρες, Ἀλάζειρ, Λίγειρ ποταμὸς περὶ Γαλατίαν, Ἐλάτειρ ὁμοίως ὄνομα ποταμοῦ. ἑκατόγχειρ, ἀντίχειρ, χρυσοέθειρ παρ' Ἀρχιλόχῳ ἐν

---

raro commiserunt, eodem enim loco τριβολέτερ et τριβόλετερ scriptum est, atque τριβολετήρ oxytonos exhibuit Ahrens de dial. Aeol. p. 14 not. 16 et 114 not. 5.

l. 1 Canonem de nominibus in ωρ bis Arcadius profert p. 19, 16 ἔτι τὰ εἰς ωρ ῥήτωρ, κέλωρ, ἄπωρ, pro quo Lob. ἄχωρ, Schmidt. πάτωρ vel ἄκτωρ scribere volunt et p. 20, 20, ubi exempla Νέστωρ, Ἕκτωρ, ἄχωρ proponuntur et ἰχώρ excipitur. Ego canonem hunc relegavi et auxilio Mon. 32, 13 explevi ubi: ἰχώρ· οὐδὲν εἰς ωρ λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι θέλει, ἀλλὰ πάντα βαρύνεσθαι, ῥήτωρ, κλήτωρ, ἵστωρ, Ἕκτωρ, πέλωρ, κέλωρ, ἄκτωρ, Σπέρχωρ, Ἀνίχωρ, quod ex St. B. s. v. Ἀννίχωρ scripsi historia addita, ἄχωρ, ἀναῦζωρ, pro quo Lehrsius aut Γανύκτωρ aut ἀνάκτωρ scribendum proposuit, quorum posterius recepi, ἡ δὲ ἱστορία τῶν ὀνομάτων εἴρηταί μοι ἐν δευτέρῳ περὶ καθολικῆς προσῳδίας. σημειῶδες ἄρα τὸ ἰχώρ μόνον ὀξυνόμενον. τὸ δὲ αἴτιον εἴρηται ἐν τῷ περὶ καθολικῆς προσῳδίας; causa autem nulla alia est nisi ea, quam Choer. Epim. in Psalm. 45, 18 affert, unde l. 14—17 addidi. l. 5 Θέστωρ accessit ex Theogn. 42, 6, ex eod. Νέστωρ, μήστωρ ex Choer. Ep. in Psalm. 45, 20 et Μήστωρ Ep. Hom. 146, 5, φράτωρ ex St. B. 671, 1, Μέντωρ 445, 11, κωμήτωρ 401, 5, reliqua ex Choer. 321 et 87, Νικάνωρ Theogn. 42, 6, Χαλκήτωρ St. B. 683, 7, ἀλάστωρ E. Gud. 32, 35, ubi οὕτως Ἡρωδιανός. l. 19 canonem de nominibus in ειρ, qui ap. Arcad. canonem de nominibus in ωρ praecedit, sequi iussi. Praeceptum ipsum explevi ex Steph. B. 166, 11, Βέχειρ et 555, 12 Σάπειρ coll. E. M. 195, 43 Βέχειρ ἔθνος Σκυθικόν, ὡς Ἄπειρ ἢ μετὰ τοῦ ς Σάπειρ, quod ex St. B. mutandum esse censet Holstenius. l. 22 etiam St. B. ut Arcad. habet Ἐλεάζειρ, quod Lob. in Ἀλάζειρ mutavit ex Theogn. 41, 25, qui hoc loco mire cum St. B. congruit. l. 23 quod Lobeck. El. II 290 dicit Stephani Byzantii adnotamentum de apocope voc. χρυσοέθειρ, quia a reliquis epitomatoribus Herodiani absit, Herodiano abiudicandum esse, non persuadet, quum saepius factum sit, ut ab uno tantum excerptore Herodianeum quid servatum sit, sed habet Theognost. etiam idem τὸ χρυσοέθειρ ἀπὸ τοῦ χρυσοέθειρος ἀποκέκοπται.

Ἰοβάκχοις, ὅπερ ἀποκέκοπται τοῦ χρυσοέθειρος. οἱ μέντοι Βοιωτοὶ πολλὴν ἴσασι τὴν ειρ̄ κατάληξιν, καθὸ παρ' αὐτοῖς εἴωθε τὸ η̄ εἰς τὴν ει̅ δίφθογγον τρέπεσθαι· τὸ γὰρ πένης πένεις γράφουσι διὰ τῆς ει̅ διφθόγγου καὶ τὸ πατήρ καὶ μήτηρ παρ' ἡμῖν μὲν διὰ τοῦ η̄, παρ' αὐτοῖς δὲ διὰ τῆς ει̅ διφθόγγου.

Περὶ τῶν εἰς ας̅ ὑπὲρ μίαν συλλαβήν.

Τὰ εἰς ας̅ ὑπὲρ μίαν συλλαβὴν ἐκτεταμένον ἔχοντα τὸ ᾱ βαρύνεται καὶ περισπᾶται. καὶ βαρύνεται μὲν Αἴας Θόας, Ποίας, Δοίας, ἀφ' οὗ Δοίαντος πεδίον Φρυγίας καὶ Δοιάντειον ἄλσος, Βίας, Πρίας, Ὕας ἔθνος περὶ Ἀλαλκομένιον, Δρύας, Εὔας, ἔστι δὲ ἐπίθετον τοῦ Διονύσου, Κλεύας, Λάας τὸ κύριον, Λαίας, Καίας. περισπᾶται δὲ ἀτταγᾶς, πελεκᾶς καὶ Μαρικᾶς ὄνομα βάρβαρον παρὰ τῷ κωμικῷ «Εὔπολις τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν» (Nub. 553), κλίνεται δὲ καὶ περιττοσυλλάβως «ἀλλ' οὖν ἔγωγέ σοι λέγω Μαρικᾶντα μὴ κολάζειν». (Eupolis Mein. fr. Com. p. 191 ed. min.) τὸ δὲ Γλισᾶς — ἔστι δὲ ἥρως καὶ πόλις Βοιωτίας — «ἠδ' οἳ Γλισᾶντα νέμοντο» (Β 504) ἡ μὲν συνήθεια περισπᾷ, ἡ δὲ ἱστορία παροξύνει. Διονύσιος γὰρ ἱστορεῖ τοὺς ἐγχωρίους συστέλλειν τὸ ῐ καὶ μὴ περισπᾶν. ἀλλ' οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν. τὸ δὲ ἀλλᾶς παρὰ τῷ κωμικῷ ἡ μὲν κοινὴ συνήθεια βαρύνει, ἀλλ' ἐπειδὴ

---

l. 1 quae de ειρ̄ in dialecto Boeotica dicta sunt, fluxerunt ex Theogn. 41, 2 cf. Ahrens de dial. Aeol. p. 183 cum nota. Omisi quae ap. Arcad. in fine canonis addita sunt ἔτι καὶ τὰ μονοσύλλαβα οἷον χείρ φθείρ Εἴρ, ut ab hoc loco aliena.

l. 6 pro πολυσυλλάβων et l. 7 pro πολυσύλλαβα posui ὑπὲρ μίαν συλλαβήν ex Herodiani more. Ποίας Δοίας adieci ex Theogn. 42, 16, qui cum Θόας ut ο̄ praefinita bisyllaba in ος̅ componit κρόας, quod fortasse in χοάς a Vossio pro χολάς in Orph. Arg. 967 coniectatum mutandum est, ῥόας, quod ῥοάς scribendum videtur (confundit enim Theogn. h. l. masculina et feminina) idem atque ῥοιάς vel ῥυάς significans, μόας, pro quo Πόας i. q. Ποίας substituam. πλόας i. e. πλοάς i. q. πλωάς aut λόχος Spartanorum, Schol. Aristoph. Lysistr. 454. Δοίας habet etiam St. B. 235, 1, unde explevi. l. 9 Βίας Πρίας ex Theogn., Ὕας ex eodem et St. B. 644, 11. Δρύας Choer. 27, 23, Εὔας 28, 5, Κλεύας 30, 16, Λάας 27, 25, — l. 11 Λαίας Theogn. 42, 15, Καίας Choer. 95, 2, apud quem p. 30, 33 Κέας scriptum est. — Arcadius habet tantum περισπᾶται δὲ ἀρκᾶς πελεκᾶς, pro ἀρκᾶς Meinek. Ἀργᾶς, Lob. Μαρικᾶς proposuit; equidem Ἀργᾶς reservavi ad p. 51 l. 4 et hic ex ipso Arcad. 21, 14 et Choer. 43, 6 ἀτταγᾶς posui. Μαρικᾶς adieci ex Eustath. 300, 14, ubi ὁ δὲ Ἡρωδιανὸς παραπηγνὺς καὶ τὸν παρὰ τῷ κωμικῷ Μαρικᾶν τὸ βάρβαρον ὄνομα διὰ τοῦ ντ̄ κλιθῆναι λέγει, παραφέρων χρῆσιν ταύτην κτλ. l. 15 Γλισᾶς addidi ex Il. Pr. Β 504 et Μ 20 cf. St. B. et Eustath. 269, 18 Γλίσσας κατοικία τίς, φασί, Θηβαϊκὴ ἐν τῷ Ὑπάτῳ ὄρει ἀπὸ Γλίσσωνος ὠνόμασται ἢ Γλίσσαντος, ὥς φησιν ὁ γράψας τὰ ἐθνικά. τῷ δὲ τόνῳ Γλίσσας Γλίσσαντος ὡς γίγας γίγαντος. οἱ δὲ σχολιασταί φασιν, ὅτι ἡ μὲν συνήθεια προπερισπᾷ Γλισσᾶντα λέγουσα, ἡ δὲ ἱστορία προπαροξύνει τὸ ὄνομα. ἱστέον δὲ ὡς τὴν δευτέραν ταύτην κλίσιν οὐκ οἶδεν ἡ ἀκρίβεια, τὴν προπερισπῶσαν τὸν Γλισσᾶντα, εἰ μὴ ἄρα ἐκ τοῦ Γλισσάεις κλίνεται καὶ συναιρεῖται ὡς τὸ αἰγλῆντα καὶ χρυσὸν τιμῆντα. ὁ δὲ Χοιροβοσκὸς οὐ προπερισπωμένως Γλισσᾶντα, ἀλλὰ περισπωμένως Γλισσᾶν ὡς Θωμᾶν καὶ Κοσμᾶν. Ab Eustathio neque Herodiani sententia accurate relata est neque Choerobosci, qui p. 43, 8 σεσημείωται ἐν τοῖς κυρίοις τὸ Γλίσας Γλίσαντος (scr. ex regula a Choerob. proposita Γλισᾶς Γλισᾶντος) περιττοσυλλάβως κλιθέν. l. 20 ἀλλᾶς ex Eustath. l. c. et Io. Al. 8, 14 πάντα τὰ εἰς ας̅ μακροκατάληκτα ἐπὶ τῷ τέλει τὸν τόνον ἔχοντα ὧν ἡ

ὁ ἀλλᾶϲ ὡϲ ἀπὸ τοῦ ἀλλάειϲ κέκλιται διὰ τοῦ ντοϲ, ἵν' ᾖ ἀλλάεντοϲ καὶ κατὰ κρᾶϲιν ἀλλᾶντοϲ, καὶ ἡ ἐντελὴϲ εὐθεῖα τοῦ ἀλλᾶντοϲ περιϲπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράϲεωϲ ὁμοίωϲ τῷ ἱλάειϲ ἱλᾶϲ. Ἔτι δὲ περιϲπῶνται ταῦτα μόνωϲ κύρια ἢ ὑποκοριϲτικά, Ἑρμᾶϲ Ἀργᾶϲ, Αἰγᾶϲ ποταμὸϲ φερόμενοϲ ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρουϲ, ἀφ' οὗ καὶ τὸ πεδίον Αἰγαῖον, Καρρᾶϲ ποταμὸϲ Ϲυρίαϲ, Βορρᾶϲ, Γονατᾶϲ ὁ Γούνιοϲ ἐθνικόν, Κομητᾶϲ, Φιλητᾶϲ, Μηνᾶϲ, Ζηνᾶϲ, Μητρᾶϲ, ὀϲτρακᾶϲ, πινακᾶϲ, λαχανᾶϲ, ἢ ἐπὶ ϲκώμματοϲ ταϲϲόμενα φαγᾶϲ καταφαγᾶϲ δακνᾶϲ ἢ τὰ ἀπὸ ϲυμβεβηκότοϲ οἷον τρεϲᾶϲ. ὡϲαύτωϲ δὲ καὶ τὰ Ἰωνικῶϲ παραλόγωϲ διὰ τοῦ δ κεκλιμένα, ὧν τὸ α μακρόν, Βοιβᾶϲ, Βιττᾶϲ, Κυρᾶϲ· εἰϲὶ δὲ ὀνόματα κύρια. οὐδέποτε δὲ ὀξύνεται, χωρὶϲ εἰ μὴ ὦϲιν ἀπὸ παθητικοῦ παρακειμένου ϲύνθετα διὰ μόνου τοῦ τ κλινόμενα οἷον χαλκοκράϲ καὶ γαλακτοκράϲ καὶ νεοκράϲ. ὅθεν τὸ ἱμάϲ καὶ ἀνδριάϲ ὡϲ ἐκτεταμένον ἔχοντα τὸ αϲ ϲημειούμεθα παραλόγωϲ ὀξυνόμενα. οὐκ ἀγνοῶ δὲ ὅτι Ἡλιόδωροϲ ἐβούλετο ταῦτα περιϲπᾶν. τὸ δ' αὐτὸ ἠξίου καὶ Δράκων ὁ Ϲτρατονικεύϲ, ἔτι δὲ καὶ Τυραννίων. οὐκ ἔχει δὲ οὕτω τὰ τῆϲ ἀναγνώϲεωϲ. ἐμιμήϲαντο δὲ αὐτὰ ἐκτεινόμενα ἐν τῇ ληγούϲῃ κατὰ τὰϲ μετοχὰϲ καὶ τὴν τῶν μετοχῶν κλίϲιν τοῦ ἱϲτάϲ ἱϲτάντοϲ καὶ βιβάϲ βιβάντοϲ. ἱμάντοϲ γὰρ καὶ ἀνδριάντοϲ, ἅπερ παρ' Ἀττικοῖϲ περιϲπᾶται. Βαρύνεται

κλίϲιϲ ἢ κατ' ἀποβολὴν τοῦ ϲ ἢ διὰ τοῦ ντ, Μητρᾶϲ Μητρᾶ, Ζηνᾶϲ Ζηνᾶ, Γλιϲᾶϲ Γλιϲᾶντοϲ, πελεκᾶϲ πελεκᾶντοϲ, ἀλλᾶϲ ἀλλᾶντοϲ καὶ ὅτι τοιοῦτον. l. 3 ὁμοίωϲ τῷ — ἱλᾶϲ addidi ex Arc. 21, 26. ἔτι δὲ περιϲπῶνται usque ad τρεϲᾶϲ l. 9 addidi ex Choer. 42, 31 adiectis Ἑρμᾶϲ ex Arc. 22, 5, Ἀργᾶϲ ex Arc. 21, 1, ubi Mein. pro ἀρκᾶϲ hoc substituit; de nomine ipso cf. Lob. Proll. 497, qui proprium ex Ἀργέαϲ, appellativum autem ex ἀργίαϲ contractum putat, Ahrens propter ἀργᾶντα accusativum ex ἀργάειϲ de dial. Dor. 196 cum not. 3 cf. Schmidt. ad Hes. s. ἀργᾶϲ. Αἰγᾶϲ ex St. B. 38, 6, Γονατᾶϲ ex St. B. 211, 2, ubi diserte additum est: ὃ καὶ παράλογον διὰ τὸν τόνον, ex eodem etiam Καρρᾶϲ 362, 2. Βορρᾶϲ ex Arc. 22, 15 et Ep. Hom. 217, 8: τὰ εἰϲ αϲ ὑπὲρ μίαν ϲυλλαβὴν μακρὸν ἔχοντα τὸ α ἢ βαρύνονται ἢ περιϲπῶνται· βαρύνονται μὲν οἷον Θόαϲ Αἴαϲ. περιϲπῶνται δὲ οἷον Βορρᾶϲ ἀλλᾶϲ· ἔϲτι δὲ εἶδοϲ πλακοῦντοϲ, ἐξ οὗ καὶ ἀλλαντοπωλῶ. καὶ πελεκᾶϲ· τὸ δὲ ἱμάϲ καὶ ἀνδριάϲ ὡϲ διαλλάξαντα κατὰ τὸν χρόνον πρὸϲ τὰ ἄλλα, ἤγουν τὸ Ἀρκάϲ, διήλλαξε καὶ τὴν κλίϲιν· ἐπὶ μέντοι γενικῆϲ ἱμάντοϲ οἱ μὲν Ἀττικοὶ τῷ χρόνῳ τῆϲ εὐθείαϲ ἀκολουθοῦντεϲ περιϲπῶϲι τὴν γενικήν. ἡ δὲ κοινὴ ϲυνήθεια τοῦτο ἀπέβαλε διὰ τὸν κανόνα κτλ. l. 8 pro πινακαδᾶϲ ap. Choer. Lob. Proll. 506 not. 33 πινακᾶϲ scribendum censet, quod recepi. l. 10—11 Βιττᾶϲ ex Io. Al. 8, 18, ubi pro ἴϲωϲ παραλόγωϲ ex Choer. 42, 28, Ἰωνικῶϲ παραλόγωϲ scripsi, Κυρᾶϲ accessit ex Choer. l. 13 διὰ μόνου τοῦ τ κλινόμενα addidi ex Io. Al. 8, 22, unde etiam νεοκράϲ. l. 14 canonem de ἱμάϲ et ἀνδριάϲ explevi ex Mon. 34, 8, ubi post οὐκ ἔχει δὲ οὕτω τὰ τῆϲ ἀναγνώϲεωϲ additur ὡϲ ἐν ἑτέροιϲ ἐδήλωϲα (sc. in Catholica) et Eust. 300, 14, unde l. 18 ἐμιμήϲαντο — l. 19 βιβάϲ βιβάντοϲ adieci, Io. Al. 8, 23, unde l. 19 ἱμάντοϲ γὰρ — περιϲπᾶται cf. Choer. 98, 4 ubi τὸ ἱμάϲ καὶ ἀνδριάϲ, ὥϲ φηϲιν Ἡρωδιανὸϲ ἐν τῇ καθόλου, παραλόγωϲ ὀξύνονται. E. M. 101, 42 ἀνδριάϲ: Ζητεῖται, εἰ πάντα τὰ εἰϲ ᾱϲ μακρὸν καταλήγοντα ἢ βαρύνονται ἢ περιϲπῶνται, τὸ δὲ ἀνδριάϲ καὶ ἱμάϲ ϲεϲημείωται, ποῖον ἄρα ἀνάλογον ὤφειλεν ἔχειν τὸν τόνον, περιϲπώμενον ἢ βαρύτονον; καὶ λέγουϲιν, ὅτι βαρύνεται, ἐπειδὴ πάντα τὰ εἰϲ αϲ ἀπὸ τῶν εἰϲ οϲ ἀπὸ εὐθείαϲ ἢ ἀπὸ γενικῆϲ βαρύνεται, βέλοϲ βελίαϲ, δράκων δράκοντοϲ δρακοντίαϲ, οὕτωϲ ἄρα ἀνδρόϲ ἀνδρίαϲ· καὶ πάντα τὰ εἰϲ μαϲ μὴ ὄντα ὑποκοριϲτικὰ βαρύνεται ἀκάμαϲ οὕτω καὶ ἵμαϲ. «μὴ ὄντα ὑποκοριϲτικὰ» διὰ τὸ Θωμᾶϲ καὶ Κοϲμᾶϲ ἀπὸ τοῦ θαυμάϲιοϲ καὶ κόϲμιοϲ. De nominibus in ιαϲ cf. Lob. Proll. p. 490.

δὲ τὰ εἰς $\overline{\alpha\varsigma}$ καθαρόν, Νικίας, Λυσίας, Ἀρχίας, Λοξίας, Γοργίας, Ἐρυξίας, δρακοντίας, ὀνοματίας, κοππατίας, ταραξίας, κοχλίας, τραυματίας, Παπίας, Ὠπίας ἔθνος Ἰνδικόν. Ἑκαταῖος Ἀσίᾳ «ἐν δὲ αὐτοῖσι οἰκέουσι ἄνθρωποι παρὰ τὸν Ἰνδὸν ποταμὸν Ὠπίαι, ἐν δὲ τεῖχος βασιλήϊον. μέχρι τούτου Ὠπίαι, ἀπὸ δὲ τούτων ἐρημίη μέχρις Ἰνδῶν». Προυσίας, Πρακίας ἔθνος ἀπὸ Πρακὸς τοῦ ἐξ Ἠπείρου μὲν ὁρμήσαντος, οἰκήσαντος δὲ ἐν τῇ Λακωνικῇ. Ἀγρίας ἔθνος Παιονίας μεταξὺ Αἵμου καὶ Ῥοδόπης. παρὰ Πολυβίῳ δὲ διὰ τοῦ α. εὑρέθη δὲ ἐν ὀκτωκαιδεκάτῃ «τὸ γὰρ τῶν Ἀγραῶν ἔθνος». λέγονται καὶ Ἀγράϊοι καὶ Ἀγριεῖς ὡς Θεόπομπος καὶ Ἀγριᾶνες. Ἀδρίας κόλπος παρὰ τὴν Ἀδρίαν πόλιν καὶ ποταμός, ὡς Ἑκαταῖος. Καλατίας γένος Ἰνδικόν. Ἑκαταῖος Ἀσίᾳ. Ἀσίας. Ὅμηρος (Β 461) «Ἀσίω ἐν λειμῶνι» ἀντὶ τοῦ Ἀσίου (γενικὴ γάρ ἐστιν, οὐκ Ἀσιανῷ. ἀγνοεῖ γὰρ Ὅμηρος τὴν Ἀσίαν ὡς καὶ τὴν Εὐρώπην)· καὶ Ἰωνικῶς Ἀσίεω καὶ Ἀσίω ὡς τὸ «ἐϋμμελίω Πριάμοιο» (Δ 47). διὸ χωρὶς τοῦ $\bar{\iota}$. Ἱππίας, πωγωνίας, Γλαυκίας, τοξίας, Ἀφίας κύριον παρ' Εὐφορίωνι, Πευκετίας ἔθνος τοῖς Οἰνωτροῖς προσεχές, ὡς Ἑκαταῖος Εὐρώπῃ, Πικίας ἔθνος Ἰταλίας, Παρίας· ἔστι δὲ ὄνομα κύριον καὶ διὰ τοῦ $\bar{\iota}$ γράφεται. τὸ γὰρ σημαῖνον τὸν ὄφιν διὰ τῆς $\overline{\epsilon\iota}$ διφθόγγου οἷον παρείας· καὶ ἔστιν ἡ χρῆσις παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ (690) «ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις». Βορέας, Ἡρέας, Θρασέας, Κρατέας, Ἀνδρέας, Θαλέας, Μενέας, Ἀριστέας, Μνασέας, Αὐγέας, Πυθέας, Ἐλέας παρὰ Φιλοστεφάνῳ, Φιλέας χωρίον Βυζαντίου. τινὲς δὲ Φιλίαν, ἄλλοι δὲ Φινέαν γράφουσιν. καὶ πλεονασμῷ τοῦ $\bar{\iota}$ Αἰνείας, Αὐγείας, Ἑρμείας. Τηλεβόας ἥρως καὶ ἔθνος τῆς Ἀκαρνανίας· ἔστι καὶ Τηλεβόας ποταμὸς πρὸς ταῖς πηγαῖς Τίγρητος. Γενόας ἄρχων Μολοττῶν, ἀφ' οὗ ἔθνος Γενοαῖοι. Ματόας· οὕτω πάλαι ὑπὸ Σκυθῶν ἐκαλεῖτο Ἴστρος ὁ ποταμός. Ματόας δέ ἐστι κατ' Ἕλληνας ἅσιος. πατραλοίας. Μαρσύας, Ἰχθύας, Ὀθρύας, Μινύας ἔθνος Θεσσαλίας, Μιλύας ἔθνος οἱ πρότερον Σόλυμοι ὡς Τιμαγένης πρώτῳ βασιλέων. λέγονται καὶ Μίλυες ἀπὸ Μιλύης τῆς γυναικὸς Σολύμου καὶ ἀδελφῆς, ὕστερον δὲ Κράγου γυναικός.

---

l. 1 Νικίας Λυσίας accesserunt ex Herodian. in An. Ox. IV 335, 13, l. 2 Ἐρυξίας — κοππατίας ex Mon. 34, 10. ταραξίας — Παπίας Choer. 31, 11, Ὠπίας ex eodem et St. B. 708, 15, ex quo etiam Προυσίας 536, 5, Πρακίας 534, 7, Ἀγρίας 21, 13, Ἀδρίας 28, 14, Καλατίας 347. 24. l. 12 Ἀσίας ex St. B. 131, 7 coll. Eustath. ad Dionys. 620 et Schol. A ad Il. B 461, ubi: οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. l. 16 Ἱππίας — τοξίας ex Theogn. 42, 21. Ἀφίας ex Choer. 32, 5 et 119, 25, Πευκετίας Choer. et St. B. 519, 21, Πικίας Choer. et St. B. 523, 11. Παρίας Choer. 32, 9 et περὶ ποσότητος Cr. II 288 coll. Theogn. 42, 22.
l. 21 Βορέας Ἡρέας Mon. 34, 11. l. 22 Θρασέας — Ἀνδρέας ex Mon. l. c., Θαλέας, quod posui pro Βανέας — Μνασέας Theogn. 42, 25. Αὐγέας Πυθέας Herod. An. Ox. IV 335, 13, Φιλέας St. B. 665, 19; Αἰνείας — Ἡρμείας Theogn. 42, 22 coll. Choer. Orth. 176, 4. l. 25 Τηλεβόας Io. Al. 9, 4, St. B. 620, 14, Γενόας St. B. 202, 21, Ματόας St. B 218, 1 coll. Eust. ad Dionys. 494, l. 29 πατραλοίας Herod. An. Ox. l. c. l. 29. Μαρσύας — Φλεγύας p. 53 l. 2. Theogn. 42, 28, apud quem pro Λινύας monente Lobeckio scripsi Μινύας, quod habet etiam

Βιθύας ἔθνος Θρᾴκης ἀπὸ Βίθυος τοῦ Ἄρεος καὶ Ϲήτης τῆς Ῥήσου ἀδελφῆς. Φλεγύας ὁ Ἄρεος καὶ Χρυςῆς παῖς καὶ ἔθνος Βοιωτίας. Ὅμηρος (Ν 302) «ἠὲ μετὰ Φλεγύας μεγαλήτορας». ἔστι δὲ καὶ Φλεγύης ἡ εὐθεῖα καὶ Φλέγυς. Ϲατύας κύριον παρ' Ἡγηςίππῳ καὶ Ἀρύας ποταμὸς παρ' Ἐρατοςθένει «ἡ δὲ ὑπὲρ Ἀρύαντος ἐπὶ προχοαῖς ποταμίων». τὸ μέντοι τριάς θηλυκὸν καὶ ςυςτελλόμενον ἔχει τὸ ᾰ.

Τὰ εἰς βας βαρύνονται· Βίβας τὸ κύριον, Φόρβας, Ἡλίου υἱὸς καὶ πόλις τῶν ἐν Θεςςαλίᾳ Ἀχαιῶν, Ἄβας ποταμὸς καὶ ἥρως καὶ ἔθνος, Ἶβας, Ϲκρίβας, Ψευδαρτάβας, Ἀννίβας, Κάβας, Λάβας, Ἰόβας, Ῥήβας ποταμὸς παρὰ τῷ Πόντῳ καὶ χώρα, Ἄλβας ποταμὸς ὁ νῦν λεγόμενος Τίβερις Τιβερίνου τοῦ βαςιλέως ἐν αὐτῷ θανόντος. Χάλβας ποταμὸς Ϲυρίας, Ϲάμβας ὄνομα ποταμοῦ, Λυκάμβας, Χηράμβας. Κύρβας, Θίςβας, λυκάβας, Ἀρύβας κύριον, Ἀρύββας ἐθνικὸν παρὰ τῷ Ἀλκμᾶνι. ἀλίβας. Ἀλύβας· τοῦτον οἱ μὲν Μεταπόντιον ἤκουςαν τῆς Ἰταλίας, οἱ δὲ Θρᾴκης πόλιν, ὡς Ὅμηρος. ἔςτι δὲ καὶ ἔθνος. ὀκρίβας. τὸ δὲ Βοιβᾶς περιςπᾶται. τὸ δὲ ςτιβάς θηλυκὸν καὶ ςυςτελλόμενον ἔχει τὸ ᾰ, καὶ τὸ βιβάς μετοχή ἐςτιν.

Τὰ εἰς γας πάντα βαρύνεται, εἰ μὴ ἐπὶ ςκώμματος εἴη, ὡς ἔχει τὸ φαγᾶς, γίγας, μέγας καὶ Μέγας, Μίγας, Ϲάγγας, Ἄλγας, Βρίγας κύριον καὶ ἔθνος, Ζύγας ἔθνος Λιβύης «οἵ τινες τὰ ἄνθη ςυλλέγοντες μέλι ποιοῦςιν ὥςτε μὴ λείπεςθαι τοῦ ὑπὸ τῶν μελιςςῶν γινομένου», ὡς Εὔδοξος ὁ Κνίδιος ἐν ἕκτῳ γῆς περιόδου. Ϲάλγας ποταμὸς τῆς Μαυριτανίας, Βηςςύγας ποταμὸς τῆς Ἰνδικῆς. Ἀκράγας πόλις Ϲικελίας ἀπὸ ποταμοῦ παραρρέοντος. φηςὶ γὰρ Δοῦρις ὅτι αἱ πλεῖςται τῶν Ϲικελῶν πόλεων ἐκ τῶν ποταμῶν ὀνομάζονται, Ϲυρακούςας, Γέλαν, Ἱμέραν, Ϲελινοῦντα καὶ Φοινικοῦντα καὶ Ἐρύκην καὶ Καμικὸν Ἁλικύας τε καὶ Θέρμον καὶ Καμαρῖναν, ὡς καὶ ἐν Ἰταλίᾳ. οἱ δὲ ἀπὸ Ἀκράγαντος τοῦ Διὸς καὶ Ἀςτερόπης τῆς Ὠκεανοῦ. ἔςτι καὶ Θρᾴκης καὶ Εὐβοίας καὶ Κύπρου καὶ Αἰτωλίας. Πολύβιος δὲ τὸν ποταμὸν καὶ τὴν πόλιν ἀπὸ τῆς χώρας ὠνομάςθαι Ἀκράγης διὰ τὸ εὔγεων.

Herod. Mon. 34, 11 et St. B. 454, 4. Φλεγύας habet etiam Choer. 32, 6, St. B. 667, 15, Μιλύας sumptum est ex St. B. 453, 15, Βιθύας 169, 17. l. 4 Ϲατύας praeter Theogn. habet etiam Choer., cui debetur Ἀρύας. Caeterum de his nominibus conferendus est Lob. Proll. 487 seqq., de circumflexis etiam ad Phrynich. p. 433. l. 7 ad Βίβας τὸ κύριον apposui propter βιβάς. Φόρβας explevi ex St. B. 670, 5, Ἄβας ex Choer. 33, 5 et St. B. 1, 2, ubi ἔςτι δὲ ποταμὸς Ἰταλίας, quod Mein. aut in Ἀςίας aut in Ἀλβανίας mutandum putat, Ἶβας ex Choer., ex eod. Ϲκρίβας, quod suspectum est, et Ψευδαρτάβας, quod pro ψευδάρτας substitui cf. Lob. Proll. 288. Ἀννίβας — Λάβας item ex Choer., Ἰόβας et Ῥήβας ex Choer. et St. B. 544, 10, Ἄλβας ex St. B. 69, 9. Χάλβας — Ἀρύβας ex Choer., Ἀρύββας ex St. B. 129, 8, ἀλίβας Choer. 41, 12, Ἀλύβας St B. 79, 4 et Choer. 33, 30. l. 16 Arc. habet: τὸ δὲ ἀκριβᾶς περιςπᾶται, quod sic mutavi, ut ὀκρίβας barytonis assignarem et Βοιβᾶς ex Io. Al. 8, 19 reciperem. In fine adieci ςτιβάς duce Eustath. 1571, 30: Ἡρωδιανὸς οὖν παραδοὺς τὰ εἰς ᾱς διὰ τοῦ δ κλίνεςθαι οἷον ςτιβάς ςτιβάδος κτλ., et βιβάς, cuius mentionem iniecisse Herodianum suspicor ex Io. Al. 22. 13, ubi ἱςτάς κιχράς et inde quod ap. Arc. Βίβας proprium relatum est. l. 19 inde a Μέγας — Ϲτροάγας sumpta sunt nomina ex Choer. 33, 32, Βρίγας et Ἀκράγας habet etiam St. B. 186, 5 et 62, 10. Soli Stephano

Cατύργαc. Cτροάγαc. τὸ μέντοι φυγάc ὀξύνεται οὐκ ἔχον τὸ ᾱ ἐκτεταμένον. cεcημείωται τὸ ἀτταγᾶc περιcπώμενον, ὅπερ καὶ ἀτταγήν λέγεται, καὶ τὸ Αἰγᾶc καὶ τὸ Ἀργᾶc.

Τὰ εἰc δαc βαρύνεται, εἰ μὴ διὰ τοῦ δοc κλίνοιτο, ἢ cυναληλιμμένα εἴη ἢ ὑποκοριcτικά, Ἴδαc, Λάδαc, Δάδαc, Cφάδαc, Κλύδαc, Λήδαc, Δέρδαc, Μίδαc, Οἶδαc οἱ κατοικοῦντεc Οἰδάντιον πόλιν Ἰλλυριῶν, ὥc φηcιν Ἑκαταῖοc, Μείδαc, Cακάδαc, Τιμαχίδαc, Θρακίδαc, Λεωνίδαc, Βραcίδαc, Χαρμάδαc, Ἀφείδαc βαcιλεὺc καὶ ἔθνοc Μολοccῶν, Χαρίδαc. τὸ μέντοι Θευδᾶc περιcπᾶται ὡc Μητρᾶc, Ζηνᾶc, Πυθᾶc. τὸ δὲ Κερκιδᾶc ἀπὸ cυναλοιφῆc. τὸ δὲ . . . . . . διὰ τοῦ δοc κλίνεται.

Τὰ εἰc ᾱc ἐκτεταμένον, ἔχοντα πρὸ τοῦ ᾱ ἓν τῶν διπλῶν βαρύνονται, Βύζαc ὁ Κεροέccηc τῆc Ἰοῦc θυγατρὸc καὶ Ποcειδῶνοc καὶ ἔθνοc Λιβυκόν, ἀφ' οὗ ἡ πόλιc Βυζάντιον. παρ' Ἡροδότῳ δὲ ἐν τετάρτῃ (c. 194) διὰ τοῦ γ̄ Γύζαντεc. Ἐλίξαc, Ἄψαc. Πύζαc, Ἀρίζαc, Ἀνάξαc, Γαρτάζαc. τὸ μέντοι ὑψᾶc περιcπᾶται καὶ τὸ ἑξᾶc ἐπὶ ποcότητοc ὄν.

* Τὰ εἰc θαc βαρύνονται, Cτρούθαc, Παγάθαc, Ἄρθαc, Ἀόρθαc.

* Τὰ εἰc καc βαρύνονται, Πελέκαc, Περδίκκαc, Κώκαc, Κρίκαc ποταμόc, Cάκαc, Λάκαc, Πολύκκαc ποταμὸc Μακεδονίαc, Ματάκαc ὄνομα εὐνούχου, Ἰνδύκαc, Κοτύκαc βαcιλεὺc Παφλαγονίαc. Ἑλίκαc ὁ Λυκάονοc. Καραμβύκαc ποταμὸc Ἐλιξοίαc νήcου καὶ ὁ νηcιώτηc ὁμοφώνωc, ὡc Ἑκαταῖοc ὁ Ἀβδηρίτηc. τὸ δὲ Ἀρκάc cυcτελλόμενον ἔχον τὸ ᾰ ὀξύνεται.

Τὰ εἰc λαc δι' ἑνὸc λ βαρύνονται, εἰ μὴ ἐκ cυναλοιφῆc εἴη, Γέλαc ποταμὸc Cικελίαc, ὃc οὕτω καλεῖται, ὅτι πολλὴν πάχνην γεννᾷ. ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Cικελῶν γέλαν λέγεcθαι. Ὕλαc,

---

debentur Ζύγαc et Βηccύγαc. l. 1 Cατύργαc et Cτροάγαc suspecta sunt, Cατύργαc habet etiam Lascaris; proponam formas ethnicorum Ποδάργηc et Τεκτοcάγηc Doricas Ποδάργαc Τεκτοcάγαc. l. 3 Αἰγᾶc et Ἀργᾶc ex superioribus hic apposui. l. 4 Arcadius habet tantum Ἴδαc et Βραcίδαc, reliqua maximam partem sunt ex Choer. p. 34, cui Βραcίδαc deest. Δάδαc accessit ex St. B. 309, 1 qui habet etiam Cάλγαc 531, 8 et Ἀφείδαc 149, 4; Cφάδαc ex Choer. p. 40, 9, pro Ἀκάδαc scripsi Cακάδαc ex p. 41, 14. l. 11 verba τὸ δὲ cum lacuna posui ob canonis formationem. l. 12 ex Choer. 35, 15 pro τὸ πρὸ τῶν scripsi πρὸ τοῦ ᾱ ἕν. — Βύζαc explevi ex St. B. 189, 3 et 214, 3: Βύζαντεc Λιβύηc περὶ Καρχηδόνα κτλ. παρ' Ἡροδότῳ δὲ κακῶc διὰ τοῦ γ̄ Γύζαντεc et: Γύζαντεc ἔθνοc Λιβυκὸν ὡc Ἡρόδοτοc ἐν τετάρτῃ καὶ Ἡρωδιανόc, ex quibus locis comparatis concludimus Herodianum pro teste scripturae Γύζαντεc Herodotum citasse et alteram scribendi rationem praetulisse, quod St. B. breviter per κακῶc significavit. Pro ἀλείψαc ab hoc loco alieno posui ex Choer. Ἄψαc, quod apud eum p. 41, 22 Ἄλψαc scriptum est. Πύζαc — Γαρτάζαc sunt ex Choer. p. 35 et 41. l. 18 hunc canonem addidi ex Choer. 35, 22, Cτρούθαc p. 41, 23, pro Ἄρθαc habet Lascaris fortasse rectius Ἄνθαc. l. 20 hic canon accessit ex Choer. 35, 24, Λάκαc ex p. 40, 9, pro Κώκκαc recepi, quod scriptum est p. 41, 4 Κώκαc et pro Πελέκκαc Πελέκαc ex p. 41, 24, Περδίκκαc ex p. 41, 24. Ἑλίκαc est ex St. B. 266, 20 et Καραμβύκαc ex eod. p. 267, 13 et 357, 9. τὸ δὲ Ἀρκάc κτλ. ipse adieci. l. 26 Γέλαc explevi ex St. B. 200, 21, Γάλαc — Φύλαc ex Choer. 35, 30,

μέλας. Γάλας, Κάλας, Φύλας, Μύλας ὁ πρῶτος εὑρὼν ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν, Χήλας, Ἄτλας ἔθνος Λιβυκόν. Ἡρόδοτος τετάρτῃ (c. 184). ἔστι δὲ τὸ ὄνομα ἀπὸ τῶν ὀρῶν τῶν δύο Ἀτλάντων. Ῥιανὸς δὲ ἐν Ἀχαϊκῶν δευτέρᾳ Ἀτάραντας εἶναί φησι καὶ μετ᾽ αὐτοὺς Ἄτλαντας. Πτερέλας, Κωτέλας, Ζηΐλας πατὴρ Νικομήδους, Πριόλας, Μιδιόλας, Γενειόλας, Μεσόλας ὁ Δεξαμενοῦ πατήρ, Ἀργόλας ὁ Ἀργεῖος. Ἀριστοφάνης Ἥρωσιν

οὐκ ἠγόρευον; οὗτός ἐστ᾽ ὁ Ἀργόλας.
μὰ Δι᾽ οὐ δέ γ᾽ Ἕλλην, ὅσον ἔμοιγε φαίνεται.

καὶ Εὐριπίδης ἐν Πλεισθένει «ἐγὼ δὲ Σαρδιανός, οὐκέτ᾽ Ἀργόλας». Δορύλας, Ἀρτύλας, Βουκεφάλας λιμὴν τῆς Ἀργολικῆς καὶ ὁ ἵππος τοῦ Ἀλεξάνδρου. Ἀμύκλας ὁ Λακεδαίμονος υἱός. Σιμίας ἐν Μησίν «ὅν ῥ᾽ ἀπ᾽ Ἀμύκλαντος παιδὸς ἀποφθιμένου λαοὶ κικλήσκουσιν». Τὸ μέντοι ἱλᾶς περισπᾶται ἀπὸ τοῦ ἱλάεις.

Τὰ εἰς δύο λλ ἐκτεινόμενον ἔχοντα τὸ ᾱ βαρύνεται, Μύλλας, Πάλλας, Βάλλας, Κύλλας, Κίλλας κύριον καὶ ἐθνικὸν ὁμοφώνως, Ἴλλας, Σίλλας, Φέλλας, Σέλλας ποταμὸς ἐν τῇ Μεσηνῶν γῇ, Ἰόλλας, Ἀβόλλας ποταμός, Ἀμύλλας, Λευκόλλας χωρὶς εἰ μὴ ἐπὶ σκώμματος εἴη ἢ ἔχοι τι ἐντελέστερον. τὸ μὲν πελλᾶς ὁ γέρων περισπᾶται ἐπὶ σκώμματος ὂν καὶ τὸ ἀλλᾶς καὶ βιλλᾶς. τὸ δὲ Παλλάς συστελλόμενον ἔχει τὸ α.

Τὰ εἰς μας βαρύνεται, Τόλμας, ἀδάμας, Σίλμας, Τέλμας, Θαύμας, Δύμας, Βρίμας, Μάμας, Δάμας, Ἀρίμμας, Πυρίμμας, Ἐχέμμας, Λυκόρμας ποταμὸς Αἰτωλίας, ἀκαμαντοχάρμας. Πολυδάμας, Θειοδάμας, Εὐρυδάμας, Ἀλκιδάμας, Ἀθάμας, Σαλάμας καὶ Σπιτάμας Περσικὰ ὀνόματα, Ὀδόμας ἔθνος, Γαράμας ἔθνος Λιβύης· Ἡρόδοτος τετάρτῃ (c. 174) «οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίαν». εἰ μὴ κατὰ τροπὴν εἴη Δωρικὴν ὡς τὸ Ἑρμᾶς καὶ τὸ Ἀρτεμᾶς ὑποκοριστικόν.

Μύλας ex St. B. 461, 13. Χήλας ex Choer., ubi perverse Λήχας. Ἄτλας ex St. B. 142, 17, Πτερέλας Κωτέλας Choer. 36, 35, Ζηΐλας St. B. 475, 15, ex eod. p. 535, 9 Πριόλας, Μιδιόλας, Γενειόλας Choer., Μεσόλας St. B. 225, 11. Ἀργόλας St. B. 113, 6, Δορύλας Choer. et Ἀρτύλας, pro quo vitiose Ἀτύλας scriptum est, Βουκεφάλας St. B. 181, 15 et 175, 15, Ἀμύκλας St. B. 408, 1. Ἀνδρόκλας quod habet praeterea Choer., teste caret, et Βάμβας ἔστι δὲ ὄνομα βασιλέως Ἰνδῶν ex Βάμβλας corruptum videtur. l. 15 ἐκτεινόμενον ἔχοντα τὸ ᾱ βαρύνεται scripsi pro ἐκτείνεται. l. 16—18 Λευκόλλας nomina sumpta sunt ex Choer. p. 36, Σέλλας accessit ex St. B. 103, 8, de Κίλλας conferas Eust. 33, 36 ἔοικε Κίλλας διὰ τοῦ ντ κλίνεσθαι ὡς τὸ Πάλλας Πάλλαντος· διὸ καὶ οἱ κατὰ τὴν Κίλλαν ταύτην Κίλλαντες ἐκαλοῦντο. l. 20 pro βιλλᾶς Schmidt. in Philol. 23, 355 proponit ζιλλᾶς Thraciam vini appellationem ab Eupolide adhibitam. Παλλάς ipse addidi.

l. 22 nomina inde a Σίλμας — Γαράμας sunt ex Choer. 37 praeter Μάμας, quod ex p. 40, 21 et 35 et Ἀθάμας, quod debetur Herodiano An. Ox. IV 335, 24 et St. B. 619, 16, Λυκόρμας habet etiam St. B. 421, 17, Γαράμας idem 198, 8, quod pro Γαδάμας Choerobosci substitui. Πυρίμμας ex Herod. An. Ox. IV 335, 24, quod nomen Lob. Proll. 169 idem esse suspicatur atque Τυρίμμας Arrian. III 12, 4.

Τὰ εἰϲ ναϲ ὁμοίωϲ βαρύνεται, εἰ μὴ εἴη ὑποκοριϲτικὰ ἢ ἐπὶ ϲκώμματοϲ, Ἀρτύναϲ, Ξέναϲ, Πρατίναϲ, Πίναϲ, Κάναϲ. Μηνᾶϲ μέντοι καὶ Ζηνᾶϲ ὑποκοριϲτικά. τὸ δὲ δακνᾶϲ περιϲπᾶται, ὅτι ἐπὶ ϲκώμματοϲ ἄϲϲεται.

* Τὰ εἰϲ παϲ βαρύνεται, Κάλπαϲ, Πάπαϲ, Ϲκόπαϲ, Λάμπαϲ, Πάμπαϲ, Λίπαϲ, Εὐρώπαϲ, Κύπαϲ, Ἀγρίππαϲ, Ἀράϲπαϲ, Γοργόπαϲ, ἅπαϲ.

Τὰ εἰϲ ραϲ, μὴ ὄντα ὑποκοριϲτικὰ ἢ ϲυναληλιμμένα ἢ νόμιϲμα δηλοῦντα βαρύνεται, Θήραϲ, Ἀθύραϲ ἐπίνειον καὶ ποταμὸϲ περὶ Βυζάντιον· Εὐφορίων «ὕδατα δινήεντοϲ ἀμευϲάμενοϲ Ἀθύραο». ἔϲτι δὲ καὶ Ϲικελίαϲ ποταμὸϲ Ἀθύραϲ, ὡϲ Νυμφόδωροϲ. Τύραϲ πόλιϲ καὶ ποταμὸϲ ἐν τῷ Εὐξείνῳ πόντῳ, ὡϲ ὁ πολυίϲτωρ. λέγεται δὲ καὶ Τύριϲ. Κιβύραϲ ἀδελφὸϲ Μαρϲύου. Ἄραϲ αὐτόχθων τιϲ, ἀφ' οὗ Ἀραντία Πελοποννήϲου πόλιϲ. Τάραϲ πόλιϲ Ἰταλίαϲ καὶ ποταμὸϲ ὁμώνυμοϲ παρὰ θάλαϲϲαν· ἀρϲενικῶϲ δὲ κατ' ἀναλογίαν. οὐδὲν γὰρ εἰϲ ραϲ θηλυκὸν εὑρίϲκεται. τοῦτο δ' εὕρηται καὶ θηλυκῶϲ. Κάραϲ. Λάραϲ. Πείραϲ. Καίρραϲ. Ἱμέραϲ ποταμόϲ, ὡϲ Νικάνωρ. Χρυϲαόραϲ ποταμὸϲ Λυδίαϲ. Φαναγόραϲ. Πυθαγόραϲ. Ϲιμμόραϲ. Ξεναγόραϲ. Κύδραϲ. Κόδραϲ. Λάμπραϲ. Πρόφραϲ. Τεύθραϲ ὁ Πανδίονοϲ, Τίθραϲ δῆμοϲ τῆϲ Αἰγηΐδοϲ φυλῆϲ, Βάβραϲ πολίχνιον Αἰολίδοϲ ἐγγὺϲ Χίου ὁμώνυμον τῷ κτιϲτῇ. Κοψίφραϲ. τὸ δὲ Μητρᾶϲ Ἡρᾶϲ τετρᾶϲ βορρᾶϲ περιϲπᾶται. τὸ δὲ τετράϲ τετράδοϲ ϲυϲτέλλεται.

* Τὰ εἰϲ ϲαϲ βαρύνεται, εἰ μὴ ἀπὸ ϲυμβεβηκότοϲ, εἴη Χρύϲαϲ, Βαρβύϲαϲ, Κέρϲαϲ, Πετίϲαϲ, Ἀπέϲαϲ ὄροϲ τῆϲ Νεμέαϲ ὡϲ Πίν-

---

l. 2 Cod. Arcadii A praebet ἀρπύναϲ, BC ἑρπύναϲ, pro quo posui Ἀρτύναϲ monente Lobeckio Proll. 247 not. 22, Choer. habet Ἀρτίναϲ· Ξέναϲ, pro quo Lob. ὀξίναϲ proponit, intactum reliqui Schmidtium secutus, reliqua ex Choer. p. 38 addita sunt, qui habet praeterea Ἀλέναϲ, quod fortasse corruptum ex Μέναϲ Κλήναϲ; l. 3 Arcad. habet δεκᾶϲ, quod Lob. l. c. tuetur interpretans ὁ δεκάζων vel δεκαζόμενοϲ, sed Choer. 43, 2 δακνᾶϲ praebet, quod cum Schmidt. praetuli. St. B. 577, 10 commemorat Ζεὺϲ Ϲκοτινᾶϲ, cuius tamen accentus et scriptura fluctuat, comparari potest cum Γονατᾶϲ. l. 5 canonem addidi ex Choer. 38, 9; Εὐρώπαϲ ex p. 41, 25, Ἀγρίππαϲ — Γοργόπαϲ accesserunt ex Herod. An. Ox. IV 335, 22 et 27. cf. Ep. Hom. 349, 4 παπᾶϲ ὁ πατήρ, ὃ κατ' ἀναδιπλαϲιαϲμὸν ἀπὸ τοῦ πᾶϲ γίνεται, τοῦτο οἱ Ῥωμαῖοι βαρυτόνωϲ πάπαϲ λέγουϲιν. l. 9 Ἀθύραϲ supplevi ex St. B. 35, 21, reliqua omnia barytona praeter Πυθαγόραϲ, quod exstat etiam ap. Arc., adieci: Τύραϲ ex St. B. 624, 4, Κιβύραϲ 597, 11, Ἄραϲ 109, 12 et Choer. 38, 27, Τάραϲ 603, 1 et Choer. 39, 3. Κάραϲ — Καίρραϲ Choer., Ἱμέραϲ St. B. 331, 18, Χρυϲαόραϲ 436, 14, Φαναγόραϲ 657, 8, Ϲιμμόραϲ Choer. 39, 7, Ξεναγόραϲ Herod. An. Ox. IV 355, 15, ubi corrupte Ἐξαγόραϲ. Κύδραϲ — Πρόφραϲ ex Choer. l. 19 Τεύθραϲ ex St. B. 310, 10, Τίθραϲ 624, 3, Βάβραϲ 154, 11. Κοψίφραϲ Choer. Huc pertinet fortasse etiam Ϲκίραϲ, quod Mein. phil. exercitt. in Athen. II p. 30 apud Diognetum Herodiani Mon. 11, 29 Κόλλον τὸν Ϲκίρου inveniri dicit, nisi id ad Ϲκίροϲ revocandum; etiam Λιϲοραί ἔθνοϲ Θρᾴκιον. Ἑκαταῖοϲ Εὐρώπῃ St. B. 234, 18, ubi Mein. aut Διϲόραι aut Διϲοραῖοι scribendum suspicatur, et Γέρμαρα Κελτικῆϲ ἔθνοϲ.
l. 22 post Βορρᾶϲ addere potui Καρρᾶϲ ποταμόϲ ex St. B. 362, 2, quod nomen Choer. 39, 6 Κάρραϲ Κάρρα exhibet; et post τετράϲ τετράδοϲ ϲυϲτέλλεται adiici potuerunt: τὸ δὲ Κυρᾶϲ Κυρᾶδοϲ, οὗ τὸ ᾱ μακρόν, περιϲπᾶται. l. 23 canonem de nominibus in ϲαϲ ipse addidi exceptionibus de τρεϲᾶϲ et Γλιϲᾶϲ ex superioribus repetitis. Exempla sunt ex Choer. 39, 11, Βαρβύϲαϲ pro Βαρύνϲαϲ dedi ex

δαρος καὶ Καλλίμαχος ἐν τρίτῃ, ἀπὸ Ἀφέcαντος ἥρωος βαcιλεύcαντος τῆς χώρας ἢ διὰ τὴν ἄφεcιν τῶν ἁρμάτων ἢ τοῦ λέοντος. ἐκεῖ γὰρ ἐκ τῆς cελήνης ἀφείθη. Καλλίμαχος ἐν τοῖς ἰάμβοις (fr. 82 Bentl.) καὶ τὸ ἔθνος Ἀπέcας φηcί,

κ' οὐχ ὧδ' Ἀρείων τῷ Ἀπέcαντι πὰρ Διΐ
ἴθυcεν Ἀρκὰς ἵππος.

τὸ δὲ τρεcᾶc ἀπὸ cυμβεβηκότος. καὶ τὸ Γλιcᾶc δὲ ἡ cυνήθεια περιcπᾷ.

* Τὰ εἰς $\overline{\text{ταc}}$ λήγοντα βαρύνεται, Cώτας, Μέτας Τυρρηνός, Τύντας, Κώcτας, Ἀρχύτας, Εὐρώτας, Τελεύτας, Ὀφέλτας, Ἀκέλτας, Ἀμύντας· ἔcτι καὶ ἔθνος Θεcπρωτικὸν, Ἀμύνται «μένος πνείοντες Ἀμύνται». καὶ Ἀριcτοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν πολιτείᾳ. τὸ δὲ Γονατᾶc παράλογον διὰ τὸν τόνον καὶ τὸ Φιλητᾶc, Κομητᾶc.

* Τὰ εἰς $\overline{\text{φαc}}$ λήγοντα βαρύνεται, Δέλφας, Ἄλφας, Ἄφας, Κύφας χωρίον τῆς Λακωνικῆς, Κόρύφας, Ὑπέρφας, Περίφας, Ἀκύφας πόλις μία τῆς Λακωνικῆς τετραπόλεως, ὡς Θεόπομπος. Ὀνόφας.

* Τὰ εἰς $\overline{\text{χαc}}$ βαρύνεται, Ὕρχας, Λέχας, Καλλίχας, Λίχας, Λάχας, Κάλχας, Τρύχας. Λυκόφρων γὰρ Τρύχας πόλιν Εὐβοίας μεταφράcας Τρύχαντα καλεῖ.

Τὰ εἰς $\overline{\text{αc}}$ cύνθετα πάντα βαρύνεται, παιδοπίπας, εὐφαρέτρας, παρθενοπίπας, πατραλοίας, θυννοθήρας, βουβάρας ὅ ἐcτι μέγας καὶ ἀναίcθητος, Εὐρυβίας, Πυθαγόρας, Παυcανίας. τὸ μέντοι χαλκοκρᾶc ὀξύνεται ἀπὸ τοῦ παθητικοῦ παρακειμένου cυντεθέν. τὸ δὲ φιλαπελλᾶc καὶ φιλοβορρᾶc τὸν τῶν ἁπλῶν ἐφύλαξε τόνον.

Τὰ εἰς $\overline{\text{αc}}$ cυνεcταλμένα ἀρcενικὰ καὶ θηλυκὰ ὀξύνεται καὶ διὰ τοῦ $\overline{\text{δοc}}$ κλίνεται, ὁ φυγάς καὶ ἡ φυγάς, ὁ Ἀρκάς — ὁ πολίτης καὶ ὁ ἥρως. Ἴcτρος δέ φηcιν ὅτι Θεμιcτοῦς καὶ Διὸς ὁ Ἀρκὰς ἐγένετο, διὰ δὲ τὴν τῆς μητρὸς ἀποθηρίωcιν (ἄρκτῳ γὰρ ὑφ' Ἥρας αὐτὴν ὁμοιαcθῆναι) ταύτης τυχεῖν τῆς προcηγορίας — καὶ ἡ Ἀρκάς. ἔcτι καὶ πόλις Κρήτης Ἀρκάδες ὡς Ξενίων ἐν Κρητικοῖς. Δημήτριος δὲ οὐκ

---

p. 41, 26 Ἀπέcας ex St. B. 131, 7. l. 9 etiam canonem de nominibus in $\overline{\text{ταc}}$ ipse adieci. Exempla sunt ex Choer. 39, 16, Cώτας ex Herod. An. Ox. IV 335, 21, Μέτας ex St. B. 448, 10 et Κώcτας ex p. 403, 4, Γονατᾶc ex St. B. et Κομητᾶc Φιλητᾶc ex Choer. locis supra laudatis. l. 15 canon de nomm. in $\overline{\text{φαc}}$ sumptus est ex Choer. 39, 20, Ἀκύφας explevi ex St. B. 66, 3. l. 19 item canon de vocabulis in $\overline{\text{χαc}}$ ex Choer. 39, 25, Ὕρχας pro Ὄρχας ex p. 41, 24, Τρύχας ex St. B. 639, 16 s. Τρῦχαι. l. 23 παρθενοπίπας — θυννοθήρας, ut scribendum est pro cτιννοθήρας, addidi ex Choer. 42, 33, βουβάρας ex Eustath. 962, 15, ubi verbis supra positis adiectum est: ὥς παρὰ Ἡρωδιανῷ ἐν τῇ μεγάλῃ προcῳδίᾳ κεῖται cf. E. M. 206, 18 et Hes. s. v. — Εὐρυβίας — Παυcανίας ex Choer. l. 26 φιλαπελλᾶc emendavit Lob., sed pro φιλοβορρᾶc scribere φοινικοβορρᾶc cum eodem non necesse est. l. 31 Ἀρκάς explevi ex St. B.

Ἀρκάδας τὴν πόλιν, ἀλλ' Ἀρκαδίαν φησί. Ὀλκάς ἔθνος Ἰβήρων τῶν ἐντὸς Ἴβηρος τοῦ ποταμοῦ. Πολύβιος ἐν τρίτῳ. Νουβάς ἔθνος Λιβύης παρὰ Νείλῳ, οἳ καὶ Νοῦβαι καὶ Νουβαῖοι λέγονται. Ἑλλάς πόλις Θεσσαλίας «πολλοὶ Ἀχαΐδες εἰσὶν ἂν Ἑλλάδα τε Φθίην τε» (Il. 9, 395). ἐκτίσθη ὑπὸ Ἕλληνος οὐ τοῦ Δευκαλίωνος, ἀλλὰ τοῦ Φθίου καὶ Χρυσίππου τοῦ Ἴρου. ἔστι καὶ ἄλλη πόλις Ἑλλάς κοίλης Συρίας. Παλλάς. ἐθάς. ἱκμάς παρὰ τὸ ἱκνεῖσθαι ἄνωθεν πρὸς ἡμᾶς ἀπὸ τοῦ Διὸς ὕοντος. μονάς. Ἐχινάς νῆσοι περὶ τὴν Αἰτωλίαν, αἳ καὶ Ἐχῖναι. λαμπάς. Δειράς δῆμος τῆς Λεοντίδος φυλῆς, πολυδειράς, ἀναδενδράς. Χοιράδες πόλις Μοσσυνοίκων. Ἑκαταῖος Εὐρώπῃ «Τιβαρηνοῖσι δὲ πρὸς ἥλιον ἀνίσχοντα Μοσσύνοικοι ὁμουρέουσι. ἐν δὲ αὐτοῖσι Χοιράδες πόλις». Λυμφάς πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ (c. 34, 6). Στροφάς νῆσοι πρὸς τῇ Ζακύνθῳ δύο. ἰσχάς. Στοιχάς νῆσοι τρεῖς πρὸς τῇ Μασσαλίᾳ. Πανεάς πολίχνιον Φοινίκης. δυάς. τριάς. ῥυάς. πλειάς. πελειάς «αἱ δὲ βάτην τρήρωσι πελειάσι» (Il. 5, 778), ἢ καὶ πελειά. Ἰάς Ἰλλυρίας μέρος. καὶ ἐθνικὸν θηλυκόν. Φθιάς, παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (v. 119) «Φθιὰς ὅμως». Διάς πόλις Λυκίας, ἣν Διάδης ἔκτισε. Σκιάς χώρα Ἀρκαδίας. Τρῳάς ἡ χώρα τοῦ Ἰλίου. Πεδιάς φυλὴ τῆς Ἀττικῆς. Μενουθιάς νῆσος Αἰθιοπίας. Θυνιάς νῆσος πρὸς τῷ στόματι τοῦ Πόντου καὶ ἄκρα. Ξυνιάς λίμνη, ἣν Βοιβιάδα φασίν. Ἀπολλωνιάς. οὕτω τινὲς Κυπάρισσον πόλιν φασίν. καὶ ἡ Τροιζὴν οὕτως ἐκαλεῖτο, ἣ καὶ Ποσειδωνιάς. Κωλιάς ἄκρα Φαληροῖ, ὅπου καὶ Ἀφροδίτη Κωλιάς. ὁ δὲ τόπος ὀρθῶς καλεῖται. ἐκκείμενος γάρ ἐστι καὶ ὅμοιος ἀνθρώπου κώλῳ. Ἰξιάς πόλις Οἰνωτρῶν ἐν μεσογαίᾳ. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Ἰξιὰς πόλις, ἐν δὲ Μενεκίνη πόλις». Ἰδριάς πόλις τῆς Καρίας ἀπὸ Ἰδρίεω παιδὸς Καρός. Τιβεριάς πόλις τῆς Ἰουδαίας πρὸς τῇ Γεννησαρίτιδι λίμνῃ. Φαλωριάς πόλις Λοκρίδος. Δημητριάς πόλις Θεσσαλίας ἀπὸ Δημητρίου βασιλεύσαντος· β' Μακεδονίας. γ' Περσίδος πρὸς Ἀρβήλῳ. Διοσκουριάς μία τῶν ἐν Λιβύῃ Λευκῶν νήσων. ἔστι καὶ ἑτέρα περὶ Πόντον, ἥ τις Σεβαστόπολις καλεῖται. καὶ πρότερον δὲ Αἶα ἐκικλήσκετο, ὡς Νικάνωρ. Μεθουριάς νῆσοι μεταξὺ Αἰγίνης καὶ Ἀττικῆς πλησίον Τροιζῆνος. Ἀνδροτίων πέμπτῳ Ἀτθίδος. Προυσιάς πόλις Βιθυνίας ἀπὸ Προυσίου τοῦ Ζήλα τῶν Βιθυνῶν βασιλέως ἡ Κίος πρότερον ὀνομασθεῖσα. Ἀφροδισιάς πόλις Κιλικίας, περὶ ἧς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τῷ περὶ Κιλικίας φησὶν ὅτι Ζώπυρός φησιν αὐτὴν ἀπὸ τῆς Ἀφροδίτης κεκλῆσθαι, γράφων καὶ ἱστορίας. δευτέρα Ἰβηρίας πρὸς τοῖς Κελτοῖς.

l. 1 Ὀλκάς — Ἑλλάς addidi ex St. B., l. 6 Παλλάς ex Choer. p. 350, ἐθάς ex Dichr. 283, 19. ἱκμάς ex E. Orion. 77, 7 ubi additum est: οὕτως Ἡρωδιανός. l. 8 μονάς Choer., Ἐχινάς St. B., λαμπάς Choer. Δειράς St. B., πολυδειράς Mon., ἀναδενδράς Choer., ubi diserte: τὸ ἀναδενδράς ὁ Ἡρωδιανὸς ὑπολαμβάνει μόνως συστέλλειν τὸ ᾱ καὶ ὀξύνεσθαι. l. 10 Χοιράδες — l. 14 Πανεάς St. B., ῥυάς ex Theogn. 42, 14, ex eodem πλειάς, quod corruptum est in φλειάς, πελειάς ex Il. Pr. Φ 493. l. 16 Ἰάς — l. 21 Ἀπολλωνιάς St. B. l. 22 Ποσει-

τρίτη νῆσος ἡ πρότερον Ἐρύθεια μεταξὺ Ἰβηρίας καὶ Γαδείρων. τετάρτη ἐν Κνίδῳ. πήμπτη μεταξὺ Λυδίας καὶ Καρίας. ἕκτη νῆσος Λιβύης πρὸς τῇ Κυρήνῃ. ἑβδόμη πόλις Λακωνική, μία τῶν ἑκατόν. ὀγδόη Σκυθίας παραλία πρὸς τὴν λῃστείαν εὔθετος. ἐνάτη Αἰθιοπίας. δεκάτη Κύπρου. εἰσὶ καὶ δύο νησίδια πλησίον τῆς Λιβύης. ἔστι καὶ Ἀλεξανδρείας. Τελμισσιάς, ἄκρα Λυκίας, ὡς Ἀρτεμίδωρος ἐν δεκάτῳ γεωγραφουμένων. Βολογεσσιάς πόλις πρὸς τῷ Εὐφράτῃ ἐκ Βολογεσσοῦ βασιλέως ᾠκισμένη. Ἡφαιστιάς πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ. Κεραστιάς καὶ Κεραστίς ἐκαλεῖτο ἡ Κύπρος ἀπὸ τοῦ πολλὰς ἄκρας ἔχειν. τὸ μέντοι μέγας καὶ λᾶας «λᾶας ἀναιδής» (Δ 521) συστέλλοντα τὸ ᾰ ὅμως βαρύνονται, ἐπειδὴ οὐ διὰ τοῦ δος κλίνονται. ἡμάρτηται δὲ τὸ μέγας περὶ τὴν εὐθεῖαν, ἐπείπερ ἢ βραχὺ ἔχον τὸ ᾰ ὤφειλεν ὀξύνεσθαι κατὰ τὸ Ἀρκάς φυγάς, ἢ βαρυνόμενον ἐκτείνειν τὸ ᾱ, ὧν οὐδέτερον ἔχει. καὶ διὰ τοῦτο οὐδὲ ἔσχεν ἀκόλουθον κλίσιν, μέγας γὰρ μεγάλου φαμέν.

ΒΙΒΛΙΟΝ γ'.

Πᾶν ὄνομα δισύλλαβον ἁπλοῦν εἰς ης καθαρεῦον ἀσυνάλειπτον βαρύνεται, εἰ μὴ ἔχοι πρὸ τέλους μόνον τὸ ῡ καὶ ἰσοσυλλάβως κλίνοιτο ἢ σύνθετα εἴη, Ναίης, Δάης Σκυθικὸν ἔθνος· λέγονται καὶ Δάσαι μετὰ τοῦ σ. Κλεύης, γλοίης, Βρύης. Τὸ δὲ Ὑῆς περισπᾶται ἔχον τὸ ῡ ὥσπερ καὶ τὸ Θυῆς, Κυῆς ἰσοσυλλάβως κλινόμενα. τὰ δὲ περιττοσυλλάβως κλινόμενα βαρύνονται Γύης Γύητος βασιλεὺς τῶν Φρυγῶν, Μύης πόλις Ἰωνική. Ἑκαταῖος Ἀσίᾳ. τὸ δὲ λυῆς λυῆντος ἀπὸ τοῦ λυήεις· καὶ τὸ Ζαής ὡς σύνθετον ὀξύνεται. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν, ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης «ὦρσε δ' ἐπὶ Ζαῆν ἄνεμον» (Od. μ 313)· τοῦτο δὲ ἔδει

δωνιάς — l. 8 Κεραστιάς ex St. B. l. 10 verba Homerica addidi ex Dichr. 283, 13, pro ὡς συστελλόμενα scripsi, quod sententia requirit συστέλλοντα τὸ ᾰ ὅμως et causam abnormitatis ex vestigiis Arcadii καὶ διὰ τοῦ δος κλίνεται ipse affixi verbis ἐπειδὴ οὐ διὰ τοῦ δος κλίνονται. l. 11 usque ad finem sunt ex Eustath. 1447, 23, ubi Ἡρωδιανὸς καθάπερ ἡμαρτῆσθαι γράφει κτλ. Adiectiva paronyma ad librum περὶ παρωνύμων relegavi. Omisi canonem Arcadii πᾶν οὐδέτερον εἰς ᾰς βαρύνεται, γέρας, γῆρας, δέπας, δέμας, σέβας ut ab hoc loco alienum.

l. 18 verba καὶ ἰσοσυλλάβως κλίνοιτο ἢ σύνθετα εἴη addidi monente Schmidt. Δάης explevi ex St. B. 216, 3, apud quem Dausqueius pro Δάσαι suspicatur Δάκαι μετὰ τοῦ κ. l. 20 γλοίης accessit ex Choer. 45, 34. l. 22 post βαρύνονται addidi Γύης ex Choer. 44, 3 et Μύης ex St. B. 459, 11. l. 23 pro λύεις λύεντος scripsi λυῆς λυῆντος monente Schmidt. l. 24 verba παραιτητέον δὲ usque ad finem canonis apposui ex Il. Pr. M 157, ubi post τῆς εἰς ν περατωθείσης additum est ῥηθήσεται δὲ ἐν τῇ Μ τῆς Ὀδυσσείας περὶ προσῳδίας, et Schol. H ad Od. l. c. cf. Lehrs q. ep. p. 154 seqq., Lob. Parall. 158, Ahrens de dial. Aeol. p. 15, 18 et p. 113 et Mon. 17, 15, ubi forma Ζαῆν nominativi ex Ζαῆν' κατ' ἔκλειψιν τοῦ ᾱ repetita refellitur.

χωρὶς τοῦ ν ζαῆ ὡς «ἀκραῆ Ζέφυρον» (β 421)· ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν̄ καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι ὡς τὸ «αἰνοπάθη πατρίδ' ἐπόψομαι» παρὰ Ἀνακρέοντι. ὁ δὲ Ἀρίσταρχός φησι περισπᾶσθαι καὶ οὕτως ἔχει ἡ παράδοσις.

Τὰ εἰς βης δισύλλαβα παραληγόμενα φωνήεντι βαρύνεται· Λάβης, λέβης, Κέβης, Κάβης, Χάβης, Σίβης, Ἰνδικὸν ἔθνος, Βύβης πόλις κατὰ Πευκετίους καὶ τὸ ἐθνικὸν οἱ Βύβαι ὁμοφώνως ὡς Λοκροί καὶ Δελφοί. Νούβης ἔθνος Λιβύης παρὰ Νείλῳ. Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. λέγονται καὶ Νουβαῖοι ὡς Σαβαῖοι καὶ Νουβάδες οἱ αὐτοί. τὸ δὲ κιβῆς περισπᾶται ἀπὸ τοῦ κιβέας.

Τὰ εἰς γης δισύλλαβα βαρύνονται χωρὶς εἰ μή τι ἐκ συνθέτου καταλελειμμένον εἴη ἢ παρώνυμον ἐπιθετικόν. τότε γὰρ περισπᾶται, ὅτε συναλήλιπται ἢ βραχείᾳ παραλῆγον ἰσοσυλλάβως κλίνοιτο. καὶ ἃ μὲν βαρύτονα, Μέγης «Τεῦκρον Μηριόνην τε Μέγην τ' ἀτάλαντον Ἄρηϊ» (Il. Ο 302). τοῦτο ὁ μὲν Ἀρίσταρχος βαρύνει «ὡς Μέσθλην τε Γλαῦκόν τε» (Il. Ρ 216) καὶ ἐπείσθη ἡ παράδοσις. ὁ δὲ Ἀσκαλωνίτης καὶ ἄλλοι περισπῶσιν ὡς Ἑρμῆν καὶ Ποδῆν. τὰ γὰρ εἰς ης λήγοντα, φασί, βαρύτονα δισύλλαβα, ἀπὸ βραχείας ἀρχόμενα, περιττοσυλλάβως κλίνεται, λέβητα, Λάχητα· εἰ δ' οὐχ' οὕτως ἐκλίθη, δῆλον, ὅτι περισπασθήσεται. ἄλλως τε εἰ εὑρέθη αὐτοῦ ἡ αἰτιατικὴ ὡς ἀπὸ βαρυτόνου «Φυλλείδην τε Μέγητα» (Il. Τ 239), ὅτε μὴ οὕτως ἔχῃ, περισπασθήσεται ὡς Θαλῆν καὶ Θάλητα καὶ Φαλῆν Φάλητα. ἔστι δὲ ὑπὲρ τοῦ Ἀριστάρχου πρὸς αὐτοὺς πρῶτον μὲν ἐκεῖνο εἰπεῖν, ὅτι οὐχ ἁπλῶς τὰ εἰς ης, ἀλλὰ τὰ ῥηματικὰ μὴ εἰς τῆς λήγοντα τὴν προειρημένην ἀναδέχεται κλίσιν οἷον λέβης, Λάχης, Δάρης, Χάρης, πλάνης, πένης, Τρόμης, Κράτης. πρόσκειται δὲ «μὴ εἰς της» διὰ τὸ δότης, πλύτης, θύτης. ἔπειτα πολλά ἐστι διχῶς κεκλιμένα. τὸ γοῦν Μύνης ὁ μὲν ποιητὴς περιττοσυλλάβως ἔκλινεν «πέρσεν δὲ πόλιν θείοιο Μύνητος» (Il. Τ 296)· ὁ δὲ Σοφοκλῆς ἐν Αἰχμαλωτίσιν ἰσοσυλλάβως «Μύνου Ἐπιστρόφου τε», μύκητά τε καὶ μύκην, εἰ καὶ πολλὰ σημαίνει ἡ λέξις· σημαίνει γὰρ καὶ τοὺς σπινθῆρας τοὺς ἐπικειμένους τοῖς λύχνοις ὡς παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ (fr. 4)

l. 5 Λάβης pro Κάβης priore praeeunte Schmidtio posui, sed alterum Κάβης intactum reliqui, quum Choer. 33, 3 Κάβας et Λάβας componat; Χάβης adieci ex Schol. ad Arist. Vesp. 234: Χάβης: οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου παρατίθεται τὸ ὄνομα διὰ τοῦ β̄ Χάβης. Pro θήβης ex St. B. 563, 12 substitui Σίβης potius quam Θίβης p. 314, 5, quod incertum est; l. 6 Βύβης addidi ex St. B. 188, 5, Νούβης 478, 13. Vocabula in βης consona praefinita non inveni, quare canon plenus videtur. l. 11 ἐκ τοῦ συνθέτου καταλελειμμένον pro συνθέσεως τοῦ καταλελειμένου scripsit Schmidt. secutus Bekk. Anecd. 337, 13. l. 13 παραλῆγον scripsi pro παραλήγοι in BC et παραλήγοι ἢ in A. l. 14 ad Μέγης addidi locum Hom. et adnotamentum Iliacae Prosodiae, quod explevi duce Lehrsio ex Choer. 47, 1, unde canonem de rhematicis cum exceptione inserui inde a l. 25 οἷον λέβης -- l. 26 θύτης, et p. 139, 10, unde recepi quae dicta sunt de diversis significationibus vocis μύκης inde a l. 30 σημαίνει γὰρ — p. 61 l. 10 τέ-

ὁπότε λύχνου
δαιομένου πυρόεντος ἅδην ἐγένοντο μύκητες.

σημαίνει δὲ καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους ὡς παρὰ Ἀντιφάνει «ὄπτα μύκητας πρινίνους τούσδε δύο» (Mein. fr. com. p. 557 ed. min.). σημαίνει δὲ καὶ τὸ μέρος τῆς λαβῆς τοῦ ξίφους «ἔνθα κρατεῖ τις, οὗ πεσόντος ἐκ Περσέως Μυκήνας συνέβη κτισθῆναι», σημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνθρώπου, ὅπερ ἰσοσυλλάβως ἔκλινεν Ἀρχίλοχος (fr. 96 Bergk)

ἀλλ᾽ ἀπερρώγασί μοι
μύκεω τένοντες·

καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐστι, δῆλός ἐστι Ἑκαταῖος οὕτως κλίνας· φησὶ γὰρ «καὶ ἐπαφήσας τὸν κολεὸν τοῦ ξίφεος, τὸν μύκην εὗρεν ἀποπεπτωκότα». ὁ δὲ Ἄρατος περιττοσυλλάβως ἔκλινεν «ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν» (Dios. 244). καὶ μήποτε ταῦτα συναγωνίζεται τῷ Ἀριστάρχῳ. καὶ γὰρ ταῦτα διχῶς κλιθέντα οὐ μετέβαλε τὸν τόνον, οἷς ὅμοιον δύναται εἶναι καὶ τὸ Μέγης. Γύγης ἐπὶ τοῦ γίγαντος καὶ ἐπὶ τοῦ βασιλέως τῆς Λυδίας. Δράγγης ἔθνος Περσικῆς. Στράβων πεντεκαιδεκάτῃ (p. 721). Μόργης ἔθνος Ἰταλίας. Βρίγης ὁ κατοικήσας ἐν Μακεδονίᾳ, ἀφ᾽ οὗ Βριγία ἡ Τρωϊκή, τουτέστιν ἡ Φρυγία. Βρύγης ἔθνος Μακεδονικὸν προσεχὲς Ἰλλυριοῖς ὃ καὶ Βρύξ, Μίσγης ἔθνος Ἰβήρων. Ἑκαταῖος Εὐρώπῃ, Λίργης, Ἄργης κύριον «Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον» παρ᾽ Ἡσιόδῳ (Theogon. 140). τὸ μέντοι ἀργής ἐπιτεθικὸν ὥσπερ καὶ τὸ ἀγής ἀπὸ συνθέτου καταλελειμμένον τοῦ ἀαγής ὁ μὴ κλώμενος. τὸ δὲ Μογῆς καὶ Δρογῆς ἰσοσυλλάβως κλινόμενα περισπᾶται. καὶ τὸ ἀργῆς ἐκ τοῦ ἀργήεις καὶ τὸ φθογγῆς ἐκ τοῦ φθογγήεις καὶ τὸ Αὐγῆς ἐκ τοῦ Αὐγέας.

Τὰ εἰς δης δισύλλαβα μὴ διὰ τοῦ ους κλινόμενα ἢ τὸ ο παραληγόμενα βαρύνονται, Πύδης πόλις καὶ ποταμὸς Πισιδίας ὡς παρὰ Ἀν-

νοντες coll. E. M. 594, 12, quod ex eodem fonte derivatum est. l. 16 Γύγης explevi ex Choer. 139, 13. l. 17 Δράγγης ex Steph. B. 237, 3 cum Lob. El. II 51, qui etiam Τάγης Γάγγης proponit, pro Σάγγης exhibui. l. 18 Μόργης explevi ex St. B. 456, 9. Βρίγης addidi ex St. B. 186, 14, Βρύγης ex p. 187, 11. l. 21 Μίσγης ex St. B. 454, 11 et Choer. 142, 22, Λίργης et Ἄργης ex Choer. l. 23 pro τὸ ἀγής σύνθετον ἀπὸ τῆς γῆς, quod Schmidt. in ἀγῆς mutavit, scripsi canonis vestigia premens ἀπὸ συνθέτου καταλελειμμένον τοῦ ἀαγής, nam non cum Bekk. An. l. c. εὐαγής ponendum esse docet interpretatio ὁ μὴ κλώμενος neque hic ut Lob. El. II 51 opinatur, de crasi, sed de ellipsi sermo est et Herodianus diversam quantitatem neglexisse putandus est. Caeterum veteres saepius priorem partem compositionis omitti sumpserunt intellectu non mutato e. g. Herodianus ἐτώσιον sic explicavit παρὰ τὸ ἐτεὸν τὸ ἀληθὲς τὸ ἀετώσιον καὶ κατὰ ἀφαίρεσιν ἔμεινεν τὸ ἐν τῇ συνθέσει σημαινόμενον Epim. Hom. 73. l. 24 pro Μογῆς proponit Schmidt. Βογῆς ex Herodot. VII 107, sed dubitanter, quia ibi barytonos scriptum est nomen. l. 25 ἀργῆς ἐκ τοῦ ἀργήεις addidi ex Arcadio ipso 96, 7, ubi ἀρπῆς ἀρπῆσσα in ἀργῆς ἀργῆσσα mutandum vidit Lob. El. I 343. Herodianus autem hoc loco non omisit, quia distinguere voluit Ἄργης ἀργής ἀργῆς. l. 28 in canone apposui ἢ τὸ ο παραληγόμενα propter Ποδῆς et Ῥοδῆς. l. 29 Πύδης explevi ex St. B. 538, 14 et Choer. 139, 15.

τιμάχῳ «καδδ᾽ ἦα Πύδην ἐρόεντα» (fr. 79 Duebner) καὶ «Πύδητος τηλεκλείτου ποταμοῖο» (ibid.). ᾄδης, Γράδης, Μένδης πόλις Αἰγύπτου παρὰ τὴν Λύκων πόλιν. Στράβων ιζ´ (p. 802), «καὶ Λύκων πόλις καὶ Μένδης, ὅπου τὸν Πᾶνα τιμῶςι καὶ τὸν τράγον» Πάνδης καὶ Σίνδης ἔθνη Ἰνδικά, Ἔσδης ἔθνος Ἰβηρικόν. Ἑκαταῖος Εὐρώπῃ. Ἴδης. Ὕδης, ἐξ οὗ ἡ πόλις Ὑδισσός. τὸ μέντοι ψευδής καὶ φραδής ἐπιθετικά. καὶ τὸ Ποδῆς καὶ Ῥοδῆς περιεσπάσθη, ὅτι τὸ ο̄ παραλήγει.

Τὰ εἰς ης ἀσυνάλειπτα βαρύνονται, Ἄνθης, Σκύθης ἔθνος Θρᾴκιον ἀπὸ Σκύθου παιδὸς Ἡρακλέους· τινὲς δὲ ἀπὸ τοῦ σκύζεσθαι. ὀργιλώτατοι γάρ. «Σκύθης ὅμιλος» (Aeschyl. Prom. 415) καὶ «Σκύθην ἐς οἶμον» (ibid. v. 2) καὶ «Σκύθης σίδηρος» (Septem 799). ὅθεν τὸ ἀποσκυθίσαι τὸ τῷ σιδήρῳ τὰς τρίχας τεμεῖν. Σεύθης, Λάχης, Πάχης, λέσχης, Σάκης ἔθνος· τοὺς Σκύθας οὕτω φασίν, ἀπὸ τοῦ ὅπλου, ὅτι αὐτὸ εὕραντο. Μέλης ποταμὸς Σμυρναῖος, Μήλης ποταμὸς Κολοφῶνος, Πόλλης, Κόμης κύριον, Τρόμης πατὴρ Αἰσχίνου τοῦ ῥήτορος, Σάπης ἔθνος Θρᾴκης, λέγονται καὶ Σαπαῖοι καὶ Σάϊοι, τάπης, Βρύκης ἔθνος Θρᾴκης. λέγονται καὶ Βρυκεῖς καὶ Βρυκήϊοι, Μάκης ἔθνος μεταξὺ Καρμανίας καὶ Ἀραβίας. Βύζης, ἀφ᾽ οὗ κατά τινας Βυζάντιον ἐκτίσθη. Βούσης ἔθνος Μήδων· Ἡρόδοτος πρώτῃ (101). Κάλπης λιμήν. Τύμης πόλις Λιβύης. Γέτης Θρᾳκικὸν ἔθνος καὶ τὸ κύριον. Ῥιανὸς δὲ Γετηνοὺς αὐτούς φησι. Ἄστης ἔθνος Θρᾴκης. Ἀρτεμίδωρος. Κέλτης· οὕτως γὰρ Στράβων φησὶ τοὺς Κελτούς. Κώφης Ἰνδικὸς ποταμός, ὡς Στράβων «Χοάσπης εἰς τὸν Κώφην ἐμβάλλει» (p. 697) καὶ πάλιν «μετὰ τὸν Κώφην ὁ Ἰνδός, εἶτα ὁ Ὑδάσπης, εἶτα ὁ Ἀκεσίνης καὶ ὕστατος ὁ Ὕπανις» (ibid.). Ἀριστοτέλης δὲ ἐν πέμπτῳ περὶ Ἀλεξάνδρου τὸν Κωφῆνά φησιν ὡς σωλῆνα. δότης, πλύτης, θύτης, πράτης. τὸ μέντοι κριτής ὀξύτονον καὶ τὸ ψαλτής δὲ Ἀττικῶς ὀξύνεται, ὡς ἱστορεῖ Ἀπολλόδωρος, καὶ ἔτι τὸ

l. 2 pro μέδης scripsi Μένδης ex St. B. 444, 17 et E. M. 818, 18 ubi idem canon cum exemplis Μένδης Γράδης ᾄδης. l. 4 Πάνδης ex St. B. 499, 5, Σίνδης 569, 26, Ἔσδης St. B. 282, 12. l. 6 Ἴδης ex Choer. 139, 12, Ὕδης ex St. B. 645, 19. l. 9 Σκύθης explevi ex St. B. 578, 10. l. 14 λέσχης ex Choer. 47, 16, Σάκηξ ex cod. 139, 15 et St. B. 550, 5, Μέλης ex Choer. 45, 16; 142, 15 collato St. B. 442, 3; Μήλης Choer. 142, 19, Πόλλης ibid. 4 et 53, 30; Κόμης Choer. 44, 33 et Priscian. VI 60. Τρόμης Choer. 47, 9, Σάπης Choer. 140, 1, St. B. 555, 10, τάπης Choer. 43, 21, Βρύκης St. B. 187, 11, Μάκης 427, 3, Βύζης 190, 1. Βούσης 183, 8, Κάλπης 349, 19, ubi Κάλπης nominativum esse ex Plinii H. N. 6, 1 *Calpas* docuit Meinek. Τύμης St. B. 641, 6. l. 21 Γέτης St. B. 206, 5, ubi pro Ἀρριανός scribendum proposuit Ῥιανός Mein. in Anall. p. 205, Ἄστης St. B. 137. 12, ubi Ἀσταί iure in Ἄσται mutandum esse Mein. monuit. Κέλτης ex Eustath. ad Dionys. 288, Κώφης idem ad vers. 1140: Ἰνδικὸς ποταμός, ὃν ὁ Ἡρωδιανὸς μὲν καὶ αὐτὸς ἐν τῇ καθόλου βαρυτόνως ἐκφέρει καὶ μετὰ τοῦ σ ὡς τὸ Χρύσης, Ἀριστοτέλης δὲ ὡς φασιν κτλ. l. 27 δότης — θύτης ex Choer. 47, 10, πράτης pro corrupto κράτης ex E. M. 435, 18, ubi canon sic conceptus est: τὰ εἰς τ̄ης δισύλλαβα φύσει, ἀρσενικά, βαρύνονται οἷον δότης, πλύτης, πράτης, ψάλτης. φύσει δὲ δισύλλαβα εἶπε διὰ τὸ ληστής. τοῦτο γὰρ ἀπὸ τρισυλλάβου τοῦ ληϊστής. ἀρσενικὰ δὲ διὰ τὰ θηλυκά. l. 28 De κριτής ψαλτής ληστής consului Mon. 40, 16 coll. Choer. 176, 22 et E. M.

ληςτής ἀπὸ τοῦ ληϊςτής τριςυλλάβου· διὸ ἔχει προςκείμενον τὸ ῑ. τὸ δὲ πότης ἀρςενικόν, τὸ δὲ ποτής θηλυκόν. τὸ μέντοι ψιλής παρ' Αἰςχύλῳ ἐπιθετικόν. τὸ δὲ Πυθῆς ςυναλήλιπται.

Τὰ εἰς ης δις ύλλαβα μὴ ὄντα τοπικὰ ἢ ςυναληλιμμένα βαρύνονται, ἔχοντα πρὸ τοῦ η ἢ ς ἢ ξ. Ξέρξης, Χρύςης. Μάςης πόλις Ἀργείων. Παυςανίας δευτέρῳ (c. 36, 2) «ὁδός ἐςτιν ἐπὶ Μάςητα». Ὅμηρος «οἵ τ' ἔχον Αἴγιναν Μάςητά τε κοῦροι Ἀχαιῶν» (Β 562). λέγεται δὲ ἡ πόλις καὶ ἡ Μάςητος. Πέρςης τὸ ἔθνος. λέγεται καὶ Πέρςης ὄνομα. Βούςης, Μάρςης, ἀφ' οὗ Μαρςύα πόλις Φοινίκης. τὸ δὲ καςῆς τὸ πιλωτὸν ἱμάτιον περιςπᾶται. τὸ δὲ Κιςςῆς ὀξύνεται ὡς ἐπίθετον.

Τὰ εἰς νης καὶ ρης δις ύλλαβα ἁπλᾶ μὴ ἔχοντα κατ' ἐπιπλοκὴν ςύμφωνον βαρύνεται· εἰ δέ τι περιςπαςθῇ, τοῦτο κατὰ ςυναλοιφὴν ἐγένετο ἢ ἰαμβικόν ἐςτι καὶ ἰςοςύλλαβον. ὅςα δὲ ὀξύνεται εἰς ους ἔχει τὴν γενικὴν ἢ εἰς τος. τὰ βαρύτονα πένης, πλάνης, Μύνης, χλούνης, Φάνης. Τένης ὁ Κύκνου, Τύνης πόλις Λιβύης ἀντικρὺ Cικελίας, Κύνης ἔθνος Ἰβηρίας, Γένης ποταμὸς Καππαδοκίας παρὰ Cοφοκλεῖ, ὃς καὶ Γενήτης καλεῖται ἐκ τῆς γενικῆς ὡς τῆς Οἰδιπόδος Οἰδιπόδης καὶ τρίποδος τριπόδης. Cίνης ἔθνος. Ἄρης ὁ θεὸς παρὰ τὸ ἀρῶ καὶ ἀρῶμαι, ἔςτι καὶ Ἄρης χωρίον Εὐβοίας. Θεόπομπος εἰκοςτῇ τετάρτῃ Φιλιππικῶν. Δάρης· γέγονε δὲ ἤτοι παρὰ τὸ δείρω καὶ ἐκδείρω (ἐοικὸς γὰρ ἱερεῖ) καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης. ἐτράπη οὖν τὸ ε εἰς α. ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεοναςμῷ τοῦ ρ. Χάρης. Κάρης πατὴρ Κρυαςςοῦ, Φάρης ἔθνος Βοιωτίας. Βέρης υἱὸς Μακεδόνος καὶ πόλις Θρᾴκης ὁμωνύμως. Κέρης ἔθνος τοῖς Ἴβηρςιν ὁμοροῦν. Κύρης πόλις. τὸ δὲ πρηνής εἰς ους ἔχει τὴν γενικήν, τὸ δὲ Κουρής Κουρῆτος τὸ ἔθνος «Κουρῆτες τ' ἐμάχοντο καὶ

---

l. 2 pro δεςπότης et δεςπότις scripsi πότης et ποτής, quum de disyllabis sermo sit et requiratur distinctio homonymorum per accentum cf. E. M. 108, 48 Ἄνθης βαρύτονον, καὶ πότης τὸ ἀρςενικόν, τὸ δὲ θηλυκὸν ποτής ποτῆτος.

ψιλής addidi innuente Herod. in Il. Prosod. Ε 9. Choer. 54, 35 inter oxytona in ης ητος refert ἑρπής ἑρπῆτος (πάθος τι περὶ τὸ ςῶμα), quod in textum recipere dubitavi, quum aliunde nihil de accentu et quomodo excusatus fuerit, constet. δηλής δειλῆτος, quod Choer. cum ψιλής componit, non extrico. In fine addidi Πυθῆς ex St. B. 539, 5 Πυθόπολις ἀπὸ Πυθοῦ περιςπωμένως ὡς ἀπὸ τῆς Ἑρμοῦ γενικῆς Ἑρμόπολις. ὁ δὲ Πυθῆς τοςοῦτον πλουςιώτατος ἦν, ὥςτε τὸν Ξέρξην ὑποδεξάμενος ἑκάςτῳ τῶν ςτρατιωτῶν ἀνὰ ἓξ δαρεικοὺς χρυςοῦς παρέςχεν, quae verba fortasse Herodianus ex scriptore quodam protulerat. Hic Pythes ab Herodoto Πύθιος vocatur (VII 27). l. 5 pro incognito κάςης posui ex St. B. 435, 5 Μάςης, quod habet etiam Choer. 143, 5. l. 8 Πέρςης ex St. B. 518, 15, ex eodem Βούςης l. c. et Μάρςης 434, 11. l. 10 de contracto Κιςςῆς cum ι subscripto cf. Lob. El. II 41, qui huiuscemodi velut Νηρῆς se legisse negat, sed hoc habet Theogn. 4, 4 et Choer. locis a Lobeckio laudatis. l. 14 Μύνης habet etiam Priscian. VI 60 ex Herodiano. Τένης ex St. B. 615, 9, Τύνης 641, 18 cum Meinekii emendatione pro Τύνης πόλις Cικελίας. — Κύνης 393, 13, Γένης 202, 13. Cίνης 569, 19. Ἄρης ὁ θεὸς ex Il. Pros. C 521 et E. M. 140, 29: ἢ παρὰ τὸ ἀρῶμαι, «ἵν' ἢ ἀάρης καὶ ἄρης». οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλώνιος cf. Lehrs. ad Il. Pr., Ἄρης πόλις St. B. 117, 18. Δάρης et Χάρης ex Il. Pr. Ε 9. Φάρης St. B. 658, 5, Βέρης 164, 33 et 452, 2, Κέρης 185, 5, Κύρης 396, 22. πρηνής propter canonem addidi ex Arcad. 25, 3. l. 26 quae de Κουρής et κούρης proposita sunt, sumpsi ex Il. Pr. Ι 529, Eustath. ad Hom. 1179, 21 ὅτι

Αἰτωλοί». Ὅμηρος (Il. Ι 529) ὀξύνεται πρὸς διαστολὴν τοῦ «κούρητες Ἀχαιῶν (Il. Τ 248). τοῦτο γὰρ ἀπὸ τοῦ κόρος ὁ νέος κόρης ὡς ἰαμβικὸν κλίνεται διὰ τοῦ τος καὶ βαρύνεται ὡς πένης· καὶ τὸ ἔθνος δὲ οὐκ ἐχρῆν ὀξύνεσθαι, καθότι οὐ φιλεῖ τὰ εἰς ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι, ἀλλὰ συνεξωμοιώθη τῷ ἀδμής καὶ ἀβλής. «ἐκλήθησαν δὲ Κούρητες, ὡς Ἀρχέμαχος ὁ Εὐβοιεύς φησιν, ὅτι, ἐπεὶ οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τῆς ἔμπροσθεν κατέσπων αὐτούς, ὄπισθεν τοῦ λοιποῦ ἐκόμων, κειρόμενοι τὰ ἔμπροσθεν. ἔνιοι δὲ ἀπὸ ἥρωος τοὔνομα ἔχειν τὸ φῦλον, οἱ δὲ ἀπὸ ὄρους τοῦ Κουρίου τοὺς Κουρῆτας εἶναί φασιν, οἱ δὲ θηλυστολοῦντας ὡς αἱ κόραι τοὔνομα σχεῖν τοὺς περὶ τὴν Αἰτωλίαν φασίν. εἶναι γὰρ καὶ τοιοῦτόν τινα ζῆλον ἐν τοῖς Ἕλλησιν ὡς καὶ Ἰάονες ἑλκεχίτωνας εἰρῆσθαι καὶ κρώβυλον καὶ τέττιγα ἐμπλέκεσθαι καὶ τοὺς περὶ Λεωνίδαν κτενιζομένους τὴν κόμην, ὅτ' ἐπεξῄεσαν εἰς τὴν μάχην, καταφρονηθῆναι ὑπὸ Περσῶν». τὸ μέντοι σθενῆς, τεχνῆς, λαχνῆς, ζαχρῆς ἀπὸ συναλοιφῆς γίνονται· καὶ τὸ Φανῆς ἰαμβικὸν ἰσοσύλλαβον.

Τὰ εἰς ης δισύλλαβα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον μετ' ἐπιπλοκῆς συμφώνου ἑτέρου κύρια ὄντα ἢ προσηγορικὰ βαρύνεται, Μέσθλης, μάσθλης, Μάγνης ὁ πολίτης Μαγνησίας ὁμωνύμως τῷ οἰκιστῇ, Πίγρης ὁ Τίγρης, Ὅπλης· Ὅπλητες δέ εἰσιν φυλὴ παλαιά, μία τῶν τεσσάρων τῶν ἀπὸ Ἴωνος παίδων, Πέτρης λιμήν τις. Μέμβλης, Βάμβλης, λάγνης, Πάσνης, Μάσνης ὀνόματα ποταμῶν, Τρίσπλης ἔθνος Θρᾴκιον. Ἑκαταῖος Εὐρώπῃ, Πάρνης τὸ ὄρος τῆς Ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται. Ἀντιφάνης ἐν Πυραυνῷ «ἐς κόρακας· ἥξω φέρων τε δεῦρο τὸν Πάρνηθ' ὅλον»· καὶ θηλυκῶς ὡς παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (v. 323) «βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα». Ἴγνης ἔθνος οἰκῆσαν τὴν Ῥόδον, ὃ καὶ χωρὶς τοῦ ι λέγεται. Φάγρης πόλις Θρᾴκης· Ἑκαταῖος Εὐρώπῃ καὶ Θουκυδίδης δευτέρᾳ (c. 99). Βάβρης, Ἔγκρης, Σάτρης ἔθνος Θρᾴκης ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ φησίν. Γόνδρης Θρᾴκιον ἔθνος. Νίγρης ποταμὸς Λιβύης καὶ ἔθνος, Γύμνης ἔθνος· ἐκλήθη δὲ ὅτι τῷ θέρει γυμνοὶ μένουσιν. εἴ τι δὲ περισπασθῇ, κατὰ πάθος γέγονε· τὸ γὰρ τεχνῆς, λαχνῆς, ζαχρῆς ἀπὸ συναλοιφῆς γίνονται. τὸ μέντοι γυμνής, χερνής, ἀβλής, προβλής, ἀδμής, ἀκμής ἐπιθετικὰ ὄντα ὀξύνονται.

ἐν δυσὶ τόποις κούρητας οἴσοντας Ἀχιλλεῖ δῶρα, ἐνταῦθα λέγει τοὺς νέους, ὅπερ Ἡρωδιανὸς ἀναγινώσκει τῷ τόνῳ ὡς πένητας κλίνας ὡς ἰαμβικὸν ἀπὸ τοῦ κόρος ὁ νέος κόρης κόρητος et 771, 38 unde collato Steph. B. s. Ἀκαρνάν et Strabone p. 465 expositionem de etymo praebui. l. 19 Μάγνης explevi ex St. B. 425, 1. Πίγρης ex St. B. 143, 1 et 103, 8 explicavi, Herodianus ex Arriano nominis scripturam sumpsit cf. Mein. Ὅπλης explevi ex St. B. 44, 3. Μέμβλης — λάγνης ex Choer. 142 et 144. Πάσνης et Μάσνης ex Herod. libro περὶ συντάξεως στοιχείων in E. M. 449, 15. Τρίσπλης ex St. B. 637, 12, Πάρνης p. 506, 15. Ἴγνης 209, 18 et 326, 5, Φάγρης 654, 8. Βάβρης Ἔγκρης Choer. 143 et 144. Σάτρης St. B. 557, 24, Γόνδρης 210, 11, ubi additur: λέγεται δὲ παρ' Ἡρωδιανῷ Κίνδρα καὶ Ῥόνδα, quod Mein. se non expedire fatetur, fortasse scribendum est Κίνδραι καὶ Ῥόνδαι. Νίγρης 474, 15, Γύμνης 214, 17. l. 32 τὸ γὰρ τεχνῆς — γίνονται ex priore canone repetivi, χερνής addidi ex Arcad. 96, 7, ἀδμής ἀκμής ex Il.

Τὰ εἰς ης ἐπιθετικὰ δισύλλαβα εἰς ους τὴν γενικὴν ποιοῦντα καὶ μὴ παθόντα συγκοπὴν ὀξύνεται, ψευδής, πρηνής, ζαής, ἀλής, σαφής, πρυλής, φραδής, νωθής. τὸ δὲ πλήρης βαρύνεται, πλειήρης γάρ, ὡς ξιφήρης, ὀλιγήρης. καὶ τὸ Ἄρης κύριον.

Τὰ εἰς ης δισύλλαβα κύρια ἔχοντα υ ἐν τῇ παραληγούσῃ περισπᾶται, Μυῆς, Θυῆς, Κυῆς· βαρύνεται δὲ τὸ Βρύης, Κύης, Γύης περιττοσύλλαβα. τὸ γύης δὲ οὐ κύριον, ἔστι δὲ μέτρον τι γῆς καὶ μέρος ἀρότρου κατὰ Ἡσίοδον.

Τὰ εἰς ης κύρια ἀπὸ ἐντελεστέρου περισπᾶται, Ἑρμῆς, Θαλῆς, Πυλῆς, Ποδῆς ὁ παρ' Ὁμήρῳ (Ρ 590), Φαλῆς, Κισσῆς, Σωσῆς.

* Τὰ παρὰ τὸ ἄω συντιθέμενα καὶ εἰς ης λήγοντα ὀξύνεται, ἀκραής, δυσαής, ὑπεραής.

Τὰ παρὰ τὸ κλέος ἐπίθετα ὄντα ὀξύνεται, εὐκλεής, ἀκλεής, δυσκλεής. κύρια δὲ ὄντα ἐν μὲν τῇ ἐντελείᾳ βαρύνεται, ἐν δὲ τῇ συναιρέσει περισπᾶται, Ἡρακλέης, Ἡρακλῆς, Σωκλῆς, Προκλῆς, Σοφοκλῆς. ὡς καὶ τὰ εἰς εας Ἀρτεμέας Ἀρτεμῆς, Θαλέας Θαλῆς, Ἀπελλέας Ἀπελλῆς.

Τὰ εἰς ης ἀπὸ τῶν εἰς ηεις περισπῶνται, τιμῆς «τιμῆς ἔσεται» (Ι 605) οὕτως καὶ τὴν αἰτιατικὴν εἶπε «καὶ χρυσὸν τιμῆντα» (Il. Σ 475). τινὲς μὲν τὸ τιμῆς ὡς ἀπὸ τοῦ τιμήεις διὰ τοῦ ι γράφουσιν. ἀλλὰ λόγος ἐστίν, ὡς πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουσα φωνήεντα ταῦτα ἐκφωνεῖ χωρὶς τοῦ Θρᾷξ. καὶ ἄλλως οἱ Δωριεῖς ἄνευ τοῦ ι προφέρονται τιμῆες χαρίες αἱματόες καὶ ἡμεῖς λοιπὸν προσθέσει τοῦ ι γράφομεν. τεχνῆς, δαφνῆς, φθογγῆς, σθενῆς, λαχνῆς, ζαχρῆς, ἀργῆς. τὸ δὲ «ὑψιπέτης» (Il. Μ 202) Ἀρίσταρχος ἐβάρυνεν εὑρὼν τὸ «ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν» (Il. Θ 42) οὕτως κεκλιμένον ὡσεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπῶλα. πρόδηλον

Pros. Π 44. l. 2 de ζαής cf. Lehrs q. ep. 154 not., qui ibidem ἀλής pro ἀλής scribendum monuit. σαφής — φραδής addidi ex Il. Pr. Ε 9. de πρυλής Schol. L ad Ε 744 πρυλέεσσ': ἡ εὐθεῖα πρύλις· ὁ δὲ Ἡρωδιανὸς ὀξυτόνως γράφει ὡς καὶ οἱ πολλοί. καὶ κλίνεται κανονικῶς πρυλέος πρυλοῦς. καὶ ἔστιν ἀσφαλέστερον τοῦτο. ἀπὸ γοῦν τοῦ πρύλις πρύλεες ὤφειλεν εἶναι ὡς ὄφεες. — νωθής ex Herod. An. Ox. IV 336, 17. πλειήρης scripsi cum Lehrsio q. ep. 156, Lob. El. I 339 ex πλεήρης potius contractum putat, codd. πληήρης. l. 6 Γύης addidi ex Choer. 44, 3; γύης explevi ex eodem 44, 31 et 47, 16. l. 10 Ποδῆς explevi ex Eust. 1951, 13: ὅτι τὸ Ἑρμῆς ἀπὸ κράσεως ἔχει τὸ περισπᾶσθαι δηλοῖ καὶ Ἡρωδιανὸς παραδοὺς ὅτι ὡς Ἀπελλέας Ἀπελλῆς, Θαλέας Θαλῆς ὁ Μιλήσιος, Ποδέας Ποδῆς ὁ παρ' Ὁμήρῳ, οὕτω καὶ Ἑρμέας Ἑρμῆς. Ποδῆς habet ex Herod. etiam Priscian. VI 60. Φαλῆς accessit ex Il. Pr. Ο 302, Κισσῆς ex Il. Pr. Λ 223: Κισσῆς ὡς Ἑρμῆς· καὶ μήποτε παρὰ τὸ Κισσός ἐγένετο Κισσέας καὶ κατὰ συναλοιφὴν Κισσῆς. Σωσῆς ex Choer. 214, 26 et 46, 34. l. 11 hic canonem de vocabulis in αής ex Il. Pr. Λ 297 inserui. l. 15 Σωκλῆς Προκλῆς addidi ex Choer. 45, 7, Σοφοκλῆς ex Io. Al. 8, 26. l. 16 ὡς inserui, quum nomina in εας ad comparationem adhibeantur, Θαλέας — Ἀπελλῆς ex Eustath. l. c. adiecta sunt. l. 18 quae ad τιμῆς addidi, sunt ex Il. Pr. Ι 605, ex quo loco omisi quae ad hanc causam non pertinent cf. Choer. Dict. 243, 25. l. 22 καὶ ἄλλως — γράφομεν l. 24 ex Choer. Orthogr. p. 174 adieci collat. Canon. 132, 13; l. 24 φθογγῆς ex Io. Al. 8, 30, reliqua ex ipso Arcadio locis iam allatis. l. 25 τὸ δὲ ὑψιπέτης usque ad finem canonis ex Il. Pr. Μ 202

δὲ κἀκ τῶν διαλέκτων. ὑψιπέταϲ γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η̄ εἰϲ ᾱ, ὅπερ ζητεῖ καὶ ἡ κλίϲιϲ καὶ ἡ βαρεῖα τάϲιϲ· τινὲϲ μέντοι ἐτόλμηϲαν ὡϲ τὸ «τιμῆϲ ἔϲεται» οὕτωϲ ὑψιπετήειϲ ὑψιπετῆϲ. ἀλλ᾿ ἐπὶ μὲν τοῦ τιμῆϲ εὕρομεν αἰτιατικήν, ἥτιϲ ἐδίδαϲκε τὸ τῆϲ εὐθείαϲ πάθοϲ. ἐπὶ δὲ τοῦ ὑψιπέτηϲ οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείϲθημεν τῷ Ἀριϲτάρχῳ.

* Τὰ εἰϲ γηϲ ὑπὲρ μίαν ϲυλλαβὴν βαρύνεται, Ποδάργηϲ ἔθνοϲ Θρᾴκηϲ, Τεκτοϲάγηϲ ἔθνοϲ Γαλατικόν· ὡϲ γὰρ Καππάδοκοϲ Καππαδόκηϲ, οὕτω Τεκτόϲαγοϲ Τεκτοϲάγηϲ. Ϲαννίγηϲ ἔθνοϲ Ϲκυθίαϲ τοῖϲ Ἀβαϲγοῖϲ παρακείμενον.

Τὰ εἰϲ δηϲ πατρωνυμικὰ ἢ ὡϲ πατρωνυμικὰ βαρύνεται, Πηλείδηϲ, Ἀτρείδηϲ, Κρονίδηϲ, Θουκυδίδηϲ.

Ἰϲτέον δὲ ὅτι τὰ εἰϲ δηϲ πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ πρὸ τοῦ δ ἔχει ἢ τὸ ᾱ ἢ τὸ ῑ. τὸ μὲν ᾱ οἷον Ἰλιάδηϲ, Μενοιτιάδηϲ, Πυλάδηϲ, Ἀλκιβιάδηϲ· Μιλτιάδηϲ, Δημάδηϲ ἐκ τοῦ Δημεάδηϲ· Ἀργεάδηϲ ὁ Ἀργεῖοϲ· Δειράδηϲ, ἀφ᾿ οὗ δῆμοϲ Δειράδεϲ, Δολογκιάδηϲ οἱ Δόλογκοι ἔθνοϲ Θρᾴκηϲ· Ἐνδυμιωνιάδηϲ οἱ Ἐπειοί, Ἠλιάδηϲ ὁ Ἠλεῖοϲ, Βερενικιάδηϲ ὁ Βερενικεύϲ, Παροπανιϲϲάδηϲ οἱ Παροπανίϲϲῳ ὄρει Ἰνδικῆϲ παροικοῦντεϲ. Ϲκυμνιάδηϲ ἔθνοϲ ϲὺν Γέταιϲ. Εὔδοξοϲ τετάρτῃ γῆϲ περιόδου «Ϲκυμνιάδαι καὶ Γέται». Βουτάδαι δῆμοϲ τῆϲ Αἰγηΐδοϲ φυλῆϲ ἀπὸ Βούτου τοῦ Πανδίωνοϲ· λέγονται γὰρ δῆμοι πατρωνυμικῶϲ. Ἐροιάδαι δῆμοϲ τῆϲ Ἱπποθοωντίδοϲ φυλῆϲ. Ἱπποταμάδαι τῆϲ Οἰνηΐδοϲ, Κειριάδαι τῆϲ Ἱπποθοωντίδοϲ, Λακιάδαι τῆϲ Οἰνηΐδοϲ. Παμβωτάδαι Ἐρεχθηΐδοϲ φυλῆϲ. Ὑβάδαι τινὲϲ τὸν δῆμον «Ὕβα» λέγουϲιν. Οἰνειάδαι πόλιϲ Ἀκαρνανίαϲ πρὸϲ τῷ Ἀχελῴῳ ἡ καὶ Ἐρυϲίχη· ἔϲτι καὶ ἑτέρα τῆϲ Οἰταίαϲ πόλιϲ Οἰνειάδαι. Πατριαργάδαι τόποϲ Περϲικόϲ. οἱ οἰκήτορεϲ ὁμοίωϲ Πατριαργάδαι. Παϲαργάδαι πόλιϲ Περϲική. Ἀπολλόδωροϲ ἀρϲενικῶϲ φηϲιν, θηλυκῶϲ δὲ Διότιμοϲ ἐν ἑξηκοϲτῷ πέμπτῳ παντοδαπῶν ἀναγνωϲμάτων παρατιθέμενοϲ Ἀναξιμένην ἐν μεταλλαγαῖϲ βαϲιλέων οὕτω γράφοντα «τὰϲ δὲ Παϲαργάδαϲ ἔκτιϲεν ὁ Κῦροϲ ἐφ᾿ οὗ τόπου παραταξάμενοϲ Ἀϲτυάγην ἐνίκηϲεν. ὀνομάζεται δὲ ἡ πόλιϲ

---

l. 6 canonem de plurisyllabis in γηϲ finxi propter Ποδάργηϲ St. B. 530, 7, ad quem locum Meinek. «huius gentis notitiam Stephanus sive interpolator Stephani ex Herodiano, Herodianus ex Hecataeo petiisse videtur. Herodianus commemoraverat, ut opinor, tertio τῆϲ καθόλου»; Τεκτοϲάγηϲ ex St. B. 611, 23, Ϲαννίγηϲ 555, 4. huc referenda sunt etiam Τενάγηϲ Ἀϲτυάγηϲ ap. Lob. Proll. 305. Unum in βηϲ omisi propter accentum falsum Ἐντριβαί ἔθνοϲ Θρᾴκηϲ. Ἑκαταῖοϲ Εὐρώπῃ quod Mein. iure Ἐντρίβαι scribendum suspicatur. l. 10 et 11 canonem intactum reliqui, ut ab Arcadio traditus est, cum quo congruit Herodianus in Anecd. Paris. III 299, 33: τὰ εἰϲ δηϲ πατρωνυμικὰ ἢ ὡϲ πατρωνυμικὰ βαρύνεϲθαι θέλει, ὧν καὶ γενικὴ ἀπρόϲληπτοϲ τοῦ ῑ, Κρονίδηϲ, Πηλείδηϲ, Κλυτίδηϲ (pro Πλυτίδηϲ), Ἀτρείδηϲ. Ἡρωδιανόϲ. Canonem de vocali exitum δηϲ praecedente composui collatis Choer. Dict. p. 48, Theogn. p. 46 et E. M. 165, 39, qui congruit fere cum libro περὶ ποϲότητοϲ Cr. An. Ox. II 299, additis nominibus, quae a Stephano relata sunt. l. 14 Δημάδηϲ adieci ex Herod. in An. Ox. IV 336, 8.

διερμηνευθεῖσα Περσῶν στρατόπεδον». ἔοικε δὲ ἀρσενικῶς καὶ θηλυκῶς εἰρῆσθαι, τάχα δέ, ὅπερ ἄμεινον, ἐπὶ τῆς πόλεως θηλυκῶς, ἐπὶ δὲ τῶν οἰκητόρων ἀνδρωνύμως. τῷ δὲ ῑ παραλήγεται ἢ μόνῳ ἢ μετὰ ἑτέρου φωνήεντος ἐν διφθόγγῳ ἢ ἀνεκφωνήτῳ. καὶ ἀνεκφωνήτῳ μὲν οἷον Μίνως Μινωΐδης καὶ συναιρέσει Μινῴδης καὶ ἥρως Ἡρωΐδης καὶ Ἡρῴδης, ἐν διφθόγγῳ δὲ οἷον Περιθοίδης καὶ Περιθοῖδαι δῆμος Οἰνηΐδος φυλῆς, Χολλεῖδαι δῆμος τῆς Λεοντίδος φυλῆς. καὶ τὰ δὲ ἀπὸ τῶν εἰς ευς ὄντα πατρωνυμικὰ πάντα διὰ τῆς ει θέλουσι γράφεσθαι Πηλείδης, Ἀτρείδης, Αἰγείδης, Ὠρείδης. τὸ δὲ Ἀλκείδης ἀπὸ τοῦ Ἀλκαῖος τροπῇ τῆς αι διφθόγγου εἰς τὴν ει· ἔτι τὰ ἀπὸ τῶν εἰς ως Ἀττικῶν διὰ τῆς ει γράφονται Νείλεως Νειλείδης, Εὔνεως Εὐνείδης· καὶ τὰ ἀπὸ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικήν, εἰ μὲν βραχείᾳ παραλήγεται, διὰ τοῦ ι γράφεται Εὐτυχίδης, Πλεισθενίδης, Ἀχαιμενίδης, εἰ δὲ μακρᾷ παραλήγεται, διὰ τῆς ει Εὐήρης Εὐήρους Εὐηρείδης, Εὐκλείδης, Ἡρακλείδης, Χαρικλείδης· τύπου δὲ πατρωνυμικοῦ ἀπὸ τῶν εἰς ος ὄντα παρετάθησαν διὰ τῆς ει Λυσιθείδης, Κηκείδης, Καλλείδης, Ἀχιλλείδης, Ἐχεφυλλείδης, Σκυθρωπείδης, Θαρρελείδης, Φιλομηλείδης «Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς» (Od. ρ 134). Κυθνείδης. ῑ μόνῳ δὲ παραλήγεται τὰ ἀπὸ τῆς εἰς ος εἴτε εὐθείας εἴτε γενικῆς ἢ ἀπὸ τῶν εἰς ης εἰς ου ἐχόντων τὴν γενικὴν γινόμενα πατρωνυμικά, Πριαμίδης, Ταντaλίδης, Ἑκτορίδης, Πελοπίδης, Κεκροπίδης, Μεμνονίδης, Φοινικίδης. Ἀστακίδης Πείσανδρος δεκάτῃ. Ἀρκασίδης ὁ Ἀρκάς· ὤφειλε μὲν Ἀρκαδίδης, ἀλλὰ διὰ τὸ κακόφωνον οὕτως ἐγένετο καὶ τὸ θηλυκὸν Ἀρκασίς. Ἀρσακίδης ἔθνος ἀπὸ Ἀρσάκου, Δαρδανίδαι οἱ Δάρδανοι, Ἰδηΐδαι οἱ Ἰδαῖοι ἀπὸ τῆς Ἰδηΐς εὐθείας θηλυκῆς, Δρυΐδης ἔθνος Γαλατικὸν φιλόσοφον. Ἐρεβίδαι μέρος Λωτοφάγων· Φίλιστος ὀγδόῳ. Ὀδρυσίδης ὁ Ὀδρύσης, Ἀδυρμαχίδης Λιβυκὸν ἔθνος ὡς Ἡρόδοτος (IV 168). Πηδασίδης ὁ Πηδασεύς. Τευθίδης ὁ οἰκῶν Τευθίδα πόλιν Ἀρκαδίας. Πισίδης ἔθνος βάρβαρον κατοικοῦν παρὰ τὴν Ἄσπενδον καὶ τὴν Κιλικίαν. εἴρηται δὲ ἀπὸ Πισίδου. συστέλλονται δὲ τοῦ Πισίδης καὶ Πισιδία αἱ δεύτεραι καὶ αἱ πρῶται· Πισιδικὴ δὲ καὶ Πισιδικὸν καὶ Πισιδεῖς μετὰ ἐκτάσεως τοῦ ῑ. Αἰθαλίδαι δῆμος τῆς Λεοντίδος φυλῆς καὶ οἱ δημόται ὁμοφώνως, Βερενικίδαι ἀπὸ Βερε-

---

l. 6 de Ἡρῴδης cf. E. M. 453, 56 et 397, 12 Εὐρυπῴδης. l. 9 Ὠρείδης addidi ex Herodiano in Schol. ad Apollon. B 110 Ὠρείδης διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα· οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου. cf. Choer. in E. M. 823, 6 Ὠρείτης ὁ πολίτης παρὰ τὸ Ὠρεός Ὠρεοῦ γίνεται καὶ τὸ κύριον ὄνομά ἐστι διὰ διφθόγγου ὡς παρὰ Ἀπολλωνίῳ «Ὠρείτης δ' Ἀμύκοιο» — τινὰ δὲ τῶν ἀντιγράφων Ὠρείδης ἔχει, Χοιροβοσκός, ubi addenda sunt ante ὡς παρὰ Ἀπολλωνίῳ — παρὰ τὸ Ὠρεύς Ὠρέως. Ἀλκείδης in loco Etymologici M. explevi ex Choer. Orth. 173, 21. l. 17 de his nominibus accurate exposuit Lob. Parall. p. 5 seq., cuius emendationes recepi; Καλλείδης et Ἀχιλλείδης intacta reliqui, quum Lobeck. se his medelam adhibere non posse fateatur. l. 19 Κυθνείδης addidi ex Choer. Orth. 235, 26 coll. Zonar. p. 902.

νίκηϲ τῆϲ Μάγα θυγατρόϲ, γυναικὸϲ δὲ Πτολεμαίου δῆμοϲ τῆϲ Πτολεμαΐδοϲ φυλῆϲ· καὶ ἄλλα ἐξηνέχθη πατρωνυμικῶϲ. Δαιδαλίδαι δῆμοϲ τῆϲ Κεκροπίδοϲ φυλῆϲ, Εἰρεϲίδαι τῆϲ Ἀκαμαντίδοϲ, Εὐπυρίδαι τῆϲ Λεοντίδοϲ, Ἐχελίδαι δῆμοϲ τῆϲ Ἀττικῆϲ, Ἰωνίδαι δῆμοϲ τῆϲ Αἰγηΐδοϲ φυλῆϲ, Κυνδατίδαι τῆϲ αὐτῆϲ, Κοθωτίδαι, Περρίδαι δῆμοϲ τῆϲ Ἀντιοχίδοϲ φυλῆϲ, Cημαχίδαι δῆμοϲ τῆϲ Ἀττικῆϲ ἀπὸ Cημάχου· ἔϲτι δὲ Ἀντιοχίδοϲ φυλῆϲ· Φιλόχοροϲ δὲ τῆϲ Ἐπακρίαϲ φηϲὶ τὸν δῆμον. Cκαμβωνίδαι δῆμοϲ Ἀττικῆϲ Ἀντιοχίδοϲ φυλῆϲ, Cυβρίδαι δῆμοϲ τῆϲ Ἐρεχθηΐδοϲ φυλῆϲ, Βωταχίδαι τόποϲ Ἀρκαδίαϲ ἀπὸ Βωτάχου. Φιλαΐδαι δῆμοϲ τῆϲ Αἰγηΐδοϲ φυλῆϲ ἀπὸ Φιλαίου τοῦ Αἴαντοϲ υἱοῦ καὶ Λυϲιδίκηϲ, τῆϲ Κορώνου τοῦ Λαπίθου, ὡϲ Πειραΐδηϲ «Πειραΐδαο» (Δ 228)· τοῦτο γὰρ ἐν τέϲϲαρϲι ϲυλλαβαῖϲ προφέρονται οἱ ἄλλοι. Τυραννίων δὲ τριϲυλλάβωϲ, λέγων ὡϲ ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλουϲ διεϲταλμένον τὸ ῑ ἀπὸ ἑτέρου φωνήεντοϲ οἷον Πυθοίδηϲ, Βοηθοίδηϲ, Πηλείδηϲ. οὐκ ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετραϲυλλάβωϲ ἀναγινώϲκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡϲ ὅτι ἐντελέϲ ἐϲτι τὸ κατὰ διάλυϲιν τοῦ ῑ, καὶ ὅτι οὐκ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ ϲύλληψιν ἐξηνέχθη τοῦ ᾱ καὶ τοῦ ῑ πρὸ τέλουϲ. παρὰ τὸ Πείραιοϲ οὖν Πειραΐδηϲ ἐγένετο. ὠγενίδηϲ ὁ ἀρχαῖοϲ ἀπὸ Ὠγένου ἀρχαίου θεοῦ. Καὶ τὰ μητρωνυμικὰ δὲ διὰ τοῦ ῑ γράφεται, Λητοΐδηϲ, Δαναΐδηϲ, Νιοβίδηϲ, ὅθεν τὸ Φιλομηλείδηϲ κύριον λέγεται εἶναι· εἰ γὰρ ἦν μητρωνυμικόν, διὰ τοῦ ῑ ἐγράφετο ἄν· ἀλλ' οὐδὲ Ὅμηροϲ ἀπὸ μητέρων ϲχηματίζει πατρωνυμικόν; ὥϲ φηϲι Διονύϲιοϲ.

Ἔτι τὰ διὰ τοῦ ωδηϲ βαρύνονται, εὐώδηϲ, πετρώδηϲ, δυϲώδηϲ, γεώδηϲ, ὀνώδηϲ, βοώδηϲ, λιμώδηϲ, κτηνώδηϲ, πυρώδηϲ, ἀμμώδηϲ, γραώδηϲ, ϲαρκώδηϲ.

* Τὰ εἰϲ κηϲ κύρια βαρύνονται· Ἀρτάκηϲ ὁ κατοικῶν Ἀρτάκην πόλιν Φρυγίαϲ. Cοφοκλῆϲ δὲ ἀπὸ τοῦ Ἀρτακεύϲ εἶπε «τί μέλλει Ἀρτακῆϲ τε καὶ Περκώϲιοι»· ἔϲτι δὲ καὶ κύριον Ἀρτάκηϲ «ἠδὲ καὶ Ἀρτάκεα, πρόμον ἀνδρῶν» (Apoll. Rhod. I 1047). Ἀριαράκηϲ ἔθνοϲ παρὰ τὴν Ἀριαράκην, πόλιν πρὸϲ τῇ Καϲπίᾳ θαλάϲϲῃ ὡϲ λέϲχη λέϲχηϲ, ἀράχνη ἀράχνηϲ. Ὑδάρκηϲ ἔθνοϲ Ἰνδικόν. Ἀπαϲιάκηϲ Μαϲϲαγετῶν ἔθνοϲ. Cτράβων ἑνδεκάτῃ (p. 513) καὶ Πολύβιοϲ δεκάτῃ (c. 48) «οἱ δ' Ἀπαϲιάκαι νομάδεϲ κατοικοῦϲι μὲν ἀνὰ μέϲον Ὤξου καὶ Τανάϊδοϲ».

---

l. 11 Πειραΐδηϲ cum explicatione accessit ex Il. Pr. Δ 228. Caeterum de patronymicis conferendi sunt Epim. Hom. 346, 28. Accuratius de scriptura in libro περὶ ὀρθογραφίαϲ et de derivatione in libro περὶ παρωνύμων agam. l. 26 γεώδηϲ addidi ex Arc. 117, 16, ὀνώδηϲ βοώδηϲ ex Il. Pr. I 336, λιμώδηϲ — πυρώδηϲ ex Choer. 54, 8, ἀμμώδηϲ — ϲαρκώδηϲ ex Theogn. 46, 9. l. 28 hunc canonem composui innuente Schol. ad Apoll. A 1047: Ἀρτακία· Ἡρωδιανὸϲ βαρυτονεῖ τὸ ὄνομα ἐν τῷ τρίτῳ τῆϲ καθόλου. Ἀρτάκηϲ γάρ. de Ἀρτάκηϲ consului praeterea St. B. 127, 17. Ἀριαράκηϲ ex St. B. 93, 5. Ὑδάρκηϲ 645, 9. Ἀπαϲιάκηϲ 103, 15.

Δαδίκης ἔθνος Περσικόν. Ἡρόδοτος ἑβδόμῃ (c. 66). Ὀξυδράκης ἔθνος Ἰνδικόν, ἀφ᾽ ὧν σώσας Ἀλέξανδρον Πτολεμαῖος σωτὴρ ἐκλήθη· οἱ δὲ ψεῦδος τὸ περὶ τῶν Ὀξυδρακῶν. Δερβίκκης ἔθνος πλησίον τῶν Ὑρκανῶν. Ἀπολλώνιος δὲ δὶς τὸ κ̄ καλῶς γράφει. Κτησίας δὲ Δερβισσοὺς αὐτούς φησιν ἢ Τερβισσούς. Καππαδόκης. Ἡρόδοτος δέ φησιν (I 72). λέγεται καὶ Καππάδοξ καὶ Καππάδοκος. Καραμβύκης ἔθνος Ὑπερβορέων ἀπὸ ποταμοῦ Καραμβύκα ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης. Παυσάρκης ἔθνος ὑπὸ τὸν Καύκασον. Πολυδεύκης, Πολυνείκης. βαρύνεται δὲ καὶ ὅσα παρὰ ῥῆμα προσηγορικά, ἱερονίκης, Ὀλυμπιονίκης. τὰ δὲ ἐπίθετα ὀξύνεται πολυδευκής, πολυνεικής πλὴν τῶν παρὰ τὸ ἀρκῶ αὐτάρκης, ποδάρκης.

Τὰ εἰς λης βαρύνεται, εἰ διὰ τοῦ ητος ἢ διὰ τοῦ ου κλίνονται, Ἐπιάλης Ἐπιάλητος, οὗ χρῆσις παρὰ Σώφρονι οἷον «Ἡρακλῆς Ἠπιάλητα πνίγων» Κεφάλλης Κεφάλλητος ὄνομα κύριον, Ἀκέλης Ἀκέλητος ὄνομα ποταμοῦ· ἔστι καὶ πόλις Ἀκέλης καὶ ὁ πολίτης ὁμοφώνως. Ἑλλάνικος δ᾽ εἶπεν «εἰς πόλιν Ἀκέλην»· ἐχρῆν δὲ Ἀκέλητα εἶναι. ἔοικε δὲ λέγεσθαι ἀπὸ Ἀκέλου τοῦ Ἡρακλέους καὶ Μαλίδος παιδός, δούλης τῆς Ὀμφάλης, ὡς Ἑλλάνικος. Ἀμέλης Ἀμέλητος ὄνομα ποταμοῦ, Τρεμίλης Τρεμίλου καὶ Τρεμίλητος, ἀφ᾽ οὗ ἡ Λυκία ἐκαλεῖτο Τρεμίλη ὡς Πανύασις

ἔνθα δ᾽ ἔναιε μέγας Τρεμίλης καὶ ἔγημε θύγατρα,
νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσιν,
Σίβρῳ ἐπ᾽ ἀργυρέῳ ποταμῷ παρὰ δινήεντι·
τῆς δ᾽ ὀλοοὶ παῖδες Τλῶος Ξάνθος Πίναρός τε
καὶ Κράγος, ὃς κρατέων πάσας ληΐζετ᾽ ἀρούρας.

Ἑκαταῖος Τρεμίλας τοὺς κατοικοῦντας καλεῖ ἐν τετάρτῳ τῶν γενεαλογιῶν, Ἀλέξανδρος δὲ Τρεμιλέας «τελευτήσας τοὺς Τρεμιλέας Λυκίους Βελλεροφόντης μετωνόμασεν». Ἡρόδοτος δὲ Τερμίλας αὐτοὺς καλεῖ ἐν πρώτῳ (c. 173). ὁ δὲ χρησμὸς ὁ περὶ αὐτῶν Τερμιλέας αὐτούς φησι. Δημομέλης Δημομέλου. Ἀψίλης ἔθνος Σκυθικὸν γειτνιάζον Λαζοῖς, ὡς Ἀρριανὸς ἐν περίπλῳ τοῦ Εὐξείνου πόντου (p. 12). Μυτίλης ὁ οἰκιστὴς τῆς Μυτιλήνης· Δασκύλης ὁ υἱὸς Περιαύδου, ἀφ᾽ οὗ Δασκύλιον πόλις Καρίας. Ὀζόλης ἔθνος. Λοκρῶν μοῖραι τρεῖς εἰσιν Ἐπι-

---

l. 1 Δαδίκης ex St. B. 216, 5, Ὀξυδράκης 494, 1, Δερβίκκης 226, 1, ubi Meinek. pro Ἀπολλώνιος scribi vult Ἀπολλόδωρος et ipsum Δερβίκης per simplex κ exhibendum et pro καλῶς κακῶς ponendum suspicatur. Καππαδόκης ex St. B. 356, 15, Καραμβύκης 357, 9, Παυσάρκης 513, 13. Πολυδεύκης Πολυνείκης et πολυδευκής πολυνεικής addita sunt ex Arc. 27, 136, Choer. 52, 7, αὐτάρκης ex Choer. 54, 25, ἱερονίκης Ὀλυμπιονίκης ex Herodian. in An. Ox. IV 336, 16.

l. 12 apud Arcadium exitus tantum ολης cum exemplo Ὀζόλης memoratur compositus cum terminatione ονης Μηριόνης. Equidem canonem ex Choer. 50, 8 et Theogn. 43, 33 constitui. Ἐπιάλης habet Herodian. in An. Ox. IV 336, 21 et Choer., Ἠπιάλης Eustath. 561, 18: ἐν τοῖς Ἡρωδιανοῦ κεῖται καὶ ἠπιάλης ἠπιάλητος οὗ χρῆσις, φησί κτλ., Κεφάλλης ex Choer., Ἀκέλης Choer. et St. B. s. v., Ἀμέλης Choer., Τρεμίλης St. B. 627, 10 et 633, 8, Δημομέλης Choer. 142, 8, Ἀψίλης St. B. s. v., Μυτίλης St. B. 465, 6, Δασκύλης 220, 10, Ὀζόλης Choer. et St. B.

Ζεφύριοι Ἐπικνημίδιοι, οἱ καὶ Ὀπούντιοι ὧν ἦν Αἴαϲ, καὶ Ὀζόλαι. φαινόληϲ, γενειόληϲ. τὸ δὲ ἀμελήϲ, ἀφελήϲ, καὶ ἀελλήϲ καὶ ἀολλήϲ ἐπίθετα καὶ εἰϲ ουϲ ἔχουϲι τὴν γενικήν.

Ἔτι βαρύνονται τὰ παρὰ τὸ ὄλω, πανώληϲ, ἐξώληϲ, προώληϲ καὶ τὰ παρὰ τὸ πωλῶ παντοπώληϲ.

* Τὰ εἰϲ μηϲ βαρύνονται, Γιλγάμηϲ ἔθνοϲ Λιβύηϲ· Ἡρόδοτοϲ ἑβδόμῃ (c. 66). Ἰάμηϲ ἔθνοϲ Cκυθικόν. Ἑκαταῖοϲ Ἀϲίᾳ. λέγονται καὶ Ἴαμοι, ὡϲ Ἀλέξανδροϲ ἐν τῷ περὶ Εὐξείνου πόντου μυθολογεῖ. Ἀδρύμηϲ Λιβύηϲ πόλιϲ· λέγεται καὶ ἀρϲενικῶϲ καὶ θηλυκῶϲ ἡ Ἀδρυμητόϲ καὶ οὐδετέρωϲ τὸ Ἀδρυμητόν. κέκληται δὲ ἀπό τινοϲ Ἀδρύμητοϲ τῆϲ γενικῆϲ παραχθείϲηϲ εἰϲ εὐθεῖαν. ἄμεινον δὲ τὸ Ἀδρύμηϲ· αἱ γὰρ ἀπὸ γενικῆϲ εὐθεῖαι δίχα ποιητικῆϲ φράϲεωϲ ϲπανιώταται.

Ἔτι τὰ εἰϲ ανηϲ κύρια, Τιγράνηϲ, Ἰορδάνηϲ, Ἐξοϲτάνηϲ, Ἀϊάνηϲ, Βαρδάνηϲ, Ἀριϲτοφάνηϲ, Θεοφάνηϲ. τὸ δὲ ἐπίθετον θεοφανήϲ ὀξύνεται. καὶ τὰ εἰϲ αννηϲ διὰ δύο νν Ὀρθάννηϲ. καὶ τὰ εἰϲ νηϲ παραληγόμενα τῷ ρ. Βαϲτάρνηϲ ἔθνοϲ ὑπὲρ τὸν Ἴϲτρον οἰκοῦν. καὶ τὰ εἰϲ ηϲ Περϲικὰ πάντα, Ἀρταφέρνηϲ, Ἰνταφέρνηϲ.

* Τὰ διὰ τοῦ ενηϲ κύρια βαρύνονται, Δημοϲθένηϲ, Διογένηϲ, Ἀντιγένηϲ, Ἀριϲτομένηϲ, Βορυϲθένηϲ πόλιϲ καὶ ποταμὸϲ τοῦ Πόντου παρὰ τὴν Μαιῶτιν λίμνην καὶ Τάναϊν τὸν ποταμόν. οὕτωϲ καὶ ὁ Ἑλλήϲποντοϲ πρὸ τῆϲ Ἕλληϲ ἐκαλεῖτο. ἔϲτι δὲ καὶ πόλιϲ Ἑλληνὶϲ πρὸϲ ἑϲπέραν Βορυϲθένου τοῦ ποταμοῦ, Μιληϲίων ἄποικοϲ, ἣν οἱ μὲν ἄλλοι Βορυϲθένην, αὐτοὶ δὲ Ὀλβίαν. κεῖται δ' ἐν νήϲῳ, ἣν ποιοῦϲιν ὅ τε Βορυϲθένηϲ καὶ Ὕπανιϲ. ἀμένηϲ ἀμένητοϲ τὸ παιδίον διὰ τὸ μὴ ἔχειν μένοϲ. τὰ δὲ ἐπίθετα ὀξύνεται, ἀμενήϲ, εὐμενήϲ, δυϲμενήϲ, ἀγενήϲ.

* Τὰ διὰ τοῦ ηνηϲ ὀξύνονται, ϲαφηνήϲ ὁ ϲαφήϲ, παιδηνήϲ ὁ παιδικόϲ, γαληνήϲ ὁ γαληνὸϲ τρόποϲ, δυϲδηνήϲ, ἀπηνήϲ, προϲηνήϲ, δυϲηνήϲ.

484, 9, φαινόληϲ γενειόληϲ Eustath. 1684, 31 (τὸν Οἰδιπόδην ϲχηματίζων Ἡρωδιανὸϲ ἔνθα λέγει περὶ τοῦ φαινόληϲ φαινόλου γενειόληϲ γενειόλου παραδίδωϲιν, ὡϲ ἡ γενικὴ τοῦ Οἰδίποδοϲ μεταθέϲει τῆϲ οϲ εἰϲ ηϲ ποιεῖ τὸ Οἰδιπόδηϲ Οἰδιπόδου, ὅπερ ὅμοιον τῷ τρίποδοϲ τριπόδηϲ καὶ ἑπτάποδοϲ ἑπταπόδηϲ παρ' Ἡϲιόδῳ, quem locum infra etiam adhibebo) et ex Herodian. An. Ox. IV 336, 13, ubi φαινόληϲ ῥηματικόν, γενειόληϲ παρώνυμον. ἀμελήϲ ἀφελήϲ adieci ex Theogn. et ἀελλήϲ ex Choer. 53, 32, cui adieci ἀολλήϲ, quod in Arcadii loco pro ἀκλινήϲ coniecerat Goettlingius. l. 4 priorem partem canonis ex Arcad. 27, 9 huc retraxi, alteram de παντοπώληϲ addidi ex Choer. 138, 17. l. 6 canonem de nominibus in μηϲ ipse finxi propter Γιλγάμηϲ St. B. 208, 5 et Ἰάμηϲ 321, 19, Ἀδρύμηϲ 29, 12 Meinekii adnotamento in auxilium vocato. l. 13 Τιγράνηϲ addidi ex St. B. 623, 9, Ἰορδάνηϲ — Βαρδάνηϲ ex Choer. 54, 1. l. 15 praeceptum de αννηϲ ex Choer. 53, 27 omisso nomine Ἰοάννηϲ. de ρνηϲ supplevi propter St. B. 160, 7 Βαϲτάρνηϲ. l. 18 canonem de ενηϲ ipse finxi consulto Arcad. 27, 18, Theogn. 44 et Choer. 50, 20 et St. B. 176, 12 Βορυϲθένηϲ. l. 24 ἀμένηϲ ex Choer. l. c. et 149, 16 cf. Hes. s. ἀμενητά cum Schmidtii annotatione, l. 25 ἀμενήϲ ipse adieci, quum oxytonum barytono opposuisse Herodianus existimandus sit. l. 27 canon compositus est ex Choer. 55, 9, δυϲδηνήϲ 52, 3 et Theogn. 44, 5.

* Τὰ εἰς ινης κύρια βαρύνονται, Αἰσχίνης, Σμικρίνης, Λεπτίνης, Θεοκρίνης, Μηκίνης, Ἀξίνης, Ἀψίνης, Σπασίνης ἀφ' οὗ Σπασίνου χάραξ πόλις ἐν τῇ μέσῃ τοῦ Τίγρητος Μεσήνῃ. Ἀκεσίνης ποταμὸς ὁ Τάναϊς. Ἀρκεσίνης· οὕτως ἀρσενικῶς Πολύβιος τὴν Ἀρκεσίνην πόλιν ἐν Ἀμόργῳ τῇ νήσῳ φησίν. Βαρδίνης ποταμὸς Συρίας. τὸ δὲ ἀπινής ὁ ἀμόλυντος καὶ ἀκλινής ἐπίθετα καὶ εἰς ους τὴν γενικὴν ἔχει.

Τὰ εἰς ονης βαρύνεται, Μηριόνης, Κεβριόνης ὁ Πριάμου.

* Ἔτι τὰ εἰς υνης, Κερύνης καὶ τὰ εἰς ωνης τελώνης.

* Τὰ εἰς ξης βαρύνεται, Ἀράξης ποταμὸς Ἀρμενίας καὶ Θετταλίας· οὕτως γὰρ ὁ Πηνειὸς ἐκαλεῖτο ἐκ τοῦ ἀράξαι. ἔστι δὲ καὶ ἔθνος Ἰλλυρίας, ὃ καὶ Ἄραξος λέγεται, ὡς Ἀλέξανδρος Κορνήλιος ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶς εἰρημένων. Σαΐξης ἔθνος παρὰ τῷ Ἴστρῳ.

* Ἔτι τὰ εἰς πης Παντικάπης ποταμός, Ὑστάσπης ἔθνος Περσικόν.

Ἔτι τὰ εἰς αρης, εἰ μὴ ἐπίθετα εἴη, Κυαξάρης, Πantάρης, Σωχάρης, Τυνδάρης, Ἀφάρης, Ἀμφιάρης, Καβάρης ὄνομα ποταμοῦ, Γανδάρης Ἰνδῶν ἔθνος. Ἑκαταῖος Ἀσίᾳ. λέγονται καὶ Γανδάριοι παρ' αὐτῷ. Δουσάρης θεὸς παρὰ Ἄραψι καὶ Δαχαρηνοῖς τιμώμενος, ἀφ' οὗ Δουσαρὴ σκόπελος Ἀραβίας. τὸ δὲ θυμαρής «ἔχει δ' ἄλοχον θυμαρέα» (Il. I 336) καὶ «σκῆπτρον θυμαρές» (Od. ρ 199) ὀξύνεται· ἔστι γὰρ ἐπίθετον παρὰ τὸ θυμός καὶ ἀρῶ.

* Τὰ εἰς ερης βαρύνονται, εἰ εἰς ητος τὴν γενικὴν ἔχει, Ὑπέρης Ὑπέρητος ὁ Λυκάονος υἱός, ἀφ' οὗ Ὑπερησία πόλις τῆς Ἀχαΐδος, ὑψικέρης ὑψικέρητος ὁ ἐν ὕψει κεκτημένος τὰ κέρατα, τὸ δὲ ἀμερής διὰ τοῦ ους κλινόμενον ὀξύνεται.

Ἔτι τὰ διὰ τοῦ ηρης βαρύνονται, χαλκήρης, χρυσήρης, θυμήρης, ἔνθεν τὸ «θυμῆρες κεράσασα» (Od. κ 362), φρενήρης, τριήρης· ἔστι καὶ πόλις Συρίας, ὀλιγήρης, ποδήρης· τὸ δὲ ἀπη-

l. 1 canonem finxi ex Choer. 49, 1, unde nomina — Μηκίνης, ex Herodian. in An. Ox. IV 336, 11, unde Ἀξίνης Ἀψίνης, St. B. ubi Σπασίνης 584, 5, et Theogn. 44, 3—6, unde ἀπινής accessit, ἀκλινής addidi ex Arc. 26, 2. ubi AC ἀκρινής habent, huc traxi, quum in alienum locum ad terminationem ολης et ονης inrepserit. Fortasse huc referendum est etiam Βιβλίνης ποταμὸς Νάξου in E. M. 197, 3, qui ap. St. B. 168, 12 Βίβλος vocatur. l. 8 canonem ex Arc. 26, 1 huc traxi consulto Choer. 53, 20 et St. B. 371, 3, e quibus Κεβριόνης accessit. l. 9 canon sumptus est ex Choer. 53, 23. l. 10 canonem finxi propter Ἀράξης St. B. 109, 17 et Σαΐξης 550, 1. l. 17 composui propter St. B. Παντικάπης 501, 16, Ὑστάσπης 653, 16. l. 18 Τυνδάρης Ἀφάρης Ἀμφιάρης adieci ex Herodian. in E. M. 175, 30, Καβάρης ex Choer. 50, 13, Γανδάρης ex St. B. 198, 13, Δουσάρης 237, 23. l. 21 τὸ δὲ θυμαρής usque ad finem addidi ex Il. Pros. I 336 collato E. M. 458. l. 24 canon compositus est ex Choer. 50, 1 collato ad Ὑπέρης St. B. 650, 20 et Theogn. 44, 15, unde ἀμερής. l. 29 ἔνθεν τὸ — κεράσασα addidi ex Il. Pr. Γ 316, unde etiam ὀλιγήρης. ποδήρης ex Theogn., ἀπηρής accessit ex Epim. Hom. 84, 10.

ρῆς ὁ ἀβλαβὴς Ἀπολλώνιος Ἀργοναυτικοῖς (I 556) «νόστον ἐπευφήμησαν ἀπηρέα νισσομένοισι» οὐκ ἔστι τύπου τῶν διὰ τοῦ ηρης, ἐβαρύνετο γὰρ ἂν ὡς χαλκήρης, κωπήρης.

Ἔτι τὰ διὰ τοῦ ωρης βαρύνονται, νεώρης, αὐτώρης, κατώρης, ὑλησώρης, μεσσώρης, Διώρης ὄνομα κύριον. Λυκώρης. ἡ δὲ Λυκωρέος γενικὴ παρὰ Καλλιμάχῳ (hymn. Apoll. 94) ἀπὸ τῆς Λυκωρεύς εὐθείας ἐκφέρεται.

* Τὰ εἰς σης βαρύνεται, Ἀγχίσης, Ἀντίσης, Ἀμφίσης, Ἐρίσης, ὄνομα κύριον, Κυρίσης ποταμὸς Κελτικῆς, Τιπανίσης, ἔθνος παρὰ τὸν Καύκασον. Ἑκαταῖος Εὐρώπῃ. Βασανίσης ἔθνος Θρᾴκιον, Ὀδρύσης ἔθνος Θρᾴκης· Στράβων ἑβδόμῃ (fr. 48), Λαπέρσαι· οὕτως οἱ Διόσκουροι ἐκλήθησαν Λᾶν πόλιν Λακωνικὴν ἑλόντες.

Τὰ εἰς της ἁπλᾶ ἀρσενικὰ καθαρὸν ἔχοντα τὸ τ̄ βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς βαρύνεται, ἐργάτης, ἐλάτης, Ἰξιβάτης ἔθνος πρὸς τῷ Πόντῳ προσεχὲς τῇ Σινδικῇ. Ἑκαταῖος Ἀσίᾳ. Ἰαζαβάτης ἔθνος παρὰ Μαιῶτιν, οὓς Σαυρομάτας φησὶν Ἔφορος. Σαρμάτης ἔθνος Σκυθικόν, Σαυρομάτης ἔθνος Ἰνδικόν. λέγονται καὶ Συρμάται, ὡς Εὔδοξος πρώτῳ «ποταμὸν τοῦ Ταναΐδος Συρμάτας κατοικεῖν». Γαλάτης ἔθνος πρὸς νότον τοῖς Παφλαγόσιν· ἀπὸ τῶν ἐν τῇ Κελτικῇ Γαλατῶν, οἳ πλανηθέντες πολὺν χρόνον καὶ καταλαβόντες τὴν χώραν οὕτως ὠνόμασαν. παρήχθη δὲ τὸ Γαλάτης ἐκ τοῦ Γάλλος ὑφέσει τοῦ ἑνὸς λ̄. Ἀβρινάτης Ποντικὸν ἔθνος καὶ μετὰ τοῦ ρ̄ καὶ χωρὶς τοῦ ρ̄. Δαλμάτης ἔθνος Ἰταλίας. λέγονται δὲ καὶ Δελματεῖς καὶ Δάλμιοι καὶ Δαλμιεῖς. Χαριμάτης ἔθνος πρὸς τῷ Πόντῳ. Παλαίφατος ἐν ἑβδόμῳ Τρωϊκῶν «Κερκετέων ἔχονται Μόσχοι καὶ Χαριμάται τοῦ Παρθενίου κρατέουσιν εἰς τὸν Εὔξεινον πόντον». καὶ Ἑλλάνικος ἐν κτίσεσιν ἐθνῶν καὶ πόλεων «Κερκετέων δ' ἄνω οἰκέουσι Μόσχοι

---

l. 4 νεώρης αὐτώρης addidi ex Arcad. 117, 18, κατώρης — μεσσώρης, quod Lob. Proll. 282 pro νεσσώρης emendavit, ex Theogn. 45, 30. De Λυκώρης hoc loco Arcadius dicit ὅπερ Καλλίμαχος ὀξύνει, Theogn. ἡ δὲ Λυκωρέος γενικὴ ἀπὸ τῆς Λυκωρεύς εὐθείας ἐκφερομένη οὖσα τετήρηται, unde monente Lehrsio quaest. ep. 165 quae scripsi dedi, Ahrens Bucol. II p. XLII et 513 apud Arcadium non poetam Callimachum, sed grammaticum Herodiano iuniorem intellegi vult.
l. 8 canonem composui propter Τιπανίσης St. B. 625, 9, pro quo E. M. 15, 5 Τιπενίσης habet, et Βασανίσης 159, 19, ubi additur: τινὰ δὲ τῶν βιβλίων Βανίσαι ἔχουσι τρισυλλάβως, quibus verbis Herodiani textus indicari videtur, Ὀδρύσης St. B. 484, 3, Λαπέρσαι 412, 4. Vocabula Ἀγχίσης — Κυρίσης sumpsi ex E. M. l. c., quo venerunt ex Choer. Orth. 170, 1. l. 13 ad hunc canonem constituendum consului E. M. 436, 8: τὰ εἰς της λήγοντα ἀρσενικά, καθαρὸν ἔχοντα τὸ τ̄ βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς βαρύνεται καὶ ἁπλᾶ ὄντα οἷον Ἰξιβάτης, ἀρέτης, cui ex Apollonio de adv. 545 substitui ἀρότης, ἐργάτης. σεσημείωται τὸ εὑρετής — τὸ μέντοι ἀθλητής μαχητής μαθητής ὀξύνεται, ὅτι οὐ βραχεῖαν ἔχει τὴν παραλήγουσαν. Similiter canon in An. Ox. II 357, 22 prolatus est: τὰ εἰς της λήγοντα ἀρσενικὰ καθαρὰ βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ ὄντα βαρύνονται οἷον ἐργάτης, ἐλάτης, γενέτης, γαμέτης, δεσπότης, τοξότης, δημότης. σεσημείωται τὸ εὑρετής ὀξυνόμενον. Equidem sic processi, ut primum afferrem vocabula in ατης, quae praeter ἐργάτης quod unicum huius terminationis habet Arcad., et ἐλάτης An. Ox. II l. c., omnia sunt ex St. B. s. vv., de quantitate cf. Lob. Proll. p. 372.

καὶ Χαριμάται, κάτω δ' Ἡνίοχοι, ἄνω δὲ Κοραξοί». Ναβάτης ἀφ' οὗ ἔθνος τῶν εὐδαιμόνων Ἀράβων. Ναβάτης δέ ἐστιν ἀραβιστὶ ὁ ἐκ μοιχείας γενόμενος. οἰκέτης, ὀφελέτης, φυλέτης, εὐνέτης, ἐρέτης, γενέτης, γαμέτης, Μακέτης ὁ Μακεδών, Ματυκέτης ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. Μασσαγέτης ἔθνος Σκυθῶν, ἔνθα Κῦρος ἐτελεύτησε. Εὐεργέτης Σκυθικὸν ἔθνος. Στράβων (p. 724) δ καὶ Ἀριμασποί ἐλέγετο. ἐκεῖ γὰρ τῶν ἐπὶ τῆς Ἀργοῦς χειμῶνος πνεύσαντος διασωθῆναι τὸ σκάφος καὶ οὕτω κληθῆναι. Θυσσαγέτης ἔθνος περὶ τὴν Μαιῶτιν λίμνην ὡς Ἡρόδοτος (IV 22). Τορέτης ἔθνος Ποντικόν. Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. Μυργέτης ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. ἀρότης, ἀγρότης, δημότης, ὁμότης καὶ ξυνωμότης, τοξότης, ἱππότης, δεσπότης. σεσημείωται τὸ εὑρετής· τὸ μέντοι ἀθλητής, μαθητής, ποιητής, μαχητής, ἐγγυητής, φοιτητής, τρυγητής, ἀκονητής, αὐλητής, πειρατής, θεατής, τορευτής, βραβευτής, χρυσωτής, σταυρωτής, βεβαιωτής, ζηλωτής, διορθωτής ὀξύνεται, ὅτι οὐ βραχεῖαν ἔχει τὴν παραλήγουσαν. Τὰ γὰρ εἰς ΤΗΣ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεσθαι θέλει. οὐκ ἄρα ὑγιῶς Τυραννίων παροξύνει τὸ ἑεδνωτής σχηματισθὲν παρὰ τὸ «ἑεδνώσαιτο θύγατρα» (Od. β 53). μάχεται δὲ τὸ κυβερνήτης. τὸ γὰρ ἀήτης οὐ παρὰ ῥῆμα γέγονε. τὰ γὰρ εἰς ΤΗΣ φύσει μακρᾷ παραληγόμενα μὴ ῥηματικὰ βαρύνεται, κο-

---

l. 3 φυλέτης accessit ex St. B. 674, 8, εὐνέτης ἐρέτης ex Theogn. 43, 21, qui de suo addidit στρατηγέτης; γενέτης, γαμέτης ex An. Ox. l. c. Reliqua in ΕΤΗΣ sunt ex St. B. s. vv. l. 10 ad Μυργέτης St. B. 463, 2 annotat: ἔν τισι δὲ τῶν Ἡρωδιανοῦ γράφεται διὰ τοῦ γ̄ Γυργετῶν, κακῶς. l. 12 de εὑρετής cf. Choer. 703, 14, εὕρημαι εὑρέθην, τοῦτο γὰρ διὰ τοῦ ε̄ γέγονε κατὰ παθητικὸν ἀόριστον τῆς παραληγούσης τοῦ παθητικοῦ παρακειμένου τὸ η̄ ἐχούσης, ὅθεν καὶ τὸ ὄνομα τὸ ῥηματικὸν τὸ εὑρετής διὰ τοῦ ε̄ ἐστίν, ὅπερ καὶ κατὰ τὸν τόνον ἡμάρτηται ὀξυνόμενον, περὶ οὗ ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ, εἰ θεῷ φίλον, μαθησόμεθα. — nomina in ΟΤΗΣ sunt ex Theogn. 45, 3, δημότης habet etiam Steph. B. 228, 11 et ἀγρότης 22, 3; de δεσπότης cf. An. Ox. l. c. et E. M. 258, 7: δεσπότης παρὰ τὸ δεσπόζω δεσπόσω δεδέσποκα δεδέσποσμαι, τὸ τρίτον δεδέσποσται, δεσπότης ἐξ αὐτοῦ καὶ τῇ ἐλλείψει τοῦ σ̄ ἀνεβιβάσθη ὁ τόνος. — l. 13 μαχητής ex E. M. l. c., ἐγγυητής — ἀκονητής ex Theogn. 46, 14, πειρατής ex Il. Pr. Ν 382, θεατής ex Arc. 26, 24, τορευτής βραβευτής Il. Pr. Ε 158, χρυσωτής indidem, σταυρωτής — διορθωτής ex Theogn. 46, 17. — l. 17 τὰ γὰρ εἰς ΤΗΣ usque ad οὐ παρὰ ῥῆμα γίνεται sumpsi ex Il. Pr. Ν 382: ἑεδνωταί: ὡς χρυσωταί καὶ ποιηταί. προείρηται δὲ ἡμῖν τὰ τῆς προσῳδίας ὡς τὰ εἰς ΤΗΣ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεσθαι θέλει, αὐλητής, πειρατής, χηρωστής, βραβευτής· οὕτως οὖν καὶ τὸ ἑεδνωτής, σχηματισθὲν παρὰ τὸ «ἑεδνώσαιτο θύγατρα». περὶ δὲ τῶν ἀήτης καὶ κυβερνήτης βαρυνομένων λόγον δίδομεν. i. e. in Il. Pr. Ε 158 χηρωσταί: ὡς ἀθληταί. οὕτως καὶ ὁ Ἀσκαλωνίτης· τὰ γὰρ εἰς ΤΗΣ λήγοντα ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεται, τορευτής, βραβευτής, ἀθλητής, ποιητής, ὀρχηστής, χρυσωτής. οὕτως οὖν καὶ παρὰ τὸ «ἑεδνώσαιτο» τὸ ἑεδνωτής καὶ παρὰ τὸ «χηρώσας δὲ γυναῖκα» (Il. Ρ 36) τὸ χηρωστής. μάχεται τὸ κυβερνήτης· τὸ γὰρ ἀήτης ἄλλως γέγονε· τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ «στείχων δ' ἀγρώστην ὄχλον» παρώνυμον, quo in loco coniuncta sunt nomina in ΤΗΣ et ΣΤΗΣ in Catholica disparata. l. 21 τὰ γὰρ εἰς ΤΗΣ ob sententiam canonis addidi consulto E. M. 61, 54 (Ep. Hom. 23, 29) δεῖ γινώσκειν ὅτι ὥσπερ τὸ κομήτης καὶ πεδήτης καὶ πλανήτης, οὐ ῥηματικά, ἀλλὰ παρώνυμα ἀπὸ τοῦ πέδη καὶ πλάνη καὶ κόμη· οὕτω καὶ παρὰ τὸ ἄλη, ὃ σημαίνει τὴν πλάνην, γίνεται ἀλήτης. οὕτω Φιλόξενος εἰς τὸ ῥηματικὸν αὐτοῦ, quem

μήτης, πεδήτης, πλανήτης, ἀλήτης, λιμνήτης, ὑπηνήτης, κορυνήτης, νικήτης, κωμήτης, λιπερνήτης ὁ πρότερον πλούσιος, ὕστερον δὲ πένης παρὰ τὸ λείπεσθαι ἐρνέων ἤγουν φυτῶν. Δανθαλήτης ἔθνος Θρᾳκικόν. Θεόπομπος μη΄. Δασσαρήτης ἔθνος Ἰλλυρίας. Πολύβιος ὀγδόῳ. Δεκιήτης ἔθνος Ἰταλίας, ὡς Ἀρτεμίδωρος ἐν α΄ γεωγραφουμένων. Γαζήτης ἔθνος Γαλατῶν χρυσοφοροῦν. Σιδήτης, πολιήτης κατὰ πλεονασμὸν τοῦ ῑ ὥσπερ μυθιήτης καὶ Κεραμιήτης καὶ Ἰουλιήτης ἀπὸ τοῦ Ἰουλίτης. Αἰγινήτης κατὰ τροπὴν ἀπὸ τοῦ Αἰγινάτης· ἔστι καὶ Αἰγινήτης πολίχνιον καὶ ποταμὸς Παφλαγονίας· οὕτω καὶ Βεμβινήτης, ὡς Πανύασις ἐν Ἡρακλείας πρώτῃ «δέρμα τε θήρειον Βεμβινήταο λέοντος» καὶ ἄλλως «καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος». καὶ Βαργυλιήτης, Μασσαλιήτης, Μαλειήτης «Μαλειήτης τρύπανον αἰπολικόν». στρατιώτης, νησιώτης, ταξεώτης, βοώτης, γαλεώτης. ἔστι δὲ καὶ Γαλεώτης ἔθνος ἐν Σικελίᾳ ἢ ἐν τῇ Ἀττικῇ ἀπὸ Γαλεώτου υἱοῦ Ἀπόλλωνος καὶ Θεμιστοῦς, τῆς θυγατρὸς Ζαβίου, τοῦ βασιλέως τῶν Ὑπερβορέων. τινὲς δὲ ὅτι Γαλεῶται μάντεων εἶδος Σικελῶν. ἀγγελιώτης. Περκώτης. Μαλλώτης. Ἠπειρώτης. Κολώτης. ἀσκαλαβώτης, δεσμώτης, δενδρώτης, λεσχηνώτης, ἀγρώτης καὶ ἐν πλεονασμῷ τοῦ σ̄ ἀγρώ-

Herodianus sequi solet, et E. M. 40, 39 αἰχμητής ἀπὸ τοῦ αἰχμάζω ὁ μέλλων αἰχμάσω αἰχματής καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ αἰχμητής ὁ πολεμικός. εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμή, ὤφειλε βαρύνεσθαι ὥσπερ ὑπήνη ὑπηνήτης καὶ κορύνη κορυνήτης. τὰ δὲ ἀπὸ τῆς β΄ συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς ὀξύνεται οἷον ἐραστής θεατής λωβητής δαπανητής· τὸ δὲ πεδήτης καὶ κομήτης καὶ ἀλήτης οὐ παρὰ τὸ ῥῆμα, ἀλλὰ παρὰ τὸ πέδη καὶ κόμη καὶ ἄλη. τὰ δὲ τοιαῦτα βαρύτονα δισύλλαβα ὀνόματα δῆλον ὅτι, εἰ ἀπὸ μονοσυλλάβου περισπωμένου τῆς β΄ συζυγίας ἐγένοντο, καὶ βαρύνονται οἷον κτῶ κτήτης Φιλοκτήτης, βῶ βήτης θλῶ θλάτης, πρῶ πράτης et E. M. 258, 1: πᾶν ῥῆμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων ἐν τοῖς ὀνόμασιν ἢ διὰ τοῦ ω̄ ὀξυτόνως προεκφέρεται οἷον χρυσῶ χρυσωτής, μισθῶ μισθωτός μισθωτής ἢ διὰ τοῦ ο̄ βαρύνεται ὁμόσω ὀμότης, ἀρόσω ἀρότης· οὐκ ἄρα τὸ δεσμώτης ἀπὸ τοῦ δεσμώσω μέλλοντος, ἐπεὶ ὤφειλεν εἶναι δεσμωτής, ἀλλ᾽ ἀπὸ τοῦ δεσμός. Quare non ex Herodianeo fonte derivatum puto hoc in An. Ox. II 321, 14 τὰ διὰ τοῦ ητης ἀπὸ τῶν εἰς η̄ θηλυκῶν γινόμενα ὡς ἐπὶ τὸ πλεῖστον τὸ η̄ παραλήγονται, καὶ εἰ μὲν ὀξύνεται, καὶ τὸ ἀρσενικὸν οἷον ἀστεροπή ἀστεροπητής. εἰ δὲ βαρύνονται τὰ θηλυκά, συμβαρύνονται καὶ τὰ ἀρσενικὰ οἷον ὑπήνη ὑπηνήτης, κορύνη κορυνήτης, κόμη κομήτης atque existimem Herodianum propter accentum ἀστεροπητής a verbo perispomeno, quod ipsum ab ἀστεροπή fictum neque tamen in usu sit, repetivisse. Notabile est etiam ἐπητής (quod in E. M. 356, 41 sic derivatur: παρὰ τὸ ἔπω τὸ λέγω γίνεται ἔπης· ἔδει γὰρ ἰσοσυλλαβεῖν τῷ ῥήματι καὶ πλεονασμῷ τῆς τη̄ συλλαβῆς ἐπητής. δηλοῖ δὲ οὐ μόνον τὸν τοῦ λέγειν δυνάμενον, ἀλλὰ καὶ τὸν τοῦ φρονεῖν ἐν δυνάμει ὄντα «οὕνεκ᾽ ἐπητής ἐσσι» ἀντὶ τοῦ συνετός), de cuius accentu Schol. ad Od. ν 332: τῇ προσῳδίᾳ ὡς ἀεικής, φησὶν Ἀρίσταρχος· οὕτω δὲ καὶ Ἡρωδιανός, Eustath. 1742 extr. ὀξύνεταί φασιν ἡ λέξις παρὰ τοῖς παλαιοτέροις, οἱ δὲ ὕστερον παροξύνουσιν αὐτό, unde coniectari potest Aristarchum hoc nomen per εος flexisse et ob eam rem cum ἀεικής comparavisse, sed dativus est «ἐπητῇ δ᾽ ἀνδρὶ ἔοικας» Od. σ 128, cuius accentus difficilis est explicatu. cf. Lehrs Arist. 301[2], Lob. El. I 483 et Dindorf ad Schol. Od. ν 332 et φ 306. l. 1 λιμνήτης — κωμήτης sunt ex Theogn. 45, 25. λιπερνήτης ex Zonar. 1309, ubi diserte: Ἡρωδιανὸς λέγει. l. 3 Δανθαλήτης usque ad Μαλειήτης l. 13 sunt ex St. B. s. vv. l. 13 στρατιώτης — l. 17 ἀγγελιώτης ex Theogn. 44, 25, nomen proprium Γαλεώτης ex St. B. s. v., inde a Περκώτης usque ad μονώτης ex Theogn. 44, 33, ἀγροιώτης ex St. B. 22, 3, ubi etiam ἀγρώτης ἀγρώστης et ἀγρότης

στης ἀγροιώτης, μονώτης καὶ μονώστης. Μαιώτης ἔθνος Σκυθικὸν μέγιστον καὶ πολυάνθρωπον. ἔστι καὶ μαιώτης ἰχθῦς τις. Ἀραχώτης ποταμὸς Ἰνδικός, ὃς καὶ Ἀραχωτός. Ἀζειώτης ἔθνος τῆς Τρῳάδος, ὡς Ἑλλάνικος ἐν τοῖς περὶ Λυδίαν λέγει. ἔοικε δὲ τὸ πρωτότυπον Ἄζεια εἶναι, ἵν᾽ ᾖ ὡς Μάρεια Μαρειώτης, Ῥάφεια Ῥαφειώτης. λέγεται δὲ καὶ Ἀζειοί. Ἡρακλεώτης, Ῥαφανεώτης, Ἀμβρακιώτης, Πηλιώτης, Φθιώτης, Ἰταλιώτης, Σικελιώτης. ἀσπιδιώτης — τὸ δὲ προπετής, ἀκρατής, τριετής σύνθετα.

Τὰ διὰ τοῦ ατης τὸ ᾱ μακρὸν ἔχοντα μὴ ὄντα ῥηματικὰ βαρύνεται, Εὐφράτης ποταμός, Νιφάτης ὄρος Ἀρμενίας. ἔοικε δὲ παρὰ τὸ νείφειν, ἀλλ᾽ ὀνοματικῶς διὰ τοῦ ῑ γράφεται. καὶ Πείσανδρος ἑβδόμῳ «ταῦρον πρυμνώρειαν ἐΰσκόπελόν τε Νιφάτην». Ἰλαραυγάτης ὁ Ἴβηρ· Ἑκαταῖος Εὐρώπῃ. καὶ Ἰλαραυγάτης ποταμός. Ἀντεμνάτης, Βεμβινάτης, Μεσολάτης, Ναπάτης, Πισάτης, Ῥαβεννάτης, Ῥεσινάτης, Σπινάτης, Ζαιάτης, Βαιάτης, Ἐλεάτης, Τεγεάτης, Μαλεάτης. Ἀνδροτίων πέμπτῳ. Γυθεάτης, Σερρεάτης, Φενεάτης, Πανεάτης, Κορσεάτης, Ὑδρεάτης, Ὀρνεάτης, Ζελειάτης, Κορωνειάτης, Καυλωνειάτης, Ἐρευάτης πόλις Λυκίας καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Σπαρτιάτης κατὰ πλεονασμὸν τοῦ ᾰ ἀπὸ τοῦ Σπαρτίτης ὡς Κροτωνιάτης, Φαριάτης, Φασιάτης, Νωνακριάτης, οἰκιάτης. Ἰάτης, Σκιάτης, Ἐρινιάτης κώμη Μεγαρίδος. Παυσανίας α΄ (c. 44, 5) καὶ ὁ οἰκήτωρ Ἐρινιάτης διὰ τὸ προκατειληφός. Βρενθιάτης ποταμὸς Ἀρκαδίας. Αὐταριάτης ἔθνος Θεσπρωτικόν. Χάραξ ἐν ἑβδόμῃ χρονικῶν καὶ Φαβωρῖνος ἐν παντοδαπαῖς καὶ Ἐρατοσθένης. Γενοάτης, Θεισοάτης, Λυκοάτης, Μεσσοάτης, Οἰάτης, Καρυάτης, Καφυάτης, Μωλυάτης, ἀγυιάτης. τὸ δὲ θεατής καὶ πειρατής ῥηματικὰ ὄντα ὀξύνεται.

Τὰ εἰς ῑτης τοῦ ῑ μακροῦ ὄντος καὶ ειτης βαρύνεται, πολίτης, τεμενίτης, ἔστι καὶ λόφος ἐν τῇ Θρᾴκῃ πρὸς τῇ Τριβαλλῶν.

proponuntur. l. 1 Μαιώτης usque ad ἀσπιδιώτης sunt ex St. B. — Canonem Arcadii 27 not. 30 ἔτι τὰ διὰ τοῦ ωτης μὴ ῥηματικὰ (sc. βαρύνεται) δεσμώτης στρατιώτης omisi, quia in hoc canone continetur. Finis canonis ut reliquae partes ab Arcadio nimis contractus est, memoratum fuit sine dubio ὑψιπέτης (Il. Pr. M 201), cf. de vocabulis a πέτομαι et πίπτω derivatis Lehrs. quaest. ep. 160 seqq. l. 9 Apud Arcadium tria tantum barytona Τεγεάτης, Σπαρτιάτης, quod explevi ex Herodian. περὶ παθῶν in E. M. 722, 28, proferuntur, reliqua omnia exempla ita ex St. B. excerpta sunt, ut unum quodque genus huiuscemodi vocabulorum repraesentatum sit. Ζελειάτης diserte Herodiani mentione facta laudatur a St. B. 295, 6 Ζέλεια· τὸ ἐθνικὸν Ζελείτης. Ἡρωδιανὸς δὲ Ζελειατῶν φησιν, quod tamen non sic intellegendum est, quasi Herodianus Ζελείτης formam prorsus reprobaverit. De Ἐρινιάτης Meinek. adnotat apud Pausaniam legi: ἐν Ἐρινείᾳ τῇ Μεγαρέων κώμῃ, sed Stephanus videtur ex Herodiano petivisse, qui hic aliam scripturam invenisse videtur pariter atque ap. Herodot. I 125, ubi nunc ἀρτέαται verbum reperitur, populi nomen Ἀρτεᾶται legisse coniectari potest ex St. B. Ἀρτεᾶται γένος Περσικόν. Ἡρόδοτος πρώτῃ et s. Ἀρταία: οἱ οἰκοῦντες Ἀρταῖοι. Ἡρόδοτος Ἀρτεάτας αὐτοὺς καλεῖ διὰ τοῦ ε̄ ψιλοῦ. Accuratius de his sicut de reliquis gentilibus in libro περὶ παρωνύμων agam. l. 28 ex vocabulis in ῑτης Arcadius tantum πολίτης et τεμενίτης habet; quod ex St. B. supplevi;

ζευγίτης, στυλίτης, ἑρκίτης, Θερσίτης, ἔστι καὶ ἔθνος Ἰβηρικόν. Πολύβιος ἐν τρίτῳ. μεσίτης, στεφανίτης, πυρίτης, ὁδίτης, ἐπαλξίτης, μαγνίτης, φεγγίτης, λυχνίτης, αἰθερίτης, ἀγρίτης, τοπίτης, χωρίτης· Σοφοκλῆς Αἰγεῖ «ἐκλύομεν. οὐκ ἔγωγε χωρίτην γ' ὁρῶ». καὶ ἐν Ἡρακλεῖ «τρέφουσι κρήνης φύλακα, χωρίτην ὄφιν». καὶ Αἰσχύλος ἐν Λέοντι σατυρικῷ «ὁδοιπόρων δήλημα, χωρίτης δράκων». καὶ Ἀπολλώνιος ἐν τῷ Κανώβῳ

«τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης
πλόος κομίζων δῶρα πλουσίου Νείλου».

ἑδρίτης, Ὠρίτης ἔθνος Ἰνδῶν αὐτόνομον. Στράβων πεντεκαιδεκάτῃ (p. 720) «τῷ ὁρίζοντι αὐτοὺς ἀπὸ τῶν ἑξῆς Ὠριτῶν· Ἰνδῶν δέ ἐστι καὶ αὕτη μερίς, ἔθνος αὐτόνομον». καὶ Ἀπολλόδωρος δευτέρῳ «ἔπειτα Ὠρίτας τε καὶ Γεδρωσίους, ὧν τοὺς μὲν Ἰνδοὺς ὡς ἐνοικοῦντας πέτραν....» Ὑθμίτης ἔθνος πρὸς τοῖς Λιβυρνοῖς καὶ Συωπίοις, ὥς φησιν Ἑκαταῖος Εὐρώπῃ. Αὐσχίτης ἔθνος Λιβύης ὑπὲρ Βάρκης, Ἀπολλόδωρος περὶ γῆς δευτέρῳ. Ἀμαλεκίτης ἔθνος Ἑβραϊκόν. Αὐαλίτης κόλπος ἐν δεξιοῖς μέρεσι τῆς Ἐρυθρᾶς θαλάσσης. Ἀμμανίτης διὰ δύο μμ γένος τῶν Ναβαταίων Ἀράβων ὡς Ἰώσηπος (Ant. Iud. 1, 11, 5) ἐκλήθησαν δὲ ἀπὸ Ἀμμάνου τοῦ παιδὸς Λώτου καὶ τῆς νεωτέρας θυγατρός. Ἀμανίτης ὁ οἰκήτωρ Ἀμάνου ὄρους πρὸς τῇ Κιλικίᾳ ἀπὸ τοῦ Ταύρου καθήκοντος. Αὐσονίτης. Λυκόφρων «παρ' Αὐσονίτην Φύλαμον δομήσεται» (v. 593). Βοιίτης. Γεβεωνίτης ἔθνος πλησίον Ἱεροσολύμων, ὡς Ἰώσηπος (A. I. 1, 2). Γολομίτης ἔθνος τῆς Ἰδουμαίας. Διοχίτης κώμη Αἰγύπτου, ἐν ᾗ τέθαπται . . . . Ὄσιρις. ἐθνικὸν τὸ αὐτὸ Διοχίτης. Ἁρματίτης ἐθνικὸν Ἁρμάτων πόλεως πληθυντικῶς Ἰνδικῆς ὡς τοῦ ἕρμα ἑρματίτης· ἔστι καὶ πόλις Ἁρματίτης. Ἐπαρίτης ἔθνος Ἀρκαδίας, περὶ οὗ Ξενοφῶν καὶ Ἔφορος καὶ Ἀνδροτίων φασίν. Εὐωνυμίτης ἔθνος Αἰγύπτιον πρὸς τῇ Αἰθιοπίᾳ. Ἀλέξανδρος Αἰθιοπικῶν πρώτῳ. Ἰβηρίτης ὁ καὶ Ἴβηρ ἔθνος. Παρθένιος ἐν Λευκαδίᾳ «Ἰβηρίτῃ πλεύσει ἐν αἰγιαλῷ». Νεφθαλίτης ἔθνος κρατῆσαν τῆς ἕω, ὡς Ἰώσηπος (A. I. 5, 1). Ὁμηρίτης ἔθνος Αἰθιόπων. Ὀρβίτης ἔθνος Ἰνδικόν, ὡς Ἀπολλόδωρος δευτέρῳ, περὶ Ἀλεξάνδρειαν. Σαυνίτης τῶν Ἰαπύγων ὅμορος. Τρωΐτης ποταμὸς Αἰγύπτου. ἀστίτης. Σοφοκλῆς Ἀλεξάνδρῳ «οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει» καὶ «βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;» ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ προαστίτης. οὐ γὰρ παρὰ τὸ προάστιον· ἦν γὰρ προαστεύς ὡς Δουλιχιεύς, ἢ προάστιος ὡς Βυζάντιος. οὕτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται προαστία γῆ ἐν Φρίξῳ Σοφοκλέους «ὅρια κελεύθου τῆσδε γῆς προαστίας». ἀσπιδίτης. Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι «ἀλλ' ἀσπιδίτην ὄντα καὶ πεφραγμένον». παραιγιαλίτης ἰχθῦς παρὰ τὸν αἰγιαλὸν εὑρισκόμενος ὡς Παρωκεανίτης, Πα-

---

l. 1 ζευγίτης — λυχνίτης l. 3 sunt ex Theogn. 45, 7 nomine Θερσίτης ex St. B.

ραχελωῖτης. Σινωπίτης, Ἰοππίτης, Ἀκεσίτης, Παγασίτης, Ἀκμονίτης, Ἀβδηρίτης, Γαβαλίτης, Διολκίτης, Μεμφίτης, Ναυκρατίτης, εὐρείτης, βαθυρρείτης, ἀκαλαρείτης ὁ ἡσύχως ῥέων. ἀκαλὸν γὰρ παρὰ Σικελοῖς τὸ ἥσυχον. ἱερείτης, Σαμαρείτης, Ἀταρνείτης, Ἑλείτης, Ἁγνωνείτης, Μαρωνείτης, Καυκωνείτης, Δικαιαρχείτης, Ζελείτης, Ὡρείτης, ἀλείτης, ᾧ ἀντιπαράκειται τὸ ἀλοίτης. τὸ τραπεζίτης ἐπὶ μὲν τοῦ ἐν τῇ ἀγορᾷ διαπονουμένου διὰ τοῦ ῑ γράφεται, παρὰ γὰρ τὸ τράπεζα· ἐπὶ δὲ κυνός, ἐπεὶ ἀπὸ τοῦ τραπεζεύς παρῆκται, διὰ τῆς ει διφθόγγου γράφεται· τοῦτο δὲ παρ' Ἰβύκῳ εὕρηται κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η.

Καὶ ὅσα παρώνυμα τὸ ῡ μακρὸν ἔχοντα βαρύνεται, πρεσβύτης, ἐλύτης, βασανύτης, ἀλκυονύτης, Ἀρχύτης, Πιδύτης, Αἰγύτης ἐθνικόν, ὡς Παυσανίας, Κωβρύτης, Μωλύτης, Αἰπύτης, Πατρασύτης· τὸ μέντοι κωλυτής, μηνυτής ῥηματικὰ καὶ οὐ παρώνυμα.

Τὰ εἰς οιτης ἰσοσύλλαβα βαρύνεται, Δαμοίτης, Μενοίτης, Θυμοίτης, Ἀγροίτης, Φιλοίτης, Λαοίτης, Ἀνεμοίτης, Ὀροίτης, Ἀνδροίτης, Σακοίτης, ἀλοίτης, Ζιποίτης βασιλεὺς Βιθυνίας· καὶ τὰ ἐθνικὰ Βουτοίτης ἐκ τοῦ Βουτοῖτης παρὰ τὴν Βουτὼ πόλιν Αἰγύπτου, Σαβοῖτης Σαβοίτης ὁ πολίτης τῆς Σαβοῦς, Κυβοίτης τῆς Κυβώ.

* Τὰ εἰς ουτης βαρύνεται, Μαντούτης κατὰ συγκοπὴν παρὰ τὸ Μάντουα ὡς Ζελείτης παρὰ τὸ Ζέλεια. τριακοντούτης.

* Τὰ εἰς της ἔχοντα τὴν παραλήγουσαν εἰς ἀμετάβολον λήγουσαν, ἀπρόσληπτα τοῦ σ κατὰ τὴν γενικήν, βαρύνεται, εἰ μὴ εἴη μετοχικά, ὑφάντης, ἀγύρτης, εὐφράντης, ὀξύντης, ἐγέρτης, ὀρίντης, αὐθέντης. Λαέρτης· ἔστι καὶ Κιλικίας χωρίον· Στράβων ιδ' (p. 669) Ἀλέξανδρος δὲ «καὶ ὄρος καὶ πόλις» φησί. Σιβύρτης· Βερεκύντης,

---

expleto, αἰθερίτης usque ad Ναυκρατίτης l. 3 ex St. B. sumpta sunt. de Βοιίτης St. B. 173, 1 Ἡρωδιανὸς Βοιίτης φησίν, ἴσως παρὰ τὸ Βοιόν, ὡς λίκνον λικνίτης. E nominibus in ειτης Arcad. praebet tantum εὐρείτης, βαθυρρείτης, ἀκαλαρείτης — Ἀταρνείτης sunt ex Theogn. Ἑλείτης usque ad Ὡρείτης ex St. B. l. 6 ἀλείτης ex Choer. Orth. 169, 4, τραπεζίτης ex Theogn., ubi in fine additum est: ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου cf. E. M. 763, 40. l. 11 Arcadius habet tantum πρεσβύτης, Ἀρχύτης, Πιδύτης, reliqua ex Theogn. 44, 22 et 46, 4, μεγύτης ex Αἰγύτης perversum esse suspicatur Lob. Proll. 387, apud Hes.: μερύτης ἀναιδής. Idem Lob. βασανύτης ἀλκυονύτης obscura esse monet. Vocabula Αἰγύτης — Πατρασύτης ex St. B. sumpta sunt.

l. 15 canonem Arcadii p. 26, 20 huc post terminationes ατης, ιτης, ειτης, υτης traxi. Nomina inde ab Ἀγροίτης usque ad ἀλοίτης ex Theogn. 46, 2 recepi, Ἀτοίτης Lobeck. Proll. 382 ex ἀγοίτης, hoc ex ἀλοίτης perversum iudicat, quare omisi, Λαοίτης idem pro Λοίτης et Ὀροίτης pro Ἀροίτης emendavit. Ζιποίτης et gentilia addidi ex Steph. Byz. 184, 1; 389, 15, his apponi possent Χομψοίτης Ψεβοίτης Ψενακοίτης, nisi scriptura inter οἴτης et οίτης variaret.
l. 21 hunc canonem finxi propter Μαντούτης ap. St. B. 431, 15 et τριακοντούτης, quod sumpsi ex E. M. 765, 22, ubi τριακοντούτης παροξυνεῖται (cf. Lehrs quaest. ep. p. 147). Quae de abnormitate accentus et declinationis dicenda sunt, reservavi ad eum canonem, qui agit de compositis a neutris in ος. l. 23 hunc canonem sumpsi ex E. M. 436, 1, quia Herodianeae originis eum inde esse patet, quod totus articulus inde a p. 435, 27—436, 15 ex Herodianeis fontibus derivatus est et quod canon orthographicus ap. Theogn. 43, 23 cum canone E. Magni congruit; ex Theogn. addita sunt nomina inde ab ὀξύντης usque ad Σιβύρτης, ut

ἀφ᾽ οὗ ἡ Βερεκυντία χώρα. Βισάλτης ὁ Ἡλίου καὶ Γῆς, ἀφ᾽ οὗ Βισαλτία πόλις καὶ χώρα Μακεδονίας. καὶ τὸ ἐθνικὸν ὁμοφώνως· ἔστι καὶ Βισάλτης ποταμός. Ἰαξάρτης ποταμὸς ὁ Τάναϊς. τὸ δὲ ἑκοντής, ἐθελοντής μετοχικά. παρὰ δὲ Ἀττικοῖς ὀξύνεται τὸ καθαρτής, ἀμυντής ἐπὶ τοῦ βοηθοῦ, φαιδρυντής, ποικιλτής, καλλυντής, πραϋντής.

* Τὰ εἰς $\overline{\text{στης}}$ ῥηματικὰ πολυσύλλαβα ὀξύνεται, λυριστής, λεπιστής, ὑβριστής, ἐρανιστής, Αἰτωλιστής ὁ αἰτωλίζων καὶ τὰ τῶν Αἰτωλῶν φρονῶν, Ἐορδιστής ἀπὸ τοῦ ἐορδίζω ὡς Λυδός λυδίζω Λυδιστής, δικαστής, ἡλιαστής, δανειστής, παλαιστής, χηρωστής παρὰ τὸ «χηρώσας δὲ γυναῖκα» (Il. Ρ 36). τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ «στείχων δ᾽ ἀγρώστην ὄχλον» παρώνυμον ὡς καὶ τὸ μονώτης μονώστης.

Τὰ διὰ τοῦ $\overline{\text{εστης}}$ μὴ ὄντα ἐπιθετικὰ βαρύνεται, Ὀρέστης παρὰ τὸ ὄρος, Ὀφελέστης παρὰ τὸ ὄφελος, Θυέστης παρὰ τὸ θύος, Ἀκέστης. Διέστης — Παυσανίας δὲ Διάστας αὐτοὺς καλεῖ — Μακεδονικὸν ἔθνος ὡς καὶ Ὀρέστης παρ᾽ Ἑκαταίῳ Εὐρώπῃ. Πενέστης καὶ Ἐθνέστης — ἀπὸ Ἐθνέστου τοῦ Νεοπτολέμου παιδῶν ἑνός, ὡς Ῥιανὸς δ΄ καὶ ε΄ — Θεσσαλικὰ ἔθνη. καὶ Κυρρέστης ἔθνος Συρίας, ὡς Πολύβιος πέμπτῳ· Δημήτριος δὲ ὁ Ἀντιγόνου τὸ Κυρήστης διὰ τοῦ η φησὶ καὶ καθ᾽ ὕφεσιν τοῦ ἑνὸς $\bar{\rho}$. ὁμοίως δὲ τῷ Ὀρέστης βαρύνεται καὶ Πιάστης ἔθνος πρὸς τῷ Πόντῳ καὶ Προνάστης ἔθνος Βοιωτίας «Βοιωτῶν δέ τινες τὸ πάλαι ἔθνος Προνάσται καλέονται». καὶ Ἀσβύστης ἔθνος Λιβύης «οἵ τε Τρίτωνος ἐφ᾽ ὕδασιν Ἀσβύσταο» Καλ-

---

pro Βιβύρτης scripsi secutus Lob. Proll. 397, potui etiam Βαβύρτης. Λαέρτης explevi ex St. B. et Βερεκύντης Βισάλτης Ἰαξάρτης ex eo adieci. Idem canon invenitur etiam in Cr. An. II 419, 29 et in Schol. ad Sophocl. Electr. v. 70, ubi pro Εὐφράτης scribendum est εὐφράντης. l. 7 etiam hic canon est ex E. M. loco c., nomina ὑβριστής ἐρανιστής accesserunt ex Theogn. 43, 28 ut etiam δανειστής et παλαιστής, δικαστής ἡλιαστής Αἰτωλιστής Ἐορδιστής Λυδιστής ex St. B.

l. 14 παρὰ τὸ ὄρος addidi ex Eustath., cui etiam Ὀφελέστης debetur, sicut παρὰ τὸ θύος ex E. M. 509, 27. Sed hic subiicio, quae Eustath. 596, 23 tradit: τὸ Ὀρέστης βαρύνεται κανόνι τοιούτῳ κατὰ τοὺς παλαιούς. τὰ εἰς $\overline{\text{στης}}$ τῷ ε παραληγόμενα ἀπὸ ὀνομάτων ὄντα ἤτοι παρώνυμα ὀξύνονται μὲν ἐπιθετικώτερα ὄντα, βαρύνεται δὲ οὐχ οὕτως ἔχοντα οἷον ἀργός ἀργεστής, κῆδος κηδεστής. τὸ δὲ Ὀφελέστης εἰ καὶ παρώνυμον παρὰ τὸ ὄφελος, ἀλλ᾽ οὐκ ἐπίθετον, κύριον δέ, διὸ οὐδὲ ὀξύνεται, ἀλλὰ βαρύνεται ὡς κύριον. ὡσαύτως καὶ Ὀρέστης παρὰ τὸ ὄρος. οὕτω δὲ καὶ παρὰ τὸ μένος Μενέστης κύριον. ἡ δὲ κοινὴ παράδοσις ἔτρεψε τὸ $\bar{\tau}$ εἰς $\bar{\theta}$ «Μενέσθην Ἀγχίαλόν τε» (Ε 609), Ἀρίσταρχος Μενεσθῆν λέγει ὡς Ἀπελλῆν, quibus similia habent Schol. BLV ad Ε 609 et Choer. 137, 30, sed Lehrsius Arist. 299[2] not. huic vocis Μενέσθης a Μενέστης derivationi fidem derogat. E. M. 509, 57 τὸ Κηδέστης τὸ κύριον ὄνομα βαρύνεται, ὡς θύος Θυέστης, ὄρος Ὀρέστης. τὸ δὲ κηδεστής ὀξύνεται ὡς προσηγορικόν cf. Lehrs Arist. 289[2], qui affert proprium Τελέστης. — Ἀκέστης exstat etiam ap. St. B. s. Ἀκέστη. Quae de gentium nominibus l. 16—24 praebui, sunt ex St. B. 522, 4; 232, 6; 516, 16; 261, 8; 397, 12 (apud Polyb. 50, 7 et 57, 4 Κυρρησταί scriptum est sicut Λυγκηστής ap. St. B. 232, 6 et 420, 5 oxytonos et fortasse recte propter characterem nominum in ηστης, nam τύπος Μακεδόνων p. 232, 6 non necessario ad accentum referri debet, sed potest etiam ad terminationem tantum pertinere), porro p. 536, 4; 130, 5.

λίμαχος Αἰτίων πρώτῃ. τὸ μέντοι κηδεστής καὶ ἀργεστής «ἄνεμος ἀργεστᾶο Νότοιο» (Λ 306) ἐπιθετικὰ ὀξύνονται. τὸ δὲ Κηδέστης ὄνομα κύριον βαρύνεται.

Τὰ εἰς στης λήγοντα, τῷ η παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ ς, ὑπὲρ δύο συλλαβὰς ὄντα ὀξύνεται, ἑρπηστής, ὀρχηστής, τευχηστής, ἀλφηστής. τὸ ὠμηστής Ἀρίσταρχος ὡς ἀθλητής, Τυραννίων δὲ ὡς κομήτης, σύνθετον ἐκδεχόμενος τὴν λέξιν. ἐπεκράτησε δὲ ἡ τοῦ Ἀριστάρχου προσῳδία.

Τὰ εἰς ης πολυσύλλαβα παρώνυμα μεταθέσει τῆς εἰς ος εἴτε εὐθείας εἴτε γενικῆς εἰς ης γινόμενα βαρύνονται, Ἄραξος Ἀράξης ἔθνος Ἰλλυρίας, Λάπιθος Λαπίθης ἔθνος Θεσσαλίας, εἴσπνηλος εἰσπνήλης ὁ ἐρώμενος, ἀγκυλόχειλος ἀγκυλοχείλης, Ἄσκαλος Ἀσκάλης, δάμαλος δαμάλης «δαμάλης ἔρως», ἀπὸ τοῦ χαράξω Χάραξος Χαράξης, εὔπατρις εὐπάτριδος εὐπατρίδης εὐπατρίδου, ἑπτάπους ἑπτάποδος ἑπταπόδης παρ' Ἡσιόδῳ, τρίπους τρίποδος τριπόδης, Οἰδίπους Οἰδίποδος Οἰδιπόδης. Γένης Γένητος Γενήτης λιμὴν καὶ ποταμὸς Καππαδοκίας. τὸ δὲ ἐθελοντής ἀπὸ τοῦ ἐθέλοντος καὶ ἑκοντής ἀπὸ τοῦ ἑκόντος γενικῆς μετοχῆς. τὸ δὲ νεοπτορθής παρὰ τὸ νεόπτορθος καὶ πολυκλαδής παρὰ τὸ πολύκλαδος ὀξύνονται ὡς διὰ τοῦ ους κλινόμενα.

Τὰ εἰς ης ἐπίθετα παρὰ ῥῆμα σύνθετα εἰς ους ποιοῦντα τὴν γενικὴν ὀξύνεται, εὐσεβής, ἀσεβής, εὐλαβής, θεοφιλής, αὐτοσφαγής, ἀνηλεγής, ὅθεν τὸ «νίσσετ' ἀνηλεγέως» (Apoll. Rhod. Α 785), δυσηχής, πολυηδής, λαθικηδής, οἰνοπληθής, ἀληθής, ἀναιδής, θυμαρής, δυσαής, ζαχρηής, πολυσπειρής, νεοαρδής,

l. 1 ἀργεστής commemoratur etiam in Il. Pr. Λ 306, unde verba Homerica adiunxi. E. M. 136, 26 distinguit inter adiectivum et proprium: Ἀργέστης τὸ κύριον βαρύνεται οἷον «Ἀργέσταο παράσσον ἐπιπνείοντος ἔβησαν» (Apoll. Rhod. Β 961), sed ibi scribitur ἀργεστᾶο etiam in Schol. l. 4 canonem de ηστης ex Il. Pr. Λ 454 coll. Χ 67, Ω 82 recepi; apud Arcad. p. 26, 7 loco non apto haec tantum exstant: τὰ εἰς στης πολυσύλλαβα ὀξύνεται, τευχηστής ὀρχηστής ἀλφηστής. cf. Lob. Parall. p. 448 seqq., Lehrs Arist. p. 300². l. 9 canonem Arcadii p. 25, 24, ubi sequitur canonem de nominibus in ωδης, huc transposui et explevi ex Choer. 51, 6, unde Ἀράξης Λαπίθης, εἰσπνήλης ἀγκυλοχείλης sumpsi adhibito ad Ἀράξης St. B. 109, 6 et ad Λαπίθης eodem 412, 10, ex eodem 131, 21 sunt Ἀσκάλης, δαμάλης, Χαράξης. Alteram partem de nominibus a genetivo transformatis prompsi ex Choer. et Eustath. 1684, 31, quem locum iam suprá, ubi de γενειόλης φαινόλης sermo fuit, proposui, Γενήτης est ex St. B. 202, 16. l. 18 τὸ δὲ νεοπτορθής usque ad finem sunt ex Choer. l. 23 ἀνηλεγής addidi ex Schol. Apoll. Rhod. Α 785: ἀπηλεγέως: ἀντὶ τοῦ συντόμως, ἀποφατικῶς. Ἡρωδιανὸς δὲ ἐν τρίτῳ τῆς καθόλου ἀνηλεγέως φησί et Β 17: ἀπηλεγέοντες: ὁ δὲ Ἡρωδιανὸς ἀνηλεγέως φησὶ διὰ τοῦ ν ἐν τῷ γ' τῆς καθόλου. δυσηχής Choer. 55, 15, πολυηδής 55, 32, λαθικηδής (de quo E. M. 555, 3 λαθικηδής παρὰ τὸ κήδω μετὰ τοῦ λήθω γίνεται ἄλυπος· ὀξύνεται δὲ ὅτι παρὰ ῥῆμά ἐστι βαρυτόνου τὸ κήδω· εἰ γὰρ ἦν παρὰ τὸ κῆδος ἐβαρύνετο ἂν ὡς παρὰ τὸ μῆκος εὐμήκης «λαθικηδέα μαζόν» (Χ 83), λαθικήδεα scriptum est in Alcaei fragm. 41, 3 cf. Schmidt. ad Hes. s. v.), οἰνοπληθής ex Il. Pr. Ν 63, ἀληθής Theogn. 44, 12, ἀναιδής Choer., θυμαρής ex Il. Pr., δυσαής Il. Pr. Λ 297, ζαχρηής Il. Pr. Μ 360: ζαχρηεῖς περισπαστέον ὡς εὐγενεῖς (de scriptura per η et ει cf. Lob. El. II 53), πολυσπειρής —

πρωτοπαγής, ἀριφραδής, διοπειθής, πολυδευκής, ἀϊδής «δυσμενέων δ' ἀϊδής» λέγει Βακχυλίδης, οὗ τὸ οὐδέτερον ἀϊδές «τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν». Ἡσίοδος (Scut. 447), Ἀριφράδης δὲ καὶ Διοπείθης, Πολυδεύκης, Ἀΐδης τὰ κύρια βαρύνονται ὡς καὶ τὸ Ἀριστοφάνης Διομήδης. ὁμοίως ὀξύνονται καὶ τὰ εἰς τος τὴν γενικὴν ποιοῦντα, ἡμιθνής, ἡμιτρής, ἐπιβλής· διὸ καὶ παρὰ Ἀριστοφάνει (Vesp. 590) τὸ «ὁ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλής», ὅ ἐστι ῥίψασπις, καίτοι ἐκ τριῶν συγκείμενον λέξεων, ὅμως ὀξύνεται· οὐ καλῶς οὖν τὸ ἐπιβλής βαρύνει Ἀρίσταρχος, ὅτι δοκός ἐστιν. οὐ γάρ ἐστι βλής μονοσύλλαβον καθ' ἑαυτὸ ἐπὶ ταύτης τῆς ἐννοίας, ἵνα ἐν συνθέσει βαρύνηται ὥσπερ τὸ Κρής Ἐτεόκρης. Βαρύνονται δὲ τὰ παρὰ τὸ ὄλω πανώλης, ἐξώλης, προώλης καὶ τὰ παρὰ τὸ ἀρκῶ αὐτάρκης, ποδάρκης — σημαίνει τὸν ταχὺν περὶ τὸν δρόμον ὁ τοῖς ποσὶ τοῖς ἑαυτοῦ ἐπαρκεῖν δυνάμενος πρὸς τὸ ὑπεκφυγεῖν ἢ διώκειν τοὺς πολεμίους. Ὅμηρος «ποδάρκης δῖος Ἀχιλλεύς» (Α 121). ἔστι δὲ καὶ ὄνομα κύριον. ὤφειλε δὲ εἶναι ποδαρκής ὀξυτόνως ὡς ἐπίθετον, ἀλλὰ σεσημείωται τὰ παρὰ τὸ ἀρκῶ. γίνεται δὲ ἡ κλητικὴ πόδαρκες ὡς αὔταρκες· καὶ τὸ οὐδέτερον ποδαρκές ὀξυτόνως, τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ. σεσημείωται δὲ καὶ τὰ παρὰ τὸ ἀντῶ προσάντης καὶ τὰ παρὰ τὸ ἅδω αὐθάδης. Τὰ μέντοι παρὰ ῥῆμα σύνθετα εἰς ου ἔχοντα τὴν γενικὴν βαρύνεται οἷον πωλῶ παντοπώλης, μετρῶ γεωμέτρης, τρίβω παιδοτρίβης, ὀφείλω χρεωφείλης, βαίνω ναυβάτης, μισῶ ἐργομίσης, τύπτω πατροτύπτης. τὸ μέντοι φιλαλήθης καὶ μισαλήθης καὶ εὐήθης καὶ κακοήθης παρώνυμά εἰσιν, οὐ παρὰ ῥῆμα.

Τὰ παρ' οὐδέτερα δισύλλαβα εἰς ος λήγοντα, μὴ τῷ η παραληγόμενα, συντιθέμενα, εἰς ης λήγοντα, ἀρσενικὰ ὀνόματα ὀξύνεται ἐπιθετικὰ ὄντα, εἶδος εὐειδής, βάθος «ἀγχιβαθὴς δὲ θάλασσα» (Od. ε 413),

---

πρωτοπαγής ex Choer. 55, 18, ἀριφραδής Choer. 138, 8 et 127, διοπειθής Theogn. 44, 12 et Choer. 48, 28, πολυδευκής Arc., ἀϊδής Epim. Hom. 65, 22; l. 5 ὡς καὶ τὸ Ἀριστοφάνης καὶ Διομήδης ex Choer. 48, 28. Hic fortasse etiam memorata fuerunt εὐαγής et Εὐάγης Ὑδρεάτης, κωμῳδίας ποιητής, ὡς Διονύσιος εἰκοστῷ τρίτῳ τῆς μουσικῆς ἱστορίας, ἦν δὲ ὁ Εὐάγης ποιμήν τις ἀγράμματος δηλαδὴ καὶ τῆς ἄλλης παιδείας ἄπειρος, ποιητὴς δ' ἀγαθὸς κωμῳδιῶν, nam hic locus Dionysii a Stephano (646, 4) ex Herodiano, quem Dionysii scripta legisse ex Suidae vita coniectari licet, exscriptus esse videtur. Iacobi in exemplari suo affert Photii glossam: Περιάλγης ὡς Περιήρης τῷ τόνῳ κατὰ τοῦ δράματος Πλατωνικοῦ. l. 5 canonem de vocabulis in ης ητος sumpsi ex Eustath. 1359, 7 ἡμιθνής ἡμιτρής addens ex Choer. 54, 17 consulto etiam simili loco E. M. 358, 9 unde apposui ὅτι δοκός ἐστιν usque ad Ἐτεόκρης l. 11, nam Aristarchus propterea ἐπιβλής gravasse videtur, quod non adiectivum, sed substantivum sit. l. 11 canonem de nominibus ab ὄλω, ἀρκῶ, ἀντῶ, ἅδω petivi ex Arcad. 117, 19, E. M. 628, 2, Epim. Hom. 348, 16, unde de ποδάρκης. l. 21 praeceptum de verbalibus per ου declinatis ipse concinnavi duce Choer. 54, 10, Epim. Psalm. 18, 11 pro προτύπτης ex Constant. Lascar. scripsi πατροτύπτης. l. 26 pro Arcadii canone: τὰ εἰς ης κύρια ἀπὸ τῶν εἰς ος οὐδετέρων σύνθετα βαρύνεται, Δημοσθένης, Διογένης καὶ τὰ ἔχοντα η ἐν τῇ παραληγούσῃ ἀπὸ δισυλλάβου συνήθης κακοήθης. τὰ δὲ μὴ τοιαῦτα ἐπίθετα ὀξύνεται εὐγενής, ἀγενής, εὐμενής, εὐτυχής ipse ex fontibus Herodianeis finxi canonem et quidem maximam partem

λέχος ἀγχιλεχής· Ἀντίμαχος «τό ῥά οἱ ἀγχιλεχὲς κρέματο περὶ πάσσαλον ἀεί», κράτος ἐγκρατής, γένος εὐγενής, ἀγενής, δυσγενής, προσγενής, τέλος εὐτελής, ἐντελής, μένος εὐμενής, δυσμενής, μέρος ἀμερής, κλέος δυσκλεής, τεῖχος εὐτειχής. τὸ δὲ «εὐτείχεα» (Il. Π 57) οὐ παρὰ τὸ εὐτειχής, ἀλλὰ παρὰ τὸ εὐτείχεος, ἀφ' οὗ τὸ «δῷσι πόλιν Τροΐην εὐτείχεον ἐξαλαπάξαι» (Il. Α 129), κατὰ μεταπλασμὸν ὡς πυργοκέρατον πυργοκέρατα· τὸ η̄ παρῃτησάμην διὰ τὸ εὐμήκης, ἐπιμήκης, συνήθης, κακοήθης, μεγακήτης, τὴν δισυλλαβίαν διὰ τὸ εὐμεγέθης, εὐστελέχης. τὰ δὲ παρὰ τὸ ἔτος παρ' ἡμῖν μὲν ὀξύνονται, διετής, τριετής, παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνονται· οἱ γὰρ Ἀθηναῖοι διέτης, τριέτης, ἑξαέτης λέγουσι βαρυτόνως ὁμοίως τῷ εὐνέτης, οἰκέτης καὶ ἱκέτης, εἰ καὶ ταῦτα εἰς ου̅ δίφθογγον ἔχουσι τὴν γενικὴν τῶν παρὰ τὸ ἔτος εἰς ους̅ αὐτὴν ἐχόντων. οὐ μόνον δὲ περὶ τὸν τόνον πταίουσιν οἱ Ἀττικοὶ τοῖς παρὰ τὸ ἔτος βαρυτόνως αὐτὰ προφέροντες, ἀλλὰ καὶ περὶ τὴν κλίσιν. οἷον δωδεκαέται γὰρ λέγουσι τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιούμενοι αὐτὴν ὥσπερ ὁ οἰκέτης τοῦ οἰκέτου οἱ οἰκέται, ὀφείλοντες εἰπεῖν οἱ δωδεκαέτεις ὥσπερ οἱ Δημοσθένεις· ὡσαύτως καὶ τὰ θηλυκὰ τούτων ὡς ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιοῦνται· ὥσπερ γὰρ ὁ πολίτης τοῦ πολίτου καὶ ἡ πολῖτις τῆς πολίτιδος καὶ ὁ κυνηγέτης τοῦ κυνηγέτου καὶ ἡ κυνηγέτις τῆς κυνηγέτιδος, οὕτω καὶ ἀπὸ τοῦ τριακονταέτης τριακονταέτους ποιοῦσι τὸ θηλυκὸν ἡ τριακονταέτις τριακονταέτιδος, ὡς παρὰ τῷ συγγραφεῖ (Thucyd. I 87) «τῶν τριακονταετίδων σπονδῶν» καὶ κατὰ κρᾶσιν τριακοντουτίδων, ὀφείλοντες εἰπεῖν ἡ τριακονταετής τῆς τριακονταετοῦς. τούτων οὕτως ἐχόντων «ὄτριχας οἰέτεας (Il. Β 765) ἀναγινώσκουσι κατὰ βαρεῖαν τάσιν, ἀλλ' οὐδὲ τοῦτο πάλιν καθολικῶς σώζοντες· «ἑξετέα γὰρ ἀδμήτην» (Il. Ψ 266) ἀναγινώσκουσιν ὡς εὐσεβέα. Τοῖς μέντοι ἐπιθετικοῖς ὀξυνομένοις συνθέτοις παράκειται κύρια βαρύτονα «αὐτὰρ ὁ διογενής», ἀλλὰ Διογένης, «πολυνεικὴς δῖ' Ἑλένα», ἀλλὰ Πολυνείκης, «παγκρατὴς ἀλήθεια» (Bacchyl. fr. 20) — Παγκράτης, «ὁ πλοῦτος εὐρυσθενής» (Pind. Pyth. V 1) — Εὐρυσθένης, εὐτειχής — Εὐτείχης ὄνομα κύριον παρ' Ἀλκμᾶνι «Εὐτείχη τ' ἄνακτ' Ἀρήϊον», τηλαυγής

---

ex Il. Pr. Π 57, inserui λέχος ἀγχιλεχής — ἐγκρατής l. 2 ex Ep. Hom. 158, 24, γένος — προσγενής ex Theogn. 44, 12 retento Arcadii ἀγενής. l. 8 ἐπιμήκης — μεγακήτης ex Theogn. l. c. Excipitur in E. M. 393, 6 εὐληνής· παρὰ τὸ λῆνος οὐδετέρως· τὰ δὲ ἀπὸ τῶν εἰς ος̅ οὐδετέρων εἰς ης̅ γινόμενα σύνθετα ὀνόματα τῷ η̄ παραληγόμενα, εἰ μὴ ἔχει τὸ ν̄, βαρύνεται, ὅθεν τὸ εὐληνής ὀξύνεται, quam exceptionem Lehrsius q. ep. p. 151 rectam esse, sed excusationem εἰ μὴ ἔχει τὸ ν̄ non Herodianeam esse iudicat. l. 9 εὐστελέχης addidi ex Choer. 151, 10. l. 10 expositionem de compositis ab ἔτος, de quibus Arcadius breviter: τὰ εἰς της̅ παρὰ τὸ ἔτος ὀξύνεται διετής τριετής, sumpsi ex Choer. 151, 15 seqq. cum Lehrsii emendationibus p. 144 seqq. l. 25 τούτων δὲ οὕτως ἐχόντων propter sententiae connexum ipse addidi, sequentia de οἰέτεας (cf. E. M. 617, 14) et ἑξετέα sunt ex Il. Pros. Β 765 coll. Ψ 266, versum Alcmanis l. 33

Τηλαύγης, Καλλισθένης, Δημοσθένης, Ἀντιγένης, Ἀριστομένης, Πυλαιμένης. οὐ μάχεται τὸ Εὐμενής· οὐ γὰρ πάντως τὰ μὲν κύρια ἀεὶ βαρύνεται, τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, ἀλλ' εἴ που βαρύνεται τὸ κύριον, τὸ ἐπιθετικὸν ὀξύνεται.

Τὰ παρὰ τὰ εἰς η̄ λήγοντα θηλυκὰ συντιθέμενα καὶ εἰς η̅ς̅ περατούμενα ἐπιθετικὰ τότε ὀξύνεσθαι θέλει, ὅταν ἔχῃ οὐδετέρου παρασχηματισμὸν καὶ τὴν γενικὴν εἰς ο̅υ̅ς̅ περατουμένην, εὐτυχοῦς εὐτυχές εὐτυχεῖς, εὐρυπυλοῦς εὐρυπυλές εὐρυπυλεῖς. οὕτως οὖν ἐχρῆν καὶ τὸ νεήκης παρὰ τὸ ἀκή συντιθέμενον. ὅμως μέντοι ἡ παράδοσις τὸ νεήκης καὶ ταναήκης βαρύνει κατὰ συνεκδρομὴν τοῦ εὐμήκης, μεγακήτης. Τὰ δὲ ἀπὸ τῶν εἰς η̄ θηλυκῶν εἰς η̅ς̅ γινόμενα μὴ ἔχοντα οὐδέτερον καὶ εἰς ο̅υ̅ ἔχοντα τὴν γενικὴν βαρύνονται, ἀκειροκόμης, ἑλλανοδίκης, μισογύνης, κυανοχαίτης, κλυτοτέχνης.

Τὰ εἰς η̅ς̅ παρὰ τὸ ἔργον ὀξύνεται, λεπτουργής, Ναξουργής, Ἀττικουργής, Κορινθουργής.

Τὰ εἰς ης ἀπὸ τῶν εἰς υ̅ς̅ ὀξυτόνων μὲν ὀξύνονται, βριθύς ἐμβριθής, βαρύς ἀβαρής, ἡδύς ἀηδής, ἠΰς ἐνηής· οὕτως οὖν ὤφειλε καὶ τὸ ποδώκης ὀξυτονεῖσθαι, γινόμενον ἀπὸ τοῦ ὠκύς· ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι «ποδωκὴς δ' Ἀταλάντη (catal. XXVI Marksch.). τί οὖν ἐπὶ τοῦ Δόλωνος κατὰ βαρεῖαν τάσιν ἀνεγνώκασι καὶ ἐπὶ τούτου; «ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης» (Il. K 316). τὰ δὲ ἀπὸ βαρυτόνων βαρύνονται, πῆχυς τριπήχης, τετραπήχης.

Τὰ εἰς η̅ς̅ σύνθετα μὴ ἀπὸ μονοσυλλάβων τὴν πρωτοτύπων τάσιν φυλάττει, ἐρανιστής ἀρχιερανιστής, δανειστής μισοδανειστής, ληστής ἀρχιληστής, κορυστής ἱπποκορυστής, Ἀπελλῆς Φιλαπελλῆς, σαφής ἀσαφής, ἀντεραστής, φιλαθλητής, φιλοψευδής. σεσημείωται ἀληθής φιλαλήθης — ἐπειδὴ τὰ διὰ τοῦ ηθης σύνθετα παρώνυμα βαρύνεται οἷον ἦθος εὐήθης, συνήθης, κακοήθης, τούτοις συνεξηκολούθησε καὶ τὸ φιλαλήθης παναλήθης — καὶ δικαιοκρίτης, ὀνειροκρίτης, ἐπειδὴ παράλογός ἐστιν ἐν τῇ ἁπλότητι ἡ ὀξεῖα τάσις, ὤφειλε γὰρ βαρύνεσθαι τὸ κριτής· τὸ δὲ ὑποκριτής, προκριτής,

---

apposui ex Epim. Hom. 159, unde etiam adieci οὐ μάχεται τὸ Εὐμενής l. 2. De Εὐμενής idem docet Eustath. 952 et 582, 32, ubi Εὐτυχής additur, E. M. 435, 40 excipit Εὑρετής Εὐμενής Εὐσεβής Εὐτυχής Εὐπρεπής Νημερτής Διοτρεφής Ψευδής καὶ τὸ σύνηθες Καλοετής, apud Choer. 177, 21 eximuntur Εὐγενής Εὐτυχής Ἀπρεπής Διοτρεφής Νημερτής Ἀψευδής et Κακοετής cf. Lehrs. Arist. p. 279² et q. ep. 150. l. 1 Τηλαύγης adieci ex Choer. 59, 21, Καλλισθένης ex Theogn. l c., Δημοσθένης Arc., Ἀντιγένης Ἀριστομένης Choer. 59, 21. l. 5 canonis priorem partem sumpsi ex Il. Pros. N 391, alteram inde ab τὰ δὲ ἀπὸ τῶν εἰς η̄ l. 11 ex Choer. 47, 14 omisso Ὀλυμπιονίκης, quod Herodiano Anecd. Ox. IV 336, 16 rhematicum est. l. 14 canonem, quem Arcadius cum praecepto de compositis ab ἔτος coniunxit, separavi et ex St. B. apposui Ἀττικουργής Κορινθουργής. l. 16 canonem Arcadii auxilio Il. Prosodiae B 764 complevi. l. 26 κορυστής ἱπποκορυστής addidi ex Ep. Hom. 212, 1 (E. M. 474, 23). l. 27 σαφής — φιλοψευδής ex Il. Pr. M 164. l. 28 ἐπειδὴ τὰ διὰ τοῦ ηθης — l. 30 παναλήθης ex E. M. 435, 43, Choer. p. 177. l. 31 ὀνειροκίρτης — κιρτής l. 32 indidem,

παρακριτής οὐ παρὰ τὸ κριτής, ἀλλὰ τὸ ὑποκρίνομαι, προκρίνω, παρακρίνω. τὸ δὲ Ἐτεόκρης καὶ ἑτερόγνης ἀπὸ μονοσυλλάβων συντέθειται· τὰ γὰρ μονοσύλλαβα ὀνόματα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον οἷον χθών αὐτόχθων, Θρᾷξ Σαμόθρᾳξ, παῖς εὔπαις χωρὶς τοῦ πτώξ πολυπτώξ. οὐκ ἀντίκειται ἡμῖν τὸ «Ποσειδάωνος ὑποδμώς» (δ 386)· παρέλκουσαν γὰρ ἔχει τὴν ὑπό πρόθεσιν.

Τὰ εἰς ΤΗΣ πολυσύλλαβα θηλυκὰ βαρύνονται, λογιότης, λευκότης, ποιότης, ἑνότης, ἰότης, ἰσότης, κουφότης, δανότης, ὀρσότης, λαμπρότης, ὁσιότης, γενναιότης, μεγαλειότης, κοσμιότης, κακότης, δασύτης, δριμύτης, γλυκύτης. σεσημείωται ταχυτής, βραδυτής, ἁδροτής, ἀνδροτής, δηϊοτής. καὶ τὰ παρ' Ἀττικοῖς ὀξύτονα τραχυτής, κουφοτής. τὸ μέντοι πρωτής καὶ ἐστής καὶ ἐσθής δισύλλαβα. τὸ δὲ νημερτής καὶ ἀψευδής ἐπίθετα.

Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα (Il. Σ 46).

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΙΣ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ δ'.

Τὰ εἰς ΙΣ συνεσταλμένον τὸ ῐ ἔχοντα ἀρσενικὰ καὶ θηλυκὰ καὶ κοινὰ βαρύνεται, ὄφις, ἔχις, Θέτις, ὄϊς, πάϊς, μάντις, Ἄλεξις, Πρύτανις.

---

item προκριτής et παρακριτής et τὸ δὲ Ἐτεόκρης usque ad finem E. M. l. c. et Choer. 175, 35. l. 8 ἑνότης ἰότης ex Mon. 33, 19, ἰσότης — ὀρσότης ex Mon. 40, 8, λαμπρότης — μεγαλειότης ex Theogn. 47, 10. κοσμιότης — γλυκύτης ex Choer. 351, 28 et 352, 8. l. 10 γλυκύτης ex Theogn. l. 11 ἀνδροτής ex Mon. 33, δηϊοτής Il. Pr. Γ 20. l. 13 ἐστής καὶ ἐσθής Schmidtio praeeunte dedi pro καὶ ἐσθής ex E. M. 382, 50. ἀψευδής addidi et versum Homericum innuente Herodiano Il. Pros. Σ 39 et Choer. l. c. cf. Lehrs Aristarch. p. 265², caeterum in hac parte omnino pressi vestigia Lehrsii quaest. ep. 143—166. Afferendi sunt duo loci Eustathii p. 26, 40: ἀλλαχοῦ ὁ αὐτὸς (sc. Ἡρωδιανὸς) κανονίζων πιθανῶς τὸν τόνον τῆς ταχυτῆτος καὶ δηϊοτῆτος λέγει, ὅτι τὰ εἰς Σ λήγοντα μετὰ μακρᾶς, ἡνίκα ὀξύνονται, τὴν παραλήγουσαν ἔχει ἐκτεινομένην, κνημίς, ψηφίς, γλωχίς, αἰδώς· διὸ καὶ ἡ ἕως βαρυτονηθεῖσα συνέστειλε τὴν παραλήγουσαν. οὐκοῦν καὶ ἡ ταχυτής καὶ δηϊοτής, εἰ ὠξύνοντο, βραχυπαραληκτεῖν εἶχον ἂν et p. 287, 20: σημείωσαι ὅτι τινὰ τῶν παλαιῶν ἀντιγράφων Τροίζηνα προπαροξυτόνως ἔγραψαν, οἷς καὶ Ἡρωδιανὸς συνηγορεῖ ἐν τῷ περὶ ταχυτῆτος καὶ δηϊοτῆτος, ὅτι ἡ Δωρὶς καὶ Αἰολὶς διάλεκτος οὐδέποτε κατὰ γενικὴν περιττοσύλλαβον τὸ η̄ μετατιθέασιν εἰς ᾱ, εἰ μὴ βαρύνοιτο, Ἕλλην Ἕλλαν, Τροίζην Τροίζαν. ποιμὴν δὲ καὶ λιμὴν οὐκ ἂν ἐροῦσι διὰ τοῦ ᾱ, ἐπεὶ ὀξυτονεῖται. ἐπὶ μέντοι μονοσυλλάβων μετατιθέασι τὸ σφήξ καὶ μήν σφάξ λέγοντες καὶ μάν. σεσημείωται, φησί, τὸ ἐσθάς ὀξυνόμενον καὶ διὰ τοῦ ᾰ λεγόμενον παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις, quo in loco Eustathius ut alias saepe Herodiani sententiam pervertisse videtur, nam teste Stephano Byz. Τροιζήν Herodiano fuit oxytonon, quare pro Τροίζην aliud barytonum vocabulum substitui debet. Praeterea Herodianus ap. St. B. duplicem oxytoni formam profert Ἀζάν et Ἀζήν s. v. Ἀζηνία. Grammaticum abstractorum ταχυτάς (Pindar.) βραδυτάς etc. oblitum neque in reliquis de accentu recte iudicasse annotat Ahrens de dial. Dor. 135 not. 6, idem pro μήν suspicatur χήν propterea, ut videtur, quod Dorica species vocis μήν est μείς. l. 17 canon ab Arcadio immutatus est, nam quamquam verum est omnia barytona in ΙΣ simplicia corripere ῐ (Dichr. 298, 24), contrarium quod Arcadii canone continetur, non magis valet quam quod Herodiano imputat Eustath. 26, 27 (ὡς τῷ Ἡρωδιανῷ δοκεῖ, τὰ μὲν βαρύτονα τῶν εἰς ΙΣ ληγόντων συστέλλεται, τὰ δὲ ὀξύτονα ἐκτείνεται. τοῦ προτέρου, φησί, γένους ἐστὶ τὸ Ἄλεξις, Πρύτανις. οὕτω δὲ καὶ

* Τὰ εἰς ῑc θηλυκὰ ὑπὲρ μίαν cυλλαβὴν ἁπλᾶ ἐκτείνοντα τὸ ῑ ἐπὶ τέλους ἔχουcι τὸν τόνον οἷον κνημίc, κρηπίc, cφραγίc, ἀψίc.

* Τὰ εἰc ῑc λήγοντα καθαρόν, μόνωc θηλυκά, ὀξύνεcθαι θέλει, Θαΐc, Λαΐc, Ἀμυκλαΐc, Ἀργαΐc νῆcοc πρὸc τῇ Λυκίᾳ, Πτολεμαΐc, Κωπαΐc λίμνη, Γερραΐc, Θηβαΐc καὶ χώρα καὶ γυνή, Κυρηναΐc, Ῥωμαΐc, Φωκαΐc, Δαναΐc, Θιβαΐc τόποc πρὸc τῷ Πόντῳ ἀπὸ μιᾶc τῶν Ἀμαζόνων ὑφ' Ἡρακλέουc ἀναιρεθειcῶν· πεcεῖν γάρ φηcιν Ἀρριανὸc τὰc μάλιcτα διαφερούcαc Τράλλαν τε καὶ Ἰcοκράτειαν καὶ Θίβαν καὶ Πάλλαν καὶ Κοίαν καὶ Κοινίαν. Πλαταιΐc, Τυμφαιΐc, Ἀχαιΐc, Κυταιΐc, Ἀκταιΐc, ληΐc, Κιρφηΐc, Βριcηΐc, Νηρηΐc, Ἀλαλκομενηΐc, ὅπερ οὐ παρὰ τὸ ἀλαλκεῖν, ὡc Ἀρίcταρχοc, ἦν γὰρ Ἀλαλκηΐc, ἀλλ' ὥcπερ Θηcεύc Θηcηΐc, οὕτωc Ἀλαλκομενεύc Ἀλαλκομενηΐc, Αἰθιοπηΐc, Αἰγηΐc φυλὴ τῆc Ἀττικῆc, Ἰδηΐc, Ἀλυβηΐc. Εὐφορίων ἐν Ἀραῖc ἢ Ποτηριοκλέπτῃ «ὅcτιc μὲν κελέβην Ἀλυβηΐδα μούνοc ἀπηύρα» τουτέcτι τὴν ἀργυρᾶν διὰ τὰ μέταλλα. Ἀμυρηΐc, Παταληΐc, βαcιληΐc, Οἰτηΐc, Βοιβηΐc, Καδμηΐc. ἐκαλεῖτο οὕτωc ἡ Βοιωτία ὡc Θουκυδίδηc (Ι 12), Βρυγηΐc, Παταρηΐc, Πελοπηΐc, Γολγηΐc, Μινυηΐc, Ῥοιτηΐc, Γρυνηΐc, Θυνηΐc, Δολοπηΐc ἡ χώρα τῶν Δολόπων, Λελεγηΐc. οὕτω πρῶτον Μίλητοc ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων Λελέγων, ὡc Δίδυμοc ἐν cυμποcιακοῖc. Λιλυβηΐc, Λυκτηΐc, Δραγγηΐc, Ταμυνηΐc, Δρυοπηΐc, Δωτηΐc. Ῥιανὸc ἐν δ' Μεccηνιακῶν «αὐδὴν εἰcάμενοc Δωτηΐδι Νικοτελείῃ». Μελανηΐc· οὕτωc ἐκαλεῖτο Ἐρέτρια ἀπὸ Μελανέωc τοῦ Εὐρύτου πατρόc. Δρυηΐc, Τριοπηΐc, Μακριηΐc, Ὑλληΐc, Μεγαρηΐc, Φυλληΐc, Φιλυρηΐc πλεοναcμῷ τοῦ η̄ παρὰ τὸ Φιλυρίc, Πλατηΐc νῆcοc παρὰ τῇ Λυκίᾳ. Ἐπειΐc, Τηλεβοΐc μοῖρα τῆc Ἀκαρνανίαc ἀπὸ Τηλεβόου ἢ πρότε-

---

δφιc ἔχιc Θέτιc. τοῦ δὲ δευτέρου ἀκτίc, δελφίc, κρηπίc, ψηφίc, κνημίc καὶ τὰ τούτων cύνθετα) omnia oxytona produci. Caeterum ex Eustathii loco addidi nomina Ἄλεξιc Πρύτανιc ἔχιc Θέτιc. l. 1 canonem recepi ex E. M. 184, 3 et Choer. Orth. 172, 8 omissis verbis πρόcκειται ἁπλᾶ διὰ τὸ τανυκρήπιc cύνθετον, quia de his canon specialis sequitur et quia parum apte τανυκρήπιc commune opponitur μόνωc θηλυκοῖc. l. 3 hunc canonem constitui ex Il. Pr. Λ 677 et Ξ 387 Stephano Byz. adhibito, unde omnia nomina praeter ea, quae in Il. Pr. exstant, sumpsi; ex eodem sunt etiam Θμουΐc, Κρωΐc, Cυΐc, quod ap. Choer. 56, 35 et 188, 4 Cόϊc scriptum est. Omisi propter accentum incertum Γυψηΐc νῆcοc Αἰθιοπίαc ap. St. B., ubi Mein. Γύψηϊc proparoxytonos scribi vult; porro Τάναϊc πόλιc ὁμώνυμοc τῷ ποταμῷ. Cτράβων ἑβδόμῃ (p. 310) ὡc καὶ Ἀλέξανδροc ὁ πολυΐcτωρ, κατὰ δὲ τὰc εἰc τὴν λίμνην τὴν Μαιῶτιν ἐκβολὰc τοῦ Ταναΐδοc πόλιc Ἑλληνικὴ ἔκτιcται. Ταναΐc, ἥτιc καὶ Ἐμπόριον ὀνομάζεται, ubi Meinek. pro Ταναΐc Τάναϊc scribendum suspicatur, omisi praeterea dubia ut Ἰθωμαΐc, pro quo Mein. Ἰθωμᾶτιc, Νυcαΐc, pro quo idem Νυcηΐc, Ἀcτερηΐc, quod idem Ἀcτερῖτιc scribi vult.

l. 11 de Ἀλαλκομενηΐc cf. Ep. Cr. I 76, 23: ἐπίθετον τῆc Ἀθηνᾶc παρὰ τῷ ποιητῇ. παρὰ δὲ ἄλλοιc Ἥραc καὶ Διόc. Ἀλαλκομενεύc γὰρ Ζεὺc πολλαχοῦ τιμᾶται· οἱ δὲ ἀπό τινοc Ἀλαλκομενέωc ἱδρυcαμένου αὐτῷ νεὼν καὶ τέμενοc. οἱ δὲ ἀπὸ Ἀλαλκομένηc τῆc Ὠγύγου θυγατρόc. οἱ δὲ ἡ ἀπαλεξικητικὴν προθυμίαν ἔχουcα ἢ ἡ ἐν ἀλκῇ μένουcα· ἀλκὴ δὲ ἡ μάχη καὶ ἀλκάζειν τὸ μάχεcθαι. κατὰ διπλαcιαcμὸν ἡ λέξιc, ἀλκομενηΐc γὰρ καὶ Ἀλαλκομενηΐc ὡc ἀτηρόc ἀταρτηρόc, ἔτυμοc ἐτήτυμοc καὶ ἀτίταλλε. ἐcχηματίcθη δὲ ἀπὸ τοῦ Ἀλαλκομενεύc Ἀλαλκομενηΐc ὡc Θηcεύc Θηcηΐc, Οἰνεύc Οἰνηΐc, Βριcεύc Βριcηΐc.

ρον Ταφίων ἐκαλεῖτο. Εὐβοΐς, Τρωΐς, Ἀθωΐς, Ὁμολωΐς· Ὁμολωΐδες Θηβῶν πύλαι πρὸς τῷ ὄρει. Ἀχελωΐς. ὁ δὲ λόγος ἐπὶ Ἑλληνικῶν ὀνομάτων, μή τις τὸ Ξόϊς καὶ Ϲάϊς Αἰγύπτια ὄντα καὶ παρ' Ἡροδότῳ λεχθέντα παράθηται. ὡσαύτως δὲ καὶ Θμοῦις πόλις Αἰγύπτου, Ϲύϊς πόλις Αἰγύπτου, ὡς Ἑκαταῖος ἐν τῇ αὐτῆς περιηγήσει, καὶ Κρῶϊς Ἀράβων πόλις βαρύνονται. Τούτῳ τῷ λόγῳ καὶ δαΐς ἡ μάχη ὀξύνεται, χωρὶς εἰ μὴ λέγοι τις τοῦτο βεβαρυτονῆσθαι πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου ὥσπερ καὶ τὸ ἀκρίς. τὸ δὲ Κραταιΐς δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυτονῆσθαι διὰ τὴν αἰτιατικὴν «βωστρεῖν δὲ Κράταιϊν (Od. μ 124)· τάχα δὲ καὶ τοῦτο πρὸς διαστολήν. καὶ τὸ νηΐς μόνως θηλυκὸν ἐπὶ τῆς νύμφης ὀξύνεται, τὸ δὲ νῆϊς τὸ ἀρσενικὸν ἀντὶ τοῦ ἄπειρος οἷον «νῆϊς ἀέθλων» βαρύνεται.

Τὰ εἰς ῑϲ βαρύτονα καὶ ἐν τῇ συνθέσει βαρύνονται, μῆτις πολύμητις, ἴδρις ἄϊδρις, πόλις φιλόπολις, χάρις εὔχαρις.

Τὰ εἰς ῑϲ λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὰ γένοιτο καὶ ἀρσενικοῦ, μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τοῦ μὲν προτέρου, φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, σκελίς περισκελίς, νυχίς παννυχίς, τοῦ δὲ δευτέρου, ἐλπίς δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγίς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκλήϊς καὶ πολυκλήϊς καὶ μελαμψήφις βαρυνθήσεται· τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις. καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. καὶ τὸ εὐκνήμις ἀμέλει ἐπὶ Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ Θεσσαλικοῖς «τοὶ δ' ἤδη ἐπὶ νηὸν ἐϋκνήμιδος Ἰτώνης».

* Τὰ εἰς ῑϲ παρώνυμα ὀξύνονται, δρυμός Δρυμίς «Δρυμίδες νύμφαι», λόγος «Λογίδες σεμναί», φορμός «φορμίς· ἰσχάδιον» παρ' Ἀλέξιδι. Κάδμος Καδμίς παρ' Ἰβύκῳ «παρελέξατο Καδμίδι κούρᾳ», Παρνασσός Παρνασσίς, Μολοσσός Μολοσσίς, Κηφισός Κηφισίς,

---

l. 1 de Τρωΐς cf. Lob. El. II 46. l. 3 Ξόϊς quod diceret apud Herodotum esse, falli memoria Herodianum observavit Lehrsius. l. 10 praeceptum de νηΐς et νῆϊς sumpsi ex E. M. 604, 8. l. 15 pro Arcadii canone in brevius contracto: τὰ εἰς ῑϲ πῆ μὲν ἐν συνθέσει φυλάττουσι τὸν τόνον πῆ δὲ βαρύνονται. καὶ φυλάττουσι μὲν τὰ φυλάττοντα τὸ θηλυκὸν γένος σκελίς περισκελίς, νυχίς παννυχίς· τὰ δὲ κοινωνοῦντα ἀρσενικῷ γένει μετατιθέασιν, ἐλπίς εὔελπις, ἀσπίς λεύκασπις — posui praeceptum Iliacae Pros. Β 175 insertis ex Arcadio vocabulis παννυχίς et εὔελπις et ex Dichr. 299, 4 μελαμψήφις l. 22. In Ep. Hom. 230, 2, E. M. 333, 22 hic canon cum praecedente in unum coniunctus est: τὰ εἰς ῑϲ θηλυκὰ δισύλλαβα, εἰ μὲν βαρύνονται, ἐν τῇ συνθέσει προπαροξύνονται οἷον πόλις ἀκρόπολις, μῆτις πολύμητις καὶ ἀγκυλόμητις· εἰ δὲ ὀξύνεται, εἰ μὲν τοῦ αὐτοῦ γένους ὦσι, τὸν αὐτὸν τόνον φυλάττουσιν οἷον αἰγίς καταιγίς, νυχίς παννυχίς, οἰκίς περιοικίς. εἰ δὲ ἀρσενικοῦ γένους ὦσιν, εἰ μὲν ἐκτείνουσι τὸ δίχρονον ἐν τῇ συνθέσει παροξύνονται οἷον ἀκτίς «Χρυσάκτις ἥλιος», κνημίς εὐκνήμις «ἐϋκνήμιδας Ἀχαιούς» (Γ 156), κλήϊς πολυκλήϊς. εἰ δὲ βραχὺ αὐτὸ ἔχουσι, προπαροξύνονται ἐν τῇ συνθέσει οἷον πατρίς εὔπατρις καὶ λιπόπατρις, ἀσπίς ῥίψασπις cf. E. M. 518, 32, Choer. Epim. in Psalm. 92, 33. l. 26 canonem recepi ex Ep. Hom. 224, 31, ad Καδμίς addito versu Ibyci ex Ep. Hom. 255, 7, qui locus ex libro περὶ πα-

Τευμηccόc Τευμηccίc· τὸ ἄcιc ἀντίκειται «τόccην οἱ ἄcιν ἐφύπερθε καλύψω» (Φ 321)· ὑποπίπτει γὰρ ἑτέρῳ κανόνι· τὰ ἐπὶ τοῦ αὐτοῦ γένουc παραλαμβανόμενα καὶ ταὐτὰ cημαίνοντα ὁμοτονεῖ φήμη φῆμιc, ἄcη ἄcιc.

Τὰ εἰc $\overline{\text{ιc}}$ πατρωνυμικὰ ἢ τύπον ἔχοντα πατρωνυμικῶν ὀξύνονται Πριαμίc, Ταντα λίc, Τυνδαρίc ἡ τοῦ Τυνδάρεω, Ἑλικωνίc, Αὐcονίc, Βιcτονίc, Ἀβαντίc, Εὐξαντίc καθ᾿ ὕφεcιν τοῦ $\bar{α}$ ἐκ τοῦ Εὐξαντιάc.

Τὰ εἰc $\overline{\text{ιc}}$ ὑποκοριcτικὰ ἔχοντα ἐν ἴcαιc cυλλαβαῖc τὴν παραγωγὴν ὀξύνεται, θεραπαινίc, ἑταιρίc, λυρίc. τὸ δὲ Ἶφιc ἀπὸ τοῦ ἶφι γενόμενον βαρύνεται.

Τὰ εἰc $\overline{\text{ιc}}$ ἐcχηματιcμένα ἀπὸ βαρυτόνων μελλόντων ἢ δευτέρου προcώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνονται καὶ cυcτέλλουcι τὸ $\bar{ι}$, ποιήcω ποίηcιc, γνώcω γνῶcιc, πράξω πρᾶξιc, ἕξω ἕξιc, μέμψω μέμψιc, λέξω λέξιc· οὕτω καὶ ἅψω ἅψιc ὤφειλεν εἶναι· ὅθεν Ἡcίοδοc ἀναλογώτερον εἶπεν ἅψιc βαρυτόνωc «τριcπίθαμον δ᾿ ἅψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ» (op. 424). ἔcτιν οὖν εἰπεῖν ὅτι, ἐπειδὴ τὸ ἁψίc ἐκτείνει τὸ $\bar{ι}$, ὡc δηλοῖ τὸ «μή πωc ὡc ἁψῖcι λίνου ἁλόντε» (Il. Ε 487), τούτου χάριν καὶ ὀξύνεται.

* Τὰ εἰc $\overline{\text{βιc}}$ διcύλλαβα ὀξύνεται ἢ βαρύνεται· καὶ ὀξύνεται μὲν τὰ παρώνυμα οἷον λαβίc παρὰ τὸ λαβή καὶ ἐπιθετικὰ οἷον Λεcβίc καὶ ἐκτείνοντα τὸ $\bar{ι}$ οἷον βαλβίc· τὰ δὲ μὴ οὕτωc ἔχοντα βαρύνεται, ἶβιc, Ἄρβιc ποταμὸc Ἰνδικῆc καὶ ἔθνοc· λέγεται δὲ καὶ Ἄραβιc. Νίβιc πόλιc Αἰγύπτου, Φλέγων ρμʹ Ὀλυμπιάδι, Τάβιc πόλιc Ἀραβίαc. Ἑκαταῖοc περιηγήcει Αἰγύπτου. Νάρβιc Ἰλλυρίαc πόλιc. Ζόμβιc πόλιc τῆc Μηδίαc. Χέμβιc νῆcοc ἐν Βουτοῖ, ὡc Ἑκαταῖοc ἐν περιηγήcει Αἰγύπτου «ἐν Βουτοῖ περὶ τὸ ἱερὸν τῆc Λητοῦc ἐcτι νῆcοc Χέμβιc ὄνομα, ἱρὴ τοῦ Ἀπόλλωνοc· ἔcτι δὲ ἡ νῆcοc μεταρcίη καὶ περιπλέει καὶ κινέεται ἐπὶ τοῦ ὕδατοc».

Τὰ εἰc $\overline{\text{βιc}}$ ὑπερδιcύλλαβα ὀξύνεται ἢ προπαροξύνεται· ὀξύνεται τὰ παρώνυμα καὶ ἐπιθετικά, Νιοβίc, Λυκαμβίc, Περραιβίc, Κανωβίc, Ἐρεμβίc, Τορρηβίc «ἐν δὲ τῇ Τορρηβίδι ἐcτὶν ὄροc Κάριοc

---

θῶν fluxit, et Τευμηccόc Τευμηccίc ex Steph. B. 506, 8, ubi cum Παρναccίc comparatur. l. 2 ὑποπίπτει inserui. l. 6 ex St. B. addidi Ἑλικωνίc — Ἀβαντίc, ex libro περὶ παθῶν in E. M. 394, 34 Εὐξαντίc. l. 13 καὶ cυcτέλλουcι τὸ $\bar{ι}$ adieci ex E. M. 183, 41, unde etiam l. 15 οὕτω καὶ ἅψω ἅψιc usque ad finem dedi pro Arcadii verbis: τὸ δὲ ἁψίc cεcημείωται μακρὸν ἔχον τὸ $\bar{ι}$, inserens praeterea: ὡc δηλοῖ τὸ «μή πωc ὡc ἁψῖcι λίνου ἁλόντε» ex Eustath. 26, 37, qui Herodiani praeceptum refert, quamvis parum accurate, ut monuit Lehrs. ad Dichr. p. 299. Cf. Choer. Orth. 172, 5. l. 20 hunc canonem ipse composui propter ἶβιc Dichr. 298, 20 et Theogn. 47, 20, βαλβίc Dichr. 299, 11, Λεcβίc St. B. 3, 18, unde etiam reliqua sumpta sunt, Νάρβιc ap. St. B. 469, 15 oxytonos scriptum est, sed ap. Suid. in glossa ex St. deprompta Νάρβιc; item p. 297, 44 Ζομβίc exhibitum est Mein. paroxytonesin suadente. λαβίc in initio ipse apposui.
l. 31 Περραιβίc praebet etiam St. B. 518, 17, Κανωβίc — Τυρρηβίc ex eodem

καλεόμενον καὶ τὸ ἱερὸν τοῦ Καρίου ἐκεῖ». cεcημείωται τὸ κάνναβιc. τὰ δὲ κύρια ἢ προcηγορικὰ βαρύνεται, Ἀθάρραβιc πόλιc Αἰγύπτου. Ἑκαταῖοc δ' ἐν δευτέρῳ περιηγήcεωc δι' ἑνὸc ρ̄ καὶ τοῦ μ̄ «Ἀθάραμβιc πόλιc». Ἄθλιβιc πόλιc Αἰγύπτου. Νικάνωρ δ' ὁ Ἑρμείου ἐν τῇ πρὸc Ἀδριανὸν γραφῇ διὰ τοῦ ρ̄ φηcὶν Ἄθριβιc. οὕτω καὶ Cτράβων (p 802). ἔcτι καὶ ἄλλη ἐν Ἀραβίᾳ. Ἴαβιc πόλιc τῆc Γαλαδίτιδοc. Ἰώcηποc (A. I. 5, 2, 11 et 6, 14, 8). λέγεται καὶ Ἰαβιccόc. Κάραμβιc ἄκρα τοῦ Πόντου. Πνέβεβιc πόλιc Αἰγύπτου, Ψινέκταβιc κώμη Αἰγυπτία. Νίcιβιc πόλιc ἐν τῇ Περαίᾳ τῇ πρὸc τῷ Τίγρητι. Φίλων ἐν Φοινικικοῖc Νάcιβιc φηcὶ διὰ τοῦ ᾱ. cημαίνει δέ, ὥc φηcι Φίλων, νάcιβιc τὰc cτήλαc. Δάνουβιc ἢ Δάνουcιc Ἴcτροc ὁ ποταμόc. ἑρμηνεύεται δὲ ὥcπερ τοῦ ἁμαρτεῖν ἔχων αἰτίαν. Ἄνουβιc, κάνναβιc. cημείωcαι τὸ καλλαβίc.

Τὰ εἰc γῑc̄ διcύλλαβα ὀξύνεται, εἰ μὴ ἄρχοιντο ἀπὸ τοῦ γ̄, αἰγίc, μαγίc, cφαγίc, cφραγίc, Βρυγίc. τὸ μέντοι Γέργιc βαρύνεται· ἀπὸ τοῦ γ̄ γὰρ ὥcπερ καὶ τὸ γέλγιc γίγγιc. ἔcτι δὲ Γέργιc πόλιc Τροίαc. λέγεται καὶ ἡ Γέργιθοc εὐθεῖα ἀπὸ γενικῆc ὡc Τροίζηνοc

Ἔτι τὰ εἰc γιc̄ πολυcύλλαβα, cτρατηγίc, ἀλουργίc, ἀμοργίc. τὸ δὲ ἄμοργιc ἡ ὑποcτάθμη βαρύνεται καὶ Μέccωγιc ὄροc Λυδίαc.

* Τὰ εἰc διc παρώνυμα ὀξύνεται, Μηδίc, Ἀcπενδίc «Ἀcπενδίδα γαῖαν». Λαρανδίc. τὰ δὲ ἄλλα βαρύνεται Βῖδιc φρούριον ἐν τῇ τῶν Ταυρομενιτῶν χώρᾳ, Cάρδιc πόλιc Λυδίαc, Βούcμαδιc Ἰcαυρικὴ πόλιc.

* Τὰ εἰc ζ̄ιc̄ βαρύνεται, Ῥίζιc ἄκρα μεγάλη, ἣν οἰκοῦcι Τρωγλοδύται.

Τὰ εἰc θ̄ιc̄ διcύλλαβα, εἰ μὴ μετάληψιν ἔχοι εἰc ἀρcενικὸν γένοc, ὀξύνεται, πληθίc, Ἀτθίc, τηθίc ἡ πατρὸc ἀδελφή. Cκυθίc· οὕτω Δῆλον κεκλῆcθαι Νικάνωρ φηcίν. Τευθίc πόλιc Ἀρκαδίαc. Παρθίc χώρα Μακεδονίαc. cεcημείωται τὸ Δένθιc καὶ κόρθιc καὶ Κρᾶθιc.

---

addita sunt, l. 2 Ἀθάρραβιc ex eodem explevi, indidem reliqua usque ad Ἄνουβιc (quod est p. 394, 21) addidi. l. 1 κάνναβιc pro καλλαβίc emendavit Lob. Proll. 288 not. 5, idem l. 13 κάνναβιc pro καννάβιc. l. 15 cφραγίc addidi ex Diehr. 299, 11. Βρυγίc ex St. B. l. 16 pro γέγγιc AB, τέγγιc C scripsi γίγγιc Alex. Trall. 8 p. 140. Γέτιc, quod Schmidt. praeter Γίγγιc profert, ab hoc loco alienum est, quum in τιc non in γιc exeat. Caeterum hic canon ab Arcadio sic mutilatus est, ut vix restitui possit. Omissa sunt nomina propria Βῆγιc πόλιc Τράλλεων, Τέργιc πόλιc ἐν Λιβύῃ πρὸc τῇ Αἰθιοπίᾳ, Τίγγιc πόλιc Μαρουcίαc, Νάγιc κυβερνήτηc, ἀφ' οὗ Νάγιδοc πόλιc ap. St. B., quae quamquam non ab γ̄ incipiunt, tamen gravantur. ἔcτι δὲ Γέργιc usque ad finem ex St. B.
l. 18 ἀμοργίc linum amorginum monente Meinek. Com. II 1 p. 77 addidi cf. Hes. et Suid. s. v. E. M. 86, 14. l. 19 Μέccωγιc ex St. B. l. 20 hunc canonem composui secutus vestigia St. B., unde nomina sumpsi. Pro Βῖδιc scriptum est Βίδιοc, quod Mein. propter Cicer. Verr. 2, 22 „Bidis est oppidum tenue sane non longe a Syracusis" mutandum esse monuit. Huc referendum est etiam μάγαδιc, de quo cf. Lob. Proll. 351. l. 23 canonem propter Ῥίζιc St. B. finxi.
l. 26 Cκυθίc — Παρθίc ex St. B. l. 28 pro αἶθιc cum Schmidt. Δένθιc ex Nonn. 32, 222 exhibui, item κόρθιc ex Hes. pro κρόθιc, quamquam etiam hoc per metathesin explicari potest, cum eodem.

Λυκόφρων (v. 1021) «Κρᾶθιc δὲ γείτων ἠδὲ Μυλάκων ὄροc». καὶ Ὦφθιc πόλιc Λιβύηc Αἰγύπτῳ περικειμένη.

Τὰ εἰc θιc ὑπερδιcύλλαβα ὀξύνεται μὴ ὄντα ὀνόματα πόλεων Αἰγυπτίων, ἀκανθίc, κολοκυνθίc, ἀγαθίc. Ἠμαθίc χώρα ἡ νῦν Μακεδονία. Ἀcπαλαθίc νῆcοc Λυκίαc. λέγεται οὕτω διὰ τὰc ἐν αὐτῇ πεφυκυίαc ἀcπαλάθουc. Ἀψυνθίc χώρα. Ἐρυμανθίc, Οἰανθίc, Τιρυνθίc, Παρνηθίc, Πεπαρηθίc. τὸ δὲ Ταμίαθιc καὶ Μένουθιc κώμη πρὸc τῷ Κανώβῳ καὶ Τερένουθιc, Θέρμουθιc, Ἔλβονθιc πόλιc μεταξὺ Αἰγύπτου καὶ Κυρήνηc, Φενέβηθιc, Ἕρμωνθιc πόλειc Αἰγύπτου βαρύνονται.

Τὰ εἰc κιc διcύλλαβα ὀξύνεται, Φωκίc χώρα περὶ τὸν Παρναcόν. Ἑκαταῖοc Εὐρώπῃ. ἀπὸ Φώκου τινόc. κερκίc, χαλκίc. ἔcτι καὶ πόλιc Εὐβοίαc. Ἑκαταῖοc Εὐρώπῃ «Χαλκὶc πόλιc ἐcτίν, ἣ πρότερον Εὔβοια προcηγορεύετο». ἐκλήθη δὲ ἀπὸ Κόμβηc τῆc Χαλκίδοc καλουμένηc, θυγατρὸc Ἀcωποῦ. Ἐπαφρόδιτοc δὲ μαρτυρεῖ ἐκεῖ χαλκὸν πρῶτον εὑρεθῆναι «καὶ πρῶτοι χαλκὸν ἐκεῖ ἐνεδύcαντο οἱ Κούρητεc οἱ μετὰ Διὸc ἐλθόντεc, οὓc φύλακαc τῆc νήcου καὶ τοῦ ἱεροῦ τῆc Ῥέαc κατέλιπεν· ἀφ᾽ οὗ οἱ Χαλκιδεῖc ὠνομάcθηcαν». μέμνηται δ᾽ αὐτῆc καὶ ὁ ποιητήc «Χαλκίδα τ᾽ Εἰρέτριάν τε πολυcτάφυλόν θ᾽ Ἱcτίαιαν» (Il. Β 537). καὶ τὸ θηλυκὸν τοῦ ἐθνικοῦ ὁμώνυμον τῇ πόλει ὡc Φωκίc, Λοκρίc, ἡ χώρα καὶ ἡ γυνή. Ἑλλάνικοc ἱερειῶν Ἥραc δευτέρῳ «Ἡρακλέηc ἐκ Χαλκίδοc μετὰ Χαλκιδέων καὶ Ναξίων ἐν Cικελίῃ πόλειc ἔκτιcε». ἔcτι καὶ Χαλκίc πόλιc Κορίνθου, Αἰτωλίαc, ἀφ᾽ ἧc Ἀχελῷοc ῥεῖ, καὶ πόλιc ἐν Cυρίᾳ κτιcθεῖcα ὑπὸ Μονικοῦ τοῦ Ἄραβοc, καὶ ἐν Cκυθίᾳ· ἔcτι καὶ νῆcοc ἔχουcα πόλιν ὁμώνυμον πρὸc τῇ Λέcβῳ. ἔcτι καὶ ἐν Ἄθῳ ἄλλη Χαλκίc, ὡc Εὔδοξοc τετάρτῳ «μετὰ δὲ τὸν Ἄθω μέχρι Παλλήνηc, ἣ ἐπὶ θάτερα πεποίηκε κόλπον βαθὺν καὶ πλατὺν Χαλκίδα ἐπονομαζόμενον». ἔcτι δὲ καὶ Χαλκίc ποταμόc, ἀφ᾽ οὗ ἡ Χαλκῖτιc νῆcοc ἐκλήθη. φαρκίc, κηκίc. Γραικίc, Cακίc, Cυκίc πόλιc ἀπὸ τῶν cυκῶν καλουμένη. οἱ τόποι γὰρ ἀπὸ τῶν ἐν αὐτοῖc ὄντων ὀνομάζονται, Κυπάριccοc, Ἐλαία, καὶ τύπῳ περιεκτικῷ Cικυών Μαραθών καὶ εἰc ουc Δαφνοῦc, Κεραcοῦc, Φηγοῦc, Μυρρινοῦc, Ἀχερδοῦc, Ἁγνοῦc, Cελινοῦc. οὐδὲν δὲ τῶν τοιούτων εἰc ιc λήγει, Cυκίc, ἀλλ᾽ ἐχρῆν ἢ Cυκᾶc ὡc καὶ λέγονται, ἢ Cυκῆν, ὡc Cτράβων αὐτὴν λέγει, ἢ Cυκοῦντα ἢ Cυκῶνα λέγεcθαι. τὸ δὲ Κίκιc βαρύνεται. ἔτι καὶ τὰ ὑπερδιcύλλαβα, παλλακίc, πινακίc, φαρμακίc. Ὑποχαλκίc πόλιc Αἰτωλίαc.

---

l. 1 verba Lycophronis ex St. B. addidi item atque Ὦφθιc. l. 4 ἀγαθίc addidi ex Dichr. 299, 16; Ἠμαθίc — Πεπαρηθίc ex St. B., ex eodem Μένουθιc explevi et nomina Θέρμουθιc usque ad finem apposui. l. 11 Φωκίc explevi ex St. B., pariter l. 12 χαλκίc. l. 29 φαρκίc κηκίc ex Dichr. 299, 11; Cακίc et Cυκίc ex St. B. 550, 6 et 590, 14 ad quem locum Mein. canonem non ab omni parte verum esse nomine Ἐλαιῒc demonstrat. l. 35 Κίκιc pro φίκιc scripsi ex Herodian. in An. Ox. IV 337 cf. An. Paris. IV 185, 3 Κίκιc ὁ ἀδελφὸc Ἀλκαίου. ὑπερδιcύλλαβα pro τριcύλλαβα posui propter Ὑποχαλκίc, quod pariter atque reliqua usque ad finem ex St. B. petitum est.

Ἑκαταῖος Εὐρώπῃ. Ἀρσακίς, Ἀτρακίς, Φαιακίς, Ῥυνδακίς, Σαλμακίς πόλις Καρίας, Βυζακίς χώρα περὶ τὰς Σύρτεις ὡς Πολύβιος ἐν δωδεκάτῳ «σταδίων μὲν οὖσα τὴν περίμετρον δισχιλίων, τῷ δὲ σχήματι περιφερής». Ἰωλκίς, Τεμμικίς, Σελευκίς χώρα. ἔστι καὶ ποτηρίων εἶδος ἀπὸ Σελεύκου. Ναρθηκίς νησίδιον ἐγγὺς Σάμου· ἐν δεξιᾷ τοῖς προσπλέουσι πρὸς τὴν πόλιν.

Τὰ εἰς λις ἁπλᾶ ἔχοντα σύμφωνον κατ' ἐπιπλοκὴν ἢ διπλασιασμὸν τοῦ λ ὀξύνεται, εἰ μὴ διὰ τοῦ θ κλίνοιτο ἢ πόλιν σημαίνοι, φυλλίς· ἔστι δὲ καὶ χώρα Θρᾴκης. Ἡρόδοτος ἑβδόμῃ (c. 113) «ἡ δὲ γῆ αὕτη περὶ τὸ Πάγγαιον ὄρος καλέεται Φυλλίς». ἔστι καὶ ποταμὸς Βιθυνίας Φυλλίς. κιγκλίς, θυλλίς ὁ θύλακος. Ὑλλίς τὸ θηλυκὸν ἐθνικοῦ παρὰ Καλλιμάχῳ ἀπὸ Ὑλλίδος Ἀργείας μιᾶς τῶν νυμφῶν καὶ Ἀπολλόδωρος

Ὑλλὶς πρόκειται χερρόνησος ἡλίκη
μάλιστα Πελοπόννησος, ὥς φασι . . . . .
. . . . πεντεκαίδεκα
πόλεις ἔχουσα παμμεγέθεις οἰκουμένας.

ἔστιν Ὑλλίς καὶ φυλὴ Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων. Βυβλίς, ἀδελφὴ Καύνου, οὗ ἐρασθεῖσα φεύγοντος ἐκείνου ἀπήγξατο. οὕτω δὲ καὶ ἐκαλεῖτο Μῆλος μία τῶν Κυκλάδων ἀπὸ τῶν Βυβλίων Φοινίκων. Βρυλλίς χώρα ἐν τῇ Προποντίδι. τὸ δὲ Τράλλις πόλις Λυδίας πρὸς τῷ Μαιάνδρῳ ποταμῷ, καὶ τὸ Βύλλις πόλις Ἰλλυρίδος παραθαλασσία, τῶν μετὰ Νεοπτολέμου Μυρμιδόνων κτίσμα. καὶ τὸ δέλλις τὸ μικρὸν σφηκίον διὰ τοῦ θ κλίνεται. καὶ τὸ βάλλις δὲ βαρύνεται εἶδος ἄνθους, ὃ δοκεῖ ποιεῖν ἀναζῆν τὸν νεκρόν.

Τὰ εἰς λις βραχείᾳ παραληγόμενα δισύλλαβα, εἰ μὴ ἀπὸ τοῦ π ἄρχοιτο μήτε ὑποκοριστικὰ εἴη, ὀξύνεται, βολίς, φολίς, σελίς, ψαλίς, πυλίς ὑποκοριστικόν. τὸ δὲ πρύλις βαρύνεται ἡ ἔνοπλος ὄρχησις ὥσπερ καὶ ἡ πόλις ἀπὸ τοῦ π ἀρχομένη. καὶ Τύλις πόλις

---

l. 8 Φυλλίς proprium ex St. B. addidi. l. 11 Ὑλλίς — Βρυλλίς ex eodem, ex quo etiam Τράλλις explevi et Βύλλις apposui. De declinatione voc. δέλλις cf. Choer. 222, 31; ex hoc canone etiam ἄγλις ἄγλιθις, quod Choer. 353, 11 oxytonon esse perhibet, in paenultima acui debet. Ex hoc ipso canone pendet etiam τριγλίς τριγλίδος, quod in E. M. 806, 51 canoni generali subiicitur: τὰ εἰς ις δισύλλαβα ἔχοντα πρὸ τοῦ ις ἀμετάβολον, ἐὰν κλίνηται διὰ τοῦ δ, ὀξύνεται οἷον τριγλίς· εἰ δὲ διὰ τοῦ τ, βαρύνεται οἷον χάρις χάριτος, qui canon non ab omni parte verus est, nam e. g. Χαῖρις Χαίριδος quamvis per δ declinetur, tamen barytonum est. l. 26 pro βραχύ posui βραχείᾳ παραληγόμενα ex Ep. Hom. 361, 26: τὰ εἰς λις δισύλλαβα βραχείᾳ παραληγόμενα ὀξύνεται, ψαλίς, σκαλίς, βολίς, πυλίς. σεσημείωται τὸ πόλις καὶ πρύλις. l. 29 Τύλις usque ad finem addidi ex St. B. — Verba μήτε ὑποκοριστικὰ εἴη non significant ut Schmidt. dicit ὑπεσταλμένων τῶν ἀπὸ τοῦ π ὑποκοριστικῶν, sed ὑπεσταλμένων τῶν ἀπὸ τοῦ π μὴ ὑποκοριστικῶν, intelleguntur πόλις et πρύλις, quae a π quidem incipiunt neque tamen deminutiva sunt ut πυλίς quod ab π ordiens, quum deminutivum sit, acuitur. De πρύλις tradunt Ep. Hom. 345, 27 πρύλις ἡ ἐνόπλιος ὄρχησις· παρῆκται ἐκ τοῦ πρυλής. φιλεῖ δέ πως τὰ ἀπὸ τῶν τοιούτων βαρύνεσθαι, ἐκμανής ἔκμανις, ἀναλκής ἄναλκις, οὕτω πρυλής πρύλις.

Θράκης τοῦ Αἵμου πλησίον, καὶ Cκόλις Ἀχαΐας πόλις καὶ Ψίλις ποταμὸς τῆς Βιθυνίας ἐκρέων εἰς τὸν Εὔξεινον πόντον.

Τὰ εἰς λις δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα, εἰ παραλήγοιτο φύσει μακρᾷ χωρὶς ᾱ μακροῦ, ὀξύνεται, μηλίς ἡ μηλέα καὶ Μηλίς ἡ χώρα, δουλίς, Δαυλίς πόλις Φωκίδος. Ὅμηρος «Δαυλίδα καὶ Πανοπῆα» (Β 520). δαῦλον δὲ τὸ δασύ. δασεῖα δὲ ἡ πόλις. Παυσανίας δὲ δεκάτῳ «ἀπὸ νύμφης Δαυλίδος» (c. 4, 7). οἱ δὲ ὕστερον Δαύλειάν φασι προπαροξυτόνως καὶ διὰ διφθόγγου. ἐναντιοῦται τὸ μαῦλις ἡ μάχαιρα καὶ τὸ τῆλις. τὸ δὲ τᾶλις ἡ μελλόγαμος τὸ ᾱ μακρὸν ἔχει. Ἔτι βαρύνεται καὶ τὸ Βᾶλις πόλις Λιβύης πρὸς τῇ Κυρήνῃ, ἀπό τινος Βάλεως, οὗ καὶ ἱερὸν ἔχει. καὶ μᾶλις. καὶ Ἦλις πόλις πρὸς τῇ Ὀλυμπίᾳ ἀπὸ Ἠλίου τοῦ Ταντάλου παιδός. ἔστι καὶ ἄλλη Ἀρκαδίας καὶ τρίτη Ἱσπανίας. καὶ ὗλις ἡ ὑλία. καὶ Βοῦλις πόλις Φωκίδος ἀπὸ Βούλωνος οἰκιστοῦ, Πῶλις πόλις Αἰγύπτου. καὶ αὖλις ἡ ἔπαυλις αἰολικῶς, Αὐλίς δὲ ἡ πόλις Βοιωτίας ὀξύνεται «καὶ Αὐλίδα πετρήεσαν» (Β 496). ἡ δὲ αἰτιατικὴ «Αὖλιν τ' ἔσφαγον» παρὰ τῷ Εὐφορίωνι (fr. 129 Mein.) ἀπὸ εὐθείας βαρυνομένης γέγονε· ἡ γὰρ εἰς ῑν κατάληξις ἀπὸ βαρυτόνων ἐστίν, ἡ δὲ εἰς δα καὶ βαρυτόνων καὶ ὀξυτόνων. Τρύφων τὸ Αὐλίς παράγει παρὰ τὸ ἀλισθῆναι ἀλίς καὶ αὐλίς, ὅτι εἰς αὐτὴν ἠθροίσθησαν οἱ Ἕλληνες· βέλτιον ἀπὸ τῆς Αὐλίδος τῆς Εὐωνύμου τοῦ Κηφισσοῦ.

Τὰ εἰς λις ὑπερδισύλλαβα εἰς ᾰ βραχὺ προπαραλήγοντα ἢ ὀξύνεται ἢ βαρύνεται. καὶ ὀξύνονται μέν, ὅσα τυγχάνει ἐπιθετικώτερα, ἢ ἔχει τὴν πρώτην συλλαβὴν καταλήγουσαν εἰς ν̄ ἀφώνου ἐπιφερομένου, Ἀτταλίς φυλὴ τῆς Ἀττικῆς, ἣν Ἀττάλῳ ἀνέθηκαν Ἀθηναῖοι, Αἰγιαλίς παρ' Ἀλκμᾶνι, Αἰθαλίς, Οἰχαλίς, Φαρσαλίς, Δαιδαλίς, Θετταλίς· ἔστι καὶ θετταλίς ὑπόδημά τι ποιόν, ὡς Λύσιππος ἐν Βάκχαις, Ἀρδαλίς, Ἀρδαλίδες αἱ μοῦσαι ἐν Τροιζῆνι. Ἰταλίς, Καβαλίς τὸ θηλυκὸν τοῦ ἐθνικοῦ ὡς Στράβων (p. 630) «ἀπόγονοι δὲ Λυδῶν οἱ Κιβυρᾶται τῶν κατασχόντων τὴν Καβαλίδα». ὁ δὲ πολυίστωρ Ἀλέξανδρος Καβάλισσαν φησὶ τὸ θηλυκόν. Ταντᾶλίς, Πανθαλίς ἡ θεράπαινα Ἑλένης, ἀγκαλίς, τὸ γὰρ γ̄ ἐκ τοῦ ν̄, δενδαλίς. τὰ μέντοι προσηγορικὰ ἢ κύρια προπαροξύνονται, βούβαλις, δάμαλις, βαύκαλις. Νάρμαλις πόλις Πισιδίας, Κάβαλις πόλις πλησίον Κιβύρας πρὸς νότον Μαιάνδρου. Στράβων τρισκαιδεκάτῃ (p. 629). Κάραλις πόλις Λιβυκή, Cάδαλις Αἰγυπτία πόλις, Cύαλις πόλις Μαστιανῶν. σεσημείωται τὸ τροφαλίς ἐπὶ τυροῦ ὀξυνόμενον, ἧς χρῆσις

l. 4 Μηλίς ex St. B., Δαυλίς ex eodem explevi item atque Βᾶλις. l. 11 Ἦλις explevi ex St. B., l. 13 Βοῦλις et Πῶλις ex eodem addidi, l. 14 αἰολικῶς ex St. B. 321, 15: ὀξύνεται τὸ Δαυλίς. τὸ δὲ αὖλις αἰολικῶς βαρύνεται. l. 16 ἡ δὲ αἰτιατικὴ — l. 18 ὀξυτόνων sunt ex Il. Pr. B 496, Τρύφων usque ad finem ex St. B. 147, 1. Tryphonis originationem nomine suppresso praebent etiam Ep. Hom. 25. 4, E. M. 170, 18, ubi pro αὐλίζω scribendum ἀλίζω. l. 25 Ἀτταλίς — Καβαλίς l. 28 ex St. B. l. 34 Νάρμαλις usque ad Cύαλις ex St. B. l. 36 σεσημείωται τὸ τροφαλίς ex Eustath. 1339, 19 et 620, 14 (Schol. ad Il. Ε 903, An.

παρὰ τῷ κωμικῷ Ἀντιφάνει ἐν τῷ «τροφαλίδας τε λινοσάρκους. μανθάνεις; τυρὸν λέγω», ἵνα εἴη αἰνιγματωδῶς λέγων λινοσάρκους ἤγουν λεπτὰς καὶ ἁπαλὰς τροφαλίδας τὸν τοιοῦτον τυρόν. τροφαλίδα δὲ ῥητέον διὰ τοῦ ō, οὐ τρυφαλίδα διὰ τοῦ ū. ἡ γὰρ λέξις εἴρηται παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι, ἐξ οὗ καὶ τρόφι κῦμα εἴρηται. χρῆσις δὲ τοῦ εἰρημένου τρέφεσθαι παρὰ τῷ ποιητῇ ἐν τῷ «μάλα δ' ὦκα περιτρέφεται κυκόωντι» (Il. Ε 903).

Τὰ εἰς λις ὑπερδισύλλαβα παραληγόμενα η βαρύνεται, κάπηλις, κύβηλις ὁ πέλυξ, ἔπηλις τὸ πῶμα τῆς λάρνακος, τρόπηλις ἡ δέσμη τῶν σκορόδων. Μέτηλις πόλις πλησίον Ἀλεξανδρείας, Φασάηλις πόλις τῆς Ἰουδαίας ὑπὸ Ἡρώδου κτισθεῖσα τοῦ πρώτου βασιλέως τῆς χώρας, τῷ ὀνόματι τοῦ ἀδελφοῦ, ὡς Ἰώσηπος ἐν α' τοῦ πρὸς Ῥωμαίους πολέμου (c. 16), Ὕψηλις κώμη Αἰγύπτου, Φάσηλις νῆσος Παμφυλίας. τὸ μέντοι ἀγγεῖον ὀξύνεται.

Τὰ εἰς δύο λλ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εἰ μὴ ἐπιθετικὰ παρώνυμα εἴη γενόμενα ἀπὸ τῶν εἰς ης, κορυδαλλίς, ἀναβαλλίς ἡ σφαῖρα, συκαλλίς, μοιχαλλίς, θρυαλλίς. Ἀκακαλλίς ἡ Μίνω θυγατήρ, τὸ μέντοι κάβαλλις βαρύνεται.

Τὰ εἰς λις ὑπερδισύλλαβα, εἰ ἔχοι ἕν τι τῶν φύσει βραχέων ἢ τὸ ῐ ἢ τὸ υ βραχύ, ὀξύνεται, κυψελίς, βασιλίς, Αἰολίς, Ἐγχελίς, Κυβελίς· Πείσανδρος δεκάτῳ, Ἀργολίς, Ὀζολίς ἡ χώρα, Δασκυλίς, πηγυλίς «νὺξ γὰρ ἐπῆλθε κακὴ Βορέαο πεσόντος πηγυλίς» (Od. ξ 475), Θηγυλίς ἐπίθετον Ἀθηνᾶς, γογγυλίς. τὸ μέντοι Ἄζιλις τὸ ζι μακρὸν ἔχει. ἔστι δὲ πόλις Λιβύης. τινὲς δὲ Ἄζιριν μετὰ τοῦ ρ λέγουσι τὸν χῶρον. Χάραξ δὲ Ἄζιρον λέγει αὐτήν. ὁμοίως καὶ τὸ Ἄγρυλις προπαροξύνεται διὰ τὸ τοῦ ū μῆκος. καὶ τὸ Σισίγυλις πόλις μεγάλη πλησίον Κελτικῆς. τὸ δὲ Παμφυλίς ἐθνικὸν καὶ Τριφυλίς ὀξύνεται ὡς Αἰολίς Αἰτωλίς καὶ τὰ ὅμοια.

Τὰ εἰς λις παρώνυμα τῷ ω ἢ διφθόγγῳ παραληγόμενα ὀξύνεται, Πακτωλίς, Αἰτωλίς, Ἰουλίς πόλις ἐν Κέῳ τῇ νήσῳ ἀπὸ Ἰουλίδος κρήνης. τὸ Ἄδουλις πόλις Αἰθιόπων προπαροξύνεται καὶ τὰ ἀρτόπωλις.

Paris. III 215, 14), ubi disertis verbis haec Herodiano assignantur. Caeterum in Dichr. 299, 17 τρυφαλίς per ū scriptum est. l. 10 Μέτηλις usque ad Ὕψηλις l. 13 ex St. B. addita. De Φάσηλις nihil nisi hoc Arcadius habet πλὴν τοῦ φασηλίς, sed St. B. 660, 15 Φάσηλις πόλις Παμφυλίας. Ἡρωδιανὸς δὲ μόνος νῆσόν φησι καὶ προπαροξύνεσθαι· τὸ μέντοι ἀγγεῖον οἱ ἀπ' Ἀλεξανδρείας (i. e. Herodianus cum sectatoribus) ὀξύνουσιν. l. 17 de μοιχαλλίς Lob. Proll. 96: μοιχαλίς hoc uno modo scriptum reperi ad Phryn. p. 452. Ἀκακαλλίς accessit ex St. B., κάβαλλις Lobeckio l. c. femininum substantivi καβάλλης videtur ut δαμάλης δάμαλις. Excidisse videtur in canone ἡ κύρια εἴη, nam Κάραλλις Ἰσαυρικὴ πόλις canoni ut nunc legitur subiici non potest. l. 19 ἢ τὸ ū inserui. Βάσιλις πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ ap. St. B. gravatum est, sed apud Pausan. c. 29, 5 Βασιλίς legitur. Ἐγχελίς — γογγυλίς l. 23 sunt ex Steph., qui canonem de nominibus in ῠλις profert s. Παμφυλία. Ἄζιλις explevi ex St. B. l. 26 Ἄγρυλις ex St. B. l. c., Σισίγυλις ex p. 572, 18, Παμφυλίς 498, 18, Τριφυλίς 638, 17. l. 30 Ἰουλίς explevi ex St. B. item Ἄδουλις, de quo 26, 20 Ἄδουλις ὀφείλει, ὡς Ἡρωδιανὸς ἐν τοῖς εἰς λις τῷ ω ἢ διφθόγγῳ παραληγομένοις.

* Τὰ παρὰ τὸ πόλιϲ ϲυντεθέντα ὀνόματα προπαροξύνεται, Ἑρμούπολιϲ Αἰγύπτου πόλιϲ. εἰϲὶ δὲ δύο καὶ μεγάλη καὶ μικρά. Χρυϲόπολιϲ ἐν Βιθυνίᾳ. Ἔφοροϲ εἰκοϲτῷ τρίτῳ «παραδοῦναι τὴν Καλχηδονίων Χρυϲόπολιν τοῖϲ ϲυμμάχοιϲ». καὶ Θεόπομποϲ ἐν πρώτῳ Ἑλληνικῶν «ἀνήχθηϲαν εἰϲ Καλχηδόνα καὶ Βυζάντιον μετὰ τοῦ λοιποῦ ϲτρατεύματοϲ βουλόμενοι Χρυϲόπολιν καταϲχεῖν». ἔϲτι καὶ ἄλλη Κιλικίαϲ, ὡϲ ὁ πολυίϲτωρ. Χυτρόπολιϲ Θρᾴκηϲ χωρίον. Θεόπομποϲ Φιλιππικῶν εἰκοϲτῷ δευτέρῳ «παρῆλθεν εἰϲ Χυτρόπολιν, χωρίον ἀπῳκιϲμένον ἐξ Ἀφύτεωϲ». Τρίπολιϲ, πόλιϲ Φοινίκηϲ διὰ τὸ ἐκ τριῶν πόλεων ἔχειν ἀποικίαϲ, Ἀράδου, Τύρου καὶ Cιδῶνοϲ. ἔϲτι καὶ ἑτέρα Μακεδονίαϲ καὶ ἄλλη Περραιβίαϲ, καὶ ἄλλη Καρίαϲ ἡ νῦν Νεάπολιϲ, Μεϲϲηνίαϲ καὶ Ἀρκαδίαϲ καὶ Ἠπείρου καὶ ἄλλη Ποντική. Τετράπολιϲ ἔχουϲα δήμουϲ καὶ πόλειϲ τέϲϲαραϲ Οἰνόην Προβάλινθον Τρικόρυνθον Μαραθῶνα. Ὑάμπολιϲ πόλιϲ Φωκίδοϲ. Προξενούπολιϲ περὶ Ναύκρατιν, Πυθόπολιϲ Καρίαϲ πόλιϲ ἀπὸ Πυθοῦ περιϲπωμένωϲ ὡϲ ἀπὸ τοῦ Ἑρμοῦ γενικῆϲ Ἑρμόπολιϲ. ἔϲτι καὶ ἄλλη Πυθόπολιϲ Μυϲίαϲ. Ὁδιούπολιϲ χωρίον Ἡρακλείαϲ πρὸϲ τῷ Πόντῳ. Δομίτιοϲ Καλλίϲτρατοϲ ἕκτῳ τῶν περὶ Ἡρακλείαϲ. Ἡρακλεόπολιϲ πόλιϲ Αἰγυπτία. Παρθενόπολιϲ Μακεδονίαϲ πόλιϲ ἀπὸ τῶν θυγατέρων Γραϲτοῦ τοῦ Μυγδόνοϲ υἱοῦ. Ἱεράπολιϲ μεταξὺ Φρυγίαϲ καὶ Λυδίαϲ πόλιϲ, β΄ Κρήτηϲ, γ΄ Cυρίαϲ, ἣ καὶ Ἱερόπολιϲ διὰ τοῦ ō. Περϲέπολιϲ πόλιϲ Περϲίδοϲ. ἔϲτι καὶ ὄνομα κύριον υἱοῦ Τηλεμάχου. Καλλίπολιϲ πολίχνιον Λαμψάκου ἐν τῇ περαίᾳ τῆϲ Χερρονήϲου ἐπ᾽ ἀκτῆϲ κείμενον, ὡϲ Ἀλέξανδροϲ ἐν τῷ περὶ Βιθυνίαϲ. ἔϲτι καὶ Cικελίαϲ καὶ Καρίαϲ. Νεάπολιϲ πόλιϲ Ἰταλίαϲ· ἔϲτι καὶ ἄλλη Λιβύηϲ καὶ ἄλλαι. Νικόπολιϲ πόλιϲ Ἠπείρου· ἔϲτι καὶ Βιθυνίαϲ καὶ ἄλλη τῆϲ μικρᾶϲ Ἀρμενίαϲ. Πομπηϊούπολιϲ πόλιϲ Παφλαγονίαϲ· τινὲϲ δὲ δίχα τοῦ ū Πομπηϊόπολιϲ λέγουϲι. Πονηρόπολιϲ πόλιϲ ἐν Θρᾴκῃ, Cκυθόπολιϲ Παλαιϲτίνηϲ πόλιϲ, Cκυτόπολιϲ πόλιϲ Λιβύηϲ, περὶ ἧϲ ὁ πολυίϲτωρ ἐν Λιβυκῶν τρίτῳ. Ταυρόπολιϲ πόλιϲ Καρίαϲ. Φιλιππόπολιϲ πόλιϲ Μακεδόνων, Φιλίππου τοῦ Ἀμύντου κτίϲμα ἐν τῷ Ἕβρῳ. Φινόπολιϲ πόλιϲ πρὸϲ τῷ Πόντῳ ἀπὸ Φινέωϲ. Φαγρωριόπολιϲ. Ἀμφίπολιϲ πόλιϲ Μακεδονίαϲ κατὰ Θρᾴκην, ἥτιϲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο. κεκλῆϲθαι δὲ Μυρίκην καὶ Ἠιόνα, Ἀμφίπολιν δὲ διὰ τὴν περίρροιαν τοῦ Cτρυμόνοϲ, ὡϲ Θουκυδίδηϲ τετάρτῃ (c. 102). ἀκρόπολιϲ. ἔϲτι καὶ Ἀκρόπολιϲ πόλιϲ Λιβύηϲ. μητρόπολιϲ. ἔϲτι καὶ Μητρόπολιϲ πόλιϲ Φρυγίαϲ ὑπὸ τῆϲ μητρὸϲ τῶν θεῶν κτιϲθεῖϲα, ὡϲ Ἀλέξανδροϲ ἐν τῷ περὶ Φρυγίαϲ. ἔϲτι καὶ ἄλλη Φρυγίαϲ ὁμώνυμοϲ καὶ Λυδίαϲ καὶ Θεϲϲαλίαϲ καὶ Ἀκαρνανίαϲ καὶ Δωριέων καὶ τῶν ἐν τῷ Πόντῳ Μοϲϲυ-

---

1. 1 canonem de compositis a πόλιϲ finxi auctore St. B. 278, 6 Ἑρμούπολιϲ πόλιϲ Αἰγύπτου, Ἡρωδιανὸϲ δύο εἶναι λέγει, καὶ μεγάλην καὶ μικράν. Urbium nomina omnia sunt ex St. B., Choer. p. 188 habet Καλλίπολιϲ, Χρυϲόπολιϲ, Ἀμφίπολιϲ, Νικόπολιϲ, praeterea ἀκρόπολιϲ, μητρόπολιϲ et Cώπολιϲ, Ἀγηϲίπολιϲ cum explicationibus, φυγόπολιϲ, ἄπολιϲ.

νοίκων καὶ Cκυθίας καὶ Εὐβοίας. Ἀδριανούπολις ἡ πρότερον Ἡράκλεια. Ἀνταιούπολις πόλις ἐν Αἰγύπτῳ. Ἀνώπολις. οὕτως ἐκαλεῖτο ἡ Ἀραδὴν ἐν Κρήτῃ διὰ τὸ ἄνω εἶναι. Ἀρχανδρούπολις πόλις ἐν Αἰγύπτῳ· Ἡρόδοτος δευτέρῳ (c. 97). Ἀφροδιτόπολις ἡ καὶ Ἀφροδίτης πόλις. ἔστι καὶ πόλις κατὰ Ἄθριβιν καὶ Αἰθιοπίαν καὶ Θρᾴκην. Βεργέπολις, Ἀβδηριτῶν, Βιθυόπολις, πόλις . . . . ἀπὸ Βίθυος. Γαβαούπολις πόλις τῆς Γαλιλαίας. Ἰώσηπος ἐν ἕκτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 7) «Cάουλος δὲ εἰς Γαβαούπολιν ἔχων ἑξακοσίους ἦλθεν». Γυναικόσπολις πόλις Φοινίκων, ἔστι καὶ ἄλλη Αἰγύπτου. Ἀρισταγόρας δέ φησιν, ὅτι οὕτως ὠνομάσθη διὰ τρεῖς αἰτίας, ἢ ὅτι πολεμίων ἐπιπεσόντων καὶ τῶν ἀνδρῶν ἐν γεωργίαις ἀπόντων τὰς γυναῖκας κρατῆσαι τοῦ πολέμου, ἢ ὅτι γυνή τις νομάρχου, περισπωμένων τῶν παίδων αὐτῆς ὑπὸ τοῦ βασιλέως, ἅμα τοῖς παισὶν ὁπλισαμένη κατεδίωξε τὸν βασιλέα καὶ ἐνίκησεν, ἢ ὅτι τῶν Ναυκρατιτῶν ἀναπλεόντων κατὰ τὸν ποταμὸν καὶ κωλυομένων ὑπὸ τῶν λοιπῶν Αἰγυπτίων ἀποβαίνειν, οὗτοι καταπλαγέντες ὑπὸ ἀνανδρίας οὐ διεκώλυσαν. ταῦτα καὶ Ἀρτεμίδωρός φησιν. Cεβαστόπολις νῆσος περὶ τὸν Πόντον ἡ καὶ Διοσκουριὰς καὶ πρότερον Αἶα. Διόσπολις ἡ μεγάλη πόλις τῆς Αἰγυπτίας Θηβαΐδος ἡ λεγομένη ἑκατόμπυλος, κτίσμα Ὀσίριδος καὶ Ἴσιδος. εἰσὶ δὲ καὶ ἄλλαι μικραὶ ἐν Αἰγύπτῳ τέσσαρες. ἔστι καὶ Λυδίας καὶ Παλαιστίνης. Δουλόπολις πόλις κατὰ Κρήτην. σημειωτέον δ' ὅτι Κρατῖνος ἐν Cεριφίοις πόλιν δούλων φησίν, Ἀπολλωνίου φήσαντος, μὴ δεῖ ταύτας τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι Κρατῖνος

«εἶτα Cάκας ἀφικνῇ καὶ Cιδονίους καὶ Ἐρεμβούς,
ἔς τε πόλιν δούλων ἀνδρῶν νεοπλουτοπονήρων».

ἔστι καὶ Δούλων πόλις πόλις Λιβύης. Ἑκαταῖος ἐν περιηγήσει «καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίνεται κἂν ξένος ᾖ». Ἑλληνόπολις πόλις Βιθυνίας. Ἀπολλόδωρος «Ἄτταλος ἐκ τῶν Ἑλληνίδων πόλεων οἰκήτορας συναγαγὼν ἔκτισε πόλιν καὶ ὠνόμασεν αὐτὴν Ἑλληνόπολιν». Ζυγόπολις παρὰ Τραπεζοῦντα. Cτράβων δωδεκάτῃ (p. 495). Ἡλιούπολις, πόλις Αἰγύπτου, ἣν ἔκτισεν Ἀκτὶς ὁ Ἡλίου καὶ Ῥόδης. Ἡρόδοτος δευτέρᾳ (c. 3). ἔστι καὶ Θρᾴκης. καὶ τῆς Ἀρωματοφόρου ἄποικος τῆς Αἰγυπτίασι. καὶ δ' ἐν Cάρδεσι. καὶ ἡ Κόρινθος Ἡλιούπολις ἐλέγετο· ἔστι καὶ ἐν Φοινίκῃ. Θεόπολις ἐν Αἰγύπτῳ. Κνωπούπολις· οὕτως ἐκαλεῖτο Ἐρυθραί πόλις Ἰώνων ἀπὸ Κνώπου. Καρόπολις πόλις Καρίας. Ἀλέξανδρος Καρικῶν πρώτῳ. Κουρόπολις πόλις Καρίας. Ἀλέξανδρος Καρικῶν πρώτῳ. Μαιανδρούπολις Μαγνησίας πόλις ὡς Φλέγων ἐν Ὀλυμπιάσι. Μεγαλόπολις διὰ τὸ μέγεθος ἐκλήθη Ἀφροδισιάς πόλις Καρίας ἡ πρότερον Λελέγων πόλις. Μεγάλη πόλις, πόλις Ἀρκαδίας, καὶ Ἰβηρίας, ὡς Φίλων. Μιλητούπολις πόλις μεταξὺ Κυζίκου καὶ Βιθυνίας περὶ τὸν Ῥύνδακα. ἔστι καὶ ἄλλη ἐν Περσίδι. Cώπολις ὄνομα κωμικοῦ, Ἀγησίπολις ὄνομα τοῦ στρατηγοῦ τῶν Ἀθηναίων, φυγόπολις, ἄπολις.

* Τὰ εἰϲ μιϲ διϲύλλαβα βαρύνεται, μέρμιϲ, θέμιϲ, Χάρμιϲ πόλιϲ ἐν Cαρδοῖ, κτίϲμα Καρχηδόνων. Παυϲανίαϲ δέ φηϲι περὶ αὐτοῦ. Χέμμιϲ πόλιϲ Αἰγύπτου. Ἡρόδοτοϲ (II 91) «ἔϲτι καὶ Χέμμιϲ πόλιϲ μεγάλη νομοῦ τοῦ Θηβαϊκοῦ, ἐγγὺϲ τῆϲ Νέηϲ πόλιοϲ». φηϲὶ δ' ὁ αὐτὸϲ καὶ νῆϲον εἶναι Χέμμιν ἐν αὐτῇ.

Τὰ εἰϲ μιϲ προϲηγορικὰ ὑπὲρ δύο ϲυλλαβὰϲ ὀξύνεται, πυραμίϲ — ὠνομάϲθηϲαν δὲ πυραμίδεϲ ἀπὸ τῶν πυρῶν, οὓϲ ἐκεῖ ϲυναγαγὼν ὁ βαϲιλεὺϲ ἔνδειαν ἐποίηϲε ϲίτου κατὰ τὴν Αἴγυπτον — ϲηϲαμίϲ, καλαμίϲ, πλοκαμίϲ, κεραμίϲ. τὰ δὲ κύρια βαρύνεται, Ἄρτεμιϲ, ὃ Δωριεῖϲ διὰ τοῦ ᾱ προφέρονται Ἄρταμιϲ, Cεμίραμιϲ, Χρυϲόθεμιϲ, Θύαμιϲ κώμη ὑπὸ Cεμιράμιδοϲ κτιϲθεῖϲα παρὰ τὴν Ἀραχωϲίαν, Ψιττάχεμμιϲ κώμη τῆϲ Αἰγυπτίαϲ, Ψώχεμμιϲ πολίχνιον Αἰγύπτου, Ἀρτεμίδωροϲ ἐν ὀγδόῳ γεωγραφουμένων «καὶ Περίκερμιϲ ἐκ δεξιῶν μερῶν καὶ Θαλαβαύδη καὶ Ψώχεμμιϲ». Πάπρημιϲ πόλιϲ Αἰγύπτου, Ἄξουμιϲ ἀρϲενικῶϲ μητρόπολιϲ Αἰθιόπων. τὸ δὲ Cαλαμίϲ ἡ πρὸϲ τῇ Ἀττικῇ νῆϲοϲ καὶ πόλιϲ κύριον ὂν ὀξύνεται καὶ τὸ δύναμιϲ προϲηγορικὸν ὂν βαρύνεται.

Τὰ εἰϲ νιϲ διβράχεα προϲηγορικὰ ὀξύνονται κατ' οὐϲίαϲ κείμενα ᾰ ἢ ŏ παραληγόμενα, ῥανίϲ, χλανίϲ, ϲανίϲ, ὀνίϲ, κονίϲ τὸ ἐπὶ τῆϲ κεφαλῆϲ, κόνιϲ.δὲ τὸ χῶμα, ϲπάνιϲ καὶ φρόνιϲ οὐκ ἐπὶ οὐϲίαϲ. τὸ δὲ ὕνιϲ βαρύνεται τὸ ῠ ἔχον ὥϲπερ τὸ κύνιϲ ἡ χείρ. τὰ δὲ κύρια βαρύνονται, Γλάνιϲ ποταμὸϲ Κύμηϲ ὡϲ Λυκόφρων (v. 718) «Γλάνιϲ δὲ ῥείθροιϲ δέξεται τέγγων χθόνα» καὶ ἀπ' αὐτοῦ ἰχθῦϲ ὁ καλούμενοϲ γλάνιϲ ὁ καὶ γλάνιοϲ. ἔϲτι καὶ Ἰβηρίαϲ ποταμόϲ. ἔϲτι καὶ Ἰταλίαϲ τρίτοϲ ποταμὸϲ περὶ τὸν Τίβεριν ποταμόν. Τάνιϲ πόλιϲ μεγάλη Αἰγύπτου.

Τὰ εἰϲ νιϲ διϲύλλαβα παραληγόμενα φωνήεντι μακρῷ ἢ ἐκτεινομένῳ βαρύνεται, μὴ ὑποκοριϲτικὰ ὄντα, ὄρνιϲ, Θῶνιϲ πόλιϲ Αἰγύπτου ἀπὸ Θῶνοϲ βαϲιλέωϲ τοῦ ξενίϲαντοϲ τὸν Μενέλαον. κεῖται δὲ κατὰ τὸ ϲτόμα τὸ Κανωβικόν. Cαῦνιϲ πόλιϲ Ἀραβίαϲ, μῆνιϲ, ἶνιϲ, ἦνιϲ, νῆνιϲ ἡ νεᾶνιϲ. τὸ μέντοι φωνίϲ ὑποκοριϲτικόν ἐϲτι. τούτῳ δὲ

---

l. 1 canonem finxi propter μέρμιϲ Theogn. 47, 20, θέμιϲ Herod. ap. Eustath. 1618, 29, Χάρμιϲ et Χέμμιϲ St. B. l. 6 πυραμίϲ explevi ex St. B. l. 9 Ἄρτεμιϲ explevi ex Mon. 8, 18: οὐδὲν εἰϲ μιϲ λῆγον θηλυκὸν ὑπὲρ δύο ϲυλλαβὰϲ βαρυνόμενον τῷ ε̄ θέλει παραλήγεϲθαι· μονάζει ἄρα τὸ Ἄρτεμιϲ κατὰ τὴν πρὸ τέλουϲ ϲυλλαβήν κτλ. l. 11 Θύαμιϲ usque ad Ἄξουμιϲ l. 14 ex St. B. l. 15 Cαλαμίϲ ex St. B. explevi καὶ τὸ δύναμιϲ usque ad finem ipse addidi. l. 21 pro Κέρνιϲ A, Κρίνιϲ BC. Thes. coll. Schol. Hom. A 39 scribit Κρίνιϲ, sed quum requiratur appellativum, malui cum Schmidt ad h. l. et ad Hes. κυνάγχη scribere κύνιϲ (vel χύνιϲ) ἡ χείρ, τὰ δὲ κύρια κτλ. propter nomina a St. B. relata adieci.

l. 28 pro ὀρθῶνιϲ librorum Schmidt. probabiliter ὄρνιϲ Θῶνιϲ, ὄρνιϲ est etiam ap. Theogn. 47, 15, Dichr. 299. Θῶνιϲ explevi ex St. B., ex quo etiam Cαῦνιϲ adieci. l. 30 pro νῖνιϲ librorum Mein. Exercitt. phil. in Athen. II 43 et Schmidt. ad h. l. νῆνιϲ, scripsi ἶνιϲ et addidi ἦνιϲ νῆνιϲ ex An. Par., quem locum statim proferam. Cum φωνίϲ coniungi potest λυχνίϲ, de quo Eustath. ad Dionys. 327 τὸ λυχνίϲ τινὲϲ καὶ βαρύνουϲι καὶ ἀρϲενικὸν εἶναι λέγουϲιν ὄνομα, γράφοντεϲ λύχνιϲ. Verba τούτῳ δὲ ὁμοίωϲ ipse finxi Stephani vestigia secutus. — Hic cum

ὁμοίως ὀξύνονται καὶ Ῥηνίς ἡ Ῥήνη νῆσος μικρὰ πλησίον Δήλου καὶ Κρηνίδες πόλις Μακεδονίας, ἃς Φίλιππος μετωνόμασε Φιλίππους, καὶ Κρανίδες συνοικία πρὸς τῷ Πόντῳ· Παρθένιος ἐν Ἀνθίππῃ. τὸ δὲ Θυνίς ἐθνικὸν ὀξύνεται ὡς τὸ Βιθυνίς.

Τὰ εἰς νις θηλυκὰ διφθόγγῳ παραληγόμενα ὀξύνεται, μαινίς, δαυνίς, ἐπιγουνίς, θεραπαινίς, λεαινίς. Κιδαινίς. οὕτως ὠνομάζετο Ἐλαία πόλις τῆς Ἀσίας Αἰολική. Μελιγουνίς μία τῶν Αἰόλου νήσων ἡ καὶ Λιπάρα. Καλλίμαχος ἐν τῷ Ἀρτέμιδος ὕμνῳ (v. 48). τὸ μέντοι εὖνις βαρύνεται καὶ βοῦνις καὶ χλοῦνις καὶ Κύραυνις νῆσος κατὰ τοὺς Γύζαντας τοὺς ἐν Λιβύῃ, ὡς Ἡρόδοτος τετάρτῃ (c. 195).

Τὰ εἰς ανις θηλυκὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, Ὠκεανίς, Τιτανίς, στεφανίς· ἔστι δὲ καὶ πόλις Μαριανδυνῶν. Ἑκαταῖος Ἀσίᾳ. Ἀνθανίς. οὕτως ἐκαλεῖτο ἡ Τροιζήν πόλις Πελοποννήσου. ῥαφανίς. Καρβανίς, Καρμανίς, Ἀτιντανίς, Αἰνιανίς, Ἀκαρνανίς, Ἀλβανίς λίμνη, Δυμανίς «στέλλεο νῦν ἔτι τῆλε Δυμανίδος ἠπείροιο». Βρεττανίδες νῆσοι ἐν τῷ Ὠκεανῷ· καὶ ἄλλοι οὕτως διὰ τοῦ π Πρετανίδες νῆσοι, ὡς Πτολεμαῖος. Ἰστριανίς. Καμπανίς. Ὑρκανίς, ἐξ οὗ τὸ «εἰς Ὑρκανίδα λίμνην». τὸ δὲ νεᾶνις προπερισπᾶται καὶ τὸ Ἄδανις καὶ Θήβανις θηλυκὸν τὸν τόνον Αἰολίδος ἔσχεν. ἐπίσταμαι δὲ ὅτι καὶ ἀρσενικόν ἐστιν. οὕτως δὲ ἄνεμος καλεῖται ἀπὸ Θήβης πόλεως πνέων τῆς Ἠετίωνος τοῦ πατρὸς Ἀνδρομάχης. ὁμοίως καὶ Βούρχανις νῆσος ἐν τῇ Κελτικῇ, ὡς Στράβων (p. 291) προπαροξύνεται. τὸ δὲ Ὕπανις ποταμὸς καὶ πόλις τοῦ Πόντου καὶ Μαιώτιδος λίμνης ἐστὶν ἀρσενικόν. Ἀλέξανδρος δ' ὁ πολυίστωρ φησὶν ὅτι ὁ Ὕπανις διχῇ σχιζόμενος τὸ μὲν ἓν μέρος εἰς τὴν Μαιῶτιν λίμνην βάλλει, τὸ δ' ἕτερον εἰς τὸν Πόντον. Ἡρόδοτος δ' ἐν τετάρτῳ (c. 77. 79) καὶ κρήνην τινὰ πικρὰν εἰς αὐτὸν ἐγχεῖσθαι καὶ ἄποτον ποιεῖν τὸν ποταμόν.

Τὰ εἰς ενις καὶ ονις ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εὐμενίς, εὐγενίς, Λυκαονίς, Ἀμαζονίς, Ἀθμονίς, Αὐσονίς ἡ ὕστερον Ἰταλία, Ἀντιγονίς φυλὴ τῆς Ἀττικῆς ἀπ' Ἀντιγόνου, Ἰαονίς, Βιστονίς, ἐκτέταται δὲ καὶ λέγεται Βιστωνίς διὰ τοῦ ω ποιητικῶς. Ἑρμιονίς, Λαιστρυγονίς, Μακεδονίς, Στρυμονίς, Φαρκηδονίς, Χαλκηδονίς. Στράβων δωδεκάτῃ (p. 541) «καλεῖται δὲ τὰ ἀριστερὰ τοῦ Πόντου Θρᾳκικά, τὰ δ' ἐν δεξιᾷ Χαλκηδονίς». Μῃονίς· οὕτως ἐκαλεῖτο ἡ Κύπρος. Χαονίς.

---

priore canone in unum coniunctus est in Anecd. Paris. III 296, 23 τὰ εἰς νις δισύλλαβα ἔχοντα πρὸ τέλους ἓν φωνῆεν μακρὸν ἢ ἐκτεινόμενον βαρύνεσθαι θέλει, εἰ μὴ ὑποκοριστικῶς τετυπωμένα ἢ ἐθνικὰ οἷον Θῶνις, Τάνις, εἰσὶ δὲ πόλεις Αἰγύπτου· ἦνις. νῆνις ἡ νεᾶνις. πρόσκειται «εἰ μὴ ὑποκοριστικῶς εἴη τετυπωμένα» διὰ τοῦ φωνίς ἀντὶ τοῦ φωνή· ἐθνικὸν δὲ διὰ τὸ Θυνίς, παρὰ γὰρ τὸ Θυνός ἐγένετο, ὡς παρὰ τὸ Λοκρός Λοκρίς. l. 6 Κιδαινίς — Μελιγουνίς ex St. B. addidi, l. 9 Κύραυνις ex eod. l. 12 στεφανίς ex St. B., unde reliqua Ἀνθανίς — Ὑρκανίς. l. 19 pro Arcadii verbis: καὶ τὸ Ἄδανις προπαροξύνεται καὶ τὸ Θήβανις posui Herodiani verba ap. St. B. 25, 9 Ἡρωδιανὸς ἐν τετάρτῃ τῆς καθόλου «τὸ Ἄδανις» κτλ. l. 22, Βούρχανις, quod ap. Strabonem Βυρχανίς scriptum est, et Ὕπανις ex St. B. adieci. l. 29 vocabula inde ab Ἀθμονίς usque ad

* Τὰ εἰς ηνις καὶ ωνις ὑπὲρ δύο συλλαβὰς παρώνυμα ὀξύνεται, Ἀραφηνίς, Ἑλληνίς, Παλληνίς, Γερηνίς, Κυζικηνίς, Μεσσηνίς, Μυκηνίς, Οἰζηνίς· οὕτως ἐκαλεῖτο Τραπεζοῦς πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ, Προσεληνίς, Πυληνίς, Τιβαρηνίς, Τροιζηνίς. Αὐξωνίς, Ἀσκαλωνίς, Αὐσωνίς, Λευκωνίς. οὕτως ἐλέγετο ἡ λίμνη Κωπαΐς. Βαβυλωνίς, Ἁλωνίς νῆσος καὶ πόλις Μασσαλίας ὡς Ἀρτεμίδωρος. Γιγωνίς. οὕτως Ἀρτεμίδωρος ὁ Ἐφέσιος Γιγωνίαν ἄκραν φησίν. Μυτωνίς· οὕτω καλεῖ Λέσβον Καλλίμαχος ἐν τετάρτῳ, Παρθένιος δὲ Μυτωνίδας τὰς Λεσβικάς φησι. Δωδωνίς. Ἀπολλώνιος «στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ (Argon. I 527, IV 583). καὶ Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι «τὰς θεσπιῳδοὺς ἱερίας Δωδωνίδας». Ἠδωνίς· οὕτως Ἀριστοτέλης φησὶν Ἄντανδρον πόλιν ὠνομάσθαι διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι. Ἰτωνίς, Ἰωνίς, Κυδωνίς, Κραννωνίς, Καυκωνίς· οὕτω Δύμην πόλιν Ἀντίμαχος καλεῖ ἀπὸ Καύκωνος ποταμοῦ ὡς τὰς Θήβας Διρκαίας. Μαρωνίς, Σιδωνίς, Σιρβωνὶς λίμνη πλησίον Κασίου, ἣ καὶ Σίρβων, Σκιρωνὶς πέτρα, Τριτωνὶς λίμνη. Φρικωνίς, Χαιρωνίς. τὸ δὲ Πυῆνις πόλις Κόλχων καὶ Ἄθηνις καὶ Ἄδωνις καὶ τὸ ὄνωνις εἶδος ἀκάνθης βαρύνονται, οὐ γὰρ παρώνυμα.

* Τὰ εἰς ινις καὶ υνις ὑπερδισύλλαβα ὀξύνεται, Μαντινίς, Σολουντινίς, Ἀργυννὶς ἡ Ἀφροδίτη. λέγεται καὶ Ἀργουνίς. Βιθυνίς, Ἑρκυνίς, Μαριανδυνίς. τὸ δὲ Ἄσδυνις βαρύνεται. ἔστι δὲ νῆσος κατὰ τὴν Μοίριδος λίμνην. Εὔδοξος δευτέρῳ «κατελαμβάνοντο ἐν Ἀσδύνει τῇ νήσῳ».

* Τὰ εἰς νις ὑπερδισύλλαβα συμφώνῳ παραληγόμενα ὀξύνεται, Ἀβαρνὶς πόλις καὶ χώρα καὶ ἄκρα τῆς Παριανῆς. Ἑκαταῖος δ' ὁ Μιλήσιος ἐν Ἀσίας περιηγήσει Λαμψάκου ἄκραν εἶναί φησιν. Ἔφορος δ' ἐν πέμπτῃ λέγει κληθῆναι αὐτὴν ἀπὸ τῆς ἐν Φωκαΐδι Ἀβαρνίδος ὑπὸ Φωκέων τὴν Λάμψακον κτιζόντων. Ἀπολλώνιος «Περκώτην δ' ἐπὶ τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν ἠϊόνα (Argon. I 932). τοῦτο δὲ Σοφοκλῆς ὑπομνηματίζων ἱστορεῖ τὴν Ἀφροδίτην ἄμορφον ἐν Λαμψάκῳ τεκοῦσαν τὸν Πρίαπον ἀπαρνήσασθαι καὶ τὴν χώραν Ἀπαρνίδα καλέσαι, ἣ κατὰ παραφθορὰν καὶ Ἀβαρνὶς καλεῖται. εὕρηται δὲ καὶ διὰ τοῦ π, ὡς παρὰ Ἀρτεμιδώρῳ τῷ γεωγράφῳ. λέγεται δὲ καὶ Ἄβαρνος.

---

finem sunt ex St. B. l. 1 hunc canonem composui ex St. B. et Choer. 404, 30, ex quo sumpsi Ἄδωνις et Ἄθηνις, quae ibi diserte proparoxytona esse dicuntur; falso apud eum p. 56, 15 Ἀθῆνις scribitur, quod recte Steph. exhibet Ἄθηνις p. 241, 16; ὄνωνις a Choer. 354, 31 inter barytona feminina in νις cum μῆνις et νεᾶνις refertur et ὀνῶνις scribitur ut etiam in E. M. 626, 35, sed recte in Ep. Hom. 283, 12 et in Epim. Cod. Coisl. 387 An. Par. III 296, 1 ὄνωνις, quod magis congruit cum Ἄδωνις. Πυῆνις cum hoc accentu scriptum est ap. St. B. s. v., eadem urbs post Τυῆνις ἀπὸ Τυηνίδος ποταμοῦ appellatur. l. 21 canon constitutus est ex St. B. l. 26 etiam hic canon ex St. B. compositus est, apud quem p. 4, 5 Ἄβαρνος — Ἡρωδιανὸς δὲ ἐν τετάρτῃ φησίν, ὅτι Ἀβαρνὶς λέγεται, sed non dubito, quin Herodianus addiderit exstare etiam formam Ἄβαρνος, quam habet etiam Hesych.

Ἀταρνίς, Καλυδνίς. τὸ δὲ Κάβαρνις βαρύνεται. οὕτω δὲ Πάρον Νικάνωρ κεκλῆσθαί φησιν ἀπὸ Καβάρνου τοῦ μηνύσαντος τὴν ἁρπαγὴν τῇ Δήμητρι τῆς θυγατρός. καὶ τὸ Θέογνις βαρύνεται.

Τὰ εἰς ξις καὶ ψις ἀπὸ μελλόντων ἐσχηματισμένα βαρύνεται, ἕξω ἕξις, λέξω λέξις, ψύξω ψῦξις, σκήψω σκῆψις· ἔστι δὲ καὶ πόλις Τρωϊκή· Ξενοφῶν Ἑλληνικῶν τρίτῳ (c. 1, 25)· ἐκλήθη δὲ ἀπὸ τοῦ σκήψασθαι τὴν Ῥέαν ἀντὶ τοῦ παιδὸς λίθον τεκεῖν. σεσημείωται ἁψίς ὀξυνόμενον. τὰ μέντοι παρώνυμα ὀξύνεται, ἅμαξα ἁμαξίς, πύξος πυξίς· ἔστι καὶ πόλις ἐν μεσογαίᾳ τῶν Οἰνωτρῶν. Ἑκαταῖος Εὐρώπῃ. ὄξος ὀξίς.

Τὰ εἰς πις διβράχεα ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα ὀξύνεται, πραπίς, κοπίς, λεπίς. σεσημείωται τὸ τρόπις. ἔστι καὶ Τρόπις νῆσος... Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων. καὶ Νάπις κώμη Σκυθίας. τὸ δὲ ὄπις ἀπὸ φωνήεντος ἄρχεται.

* Ἔτι τὰ εἰς πις φύσει μακρᾷ παραληγόμενα ὀξύνεται, οἷον ῥιπίς, ὅπερ ἡ μὲν κοινὴ συνήθεια ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτος συστέλλει, Ἀπίς ἡ Ἀπία ὡς Ἐρατοσθένης ἐν Ἑρμῇ. τὸ δὲ Ἆπις υἱὸς Φορωνέως βαρύνεται, Ῥιανὸς ἐν Ἀχαϊκῶν δευτέρῳ

ὑμετέρη τοι, τέκνα, Φορωνέος Ἰναχίδαο
ἀρχῆθεν γενεή· τοῦ δὲ κλυτὸς ἐκγένετ' Ἆπις,
ὅς ῥ' Ἀπίην ἐφάτιξε καὶ ἀνέρας Ἀπιδανῆας.

Τὰ εἰς πις δισύλλαβα θέσει μακρᾷ παραληγόμενα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχοιτο, βαρύνεται μὴ ὄντα ἐθνικά, εἰ δὲ ἀπὸ φωνήεντος, ὀξύνεται μὴ ὄντα ὑποκοριστικά. βαρύνεται δὲ ταῦτα τράμπις· ἔστι δὲ βαρβαρικὴ ναῦς. σάλπις, ὄλπις ὑποκοριστικόν, κάλπις, θέσπις — τὸ δὲ Θεσπίς ἐθνικόν — πόρπις. ὀξύνεται δὲ ταῦτα μὴ διὰ φωνήεντος κλινόμενα, ἐλπίς, ἀσπίς, ἔστι καὶ πόλις Λιβύης, ὡς Φίλων. ἔστι καὶ νῆσος πρὸς ταῖς Κυκλάσιν. ἔστι καὶ Μακεδονίας, κτίσμα Φιλίππου τοῦ πατρὸς Περσέως τὰς πόλεις ὀνομάσαντος ἀπὸ τῆς αὐτοῦ πανοπλίας Ἀσπίδα Περικεφαλαίαν. ἔστι καὶ νῆσος πρὸς τῇ Λυκίᾳ. ἔστι καὶ νῆσος ἄλλη μεταξὺ Λεβέδου καὶ Τέω, σταδίων ὡς δυοῖν, πρὸς μέν τινων Ἀρκόνησος, πρὸς δέ τινων Ἀσπίς ὀνομαζομένη. ἔστι καὶ νῆσος ἄλλη Ψύρων ἐγγύς. ἔστι καὶ ἄλλη, ὡς Κλέων ὁ Συρακούσιος ἐν τῷ περὶ λιμένων, ἄδενδρος οὖσα. ἔστι καὶ πέραν Πίσης, ὡς Πανύασις

---

l. 3 Θέογνις addidi ex Choer. 56, 14 et 404, 32. l. 4 καὶ ψις addidi propter ἁψίς. l. 5 σκήψω σκῆψις addidi propter Σκῆψις St. B., unde etiam Πυξίς πόλις. l. 13 Τρόπις ex St. B., item Νάπις. l. 15 hunc canonem ipse finxi propter ῥιπίς Dichr. 299, 12 et Ἀπίς St. B. l. 23 ἐθνικά posui pro ὑποκοριστικά propter Θεσπίς et l. 24 post ὀξύνεται addidi μὴ ὄντα ὑποκοριστικά — τράμπις explevi ex Epim. Hom. 198, 22. Pro σάλπις πόλις Goettlingius proposuit Σάλπις πόλις, Schmidt. θλάσπις pro σάλπις et ad Hesych. σέλπιδες· σχεδίαι — σέλπις; equidem opinor σάλπις alteram formam piscis σάλπη esse, qui etiam σάλπης dicitur. Pro πόλις scripsi ὄλπις addens ὑποκοριστικόν. Θεσπίς inserui ex St. B. 310, 18. l. 26 pro μὴ πληθυντικῶς λεγόμενα, quibus verbis Goettlingius substituere voluit μὴ ἀπὸ συμφώνου ἀρχόμενα, posui μὴ διὰ φωνήεντος κλινό-

ἐν Ἡρακλείας ἑνδεκάτῃ. ἐμπίς εἶδος κώνωπος. τὸ δὲ Ἄλπις βαρύνεται.

* Ἔτι τὰ εἰς πις ὑπερδισύλλαβα θέσει μακρᾷ παραληγόμενα βαρύνεται οἷον ἴασπις.

* Τὰ εἰς απις πολυσύλλαβα ὀξύνεται, Ἰαπίς χαράδρα Ἀττικὴ εἰς Μέγαρα ἀπάγουσα ὡς Καλλίμαχος Ἑκάλῃ. Πριαπίς χώρα. τὸ δὲ Σάραπις νῆσος ἐν Ἰνδικῷ κόλπῳ βαρύνεται.

Τὰ διὰ τοῦ οπις πολυσύλλαβα μὴ ἔννοιαν ἔχοντα συνθέσεως ὀξύνεται, Κεκροπίς φυλή. ἔστι καὶ χώρα Θρᾴκης· ἔστι καὶ δῆμος Θεσσαλονίκης. Δρυοπίς, Αἰθιοπίς. Εὐριπίδης ἐν Ἀρχελάῳ «Αἰθιοπίδος γῆς ἡνίκ' ἂν τακῇ χιών». Μεροπίς. οὕτως ἐκαλεῖτο ἡ Κῶς πόλις ἀπὸ γηγενοῦς Μέροπος. Ἰοπίς παρὰ Χάρακι. τὸ φύλοπις δὲ προπαροξύνεται.

* Τὰ διὰ τοῦ ωπις πολυσύλλαβα ὀξύνεται, Σινωπίς, Προσωπίς πόλις Αἰγύπτου. λέγεται καὶ Προσωπῖτις. Ἰωπίς Λακωνικὴ χώρα. Ἀσωπίς Κερκύρας μήτηρ. Ἀσωπίδας δὲ ἔνιοι τὰς Θήβας φασίν.

Τὰ εἰς ρις δισύλλαβα ὑποκοριστικὰ ἢ πατρωνυμικῆς ἐννοίας ἐχόμενα ὀξύνεται, Τευκρίς ἡ Τροία, Δωρίς ἡ περὶ τὸν Παρνασσὸν καὶ ἡ ὕστερον Ἱστιαιῶτις, ἧς μέμνηται Χάραξ ἐν Ζ' τῇδε γράφων περὶ Θεσσαλοῦ τοῦ Αἰάτου τοῦ νικήσαντος ἐν Ἄρνῃ Βοιωτούς «ὁ δὲ Θεσσαλὸς οὐδὲ τὴν τετάρτην μοῖραν τῆς ἐπωνυμίας μετέβαλεν, ἀλλ' Ἱστιαιῶτιν αὐτὴν ὡς πρὶν καλεῖσθαι εἴασε. κεῖται δὲ πρὸς δυσμῶν τῆς Πίνδου. Δῶρος δὲ αὐτὴν ὁ Ἕλληνος εἰλήχει τὰ πρῶτα καὶ Δωρὶς ἀπ' ἐκείνου ἐκαλεῖτο πρότερον, ὕστερον δὲ Ἱστιαιῶτις μετωνομάσθη». Νευρίς χώρα Σαρματίας. πατρίς, χειρίς, καρίς παρὰ τὸ κάρη καὶ Καρίς ἀπὸ τῆς Καρός γενικῆς. Καρίς δὲ ἐλέγετο ἡ Κῶς, ὡς Ἑλλάνικος. ἔστι δὲ καὶ Φρυγίας πόλις Καρίς καὶ Καρίδες.

* Τὰ εἰς ρις δισύλλαβα ἑνὶ φωνήεντι ἢ διφθόγγῳ παραληγόμενα

μενα. — ἐμπίς explevi ex E. M. 157, 22. Praeter locos iam citatos hic canon similiter conceptus occurrit in Ep. Hom. 31, 14, Choer. Ep. in Psalm. 150, 29, An. Ox. II 342, 19. Hic de declinatu nominum puro vel impuro sermonem fuisse innuunt Choer. 353, 20, E. M. 676, 32. l. 3 hunc canonem feci propter ἴασπις ap. Theogn. 47, 14. l. 5 canon ex St. B. constitutus est. l. 9 Κεκροπίς explevi ex St. B. qui etiam Δρυοπίς habet, Αἰθιοπίς explevi ex St. B. Μεροπίς et Ἰοπίς ex eodem adieci. l. 13 canonem finxi ex St. B., apud quem Ἰωπίς ὀξυτόνως Λακωνικὴ χώρα. Ἡρωδιανὸς τετάρτῃ. l. 16 πατρωνυμικῆς addidi secutus Arcad. 29, 1. Τευκρίς explevi ex St. B., ex quo omnia usque ad Νευρίς apposui; πατρίς l. 24 accessit ex St. B. 512, 20. καρίς ex Dichr. 299, 12 appositis verbis παρὰ τὸ κάρη propter sequens Καρίς, quod est ex St. B. l. 27 hunc canonem finxi ex orthographico in E. M. 476, 46 τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα βαρύτονα ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι οἷον χαίρω χάρις, εἴρω ἔρις καὶ Ἶρις, δαίω δῆρις, τὸ δὲ κουρίς, ὃ σημαίνει τὸ ἐργαλεῖον τοῦ κουρέως, ὀξύνεται. τὸ δὲ Χαῖρις Χαίριδος ὄνομα κύριον ἀρσενικόν ἐστι. τὸ θοῦρις ἀπὸ τοῦ θοῦρος γίνεται, qui locus ex Choer. Orth. 221, 7 depromptus, sed ut multi alii huius libri melius servatus est. κῖρις et ξῖρις ex Eustath. 391, 33 addidi, qui ex eodem fonte hausit, utrumque vocabulum reperitur etiam in Choer. Orth. 228, 7 et 242, 10; ap. Choer. et Eust. memoratur etiam Σῖρις πόλις, quod nomen ut Κύρις et Τύρις ex St. B. desumpsi; sed dubitavi ex Eustath. promere accentus distinctionem vocabuli Ἶρις ἰρίς: ἰστέον ὡς Ἶρις μὲν ἡ κατὰ μῦθον καὶ ἡ περὶ τὰ ἔνυδρα νέφη βαρυτονεῖται, ἰρίς δὲ μυρεψικὸν εἶδος κατὰ παλαιὰν παράδοσιν

βαρύνεται, Πάρις, Βάρις πόλις. λέγεται βάρις ἡ οἰκία, ὡς Ποσείδιππος, καὶ ἡ συνοικία ὡς Ἔφορος, χάρις, Φᾶρις πόλις τῆς Λακωνικῆς. Ὅμηρος «Φᾶρίν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην» (Il. B 582). ἔρις, δῆρις, νῆρις, Ἶρις, κῖρις εἶδος ὀρνέου, ξῖρις φυτὸν ἀρωματικόν, Σῖρις πόλις Ἰταλίας πλησίον τοῦ Μεταποντίου καὶ ποταμός· ἔστι καὶ Σῖρις ἐν Παιονίᾳ. καὶ ὁ Νεῖλος μετὰ Συήνην Σῖρις ὠνόμασται. Κύρις μητρόπολις Σαβίνων. Τύρις πόλις καὶ ποταμὸς ἐν Εὐξείνῳ πόντῳ. λέγεται καὶ Τύρας. Χαῖρις, Μοῖρις, ἀφ' οὗ ἡ Μοίριδος λίμνη, θοῦρις, Κοῦρις ὁ Ῥωμαῖος. ὀξύνονται δὲ Νηρίς πόλις Μεσσήνης. Νικόλαος τετάρτῳ, Ὑρίς ἄκρα. Ἀρτεμίδωρος ἐν ἑνδεκάτῳ Γεωγραφουμένων, μοιρίς, κουρίς τὸ ἐργαλεῖον τοῦ κουρέως.

Τὰ εἰς κρις κύρια μὲν ὄντα βαρύνεται, Μάκρις· οὕτως ἐκαλεῖτο Εὔβοια καὶ Ἑλλένη νῆσος τῆς Ἀττικῆς καὶ Ἴκαρος νῆσος μία τῶν Κυκλάδων διὰ τὸ μῆκος. Πρόκρις, Ἄκρις. τὰ δὲ μὴ οὕτως, ὀξύνεται, ἀκρίς, Λοκρίς.

Τὰ εἰς ρις μετ' ἐπιπλοκῆς μέσου ἢ δασέος ἢ τοῦ π βαρύνεται ῡ ἢ ῑ παραληγόμενα· εἰ δὲ μὴ οὕτως, ὀξύνεται, χωρὶς εἰ μὴ σύμφωνον εἴη δεδιπλασιασμένον, ὕβρις, Κύπρις. Θύμβρις ποταμὸς Ῥώμης, ὃς καὶ Τίβερις. ἔστι καὶ Θύμβρις ποταμὸς Τρῳάδος, ἀφ' οὗ Ἀπόλλωνος Θυμβραίου ἱερόν, ἐν ᾧ ἐτοξεύθη Ἀχιλλεύς. Τίγρις ποταμός. λέγεται δὲ καὶ Τίγρης. ὀξύνεται δὲ τὸ νεβρίς. οὕτω δὲ λέγεται καὶ Ἁλώνη νῆσος πρὸς τῇ Κυζίκῳ. κεδρίς. τὸ δὲ ἄγγρις δεδιπλασίασται.

* Τὰ εἰς τρις δισύλλαβα παρώνυμα ὀξύνεται οἷον πατρίς, τὰ δὲ μὴ οὕτως βαρύνεται οἷον λάτρις.

Τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ ᾱ βαρύνεται, κίθαρις, εὔμαρις, Σύβαρις πόλις Ἰταλίας καὶ ποταμός. κάππαρις. Ἵλαρις πόλις Λυκίας, Μάσαρις ὁ Διόνυσος παρὰ Καρσίν, εἰ μὴ εἴη ὡς ὑποκοριστικὰ ἢ πατρωνυμικὰ ἢ ἐν τῇ τρίτῃ τὸ ε ἔχοντα· τότε γὰρ ὀξύνεται, Μεγαρίς, βλεφαρίς, θεαρίς ἡ θεωρίς, ἐαρίς. Γαργαρίς, Γαδαρίς, Ἰσμαρίς λίμνη. Ἡρόδοτος Ζ' (c. 199).

ὀξύνεται πρὸς ἀντιδιαστολήν Lobeckii iudicium secutus Proll. 66. l. 1 Πάρις ex Theogn. 47, 14. Βάρις St. B. l. 2 Φᾶρις St. B., l. 4 ἔρις Theogn. 47, 15. νῆρις ex Nicand. Ther. 531 propter oxytonon Νηρίς ap. St. B., l. 8 Μοῖρις St. B., Ὑρίς St. B., l. 11 μοιρίς propter barytonum Μοῖρις ex Nicand. Alexiph. 329. l. 13 Μάκρις explevi ex St. B. — de ἄκρις ἀκρίς E. M. 52, 33 ἄκρις βαρύτονον τὸ ἀκρωτήριον. εἴρηται παρωνύμως παρὰ τὸ ἄκρα ἄκρις ὡς χαρά χάρις. ἀκρίς ὀξυτόνως τὸ ζῷον. Ep. Hom. 47, 31 Ἄκρις πρὸς ἀντιδιαστολὴν τοῦ ζῴου. l. 17 ῡ ἢ ῑ παραληγόμενα addidi, nam quod Schmidtius proponit βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη non aptum est, quum Κύπρις paronymum sit et gravetur. l. 19 Θύμβρις Τίγρις addidi ex St. B. Νεβρίς proprium ex eodem. l. 24 hunc canonem composui propter λάτρις Dichr. 299 et πατρίς. l. 27 Σύβαρις explevi ex St. B., Ἵλαρις addidi ex eodem, ubi additur ὡς Πολύχαρμος ἐν Λυκιακοῖς, item Μάσαρις ex p. 436, 11. — l. 30 pro θεωρίς scripsi Doricam formam θεαρίς cum interpretamento ἡ θεωρίς. — Γαργαρίς usque ad finem sunt ex St. B.

Τὰ εἰϲ ερῖϲ ὑπὲρ δύο ϲυλλαβὰϲ θηλυκὰ ὀξύνεται, Ἀϲτερίϲ πόλιϲ Cυρίαϲ καὶ νηϲίον μεταξὺ Κεφαλληνίαϲ καὶ Ἰθάκηϲ. Ὅμηροϲ (Od. δ 844)

ἔϲτι δέ τιϲ νῆϲοϲ μέϲϲῃ ἁλὶ πετρήεϲϲα
μεϲϲηγὺϲ Ἰθάκηϲ τε Cάμοιό τε παιπαλοέϲϲηϲ,
Ἀϲτερίϲ, οὐ μεγάλη.

λέγεται δὲ καὶ Ἀϲτερία. νυκτερίϲ. Ἐλευθερίϲ πόλιϲ Βοιωτίαϲ Ὠρωποῦ πληϲίον Κότου καὶ Ἀΐκλου κτίϲμα. Θεόπομποϲ μ΄. Ἑϲπερίϲ ἢ Εὐεϲπερίϲ πόλιϲ Λιβύηϲ, Φιλωτερίϲ πόλιϲ περὶ τὴν Τρωγλοδυτικήν, ἡ καὶ Φιλωτέρα. Τὸ δὲ Πάϲτεριϲ πόλιϲ Αἰγυπτία καὶ Κελένδεριϲ βαρύνεται, ὡϲ καὶ Τίβεριϲ ποταμὸϲ Ἰταλίαϲ, ἔνθα Ῥώμη καὶ ἡ τῶν Λατίνων ἐϲτὶ χώρα, ὡϲ Ἀπολλόδωροϲ.

* Ἔτι τὰ εἰϲ ορῖϲ ὑπερδιϲύλλαβα θηλυκὰ ὀξύνεται, Χρυϲαορίϲ πόλιϲ Καρίαϲ ἡ ὕϲτερον Ἰδριάϲ. Ἀπολλώνιοϲ ἐν ἑβδόμῳ Καρικῶν «. . . καὶ πρώτη πόλιϲ τῶν ὑπὸ Λυκίων κτιϲθειϲῶν». Ἐπαφρόδιτοϲ δὲ τὴν Καρίαν πᾶϲαν Χρυϲαορίδα λέγεϲθαι. Νικατορίϲ πόλιϲ Cυρίαϲ κτίϲμα Cελεύκου τοῦ Νικάτοροϲ· τὰ δὲ ἀρϲενικὰ βαρύνεται οἷον Ἄοριϲ Ἄραντοϲ υἱόϲ.

Τὰ εἰϲ ῡρῐϲ μὴ κατὰ τροπὴν γινόμενα ὀξύνεται, ἁλμυρίϲ, πορφυρίϲ· οὕτω δὲ ἐκαλεῖτο καὶ Νίϲυροϲ μία τῶν Κυκλάδων ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων. ἀργυρίϲ, Ἰλλυρίϲ, Φιλυρίϲ, Ἀϲτυρίϲ ἡ Ἀθηνᾶ, Ἰδυρίϲ πόλιϲ Παμφυλίαϲ, ἢ καὶ Ἴδυροϲ. Κορκυρίϲ πόλιϲ Αἰγύπτου. τὸ δὲ Θάμυριϲ προπαροξύνεται καὶ Ὤγυριϲ νῆϲοϲ ἐν τῇ Ἐρυθρᾷ θαλάϲϲῃ. μέμνηται δὲ αὐτῆϲ Ἀλέξανδροϲ ἐν Ἀϲίᾳ λέγων

ἀγχιβαθὴϲ δ' ἄρα νῆϲοϲ ἁλὸϲ κατὰ βένθοϲ Ἐρυθρῆϲ
Ὤγυριϲ, ἔνθα τε τύμβοϲ ἁλὸϲ μεδέοντοϲ Ἐρύθρα
κέκληται.

καὶ Κάϲυριϲ νῆϲοϲ Λυκίαϲ. Ἀρτεμίδωροϲ. καὶ Τίβυριϲ πόλιϲ Ἰταλίαϲ. λέγεται καὶ Τίβυρα. Ἀρτεμίδωροϲ τετάρτῳ γεωγραφουμένων «ἔϲτι δ' ἐν μεϲογείῳ καὶ Τίβυρα πόλιϲ Ἑλληνὶϲ τὴν ἀρχὴν γεγονυῖα, ἀπέχουϲα ἀπὸ Ῥώμηϲ ϲταδίουϲ ρμζ΄». Νικάνωρ δ' ὁ Ἑρμείου Τίβουρα ταύτην καλεῖ. τὸ δὲ ἄγυριϲ καὶ πανήγυριϲ κατὰ τροπὴν ἐγένετο.

---

l. 1 Ἀϲτερίϲ explevi ex St. B. l. 6 Ἐλευθερίϲ usque ad Φιλωτερίϲ ex eodem addidi. l. 9 Πάϲτεριϲ ex St. B. explevi et Τίβεριϲ ex eodem apposui. l. 12 canonem finxi ex St. B., Ἄοριϲ sub Ἀραιθυρέα. l. 18 Πορφυρίϲ addidi ex St. B. l. 20 Φιλυρίϲ usque ad Κορκυρίϲ ex St. B., item Ὤγυριϲ, Κάϲυριϲ, Τίβυριϲ. De Ὤγυριϲ St. B. 706, 5 (Schol. ad Dionys. Eustath. ad Dionys. 607 cf. Mein. Anall. 376) ἰϲτέον ὅτι Ἡρωδιανὸϲ ἐν τῇ καθόλου βαρύνει τὸ Ὤγυριϲ φάϲκων τὰ εἰϲ ῡρῐϲ θηλυκὰ ὀξύνεϲθαι πλὴν τοῦ Ὤγυριϲ, πανήγυριϲ, Θάμυριϲ. Aegyptia nomina praeter Κορκυρίϲ, quod oxytonum est et Graecum habet characterem, ad canonem de his specialem reservavi. Ex hoc canone concludit Lob. Proll. 462 Herodianum scripsisse πλημμυρίϲ, de quo E. M. 676, 25, Favorin. 368, 28: πλημμυρίϲ ὀξύνεται. τὰ ἀπὸ βαρυτόνων ῥημάτων ὀξυτονεῖται, βαϲιλεύω βαϲιλίϲ, πλημμύρω πλημμυρίϲ, γράφω γραφίϲ, βέλω βολίϲ, quod Schol. ad Apoll. B 576 praefert — ἔϲτιν εὔλογον βαρύνεϲθαι αὐτὸ διὰ τὴν παρὰ Βακχυλίδῃ αἰτιατικὴν οἷον «πλήμμυριν πόντου φυγών». τὰ μὲν γὰρ ὀξυνόμενα τῶν εἰϲ ῐϲ θηλυκῶν μόνωϲ περιττοϲυλλάβωϲ κλίνεται κατὰ τὰϲ πλαγίουϲ πτώϲειϲ, ἀϲπίϲ ἀϲπίδοϲ ἀϲπίδα, καρίϲ καρίδοϲ καρίδα. τὰ δὲ βαρυνόμενα ἰϲοϲύλλαβον ἔχει τῇ εὐθείᾳ τὴν αἰτιατικὴν

* Τὰ εἰc ρις πολυcύλλαβα τῷ η ἢ τῷ ω ἢ τῇ ει διφθόγγῳ παραληγόμενα ὀξύνεται, Φαληρίc, Ἰβηρίc «Ἑλληνίc, οὐκ Ἰβηρίc». Μένανδρος Ἀcπίδι. Καφηρίc, Καcωρίc, θεωρίc, Καβειρίc. τὸ δὲ Ταπόcειρις πόλις Αἰγύπτου πληcίον Ἀλεξανδρείας βαρύνεται.

* Τὰ εἰc ρις ὑπὲρ δύο cυλλαβὰc διφθόγγῳ τῇ διὰ τοῦ υ παραληγόμενα ἅπαντα ὀξύνεται οἷον Ἐπιδαυρίc, Βαναυρίc. Βαναυρίδεc δέ εἰcι νῆcοι Τυρρηνικαὶ ἀπὸ Βαναύρου υἱοῦ Αἴαντοc, μολουρίc ἡ cιτοφάγοc ἀκρίc, κυνοcουρίc καὶ Κυνοcουρίc, Κυνουρίc. cεcημείωται δὲ τρία λάμπουρις ἡ ἀλώπηξ, Τόμουρις ὄνομα πόλεωc καὶ ἵππουρις.

Τὰ εἰc ρις ἔχοντα πρὸ τοῦ ρ ἕν τι τῶν ψιλῶν ὀξύνεται, παλαιcτρίc, αὐληcτρίc, ἐπακτρίc, Ἠλεκτρίc, Ἐρετρίc, Πανακρίc, Ἀντιπατρίc πόλις Ἰουδαίαc Ἡρώδου κτίcμα ἐπὶ Αὐγούcτου Καίcαροc. τὸ δὲ Ἄμαcτρις πόλις Παφλαγονίαc ἡ πρότερον Κρῶμνα — ἀπὸ γυναικὸc Περcίδοc, θυγατρὸc Ὀξυάθρου τοῦ ἀδελφοῦ Δαρείου, ἣ cυνῴκηcε Διονυcίῳ τῷ Ἡρακλείαc τυράννῳ. Δημοcθένηc δ' ἐξ Ἀμαζόνοc οὕτω λεγομένηc — καὶ Νώνακρις πόλις Ἀρκαδίαc. Ῥιανὸc ἐν Ἠλιακῶν πρώτῳ — βαρύνεται.

* Ἔτι τὰ εἰc ρις ἔχοντα πρὸ τοῦ ρ ἕν τι τῶν μέcων ὀξύνεται, Ἀλεξανδρίc, Ταναγρίc, Καλαβρίc. τὸ δὲ Λίηβρις πόλις Φοινίκων βαρύνεται.

Τὰ εἰc ρις Αἰγύπτια προπαροξύνεται, Βούcιρις πόλις Αἰγύπτου. «ἐν ταύτῃ Ἴcιοc μέγιcτον ἱερόν. ἵδρυται δ' ἐν μέcῳ τῆc Αἰγύπτου ἐν τῷ Δέλτα. Ἶcιc δ' ἐcτὶ κατὰ τὴν τῶν Ἑλλήνων γλῶccαν ἡ Δημήτηρ» (Herodot. II 59). ὡc δ' ἄλλοι, ἐκεῖ λέγεται θάψαι τὸν Ὄcιριν Ἶcιc ἐμβαλοῦcα εἰc ξυλίνην βοῦν, ὥcτε Βουcόcιριν εἶναι τὴν πόλιν. οἱ δ' ὅτι τοπάρχηc ἦν Βούcιριc ὑπὸ Ὀcίριδοc καταcταθείc. Ὄcιρις Αἰγυπτιcτὶ ὁ Διόνυcοc. Ταφόcιρις πόλις Αἰγύπτου, ἐν ᾗ λέγεται Ὄcιριc τεθάφθαι. καλάcιρις λινοῦc χιτὼν ἱερατικὸc καὶ μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ οἱ καὶ Ἑρμοτυμβιεῖc. Ἡρόδοτοc δευτέρῳ (c. 164) Ψένυρις κώμη. Τέντυρις πόλις Αἰγύπτου καθαρτικὴ τῶν κροκοδεί-

---

Θέτις Θέτιν, χάρις χάριτος χάριν. l. 1 hunc canonem ex St. B. finxi, θεωρίc ex Arc. 34, 7 huc referens. l. 5 hic canon sumptus est ex Ep. Cr. I 210, E. M. 474, 8, E. Gud. 284, 52, nam videtur Herodianeus, quamquam Eustath. 1571, 26 λαμπουρίc comparat cum πυρcουρίc tanquam oxytonum. cf. Lob. Proll. 460 seqq. et Schmidt. ad Hes. λάμπουριc. Addidi ex St. B. Ἐπιδαυρίc Βαναυρίc Κυνοcουρίc et Κυνουρίc. l. 12 αὐληcτρίc defendit Lob. Proll. 451, Mein. ad St. B. 146, 10 collato Theocrit. 2, 146 αὐλιcτρίc scribi vult. Ἐρετρίc usque ad finem adieci ex St. B. Caeterum canonem, qui de plurisyllabis agit, ex Arcad. 33, 21 huc traxi. l. 19 canonem ex exemplis Stephani B. finxi, s. v. Λίηβρις πόλις Φοινίκων ὡc Ἡρωδιανόc. l. 22 Βούcιριc explevi ex St. B. Ὄcιριc ex Eust. 391, 36 coll. E. M. 209, 25. Ταφόcιριc ex St. B. adieci, item Καλάcιριc, appellativum ex Eust. l. c. — l. 31 Ψένυριc explevi ex St. B., qui p. 374, 16 s. Κορκυρίc: Κορκυρίc πόλις Αἰγύπτου ὡc ἁλμυρίc. ἡ δὲ Ψένυριc Αἰγύπτου κώμη βαρύνεται. — Τέντυριc usque ad fin. ex St. B. omisi suspectum Πτίμυριc p. 224, 17 Δέλτα νῆcοc Αἰγύπτου κατ' Αἰγυπτίουc καλουμένη Πτίμυριc, pro quo Holsten. Πύραμιc scribi vult.

λων. λέγεται καὶ Τέντυρα ἡ πόλις, ὡς Ἀλέξανδρος ἐν τρίτῳ Αἰγυπτιακῶν. Ξενέφυρις κώμη Λιβύης πλησίον Ἀλεξανδρείας.

Τὰ εἰς σ̄ι̅ϲ̄ ἀπὸ μέλλοντος γινόμενα ἢ ἀπὸ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνονται, ποιήσω ποίησις, λύσω λύσις, κέκρισαι κρίσις, στάσις. ἔστι καὶ Στάσις πόλις Περσική. ἐπὶ πέτρης μεγάλης. τρῆσις καὶ Εὔτρησις κώμη Βοιωτίας. Ὅμηρος «Κῶπας Εὔτρησίν τε» (Il. B 502). ἐκλήθη δὲ οὕτως διὰ τὸ πολλαῖς αὐτὴν πρότερον χρήσασθαι ῥύμαις, ὡς Ἐπαφρόδιτος. ἄνυσις. ἐστὶ καὶ πόλις Αἰγύπτου Ἄνυσις. Τὰ μέντοι παρώνυμα χαίρουσι τῇ ὀξείᾳ, Χρύσης Χρυσίς, νῆσος νησίς. Κροῦσις ὁ Μυγδόνος υἱός, Κρουσίς μοῖρα τῆς Μυγδονίας. Στράβων ἑβδόμῃ. Βροῦσος Ἠμαθίου παῖς Βρουσίς μοῖρα Μακεδονίας. τινὲς γράφουσι διὰ τοῦ ῡ. Κρής καὶ ἀπὸ τῆς Κρητός γενικῆς Κρῆτις καὶ τροπῇ τοῦ τ̄ εἰς σ̄ Κρησίς. Κόρση δούλη βουκόλος Κορσίς νῆσος ἐν τῷ Τυρρηνικῷ πελάγει. Πισίδης Πισίς πόλις καὶ ὄρος Ἀρμενίας ἢ Σουσιανῆς. Ἀρκασίδης Ἀρκασίς. Γυμνησίς ἀπὸ Γύμνητος γενικῆς τροπῇ τοῦ τ̄ εἰς σ̄. Μαγνησίς παρὰ Παρθενίῳ. Ἀμνισίς νύμφαι Ἀμνισίδες, Ἀνθεμουσίς λίμνη Μαριανδυνῶν, ἣν Ἀπολλώνιος διαλύσας ἐν τοῖς Ἀργοναυτικοῖς (II 726) Ἀνθεμοεισίδα φησίν. Δαφνουσίς λίμνη πλησίον τοῦ Ὀλύμπου τοῦ Βιθυνοῦ, Μαυρουσίς, Μολοσσίς, Μυγισσίς, Ἰλισσίς «Μοῦσαι Ἰλισσίδες», Μυκαλησίς Μυκαλησσίς, Κανδασίς, Ὀδρυσίς, Ἁλικαρνασσίς, Παρνασσίς, Τευμησσίς, Παρρασίς «δέξονται Φολόης οὔρεα Παρρασίδος». Τελμισσίς, Πειρασίς, Ὑπερησίς παρ' Ἡσιόδῳ, Ῥαμνουσίς. σεσημείωται τὸ ἄσις ὁ ῥύπος ἀπὸ τοῦ ἄση γεγονός. τὸ δὲ Ἀσίς ἡ Ἀσιᾶτις ὀξύνεται.

* Τὰ εἰς σ̄ι̅ϲ̄ κύρια βαρύνεται, Κρεῦσις πόλις Βοιωτίας, κειμένη καταντικρὺ τῆς Μεγαρίδος, Κροῦσις, Τῖσις ὁ κτιστὴς καὶ ἡ πόλις Αἰγύπτου, Ἶσις, Φᾶσις πόλις τῆς Αἴας πρὸς τῷ Φάσιδι ποταμῷ ἐν Κόλχοις. ἐκτίσθη δὲ ὑπὸ Μιλησίων. ἔστι καὶ ἄλλος ποταμὸς Φᾶσις ἐν τῇ Ταπροβάνῃ. Αὔασις πόλις Αἰγύπτου· ταύτην δὲ καὶ Ὄασιν καὶ Ὕασιν καλοῦσιν. «ἔστι δ' ἐοικυῖα παρδαλέᾳ· κατάστικτος γάρ ἐστιν ἐν ἀνύδρῳ γῇ καὶ ἐρήμῳ τὰς οἰκήσεις ἔχουσα. τὰ τοιαῦτα αὐάσεις Αἰγύπτιοί φασι» (Strabo II p. 130). Ἡρόδοτος δὲ (III 26) καὶ Δοῦρις Μακάρων αὐτὴν ὠνόμασαν νῆσον. Κύπασις πόλις περὶ Ἑλλήσποντον. Ἑκαταῖος Εὐρώπῃ. Καύκασις τὸ ὄρος ὃ καὶ Καύκασος λέγεται.

Τὰ εἰς τ̄ι̅ϲ̄ δισύλλαβα ἔχοντα τὸ ō μικρὸν ἤτοι μόνον ἢ σὺν ἑτέρῳ

---

l. 5 στάσις τρῆσις ἄνυσις addidi propter urbium nomina Στάσις Εὔτρησις et Ἄνυσις ap. St. B. l. 10 omnia inde a Κροῦσις usque ad l. 23 Ῥαμνουσίς sunt ex St. B., τὸ δὲ Ἀσίς ex eodem. l. 24 ἄση scripsi pro ἄσης. l. 26 hunc canonem finxi secutus St. B., apud quem p. 383, 7 Κρεῦσις — ὡς Ἡρωδιανός. De his nominibus conferendus est Lobeck. Proll. 509 seqq. Urbis Τῖσις accentum, ut ap. St. traditus est, servavi, quamquam Lob. Τισίς potius scribendum censet. l. 36 canonem Arcadii ex Il. Pr. P 40 explevi ita, ut l. 36 ἤτοι μόνον

φωνήεντι ἢ ω̄ μέγα πρὸ τοῦ τῑϲ μὴ ὄντα ἐπιθετικά, εἰ μὴ παράκειται ἀρϲενικῷ τῷ εἰϲ τῃϲ, ὀξύνεται, φορτίϲ, νοτίϲ, κοιτίϲ, Προιτίϲ, οὐτίϲ τὸ ζῷον παρ' Ἀλκμᾶνι, Δωτίϲ, ὠτίϲ καὶ φροντίϲ, εἰ μὴ ἄρα τοῦτο, ὅτε κύριόν ἐϲτι, καὶ βαρυτονηθήϲεται. οὐ μάχεται τὸ πόρτιϲ· καὶ γὰρ χωρὶϲ τοῦ τ̄ «πόριεϲ περὶ βοῦϲ ἀγελαίαϲ» (Od. κ 410). μὴ ὄντα ἐπιθετικὰ πρόϲκειται διὰ τὸ πότιϲ, ᾧ παράκειται τὸ πότηϲ.

* Τὰ εἰϲ τῑϲ διϲύλλαβα κύρια τῷ ε̄ ἢ τῷ η̄ ἢ τῇ αι̅ διφθόγγῳ παραληγόμενα βαρύνεται, Θέτιϲ, Βαῖτιϲ ποταμὸϲ κατὰ Ἰβηρίαν, ὃϲ Πέρκηϲ λέγεται ὑπὸ τῶν ἐγχωρίων, Ἦτιϲ δῆμοϲ Λακωνικῆϲ καὶ τῆϲ Κρήτηϲ πόλιϲ.

* Τὰ εἰϲ τῑϲ ὑπὲρ δύο ϲυλλαβὰϲ θηλυκὰ μὴ ἀπὸ τῶν εἰϲ ηϲ̅ ἀρϲενικῶν γινόμενα ὀξύνεται, Βοιωτίϲ, Θεϲπρωτίϲ, Εἱλωτίϲ, Ἐνετίϲ, Ἑλλωτίϲ· οὕτω παρὰ Κρηϲὶν ἡ Εὐρώπη, ἀφ' ἧϲ πρότερον ἐκαλεῖτο Γόρτυν πόλιϲ Ἑλλωτίϲ. Λαμωτίϲ ἡ Ἀντιόχεια Ἰϲαυρίαϲ. τὸ δὲ Ῥακῶτιϲ — οὕτωϲ ἡ Ἀλεξάνδρεια πρότερον ἐκαλεῖτο — καὶ Λιμενῶτιϲ χερρόνηϲοϲ Κελτικὴ προπεριϲπᾶται ὡϲ ἀπὸ ἀρϲενικῶν εἰϲ ηϲ̅ γενόμενα.

* Τὰ εἰϲ τιϲ ὀνόματα πόλεων πολυϲύλλαβα τῷ ᾱ ἢ ο̄ παραληγόμενα βαρύνεται, Κάλλατιϲ πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ Πόντου. Στράβων ἑβδόμῃ (p. 318, 319)· ὡϲ κάλαθοϲ εὑρέθη ἐοικὼϲ τοῖϲ θεϲμοφοριακοῖϲ. Ναύκρατιϲ πόλιϲ Αἰγύπτου ἀπὸ Μιληϲίων τότε θαλαϲϲοκρατούντων ὡϲ Στράβων ἑπτακαιδεκάτῃ (p. 801). Ὀνείβατιϲ πόλιϲ Αἰγύπτου Ἑκαταῖοϲ περιηγήϲει Λιβύηϲ. Ἰαγξαύατιϲ πόλιϲ Λιβύων. Ἑκαταῖοϲ Ἀϲίᾳ. Ἄβοτιϲ πόλιϲ Αἰγύπτου, ὡϲ Ἑκαταῖοϲ. Κράμβοτιϲ πόλιϲ Αἰγύπτου, ἣν Ἑκαταῖοϲ περιηγήϲει Λιβύηϲ Κράμβουτίν φηϲιν.

Τὰ εἰϲ τῑϲ πρὸ τοῦ τιϲ ῡ ἔχοντα, ϲπάνια ὄντα, τὰ μὲν βαρύνεται, Σύρτιϲ, Ξύϲτιϲ πόλιϲ Καρίαϲ. Βέρυτιϲ Τρωϊκὴ πόλιϲ. Ἄφυτιϲ πόλιϲ Θρᾴκηϲ. Θουκυδίδηϲ α' (64) «ἐξ Ἀφύτιοϲ ὁρμώμενοϲ». λέγεται καὶ Ἄφυτοϲ καὶ Ἀφύτη. Κάλυτιϲ πόλιϲ Συρίαϲ. Ἡρόδοτοϲ δευτέρᾳ (c. 159)· Κάνυτιϲ πόλιϲ Συρίων μεγάλη, ὡϲ Ἑκαταῖοϲ Ἀϲίᾳ. τὰ δὲ ὀξύνεται, ῥυτίϲ, κυρτίϲ. Καλυτίϲ τὸ ἐθνικόν. Ἀψυρτίϲ. Ἀψυρ-

---

ἢ ϲὺν ἑτέρῳ φωνήεντι et l. 1 μὴ ὄντα, porro κοιτίϲ Προιτίϲ et τὸ ζῷον παρ' Ἀλκμᾶνι adderem et φροντίϲ ex secundo loco transponerem appositis εἰ μὴ ἄρα — βαρυτονηθήϲεται et pro τὸ δὲ πόρτιϲ ἀπὸ τοῦ πόριϲ exhiberem verba Iliacae prosodiae, in qua etiam ϲημείωϲιϲ de πότιϲ servata est. Addere potui ex St. B. Βοῦτιϲ πόλιϲ κοίληϲ Συρίαϲ ἡ καὶ Πέλλα et Δῶτιϲ ὁ Ἀϲτερίου καὶ Ἀμφικτυόνηϲ p. 256. 17 (sc. πρὸϲ ἀντιδιαϲτολὴν τοῦ Δωτίϲ), sed Mein. non iniuria suspicatur pro ἀπὸ Δώτιοϲ τοῦ Ἀϲτερίου scribendum esse Δωτίδοϲ τῆϲ Ἀϲτερίου et ad οὐτίϲ apponere potui: τὸ δὲ Οὖτιϲ ἐπὶ Ὀδυϲϲέωϲ ἀντὶ ὀνόματοϲ κυρίου λαμβανόμενον προπεριϲπᾶται ex libro περὶ παθῶν in E. M. 643, 13. l. 7 composui propter Θέτιϲ Herod. ap. Eust. 1716, 38 et nomina a St. relata. l. 11 finxi ex St. B. cf. Lob. Proll. 393. l. 18 canonem constitui ex St. B., apud quem diserte haec Herodiano assignantur: Κράμβουτιϲ πόλιϲ Αἰγύπτου· Ἑκαταῖοϲ περιηγήϲει Λιβύηϲ. Ἡρωδιανὸϲ διὰ τοῦ ο̄ γράφει Κράμβοτιϲ προπαροξυτόνωϲ ὡϲ Ἄβοτιϲ. et s. Ἄβοτιϲ: πόλιϲ Αἰγυπτία ὡϲ Ἑκαταῖοϲ, ἣν Ἡρωδιανὸϲ φηϲι βαρύνεϲθαι. l. 27 ex St. B. addidi Ξύϲτιϲ — Κάνυτιϲ et l. 31 Καλυτίϲ usque ad finem.

τίδες νῆσοι πρὸς τῷ Ἀδρίᾳ ἀπὸ Ἀψύρτου παιδὸς Αἰήτου ἐν μιᾷ δολοφονηθέντος ὑπὸ τῆς ἀδελφῆς Μηδείας.

Τὰ εἰς τις πρὸ αὐτοῦ ψιλὸν ἔχοντα τὰ μὲν βαρύνεται, κλέπτις, ἴκτις ζῷον, λάκτις ἡ τορύνη. τὰ δὲ ὀξύνεται, φλυκτίς, πηκτίς.

Τὰ εἰς δύο ττ σπάνια ὄντα τὰ μὲν βαρύνεται, Ἄττις, Ζήβυττις πόλις Λιβύης. Ἑκαταῖος Ἀσίᾳ. Ἀδράμυττις νῆσος ἐν τῇ Λυκίᾳ. τὰ δὲ ὀξύνεται, τριοττίς, νεοττίς.

Τὰ εἰς στις δισύλλαβα βαρύνεται, εἰ μὴ ὑποκοριστικώτερα εἴη, πίστις, μνῆστις. Θέστις πόλις Ἀράβων καὶ ἄλλη Λιβύης. τὸ μέντοι κιστίς ὀξύνεται ὡς ὑποκοριστικόν. τὸ δὲ Νεστίς ἡ χώρα ἀπὸ Νέστου, πόλεως καὶ ποταμοῦ Ἰλλυρίας, ἐθνικόν ἐστιν.

Ἔτι τὰ εἰς στις ὑπὲρ δύο συλλαβάς, εἰ μὴ ἐπίθετα εἴη, προπαροξύνεται, βούβρωστις, ἄγρωστις, Αὔγωστις πόλις Λοκρίδος ἢ τόπος ἢ χωρίον ἐντὸς τῆς πόλεως, ὡς Ἐπαφρόδιτος. Ζάγυστις χωρίον Λιβύης. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. ὀξύνεται τὸ Κεραστίς· οὕτως ἐκαλεῖτο ἡ Κύπρος ἀπὸ τοῦ πολλὰς ἄκρας ἔχειν — Λιγυστίς. Λιγυστίδες νῆσοι αἱ καὶ Στοιχάδες, Λιβυστίς, Κυρρεστίς ἡ Ἀθηνᾶ, Γεραιστίς, Ὀρεστίς ὡς ἐπιθετικά.

* Τὰ εἰς τις δισύλλαβα ν̄ πρὸ τοῦ τ̄ ἔχοντα βαρύνεται, Σάντις πόλις Κελτική, Σίντις Θρᾳκικὸν ἔθνος, ὑφ' ὧν πρῶτον ᾠκίσθη ἡ Λῆμνος νῆσος, ὡς Στράβων.

Τὰ εἰς τις πολυσύλλαβα ν̄ πρὸ τοῦ τ̄ ἔχοντα μὴ παρακείμενα τοῖς εἰς της ὀξύνεται, Προποντίς ἡ πρὸ τοῦ Πόντου τοῦ Εὐξείνου θάλασσα καὶ γῆ Βυζαντίων. Ἑλλησποντίς. Ἀβαντίς ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου β' περὶ Ἰοῦς

νήσῳ ἐν Ἀβαντίδι δίῃ,
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς.

ἐκλήθη δὲ ἀπὸ Ἄβαντος τοῦ Ἀργείου ἢ τοῦ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ὡς Ἀριστοκράτης. Ὑαντίς. οὕτως πρότερον ἡ Αἰτωλία χώρα ἐκαλεῖτο. Ἀκαμαντίς. οὕτως ἐκαλεῖτο ἡ Κύπρος. Παρθένιος δ' ἐν Ἀφροδίτῃ Ἀκαμαντίδα αὐτήν φησιν· ἐκαλεῖτο καὶ φυλὴ Ἀκαμαντίς τῆς Ἀττικῆς, ὡς Σιμωνίδης. Ἀθαμαντίς· οὕτως Τέω πόλιν Ἰωνίας καλεῖ

---

l. 3 hic canonem ap. Arcadium priorem antecedit. τὰ μὲν addidit Schmidt, idem τορύνη pro τρυγών scripsit Hesychio auctore. Pro νυκτίς librorum idem vult ἐπινυκτίς, sed quum de bisyllabis agi videatur, φλυκτίς ponere malui.
l. 5 apud Arcadium παιτέττις scriptum est, quod Goettlingius in Ἄττις mutare voluit, fortasse exstabat Ἄττης καὶ Ἄττις et inter oxytona relatum erat Ἀττίς, quod habet Hesych. cum explicatione Ἀθῆναι (Ἀθηναία) pro Ἀτθίς. Equidem et Ἄττις recepi et adieci ex St. B. Ζήβυττις et Ἀδράμυττις. l. 9 Θέστις et Νεστίς ex St. B. accesserunt. l. 13 Αὔγωστις Ζάγυστις ex St. B. addita sunt, Κεραστίς ex eodem explevi, item Λιγυστίς, Λιβυστίς habet etiam St., ex eodem Κυρρεστίς Γεραιστίς Ὀρεστίς apposita sunt. cf. Lob. Parall. 443. l. 19 canonem finxi ex St. B. l. 23 Προποντίς explevi ex St. B. — l. 24 pro αὐθεντίς ab hoc loco alieno Lob. Parall. 443 Ἀβαντίς vel Αἰαντίς proposuit, recepi prius, quod habet etiam St. B., unde explevi. Reliqua omnia sunt ex St. B.

Ἀνακρέων ἀπὸ Ἀθάμαντος, ὃς πρῶτον αὐτὴν ἔκτισεν. Μεταποντίς. οὕτως πρότερον ἐκαλεῖτο Σύμη νῆσος. Γιγαντίς. οὕτως τινὲς τὴν Ἀρκαδίαν φασίν. Ἐλεφαντίς. οὕτως Παρθένιος Ἐλεφαντίνην νῆσον Αἰγύπτου φησίν. Ζυγαντίς πόλις Λιβύης. Ἑκαταῖος Ἀσίας περιηγήσει. Ἰπνουντίς ἡ Ἥρα, Ὀδομαντίς, Σιμουντίς, Σκιλλουντίς, Σολουντίς, Ταυλαντίς, Τευθραντίς, Φλιουντίς. Τὸ δὲ Σάργαντις πόλις Αἰγύπτου βαρύνεται ὡς καὶ Βούναρτις πόλις Λιβύης ρ̄ παραληγόμενον.

Τὰ εἰς ῑς θηλυκὰ ἀπὸ τῶν εἰς η̅ς̅ ἀρσενικῶν γινόμενα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, ὁ κυνηγέτης ἡ κυνηγέτις, ὁ δεσπότης ἡ δεσπότις, ἀΐτης, ἀΐτις, ὁ πολίτης ἡ πολῖτις, πολιήτης πολιῆτις. Γέτης Γέτις· οὕτως δὲ ἐκαλεῖτο ἡ γυνὴ τοῦ Φιλίππου τοῦ Ἀμύντου, Μακέτης Μακέτις, ἀγρότης ἀγρότις, ἀγροιώτης ἀγροιῶτις, Μασσαγέτης Μασσαγέτις καὶ Μασσαγῆτις, ἴσως διὰ τὸ μέτρον. πρεσβύτης πρεσβῦτις, ἀλείτης ἀλεῖτις, ἀγυιάτης ἀγυιᾶτις, ὡς καὶ τὰ προπύλαια τοῦ ἀγυιέως ἀγυιάτιδες θεραπεῖαι λέγονται, Αὐσονῖτις Λυκόφρων (v. 44) «ὁ τῆς θαλάσσης Αὐσονίτιδος μυχούς». Αἰανῖτις διὰ διφθόγγου. Σοφοκλῆς δὲ Ἀανῖτιν γράφει δίχα τοῦ ῑ. Ζεφυρῖτις Ἀφροδίτη καὶ Ἀρσινόη, ὡς Καλλίμαχος. Κυκνῖτις ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφοκλῆς ἐν Πηλεῖ. καὶ ἐν Ποιμέσι «βοὴν κυκνῖτιν». Ἀσκαλωνῖτις, Ναρβωνῖτις, Καρκινῖτις, πόλις Σκυθική, Λυχνῖτις Ἀρμενίας χώρα. Μενελαΐτις χώρα Αἰγύπτου, Ποταμῖτις γυνὴ Βήλου ἢ καὶ Ἀερία· οὕτω δ' ἐκλήθη καὶ ἡ Αἴγυπτος. Πιτανῖτις χώρα καὶ νύμφη. Πορφυρῖτις πόλις Ἀραβίας κατὰ Αἴγυπτον, Προσωπῖτις

---

l. 9 in Il. Pr. I 571 canon sic conceptus est: ἡεροφοῖτις: τὰ εἰς ῑς παρώνυμα θηλυκὰ παρακείμενα τοῖς εἰς η̅ς̅ ἀρσενικοῖς βαρυνομένοις προπερισπᾶται, εἰ φύσει μακρᾷ παραλήγοιτο, πρωθῆβις πολιῆτις, ἀλεῖτις, πλανῆτις. οὕτως δὲ καὶ ἡεροφοῖτις. ὅσα δὲ παρὰ τὸ πωλεῖν ἀνεβίβασε τὸν τόνον ἀρτόπωλις, ἀλφιτόπωλις· ἀλλ' οὖν καὶ ὅσα παρὰ τὸ κοῖτις παράκοιτις ἄκοιτις. τὸ μέντοι δολόμητις κτλ., quae ad hanc vocem adieci et T 87 ἡεροφοῖτις: προπερισπαστέον ὁμοίως τῷ πρωθῆβις καὶ πολῖτις. πειστέον δὲ μᾶλλον τοῖς παρὰ τὸν ἀέρα ἐκδεξαμένοις τὴν σύνθεσιν γεγονέναι (non ab ἔρα ut ex Schol. B. V. intellegitur) ἐπεὶ ἀοράτως φοιτᾷ κτλ. — Arcadius habet tantum κυνηγέτις, δεσπότις, πολῖτις, reliqua omnia praeter pauca ex Il. Pros. sunt ex St. B. neque tamen omnia ab eo proposita exhibui, sed omnis generis satis amplum numerum; omnia autem, quae in substantivorum usum abeunt aut auctoris testimonio fulciuntur. ἀΐτης ἀΐτις sunt ex E. M. Va. p. 118 Gaisf. (Ἡρωδ. ἐν τῇ καθόλου, vulgo Ἡρωδ., quod debeo exemplari Iacobi mortui). Caeterum canonnon plene traditus est, nam nihil relatum est de femininis in τῑς ab oxytonis in τ̄ης derivatis βοητής βοῆτις, τυπωτής τυπῶτις, ὑβριστής ὕβριστις, βουλευτής βούλευτις, αἰχμητής αἴχμητις. Sic certe trium postremorum vocabulorum tonosis tradita est in E. M. 595, 38, etiamsi proparoxytonesis non diserte praescribitur: μύστις παρὰ τὸ μύστης. τοῦτο παρὰ τὸ μύω· οὐ μόνον δὲ ἀπὸ βαρυτόνου γίνεται εἰς ῑς παρώνυμον, οἷον πλανήτης πλανῆτις, ἀλλὰ καὶ ἀπὸ ὀξυτόνου οἷον ὑβριστής ὕβριστις, quod eodem accentu insignitum recurrit in E. M. 774, 21, αἰχμητής αἴχμητις, βουλευτής βούλευτις «τῶνδε βούλευτις πόνων» ἐν ταῖς Ξαντρίαις. cf. Lob. Parall. 443 et Proll. 512 et ad Buttm. p. 426. A norma aberrat accentus feminini Σαυροματίς apud Steph., quod si a Σαυρομάτης descendit, potius Σαυρομάτις scribendum est; sed derivatur sine intercedente masculino a σαύρας μασᾶσθαι — Εὐφρατίς ἡ Συρία ἀπὸ τοῦ παρακειμένου ποταμοῦ· denominativum est, non femininum nominis in τ̄ης.

πόλις Αἰγύπτου, Cκιρῖτις ἡ δωδεκάπολις τῆς Καρίας. Cφραγῖτις ἄκρα Cκυθίας. Φαρκωνῖτις· οὕτως ἐκαλεῖτο ἡ Κύμη. Χαλκῖτις νῆσος ἀντικρὺ Χαλκηδόνος. Ἀρτεμίδωρος ἐν ἑνδεκάτῳ γεωγραφουμένων «ἀπὸ δὲ τοῦ Ἀκρίτου καταπλεύσαντι πρὸς εὖρον στάδια ἑκατὸν δέκα ἄκρα κεῖται Ὑρίς καλουμένη, καὶ νῆσος αὐτῇ παράκειται Πιτυώδης καὶ ἄλλη νῆσος καλουμένη Χαλκῖτις καὶ ἄλλη Πρῶτα λεγομένη· ἀπὸ δὲ ταύτης εἰς τὴν Χαλκῖτιν λεγομένην πόλιν στάδια τεσσαράκοντα». ἔστι καὶ πόλις Χαλκῖτις ἐν Μεσσαπίᾳ τῆς Ἰταλίας· ἔστι καὶ χώρα ἐν Cκυθίᾳ, ὡς Ἑρμείας ἐν περιηγήσει. Χατραμωτῖτις χώρα πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης, Στράβων ἑκκαιδεκάτῃ (p. 768) «Γερραῖοι δ' εἰς τὴν Χατραμωτῖτιν». Ὠκεανῖτις, Μαρωνεῖτις, Cαλωνεῖτις, ἡ ἑρόφοῖτις, Ἀσιᾶτις, Ἀπολλωνιᾶτις, Δερεᾶτις Ἄρτεμις, Καρυᾶτις, Καυλωνιᾶτις, Κροτωνιᾶτις, Μαλεᾶτις, Μιδεᾶτις, Μυρλεᾶτις χώρα Βιθυνίας, Ναυκρατιᾶτις, Πισᾶτις, Πλαταιᾶτις, Πυλᾶτις «Πυλάτιδες ἀγοραί» (Sophocl. Trach. 638). Cπαρτιᾶτις, Τεγεᾶτις, Ὑσιᾶτις. Αἰγινήτης Αἰγινῆτις, κωμήτης κωμῆτις, Πειρῆτις «Πειρήτιδος ἱερὸς ὄρνις» ὡς ἀπὸ Πειρήτης ἀρσενικοῦ, πρωθῆβις. Μάγνης Μαγνῆτις παρὰ Cοφοκλεῖ, Κουρής Κουρῆτις. Μασῆτις λίμνη, κώμη καὶ νῆσος. νησιώτης νησιῶτις, Ἀδραλιῶτις, Ἑστιαιῶτις ἡ Θεσσαλικὴ μοῖρα. Ἰταλιῶτις. Μαιώτης ἔθνος Cκυθικὸν καὶ Μαιῶτις λίμνη, ἥν φασι κληθῆναι ἀπὸ τοῦ μαῖαν εἶναι τοῦ Εὐξείνου πόντου. Μαρεῶτις λίμνη. Μασσαλιῶτις, Πελασγιῶτις, Φθιῶτις. χωρὶς τῶν ἀπὸ τῆς κοίτης καὶ πωλῶ· ταῦτα γὰρ προπαροξύνονται, ἄκοιτις, παράκοιτις, ἀρτόπωλις, λαχανόπωλις, ἀλφιτόπωλις. τὸ μέντοι δολόμητις οὐκ ἔστι θηλυκόν, ἀλλὰ καὶ ἀρσενικόν. καὶ ἴσως μῆτις ἔγκειται ὡς τὸ πολύμητις δολόμητις. καὶ ἔστι σύνθετον. τὸ Cκυθίς δὲ δισυλλαβοῦν ὀξύνεται ὡς τὸ Περσίς.

* Ἔτι τὰ νομιζόμενα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γεγενῆσθαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον οἷον ἡ πλευρῖτις, ἡ φρενῖτις, ἡ νεφρῖτις. ταῦτα ὡς ἀπὸ τῶν εἰς ης ἀρσενικῶν δοκοῦσιν εἶναι ὡς ἀπὸ τοῦ ὁ πλευρίτης καὶ ὁ φρενίτης καὶ ὁ νεφρίτης, εἰσὶ δὲ ὀνόματα νοσημάτων.

Τὰ εἰς φις διβράχεα ὀξύνεται, ῥαφίς, γλυφίς, σταφίς, στροφίς. σεσημείωται τὸ ὄφις. εἰ δὲ ἡ παραλήγουσα εἴη φύσει ἢ θέσει μακρὰ ἐν δισυλλάβοις παροξύνεται ἢ προπερισπᾶται, Ἶφις, Μέμφις

---

l. 28 hunc canonem recepi ex Choer. 189, 35, ubi haec nomina genetivum in ιδος, non in ιος habere docetur. l. 32 quum cod. A σταφίς, BC στραφίς habeant, Schmidt. σταφίς στροφίς scribendum indicat, quem secutus sum. addidi σεσημείωται τὸ ὄφις et post ἢ προπερισπᾶται propter Ἶφις. Omisi vocabulum Ψωφίς, quod ex Arcadii canone Ψῶφις scribi debet, sed ap. St. B. 704, 18 diverso accentu notatum est: Ψωφίς πόλις Ἀρκαδίας. κέκληται ἀπὸ Ψώφιδος τοῦ Λυκάονος, ὑφ' οὗ φασι τὸ παλαιὸν ἐκτίσθαι αὐτήν, ἢ ἀπὸ Ψωφῖδος τῆς Ἔρυκος θυγατρός. ἔστι καὶ ἑτέρα πόλις Ἀκαρνανίας ἡ παλαιὰ λεγομένη. ἔστι καὶ τρίτη Ἀχαΐας. ἔστι καὶ ἑτέρα Ψωφίς πόλις Λιβύης. λέγεται δὲ καὶ ἡ Ζακυνθίων ἀκρόπολις Ψωφίς, ὡς Παυσανίας φησὶν ὀγδόῳ περιηγήσεως, unde concludi possit femininum Ψωφίς ut paronymon oxytonos, masculinum barytonos pronun-

ἡ διαcημοτάτη Αἰγύπτου μητρόπολις. τὸ δὲ Κηφίc ὡc ἐθνικὸν ὀξύνεται, ὡc καὶ Δελφίc.

Τὰ εἰc φις ὑπὲρ δύο cυλλαβὰc ὀξύνεται, εἰ μὴ κύρια εἴη, ἀcταφίc, κροταφίc, ἐλαφίc. Κερκαφίc· Κερκαφίδεc δὲ ἀπὸ Κερκάφου αἱ Ῥόδιαι γυναῖκεc. καὶ Ἀκραιφίc λίμνη ὡc ἐθνικά. τὸ δὲ Ὄνουφιc ὡc κύριον προπαροξύνεται καὶ Μώμεμφιc. Ἡρόδοτοc δευτέρᾳ (c. 163). Πάρεμφιc· εἰcὶ δὲ πόλειc Αἰγύπτου.

Τὰ εἰc χιc ὀξύνεται, εἰ μὴ ὀνόματα πόλεων ἢ νήcων εἴη, Κολχίc. Ἀντιοχίc ἡ μήτηρ τοῦ Ἀντιόχου καὶ ἐθνικὸν τῆc πόλεωc Ἀντιοχείαc καὶ φυλῆc ὄνομα, παννυχίc, Τραχίc πόλιc Θεccαλίαc ὑπὸ τὴν Οἴτην ὑπὸ Ἡρακλέουc κτιcθεῖcα καὶ ὀνομαcθεῖcα οὕτωc διὰ τὴν τραχύτητα. Δουλιχίc, Ἐρυcιχίc· τὸ δὲ ῥάχιc καὶ ἔχιc cεcημείωται. τὸ μέντοι Ζοῦχιc πόλιc Λιβύηc περὶ τὴν Cύρτιν. Cτράβων ἑπτακαιδεκάτῳ (p. 834). Τρῆχιc πόλιc Αἰγύπτου, Βῆχιc πόλιc Αἰγύπτου ἡ πρότερον Μέτηλιc. Βώγχιc πόλιc Αἰθιοπίαc πρὸc τῷ τρίτῳ καταρράκτῃ. Ξοῦχιc πόλιc Λιβύηc. Ἀρτεμίδωροc. Ἀτάρβηχιc πόλιc ἐν τῇ Προcωπίτιδι νήcῳ, Τεύωχιc πόλιc Αἰγυπτία. ἔcτι καὶ λιμὴν ὁμώνυμοc. Ὕδελχιc· ἐπὶ πόλεων καὶ νήcων.

Τὰ εἰc ιc θηλυκὰ ἐπὶ τέλουc ἔχοντα τὸν τόνον καὶ εἰc ᾱ ποιοῦντα τὴν αἰτιατικὴν ὀξύνονται, ῥανίc, κρηπίc, κνημίc, ἁψίc.

Εἰ δὲ εἰc ιν ἔχουcι τὴν αἰτιατικήν, περιcπῶνται, Βενδῖc, Μολῖc, Τοτῖc, Ἀταργατῖc.

---

ciatum esse. Pro Κηφίc ὡc ἐθνικὸν Schmidtius ἐπὶ ἐθνικοῦ rectius scribi opinatur, sed quum Κηφηῖc Κηφίc a Κηφεύc nomine proprio, non gentili derivatum sit, recte dici potuit Κηφίc quasi gentile esse. l. 4 Κερκαφίc Ἀκραιφίc ex St. B. addidi. Pro Ἱερόcφιc scripsi ex St. B. Ὄνουφιc et pro παροξύνεται προπαροξύνεται et Μώμεμφιc Πάρεμφιc adieci ex St. B. l. 9 Ἀντιοχίc explevi ex St. B., Τραχίc — Ἐρυcιχίc ex eo apposui, l. 12 καὶ ἔχιc inserui. Ζοῦχιc — Ξοῦχιc sumpta sunt ex St. B., Ἀτάρβηχιc ex eo expletum. Ὕδελχιc aliunde non cognitum insulam fuisse ex Arcadio concludas. l. 19 cf. Choer. Orth. 172, 8, E. M. 184, 5. l. 21 cf. Choer. 354, 21 τὰ εἰc ιc περιcπώμενα θηλυκὰ διὰ τοῦ δοc κλίνονται καὶ εἰc ν̄ μόνωc ἔχουcι τὴν αἰτιατικὴν οἷον Βενδῖc, Ἀταργατῖc, Μολῖc, Τιτῖc. εἰcὶ δὲ ταῦτα ὀνόματα δαιμόνων τιμωμένων παρὰ Θρᾳξίν. p. 103, 15 afferuntur Μενδῖc, Μολῖc, Ἀταρτῖc. cf. Lob. Proll. 372. Choer. 123, 27 unum in ῖc προπεριcπώμενον profert, quod nihil sui simile habet, κομβῖc, cuius genetivus ut deminutivorum in ῦc in ῦ, sic in ῖ finiatur: οὐ μόνον τὰ εἰc ῦc ὑποκοριcτικὰ cημειούμεθα ἐν τῷ κανόνι ἀλλὰ καὶ τὰc εἰc ιc περιcπώμενα. ταῦτα γὰρ ἀποβολῇ τοῦ c ποιοῦcι τὴν γενικήν, οἷον ὁ κομβῖc τοῦ κομβῖ. ἰcτέον δὲ ὅτι μονῆρέc ἐcτι τὸ ὄνομα τοῦτο, οὐκ ἔχει γὰρ ἄλλο ὅμοιον αὐτῷ ἐν χρήcει.

ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΕΙϹ $\overline{\text{οϲ}}$ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ ε΄.

Τὰ εἰϲ $\overline{\text{οϲ}}$ καθαρὰ διϲύλλαβα τῷ $\bar{\text{α}}$ μακρῷ παραληγόμενα ὀλίγα εἰϲίν, καὶ ὀξύνεται μέν, ὅϲα οὐ κύρια, μὴ δὲ ἐπιθετικά, παόϲ καὶ πηόϲ «καὶ πηῷ περ ἐόντι» (Od. κ 441), ναόϲ νηόϲ «ἐν πίονι νηῷ» (Β 549), λαόϲ ληόϲ τῇ μεταγενεϲτέρᾳ Ἰάδι τραπέν «ληὸν ἀθρήϲαϲ» Ἱππῶναξ, παρ᾽ Ὁμήρῳ δὲ τὸ λαόϲ ἄτρεπτον ἔμεινεν. ϲημειωτέον δὲ· ὅτι οὐχ ἁπλῶϲ τὸν ὄχλον ϲημαίνει, ἀλλὰ τὸν ὑποτεταγμένον. Ἑκαταῖοϲ γὰρ «τὸν Ἡρακλέα τοῦ Εὐρυϲθέωϲ λαόν» λέγει καίτοι ἕνα ὄντα. · γίνεται δὲ λαόϲ, ὡϲ Χρύϲιπποϲ ὁ Στωϊκὸϲ ἐτυμολογεῖ, παρὰ τὸ λαλῶ λαλόϲ καὶ λαόϲ. παρὰ γὰρ τὴν φωνήν φηϲι· ὡϲ καὶ μέροψ παρὰ τὴν ὄπα. καὶ ἄνθρωποϲ ὁ διωρθωμένην ἔχων τὴν ὄπα, διὸ καὶ αὐδήεντεϲ «ἦ νύ που ἀνθρώπων εἰμὶ ϲχεδὸν αὐδηέντων» (Od. ζ 125), ἐγένετο δὲ ἔλλειψιϲ, ὡϲ παρὰ τοῖϲ Ἀττικοῖϲ ἡ ϲίφη ἐκ τοῦ ϲίλφη παρ᾽ ἡμῖν λεγομένη ὡϲ καὶ ὁ τάπηϲ παρὰ τὸ θάλπη, εἴ γε παρὰ τὸ χλιαίνειν ἡ χλαίνη. καὶ ἔκταϲιϲ δὲ γίνεται ἀποβολῇ τοῦ $\bar{\text{λ}}$· ἄλλοι δὲ παρὰ τοὺϲ λᾶαϲ ὠνομάϲθαι «λαοὶ Δευκαλίωνοϲ ὅϲοι γενόμεθα». Καλλίμαχοϲ. φέρεται δὲ ἱϲτορία, ὅτι ἡ Μῆτιϲ δυϲτοκούϲηϲ τῆϲ Ῥέαϲ αὐτὴ καὶ ἔτεκε τέκνον ὃ ἐκάλεϲε Λάαν· . τῇ δὲ Ῥέᾳ τεκούϲῃ τὸν Δία ἀντικατήλλαξεν τὸν Λάαν αὐτῆϲ τὸν παῖδα, ἵνα ὁ Κρόνοϲ ἀντὶ Διὸϲ τὸν Λάαν καταπίῃ. Ζεὺϲ οὖν ἡβήϲαϲ εἰϲ τιμὴν· τοῦ ἀνθ᾽ αὑτοῦ καταποθέντοϲ λαοὺϲ ὠνόμαϲε τοὺϲ ἀνθρώπουϲ. οἱ δὲ ὅτι Δευκαλίων λίθουϲ ῥίπτων ἀνθρώπουϲ ἐποίει. τινὲϲ δὲ ὅτι κατακλυϲμοῦ ὄντοϲ ἔφυγον οἱ ἄνθρωποι εἰϲ τὰ ὄρη. καὶ μετὰ ταῦτα ἐπέϲτηϲαν τῇ γῇ εὐδίαϲ γινομένηϲ, ὡϲ ἐκπλαγῆναι καὶ ἀπὸ λίθων νομιϲθῆναι εἶναι. Ἡϲίοδοϲ δὲ παρὰ τὸ ἀλέϲ τὸ ϲημαῖνον τὸ ἀθρόον.

τούϲ ῥά ποτε Κρονίδηϲ Ζεὺϲ ἄφθιτα μήδεα εἰδὼϲ
λεκτοὺϲ ἐκ γαίηϲ ἀλεῖϲ πόρε Δευκαλίωνι. (fr. 11 Dindorf.)

ἀλαόϲ λαόϲ ἀφαιρέϲει τοῦ $\bar{\text{α}}$, ὡϲ καὶ παρὰ Ἀριϲτοφάνει (Mein. fr. Com. ed. min. p. 341)

ϲφόδελον ἐν χύτραιϲι μεγάλαιϲ ἑψόμενον

τινὲϲ δὲ καὶ Παφίην τὴν Ἀφροδίτην οὐ παρὰ τὴν Πάφον τὴν ἐν Κύπρῳ πόλιν, ἀλλὰ παρὰ τὸ ἀπαφίϲκειν· καὶ παρ᾽ Ἡϲιόδῳ «ῥεῖά τέ μιν μαυροῦϲι θεοί» (Op. 323). ἡ τοῦ μακροῦ $\bar{\text{α}}$ ἀφαίρεϲιϲ ϲπάνιοϲ· καὶ ἴϲωϲ ἐν τῷ «βάλε δὴ βάλε κηρύλοϲ εἴην» (Alcm. fr. 21). τὸ Δᾶοϲ ὡϲ κύριον βαρύνεται. «Γέταϲ γὰρ τοὺϲ πρὸϲ τὸν Πόντον κεκλιμένουϲ καὶ τὴν ἕω, Δάουϲ δὲ τοὺϲ πρὸϲ τἀναντία πρὸϲ Γερμανίαν καὶ τὰϲ τοῦ

---

l. 4 παόϲ ναόϲ λαόϲ explevi ex Ep. Cr. I 264, 10 (E. Gud. 362, 21). In Hesiodi fragm. l. 28 scripsi pro ἀλέουϲ propter ipsam hoc loco propositam etymologiam ἀλεῖϲ. Quod ἴϲωϲ βάλε ex ἄβαλε decurtatum dicitur, inde explicari debet, quod Herodianus ἃ βάλε pro duabus vocibus habuit Apollonio in unum coniungente Il. Pr. Ω 343, Dichr. 297, 1. — l. 35 Γέταϲ γὰρ usque ad

Ἴστρου πηγάς» (Strab. VII p. 304). καὶ παρ᾽ Ἀττικοῖς δὲ τὰ τῶν οἰκετῶν ὀνόματα Δᾶοι καὶ Γέται. λέγεται δὲ καὶ Δᾶκος. ἔτι καὶ Λᾶος ποταμὸς καὶ πόλις Λευκανίας. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ. καὶ Λᾶοι οἱ οἰκοῦντες Λᾶν πόλιν Λακωνικῆς. Χνᾶος ἔθνος. καὶ τὸ πρᾶος δὲ ἐπίθετον. τὸ μέντοι ταός παρ᾽ Ἀλεξανδρεῦσιν ἀντὶ τοῦ ταῶς σεσημείωται. τὸ δὲ λᾶος παρὰ Σοφοκλεῖ «ἐπ᾽ ἄκρου λάου» (Oed. Col. 195) ἀπὸ γενικῆς τῆς λᾶος «λᾶος ὑπὸ ῥιπῆς (M 462) εἰς εὐθεῖαν μετεποιήθη.

Τὰ εἰς $\overline{αιος}$ δισύλλαβα, εἰ μὴ εἴη κύρια, ὀξύνεται, λαιός, φαιός, βαιός, σκαιός, τὸ ἐπίθετον. Σκαῖος δὲ τὸ κύριον, ὡς Βαῖος κυβερνήτης Ὀδυσσέως, Γραῖος, Παῖος.

Τὰ διὰ τοῦ $\overline{αυος}$ δισύλλαβα βαρύνεται, ναῦος, αὗος ὁ ξηρός. Αὖος ποταμὸς Θεσπρωτίας, Τραῦος κύριον καὶ τὸ ψαῦος παρ᾽ Ἀλκμᾶνι. τὸ δὲ ἀγαυός τρισύλλαβον.

Τὰ εἰς $\overline{οιος}$ δισύλλαβα ὀξύνεται, εἰ μὴ εἴη κύρια καὶ πυσματικὰ καὶ ἀναφορικὰ καὶ τὸ $\overline{ο}$ πλεονάζει ἐν τῇ ἀρχῇ, σμοιός ἐπίθετον, σκλοιός ὁ σκολιός, δοιός, γλοιός ἐπὶ κόπρου, βοιός, κλοιός, ὃ καὶ κλῳός λέγεται, φλοιός. τὸ ποῖος, τοῖος, κοῖος, οἷος βαρύνεται

---

l. 4 Χνᾶος ἔθνος ex St. B. adieci. l. 5 de ταός cf. Choer. Dict. 300, 26 τὸ ταῶς οὐκ ἠδύνατο ἀπὸ τοῦ ταός τοῦ διὰ τοῦ $\overline{ο}$ εἶναι, ἐπειδή, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου, τὸ ταός τὸ διὰ τοῦ $\overline{ος}$ οὐκ ἔστι σύνηθες τοῖς Ἕλλησιν. l. 6 λᾶος explevi ex Schol. ad Soph. l. c. ἐπ᾽ ἄκρου λάου: ἀπὸ τῆς λαός (scr. λᾶος) παροξυνομένης (scr. βαρυνομένης) εὐθείας γενομένης ἀπὸ γενικῆς τῆς λᾶος «λᾶος ὑπὸ ῥιπῆς». οὕτως Ἡρωδιανὸς ἐν τῷ ε´ τῆς καθόλου. In Sophoclis loco Dindorfius pro λάου scripsit λᾶος Herodianum vitiosa scriptura deceptum esse iudicans eumque secutus est Meinekius. l. 9 φαιός et βαιός addidi ex Theogn. 48, 6. Pro Μαῖος librorum scriptura exhibuit Schmidt. Βαῖος, quod tuentur et Theogn. βαιός· ἔστι δὲ καὶ κύριον ὄνομα βαρυνόμενον et St. B. 155, 14, unde explicationem apposui. Theogn. inter disyllaba refert Σαβαιός ὄνομα κύριον, quod, quum Σκαῖος iam ab ipso allatum sit, Arcadii Γραῖος esse videtur, nisi forte pro Σάϊοι dictum est Σαῖοι ut Νάϊος Ναῖος cf. Lob. Rhem. 274 not. Ap. St. B. 573, 10 Σκαιοί ἔθνος μεταξὺ τῆς Τρῳάδος καὶ τῆς Θρᾴκης oxytonos scriptum est atque fortasse distinguebatur andronymicum a gentili, quod cum adiectivis cognatione quadam coniunctum est. Caeterum canon orthographicus Theognosti etiam in E. M. 417, 26 exstat. Praetermissum est γαῖος ὁ ἐργάτης βοῦς· καὶ ὁ ἀπόγειος ἄνεμος Hes., quod properispomenon est, quia ex γάϊος contractum est cf. Lob. El. II 36. l. 12 αὗος cum aspero scripsi ex Herodiani doctrina Il. Pr. Ψ 327. Αὖος addidi ex St. B., reliqua ex Il. Pr. M 137, ubi hoc de αὗος adnotamentum servatum est: αὔας: βαρυτονοῦσιν οἱ πλείους. Νικίας ὀξύνει διὰ τὸ μεταφραζόμενον, ἐπεὶ καὶ τὸ ξηρός ὀξύνεται. εἴρηται δὲ περὶ τῶν τοιούτων, ὅτι οὐ δεῖ πρὸς μεταφραζόμενα τὰς λέξεις τονοῦν. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει. χρὴ μέντοι γινώσκειν ὅτι μονήρης ἐστὶν ἡ λέξις· οὐδὲν γὰρ εἰς $\overline{ος}$ λῆγον καθαρὸν δισύλλαβον, τῇ $\overline{αυ}$ διφθόγγῳ κατὰ τὴν ἡμετέραν διάλεκτον παραληγόμενον, τριγενές ἐστιν, διὸ οὐδὲ ἀντιπαράθεσιν ἔχει. ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ τὸ ναῦος ἐβαρύνετο καὶ τὸ Τραῦος κύριον καὶ τὸ ψαῦος παρ᾽ Ἀλκμᾶνι. l. 15. 16 καὶ ἀναφορικά addidi ex Theogn. 49, 22; pro σκλοιός habet Theogn. σκοιός, sed σκλοιός defendit Lob. El. I 502. ὃ καὶ κλῳός λέγεται adieci collato Arcad. 38, 8, φλοιός ex eod. Theogn., μνοιός ὁ ἰπνός, quod idem habet, ex perversa pronunciatione ex μνιός (ὁ ἁπαλός) ortum inter vocabula in $\overline{ιος}$ recepi; praetermissum est κροιός ἐπὶ τοῦ κολοβοῦ Theogn. 21, 16, κροιός ὁ νοσώδης, ἀσθενής Hes., κοῖος οἷος ex Theogn. Caeterum propter canonem ipsum, sicut in principio propositus est, pro Arcadii verbis τὸ ποῖος, τοῖος, οἷος ὁ μόνος βαρύνεται ὡς πυσματικά exhibui quae in textu sunt. Pleonasmus vocalis $\overline{ο}$ in οἷος statuitur etiam Ep. Herod. Et. Orion.

ὡς πυσματικὰ καὶ ἀναφορικά, τὸ δὲ οἶος ὁ μόνος, ὅτι τὸ ο̄ πλεονάζει ἐν τῇ ἀρχῇ. καὶ τὰ κύρια δὲ ὁμοίως, Μοῖος, Βοῖος ἔθνος Κελτογαλατῶν, Κοῖος. Οἰός δὲ ὁ δῆμος τῆς Ἀττικῆς ὀξύνεται. ἔστι δὲ καὶ πόλις Κρητικὴ καὶ ὄνομα λιμένος καὶ ῥεῖθρον.

Τὰ εἰς ειος δισύλλαβα ἐπιθετικὰ βαρύνεται, λεῖος, μεῖος, θεῖος, πλεῖος, ῥεῖος, χρεῖος, Κεῖος καὶ Τεῖος ἐκ τοῦ Κέϊος καὶ Τέϊος συναιρεθέντα. τὸ δὲ νειός ἐπὶ τῆς ἀνανεουμένης γῆς οὐκ ἀρσενικὸν καὶ μονογενές.

* Τὰ εἰς ευος δισύλλαβα κύρια προπερισπᾶται, Βεῦος ποταμὸς Μακεδονίας.

Τὰ εἰς ος καθαρὸν δισύλλαβα παραληγόμενα τῷ ι̅ μακρῷ ἀρχόμενα ἀπὸ τοῦ ἑνὸς ἢ δύο συμφώνων βαρύνεται, πῖος καὶ Πῖος ὄνομα κύριον, Χῖος ὁ πολίτης τῆς Χίου. Θουκυδίδης ὀγδόῃ (c. 5) «Χῖοι καὶ Ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἑτοῖμοι ὄντες». καὶ Ἡρόδοτος πρώτῃ (c. 142) «Χῖοι καὶ Ἐρυθραῖοι κατὰ τωὐτὸ διαλέγονται». τὸ ι̅ μακρὸν, ὡς τοῦ μήτι «μήτι δ' ἡνίοχος» (Il. Ψ 318) καὶ τοῦ Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν» (Il. Σ 407). τὸ δὲ πρωτότυπον βραχὺ ἔχει τὸ ι. δῖος. Θρῖος ὄνομα τόπου. Γρῖος, Φθῖος ἥρως καὶ ἔθνος «Λοκροὶ καὶ Φθῖοι» (Il. N 686). λέγονται καὶ Φθῖες. Φλῖος ὁ Διόνυσος καὶ ὄνομα πόλεως, ὃ διφορεῖται κατὰ τὴν γραφήν, τινὲς μὲν γὰρ διὰ τοῦ ι̅ γράφουσι αὐτό, τινὲς δὲ διὰ τῆς ει̅ διφθόγγου. τὸ κριός ὁ ἐξέχων τῆς ποίμνης παρὰ τὸ κεκρίσθαι τὰς τρίχας σεσημείωται ὀξυνόμενον. τὸ δὲ Κρῖος ὄνομα Τιτᾶνος προπερισπῶσι πρὸς διαστολὴν τοῦ προσηγορικοῦ, ὁ δὲ Ἀρίσταρχος καὶ τὸ κύριον ὀξύνει. γράφεται δὲ διὰ τοῦ ι̅ τῷ κανόνι τῶν διὰ τοῦ ιος δισυλλάβων ἀρσενικῶν διὰ τοῦ ι̅ γραφομένων. τὸ δὲ ἰός ἐπὶ τοῦ βέλους ἀπὸ φωνήεντος ἄρχεται.

124, 4 οἶος ὁ μόνος πλεονασμῷ τοῦ ο̄. ἴος γάρ ἐστι ὁ μόνος ἔνθεν «ἰῇ δ' ἐνὶ νυκτὶ γένοντο» (Σ 251). οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς. Pro Οἰός St. B. habet 487, 3 Οἶον δῆμος τῆς Λεοντίδος φυλῆς, idem Οἶος πολίχνιον Τεγέας Αἰσχύλος Μυσοῖς p. 487, 5 et p. 449, 1 Οἶος πολίχνιον, sed Theogn., unde addidi ἔστι δὲ καὶ πόλις usque ad ῥεῖθρον, nullam accentus distinctionem agnoscit. In Il. Pr. Λ 24 Οἰός oxytonon hoc canone defenditur: φιλεῖ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οϊ διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς ος συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει — φημὶ δὲ διὰ τὸ Οἰός. οὕτως γὰρ λέγεται δῆμος παρ' Ἀθηναίοις κατ' ὀξεῖαν τάσιν — οἷον οἶκος, οἶτος, οἶκτος, οἶνος, οἶμος. l. 6 ῥεῖος et χρεῖος accesserunt ex Theogn. 48, 17, καὶ Τεῖος — συναιρεθέντα ex St. B. 403, 5 s. Κῶς et 620, 4 s. Τέως. l. 7 ἐπὶ τῆς -- οὐκ ex Theogn. l. c. τὸ νειός ὀξύτονον καὶ αὐτὸ διὰ τῆς ει̅ γραφόμενον, μὴ ὂν ἀρσενικὸν μηδὲ ἔχον οὐδετέρου παρασχηματισμὸν ἐπὶ τῆς ἀνανεουμένης γῆς μονῆρες.
l. 9 canonem de nominibus in ευος propter Βεῦος St. B. 166, 9 finxi.
l. 12 ad πῖος addidi καὶ Πῖος ex E. M. 539, 20, Ep. Cr. I 107, 21, An. Paris. III 307, 8, Theogn. 48, 23. Χῖος explevi ex St. B. 693, 14, ὄνομα τόπου ad Θρῖος adieci ex An. Ox. II 377, 31 (in E. M. l. c. ὄνομα ποταμοῦ), Γρῖος ex Theogn., unde Γρίος ap. Suid. corrigendum. Φθῖος explevi ex Il. Pr. N 686 et St. B. 268, 6 ὁ Φθῖος ἦν Ἀχαιοῦ et 664, 1 Φθία: τὸ ἐθνικὸν Φθιώτης καὶ Φθῖος, ἀφ' οὗ Φθῖοι καὶ Φθῖες, Φλῖος addidi ex Choer. Orth. 271, 1, E. M. l. c., κριός et Κρῖος ex E. M. et Choer. Orth. 226, 21. τὸ δὲ ἰός addidi ipso indicante Arcadio et Theogn. duce, apud quem τούτοις (sc. Πῖος Χῖος δῖος Θρῖος Γρῖος Φθῖος κριός) ὅμοιον κατά τε γραφὴν καὶ χρόνον τὸ ἰός ὀξύτονον ἐπὶ τοῦ βέλους, εἰ καὶ μὴ

Τὰ εἰϲ οϲ διϲύλλαβα τὸ δίχρονον ἔχοντα βραχὺ βαρύνεται, ϲάοϲ καὶ Ϲάοϲ ἡ τῶν Ϲαΐων νῆϲοϲ. Ἴοϲ νῆϲοϲ τῶν Κυκλάδων ἀπὸ Ἰώνων οἰκηϲάντων, ἔϲτι καὶ Λυδίαϲ. Τίοϲ πόλιϲ Παφλαγονίαϲ ἀπὸ Τιέωϲ ἱερέωϲ τὸ γένοϲ Μιληϲίου, ὡϲ Φίλων. Δημοϲθένηϲ δ' ἐν Βιθυνιακοῖϲ φηϲὶ κτιϲτὴν τῆϲ πόλεωϲ γενέϲθαι Πάταρον ἑλόντα Παφλαγονίαν καὶ ἐκ τοῦ τιμᾶν τὸν Δία Τίον προϲαγορεῦϲαι. μέμνηται καὶ Μένιππος ἐν Παφλαγονίαϲ περίπλῳ «ἀπὸ Ψύλληϲ χωρίου ἐϲ Τίον πόλιν καὶ ποταμὸν Βιλλαῖον ϲτάδιοι ϟ» καὶ «οἱ πάντεϲ ἀπὸ Ἡρακλείαϲ ἐϲ Τίον πόλιν καὶ ποταμὸν Βιλλαῖον ϲτάδιοι το'». καὶ πάλιν «οἱ πάντεϲ ἀπὸ Τίου εἰϲ Ἄμαϲτριν ϲτάδιοι ϲκ'. Ϲτράβων ἐν δωδεκάτῳ (p. 542) οὐδετέρωϲ καὶ τριϲυλλάβωϲ τὸ Τίειόν φηϲιν. Χίοϲ ἡ ἐπιφανεϲτάτη νῆϲοϲ τῶν Ἰώνων, ἔχουϲα καὶ πόλιν ὁμώνυμον. Ἑκαταῖοϲ Εὐρώπῃ «Χίοϲ κατὰ Ἐρυθράϲ, ἐν δὲ πόλιϲ Χίοϲ». ἀπὸ Χίου τῆϲ Ὠκεανοῦ ἢ ἀπὸ τῆϲ χιόνοϲ τῆϲ ἐκεῖ γενομένηϲ πολλῆϲ ἢ ἀπὸ νύμφηϲ τῆϲ Χιόνηϲ. ἔϲτι καὶ ἑτέρα πόλιϲ Καρίαϲ Χίοϲ κατὰ Τριόπιον κειμένη ἐν τῇ χερρονήϲῳ. καὶ γ' ἐν Εὐβοίᾳ. Κίοϲ ποταμὸϲ καὶ πόλιϲ Βιθυνίαϲ, Δρίοϲ τὸ Φρίκειον ὄροϲ, ἴοϲ ὁ μόνοϲ, βίοϲ ἡ ζωή, βιόϲ δὲ τὸ τόξον. ϲεϲημείωται τὸ μνιόϲ ὁ ἁπαλὸϲ παρ' Εὐφορίωνι.

Τὰ διὰ τοῦ υοϲ διϲύλλαβα ἀρϲενικὰ βαρύνεται, Δρῦοϲ ὄνομα κύριον υἱὸϲ Αἰγύπτου καὶ Φλῦοϲ. ϲεϲημείωται ὁ πυόϲ ὀξυτόνωϲ καὶ ἀρϲενικῶϲ. τὸ δὲ νυόϲ ἡ νύμφη θηλυκὸν ὀξύνεται.

Τὰ διὰ τοῦ οοϲ καὶ εοϲ διϲύλλαβα ἀπὸ ϲυμφώνου ἀρχόμενα καὶ μὴ μόνου τοῦ θ βαρύνεται, νόοϲ, γόοϲ, ῥόοϲ, πλόοϲ, θρόοϲ, φλόοϲ, κόοϲ, ὃ λέγεται καὶ κῶοϲ, καὶ Κόοϲ ὄνομα τόπου, χνόοϲ, φλέοϲ, Κέοϲ, Τέοϲ, πλέοϲ, νέοϲ, διὸ καὶ τὸ Ζόοϲ παρ' Ἐπιχάρμῳ οἱ πλείουϲ ἐβάρυναν «τρὶϲ ἀπεδόθη Ζόοϲ». ὁμοίωϲ καὶ τὸ ϲόοϲ τὸ κύριον καὶ τὸ προϲηγορικόν, ὅπερ ἡ ϲυνήθεια διὰ τοῦ ω γράφει, τινὲϲ δὲ καὶ ϲὺν τῷ ι. τὸ δὲ ἑόϲ ὀξύνεται, ἀπὸ φωνήεντοϲ γάρ. καὶ τὸ θοόϲ καὶ θεόϲ ὡϲ ἀπὸ τοῦ θ μόνου.

ἀπὸ ϲυμφώνου ἢ ϲυμφώνων ἤρξατο. l. 2 Ϲάοϲ — νῆϲοϲ addidi ex St. B., propter ignotam quantitatem omisi Τάοϲ St. B. s. Τάοχοι: τούτουϲ τινὲϲ Τάουϲ καλοῦϲιν, ὡϲ Ϲοφαίνετοϲ ἐν τῇ ἀναβάϲει φηϲί. Ἴοϲ explevi ex St. B., ubi fortasse etiam oraculum, quod etiam ap. Paus. X 24, 2 exstat, ab Herodiano petitum est, ex St. etiam Τίοϲ explevi, Χίοϲ Κίοϲ apposui ex St. B. 537, 7 et E. M. l. c., Δρίοϲ ex St. B. 672, 9. μνιόϲ ex E. M. 472, 44, An. Ox. II 377, 30, cf. Mein. Anall. Alex. p. 147. de βιόϲ et βίοϲ cf. Ep. Cr. I 92, 18, E. M. 198, 24. l. 19 ab Arcadio servata sunt tantum haec: τὸ δὲ νυόϲ ἡ νύμφη ὀξύνεται. — ὁ πυόϲ ὀξυτόνωϲ καὶ ἀρϲενικῶϲ ἐν τῷ ιε' (scr. ε') τῆϲ καθόλου φηϲί Schol. ad Arist. Pac. 1150, cf. Lob. Rhem. 309. Priorem canonis partem ex Theogn. p. 48 finxi, ubi Δρύοϲ et Φλύοϲ, quod ex Pausan. IV 1, 5 Φλῦοϲ scripsi. l. 24 φλόοϲ ex Theogn. p. 491, κόοϲ ex Mon. 41, 30, St. B. 402, 9 et Theogn., χνόοϲ ex Mon. accesserunt, φλέοϲ — πλέοϲ ex Theogn. Verba διὸ καὶ τὸ Ζόοϲ — ϲόοϲ ex Mon., τὸ κύριον — ϲὺν τῷ ι ex Theogn., de ι subscripto cf. Herod. in E. M. 741, 43. θοόϲ adieci ex Mon. l. c., Choer. Dict. 245, 8, E. M. 446, 32, ubi canon sic conceptus est: τὰ εἰϲ οϲ καθαρὸν λήγοντα, παραληγόμενα τῷ ε ἢ τὸ ο, ἀρχόμενα ἀπὸ ϲυμφώνου μὴ τοῦ θ (sc. μόνου) βαρύνεται, πλόοϲ, γόοϲ· χόοϲ. τὸ θρόοϲ οὐκ ἀπὸ τοῦ κοινοῦ (scr. μόνου) θ. θοόϲ δὲ καὶ θεόϲ ὀξύνεται. Monad. locus sic fini-

Τὰ εἰς ῳος μετὰ προσγεγραμμένου ι δισύλλαβα προπερισπᾶται, Κῷος ὁ πολίτης τῆς Κῶ, σῷος, ὃ διὰ τοῦ ι γράφεσθαί φησι Δίδυμος, ἡ δὲ παράδοσις ἄνευ τοῦ ι οἶδε, Λῷος, Πτῷος Ἀκραιφέως καὶ Εὐξίππης. τὸ δὲ κλῳός, ἀπὸ τοῦ κλοιός ὀξύνεται, καὶ ἔτι τὸ ζῳός καὶ τὸ Τρῳός.

Τὰ εἰς υιος σπάνια ὄντα ὀξύνεται, υἱός καὶ γυιός. ταῦτα δὲ οἱ Ἀττικοὶ ἄνευ τοῦ ι γράφουσιν.

Τὰ εἰς ος τρισύλλαβα ἁπλᾶ τῷ α μόνῳ παραληγόμενα ὀξύνεται, εἰ μὴ ἡ τρίτη ἀπὸ τέλους φύσει ἢ θέσει μακρὰ εἴη ἢ κατὰ διάστασιν σύμφωνον ἔχοι, ἀγλαός, ἀλαός παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι· ἀλαός ὁ περιπλανώμενος. Σέλευκος δὲ παρὰ τὸ ἀλάσαι, ὃ σημαίνει τὸ ἐλαττοῦμαι ἵν' ᾖ τὸ ἐλαττωθεὶς τοὺς ὀφθαλμούς. ἄλλοι δὲ ὁ τυφλὸς καὶ ἐστερημένος τοῦ λάειν ἤτοι βλέπειν. Ἀρίσταρχος τὸ παρὰ τῷ ποιητῇ «ἀσπαίροντα λάων» (Od. τ 229) οὕτως ἐξηγεῖται ἀντὶ τοῦ βλέπειν. κεραός, ταναός. Δαναός ὁ πολίτης ὁμοφώνως τῷ οἰκιστῇ. Κραναός, ἀφ' οὗ ἡ Ἀττικὴ ἐκαλεῖτο Κραναή. Μαλαός, ὃς ἔκτισε Τῆμνον πόλιν τῆς Αἰολίδος. τὸ δὲ ἵλαος καὶ Πίταος Φρὺξ Μίδου φίλος τὴν τρίτην ἀπὸ τέλους μακρὰν ἔχει. τὸ δὲ ...... σύμφωνον κατὰ διάστασιν ἔχει. τὸ δὲ γόαος ἐκ τοῦ γόης γέγονε. Τὸ δὲ Θήβαος, ἄρχαος, Ἄλκαος, πάλαος, Ἄχαος κατ' ἔνδειαν τοῦ ι γινόμενα Αἰολικά εἰσιν.

---

tur: τὸ μέντοι θοός ἄντικρυς ὀξυνόμενον μονῆρες. τὰ δὲ αἴτια τούτων ἐν ἑτέροις δηλοῦμεν, ut Lehrsius opinatur, explicatissime in libro περὶ τοῦ ζώς. l. 2 Κῷος explevi ex St. B., ad σῷος addidi ὃ διὰ τοῦ ι usque ad οἶδε ex Herod. in E. M. 741, 43; Πτῷος ex St. B. 63, 4, ubi sine ι scriptum est. ζωός in Il. Pr. Ε 887 sine ι exhibitum est et Lobeck. in El. I 444 suspicatur ζωός ab Arcadio accentus tantum, non scripturae causa adiectum esse. Herodianus, a quo canon in E. M. 413, 27 et 822, 42 profectus est: τὰ διὰ τοῦ ῳον οὐδέτερα μονογενῆ θέλει ἔχειν τὸ ι, ζῷον cum ι scripsisse putandus est, sed adiectivo ζωός ι subtraxisse, quare ap. Arcadium huiuscemodi verba excidisse videntur: ὅ τινες διὰ τοῦ ι γράφουσι παραλόγως cf. Hermannum Usenerum in Iahn. Ann. 91 p. 239. In fine adieci καὶ τὸ Τρῳός ex Il. Pr. Ψ 291: Τρῳούς ὡς πολλούς ἀνεγνώσθη· προείπομεν δὲ περὶ τῆς προσῳδίας coll. Ep. Cr. I 407, 13 τὸ Τρῳός παραλόγως ὠξύνθη· γίνεται οὖν ἐκ τοῦ Τρώς Τρωός Τρώϊος καὶ Τρῳός «ἵππους δὲ Τρῳούς» et p. 407, 30: Τρώς Τρωός Τρωϊκός ἀποβολῇ τοῦ κ Τρώϊος τοῦ τόνου ἀναδιδομένου ὡς Ὀλυμπικός Ὀλύμπιος, sed cf. Lob. El. II 45. Praetermissus est δμωος nominativus ex genetivo vocis δμώς δμωός fictus ap. Hesiod. Op. 468 δμῶος ἔχων μακέλην, quem Choer. Dict. 92, 9 confert cum Τρώς Τρωός Τρῶος, sed δμῶος caret ι ineffabili neque recte properispomenos proferri, sed potius δμωός scribendum videtur cf. Goettl. de acc. p. 176. l. 6 Arcadius habet: τὰ εἰς υιος σπάνια ὄντα ὀξύνεται, οἷον υἱός; concepi canonem secutus Theogn. 49, 30 cf. Lob. El. II 25. l. 10 ἀλαός explevi ex Ep. Cr. I 77, idem habet Methodius in E. M. 57, 6 auctorum nomina tacens. Patet falli, qui voci ἀλαός ut compositae substituere volunt Ταλαός ut Goettl. de accent. p. 167 aut Μαλαός ut Schmidt. ad h. l. — κεραός ταναός sumpsi ex Ep. Cr. I 236, 30, ubi idem canon. Δαναός explevi ex St. B. 70, 2, Κραναός addidi ex cod. 381, 5 et Μαλαός ex 621, 5 coll. Strab. 582 et 621. τὸ δὲ ἵλαος usque ad μακράν ἔχει ipse explevi ἵλαος ex Choer. Orth. 225 et Πίταος ex St. B. 524, 7 petitis. τὸ δὲ — διάστασιν ἔχει propter canonis formam addidi lacuna relicta, quam nisi statim apponenda fuissent, explevissem nominibus ἄρχαος Ἄλκαος. Aeolica vocabula apposui ex E. M. 66, 25 Ἄλκαος: ὃν τρόπον οἱ Ἴωνες ἐκβάλλουσι τὸ ι τῶν κτητικῶν, ἤγουν τῆς ει διφθόγγου (sc. ἀργύρεος, χρύσεος), τὸν αὐτὸν τρόπον καὶ οἱ Αἰολεῖς τῆς αι διφθόγγου

* Τὰ εἰς αος ὑπερτριςύλλαβα προπαροξύνεται οἷον Ἀμφιάραος, Μενέλαος· ἔστι καὶ πόλις Αἰγύπτου· Στράβων ἑπτακαιδεκάτῃ (p. 803). Οἰνόμαος υἱὸς Ἁρπίνης τῆς Ἀσωποῦ καὶ Ἄρεος.

Τὰ διὰ τοῦ λεος τριςύλλαβα ἁπλᾶ ὀξύνεται, μὴ ὄντα κτητικὰ ἢ διαφόρως τονούμενα πρὸς διάφορον σημασίαν, εἰλεός ἡ κατάδυσις καὶ ἡ νόσος καὶ ἡ μαγειρικὴ τράπεζα, φωλεός, κολεός, Μαλεός, γαλεός ὁ ἀσκαλαβώτης. Φιλύλλιος Αἰγεῖ «ὁ πάππος ἦν μοι γαλεὸς ἀστερίας» καὶ Ἄρχιππος Ἰχθύσιν «τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάττιοι; γαλεοί γε πάντων μάντεων σοφώτατοι». ἀλεός καὶ Ἀλεός ὁ πολίτης Ἀλέας ὁμοφώνως τῷ οἰκιστῇ, παλεός. Κελεός, Πελεός, Ἐλεός δὲ τὸ κύριον καὶ ἐπίθετον, ἔλεος δὲ τὸ προσηγορικόν. τὸ δὲ μέλεος σύνθετόν ἐστι. τὸ δὲ τέλεος καὶ κήλεος κατὰ πάθος ἀπὸ τέλειος καὶ κήλειος κτητικά.

* Τὰ εἰς νεος ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ἐνεός, Φενεός ἥρως καὶ πόλις Ἀρκαδίας· «οἳ Φενεόν τ' ἐνέμοντο καὶ Ὀρχομενόν» (B 605). λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς. κενεός, ἀφνεός, Ἐλινεός ὄνομα ἔθνους. Ἐρινεός πόλις Δωριέων ὑπὸ τὸν Παρνασσόν. λέγεται καὶ Ἐρινειός, ἔστι καὶ Θετταλίας ἄλλη καὶ Ἀχαΐας. τὸ δὲ λάϊνεος καὶ ἐλάϊνεος κατὰ πλεονασμὸν τοῦ ε ἐκ τοῦ λάϊνος καὶ ἐλάϊνος. τὸ δὲ κυάνεος κτητικὸν ἀποβολὴν ἔπαθε τοῦ ι ἀπὸ τοῦ κυάνειος γεγονός.

* Τὰ εἰς ος λήγοντα ὀνόματα παρὰ ῥῆμα γινόμενα καθαρεύοντα καὶ τῷ ε παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω, φωλεός, ὀχεύω ὀχεός καὶ ἐν πλεονασμῷ τοῦ σ ὀσχεός. καὶ παρὰ σωρεύω δὲ ὁ σωρεός. τὸ δὲ σωρός κατὰ συγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω

ἐκβάλλουσι τὸ ι οἷον Θηβαῖος Θήβαος, ἀρχαῖος ἄρχαος, Ἀλκαῖος Ἄλκαος, quibus exemplis ex Eustath. 28, 32 (Favorin. 131, 12) accesserunt πάλαος Ἄχαος cf. Ahrens de dial. Aeol. p. 100. De κεραός annotat E. M. 505, 7 κεραός: ἐκ τοῦ κέρας κέρατος γίνεται κέραος, καὶ ὀξύνεται ὀφεῖλον βαρύνεσθαι, ἀλλὰ συνηκολούθησε τῷ Δαναός, ἀλαός. Caeterum nulla est causa, cur cum Schmidtio ad γοδόν Hes. suspicemur Arcadium deceptum fuisse Aeolico genetivo γόαο, quum γόαος scriberet; invenit hanc vocem apud Herodianum. l. 1 canonem ipse addidi nominibus ex Choer. Dict. 259, 26 et St. B. sumptis. l. 5 pro διάφορον τόνῳ σημαίνοντα cum Schmidtio in programm. Sedin. (1864) ex Eustath. 1681 init. scripsi διαφόρως τονούμενα πρὸς διάφορον σημασίαν; καὶ ἡ νόσος adieci ex Theogn. 50, 2; l. 6 καὶ ἡ μαγειρικὴ τράπεζα ex Choer. Orth. 203, 9, γαλεός ex Mon. 4, 19 et St. B. 197, 1 et Theogn., ἀλεός ex Mon. l. c., Ἀλεός St. B. 70, 2, παλεός Mon. et Theogn., Κελεός Πελεός ex Theogn. Pro ἐλεός τὸ κύριον duce Lob. El. I 117 not. scripsi Ἐλεός δὲ τὸ κύριον καὶ ἐπίθετον (cf. Schol. ad Hes. op. v. 100 τὸ ἐλεόν ὀξυτόνως σημαίνει τὸν ἐλεεινόν); ἔλεος appellativo significatur ἔλεος misericordia, nam τὴν μαγειρικὴν τράπεζαν Herodianus per ει protulit, ut docet Choer. l. c. — μέλεος ex Theogn. addidi, ex eod. etiam κήλεος κήλειος, de quo Herod. Il. Pr. Θ 217: τὸ κηλέῳ ὡς μελέῳ· γέγονε δὲ παρὰ τὸ κᾶλον καὶ κῆλον κήλειον ὡς παρὰ τὸ μῆλον μήλειον δέρος καὶ Ἰωνικῶς κήλεον καὶ κηλέῳ· ἐκεῖνο γοῦν ἐντελές ἐστι τὸ «σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος» (Il. O 744). Caeterum cf. Lob. El. I 117. l. 14 hunc canonem finxi ex Theogn. 50, 11. Pro Φηνεός scripsi Φενεός ex St. B. 586, 4 et 662, 4, unde etiam addidi ἥρως — θηλυκῶς, κενεός pro γενεός ex ipso Theogn. 51, 5. Ἐλινεός idem populus videtur atque Ἕλινος ἔθνος Θεσπρωτικόν. Ῥιανὸς Θεσσαλικῶν. Ἐρινεός ex St. B. 277, 6. l. 21 hunc canonem ex Il. Pr. Ψ 160 sumpsi secutus Theogn. 50, 18, pro Μεδεός posui Κελεός ex E. M. 59, 42: Ἀλεός ὁ ἥρως ὁ πατὴρ Αὔγης, παρὰ τὸ ἀλῶ παράγωγον

δὲ ὁ λοχεός ἔσται κατ' ὀξεῖαν τάσιν «ὁ δ' ἐκ λοχεοῖο πάϊς» (Hesiod. theog. 178). ἀλλ' οὖν γε βαρυτόνως οἱ πλείους ἀνέγνωσαν πλεονασμὸν ἐκδεξάμενοι τοῦ ε̄, ὥστε παρὰ τὴν λόχου γενικὴν «ἐκ λόχου ἀμπήδησε» (Il. Λ 379) λόχοιο γενέσθαι καὶ λόχεοιο. παρὰ κηδεύω δὲ κηδεός, κελεύω Κελεός ὄνομα κύριον. ὠρεύω Ὠρεός πόλις Εὐβοίας. τούτοις ἀκόλουθον καὶ τὸ θυρεός μὴ παρὰ ῥῆμα γενόμενον.

Τὰ εἰς τεος παροξύνεται, εἰ μὴ ἐκ πλεονασμοῦ ἔχοι τὸ ε̄ ἢ κτητικὰ εἴη, ῥητέος, πρακτέος, ἀθροιστέος, μεμπτέος, γραπτέος, λαλητέος, νοητέος, ποιητέος, γνωστέος. τὸ δὲ ἐτεός ὀξύνεται. ἀπὸ γὰρ τοῦ ἐτός ὀξυτόνου, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ἐν πλεονασμῷ τοῦ ῑ γέγονεν ἐτεός ὀξείᾳ τάσει. ἐπὶ γὰρ τῶν εἰς ος ὀνομάτων ὁ πλεονασμὸς τοῦ ε̄ φυλάσσει τὴν ἐπὶ τέλους ὀξεῖαν, κενός κενεός, ἀδελφός ἀδελφεός, δαφοινός δαφοινεός. τὸ δὲ δρακόντεος, γερόντεος κτητικά ἐστι.

Τὰ διὰ τοῦ αλεος παραγωγὰ ὑπὲρ τρεῖς συλλαβάς ἐστι καὶ παροξύνεται, χωρὶς εἰ μὴ ἔνδειαν ἔχῃ τοῦ ῑ ἀπὸ κτητικοῦ ὀνόματος οἷον νηφαλέος, αὐαλέος, σμερδαλέος, θαρσαλέος, σκωπταλέος, δειμαλέος, κερδαλέος, φρικαλέος, ἀργαλέος, φοιταλέος, γηραλέος, λευγαλέος, ὀπταλέος, ἰκμαλέος, ῥωμαλέος, ῥωγαλέος, καρφαλέος, ἁρπαλέος. πρόσκειται «εἰ μὴ ἔχῃ ἔνδειαν τοῦ ῑ ἀπὸ κτητικοῦ ὀνόματος» διὰ τὸ δαιδάλειος δαιδάλεος, ἔνθεν αἰτιατικὴ «δαιδάλεον θώρηκα» παρὰ τῷ ποιητῇ (Θ 195), κονισάλειος κονισάλεος παρὰ Ἀντιμάχῳ «τὼ δ' αὖτ' ἀμφὶ κονισάλεον πεπονήατο δίφρον». ὅσα δὲ ἀπὸ τῶν κτητικῶν ἐγένετο κατ' ἔνδειαν τοῦ ῑ, καὶ προπαροξύνονται, Ἀγαμέμνεος, Ἑκτόρεος, Νεστόρεος, τέλεος, χάλκεος, χρύσεος, τέγεος, κήλεος. Ὑπερβόρεοι, ἔθνος, ὃ

ἀλεύω. καὶ ὥσπερ παρὰ τὸ λοχεύω λοχεός καὶ κελεύω Κελεός, σωρεύω σωρεός, οὕτως ἀλεύω Ἀλεός. Μεθόδιος, a quo Herodianum exscriptum esse apparet, ὠρεύω — γενόμενον ex Theogn. ad Ὠρεός addidi πόλις Εὐβοίας ex St. B. 708, 19. Ex hoc adnotamento elucet praeceptum in E. M. 742, 20 σωρός: ἀπὸ τοῦ σωρός σωρεύω σωρεία, καὶ σωρεός ἀπὸ τοῦ σωρεύω ὡς φωλεύω φωλεός. εἴρηται δὲ ἀπὸ τοῦ ἐν αὐτῷ σωρεύεσθαι τὰ σώματα ἢ παρὰ τὸ ἔσω ὠρεῖν, ὅ ἐστι φυλάττειν ὥστε τὸ σωρεός μὴ πεπλεονακέναι, ἀλλὰ μᾶλλον ἐνδεδεηκέναι τὸ σωρός· τὰ γὰρ εἰς ρος λήγοντα δισύλλαβα τῷ ω̄ παραληγόμενα μὴ ὄντα ἐπίθετα βαρύνεται, Ὦρος, Δῶρος, Φλῶρος, Βῶρος· οὐδὲν ἔχομεν ὀξύτονον. σεσημείωται τὸ σωρός. ὀξύτονα ἐπίθετά εἰσι, χλωρός, ψωρός, μωρός· πῶς οὖν ὀξύνεται τὸ σωρός; ἠλόγηται ὅταν δισυλλαβῇ. τὸ πρῶτον ἄρα σωρεός ὡς ὀχεός λοχεός (cf. Lob. El. I 249), ad accentum cum canone Herodianeo de nominibus bisyllabis in ωρος ap. Arcad. 69, 9 et in expedienda forma σωρός per ellipsin ex σωρεός cum Il. Pr. congruere. De λοχεός et Scholio ad Hesiod. locum, quod nostro simile praeceptum continet, cf. Lehrsius de Arist. p. 6 (ed. II). l. 7 εἰ μὴ ἐκ πλεονασμοῦ ἔχοι τὸ ε̄ propter ἐτεός inserui; ad Arcadii canonem apposita sunt verba inde a μεμπτέος usque ad γνωστέος ex Theogn. ἀπὸ γὰρ τοῦ ἐτός ὀξυτόνου usque ad δαφοινεός ex Theogn. 51 et Il. Pr. Σ 410 et 538 composita sunt cf. Ep. Cr. I 233, 24; extrema verba a me ficta sunt propter Arcadium dicentem ἢ κτητικὰ εἴη. Cum κενεός comparari potest etiam στερρός στερεός in lib. περὶ ποσότητος 288, 10. l. 17 addidi ex Mon. 4, 1 σκωπταλέος — ῥωγαλέος; καρφαλέος ἁρπαλέος ex Theogn. 51, 10, l. 21 ἔνθεν — ποιητῇ et l. 23 παρὰ Ἀντιμάχῳ — δίφρον ex Mon., τέγεος ex Il. Pr. Ζ 248, κήλεος Θ 217. Ὑπερβόρεοι ex St. B. Dubitavi

Ἑλλάνικος Ὑπερβόρειοι γράφει διὰ διφθόγγου. Πρώταρχος τὰς Ἄλπεις Ῥίπαια ὄρη οὕτω προσηγορεῖσθαι καὶ τοὺς ὑπὲρ τὰ Ἄλπεια ὄρη κατοικοῦντας πάντας Ὑπερβορέους ὠνομάσθαι. Δαμάστης δ' ἐν τῷ περὶ ἐθνῶν, ἄνω τῶν Σκυθῶν Ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω Ἀριμασπούς, ἄνω δ' Ἀριμασπῶν τὰ Ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δὲ μήποτε αὐτὰ ἐκλείπειν· ὑπὲρ δὲ τὰ ὄρη ταῦτα Ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν. Καλλίμαχος δὲ τοὺς αὐτούς φησι εἶναι τοῖς Ἀριμασποῖς.

Τὰ εἰς ΟΣ λήγοντα καθαρὰ ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς κατὰ τὴν κοινὴν διάλεκτον τῷ η παραληγόμενα οὐκ ἔστιν εὑρεῖν εἰ μὴ τὸ αἰζηός ὀξυνόμενον. καὶ τοῦτο ἐκ πάθους ἔχει τὸ η. παρὰ γὰρ τὸ ἀεὶ καὶ ζέω ὁ ἀεὶ ζέων καὶ ἀκμάζων κατὰ τὴν ἡλικίαν γίνεται αἰζεός καὶ κατ' ἐπαύξησιν τοῦ ε εἰς η αἰζηός. Ἀπολλώνιος μὲν ὁ τοῦ Ἀρχιβίου σὺν τῷ ι οἶδεν αὐτό, λέγων γεγονέναι ἐκ τοῦ αἰζήϊος. ἀλλ' εἰ ἦν ἀπὸ τοῦ αἰζήϊος, οὐκ ὤφειλεν ὀξύνεσθαι, ἀλλὰ προπερισπᾶσθαι. ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται οἷον Ἀχελώϊος Ἀχελῷος, ὑπερώϊον ὑπερῷον. καὶ δῆλον ὅτι ὥσπερ ἀπὸ τοῦ Αἰτωλός γίνεται Αἰτώλιος κατὰ παραγωγὴν τοῦ αὐτοῦ σημαινομένου φυλαττομένου καὶ ἀπὸ τοῦ κάπρος κάπριος, οὕτω καὶ ἀπὸ τοῦ αἰζηός αἰζήϊος. πρόσκειται κατὰ τὴν κοινὴν διάλεκτον· τὸ γὰρ ἀρχῆος καὶ Ἀχηός καὶ πα-

duobus Ionice affectis δαιδάλεος κονισάλεος addere duo et a Theogn. et E. M. 261, 56 (ex Choer. Orth. 195, 18) commemorata ἀτασθάλεος et αἰθάλεος, quum inde, quod in Mon. et in Arcadii epitome duo priora tantum proponantur, concludi possit haec tantum ab Herodiano excepta fuisse. Sed fieri potuit, ut Herodianus ipse in Mon., quia legem tantum constituere et causam exemptionis explicare voluerit, duo non indubia omiserit, ne simplicitati normae officiatur, Arcadius autem ex more suo vocabula dubitationi obnoxia referre noluerit. Inde certe, quod ap. Theognostum Catholicae vestigia presse sequentem αἰθάλεος κατὰ ἀποβολὴν τοῦ ι καὶ ἀτασθάλεος κατὰ πλεονασμὸν τοῦ ε legimus, suspicari licet verba E. M.: ἀτασθάλεος ἀπὸ ἀτάσθαλος πλεονασμῷ τοῦ ε γέγονεν ἢ ἀπὸ τοῦ ἀτασθάλειος [κατ' ἀποβολὴν τοῦ ι ἢ ἀπὸ τοῦ ἀτασθάλιος κατὰ τροπὴν τοῦ ι εἰς ε Philemon addit]. αἰθάλεος· τοῦτο δὲ διφορεῖται, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον· ἀπὸ τοῦ αἴθω γὰρ ὑπάρχει ὡς νήφω νηφαλέον· ἡνίκα δὲ πρὸ δύο ἔχει τὸν τόνον, ἀπὸ τοῦ αἰθάλειος γέγονε κατὰ ἀποβολὴν τοῦ ι ὡς «αἰθάλεοι πρηστῆρες» (Apoll. Rhod. IV 777) ab Herodiano profecta esse, praesertim quum reliqua doctrinae Herodianeae omnino congruant. Eadem fere sed in brevius contracta habet Philem. p. 41. De derivatione horum nominum conferendus Suidas s. v. ῥωγαλέος: τὰ διὰ τοῦ αλεος ἀπὸ τριῶν παράγονται μερῶν, ἀπὸ ὀνόματος δεῖμα δειμαλέος, ἀπὸ ῥήματος οἰδῶ οἰδαλέος, ἀπὸ ἐπιρρήματος ῥίμφα ῥιμφαλέος (quae eadem exstant in fine loci E. M.). De metusiasticis cf. etiam Choer. Ep. in Psalm. 94, 21, ubi χάλκεος σιδήρεος exempla. Cum Ὑπερβόρεος coniungendum videtur Νέμεος Νέμειος gentile urbis Νεμέα ap. St. B. s. v. l. 9 hunc canonem composui ex Arcadio, apud quem mutilatus est, et E. M. 32, 10, ubi technicum Herodianum esse intellegitur ex comparatione cum Arcadio, Theogn. 51, 15 et 57, 15, quo posteriore loco αἰζήϊος πλεονάσαν τὸ ι οὐ τὸ η ἀνεβίβασε τὸν τόνον, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου et Eustath. 376, 20: ὅτι ἐπειράθησάν τινες προσγράφειν τὸ ι ἐν τῇ παραληγούσῃ τοῦ αἰζηός διὰ τὸ εὑρίσκεσθαι τετρασυλλάβως αἰζήϊος, καὶ ὅτι οὐκ ἀκριβῶς ἐδόξασαν ἐκεῖνοι διὰ τὸ χρῆναι εἶναι αἰζηός διὰ μόνου τοῦ η ὁμοίως τῷ πηός καὶ τοῖς τοιούτοις, καὶ ὅτι ἀπορίας ἄξιον, πῶς μὴ ἐκ τοῦ αἰζήϊος συναιρέσεως γενομένης καὶ συνελεύσεως ὀξείας καὶ βαρείας προπερισπάσθη ὁ αἰζηός, ἐν τοῖς τοῦ Ἡρωδιανοῦ ἔστιν εὑρεῖν. Praeceptum de accentu Boeoticorum παληός Ἀχηός ἀρχῆος in E. M. intercidit, ap. Arcadium haec leguntur: τὸ γὰρ πάληος καὶ ἄρχηος — προπαροξύνεται, quod verum non

ληός Βοιώτιά εἰςι καὶ κατὰ τροπὴν τῆς αι διφθόγγου ἐγένετο καὶ προπεριςπᾶται καὶ ὀξύνεται. τὸ δὲ ὄρηος καὶ Λύκηος Λακωνικά εἰςι καὶ προπαροξύνεται καὶ αὐτὰ κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η γεγονότα. πρόςκειται ἁπλᾶ διὰ τὸ εὔνηος καὶ Ἐχένηος καὶ πολύνηος σύνθετα προπαροξυνόμενα. παρὰ γὰρ τὸ ναῦς νηός ςυνετέθη. τὸ δὲ πηός καὶ αὐτὸ ἐκ πάθους διςύλλαβον.

Τὰ διὰ τοῦ διος προπαροξύνεται, εἰ μὴ τριςύλλαβα ὄντα τριβράχεα εὑρεθῶςι καὶ παροξύτονα πρὸς διαςτολὴν κυρίων καὶ ἐπιθέτων, ὥςπερ ἔχει τὸ Ῥοδίος «Κάρηςός τε Ῥοδίος τε» (Μ 20) καὶ Cχεδίος «Cχεδίον δ' ἕλε Λήϊτος ἥρως» (Ζ 35, Ο 515) καὶ Ὀδίος. Τὰ δὲ προπαροξύτονα ταῦτα, ἴδιος, ἀΐδιος, μαψίδιος, παυρίδιος, ἁρμόδιος, νυμφίδιος, φωρίδιος, ἐπιμαςτίδιος, ῥηΐδιος, θνηθάδιος, κρυπτάδιος, Μυςάδιος, Ὑςςάδιος, μινυνθάδιος, τυμβίδιος, Ἀρκάδιος, ὠμίδιος καὶ ἐπωμίδιος, Ἐξάδιος, Κνίδιος, Ἐχινάδιος, Ἐπιλευκάδιος τὸ ἐθνικὸν καὶ Ἐπιλευκάδιοι πόλις μετὰ Ἀκαρνανίαν· Ἑκαταῖος Εὐρώπῃ. Ἀράδιος, Τενέδιος, Λεβέδιος, Ψωφίδιος· Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ «κάπρος ἦν ἐν τῷ ὄρεϊ καὶ Ψωφιδίους κακὰ πολλὰ ἔοργεν». Αὐλίδιος, Δαυλίδιος, Βουλίδιος, Ἠλίδιος, Μιμνίδιος, Λυχνίδιος, Ἀςπαλαθίδιος, Ἀλγίδιος, Ἰςίνδιος, Cιςίνδιος, Ἀλαρόδιος ἔθνος περὶ τὸν Πόντον ὡς Ἡρόδοτός φηςιν (3, 94. 7, 79). ςεςημείωται τὸ ἐρῳδιός ὀξυνόμενον. ἐξηκολούθηςε δὲ τοῖς ἐπὶ ὀρνέων. τὰ γὰρ εἰς ος καθαρὰ τῷ ι παραληγόμενα ὑπὲρ τρεῖς ςυλλαβὰς ἐπὶ ὀρνέων ὀξύνονται, αἰγυπιός, χαραδριός, βομβυλιός. οὕτω καὶ ἐρῳδιός. λέγεται καὶ ῥῳδιός παρὰ Ἱππώνακτι «κνεφαῖος ἐλθὼν ῥῳδιῷ (?) κατηυλίςθην». καὶ ὡς μὲν πρὸς τὴν ςυνήθειάν ἐςτιν ἀφαίρεςις, ὡς δὲ πρὸς τὸν ςχη-

---

est. Nam dialectus Aeolica accentum non omnino retrahit neque dipthongo αι in η versa mutat, Eust. 365, 26 id tantum annotat: λεγόμενη pro λεγόμεναι accentum in antepaenultima retinere. Quare Arcadii verba sic ut factum est, praeeunte Schmidtio immutavi. cf. Ahrens de dial. Aeol. 187 coll. 167, de ὄρηος Ahrens de dial. Dor. p. 163. l. 8 pro παροξύνονται scripsi παροξύτονα. Ad Ῥοδίος addidi ex Mon. 18, 16 verba Homerica, ad quae in Il. Pr. annotatum est: Ῥοδίος παροξυτονητέον ὡς κύριον. l. 9 ad Cχεδίος apposui verba, quae ex duobus versibus Homericis Ζ 35 Φύλακον δ' ἕλε Λήϊτος ἥρως, Ο 515 ἔνθ' Ἕκτωρ μὲν ἕλε Cχεδίον memoriae lapsu commiscuit Herod. Ὀδίος addidi ex Eustath. loco ab Herodiano petito p. 890 ὁ Ῥοδίος ποταμὸς παροξυτόνως προφέρεται ὡς ὁ Ὀδίος καὶ ὁ Δολίος καὶ ὁ Τυχίος καὶ τὰ ὅμοια τριβράχεα κύρια. cf. E. M. Ὀδίος πρὸ τέλους ἡ ὀξεῖα, ἐπεὶ κύριόν ἐςτι· τὸ δὲ προςηγορικὸν ὅδιος ὡς ςκότιος. De his cf. Lehrs Arist. p. 269[2] seq. Nomina inde a φωρίδιος — μινυνθάδιος petivi ex Mon., addi potuit ex E. M. 75, 23: ἀπὸ τοῦ ἅμα ἁμάδιος παραγωγὸν διὰ τοῦ διος· καὶ πολὺς ὁ τοιοῦτος χαρακτήρ, quae verba mire congruunt cum Mon.: καὶ ἄλλο μυρίον πλῆθος. cf. etiam Herod. περὶ παθῶν E. M. 783, 20. Vocabula, quae deinde sequuntur usque ad Κνίδιος, sunt ex Theogn. 54, 20, reliqua ex St. B., de Aeolicis cf. Ahrens de dial. Aeol. p. 157 et Lob. Parall. 77, de omnibus Lobeck Proll. 351 seqq. l. 22 Verba inde ab ἐξηκολούθηςε δὲ τοῖς ἐπὶ ὀρνέων sumpsi ex Herod. περὶ παθῶν in E. Orion. 57, 12, E. M. 380, 30 ordine paullum immutato. Atque hoc fere modo etiam in Catholica disseruisse Herodianum docent ipsius verba in Mon.: τὴν δὲ λύςιν τούτων ἐν πέμπτῳ περὶ καθολικῆς προςῳδίας ἐποιηςάμην.

ματιcμὸν ἐντελέc. ὥcπερ γὰρ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιοc τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ ῥοίζω γίνεται ῥοίδιοc καὶ πλεοναcμῷ τοῦ ε̄ καὶ ἐκτάcει τοῦ ο̄ εἰc ω̄ ἐρῳδιόc καὶ μένει τὸ ῑ προcγεγραμμένον.

Τὰ εἰc ωνιοc προπαροξύνονται, Κιθαιρώνιοc, Μαραθώνιοc, Ἀπολλώνιοc, Ἑλικώνιοc, ἐναγώνιοc, Ἀμμώνιοc, αἰώνιοc, Πλευρώνιοc, Cιδώνιοc, ὃ κατὰ cυcτολὴν εἶπεν ὁ ποιητὴc «Cιδονίων βαcιλεύc» (Od. δ 618), λαβρώνιοc εἶδοc ἐκπώματοc, Τροφώνιοc. Κυρτώνιοc πόλιc Ἰταλίαc. Πολύβιοc τρίτῳ. Cιρβώνιοc, Ἀργανθώνιοc, Ἀβυδώνιοc, Ἀγκώνιοc, Ἀντρώνιοc ὄνοc ἡ παροιμία, Βαβυλώνιοc, Αἰcώνιοc, Ἀλαβώνιοc, Κολοφώνιοc, Ἀλμώνιοc, Ἀμυδώνιοc, Αὐλώνιοc, Cικυώνιοc, Καλυδώνιοc, Καυλώνιοc, Κραννώνιοc καὶ τὰ ὅμοια.

Τὰ εἰc νιοc καθόλου ὑπὲρ τρεῖc cυλλαβὰc προπαροξύνεται, Ἐλευcίνιοc, Cαλαμίνιοc, Τιτάνιοc, Γερήνιοc, Ἑλλήνιοc, Τροιζήνιοc, παρθένιοc. καὶ Παρθένιοc ποταμὸc ἐν μέcῳ τῆc Ἀμαcτριανῶν πόλεωc ῥέων. ἐκλήθη δὲ ἐκ τοῦ cυνεχῶc περὶ αὐτὸν τὴν παρθένον Ἄρτεμιν κυνηγετεῖν ἢ διὰ τὸ ἠρεμαῖον καὶ παρθενῶδεc τοῦ ῥεύματοc «ὡc ἀκαλὰ προρέων, ὡc ἁβρὴ παρθένοc εἶcιν». τινὲc ὅτι ἐν αὐτῷ ἔπεcεν παρθένοc παλαιοῦ τινοc βαcιλέωc θυγάτηρ· καὶ τὴν μὲν τελευτῆcαι ἐκεῖ, τῷ δὲ ποταμῷ Παρθένιον ὄνομα τοὺc προcχώρουc θέcθαι ἐπὶ τῷ πάθει τῆc παρθένου. ἔcτι καὶ ἀκρωτήριον πληcίον Ἡρακλείαc, οὗ μέμνηται Ἀρτεμίδωροc ἐν ἕκτῳ γεωγραφουμένων. πυθμένιοc, Λυκαόνιοc, Μακεδόνιοc, δαιμόνιοc, Cαρπηδόνιοc, Ζηράνιοc ἔθνοc Θρᾴκηc. Θεόπομποc εἰκοcτῷ πέμπτῳ. Ἀcκάνιοc ποταμόc. Εὐφορίων Χιλιάcι «καὶ Ψίλιν Ἀcκάνιόν τε Ναυαίθοιο». Βαρκάνιοc ἔθνοc τοῖc Ὑρκανοῖc ὅμορον. Τραυχένιοc ἔθνοc περὶ τὸν πόντον τὸν Εὔξεινον ὅμορον Cίνδοιc. Τυρμένιοc Cκυθικὸν ἔθνοc ναυτικώτατον. ἑρμηνεύονται δὲ φυγάδεc. ὠγένιοc ὁ ἀρχαῖοc. Παρθένιοc ὁ Νικαεὺc Δήλῳ «cὺν τῇ ἐγὼ Τηθύν τε καὶ ὠγενίηc Cτυγὸc ὕδωρ». Ὀλβυcίνιοc ἔθνοc. Χαόνιοc, Χαλκηδόνιοc. Βεληδόνιοc ἔθνοc παρ' Ὠκεανῷ. Παρθένιοc ἐν Δήλῳ «οὐδ' ἐπὶ τηλίcτων ἄκρα Βεληδονίων». Βιcτόνιοc, ὅπερ καὶ ἐκτέταται ποιητικῶc Βιcτώνιοc. Χελιδόνιοc ἔθνοc Ἰλλυρικόν· Ἑκαταῖοc Εὐρώπῃ «Cεcαρηθίων πρὸc βορέω οἰκέουcι Χελιδόνιοι». Ἑρκύνιοc. Ἀλέξανδροc Εὐρώπῃ. τὸ δὲ Κλονίοc παροξύνεται ὡc κύριον καὶ τριcύλλαβον ὄν, τὸ δὲ Ἄνιοc καὶ Κρόνιοc καὶ Ξένιοc προπαροξύνεται. τὸ δὲ Μηνιόc ὄνομα ποτα-

---

l. 5 ex Theogn. 55, 1 addidi nomina inde ab Ἑλικώνιοc usque ad Τροφώνιοc, Cιδώνιοc explevi ex Ep. Cr. I 387, 26; reliqua sumpsi ex St. B. multis quae apud eum exstant, praetermissis. l. 14 Nomina inde a Τιτάνιοc usque ad Cαρπηδόνιοc ex Theogn. addidi; Παρθένιοc explevi ex St. B., ex quo reliqua usque ad Ἑρκύνιοc apposui. l. 35 τὸ δὲ Ἄνιοc — Ξένιοc προπαροξύνεται ex Il. Pr. B 495 (E. M. 521, 10) inserui: Κλονίοc: παροξύνεται, ἐπεὶ τὰ εἰc οc λήγοντα τῷ ῑ παραληγόμενα τριβράχεα ἐπὶ κυρίων παροξύνεται, Cχεδίοc, Χρομίοc, Δολίοc. ἀντιπίπτει τὸ Ἅλιοc κατὰ τὴν παράδοcιν καὶ τὸ Ἄνιοc καὶ Κρόνιοc καὶ Ξένιοc. — τὸ δὲ Μηνιόc ex libro περὶ ποcότητοc 284, 28 recepi.

μοῦ ὀξύνεται. καὶ τὸ μονιός ὀξύνεται τρισύλλαβον, εἰ δὲ τὸ ῡ πλεονάσῃ, προπαροξύνεται. μούνιος γάρ.

Ὅσα ἀπὸ τῶν εἰς ξ ἢ ψ ἢ ρ γίνεται διὰ τοῦ ῐ βραχέος, προπαροξύνεται, εἰ μὴ ἐπὶ κυρίου διαστολή τις γένηται ἐν τρισυλλάβοις τριβράχεσιν ὥσπερ ἔχει τὸ Φρυγίος καὶ Φλογίος. καὶ προπαροξύνεται δὲ ταῦτα· Θρηΐκιος· λέγεται καὶ διὰ μακροῦ τοῦ ῑ «ἀνέρα δὲ Τροίη Θρηΐκιον οὔτι φορήσει». Κιλίκιος, Φαιάκιος, Ναρύκιος, Νυράκιος, Νωράκιος, Κοράκιος, Φοινίκιος, Ζαρήκιος, Ἀτράκιος, Ῥάγιος, Μηνίγγιος, Ἀράβιος, Κινύφιος, Αἰγιλίπιος, Αἰθιόπιος. Εὐριπίδης Ἐρεχθεῖ «Αἰθιοπίαν νιν ἐξέσωσ' ἐπὶ χθόνα». μακάριος, σωτήριος, ἀέριος, αἰθέριος. τὸ δὲ Ἰλλυριός οὐκ ἀντίκειται. οὐ γὰρ τὸ Ἰλλυριός παρὰ τὸ Ἴλλυρ.

Τὰ διὰ τοῦ ιος ἐθνικὰ ἢ τοπικὰ προπαροξύνονται, Ῥόδιος, Σάμιος, Κύπριος, Αἰγύπτιος, Δήλιος, Ἀψίνθιος, Πύλιος, οὐράνιος, θαλάσσιος, ἐντόπιος, ἐκτόπιος, ἐνδάπιος, ἐγχώριος καὶ ἐπιχώριος, τὸ χώριος μὲν οὐ λέγεται, ἀλλὰ τὰ σύνθετα. τὸ ἐγχώριος καὶ παρὰ Σοφοκλεῖ κεῖται (Oed. Col. 875). τὸ δὲ ἐπιχώριος καὶ ἐπιχωριάζειν ἐν τῷ περὶ ψυχῆς φησι Πλάτων (c. 1). ἐγκώμιος. Ἡσίοδος «εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένοιτο». Ἄβιος ἔθνος Σκυθικόν. Ὅμηρος (Il. N 6) «Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων». Ἀλέξανδρος δὲ ἐν τῷ περὶ Εὐξείνου πόντου φησίν, ὡς Διόφαντος εἶπεν, οὕτω λέγεσθαι αὐτοὺς διὰ τὸ τὸν Ἀβιανὸν ποταμὸν κατοικεῖν. ἢ ὅτι βίῳ ἑδραίῳ οὐ χρῶνται οὕτω λέγονται, διὰ τὸ ἐφ' ἁμαξῶν φέρεσθαι. Δίδυμος δὲ Θρᾴκιον ἔθνος φησίν. Αἰσχύλος δὲ Γαβίους διὰ τοῦ γ ἐν λυομένῳ Προμηθεῖ

ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον
βροτῶν ἁπάντων καὶ φιλοξενώτατον,
Γαβίους, ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος
τέμνει δίκελλ' ἄρουραν, ἀλλ' αὐτοσπόροι
γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς.

---

l. 3 pro ἀπὸ τοῦ scripsi ἀπὸ τῶν ex Choer. Ep. in Psalm. 6, 2 τὰ ἀπὸ τῶν εἰς ξ ἢ ρ ληγόντων συνεσταλμένου ὄντος τοῦ ῐ προπαροξύτονα, χωρὶς εἰ μὴ ἐπὶ κυρίου διαστολή τις γένηται ἐν τρισυλλάβοις τριβράχεσιν ὡς ἔχει τὸ Φρυγίος καὶ Φλογίος. τὰ δὲ προπαροξύτονά εἰσι ταῦτα· Θρηΐκιος, Κιλίκιος, σωτήριος, οὕτως οὖν καὶ μακάριος, unde etiam pro Arcadii verbis εἰ μὴ διαστολὴ κυρίου γένοιτο ἐν τρισυλλάβοις καὶ τρισιβραχέσιν (BC, τοῖς βραχέσιν A) posui εἰ μὴ ἐπὶ κυρίου διαστολή τις γένηται ἐν τρισυλλάβοις τριβράχεσιν et post ὥσπερ addidi ἔχει. Praeterea ἢ ψ apposui innuente St. B. 42, 1 Αἰγίλιψ: τὸ ἐθνικὸν Αἰγιλίπιος ὡς Κίνυφος Κινύφιος, Ἄραβος Ἀράβιος, Φρυγός Φρύγιος καὶ τῶν ὁμοίων. De Φλογίος canonem repetit Choer. Orth. 275, 6, cf. Lehrs Arist. p. 27 (ed. II). Quae ad Θρηΐκιος adiecta sunt, prompsi ex St. B. 316, 14. Ναρύκιος accessit ex Theogn. 55, 32, Νυράκιος — Αἰθιόπιος ex St. B., ἀέριος αἰθέριος ex Theogn. In fine οὐ γὰρ τὸ Ἰλλυριός παρὰ τὸ Ἴλλυρ ex Herodiani sententia, qui nominativum Ἴλλυρ reiicit et Ἴλλυρας in hoc ipso casu per metaplasmum fingi statuit in libro περὶ παθῶν E. M. 506, 20, supplevi, neque rectum est, quod Schmidtius proponit τὸ γὰρ Ἴλλυρ παρὰ τὸ Ἰλλυριός κατὰ πάθος γέγονε. l. 13 Ῥόδιος — οὐράνιος ex Theogn. 56, 11 sumpsi, ἐκτόπιος ex St. B. 700, 31 unde etiam ἐγχώριος et reliqua usque ad Γαλήψιος.

ὁμοίωc καὶ Φιλοcτέφανόc φηcι καὶ ἄλλοι. Θίβιοc ἔθνοc πρὸc τῷ Πόντῳ βαcκαντικὸν καὶ φθοροποιόν, ὡc Δίδυμοc ἐν δευτέρῳ cυμποcιακῶν «θανατοῖ δὲ τὸ πνεῦμα αὐτῶν οἷc ἂν πληcιάζῃ. καὶ τὰ cώματα αὐτῶν εἰc θάλαccαν ῥιφέντα οὐ καταδύουcιν». Εὔβιοc ἔθνοc Λιγυcτικόν. Γάβιοι πόλιc Λατίνων καὶ ἐθνικόν, ὡc Διονύcιοc ἐν τετάρτῳ Ῥωμαϊκῆc ἀρχαιολογίαc. Τάβιοι πόλιc Ἰταλίαc, ἐν ᾗ οἱ περὶ Ῥέμον ἐπαιδεύθηcαν. καὶ τὸ ἐθνικὸν ὁμοίωc. Τολοcτόβιοc ἔθνοc Γαλατῶν ἑcπερίων μετοικηcάντων ἐκ τῆc Κελτογαλατίαc εἰc Βιθυνίαν. Ἐρατοcθένηc δ' ἐν πρώτῳ Γαλατικῶν Τολιcτοβωγίουc αὐτούc φηcιν. Ἀράζιοc, Cαβάζιοc, Ἀκάνθιοc, ἀφ' οὗ «Ἀκάνθιοc τέττιξ» ἐπὶ τῶν ἀφώνων, τοιοῦτοι γὰρ οἱ τῆc χώραc τέττιγεc, ὡc Cιμωνίδηc. Cαλάμιοc ἔθνοc Ἀράβων. cάλαμα δὲ ἡ εἰρήνη. ὠνομάcθηcαν δὲ ἀπὸ τοῦ ἔνcπονδοι γενέcθαι τοῖc Ναβαταίοιc. Κράνιοι πόλιc ἐν Κεφαλληνίᾳ τῇ νήcῳ. Δανδάριοc ἔθνοc περὶ τὸν Καύκαcον, ὡc Ἑκαταῖοc Εὐρώπῃ. Cαγγάριοc ἔθνοc τῆc κάτω Φρυγίαc ὁμωνύμωc τῷ ποταμῷ. Ψυκτήριοc τόποc ἐν Θρᾴκῃ, ἀπὸ Ἡρακλέουc ἀναψύξαντοc τὸν ἱδρῶτα ἐν τῷ καταπαλαῖcαι τὸν Ἀδραμύλην, καθὼc φηcιν Ἀπολλώνιοc ἐν Κνίδου κτίcει. καὶ τὸ ἐθνικὸν ὁμοφώνωc. Βάντιοc ἔθνοc Θρᾴκηc. Ἑκαταῖοc. Μαράφιοc ἔθνοc ἐν Περcίδι ἀπὸ Μαραφίου βαcιλέωc. Τηλέφιοc δῆμοc Λυκίαc. Μέναιχμοc γάρ φηcιν ὅτι «ἀπὸ ἑπτὰ cταδίων Πατάρων Τηλέφου Κρήνη δείκνυται διὰ τὸ Τήλεφον ἀπονίψαcθαι ἐκεῖ τὸ τραῦμα, θολερὰν δὲ εἶναι. ἔcτι καὶ δῆμοc Τηλέφιοc». Ὑπαιλόχιοι ἔθνοc Μολοccικόν. Ῥιανὸc ἐν τετάρτῳ Θεccαλικῶν. Αἰδήψιοc. Καλλίμαχοc Ἑκάλῃ «ἄρκιοc ἢ χείρεccιν ἑλὼν Αἰδήψιον ἄορ». Λυκάψιοc, Γαλήψιοc. τὸ δὲ χαραδριόc ὀξύνεται καὶ θαλαμιόc ὁ κωπηλάτηc.

Τὰ ἀπὸ τῶν εἰc οc διὰ τοῦ ιοc προπαροξύνεται cυνεcταλμένου τοῦ ι, εἰ μὴ τριβράχεα ἐπὶ κυρίων εἴη, πολέμιοc, ποτάμιοc καὶ παραποτάμιοc ὡc Παρακηφίcιοc καὶ προcωκεάνιοc. Διονύcιοc ὁ Ἁλικαρναccεὺc ἐν τῇ ιθ' τῆc Ῥωμαϊκῆc ἀρχαιολογίαc «Λιβύην χειρωcάμενοc μέχρι καὶ τῶν παρωκεανίων ἐθνῶν». παρηγμένα ἐκ δύο εἰc ἕν. μίcθιοc, ῥύθμιοc, φίλιοc, ξένιοc, δήμιοc. Κλυτίοc δὲ τὸ κύριον παροξύνεται.

Τὰ διὰ τοῦ cιοc καὶ τιοc προπαροξύνονται, εἰ μὴ κύρια εἴη καὶ τριβράχεα, ἀcπάcιοc, πρυμνήcιοc. Ταυλάντιοc Ἰλλυρικὸν ἔθνοc. Εὐφορίων δὲ μετὰ τοῦ ν Ταυλαντίνουc αὐτούc φηcι. θαλάττιοc, διπλάcιοc, Ταράcιοc, ἀμβρόcιοc, ἱκέcιοc, ἀνάρcιοc, Ἐφέcιοc.

---

l. 25 pro χλωριόc scripsi ex E. M. 380, 30 χαραδριόc. l. 27 καὶ παραποτάμιοc — εἰc ἕν ex St. B. 707, 4, ex eodem δήμιοc. Pro Φρυγίοc scripsi Κλυτίοc, quum derivatum a nomine in οc requiratur. Similis canon exstat in Choer. Ep. in Psalm. 34, 2: ὅcα ἀπὸ τῶν εἰc οc ἀρcενικῶν καὶ οὐδετέρων διὰ τοῦ ιοc παρῆκται cυνεcταλμένου ὄντοc τοῦ ι προπαροξύνεται οἷον ξένοc ξένιοc, φίλοc φίλιοc, ποταμόc ποτάμιοc, δεcμόc δέcμιοc· οὕτωc οὖν καὶ κῦροc κύριοc. l. 34 pro librorum scriptura ταλάντιοc, cui Schmidt. Ἀτλάντιοc substituit, posui Ταυλάντιοc cum explicatione ex St. B., nomina inde a διπλάcιοc usque ad Ἀχερόντιοc ex Theogn. 56, 25, apud quem diserte: Cυρακόccιοc, οὕτω γὰρ Ἡρωδιανὸc ἐν τῇ

εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου· οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς. Συρακόσσιος διὰ δύο σσ̄ καὶ διὰ τοῦ ο̄, δημόσιος, διαπρύσιος, διακόσιοι, τριακόσιοι, πεντακόσιοι, Ὑπάτιος, Εὐστράτιος, Ἀέτιος, Φιλοίτιος, Μενοίτιος, ὑστάτιος, ὀσσάτιος, Μελέτιος, Ἀχερόντιος, Ἀθανάσιος, Θριάσιος, Τιθράσιος, Ἀναγυράσιος ἀπὸ Ἀναγυροῦντος δήμου. ἐζήτηται δὲ πῶς ἔχει τὸ ᾱ, ἔδει γὰρ ὡς Ῥαμνούσιος. ἀλλ' ἔοικε τὸ ρ̄ αἴτιον εἶναι, φιληδῶν τῇ συντάξει τοῦ α. Ἄσιος ὁ Ζεὺς παρὰ Ἄσον πολίχνιον Κρήτης. Αὐγάσιος ἔθνος Μασσαγετῶν. Στράβων ἑνδεκάτῃ (p. 513). Βουπράσιος. θαυμάσιος καὶ Θαυμάσιος ἔθνος Ἀρκαδίας. Θηράσιος, Θάσιος, Ἰάσιος, Ἰμβράσιος, Καυκάσιος, Κορυφάσιος, Κραβάσιος, Νικάσιος τὸ ἐθνικὸν καὶ τὸ κύριον. Νυμφάσιος, Ὀρεστάσιος, Παρράσιος, Πτελεάσιος, Ταμάσιος, Φυλάσιος, Φλιάσιος· οὕτω Λακεδαιμόνιοι τῶν μηνῶν ἕνα καλοῦσιν, ἐν ᾧ τοὺς τῆς γῆς καρποὺς ἀκμάζειν συμβέβηκεν. ὤφειλε δὲ ἀπὸ τῆς Φλιοῦντος Φλιούσιος, πλεονασμῷ δὲ τοῦ ᾱ Φλιάσιος. Γέσιος κύριον ὄνομα ἐπιχωριάζον ἐν Πέτραις Ἀραβίας. ἔοικε δὲ Γεήσιος προϋπάρχειν ὡς τὸ Ἰθακήσιος καὶ κατὰ συγκοπὴν Γέσιος. Ἐρέσιος, Ἀκακήσιος, Ἀκελήσιος, ὡς Μενδήσιος, Ἀκυλήσιος. Ἀλήσιος «οὐ γὰρ Ἀλήσιοί ἐστε» Εὐφορίων. Ἁλοννήσιος, Προκοννήσιος, Ἁλωνήσιος, Χερσονήσιος. Ἑκαταῖος Εὐρώπῃ «Ἀψινθίοισι πρὸς μεσημβρίην ὁμορέουσι Χερσονήσιοι», οὗ τὸ θηλυκὸν Εὐριπίδης «ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα» (Hec. 8). Φαγρήσιος, Ἀρήσιος, Βερήσιος, Ἀδρυμήσιος, Γαλλήσιος, Ἑλικήσιος. Εὐθρήσιοι πόλις Ἀρκαδίας καὶ οὐκ ἐθνικόν. Ἰθακήσιος, Καρπήσιος ἔθνος Ἰβηρικόν. Κορήσιος, Κρεμήσιος, Κρήσιος, Κυνήσιος, Λιθήσιος ὁ Ἀπόλλων ἐν τῷ Μαλέα λίθῳ προσιδρυμένος ἐκεῖ. Ῥιανὸς ἐν Ἠλιακῶν τρίτῳ. Μαραθήσιος, Μιλήσιος ὃ σεσημείωται ἐν τοπικοῖς, ὅτι ἐτράπη τὸ ῑ. Μυήσιος, Μυκαλήσιος, Νεδεήσιος, Πολυήσιοι πόλις καὶ οἱ πολῖται ὡς Λοκροί Δελφοί. Ποτιολήσιος, Πυδήσιος, Μαγνήσιος, Σαλλήσιοι μοῖρα Παιόνων. Στρυμήσιος. Τιταρήσιος ποταμὸς Θεσσαλίας καὶ τὸ ἐθνικὸν ὁμοφώνως. χαρίσιος, Προβαλίσιος, Χαδίσιος, Χαλίσιος, Ἐπικηφίσιος, Ἀρτεμίσιος, Θεοδόσιος, Ὀλοβύσιος ἔθνος περὶ Ἡρακλείων στηλῶν. Νύσιος, Ἀμαρύσιος ὡς Τρικορύσιος. οὕτω γὰρ Παυσανίας ἐν πρώτῃ (31, 5). λέγεται καὶ Ἀμαρύν-

---

καθόλου διὰ δύο σσ̄ καὶ διὰ τοῦ ο̄ γράφων τὸ ὄνομα παραδίδωσι. Reliqua omnia sunt ex St. B. ita electa, ut omnis generis nomina proponerem, neque tamen omnia gentilia ab eo relata enumerare volui, quum haec res in libro περὶ παρωνύμων fusius tractata fuisse videatur, cui loco quaedam reservanda iudicavi. Nonnulla ex nominibus, quae exhibui, ad Herodianum auctorem diserte referuntur a St. B., v. c. 58, 15 Ἡρωδιανὸς Ἀκελήσιος φησὶ ὡς Μενδήσιος ὥστε Ἀκέλης εἶναι ὡς Μένδης, ᾧ συνᾴδει μὲν ἡ λοιπὴ χρῆσις, Ἑλλάνικος δὲ εἶπε «εἰς πόλιν Ἀκέλην», ἐχρῆν γὰρ Ἀκέλητα εἶναι. προπαροξύνεται δὲ τὸ Ἀκελήσιος· ὁ γὰρ τεχνικός, τὰ διὰ τοῦ σιος̄ πάντα προπαροξύνεται, κἂν τὸ τ̄ ὑπάρχῃ πρὸ τοῦ ῑ, πλὴν τῶν τριβραχέων κυρίων.

θιος. Ἀμφρύσιος. Λυκόφρων «Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων» (v. 900). Ἰαλύσιος, ἐτώσιος, Ῥώσιος, Ἀραχώσιος, Περκώσιος, Κριθώσιος, Γεδρώσιος ἔθνος Ἰνδικόν. Παίσιος, Νεμαύσιος, Ὀποείσιος, Ἀρκέσιος καὶ Ἀρκείσιος, Σιμοείσιος, Ἀγνούσιος, Ῥαμνούσιος ἀπὸ τῆς γενικῆς προσόδῳ τοῦ ῑ τοῦ τ̄ οὐ φυλασσομένου ὡς ἐν τῷ Σελινούντιος, Ὀπούντιος, Ἱεριχούντιος, Τραπεζούντιος, τρεπομένου δὲ εἰς σ̄ καὶ τοῦ πρὸ αὐτοῦ ν̄ ὑφαιρουμένου, Ἁλιμούσιος, Φηγούσιος, Ἀχερδούσιος, Ἀχραδούσιος Ἀριστοφάνης Ἐκκλησιαζούσαις (v. 362) «νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ὅστις πότ' ἐστ' ἄνθρωπος Ἀχραδούσιος». Καλαθούσιος, Καρδούσιος, Λαμούσιος, Μαραθούσιος, Μαυρούσιος ἔθνος μέγα Λιβύης, ὃ καὶ Μαῦροι. Καδούσιος· ἔθνος μεταξὺ τῆς Κασπίας θαλάσσης καὶ τοῦ Πόντου. Στράβων ἑνδεκάτῃ (p. 507). Βαργούσιος ἔθνος δυτικὸν πρὸς τῷ Ἴβηρι ποταμῷ, Πολύβιος ἐν τρίτῳ. Δηρούσιος ἔθνος Περσικόν. Ἡρόδοτος α' (c. 125) «Πέρσαι δ' οἱ μὲν Πενθιάδαι οἱ δὲ Δηρούσιοι οἱ δὲ Καρμάνιοι». Φαρούσιος ἔθνος Λιβυκόν. μέμνηται αὐτῶν Διονύσιος καὶ Ἀρτεμίδωρος. Ἀμαθούσιος. Αἰδούσιοι σύμμαχοι Ῥωμαίων πρὸς τῇ Κελτικῇ Γαλατίᾳ, Ἀρτεμίδωρος ἐν χρονικῶν δ'. Ἁλικαρνάσσιος, Παρνάσσιος, Ποιηέσσιος, Ἤσσιος, Ἀγήσσιος, Ἀσσήσιος, Καρδήσσιος, Λυρνήσσιος, Μαρπήσσιος, Μερμήσσιος, Μυκαλήσσιος, Σαρδήσσιος, Σαλμυδήσσιος, Ταρτήσσιος, Τελμήσσιος, Τεγήσσιος, Τυλήσσιος. Λυκόφρων «ἄλλοι δὲ πρῶνας δυσβάτους Τυλησσίων» (v. 993). Βολίσσιος, Μυρμίσσιος, Μυγίσσιος, Ἐλαιούσσιος παρὰ τὸ Ἐλαιοῦσσα, Ἐλαιούσιος δὲ παρὰ τὸ Ἐλαιοῦς. Πιτυούσσιος. Ἄκτιος Αἰγεύς, ὡς Εὐφορίων Διονύσῳ. Βυζάντιος, Ἀκαμάντιος, Ἀλλάντιος, Παλλάντιος, Ἀλυβάντιος, Γλισάντιος. Τευθράντιος Εὐριπίδης Λικυμνίῳ «Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός» ἀπὸ τῆς γενικῆς Τεύθραντος, Τευθράνιος δὲ ἀπὸ Τευθρανίας ὡς ἀπὸ Παρρασίας Παρράσιος. Περγάντιος, Προσπάλτιος, Ἁλιάρτιος, Σαγάρτιος, Αἰγύπτιος, Κυπαρισσηέντιος, Συρρέντιος, Σίντιος. Σκίρτιος ἔθνος Παιονίας ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε'. Ἑλλησπόντιος, Εὐρυμεδόντιος, Μεσοπόντιος ὁ Ἐρέσιος Ποσειδῶν. οὕτω γὰρ ἐν Ἐρέσῳ τιμᾶται, πόλει τῆς Λιβύης. Καλλίμαχος Αἰτίων α'. Ἀναφλύστιος, Βυβάστιος ὡς Ἔφορος. Γεραίστιος, Φαίστιος, Βουβάστιος παρὰ Θεοπόμπῳ. Ὀγχήστιος, Τυφρήστιος. Παρθένιος «Τυφρήστιον αἶπος». Λιβύστιος ὡς ἀπὸ τοῦ Λίβυστος τοῦ ἀπὸ Λίβυος ὄντος κατὰ πλεονασμόν. Σήστιος, Ἐλβέστιος ἔθνος Λιβύης. Φίλιστος η' «περὶ δὲ τοὺς Λίβυας...» Ἑκαταῖος Εὐρώπῃ «Ἐλβέστιοι καὶ Μαστιηνοί». Βηρύτιος, Ἀζώτιος, Βούτιος, Καρδύτιος, Κορδύτιος, Μισήτιος, Βουθρώτιος,

---

l. 4 Ἀρκέσιος καὶ Ἀρκείσιος adieci ex E. M. 156, 9 loco maximam partem ex Herodiano sumpto et E. M. 144, 20: Ἀρκείσιος ὁ ἥρως, ὁ πάππος Ὀδυσσέως· παρὰ τὸν ἀρκέσω μέλλοντα Ἀρκέσιος καὶ Ἀρκείσιος. οὕτως Ἡρωδιανός.

Βοιώτιος, Στράτιος, Μυτιστράτιος, Μαδύτιος, Σαββάτιος, Συβότιος, Φοίτιος υἱὸς Ἀλκμέωνος τοῦ Ἀμφιαράου καὶ τὸ ἐθνικόν, ὡς Ἑλλάνικος ἐν τοῖς Τρωϊκοῖς. Ἐλεύτιος ἔθνος τῆς Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ. Πευκέτιος ἔθνος περὶ τὸ Ἰόνιον πέλαγος. Ἡρόδωρος δὲ καὶ Πευκετεῖς αὐτοὺς καλεῖ. Αἰπύτιος «Αἰπύτιον παρὰ τύμβον» (Il. B 604). Ἀκύτιος, Βρέττιος, Βρούττιος. τὸ δὲ πλησίος καὶ ἀντίος σεσημείωται. Σκοτίος, Κλυτίος κύρια καὶ τριβράχεα καὶ τὸ Φρασίος.

Τὰ διὰ τοῦ ιος καθαρὰ πρὸ τοῦ ι η ῆ ῶ ἔχοντα προπαροξύνονται. καὶ τὰ μὲν κατὰ διάλυσιν ἀπὸ τῶν διὰ τοῦ ειος καὶ ἔκτασιν τοῦ ε εἰς τὸ η γίνονται, νήϊος, δήϊος ἐκ τοῦ δέϊος, γήϊος, Τήϊος, ἀφ' οὗ «Πρωταγόρας ὁ Τήϊος». Κήϊος, βασιλήϊος, Ἰλιήϊος, χαλκήϊος, Ὀδυσσήϊος, ἀρχήϊος, Παταρήϊος, Πυθήϊος, Λυρκήϊος, Αἰολήϊος, Μινυήϊος, Τριχωνήϊος, Ἁλήϊος «Ἁλήϊον πεδίον». τὰ δὲ ἀπὸ πλεονασμοῦ ἔχει τὸ η κατὰ τὴν τρίτην συλλαβήν, πολεμήϊος, ποιμνήϊος, ταφήϊος. τὸ δὲ Νυσήϊον (Il. Z 133) ἀμφίβολον· εἰ μὲν γὰρ παρὰ τὸ Νύσιον, πλεονασμὸς τοῦ η. εἰ δὲ παρὰ τὸ Νῦσα, ὤφειλεν εἶναι Νύσειον, ἀλλ' ὥσπερ παρὰ τὸ ἄρειον ἀρήϊον αὐξήσει γέγονεν, οὕτως Νυσήϊον· ὥστε δύναται διαίρεσις εἶναι καὶ ἐπέκτασις, ἀλλ' οὐ πλεονασμός. τὸ δὲ αἰζήϊος ἐπλεόνασε τὸ ι, οὐ τὸ η. τὰ δὲ εἰς ιος τὸ ω κατὰ τὴν τρίτην συλλαβὴν ἔχοντα ἀπὸ τῶν διὰ τοῦ ῳος κατὰ διάλυσιν γίνονται, Κῷος καὶ Κώϊος, Μινῷος καὶ Μινώϊος, λώϊος, πατρώϊος, ἡρώϊος, Τρώϊος, Λητώϊος. τὸ δὲ Ὁμολώϊος «Ζεὺς Ὁμολώϊος» ἐστὶ κατὰ πλεονασμὸν τοῦ ω.

Ἔτι τὰ εἰς ιος μὴ καθαρὰ τῷ η ἢ τῷ ω παραληγόμενα βαρύνεται, ἤπιος, Ἀλμώπιος, Συώπιος ἔθνος προσεχὲς τοῖς Λιβυρνοῖς,

---

l. 7 post ἀντίος addidi σεσημείωται, post Κλυτίος — κύρια καὶ. De Σκοτίος cf. Il. Pr. Z 24, ubi σκότιον ὡς λόγιον· τὸ γὰρ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν, Schol. in Anecd. Paris. III 284 addit: ὡς παρὰ Πινδάρῳ. l. 9 Arcadius post canonem nihil nisi haec exempla habet: νήϊος (AB, ὑήϊος C), δήϊος, γήϊος, λώϊος, πατρώϊος. Haec ducente Theogn. 57, 7 secundum Lobeckii emendationem Proll. 471 amplificavi. νήϊος habet etiam St. B. 473, 14, secundum Theogn. ex νέϊος repetitur, in Ep. Cr. I 295 componitur cum γρήϊος ita ut a νάϊος sic ut γρήϊος ex γράϊος propagetur. γήϊος quod ex γέϊος a γέα ortum putavit Herodianus, habet etiam St. B., quo concidit Lobeckii dubitatio in El. I 449. Κήϊος Τήϊος et Theogn. et St. B. praebent, qui posterior sic explicat: τῆς Κέω τὸ ἐθνικὸν Κέϊος καὶ ἐκτάσει Κήϊος ὡς τῆς Τέω Τέϊος καὶ Τήϊος καὶ Κεῖος διὰ διφθόγγου. βασιλήϊος — ἀρχήϊος ex Theogn., Παταρήϊος — Ἁλήϊον πεδίον ex St. B., qui hoc postremum non ab Ἁλαί, sed ab Ἁλεύς diserte propagat ita ut non pro ἁλαῖον, sed pro ἁλεῖον positum arbitraretur, quod moneo propter Lob. Proll. p. 473. πολεμήϊος — ταφήϊος ex Eustath. 1437, 1 et 257, 12 apposita sunt, adnotamentum de Νυσήϊον ex Cr. An. II 298 cum Lobeckii emendationibus Proll. 471 recepi. αἰζήϊος ex Theogn., qui diserte addit: ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου. — Canonem de nominibus in ωϊος ex Theogn. et St. B. explicavi, qui p. 403, 5 τῆς Κῶ μονοσυλλάβου Κῷος καὶ Κώϊος ὡς Μινῷος Μινώϊος. Ὁμολώϊος ex eodem 493, 6. de his cf. Lob. El. II 47. l. 25 Arcadius habet tantum τὸ Ἀσκληπιός ὀξύνεται, quae verba cum praecedentibus, quae de puris in ιος agunt, non cohaerere per se patet. Equidem iudico Arcadii verba adiecta fuisse canoni eiusmodi,

ὡς Ἑκαταῖος Εὐρώπῃ. τὸ δὲ Ἀσκληπιός ὀξύνεται. τὸν δὲ παραλόγως ὀξύνεσθαι δοκοῦντα Ἀσκληπιόν ὁ Δημοσθένης ἐθεράπευσεν, Ἀσκλήπιον προπαροξυτόνως τολμήσας προφέρειν αὐτόν, ὡς καὶ Πλούταρχος ἱστορεῖ.

Τὰ εἰς λιος ὑπερτρισύλλαβα προπαροξύνεται, εἰ μὴ ὀρνέου κατηγοροίη, ἐνάλιος, Παράλιος, Δενθάλιος καὶ Δενθάλιοι πόλις μία τῶν περιμαχήτων Μεσσηνίοις καὶ Λακεδαιμονίοις, Κυάλιος, Φαρσάλιος καὶ Φαρράλιος διὰ δύο ρρ ὡς Μυρρίνη καὶ κόρρη καὶ «ἐπὶ κόρρης». Μαινάλιος, Οἰχάλιος, Πατάλιος, Δασάλιος ὁ Διόνυσος, θεμέλιος, ἠέλιος, νυκτέλιος, ἀεικέλιος, κειμήλιος, γαμήλιος, Ταργήλιος, ἀπατήλιος. Τήλιος ὄνομα ἔθνους· Ἀνδροτίων ἕκτῳ Ἀτθίδος. Ὀλβήλιος, Ῥακήλιος, Αἰγίλιος, Πραξίλιος, ἐμφύλιος· λέγεται καὶ φύλιος ἄνευ τοῦ ἐν, Παμφύλιος, Τριφύλιος, Μασύλιος, ἔθνος Λιβυκόν. Ἀπολλόδωρος β΄. Πολύβιος ἐν τῷ ἑβδόμῳ Μασυλεῖς αὐτούς φησι. Οἰτύλιος, Αἰτώλιος, ἀποφώλιος, Ὀκώλιος. τὸ μέντοι λαλιός, πελιός ὁ πολιός, σκολιός, φαλιός ὁ λευκομέτωπος, βαλιός ὡς τρισύλλαβα ὀξύνεται. τὸ δὲ Βαλίος ἐπὶ κυρίου παροξύνεται, τὸ δὲ Ἅλιος κύριον προπαροξύνει ἡ συνήθης ἀνάγνωσις. τὸ δὲ Κώλιος αὔλιος ἐστὶ τοπικά. τὸ δὲ αἰγωλιός ὁ ἐρῳδιός, ἐδωλιός, βομβυλιός ὡς ἐπὶ ὀρνέων κατηγορούμενα ὀξύνεται.

Τὰ ἀπὸ ἐνεστώτων γενόμενα εἰς ιος προπαροξύνεται, αἰτῶ αἴτιος, ἁρμόζω ἁρμόδιος, ἀρκῶ ἄρκιος, ἀρτῶ ἄρτιος. τὸ δὲ ἀντῶ ἀντίος σεσημείωται παροξυνόμενον. ὤφειλε δὲ καὶ διὰ τῆς ει διφθόγ-

qualem consulto St. B. composui. De Ἀσκληπιός habemus fragm. ex Epim. Herod. in Anecd. Paris. IV 20 et 180, E. Gud. 83, 5 (E. M. 154, 42): Ἀσκληπιός ὁ ἄγαν σκληρὰ ἤπια ποιῶν τοῦ ᾱ ἐπίτασιν σημαίνοντος· ἢ ὁ τὰ σκέλη καὶ πᾶν σῶμα ὑγιὲς (παρ)έχων καὶ ἀνώδυνον, unde concludi potest Herodianum, quum Ἀσκληπιός ab ἤπιος compositum putaret, de accentus a norma compositorum declinatione sic fere disseruisse ut disputatur ab Eustath. 353, 23: ἡ ὀξυτόνησις τοῦ ὀνόματος ἀπορίαν ἔχει, εἴπερ καὶ ἄλλως αἱ συνθέσεις τοὺς τόνους ἀναβιβάζουσι· καλῶς οὖν ἐποίει Δημοσθένης, ὡς ἱστορεῖται, παροξύνων τὴν λέξιν καὶ ἀναγινώσκων Ἀσκλήπιος, ἡ δὲ αὐτὴ ἀπορία καὶ ἐπὶ τοῦ ἔμπορος καὶ λογεμπόρος et p. 1447, 48: ἰστέον ὅτι ἀπορίαν ἔχει, πῶς δήποτε ὁ μὲν ἔμπορος καὶ ὁ μεγαλέμπορος προπαροξύνονται τῆς ὀξείας τοῦ πόρου ἀναστελλομένης ἐν αὐτοῖς, ὥς που φράζει ὁ Τρύφων, ὁ δὲ λογεμπόρος παρὰ τοῖς ὕστερον κατεβίβασε τὸν τόνον εἰς τὴν παραλήγουσαν. ὅμοιον δὲ εἰς ἀπορίαν καὶ τὸ ἤπιος ὀξυνθὲν ἐν τῷ Ἀσκληπιός. ἐκ τοῦ ἠπίου γὰρ ἔγνωσται συγκεῖσθαι ὁ ἀσκληπιός. ἀπορηθήσεται δὲ τὰ εἰς τόνον καὶ τὸ γαῦρος, εἰ ἐκ βαρυτόνου ὀξύνεται μετὰ σύνθεσιν ἐν τῷ ἀγαυρός et compluribus aliis accentus variationibus allatis: τὸν δὲ παραλόγως ὀξύνεσθαι — ὡς καὶ Πλούταρχος ἱστορεῖ (vit. X rhetorum T. IX p. 360 Reisk.), quae verba in fine adieci. l. 6 Παράλιος — Πατάλιος ex St. B. recepi, ἠέλιος — ἀπατήλιος ex Theogn., Τήλιος pro corrupto Σετήλιος ap. Theogn. cum Stephani explicatione, Ὀλβήλιος — Οἰτύλιος ex St. B., Αἰτώλιος, ἀποφώλιος ex Theogn., Ὀκώλιος St. B. l. 17 Βαλίος ex Il. Pr. Π 149, Ἅλιος ex Eustath. 1538, 33: προπαροξύνει δὲ αὐτὸ (sc. Ἅλιος) κατὰ Ἡρωδιανὸν ἡ συνήθης ἀνάγνωσις cf. Lehrs Arist. p. 269[2] seqq., Κώλιος ex St. B. 400, 18 Κώλιον: Κώλιοι ὡς Σούνιοι, item αὔλιος p. 146, 12. pro τὸ δὲ ἐγολιός ἐρῳδιός scripsi cum Schmidt. αἰγωλιός ὁ ἐρῳδιός, βομβυλιός pro βαμβυλιός secutus Hes. s. v. et Herodianum in libro περὶ παθῶν loco supra p. 116, 22 citato. l. 23 Arcadius haec habet: ὅσα εἰσὶ μονογενῆ ἀπὸ ἐνεστώτων γενόμενα εἰς ιος μὴ ἔχοντα ἐν τῇ τρίτῃ δύο σύμφωνα κατὰ διάστασιν προπαροξύνεται· αἰτῶ αἴτιος, ἁρμόζω ἁρμόδιος, ἀρκῶ ἄρκιος, ἀρτῶ ἄρτιος. τὸ δὲ

γου γράφεcθαι. ὅcα γὰρ μὴ μονογενῆ πρὸ μιᾶc ἔχουcι τὸν τόνον καὶ ἐν τῇ τρίτῃ τὸ ᾱ καὶ δύο cύμφωνα ἢ κατ' ἐπιπλοκὴν ἢ κατὰ διάcταcιν, διὰ τῆc ει̅ διφθόγγου γράφεται, ἀcτεῖοc, Καδμεῖοc, ἀνδρεῖοc, Ἀργεῖοc, Βακχεῖοc. πρόcκειται «μὴ μονογενῆ» διὰ τὸ Βάκχιοc κύριον. τὸ δὲ ἀντίοc cεcημείωται. ἐξηκολούθηcε δὲ κατὰ τὴν γραφὴν τοῖc εἰc ιοc̅ ἀπὸ ἐνεcτώτων γινομένοιc.

Ἔτι καὶ τὰ εἰc ιοc̅ ἀπὸ μέλλοντοc γινόμενα προπαροξύνεται, ὀρθώcομαι ὀρθώcιοc, ἀcπάcομαι ἀcπάcιοc, φυλάξομαι φυλάξιοc, ἀλέξω ἀλέξιοc, κτήcω κτήcιοc, μνήcω μνήcιοc, αἰνήcω Αἰνήcιοc, ἀρκέcω Ἀρκέcιοc καὶ πλεοναcμῷ τοῦ ῑ Ἀρκείcιοc, ἄρcω ἄρcιοc καὶ ἀνάρcιοc, ἄξω ἄξιοc, θαυμάζω θαυμάcιοc. ἅζω τὸ cέβομαι ἅcιοc καὶ τροπῇ τοῦ ᾱ εἰc ο̅ ὅcιοc. ὀξύνεται δὲ τὸ δέξομαι δεξιόc καὶ ἕψομαι ἀνεψιόc. τοῦ δὲ πληcίοc ἀπὸ τοῦ πλητόc ἔχομεν τὴν χρῆcιν· ὁ γὰρ ἄπλητοc ὁ ἀπροcπέλαcτοc, πλητόc πληcίοc ὡc ἄμβροτοc ἀμβρόcιοc τροπῇ τοῦ τέλουc. οὐ γέγονε δὲ τὸ πληcίοc παρὰ μέλλοντα. οἱ γὰρ Λάκωνεc τὰ παρὰ μέλλοντα εἰc τ̅ οὐ τρέπουcιν, ἀλλὰ ἀπὸ τοῦ τ̅ εἰc τὸ c̅· ἐνιαυτόc ἐνιαύcιοc ἐνιαύτιοc λέγουcιν ὑπόμνηcιν διδόντεc τοῦ προτέρου τ̅· πλοῦτοc πλούcιοc πλούτιοc. τὸ δὲ πληcίοc πλατίοc λέγουcιν, ὥcτε οὐ παρὰ μέλλοντα. παρὰ τὸ πέλω παράγωγον πελάζω τὸ προcεγγίζω, ῥηματικὸν ὄνομα πλατόc καὶ πλητόc καὶ κατὰ τροπὴν τοῦ τ̅ εἰc c̅ καὶ κατὰ παραγωγὴν πληcίοc ὡc ἄμβροτοc ἀμβρόcιοc. Πλήcιοc δὲ κύριον ὄνομα ἀνδρὸc ἱεροῦ προπαροξύνεται.

ἀντῷ ἀντίοc cεcημείωται. Quae verba si conferas cum canone orthographico ap. Choer. Cr. II 173, 26: Ἀργεῖοc διὰ τῆc ει̅ διφθόγγου· τὰ γὰρ τοιαῦτα πρὸ μιᾶc τὸν τόνον ἔχοντα καὶ ἐν τῇ πρώτῃ cυλλαβῇ τὸ ᾱ, μεθ' οὗ ἐcτι δύο cύμφωνα ἢ πλείονα, διὰ τῆc ει̅ γράφεται οἷον ἀcτεῖοc, Καδμεῖοc, ἀνδρεῖοc, Βακχεῖοc, πλὴν τοῦ ἀντίοc, intelleges Arcadii verba: ὅcα μονογενῆ μὴ ἔχοντα ἐν τῇ τρίτῃ δύο cύμφωνα κατὰ διάcταcιν spectare ad orthographicum praeceptum, cuius mentionem Herodianus suo more fecerat; equidem μὴ ab ἔχοντα ad μονογενῆ trahendum arbitror ita ut nomina propria velut Βάκχιοc his verbis significentur, porro excidisse τὸ ᾱ et ἢ κατὰ ἐπιπλοκὴν Choerobosci canon docet. Hinc canonem, ut feci, composui ἐξηκολούθηcε δὲ κτλ. adieci collato E. M. 113, 25: ἀντίοc: παρὰ τὸ ἄντω ῥῆμα βαρύτονον γίνεται ἀντῶ περιcπώμενον, ἀφ' οὗ ἄντην ἐπίρρημα καὶ ἀντίοc, ὅθεν καὶ διὰ τοῦ ῑ γράφεται· τὰ παρὰ ἐπιρρημάτων γινόμενα διὰ τοῦ ιοc̅ προπαροξύνεται καὶ διὰ τοῦ ῑ γράφεται οἷον ἶφι ἴφιοc, πρωῒ πρώϊοc. οὕτω καὶ ἄντην ἀντίοc. — κατὰ τόνον μόνον ἥμαρτε, καὶ οὐ κατὰ γραφήν, quae extrema verba indicant etiam huic grammatico scrupulum de scriptura non ignotum fuisse, quem analogia adiectivorum ab adverbiis ductorum evellit, quod et ipsum Herodianum fecisse inde concludi potest, quod paullo infra ap. Arcad. ἀντίοc item ab ἄντην derivatur. l. 7 canonem explevi ex Theogn. 58, 1, Epim. Cr. I 58, 14 (cf. An. Ox. II 322, 23) et E. M. 156, 6, ubi canon explicatissime traditus est. In fine ap. Arcad. legitur: τὸ μέντοι πλήcω πληcίοc καὶ τὸ δέξομαι δεξιόc καὶ ἕψομαι ἀνεψιόc, pro quibus ea, quae in E. M. exstant et propter doctrinae praestantiam Herodiano assignanda sunt (cf. Ahrens de dial. Dor. 60), exhibui. Πλήcιοc proprium addidi ex Eustath. 313, 22 πληcίοc ὁ ἐγγίζων καὶ Πλήcιοc κύριον ἀνδρὸc ἱεροῦ, quod nomen cadit sub eundem canonem atque Μούλιοc Βάκχιοc ap. Arcad. De ἀνεψιόc cf. Ammon. de diff. voc. p. 24: ἐξανεψιοί καὶ ἀνεψιοί διαφέρει· καὶ βαρυτόνωc προφέρονται τοὔνομα. φηcὶ γὰρ Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆc προcῳδίαc, ἐξανέψιοι ὡc ἀμέριμνοι, ἀναcτελλομένηc τῆc ὀξείαc ἐκ τοῦ ἀνεψιοί, ὀνόματοc ὀξυνομένου· εἰcὶ δὲ οἱ μὲν ἀνεψιοί τῶν ἀδελφῶν παῖδεc, καθὰ καὶ ἡμεῖc ἐκδεχόμεθα. ἐξανέψιοι δὲ οἱ τῶν ἀνεψιῶν παῖδεc. cf.

Τὰ διὰ τοῦ ιοϲ τριϲύλλαβα εἰ ἔχοιεν ῡ ἐν τῇ πρώτῃ ϲυλλαβῇ, προπαροξύνεται, εἰ μή τιϲ διαϲτολὴ εἴη ἢ κύριον ὑπάρχοι τρίβραχυ, κύριοϲ, Κύπριοϲ, Τύριοϲ, μύλιοϲ καὶ Μύλιοϲ ἔθνοϲ Φρυγίαϲ. Ἑκαταῖοϲ Ἀϲίᾳ. Πύλιοϲ, Φρύγιοϲ, Κύρνιοϲ, Λύκιοϲ, Λύγκιοϲ, Λύττιοϲ, Λύκτιοϲ, Πύξιοϲ, Μύνδιοϲ, Πύρνιοϲ, Ξύλιοϲ, Ῥύβδιοϲ, Ϲύριοϲ, νύχιοϲ, Ϲτύγιοϲ, Μύϲιοϲ, Πύθιοϲ, βύθιοϲ, δύϊοϲ, κύκλιοϲ. τὸ Τυχίοϲ, Φρυγίοϲ, Πλυτίοϲ, Κλυτίοϲ, Ϲκυφίοϲ παροξύνεται ὡϲ κύρια. μύριοϲ ὁ ὡριϲμένοϲ ἀριθμόϲ, μυρίοϲ ἀόριϲτοϲ. ἑκάτερα δὲ καὶ ὁ μύριοϲ καὶ τὰ μυρία ὤφειλεν ὀξυτονεῖϲθαι κατὰ τὴν τρίτην ἀπὸ τέλουϲ. τὸ γὰρ ἀρϲενικὸν προπαροξύνεται κατὰ τὸ Λύδιοϲ καὶ τὸ μύριον δὲ ὁμοίωϲ, ἐπεὶ τὰ παρεϲχηματιϲμένα οὐδέτερα ἀρϲενικοῖϲ ὁμότονα αὐτοῖϲ ἐϲτιν. καὶ νύμφιοϲ οἶκοϲ προπαροξύτονον, νυμφίοϲ δὲ ὁ γαμετὴϲ παροξύτονον.

Ὅϲα ἀπὸ ἐπιρρημάτων παρῆκται διὰ τοῦ ιοϲ, προπαροξύνεται, πρωῒ πρώϊοϲ, ὀψέ ὄψιοϲ, νόϲφιν νοϲφίδιοϲ, ἶφι ἴφιοϲ, ἀεί ἀΐδιοϲ, ῥέα ῥηΐδιοϲ, ἐκτάδην ἐκτάδιοϲ, ἀμφαδόν ἀμφάδιοϲ, ἐνθάδε ἐνθάδιοϲ, ϲταδόν ϲτάδιοϲ, ὀπίϲθιοϲ, μαψίδιοϲ. ϲεϲημείωται ἄντην ἀντίοϲ, ϲχεδόν Ϲχεδίοϲ ὡϲ κύριον.

* Τὰ διὰ τοῦ ιοϲ τριβράχεα ἐπὶ κυρίων παροξύνεται οἷον Ϲχεδίοϲ, Χρομίοϲ, Κλυτίοϲ, Ὀδίοϲ, Δολίοϲ, Τυχίοϲ. ἀντιπίπτουϲι δὲ κατὰ παράδοϲιν τὸ Ἅλιοϲ, Ἄνιοϲ, Ξένιοϲ, Κρόνιοϲ, Ὕπιοϲ ποταμὸϲ καὶ πόλιϲ ὑπὸ τὴν Ποντικὴν Ἡράκλειαν, ὡϲ Δομίτιοϲ Καλλίϲτρατοϲ ἐν ἕκτῳ τῶν περὶ Ἡρακλείαϲ. λέγεται καὶ ἀρϲενικῶϲ καὶ θηλυκῶϲ. γίνεται δὲ παρὰ τὴν ὑπό πρόθεϲιν ὡϲ Ἄνιοϲ παρὰ τὴν ἀνά καὶ Ἄμφιοϲ ὁ τοῦ Ϲελάγου υἱὸϲ παρὰ τὴν ἀμφί ἐκτάϲεωϲ γενομένηϲ τοῦ ῑ ποιητικῆϲ.

Τὰ εἰϲ ιοϲ τριϲύλλαβα κύρια ἔχοντα τὴν τρίτην μακρὰν προπαρ-

Velsen Tryph. p. 11. l. 3 Μύλιοϲ ex St. B. adieci, unde etiam Κύρνιοϲ — Ῥύβδιοϲ. Ϲύριοϲ — κύκλιοϲ ex Theogn. Verba ἑκάτερα δὲ l. 9 — αὐτοῖϲ ἐϲτιν l. 12 ex Eustath. 15, 32, ubi Ἡρωδιανὸϲ ἑκάτερα ὀφείλειν φηϲί κτλ. Praeceptum de νύμφιοϲ et νυμφίοϲ exstat etiam ap. Choer. Epim. in Psalm. 131, 13 νύμφιοϲ λέγεται ὁ πεποικιλμένοϲ, νυμφίοϲ δὲ αὐτὸϲ ὁ γεγαμηκώϲ cf. An. Ox. II 394, 9. In E. M. 244, 21 haec a regula exceptio reperitur: γυλιόϲ: εἶδόϲ ἐϲτι πήραϲ ϲτρατιωτικῆϲ, ἐν ᾧ ἦν ϲκόροδα καὶ κρόμμυα. ὀξύνεται δέ, οὐχὶ (προ)παροξύνεται.

l. 16 nomina inde ab ἐκτάδην — μαψίδιοϲ sunt ex Theogn., apud quem vitiose ἐταδὸν ἐτάδιοϲ pro ἐνθάδε ἐνθάδιοϲ. Caeterum non mirum est Herodianum supra ἀντίοϲ ab ἄντω, hic ab ἄντην propagare, quum ab utroque descendere possit.

l. 19 hunc canonem ex E. M. 521, 10 huc transtuli omisso fine τὰ εἰϲ οϲ ἀρϲενικὰ μὴ ὄντα κύρια τῷ ῑ παραληγόμενα προπαροξύνεται οἷον δήλιοϲ ὁ φανερόϲ, δόλιοϲ Λύδιοϲ Πύλιοϲ φλόγιοϲ, quum prioribus praeceptis contineatur. Hunc autem canonem vere Herodianeum esse extra dubium ponit Il. Pr. Ε 39: Ὀδίον: πρὸ τέλουϲ ἡ ὀξεῖα, ἐπεὶ κύριόν ἐϲτιν. τὸ δὲ προϲηγορικὸν ὅδιοϲ ὡϲ ϲκότιοϲ. βούλονται γὰρ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων μὲν παροξύνειν, ἐπὶ δὲ προϲηγορικῶν προπαροξύνειν, Τυχίοϲ, Δολίοϲ, κἂν μὴ ϲχῇ διαϲτολήν, ὡϲ τὸ Χρομίοϲ. Πτολεμαῖοϲ μέντοι γε κἂν τῇ Ὀδυϲϲείᾳ (θ 370) ἀνεγίνωϲκεν «Ἀλκίνουϲ δ' Ἁλίον» πρὸ τέλουϲ ποιῶν τὴν ὀξεῖαν· ἔϲτι μέντοι γε διαπεφευγότα τινά, ὡϲ τὸ Ἄνιοϲ καὶ Εὐφορίωνοϲ Ξένιοϲ (v. Mein. Anall. Alex. 23) καὶ ἐν τῇ ϲυνηθείᾳ τὸ Κρόνιοϲ cf. Lehrs de Arist. p. 269[2] seqq. Ὕπιοϲ addidi ex St. B. et Choer. in E. M. 92, 42 et 110, 41.

οξύνεται, Μούλιος, Βάκχιος. Αἴνιος ποταμὸς Περραιβίας. Φήμιος καὶ Εὐφήμιος, Λάϊος, Ἄγριος, Μάντιος, Αἴλιος. Κάλβιος κρήνη Λυκίας, ἣν καὶ Κελαινόν φαϲι. τινὲς δὲ αὐτὴν καὶ διὰ τοῦ μ̄ φαϲίν. Τίβιος ἀφ' οὗ Τίβειον τόπος Φρυγίας. ἐκ τούτου καὶ Τιβίους τοὺς δούλους καλοῦσιν. «Κάριος Διὸς παῖς καὶ Τυρρηβίας, ὡς Νικόλαος τετάρτῳ, ὃς πλαζόμενος περί τινα λίμνην, ἥτις ἀπ' αὐτοῦ Τυρρηβία ἐκλήθη, φθογγῆς Νυμφῶν ἀκούσας, ἃς καὶ Μούσας Λυδοὶ καλοῦσι, καὶ μουσικὴν ἐδιδάχθη καὶ αὐτὸς τοὺς Λυδοὺς ἐδίδαξε καὶ τὰ μέλη διὰ τοῦτο Τυρρήβια ἐκαλεῖτο». Μάσπιος ἔθνος Περσικόν. Θούριοι πόλις Ἰταλίας ἡ πρότερον Σύβαρις ἀπὸ Θουρίας πηγῆς. λέγεται καὶ Θουρία καὶ Θούριον. Κούριος ἔθνος Σαβίνων πολεμῆσαν Ῥωμαίοις. Χάραξ ιβ'. τὸ δὲ Ἑρχίος ὁ ξενίσας Δήμητραν, ἀφ' οὗ Ἑρχιὰ δῆμος, παροξύνεται.

Τὰ εἰς ῑο̄ς̄ ὑπερτρισύλλαβα ἐπὶ ἀλόγων ζῴων ὀξύνεται, αἰγυπιός, χαραδριός, ἐρῳδιός, βομβυλιός, ἀδρυφιός παρὰ Πέρσαις ὁ ἀετός. τὸ δὲ σκορπίος, κωβίος παροξύνεται ὡς τρισύλλαβα.

Τὰ εἰς ο̄ς̄ καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῷ ο̄ μόνῳ παραλήγοντα προπαροξύνονται. τὰ πολλὰ δὲ σύνθετα παροξύτονά τε καὶ προπαροξύτονα. καὶ παροξύτονα μὲν θυοσκόος, λαοσσόος, βροτοσσόος, δορυξόος, λαξόος, βοηθόος, προπαροξύτονον δὲ πρόχοος, δυσήκοος, δίκροος. τὸ δὲ ἀθρόος παροξύτονον ἐπὶ τοῦ ἀθροίζειν, προπαροξύτονον δὲ ἐπὶ τοῦ αἰφνιδίου ὡς καὶ ἄθροος ὁ ἄφωνος κατὰ στέρησιν τοῦ θρόος· «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς» (Δ 437). νῦν δὲ περὶ τῶν ἁπλῶν διαληψόμεθα.

Τὰ εἰς π̄λ̄ο̄ο̄ς̄ ἐντελῆ τῶν εἰς π̄λ̄ο̄ῡς̄ ληγόντων ἁπλᾶ ὄντα παροξύνονται, διπλόος, τριπλόος, ἁπλόος. ταῦτα δὲ ἁπλᾶ εἰσι καὶ οὐ σύνθετα, ὡς ὑπενόησάν τινες. πρῶτον μὲν γὰρ τὸ διπλοῦς καὶ τριπλοῦς οὐδὲν ἐφύλαξαν τοῦ σημαινομένου τοῦ πλοῦς, ἵνα εἴπωμεν αὐτὰ σύνθετα ἐξ αὐτοῦ. δεύτερον δέ, εἰ ἦσαν σύνθετα, ἤμελλον βαρυτονεῖσθαι. ἔχομεν γὰρ ὅτι τὰ εἰς ο̄ῡς̄ ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπῶνται οἷον βοῦς, νοῦς, πλοῦς, χροῦς, θροῦς, θυγατριδοῦς, ἀδελφιδοῦς, χαλκοῦς, χρυσοῦς, πλακοῦς, Σιμοῦς χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ

---

l. 1 post Βάκχιος omisi Σέργιος ut nomen posterioris aevi inter nomina ab Herodiano proposita inculcatum. Αἴνιος, quod explevi ex St. B., usque ad Αἴλιος ex Theogn. 58, 24 addidi, de Μάντιος Schol. Od. ο 242 Μάντιον ὡς Φήμιον. — Κάλβιος — Κούριος ex St. B. l. 12 Ἑρχίος cum spiritu aspero scripsi cum Mein. ad St. B. 282, 9. l. 15 βομβυλιός et ἀδρυφιός addidi ex Choer. Epim. in Psalm. 128, 9 cf. E. M. 380, 30. l. 17 ἐξαιρέτως initio praecepti ut ab epitomatore adiectum omisi. δορυξόος λαξόος βοηθόος apposui ex E. M. 283, 24 et 425, 3; δίκροος ex E. M. 276, 29, ubi Herodianus in libro περὶ παθῶν sic pronunciat: ἐγὼ δὲ νομίζω μᾶλλον παρὰ τὸ κέρας, ὃ δὴ καὶ κέρος, ἵν' ᾖ δίκερος καὶ ὑπερθέσει δίκρεος καὶ τροπῇ τοῦ ε̄ εἰς ο̄ δίκροος cf. Lob. ad Phryn. p. 233 et Parall. p. 42 not. 43. Pro Arcadii verbis: τὸ δὲ ἀθρόος παροξύτονον τὸ ἅμα σημαίνει· τὸ δὲ προπαροξύτονον τὸ ἄφωνον posui adnotamentum E. Orionis 28, 19 ex Herodiano petitum, in quo post αἰφνιδίου inserui ὡς καὶ ἀθρόος ὁ ἄφωνος, atque ex sequente canone, ad quem non quadrat, huc retraxi. l. 25 pro τὰ ὥσπερ ἐντελῆ scripsi τὰ εἰς π̄λ̄ο̄ο̄ς̄ ἐντελῆ. — verba ταῦτα δὲ ἁπλᾶ usque ad ἅπαξ

ὀξύνονται. cύνθετα ὄντα βαρύνονται οἷον εὔπλους, εὔχρους, ἀλκίνους. εἰ ἄρα οὖν τὸ διπλοῦc καὶ τριπλοῦc οὐ βαρύνονται, ἀλλὰ περιcπῶνται, δηλονότι οὐκ εἰcὶ cύνθετα, ἀλλ' ἁπλᾶ. Τρίτον δ' εἰ ἦcαν cύνθετα, κοινὰ ἤμελλον εἶναι τῷ γένει, ὥcπερ ὁ εὔνους καὶ ἡ εὔνους, ὁ εὔπλους καὶ ἡ εὔπλους, ὁ εὔχρους καὶ ἡ εὔχρους· νυνὶ δὲ τὸ θηλυκὸν λέγομεν ἡ διπλῆ καὶ τριπλῆ (Il. Α 128) «τριπλῇ τετραπλῇ τ' ἀποτίcομεν» ὥcπερ ὁ χαλκοῦc καὶ ἡ χαλκῆ, ὁ χρυcοῦc καὶ ἡ χρυcῆ, δηλονότι οὐκ εἰcὶ cύνθετα, ἀλλ' ἁπλᾶ παραγωγά, παρὰ γὰρ τοῦ δίc παρήχθη τὸ διπλόοc καὶ ἀπὸ τοῦ τρίc τοῦ cημαίνοντοc τὸ τρίτον τριπλόοc καὶ ἀπὸ τοῦ τετράκιc τετραπλόοc καὶ ἀπὸ τοῦ πεντάκιc πενταπλόοc, cυγκοπῆc γενομένηc τῆc κιc cυλλαβῆc καὶ ἐπὶ τῶν ἑξῆc ὁμοίωc· καὶ τὸ ἁπλόοc ἀπὸ τοῦ ἅπαξ παρήχθη. τὸ δὲ πρωτόπλοοc καὶ ἁλίπλοοc προπαροξύνεται, ὅτι μὴ ἁπλᾶ.

Τὰ διὰ τοῦ οοc κύρια προπαροξύνεται, Cίcτοοc, Πείροοc, Ἄθοοc ὁ καὶ Ἀθόωc. λέγεται δὲ καὶ Ἄθουc κατὰ cυναίρεcιν καὶ Ἄθωc. Γένοοc ἄρχων, ἀφ' οὗ Γενοαῖοι ἔθνοc Μολοccίαc. τὸ δὲ ὄγδοοc, εἰ καὶ ἐπίθετον, προπαροξύνεται, ἐπειδὴ τὰ εἰc οc τακτικὰ βαρύνεται ὑπεcταλμένων τῶν εἰc τοc, ἕβδομοc, ὄγδοοc, ἔνατοc, δέκατοc. τὸ δὲ εἰκοcτόc, τριακοcτόc καὶ τἆλλα ὀξύνεται. καὶ τὸ ὁλοόc ὀξύνεται ἀπὸ τοῦ ὀλῶ.

Τὰ εἰc οc ὑπερδιcύλλαβα παραληγόμενα υ cυνεcταλμένῳ προπαροξύνεται, cίκυοc, Πέρυοc ὄνομα ποταμοῦ, Φόγγυοc. Αἴγυοc ἐθνικόν, οὗ τὸ θηλυκὸν Λυκόφρων λέγει οὕτωc «καὶ πάντα πλήcεcθ' οὕνεκ' Αἰγύαc κυνόc, τῆc θηλύπαιδοc καὶ τριάνοροc κόρηc» (v. 850). Θεόπομποc δὲ Αἰγυέαc αὐτούc φηcι, Παυcανίαc δὲ Αἰγύταc. Πατράcυοc, Κάνδυοc, Ἀλάcυοc, Ἐρύγυοc, Νώγυοc ὄνομα ποταμοῦ. Μίνυοc, ἀφ' οὗ Μινύα πόλιc Θεccαλική. Cίλλυοc πόλιc Ἰωνίαc πρὸc τῇ Cμύρνῃ. τὸ δὲ Τιτυόc καὶ εἰλυόc ἡ καταδυcιc τοῦ θηρίου ὀξύνεται καὶ τὸ ῡ οὐκ ἔχει cυνεcταλμένον.

παρήχθη l. 12 ex Choer. Dict. 245, 17 recepi, qui Herodiani sententiam profert aliis in E. M. 123, 1, Ep. Cr. I 331 διπλόοc τριπλόοc pro compositis habentibus. De apocope syllabae κιc cf. Herod. περὶ παθῶν in E. M. 346, 15, de accentu praeterea Arcad. 93, 6 et Il. Pr. Μ 26: ἁλίπλοα: τὴν λι, φαcί, cυλλαβὴν ὀξυτονητέον. κατὰ γὰρ αὐτῶν τῶν ἐρειπίων ἡ λέξιc κεῖται, οὐχὶ τὰ ἐν τῇ ἁλὶ πλέοντα cημαίνει· οὕτωc Ἀλεξίων καὶ ἄλλοι· κἀγὼ δὲ cυγκατατίθεμαι τῇ προcῳδίᾳ. ἐκεῖνο γὰρ ἔχω ἀποφήναcθαι, ὡc ὅτι ὁπότερον ἐὰν (sic) cημαίνῃ, προπαροξυνθήcεται· οὕτω γὰρ ἐμελέτηcε τὰ παρὰ τὸ πλέω, εἴγε καὶ τὸ πρωτόπλοοc προπαροξύνομεν· καὶ δῆλον ὅτι εἰc ἀποφυγὴν τῶν οὕτωc παραγομένων, διπλόοc, τριπλόοc.

l. 14 Cίγδοοc pro Cίcτοοc habet E. M. 613, 30: τὰ διὰ τοῦ οοc ὀνόματα προπαροξύνεται οἷον Cίγδοοc Πείροοc. De Ἄθοοc cf. St. B. 36, 10 Ἄθωc λέγεται καὶ Ἄθοοc ὡc τὸ Κῶc Κόοc et de Ἀθόωc Herod. περὶ παθῶν in E. M. 347, 9. λέγεται δὲ καὶ Ἄθουc — Ἄθωc ex St. B. l. c., ex eodem p. 202, 21 Γένοοc. de ὁλοόc cf. Choer. Dict. 245, 7. l. 22 Πέρυοc explicavi ex Theogn. 51, 24, unde etiam pro Φώτιοc substitui Φόγγυοc. Αἴγυοc Πατράcυοc addidi ex St. B., Κάνδυοc — Νώγυοc ex Theogn., Μίνυοc ex St. B. 454, 2, ubi falso Μινυόc scriptum est pariter atque 395, 8. Eustath. 273, 2 adiectivum μινυόc ap. Atticos in usu fuisse dicit. Cίλλυοc ex St. B. De cίκυοc Eust. 291, 37: cικυοί, οὓc οἱ παλαιοὶ καὶ cικύουc παροξυτόνωc ἔγραψαν καὶ cίκυαc ὡc νέκυαc. εἰλυόc accessit ex An. Par. IV 181.

Τὰ εἰc οc καθαρὸν ὑπὲρ δύο cυλλαβὰc τῷ ω μετὰ ι προcγεγραμμένου παραληγόμενα προπεριcπᾶται, πατρῷοc, ἡρῷοc καὶ Ἡρῷοc, ἠῷοc, Ἀχελῷοc ποταμὸc Ἀκαρνανίαc ἀπὸ Ἀχελῴου ἐλθόντοc ἐκ Θετταλίαc μετὰ Ἀλκμαίωνοc καὶ τὸ ἐθνικὸν ὁμοφώνωc, αἰδῷοc, Μινῷοc, Ἐλβῷοc, Cαρδῷοc, Πυθῷοc, Ληθῷοc, Ἰνδῷοc, Γελῷοc ὁ οἰκῶν Γέλαν πόλιν Cικελίαc ἴcωc ἀπὸ τοῦ γέλωc. ὀρεcκῷοc ἀπὸ τοῦ κείω τοῦ cημαίνοντοc τὸ κοιμῶμαι καὶ τὸ ὄροc γέγονεν ὀρέcκειοc καὶ τροπῇ τοῦ ε εἰc ο ὀρέcκοιοc καὶ ἐκτάcει τοῦ ο εἰc ω καὶ μεταθέcει τοῦ τόνου ὀρεcκῷοc καὶ μένει τὸ ι προcγεγραμμένον. προπεριcπᾶται δὲ διὰ τὸν χαρακτῆρα. τὸ δὲ κολῳόc ὀξύνεται ἀπὸ τοῦ κολοιόc. τὸ μέντοι λαγωόc καὶ πατρωόc ὁ ἐν τῇ cυνηθείᾳ πατρυιόc ὀξύνονται, ὅτι οὐκ ἔχουcι τὸ ι προcγεγραμμένον. τὸ δὲ Ἄθωοc τοπικὸν χωρὶc τοῦ ι προπαροξύνεται καὶ τὸ Ἀκρόθωοι πόλιc ἐπὶ τῆc ἄκραc τοῦ Ἄθω καὶ ἔθνοc. τὸ δὲ δηλοῦν τὸ ἀζήμιον προπεριcπᾶται καὶ διὰ τοῦ ι, ἐκ τῆc θῳῆc.

---

l. 1 pro τῇ ω μετὰ ι προcγεγραμμένου διφθόγγῳ καταχρηcτικῇ scripsi τῷ ω μετὰ ι προcγεγραμμένου, quum δίφθογγοc καταχρηcτική dictio posterioris aevi ab Arcadio adhibita sit, non ab Herodiano. In E. M. 26, 30 canon sic conceptus est: τὰ διὰ τοῦ ωοc ἔχοντα τὸ ι ὑπὲρ δύο cυλλαβὰc προπεριcπῶνται χωρὶc τοῦ κολῳόc οἷον Ἀχελῷοc αἰδῷοc ἠῷοc. οὕτω καὶ ἀθῷοc. πρόcκειται «ἔχοντα τὸ ι» διὰ τὸ λαγωόc καὶ πατρωόc. πρόcκειται «ὑπὲρ δύο cυλλαβάc» διὰ τὸ κλῳόc. Hinc ἠῷοc in canonem Arcadii inserui, καὶ Ἡρῷοc ex St. B. l. 3 Ἀχελῷοc ex St. B. explicavi, Μινῷοc — Γελῷοc ex St. adiecta, ὀρεcκῷοc ex Ep. Cr. I 304, 3, An. Paris. III 344, 33. ἀνδρῷοc et ἀcτρῷοc, quae habet Theogn., ut vocabula parvae dignitatis omisi. l. 11 ὁ ἐν τῇ cυνηθείᾳ πατρυιόc apposui ex Ep. Cr. I 349, 24. τὸ δὲ Ἄθωοc usque ad finem addidi ex St. B. 36, 13 et 63, 13. Nam quum Stephanus omnino Herodiani sententiam referat, etiam hoc loco idem fecisse putandus est, praesertim quum ap. ipsum Arcad. p. 87, 12, qui locus congruit fere cum iis, quae canonem ex E. M. prolatum praecedunt, legamus: τὸ δὲ ἀθῷοc προπεριcπᾶται ἀπὸ τοῦ θῳή. Quare Eust. p. 538 extr.: ἀθῷοc κατά τινας προπεριcπωμένωc ὁ ἀζήμιοc, Ζεὺc δὲ Ἄθῳοc προπαροξυτόνωc ὁ ἐν τῷ Ἄθῳ τιμώμενοc. κατὰ μέντοι ἑτέρουc, ὧν ἐcτι καὶ Ἡρωδιανόc, ἀνάπαλιν ὁ μὲν παρὰ τὸν Ἄθων Ζεὺc Ἀθῷοc προπεριcπαcθήcεται κατὰ τὸ ἥρωc ἡρῷοc, Μίνωc Μινῷοc, γάλωc γαλῷοc, τὸ δὲ ἕτερον προπαροξυνθήcεται καὶ ἔcται θωὴ ἄθωοc ὡc ψυχὴ εὔψυχοc, βουλὴ εὔβουλοc, τιμὴ ἄτιμοc parum accurate Herodiani opinionem protulisse arbitror. Nam tamquam eius placitum proposuit, quod ab eo per ἀναcκεύαcιν reprobatum est. Herodianus dixerat: Ἀθῷοc et ἄθωοc scribi debuisse, sed propter causas quasdam praecipuas aliter scripta esse. Nam ἄθωοc adiectivum ex stirpe θωϊή ι subscriptum habere et quum vocabula in ῳοc circumflectantur, hunc accentum contra compositorum normam accepisse; Ἀθῷοc autem, quod sic recte scriptum fuisset, discriminis causa et sine ι et proparoxytonos pronunciatum esse. Hoc apparet ex comparatione locorum iam commemoratorum cum E. M. 26, 19: ἀθῷοc ὁ ἀζήμιοc· ἔχει τὸ ι ἐκ παραδόcεωc, ἐπειδὴ εὕρηται θωϊή, ὡc παρ' Ἀρχιλόχῳ «ὡc δ' ἄν cε θωϊὴ λάβοι» — ὤφειλε δὲ προπαροξύνεcθαι· τὰ γὰρ ἀπὸ τῶν εἰc α καὶ εἰc η θηλυκῶν διὰ τοῦ οc γινόμενα ὀνόματα προπαροξύνονται, κεφαλὴ ἀκέφαλοc, ψυχὴ ἄψυχοc, ὥρα ἄωροc. πρόcκειται ἐν τῷ κανόνι «εἰ μὴ χαρακτὴρ κωλύcει» διὰ τὸ κάρη ἀκαρόc. ὀξύνεται γὰρ ὡc τὸ μαδαρόc. ἀλλ' ἕτεροc κανών ἐcτιν ὁ λέγων ὅτι κτλ., quae iam supra attulimus. De Ἀθῷοc ibid. l. 38: κατὰ τὴν ἀκρίβειαν ὤφειλεν ἔχειν τὸ ι καὶ (προ)περιcπᾶcθαι, ἐπειδὴ ἀπὸ τοῦ Ἄθωc τοῦ ὄρουc ἐγένετο. τὰ δὲ ἀπὸ τοῦ εἰc ωc διὰ τοῦ ωοc παραγωγὰ cὺν τῷ ι γράφεται καὶ (προ)περιcπᾶται οἷον Μίνωc Μινῷοc, πάτρωc πατρῷοc, μήτρωc μητρῷοc, ἥρωc ἡρῷοc. οὕτω καὶ Ἄθωc Ἀθῷοc ὤφειλεν εἶναι, ἀλλὰ πρὸc ἀντιδιαcτολὴν τοῦ ἀθῷοc τοῦ ἐπὶ τοῦ ἀζημίου καὶ τὸ ι ἀποβάλλει καὶ προπαροξύνεται. οὕτωc Χοιροβοcκόc h. e. Herodianus a Choerobosco exscriptus. Caeterum hic non id agitur, utrum Herodianus recte sic deciderit, quod Lobeckius iure negat El. I 147, necne, se quaenam Herodiani opinio fuerit.

Πᾶν εἰc ο̅c̅ καθαρὸν ὑπὲρ δύο cυλλαβὰc τῇ α̅ι̅ διφθόγγῳ παραληγόμενον, εἰ ἀπὸ ὀξυτονουμένου θηλυκοῦ γένοιτο, προπεριcπᾶται, ἀρχή ἀρχαῖοc, κορυφή κορυφαῖοc, πηγή πηγαῖοc, ἀμοιβή ἀμοιβαῖοc, cπουδή cπουδαῖοc, τροπή τροπαῖοc, εὐνή εὐναῖοc. ἔcτι δὲ καὶ Εὐναῖοc ποταμὸc Καρίαc. τὸ μέντοι ἐπιπόλαιοc οὐκ ἀπὸ τοῦ ἐπιπολῆc παρῆκται, ἀλλὰ παρὰ τὸ ἐπιπολάζω· πλὴν οἱ πλείουc αὐτὸ περιcπῶcιν. Ἐπιπολαῖοc δὲ τὸ ἐθνικόν.

* Τὰ ἀπὸ τῶν εἰc α̅ ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ α̅ι̅ο̅c̅ προπεριcπᾶcθαι θέλει, μοῦcα Μουcαῖοc, γενναῖοc, Πιcαῖοc, ἑρcαῖοc, Ἀcαῖοc· παρὰ γὰρ τὸ αἶcα γέγονεν καὶ ἐξέcτη πρότερον τὸ ι̅. οὐ μάχεται τὸ Ἥραιοc προπαροξυνόμενον· πρὸc γὰρ ἀντιδιαcτολὴν τοῦ προπεριcπωμένου ἐπιθετικοῦ ἐγένετο· ὅθεν Ἥραιον πόλιc Θρᾴκηc. Ἡρόδοτοc τετάρτῃ (c. 90), τὸ δὲ τεῖχοc Ἡραῖον. τὸ μέντοι Πείραιοc προπαροξυνόμενον παρὰ ῥῆμα τὸ πειρῶ ὡc παρὰ τὸ φιλῶ Φίλαιοc καὶ παρὰ τὸ βέβηκα βέβαιοc. τὸ δὲ Πειραιόc — οὕτωc ἐκαλεῖτο ὁ λιμὴν τῆc Ἀττικῆc καὶ τὸ ἐθνικὸν ὁμοφώνωc. ὕcτερον δὲ Πειραιεύc. ἔcτι δὲ καὶ τῆc Κορινθίαc λιμήν — πρὸc ἀντιδιαcτολὴν ὀξύνεται.

* Καὶ καθόλου τὰ ἀπὸ τῶν εἰc α̅ ῆ η̅ ῆ εἰc ο̅c̅ παραγόμενα προπεριcπᾶται, ὥρα ὡραῖοc, θύρα θυραῖοc, Πέλλα Πελλαῖοc, Γάζα Γαζαῖοc, ὕλη ὑλαῖοc, πύλη πυλαῖοc, Δίκτη Δικταῖοc, Οἴτη Οἰταῖοc. Cοφοκλῆc «ἐγὼ μὲν ὦ γένεθλον Οἰταίου πατρόc» (Phil. 453), ἀγέλη ἀγελαῖοc. τὸ δὲ Ἀγέλαιοc κύριον προπαροξύνεται, δρόμοc δρομαῖοc, χέρcοc χερcαῖοc, ἤπειροc ἠπειραῖοc, νηcαῖοc, Ἄμυμνοc Ἀμυμναῖοc, Ἄμυροc Ἀμυραῖοc, Ἄπροc Ἀπραῖοc. τὸ δὲ φύλαιοc καὶ δείλαιοc προπαροξύνονται. καὶ τὸ δίκαιοc δὲ καὶ βίαιοc προπαροξύνονται, ἐπειδὴ τὰ ἀπὸ θηλυκῶν παραγόμενα καὶ τὸ ι̅ ἐν τῇ ἀρχῇ ἔχοντα προπαροξύνεcθαι θέλει.

Τὰ παρώνυμα παρ' οὐδετέρων γινόμενα ὀξύνεται, γῆραc γηραιόc, γέραc γεραιόc, κράτοc κραταιόc, εἰ μὴ ἔχοι κτητικὴν cημαcίαν ὡc

---

l. 3 ex Theogn. 51, 27 addidi πηγή — εὐναῖοc, Εὐναῖοc ex St. B., ex eodem in fine Ἐπιπολαῖοc. l. 8 hunc canonem ex Il. Pr. Λ 301 sumpsi, ex St. B. 303, 13 inserui l. 12 ὅθεν — τεῖχοc Ἡραῖον et l. 15 τὸ δὲ Πειραιόc usque ad finem apposui secutus St. B. 513, 15. l. 19 canonem composui ex Theogn. 52, 22 et E. M. 7, 42, ubi: τὰ ἀπὸ τῶν εἰc α̅ καὶ η̅ θηλυκῶν γινόμενα προπεριcπῶνται· τὸ δὲ Ἀγέλαιοc ὄνομα κύριον προπαροξύνεται et 198, 54: τὰ ἔχοντα τὸ ι̅ ἐν τῇ ἀρχῇ καὶ παραγόμενα (pro παράγονται) ἀπὸ θηλυκῶν προπαροξύνονται δίκη δίκαιοc (τιμή Τίμαιοc, hoc omisi, quia Herodianus in Il. Pr. Ε 69 Τίμαιοc a τιμῶ verbo repetit, nisi forte ut ἀντίοc et ab ἀντῶ et ab ἄντην, sic Τίμαιοc et a τιμή et a τιμῶ derivavit), οὕτω καὶ βία βίαιοc. — Δίκτη Δικταῖοc, Οἴτη Οἰταῖοc et χέρcοc — Ἀπραῖοc ex St. B. addidi. Theogn. inter haec a nominibus primae et secundae declinationis derivata refert oxytonon ἐλαιόc, quod ab hoc canone alienum est; fortasse ex alieno loco, ubi ἔλαιοc ὁ κότινοc et Ἐλαιόc proprium (cf. Mein. Anall. Alex. p. 199) comparata erant, huc irrepsit, nisi ex ἐπιπόλαιοc corruptum est. l. 29 hunc canonem ex Arc. 44, 3 huc retraxi et explevi ex Theogn. 52, 15, apud quem explicatiora de ἀραιόc additis verbis οὕτωc Ἡρωδιανὸc ἐν τῇ καθόλου, idem habet E. M. 134, 18 cf. Lob. El. I p. 21. Verba εἰ μὴ ἔχοι —

τὸ κνέφας κνεφαῖος, οὖδας οὐδαῖος. τὸ δὲ ἀραιός ὁ μὴ πυκνὸς παρὰ τὸ ῥαιός ἐν πλεονασμῷ τοῦ α, μετελθούσης τῆς δασείας τοῦ ρ̄ εἰς τὸ ᾰ, καθὼς καὶ ἐπὶ τοῦ ῥέζω καὶ ἕρδω, τὸ δὲ ῥαιός ἀπὸ τοῦ ῥαίω ῥήματος, ὃ δηλοῖ τὸ φθείρω. τὸ δὲ ἀραῖος ἀπὸ τῆς ἀρᾶς. καὶ τὸ ἠβαιός παρὰ τὸ βαιός πλεονασμῷ τοῦ η̄, τὸ δὲ βαιός ἀπὸ τοῦ βῆναι βαός καὶ πλεονασμῷ τοῦ ῑ βαιός ὁ ἐπ' ὀλίγον χρόνον βεβηκώς.

Τὰ διὰ τοῦ αιος ἐθνικὰ προπερισπᾶται, Ἀθηναῖος, Θηβαῖος, Ῥωμαῖος, Αἰγαῖος, Ἀγραῖος ἔθνος Ἀράβιον ὡς ἐν ἑκκαιδεκάτῳ (p. 767) Στράβων. ἔστι δὲ καὶ ἕτερον ἔθνος Ἀκαρνάνων ὡς Θουκυδίδης ἐν τρίτῃ (c. 106. 111. 114). λέγονται καὶ Ἀγραεῖς, ὡς Ἐρατοσθένης. Βακκαῖος Ἱσπανίας ἔθνος. Γαλιλαῖος ἔθνος Ἰουδαίας. Γενοαῖος ἔθνος Μολοσσίας ἀπὸ Γενόου ἄρχοντος αὐτῶν, Ῥιανὸς τετάρτῃ Θεσσαλικῶν. Δερραῖος Θρᾴκιον ἔθνος. Ἡρόδοτος Δερσαίους αὐτούς φησι (7, 110): Δυρβαῖος ἔθνος καθῆκον εἰς Βάκτρους καὶ τὴν Ἰνδικήν. Κτησίας ἐν Περσικῶν ι' «χώρη δὲ πρὸς αὐτὸν πρόσκειται Δυρβαῖοι, πρὸς τὴν Βακτρίην καὶ Ἰνδικὴν κατατείνοντες. οὗτοι εὐδαίμονες ἄνδρες καὶ πλούσιοι καὶ κάρτα δίκαιοί εἰσι, οὔτε ἀδικέοντες οὔτε ἀποκτιννύοντες ἄνθρωπον οὐδένα. ἐὰν δέ τι εὕρωσι ἐν τῇ ὁδῷ ἢ χρυσίον ἢ ἱμάτιον ἢ ἀργύριον ἢ ἄλλο τι, οὐδὲν ἀποκινήσειαν. οὗτοι οὔτε ἀρτοποιέουσι οὔτε ἐσθίουσι οὔτε νομίζουσι ἐὰν μὴ ἱρῶν οὕνεκεν. ἄλφιτα δὲ ποιέουσι λεπτότερα κατάπερ οἱ Ἕλληνες καὶ ἐσθίουσι μάζας ποῶν». Ἑβραῖος. οὕτως Ἰουδαῖοι ἀπὸ Ἀβράμωνος, ὥς φησι Χάραξ. Θαμαναῖος ἔθνος Πέρσαις ὑπήκοον. Ἡρόδοτος τρίτῃ (c. 93). Ἰβαῖος ὁ καὶ Ἰβηνός ἔθνος Κελτικῆς. Λαιαῖος ἔθνος Παιονικόν. Θουκυδίδης δευτέρᾳ (96). Παναῖος ἔθνος Ἠδωνικὸν οὐ πόρρω Ἀμφιπόλεως. Μιναῖος ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Παρθυαῖοι ἔθνος πάλαι μὲν Σκυθικόν, ὕστερον δὲ φυγὸν ἢ μετοικῆσαν ἐπὶ Μήδους, κληθὲν δὲ οὕτως παρὰ Μήδοις διὰ τὴν φύσιν τῆς αὐτοὺς δεξαμένης γῆς ἑλώδους καὶ ἀγκώδους οὔσης, ἢ διὰ τὴν φυγήν, καθότι οἱ Σκύθαι τοὺς φυγάδας πάρθους καλοῦσι. λέγονται δὲ καὶ Πάρθοι καὶ Πάρθιοι. Πλαδαραῖος ἔθνος πρὸς ἄρκτον κείμενον. Πλαραῖος ἔθνος Ἠπείρου. λέγονται δὲ καὶ Πλάριοι. Ῥονδαῖος ἔθνος Θρᾳκικόν. Σινδοναῖος Θρᾴκιον ἔθνος, ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ. Χωραμναῖος ἔθνος Περσικὸν ἀγρίων ἀνθρώπων. Κτησίας ἐν Περσικῶν δεκάτῳ «οὕτω δὲ ταχύς ἐστιν ὁ ἄγριος ἄνθρωπος, ὡς καὶ διώκων τὰς ἐλάφας καταλαμβάνειν». σεσημείωται τὸ Ἀχαιός τὸ ἐθνικὸν καὶ τὸ κύριον ὀξυνόμενον καὶ τὸ Ἐρυσίχαιος

οὐδαῖος apposui monente Lobeckio Parall. 356 not. 67 ex E. M. 539, 18, ubi de scriptura vocis κριός agit Herodianus κριός non a κέρας κεριός per syncopen ortum esse pronuncians, κεραῖος γὰρ ὤφειλεν εἶναι ὡς κνέφας κνεφαῖος, οὖδας οὐδαῖος collato E. M. 417, 3 ubi traditur δηναιός acui, ἵνα μὴ σχῇ τύπον κτητικόν. τὸ δὲ ἀραῖος ἀπὸ τῆς ἀρᾶς ut l. 1 ὁ μὴ πυκνός ex margine cod. A huc recepi. ἠβαιός addidi ex E. M. 417, 15, ubi quae leguntur l. 29 ἠβαιός ὀξύνεται ὡς γηραιός δηναιός, ἵνα μὴ βαρυνόμενον σχῇ κτητικὸν τύπον ὥσπερ Ῥώμη Ῥωμαῖος non Herodiani sunt. l. 7 canonem Arcadii 43, 18 huc transposui. Αἰγαῖος — Χωραμναῖος ex St. B. adieci. l. 36 ad Ἀχαιός addidi τὸ ἐθνικὸν καὶ

προπαροξυνόμενον. ἀλλὰ μήποτε τὸ χαῖον ἔγκειται, ὅ ἐστιν ἡ βουκολικὴ ῥάβδος, καὶ ὁ ἐρύσω μέλλων. διχῶς οὖν ἔσται, ὥς ἐστι δῆλον παρ' Ἀλκμᾶνι ἐν ἀρχῇ τοῦ δευτέρου τῶν παρθενίων ᾀσμάτων. φησὶ γὰρ

οὐκ ἦς ἀνὴρ ἄγροικος οὐδὲ
σκαιὸς οὐδὲ παρὰ σοφοῖσιν, οὐδὲ Θεσσαλὸς γένος,
οὐδὲ Ἐρυσιχαῖος οὐδὲ ποιμήν.

εἰ γὰρ τῷ «Θεσσαλὸς γένος» συναπτέον, ἐθνικόν ἐστι καὶ προπερισπάσθω· εἰ δὲ τῷ «οὐδὲ ποιμήν» συνάψειέ τις λέγων «τὸ οὐδὲ ποιμὴν ἢ ἐρυσίχαιος», πρόδηλον ὡς προπαροξυνθήσεται καὶ δηλοῖ τὸν βουκόλον ἢ τὸν αἰπόλον, πρὸς ὃ τὸ ποιμὴν ἁρμόδιον ἐπαχθήσεται.

Τὰ διὰ τοῦ αιος ὑπερτρισύλλαβα προπερισπᾶται, εἰ μὴ διαστολή τις εἴη ἢ σύνθετον ὑπάρχοι, Ἀθηναῖος, Εἰρηναῖος, ἀρουραῖος, ἀγοραῖος, Ἀμυκλαῖος, κορυφαῖος, Δερκεταῖος, Ἀριδαῖος, Ἱμεραῖος, ἡμεραῖος, ταλαντιαῖος, πηχυαῖος, ὀργυιαῖος, εἰκοσταῖος, τριακοσταῖος, πολλοσταῖος παρ' Εὐβούλῳ «καὶ μὴν οἴκαδέ τι πολλοσταῖος ἀποτρέχω, γύναι». ἀγυιαῖος· Σοφοκλῆς Ἑρμιόνῃ «ἀλλ' ὦ πατρῴας γῆς ἀγυιαίου πέδον». Δωδωναῖος. Ἑκαταῖος Εὐρώπῃ «Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι Δωδωναῖοι» καὶ Κρατῖνος Ἀρχιλόχοις «Δωδωναίῳ κυνὶ βωλοκόπῳ τίτθη γεράνῳ προσεοικώς». καὶ Ὅμηρος «Ζεῦ ἄνα Δωδωναῖε» (Il. Π 233). Ζηνόδοτος δὲ γράφει Φηγωναῖε, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο καὶ Σουίδας δέ φησι Φηγωναίου Διὸς ἱερὸν εἶναι ἐν Θεσσαλίᾳ καὶ τοῦτον ἐπικαλεῖσθαι. ἕτεροι δὲ γράφουσι «Βωδωναῖε». πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. Ἀπολλόδωρος δὲ ἐν α' περὶ θεῶν τὸν Δωδωναῖον οὕτως ἐτυμολογεῖ «καθάπερ οἱ τὸν Δία Δωδωναῖον μὲν καλοῦντες ὅτι δίδωσι ἡμῖν τὰ ἀγαθά, Πελασγικὸν δὲ ὅτι τῆς γῆς πέλας ἐστίν». Κλεωναῖος «Κλεωναίοιο χάρωνος». βωμιαῖος. Σοφοκλῆς Αἰχμαλώτισι «καὶ βωμιαῖον ἐσχάρας λαβὼν λίθον». Ναβαταῖος ἔθνος τῶν εὐδαιμόνων Ἀράβων ἀπὸ Ναβάτου τινός. Παραυαῖοι ἔθνος Θεσπρωτικόν. Ῥιανὸς ἐν τετάρτῳ Θεσσαλικῶν «σὺν δὲ Παραυαίους καὶ ἀμύμονας Ὀμφαλιῆας». καλοῦνται δὲ ἀπὸ τοῦ παρὰ τὸν Αὖον ποταμὸν οἰκεῖσθαι. Τιλαταῖος ἔθνος Θρᾴκης. Θουκυδίδης δευτέρᾳ (c. 96). Τραγασαῖος· Ἀριστοφάνης Ἀχαρνεῦσι (v. 853). Φελεσσαῖος ἔθνος ὅμορον τοῖς Ὀμβρικοῖς πρὸς τῇ Ἰαπυγίᾳ, ὡς Εὔδοξος ἕκτῳ. τὸ ἐρυσίχαιος ὁ βουκόλος ἢ

τὸ κύριον ex St. B. 49, 12 et 51, 8 cf. etiam 151, 6: τὸ ἐθνικὸν Ἀχαιοί· σεσημείωται ὀξυνόμενον. Verba inde ab ἀλλὰ μήποτε usque ad ἐπαχθήσεται ex St. B. 281, 14, ubi τεχνικὸς καὶ Ἡρωδιανός φασιν, ὅτι σεσημείωται τὸ Ἐρυσίχαιος προπαροξυνόμενον ἐν τοῖς ἐθνικοῖς. μήποτε οὖν τὸ χαῖον ἐγκεῖσθαι κτλ., tum post προπερισπάσθω: Ἡρωδιανὸς ἐν ταῖς καθόλου προσῳδίαις καὶ Πτολεμαῖος ἔφη. Mein. technicum Apollonium esse suspicatur, Goettling. de acc. p. 177 Ptolemaeum, sed magis arridet Theodori Bergkii coniectura ad fragm. Alcm. 20 καὶ Ἡρωδιανὸς delendum et pro φασιν φησιν scribendum opinantis. l. 11 canonem Arcadii 43, 11 huc transposui. Nomina ἀγοραῖος — ὀργυιαῖος ex Theogn. recepi, εἰκοσταῖος — πολλοσταῖος ex Ep. Cr. I 369, 1. ἀγυαῖοις — Φελεσσαῖος ex St. B. l. 34 ad ἐρυσίχαιος addidi ὁ βουκόλος ἢ αἰπόλος ex St. B. 281, 14,

αἰπόλος προπαροξύνεται ὡς καὶ τὸ ὑμέναιος. τὸ δὲ Ἀθήναιος κύριον προπαροξύνεται εἰς διαστολὴν ὡς καὶ τὸ ἀγόραιος.

Τὰ τρισύλλαβα ἀπὸ ᾱ ψιλουμένου ἀρχόμενα προπερισπᾶται, Ἀλκαῖος, ἀκμαῖος, Ἀνταῖος, Ἀρναῖος — γέγονε δὲ παρὰ τὴν ἀρὰν ἀραῖος καὶ πλεονασμῷ τοῦ ν ἀρναῖος ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος — ἀρχαῖος, ἀντραῖος. Εὐριπίδης ἐν Αἰγεῖ.

* Τὰ διὰ τοῦ αιος τρισύλλαβα ἔχοντα τὴν πρώτην συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν προπερισπᾶσθαι θέλει, χερσαῖος, ὀρφναῖος, ἑρσαῖος, ἀρχαῖος, Ἀρναῖος, Τρικκαῖος, Ἑρμαῖος, Ὀρθαῖος, Τυμφαῖος ὄνομα ἔθνους, Μενδαῖος, βαρκαῖος εἶδος ἰχθύος, Βυσναῖος ἔθνος Βεβρύκων ἀπὸ Βύσνου βασιλέως αὐτῶν ὑπὸ Ἴλου φονευθέντος. τὸ δὲ Ἕρμαιος πρὸς ἀντιδιαστολὴν διάφορον τόνον ἀνεδέξατο.

* Τὰ διὰ τοῦ αιος τρισύλλαβα ἔχοντα τὴν πρώτην διὰ τοῦ ῡ προπερισπῶνται οἷον ὑλαῖος, χυδαῖος, Λυαῖος, λυγαῖος καὶ Τρυγαῖος ὄνομα κύριον, ὅ τινες προπαροξύνουσιν ὡς ἀπὸ τοῦ τρυγῶ ῥήματος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων.

* Τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ ῑ μὴ ἀπὸ ῥημάτων, προπερισπῶνται, Βιλλαῖος ὄνομα ποταμοῦ, Ἱμαῖος ὄνομα κύριον. Νισαῖος, Πισαῖος, Κρισαῖος, Θιαῖος. τὸ δὲ βίαιος, δίκαιος προπαροξύνονται, τὸ δὲ Φίλαιος, Τίμαιος, Νίκαιος ἀπὸ ῥημάτων.

Τὰ διὰ τοῦ δαιος προπερισπᾶται, Ἰουδαῖος, χυδαῖος, Χαλδαῖος οἱ πρότερον Κηφῆνες. Ἑλλάνικος ἐν πρώτῳ Περσικῶν «Κηφέος οὐκέτι ζῶντος στρατευσάμενοι ἐκ Βαβυλῶνος ἀνέστησαν ἐκ τῆς χώρας καὶ τὴν γῆν ἔσχον .... οὐκέτι ἡ χώρη Κηφηνίη καλέεται, οὐδὲ οἱ ἄνθρωποι οἱ ἐνοικέοντες Κηφῆνες, ἀλλὰ Χαλδαῖοι». εἰσὶ δὲ καὶ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σοφοκλῆς Τυμπανισταῖς «Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος». σπουδαῖος, ῥαγδαῖος, σταδαῖος, Ἀρι-

---

ὑμέναιος ex Theogn., ὡς καὶ τὸ ἀγόραιος ex Il. Pr. N 791. De accentu vocabulorum Μενεδαῖος Ἀριδαῖος Θρασύδαιος cf. Lob. El. II 35. l. 4 Ἀνταῖος — ἀρχαῖος ex Theogn. 52, 31 accesserunt, Ἀρναῖος explevi ex Schol. ad Od. σ 5 et E. M. 146, 11 ubi οὕτως Ἡρωδιανὸς ἐν τῇ ἀνωμάλῳ προσῳδίᾳ. ἀντραῖος ex St. B. l. 6 canonem sumpsi ex Il. Pr. N 791; congruit Theogn. 52, 30, unde Τυμφαῖος — εἶδος ἰχθύος. Βυσναῖος ex St. B. l. 14 hic canon ex Theogn. 53, 1 receptus est, apud quem legimus: Λυγαῖος ὄνομα κύριον προπαροξύτονον τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν; in Schol. ad Arist. Pac. 62: τοῦτο δὲ ὄνομα κύριον (sc. Τρυγαιος) ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ, οἱ δὲ λοιποὶ ὡς τὸ Τίμαιος προπαροξύνουσι et post: Τρύγαιος ὄνομα κύριον ἀπὸ ῥήματος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. καὶ προαναπέμπει τὸν τόνον. ὡς ἀπὸ τοῦ τιμῶ Τίμαιος, οὕτως ἀπὸ τοῦ τρυγῶ Τρύγαιος. ὁ δὲ Ἡρωδιανὸς προπερισπᾷ τὸ Τρυγαῖος, unde concludi potest ab Herodiano id fere scriptum esse, quod supra posui cf. infra p. 134, 3. l. 18 canon ex Theogn. 53, 5 (E. M. 198, 54) depromptus est. De Βιλλαῖος Schol. ad Apoll. B 791: προπερισπωμένως· οὕτω φησὶν Ἡρωδιανὸς ἐν τῷ πέμπτῳ τῆς καθόλου; ap. St. B. 625, 2 et 4, ubi ex Menippo ἐν Παφλαγονίας περίπλῳ profertur, Βίλαιος, p. 703, 13 Βίλλαιος scriptum est. l. 23 ex Arc. 43, 16. Χαλδαῖος ex St. B. explevi, σπουδαῖος — Ἀριδαῖος ex Theogn. 52, 1 reli-

δαῖοϲ, Ὀρδαῖοϲ, Ἐορδαῖοϲ. Ἰδαῖοϲ, Λαδαῖοϲ, Μενδαῖοϲ. τὸ δὲ Πήδαιοϲ προπαροξύνεται ὡϲ παρὰ ῥῆμα γεγονόϲ.

Τὰ διὰ τοῦ λαιοϲ προπεριϲπᾶται, ὑλαῖοϲ, βουλαῖοϲ, Ζηλαῖοϲ. τὸ δὲ δείλαιοϲ καὶ φύλαιοϲ προπαροξύνεται. ἔτι ϲημειοῦνται τὰ ἐν ἀρχῇ πρόθεϲιν ἔχοντα, ἐπιπόλαιοϲ ἢ ἀπὸ ῥήματοϲ ὥϲπερ τὸ Φίλαιοϲ ἀπὸ τοῦ φιλῶ, ἢ ἀπὸ ἐπιρρήματοϲ ὥϲπερ τὸ παλαιόϲ ἀπὸ τοῦ πάλαι καὶ τὰ κατὰ διαϲτολὴν γινόμενα Παλαῖοϲ τὸ κύριον, παλαιόϲ δὲ τὸ ἐπίθετον, Πύλαιοϲ τὸ κύριον καὶ ὁ Ἑρμῆϲ ὁ Πύλαιοϲ πρὸϲ ἀντιδιαϲτολὴν τοῦ τοπικοῦ.

Τὰ εἰϲ μαιοϲ προπεριϲπᾶται, εἰ μὴ διαϲτολὴ γένοιτο κυρίου ἢ εἴη ϲύνθετον, πυγμαῖοϲ καὶ Πυγμαῖοϲ, υἱὸϲ Δώρου τοῦ Ἐπάφου, ἀφ' οὗ Πυγμαῖοι ἔθνοϲ, δρομαῖοϲ, ἀκμαῖοϲ, ἱμαῖοϲ ἡ ἐπιμύλιοϲ ᾠδή. δηλοῖ δὲ καὶ ὄνομα κύριον. ἐρημαῖοϲ. Πτολεμαῖοϲ. Ἰδουμαῖοϲ ἔθνοϲ Ἑβραίων ἀπὸ ἀδώμου (ἄδωμα γὰρ οἱ Ἑβραῖοι τὸ ἐρυθρὸν καλοῦϲιν), ὅτι ξανθὸν βρῶμα δοὺϲ αὐτῷ ὁ ἀδελφὸϲ τὰ πρωτεῖα εἰλήφει. Ῥωμαῖοϲ, Δαλμαῖοϲ ἔθνοϲ παρὰ τοῖϲ Ἰχθυοφάγοιϲ, ὡϲ Ἀπολλόδωροϲ. Ἑρμαῖοϲ, ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Ϲοφοκλεῖ. τὸ δὲ Ἕρμαιοϲ κύριον πρὸϲ ἀντιδιαϲτολὴν προπαροξύνεται καὶ τὸ «ὅθι θ' Ἕρμαιοϲ λόφοϲ ἐϲτίν» (Od. π 471) καὶ τὸ φιλορώμαιοϲ ϲύνθετον ὄν. Τὸ δὲ Τίμαιοϲ ϲεϲημείωται. ἔχει δὲ ἀφορμήν, ὅτι ῥῆμα αὐτοῦ προκατάρχει. καὶ τὸ Εὔμαιοϲ δέ ἐϲτιν ϲύνθετον.

Τὰ διὰ τοῦ χαιοϲ προπεριϲπῶνται, ἀρχαῖοϲ, τροχαῖοϲ, λοχαῖοϲ, λεχαῖοϲ, νυχαῖοϲ, ἡϲυχαῖοϲ, Παγχαῖοϲ. τὸ δὲ Ἀχαιόϲ ὀξυνόμενον καὶ τὸ ἐρυϲίχαιοϲ προπαροξυνόμενον ϲεϲημείωται.

* Τὰ διὰ τοῦ αιοϲ ἔχοντα πρὸ τῆϲ αι ἕν τι τῶν διπλῶν ἢ τὸ ϲ περιϲπῶνται, κοραξαῖοϲ, Γαζαῖοϲ, Ϲτρεψαῖοϲ ὁ Ἑρμῆϲ παρὰ τῷ Ἀριϲτοφάνει παρὰ τὸ διεϲτράφθαι τὰϲ ὄψειϲ, καὶ ἔθνοϲ Μακεδονίαϲ. Νιϲαῖοϲ, χερϲαῖοϲ, Πιϲαῖοϲ, Μουϲαῖοϲ, Δερϲαῖοϲ Θρᾴκιον ἔθνοϲ. Ἡρόδοτοϲ.

Τὰ ἀπὸ ἐπιρρημάτων προπεριϲπῶνται, χύδην χυδαῖοϲ, ἄντην ἀν-

---

qua ex St. B., Πήδαιοϲ ex Il. Pr. Ε 69. l. 3 Arc. 43, 23, pro θηλαῖοϲ scripsi cum Lob. Parall. 342 not. Ζηλαῖοϲ. l. 5 ἢ ἀπὸ ῥήματοϲ — φιλῶ ex Il. Pr. Ε 69 inserui, Πύλαιοϲ in fine adieci ex Il. Pr. Β 842 (E. M. 696, 50) cf. Lob. l. c. et Lehrs. ad Il. Pr. l. c. et Arist. p. 296[2], qui Παλαῖοϲ non cum παλαιόϲ cohaerere, quod si ita se haberet, aut non mutatus esset accentus aut Πάλαιοϲ factum foret, sed a πάλη derivatum esse iure contendit. Etiam Ἀγέλαιοϲ huc referendum est, quod iam supra attuli. l. 10 Arc. 43, 6. pro διαϲτολὴ γένοιτο ἢ κύριον εἴη ϲύνθετον scripsi quod proposuit Schmidt. in programm. Sedinensi (1864) p. 17. — δρομαῖοϲ — ἱμαῖοϲ ex Theogn. 51, 30, ἐρημαῖοϲ, Ἰδουμαῖοϲ, Δαλμαῖοϲ ex St. B. Post Ἑρμαῖοϲ verba ὅθεν — Ϲοφοκλεῖ ex Il. Pr. Ν 791, inde etiam post κύριον inserui πρὸϲ ἀντιδιαϲτολὴν et καὶ — λόφοϲ ἐϲτίν. l. 20 ἔχει δὲ ἀφορμὴν — προκατάρχει ex Il. Pr. Ε 69. cf. Lehrs Arist. p. 295 not. ed. II. Εὔμαιοϲ recepi ex An. Par. III 283, 27, quem locum statim proponam. l. 22 Arc. 43, 19 et Theogn. 52, 11 cf. E. M. 180, 26. Parum accurate canon prolatus est in An. Par. III 303, 3, ubi vitiose Ἐρυϲιχαιόϲ ὄνομα ἔθνουϲ. l. 25 canon ex Theogn. 53, 12 sumptus est, l. 26 Ϲτρεψαῖοϲ explevi ex St. B. s. Ϲτρέψα, Δερϲαῖοϲ expl. ex St. B. Δερραῖοι.

ταῖος. ῥαγδαῖος, σταδαῖος, ἀδαῖος, Ἀγκαῖος παρὰ τὸ ἀγκάς. τὸ μέντοι μάτην μάταιος, τὸ δήν δηναιός, τὸ πάλαι παλαιός.

Τὰ ἀπὸ ῥημάτων περισπῶνται, βέβαιος παρὰ τὸ βέβηκα, Φίλαιος, Νίκαιος, Τίμαιος, Λύαιος, Πείραιος, Πήδαιος· οὐ γὰρ τοῦτο, ὡς οἴεται ὁ Ἄβρων, παρὰ τὴν πῆδον (?)· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθαι.

Τὰ εἰς ειος καθαρὸν τρισύλλαβα ἔχοντα ἐν τῇ τρίτῃ η προπαροξύνεται, θήρειος, μήλειος, χήνειος, κήλειος ὁ καυστικός, Κρήτειος. τὸ μέντοι Ἠτεῖος — ἦν δὲ Ἠτεῖος εἷς τῶν ἑπτὰ σοφῶν, ὡς Δίδυμος συμποσιακῶν δεκάτῳ, Πλάτων δὲ ἐν Πρωταγόρᾳ Χηνέα τοῦτον εἶπεν — Ἠλεῖος, ἠθεῖος προπερισπᾶται οὐκ ἀπὸ συμφώνου ἀρχόμενα. καὶ τὸ μὲν Ἠλεῖος οὕτω γίνεται· ἀπὸ τῆς Ἤλιδος γενικῆς ἀναλόγως Ἠλίδειος ὡς Ἀδωνίδειος καὶ Εὐπολίδειος κτητικῷ τύπῳ καὶ καθ' ὕφεσιν τοῦ δ Ἠλίειος καὶ Ἠλεῖος, ἀφ' οὗ «Ἀλεῖος Ζεύς» (Callim. fr. 99). Τρύφων δέ φησιν, ὅτι Ἠλίεος καὶ Ἠλέϊος καὶ Ἠλεῖος. τὸ δὲ ἠθεῖος ἴσως παρὰ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεονασμὸν τοῦ η ἐγένετο. Τὸ δὲ Κητειός, Πηνειός ὀξύνεται ὡς κύρια. καὶ τὸ Μήδειος κύριον — ἔστι δὲ ἔθνος ὃ καὶ Μῆδοι — προπαροξύνεται καθάπερ Βούδειοι ἔθνος Μηδικόν.

---

l. 1 ῥαγδαῖος — ἀγκάς addidi ex Theogn. 53, 18, unde etiam δήν δηναιός et πάλαι παλαιός. l. 3 ap. Arcad. 44, 3 haec tantum verba exstant καὶ τὸ βέβαιος παρὰ τὸ βέβηκα, explevi canonem ex Il. Pr. Ε 69. Λύαιος addidi ex Theogn. 53, 23, Πείραιος ex Il. Pr. Λ 301. Caeterum non absonum erit conferre canonem in Schol. ad Il. Ε 69 in An. Paris. III 283, 27, quem maximam partem ex Herodiano fluxisse apparet: Πήδαιον: βαρυτονητέον· τὰ γὰρ διὰ τοῦ αιος ὀνόματα τρισύλλαβα κύρια, μὴ ὄντα ἀπὸ ῥημάτων παραγωγὰ μηδὲ σύνθετα ἢ ἀντιδιαστελλόμενα, περισπώμενά εἰσιν οἷον Ἀλκαῖος Ὑβλαῖος Μουσαῖος. μὴ ἀπὸ ῥημάτων εἶπε παραγωγὰ διὰ τὸ τιμῶ Τίμαιος καὶ λύω Λύαιος καὶ φιλῶ Φίλαιος καὶ πηδῶ Πήδαιος, μὴ σύνθετα διὰ τὸ Εὔμαιος, μήτε ἀντιδιαστελλόμενα διὰ τὸ μήν μηνός μηναιός (scribendum videtur Ἀθηναῖος Ἀθήναιος). τὸ μέντοι τρυγῶ Τρυγαῖος οὐ κύριον, ἀλλ' ἐπίθετον Διονύσου. cf. Lehrs de Arist. p. 297 (ed. II) et in Corrigendis. l. 8 Κρήτειος addidi ex St. B. 384, 7. Ἠτεῖος ex eodem p. 305, 2 cf. E. M. 248, 34: Δαρεῖος: τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ειος γινόμενα πρὸ μιᾶς ἔχοντα τὸν τόνον διὰ τῆς ει διφθόγγου γράφεται, δῆρις δηρεῖος καὶ τροπῇ Δαρεῖος οἱονεὶ ὁ πολεμικός. Ἦτις ὄνομα πόλεως καὶ Ἠτεῖος ὁ πολίτης. μάντις μαντεῖος ὁ Ἀπόλλων. πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ἐπειδὴ ἀπὸ τοῦ μάντις γίνεται Μάντιος. — Ἠλεῖος explevi ex St. B. 301, 3 cf. E. M. 426, 31 Ἠλεῖος ὁ πολίτης τῆς Ἤλιδος. διφθογγογραφεῖται, ὥσπερ ἀπὸ τοῦ Εὔπολις Εὐπόλιδος Εὐπολίδειος καὶ ἀπὸ τοῦ Ἄδωνις Ἀδωνίδειος, οὕτω καὶ ἀπὸ τοῦ Ἦλις Ἤλιδος Ἠλίδειος καὶ ἀποβολῇ τοῦ δ Ἠλίειος καὶ κράσει τοῦ ι καὶ τῆς ει διφθόγγου Ἠλεῖος. — ἠθεῖος explevi ex Il. Pr. Ζ 518, ubi verba in textu proposita sequuntur: εἰ καὶ νεωτέρου ἐστὶ πρὸς πρεσβύτερον ἀδελφὸν ἔχουσα σεβασμὸν προσφώνησις· οὐκ ἀγνοῶ δὲ ὅτι συγχεῖται ἐν τοῖς μεθ' Ὅμηρον. cf. E. M. 422, 3 et 22 ubi ἀναλογώτερον δέ ἐστιν ἐκ τοῦ θεῖος (pro θεός scr.) αὐτὸ κανονίζειν ἤπερ ἐκ τοῦ ἔθους· ἐκ γὰρ τοῦ θεῖος καὶ αὐτὴ τάσις σώζεται καὶ ὀλίγα πάθη δίδοται. ἐκ δὲ τοῦ ἔθος καὶ ἀλλότριος ὁ τόνος καὶ πολλὰ τὰ πάθη δίδοται. Κητειός hic p. 44, 10 et 22 Arcadius oxytonos scribendum tradit, sed Herodianus de hoc vocabulo fusius exposuisse videtur ita, ut Κήτειοι (Od. λ 521), si a κῆτος cum Aristarcho ducatur, proparoxytonos, si populum Mysiae significet, oxytonos scribendum esse dixerit. Schol. ad Odyss. l. Κήτειοι: προπαροξυτόνως. καὶ τοὺς μεγάλους ἀκουστέον παρὰ τὸ κῆτος, ὡς καὶ Ἀρίσταρχος, ἄλλοι ἔθνος Μυσίας τοὺς νῦν Ἐλεάτας καλουμένους. Eustath. ad h. l., St. B. 449, 11 coll. Eust. ad Dionys. 1017: Μήδειοι λέγονται προπαροξυτόνως, καθάπερ οἱ παρ' Ὁμήρῳ Κήτειοι et p. 180 (Eust. ad Hom. 1076) Βούδειοι ἔθνος Μηδικὸν ὡς Κήτειοι, unde sumpsi

Τὰ εἰς ειος ἐπιθετικὰ τρισύλλαβα ἔχοντα τὴν πρώτην φύσει ἢ θέσει μακρὰν πλὴν τῶν ἐχόντων τὸ η, περὶ ὧν εἴρηται, καὶ τῶν ἐχόντων ἔννοιαν τοπικὴν προπαροξύνονται, γλαύκειος, δούλειος, χρύσειος, δούρειος, χοίρειος, Κούρειος, ἄρνειος, κνίδειος, σίδειος. τὸ μέντοι Ὀλμειός, Ὀρνειός, Σπερχειός, Σπονδειός, Ἀζειός ἔθνος τῆς Τρῳάδος, ὃ καὶ Ἀζεῶται, ὡς κύρια ὀξύνεται. τὸ δὲ παιδεῖος ὁ παιδικὸς προπερισπᾶται. τὸ δὲ ἀρνειός κατὰ πλεονασμὸν ἔσχε τὴν ει δίφθογγον· ἡ γὰρ ἀρνός γενικὴ μετάγεται εἰς εὐθεῖαν ὡς ἀρνός καὶ κατὰ πλεονασμὸν τῆς ει γίνεται ἀρνειός ὡς ἀμνός ἀμνειός. καὶ τὸ ἀφνειός δὲ ὀξύνεται. τὸ δὲ οἰκεῖος, ἀστεῖος, ἀγρεῖος τοπικὴν ἔχουσιν ἔννοιαν.

Τὰ εἰς ειος τρισύλλαβα κύρια καὶ τὰ πλείω ὀνόματα ποταμῶν ὀξύνεται, Σπερχειός, Ἀλφειός, Πηνειός, Κητειός, Ἐπειός βασιλεὺς καὶ ἔθνος. οὕτως Ὅμηρος τοὺς Ἠλείους φησί. οὕτως δὲ ἐλέγοντο καὶ οἱ ἐν τῷ Δουλιχίῳ ὡς Ἐπαφρόδιτος παρατιθεὶς τὸν Ἀρίσταρχον ἐκδεχόμενον οὕτως. τὸ δὲ Ἀρνεῖος καὶ Δαρεῖος προπερισπῶνται.

Τὰ εἰς ειος τριγενῆ μὴ ἐθνικὰ προπαροξύνεται, εἰ ἀπὸ βραχείας ἄρχοιτο, βρότειος, τέλειος, φλόγειος, λύκειος, βόειος, γέγειος πλεονασμῷ τοῦ γ ἀπὸ τοῦ γέα. τὸ δὲ Ἐπειός κύριον. τὸ δὲ φατειός κατὰ πλεονασμὸν ἔσχε τὴν δίφθογγον.

* Τὰ εἰς ειος ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ α μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μὴ σημαίνοντα μέρος σωματικὸν προπερισπᾶται, ἀνδρεῖος, Ἀργεῖος, Καδμεῖος, Βακχεῖος. τούτοις ὁμοίως καὶ τὸ ἀχρεῖος παρὰ τῷ ποιητῇ περιεσπάσθη. Διονύσιος μέντοι καὶ

Βούδειοι. l. 4 Κούρειος ex St. B. 379, 19 recepi, ἄρνειος ex Choer. Orth. 174, 27: ἄρνειος ὁ πούς. προπαροξύτονον καὶ διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν διὰ τῆς ει γράφεται οἷον ἀνθρώπειος χείρ, ἄρνειος πούς, nam quum ἀρνειός oxytonon et Ἀρνεῖος (sc. ὁ μήν) commemorata sint, verisimile est etiam ἄρνειος proparoxytonon allatum fuisse, κνίδειος σίδειος ex Theogn. 54, 31. Pro Δαρειός, quod falsum esse ex posterioribus, ubi Δαρεῖος diserte circumflectendum praescribitur, apparet, scripsi Ἀζειός ex St. B. 32, 6, nam Δαρδανειός ut quadrisyllabum huc non quadrat. ἀρνειός inserui ex E. M. 146, 33 λέγει ὁ Ὦρος, ὅτι φησὶν ἐν τῇ καθόλου ὁ Ἡρωδιανὸς πλεονάζειν τὴν ει δίφθογγον καὶ γίνεσθαι ἀρνός ἀρνειός ὡς ἀμνός ἀμνειός coll. Choer. Orth. 168, 19, unde etiam sumpsi ἀφνειός. In fine addidi τὸ δὲ οἰκεῖος κτλ., quum Arcadii verba καὶ τῶν ἐχόντων ἔννοιαν τοπικὴν huiuscemodi nomina prolata fuisse innuant; commemorat St. B. 485, 7; 140, 1; 22, 8. l. 13 Ἐπειός explevi ex St. B. 301, 6 cf. Lehrs Arist. p. 231 (ed. II). De fluviorum nominibus cf. Choer. Orth. 172, 14: ἐπὶ ποταμῶν διὰ τῆς ει διφθόγγου γράφεται οἷον Ἀλφειός, Πηνειός, Σπερχειός, Ὀλμειός. Verba Arcadii προπαροξύνεται δὲ ταῦτα ἱττέρειος ἀσκάτειος (in quorum priore latet aut ἑταίρειος aut Νυττέρειος λιμήν in libr. περὶ ποσότ. 292, 23, in altero ἀκάτειος, quod infra ἀκατεῖος pronunciandum esse praecipitur). τὸ δὲ Δαρδανειός ut ab hoc loco aliena omisi, nam hic de trisyllabis agitur.

l. 19 γέγειος ex St. B. 206, 17 adieci. l. 22 hunc canonem sumpsi ex Il. Pr. B 269, Καδμεῖος Βακχεῖος additis ex Choer. Orth. 173, 26 et explevi ex Eust. 217, 39, ubi τοὺς δέ γε ἄλλως περισπῶντας τὸ ἀχρεῖος — αἰτιᾶται Ἡρωδιανὸς λέγων ὡς κτλ. In Ep. Cr. I 12, 25 (E. M. 182, 31) canon nimium decurtatus est: ὤφειλεν εἶναι ἄχρειος, ὅτι τὰ ἀπὸ τῶν εἰς α καὶ η θηλυκῶν συντεθέντα προπαροξύνονται πύλη εὐρύπυλος· ἀλλὰ τὰ διὰ τοῦ ειος ἔχοντα ἐν τῇ πρώτῃ συλ-

Τυραννίων τὴν πρώτην ὀξύνουϲιν, ὥϲπερ καὶ παρὰ τοῖϲ Ἀττικοῖϲ καὶ ἀναλόγωϲ. παρὰ γὰρ τὸ χρεία τὸ κατὰ ϲτέρηϲιν ἄχρειοϲ ὡϲ μοῦϲα ἄμουϲοϲ. τοὺϲ δέ γε ἄλλωϲ προπεριϲπῶνταϲ τὸ ἀχρεῖοϲ, ἐπεὶ ἀχρήϊοϲ λέγεται παρ' Ἡϲιόδῳ, ἡ δὲ ὀξεῖα καὶ ἡ βαρυνομένη ϲυνίζουϲαι περιϲπωμένην ποιοῦϲιν, παραιτητέον, ὡϲ οὐκ ἀεὶ τοῦτο, καθὰ δῆλον ἐκ τοῦ Ἀρήϊοϲ Ἄρειοϲ, βαϲιλήϊοϲ βαϲίλειοϲ, αὐλιζομενάων αὐλιζομένων. διὸ τὸ ἀχρεῖοϲ εἴτε παρὰ τὴν χρείαν εἴτε παρὰ τὸ χρέοϲ προπαροξύνεϲθαι θέλει.

* Τὰ ἀπὸ τῶν εἰϲ $\overline{\text{οϲ}}$ οὐδετέρων παραγόμενα διὰ τῆϲ $\overline{\text{ει}}$ γράφεται καὶ προπαροξύνεται, εἰ μὴ τὸ $\bar{\alpha}$ παραλήγοι ἐν τῷ εἰϲ $\overline{\text{οϲ}}$ λήγοντι οὐδετέρῳ ἢ δύο ϲύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆϲ πρώτηϲ ϲυλλαβῆϲ, τὸ δὲ ἀρκτικὸν τῆϲ δευτέραϲ οἷον ἕλοϲ ἕλειοϲ. διὰ τῆϲ $\overline{\text{ει}}$ διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸ $\bar{\alpha}$· τέλοϲ τέλειοϲ, ὄροϲ ὄρειοϲ, ὄνειδοϲ ὀνείδειοϲ. παρεφυλαξάμην δὲ τὰ δύο ϲύμφωνα διὰ τὸ Ἀργεῖοϲ καὶ τὸ ἑρκεῖοϲ, καὶ τὸ $\bar{\alpha}$, ἐπεὶ φιλεῖ διὰ τοῦ $\bar{\iota}$ γράφεϲθαι ἡ παραγωγή, πελάγιοϲ, ἅγιοϲ, Θάλπιοϲ.

Τὰ εἰϲ $\overline{\text{ειοϲ}}$ ὑπερτριϲύλλαβα μὴ πλεοναζούϲηϲ τῆϲ $\overline{\text{ει}}$ διφθόγγου προπαροξύνεται, Αἰάντειοϲ, Ὁμήρειοϲ, γαλήνειοϲ, Ἱππάρχειοϲ. Ἀλεξάνδρειοϲ, Ἀντιόχειοϲ, Ἑλένειοϲ τόποϲ πρὸϲ τῷ Κανώβῳ, Ἑκαταῖοϲ περιηγήϲει Λιβύηϲ· Βοϲπόρειοϲ. Σοφοκλῆϲ ἐν Φινεῖ πρώτῳ «οὐδ' ἂν τὸ Βοϲπόρειον ἐν Σκύθαιϲ ὕδωρ». Ἰνάχειοϲ ὡϲ Αἰϲχύλοϲ Προμηθεῖ δεϲμώτῃ (v. 589)

πῶϲ δ' οὐ κλύω τῆϲ οἰϲτροδονήτου κόρηϲ
τῆϲ Ἰναχείηϲ, ἣ Διὸϲ θάλπει κέαρ

καὶ (v. 705)

οὔτ' Ἰνάχειον ϲπέρμα τοὺϲ ἐμοὺϲ λόγουϲ.

Ταρτάρειοϲ παρ' Εὐριπίδῃ ἐν Εὐρυϲθεῖ ϲατυρικῷ. Ὑγάϲϲειοϲ «Ὑγάϲϲειον πεδίον». «Σολόγειοϲ λόφοϲ». Ἀπέννειοϲ, Ἀριμάϲπειοϲ, Λυκόζειοϲ ὡϲ Πείϲανδροϲ τεϲϲαρεϲκαιδεκάτῃ. Λυκώρειοϲ Ζεύϲ. Ἀκρώρειοι πόλιϲ Τριφυλίαϲ καὶ τὸ ἐθνικὸν ὁμόφωνον. γερόντειοϲ, λεόντειοϲ, δρακόντειοϲ, Ἀνακρεόντειοϲ, Λαομεδόντειοϲ, Ξενοφώντειοϲ, Δημοφώντειοϲ, Θεώνειοϲ, Τρυφώνειοϲ, Ἀργανθώνειοϲ, Κιθαιρώνειοϲ «λέπαϲ Κιθαιρώνειον». Αὐϲόνειοϲ. Λυκόφρων (v. 1047) «ὁ δ' Αὐϲονείων ἄγχι Κάλχαντοϲ τόπων». Ἀχερόντειοϲ, ὃ διὰ τὸ μέτρον Ἀριϲτοφάνηϲ ἔφη «Ἀχερόντιόϲ τε ϲκόπελοϲ αἱματοϲτεγήϲ» (Ran. 471). Ἠετιώνειοϲ, Ἀβάντειοϲ,

---

λαβῇ τὸ $\bar{\alpha}$ πρὸ μιᾶϲ ἔχει τὸν τόνον. cf. Lob. El. II 40. l. 9 canon exstat in Il. Pr. Φ 467, similiter profertur in E. M. 422, 20: τὰ ἀπὸ τῶν εἰϲ $\overline{\text{οϲ}}$ οὐδετέρων διὰ τοῦ $\overline{\text{ιοϲ}}$ γινόμενα, εἰ μὲν τῷ $\bar{\alpha}$ παραλήγεται διὰ τοῦ $\bar{\iota}$ γράφονται οἷον τὸ ἄγοϲ ἅγιοϲ· εἰ δὲ μὴ παραλήγεται τῷ $\bar{\alpha}$, διὰ τῆϲ $\overline{\text{ει}}$ διφθόγγου γράφεται ὡϲ τὸ τέλοϲ τέλειοϲ, ὄροϲ ὄρειοϲ. St. B. 113, 4 de Ἀργεῖοϲ eam sententiam amplectitur, quae profertur in cod. V ad l. Il. c. τὸ ἐθνικὸν παϲῶν (sc. urbium Ἄργοϲ dictarum) Ἀργεῖοϲ, οὐ παρὰ τὸ Ἄργοϲ οὐδέτερον (ἦν γὰρ διὰ τοῦ $\bar{\iota}$), ἀλλὰ παρὰ τὸν Ἄργον τὸν κτίϲτην. l. 19 nomina inde ab Ἀλεξάνδρειοϲ usque ad Μοψόπειοϲ sumpsi ex St. B. praeter γερόντειοϲ — Τρυφώνειοϲ, quae sunt ex Herod. in

Θοάντειος, Ἀχίλλειος, Διομήδειος, Ἀριστοφάνειος, Αἰόλειος, Ἰορδάνειος, Αἰσχίνειος, Δημοσθένειος, Ἀριστοτέλειος, Ἀσκληπιάδειος, Τεμμίκειος. Μενέλαος δὲ διὰ τοῦ ῑ «Τεμμίκιον ἄστυ» ἐν πρώτῳ Θηβαΐδος φησίν. Πελόπειος, Μοψόπειος. θεμίστειος, ἐπιτήδειος. Νυττέρειος. ἔστι δὲ ὄνομα λιμένος. τὸ δὲ ἀδελφειός ἀπὸ τοῦ ἀδελφός πλεονάζει τὸ ε̄ῑ καὶ τὸ Δαρδανειός δὲ ὀξύνεται. τὰ μέντοι προπερισπώμενα μὴ σημαίνοντα μέρος σώματος εὑρεθέντα ταῦτά εἰσι, πρυτανεῖος, ἑταιρεῖος, μεγαλεῖος, γυναικεῖος, ἀκατεῖος. τὸ δὲ ἑταίρειος ἀναλογώτερόν ἐστι προπαροξύνεσθαι, ὡς γὰρ ἡμέτερος ἡμετέρειος κτητικῶς δηλαδὴ καὶ ἀβέλτερος ἀβελτέρειος ὁ μωρός, οὕτω καὶ ἑταίρειος Ζεὺς ὁ ἔφορος τῆς ἐν τῇ ἑταιρίᾳ κοινωνίας.

Τὰ εἰς ο̄ῑο̄ς̄ ὑπερδισύλλαβα προπερισπῶνται, εἰ ἐπιθετικὰ εἴη ἢ κύρια, ὁμοφωνοῦντα τοῖς ἐπιθέτοις, ἀλλοῖος, αἰδοῖος, ὁμοῖος, γελοῖος, παντοῖος, ἠοῖος. οἱ δὲ μεταγενέστεροι τῶν Ἀττικῶν τὸ γελοῖος καὶ ὁμοῖος προπαροξύνουσιν. τὸ δὲ φλοιός δισύλλαβον καὶ τὸ κολοιός προσηγορικόν. ὀξύνεται δὲ καὶ τὸ ψοθοιός ὁ ἀκάθαρτος. τὸ δὲ Ζάτοιος, Ἄθοιος κύρια ὄντα προπαροξύνονται, οἷς ὅμοιον καὶ τὸ τραπέζοιος, Βοιωτιακὸν ὄν. οἱ γὰρ Βοιωτοὶ τὸ ω̄ καὶ ῑ εἰς τὴν ο̄ῑ δίφθογγον τρέπουσι, τὸ πατρώϊος πατροῖος λέγοντες καὶ τὸ ἡρώϊος ἡροῖος.

E. M. 226, 49 et Ἰορδάνειος — Ἀσκληπιάδειος, quae sunt ex E. M. 139, 46, θεμίστειος ex Schol. ad Pind. Ol. I 18 θεμιστεῖον: Ἡρωδιανὸς προπαροξύνει, ἀναλογώτερον γάρ. ἡ δὲ χρῆσις προπερισπᾷ. — ἐπιτήδειος, quod Choer. Orth. 209, 10 ab ἐπιτηδής, Theogn. 54, 33 ab ἐπιτηδεύω repetit, ex Theogn. Νυττέρειος, quod in ἰττέρειος supra commemorato latere suspicatus sum, ex libr. περὶ ποσότ. 292, 23, ubi praeterea Πεδεύκειος ὄνομα ἀνδρός affertur. Verba καὶ τὸ Δαρδανειός δὲ ὀξύνεται ex superioribus huc traxi. l. 7 pro verbis ἀπὸ τῶν Ὁμήρου λέξεων sensu carentibus posui cum Lob. Parall. 322 not. 22 ex Et. Gud. 383, 52: μὴ σημαίνοντα μέρος σώματος. — ἀκατεῖος, quod Lob. l. c. in Ἑκατεῖος mutare vult, intactum reliqui cf. Schmidt. ad Hesych. s. ἀκάτιον. — τὸ δὲ ἑταίρειος usque ad finem addidi ex Eustath. 1930, 32, ubi ὁ δὲ τεχνικὸς καινότερον προπαροξύνει αὐτόν, γράψας οὕτω ῥητῶς, ὡς κτλ. De omnibus accurate exposuit Lob. ad Ai. 113 seqq. et Parall. l. c. Caeterum multa de nominibus in ε̄ῑο̄ς̄ praecepta periisse, quae nunc restitui iam non possunt, apparet ex vocabulis a St. B. relatis: Κυγχρεῖος, Αἰνεῖος, Νέμειος ἐθνικόν, Ὄγκειος, Ἄλπειος, Σέρρειος, Τάρσειος, Σίγειος, Γρύνειος, Ἕρμειος, Κέγχρειος, Λύρκειος. l. 15 ἠοῖος ex Theogn. 54, 2 apposui. Verba οἱ δὲ μεταγενέστεροι — ὁμοῖος προπαροξύνουσι sumpsi ex E. M. 224, 20, cum quo congruit Il. Pr. Ξ 521: τὸ μὲν ὁμοῖος ὡς ἀλλοῖος ἀναγνωστέον· τὸ γὰρ προπαροξύνειν μεταγενεστέρων ἐστὶν Ἀττικῶν et Schol. ad Dionys. 673, 15, ubi Herodianea prosodiae definitio profertur: τὰ διὰ τοῦ ο̄ῑο̄ς̄ ἅπαντα προπερισπώμενα ἑτεροῖος, γελοῖος, ἀλλοῖος, διὰ τοῦτο καὶ Ὅμηρος τῇ ἀναλογίᾳ χρησάμενος, ὡς ἀεί, φησί, τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον (ρ 218). οἱ δὲ Ἀττικοὶ ὅμοιος λέγουσι. — ψοθοιός addidi ex Theogn. 53, 27, unde etiam Ἄθοιος Τραπέζοιος, de quibus Lob. El. I p. 453, neque accedendum est Schmidtio pro ψοθοιός ψόθιος scribere volenti ad Hes. ψοθίον. Verba οἱ γὰρ Βοιωτοὶ usque ad finem ex E. M. l. c. sumpta sunt. cf. Ahrens de dial. Aeol. p. 193 not. 9. Fuerunt, qui γελοῖος a γέλοιος distinguerent: Epim. Cr. I 101, 8 προπαροξυτόνως λέγεται ὁ γελωτοποιός, προπερισπωμένως δὲ ὁ γέλωτος ἄξιος, quod ab Herodiano abhorret. In E. M. l. c. canon sic conceptus est: τὰ διὰ τοῦ ο̄ῑο̄ς̄ ὀνόματα ὑπὲρ δύο συλλαβὰς ἅπαντα προπερισπᾶται οἷον παντοῖος ἀλλοῖος ἑτεροῖος. οἱ δὲ μεταγενέστεροι τῶν Ἀττικῶν τὸ γελοῖος καὶ ὁμοῖος προπαροξύνουσιν. οὐκ εὖ, tum quae in Ep. l. c. inter γέλοιος et γελοῖος statuitur differentia, additur,

Τὰ εἰς οc καθαρὸν ἔχοντα δίφθογγον τὴν διὰ τοῦ υ ὀξύνεται, ἐπιθετικὰ ὄντα ἢ κύρια ὁμοφωνοῦντα τοῖς ἐπιθέτοις, ἀκουός καὶ ἐπακουός, ἀγαυός καὶ τὸ κύριον καὶ τὸ ἐπίθετον. πρόσκειται «εἰ μὴ ἐπιθετικὰ εἴη, ἀλλὰ κύρια», ὅτι ταῦτα βαρύνεται, Ἀκάλαυος, Πείραυος, Ἄρευος.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ βος, ΕΙΣ γος ΚΑΙ ΤΩΝ ΚΑΘΕΞΗΣ ΜΕΧΡΙ ΤΩΝ ΕΙΣ μος.

ΒΙΒΛΙΟΝ ς'.

Τὰ εἰς βος δισύλλαβα κύρια ἢ προσηγορικὰ βαρύνεται, ὄλβος, λίβος, Λέσβος καὶ ὁ κτιστὴς καὶ ἡ νῆσος, φλοῖσβος, θάμβος τὸ μονογενές, τάρβος. λέμβος, βόμβος, τύμβος, ῥύμβος, στίβος, τρίβος. Στρόβος πόλις Μακεδονίας. Τάβος ἥρως, ἀφ' οὗ Τάβαι πόλις Λυδίας. Θράμβος ἀκρωτήριον Μακεδονίας. Ἴσβος Ἰσαυρίας πόλις, Κύβος ἢ καὶ Κυβώ, πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων, Ὄμβοι πόλις Αἰγύπτου πρὸς τῇ Λιβύῃ. Ἀλέξανδρος ἐν πρώτῳ Αἰγυπτιακῶν. Σάβοι ἔθνος Φρυγίας. λέγονται καὶ ἀντὶ τοῦ βάκχοι παρὰ Φρυξίν. Σάμβος πόλις Ἀράβων καὶ οἱ πολῖται Σάμβοι. Βοῖβος Γλαφύρου υἱός, ἀφ' οὗ Βοίβη πόλις Θεσσαλίας. Στροῖβος ὁ ἀδελφὸς Γύζαντος. σεσημείωται τὸ Βόλβος παροξυνόμενον, ὅτε κύριον, βολβός δὲ τὸ προσηγορικόν, ὥσπερ λοβός μέρος τοῦ ἥπατος.

Τὰ εἰς βος δισύλλαβα ἐπιθετικὰ ὀξύνεται, στραβός, ῥαιβός ὁ μὴ ὀρθός, καὶ κωβός.

---

l. 2 pro οὐκ ἐθνικὰ scripsi consulto canone praecedente, quod sententia flagitat ἢ κύρια μὴ ὁμοφωνοῦντα τοῖς ἐπιθέτοις et postea pro εἰ μὴ ἐθνικὰ εἴη κτλ. εἰ μὴ ἐπιθετικὰ εἴη, ἀλλὰ κύρια i. e. propria, quae primitus sunt propria, non proprie adiectiva. De Ἀγαυός cf. Lehrs Arist. 282 (ed. II). Vocabulum ἀγαυός monadicum esse tradit Herod. Mon. 31, 31: ἀγαυός: οὐδὲν εἰς οc λῆγον ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἀγαυός. In E. Orion. 3, 10 ἀγαυός παρὰ τὸ ἄγαμαι ἀγαός καὶ πλεονασμῷ Αἰολικῷ τοῦ υ ἀγαυός, ὁ δὲ τόνος τοῦ ἀγαυός οὐκ Αἰολικῶς ὡς ναός ναυός, quod non est Herodiani, qui ab γαίω ἀγαιός καὶ τροπῇ τοῦ ι εἰς υ duxit in E. Orion. 30, 8.
l. 10 Λέσβος explevi ex St. B. 50, 1. λέμβος — τρίβος sumpta sunt ex An. Ox. II 397, 6 ubi canon sic profertur: τὰ εἰς βος λήγοντα δισύλλαβα κύρια ἢ προσηγορικὰ μὴ ἐπίθετα βαρύνεται οἷον λέμβος, βόμβος καὶ τὸ προσηγορικὸν καὶ ὄνομα πόλεως (pro quibus quum urbs Βόμβος ignota sit, fortasse scribendum est βόμβος τὸ προσηγορικὸν καὶ Ὄμβος ὄνομα πόλεως), τύμβος, ῥύμβος, στίβος, τρίβος. τὸ δὲ βαλβός (scr. βολβός) ὀξύνεται, ὅτε προσηγορικόν ἐστι, ὁπότε δὲ κύριον, βαρύνεται. φόλβος (quae est varia lectio pro βολβός, quare potius φολβός scribendum). Nomina inde ab Στρόβος — Στροῖβος ex St. B. recepi. In fine iure Schmidtium pro ὄλβος et Ὀλβός suspicatum esse βόλβος et Βολβός ostendit canon in An. Ox. propositus. l. 22 pro κωβός suspicatur Schmidt. βωβός ap. Hesych. Ex canone praecedente concludi potest hic etiam θαμβός τὸ ἐπίθετον ap. Eust. p. 906, 53 commemoratum fuisse.

Τὰ εἰς βος κύρια ἢ προσηγορικὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ἄραβος, κόναβος, ἴαμβος, κάραβος, σάραβος, ἀττέλαβος, ὅπερ οἱ Ἀττικοὶ παραλόγως ὀξύνουσι. Νήραβος πόλις Συρίας. Νικόλαος τετάρτῳ. Ἄμολβος πόλις Μαγνήτων, ὡς Βάλακρος Μακεδονικῶν β', Ἄρισβος ποταμὸς Θρᾳκῶν. Βατάναβος Ἀραβίας σταθμός. Πράσσαιβος ἔθνος Θεσπρωτικόν, Κάνδυβος παῖς Δευκαλίωνος, Μέταβος ἥρως, ἀφ' οὗ Μεταπόντιον. τὸν γὰρ Μεταπόντιον οἱ βάρβαροι Μέταβον ἔλεγον. Πόλυβος. Χάλυβος παρ' Ἑκαταίῳ οἱ Χάλυβες. Καλλάτηβος πόλις Λυδίας. Ἡρόδοτος ἑβδόμῃ (c. 31). Τύρρηβος πόλις Λιβύης ἀπὸ Τυρρήβου τοῦ Ἄτυος. Κάνωβος, ὅπερ ἔδει γράφεσθαι διὰ τοῦ π· οὐδὲν γὰρ εἰς βος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ω παραλήγεται. γράφεται δὲ ὅμως διὰ τοῦ β. Στράβων ἑπτακαιδεκάτῃ (p. 801) «Κάνωβος δ' ἔστι πόλις ἐν εἴκοσι καὶ ἑκατὸν σταδίοις ἀπὸ Ἀλεξανδρείας πεζῇ ἰοῦσιν, ἀπὸ Κανώβου κυβερνήτου Μενελάου, ἀποθανόντος αὐτόθι».

Τὰ εἰς βος ἐπιθετικὰ ὑπὲρ δύο συλλαβάς, εἰ μὴ τὸ η παραλήγοι ἢ σύνθετα εἴη ἀπὸ τῶν εἰς βος ληγόντων, ὀξύνεται, ἐρεμβός καὶ Ἐρεμβοί ἔθνος Ἀραβίας. Ὅμηρος «καὶ Σιδονίους καὶ Ἐρεμβούς» (Od. δ 84), τούτους δέ φησι τοὺς Τρωγλοδύτας ἀπὸ τοῦ εἰς ἔραν βαίνειν. λέγονται καὶ Ἐρεμβαῖοι. τούτῳ δὲ ὁμοίως καὶ Περραιβός ἐθνικόν, οὗ θηλυκὸν κατὰ κοινότητα ἡ Περραιβός καὶ Περραιβή. κολοβός, βουφορβός, ἱπποφορβός. τὸ δὲ ἔφηβος, ἄνηβος παραλήγουσι τῷ η. τὸ δὲ φιλόκυβος σύνθετον.

Τὰ εἰς γος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν προσηγορικὰ ὄντα ἢ κύρια βαρύνεται, πύργος· εἰσὶ δὲ καὶ Πύργοι πόλις Μεσσήνης. σπόγγος, φθόγγος, Γόργος τὸ κύριον, γοργός δὲ τὸ ἐπίθετον. Ἔλγος πόλισμα Λυδίας, ὡς Ξάνθος ἐν Λυδιακοῖς. Λίγγος φρούριον Κασσανδρέων. Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. Σίγγος πόλις παρὰ τῷ Ἄθῳ. τὸ δὲ σαργός ὁ ἰχθῦς ὀξύνεται.

Τὰ εἰς γος ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν ἐπιθετικὰ ὄντα, εἰ μὴ ἔννοιά τις ὑπάρχοι συνθέσεως, ὀξύνεται, γοργός, ἀργός. τὸ μέντοι Ἄργος βαρύνεται, καὶ τὸ μάργος σύν-

---

l. 3 nomina inde a Νήραβος usque ad finem ex St. B. deprompsi praeter Πόλυβος, quod ex Herod. περὶ παθῶν in E. M. 680, 57 est; ad Κάνωβος explicandum adhibui etiam Mon. 13, 29 cf. E. M. 489, 25. l. 17 Ἐρεμβοί et Περραιβός inserui ex St. B., posterius his adiectivis adnumerasse Herodianum inde concludi potest, quod St. B. diserte femininum Περραιβή commemorat. l. 27 Ἔλγος — Σίγγος sunt ex St. B. — Propter accentus inconstantiam omisi Γολγοί πόλις Κύπρου ἀπὸ Γόλγου, pro quo Goettling. de acc. p. 246 Γολγοῦ scribi vult, sed in cod. R. Stephani Γόλγοι scriptum est. Exstat canon etiam in An. Ox. II 355, 21, ubi perverse ἄλγος neutrum appositum est. l. 33 pro Γάγγος cod. AB vel Σάγγος cod. C recepi Goettlingii de accentu p. 216 coniecturam Ἄργος, quae eo se commendat, quod modo ἀργός allatum et Herodiani consuetudo est, ut homonyma comparet. Diserte Schol. ad Dion. 677, 26 in loco, ubi Herodiani definitio prosodiae explicatur: τὸ ΑΡΓΟΣ εἰ μὲν σημαίνει τὸν ῥᾴθυμον, ὀξύνεται·

θετον ὂν ἀπὸ τοῦ μα στερητικοῦ καὶ τοῦ ἔργον· ὁ γὰρ μάργος οὐδὲν ἀγαθὸν ἐργάζεται.

Τὰ εἰς ογος διβράχεα βαρύνεται, λόγος, μόγος, ψόγος.

Τὰ διὰ τοῦ αγος διβράχεα ἐπιθετικὰ καὶ μὴ ἐθνικὰ ὀξύνεται, φαγός, κραγός ὁ κραυγαστικός. τὸ δὲ κράγος ὁ κραυγασμὸς βαρύνεται καὶ τὸ Κράγος ὄρος Λυκίας. Ἀλέξανδρος δευτέρῳ Λυκιακῶν. ἀπὸ Κράγου τοῦ Τρεμίλητος υἱοῦ, μητρὸς δὲ Πραξιδίκης νύμφης. καὶ τὸ Μάγος ἐθνικόν. εἰσὶ δὲ Μάγοι ἔθνος περὶ Μηδίαν.

* Τὰ εἰς γος δισύλλαβα εἰ ἔχοι πρὸ τέλους δίχρονον συνεσταλμένον, κύρια ἢ προσηγορικὰ ὄντα βαρύνεται οἷον κράγος, πάγος, τράγος, χωρὶς εἰ μὴ μεταπλάσσοιτο εἰς γένος οὐδέτερον, ὡς ἔχει τὸ ζυγός εὑρημένον παρὰ τῷ ποιητῇ καὶ οὐδέτερον. τὸ δὲ ζυγός παρ' Ὁμήρῳ οὐ σύνηθες ἐπὶ σταθμοῦ. ζυγὸν γὰρ ἐκεῖνος οἶδεν ἅρματος καὶ ἁμάξης καὶ ζυγόδεσμον ἱμάντα (Ω 270) τὸν ζυγὸν τῶν ζῴων ζευγνύντα. ὅθεν ὑψίζυγος οὐχ ὁ ἄνω σταθμίζων τὰ κατ' ἀνθρώπους δύναται εἶναι. ἔστι δὲ ζυγός καὶ καθέδρα τῶν ἐρεσσόντων, ὅθεν ὑψίζυγος ὁ ὕψι καθέδραν ἔχων κατὰ τὸ «ἐπὶ ζυγοῖς καθέζετο ἀρχῆς» τὸ τοῦ τραγικοῦ (Eurip. Phoen. 72) καὶ τοῦτο δὲ ἀπὸ τῆς κυβερνητικῆς μετενήνεκται καταστάσεως. καὶ τὸ ζυγομαχεῖν ἀπὸ τῶν ἐν πλοίοις ζυγῶν δύναται εἶναι, ὅτε περὶ τὰς καθέδρας διαφέρονται ἐρέσσοντες οἱ ἐρέται. εἰσὶ καὶ Ζυγοί πόλις πρὸς τῷ τῆς Ἀσίας Βοσπόρῳ.

Τὰ εἰς γος δισύλλαβα φύσει μακρᾷ παραληγόμενα ὀξύνεται, εἰ μὴ κύρια εἴη, λοιγός, φηγός, πηγός. τὸ δὲ Λᾶγος κύριον. εἴρηται καὶ τρισυλλάβως «Λάαγος φίλος υἱὸς ἀρίζηλος Πτολεμαῖος». οὐ φύσει οὖν δισυλλαβεῖ, ἀλλ' ἐκ τοῦ τρισυλλάβου γέγονεν.

εἰ δὲ βαρύνεται, σημαίνει ὄνομα τόπου καὶ κυνὸς καὶ ἀνδρός. cf. E. M. 136, 1 Ἄργος ἐκ τοῦ ἀργός ἀρσενικῶς et 9: ὀνομάζει δὲ καὶ (sc. Ἄργος) τὸν Ὀδυσσέως κύνα «ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν, Ἄργος Ὀδυσσῆος» (Od. ρ 292). — de μάργος Schol. ad Od. π 421: βαρυτονητέον τὸ μάργε, ἔδει δὲ ὀξύνεσθαι. l. 5 libri κραγός· τὸ δὲ κράγος ὁ κραυγαστικός βαρύνεται; ego secutus sum Meinekium ὁ κραυγαστικός ad κραγός referentem et Lobeckium Rhem. 280, 17 ὁ κραυγασμός emendantem. Κράγος ὄρος addidi ex St. B. 380, 16. Caeterum de κραγός cf. Schol. ad Arist. Eqq. 487: κραγὸν κεκράξεται: Ἀρίσταρχος ὀξυτόνως ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν Ἀττικῇ προσῳδίᾳ. Μάγος explevi ex St. B. l. 9 canon sumptus est ex Choer. Epim. in Psalm. 76, 29. Verba τὸ δὲ ζυγός παρ' Ὁμήρῳ usque ad οἱ ἐρέται addidi ex E. Gud. 232, 42 ζυγομαχεῖν et Eustath. 460, 25. In E. Gud. legitur: ὁ Ἡρώδοτος (E. M. 412, 26 Ἡρόδοτος) ἀπὸ τῶν ἐν πλοίοις ζυγῶν δύνασθαί φησιν εἶναι τὴν λέξιν, ὅτε περὶ τὰς καθέδρας διαφέρονται ἐρέσσοντες οἱ ἐρέται. Idem habet Suid. s. ζυγομαχεῖν, ad quem locum Bernhardy annotat iam Wesselingium Dissert. Herod. 29 pro Ἡρόδοτος Ἡρωδιανὸς scribendum monuisse. Eustath. postquam alteram vocabuli ὑψίζυγος interpretationem, ex qua τὸν ἄνω σταθμίζοντα τὰ κατ' ἀνθρώπους significet, attulit, pergit: ἐς τοῦτο δὲ ὑπεναντιοῦται ὁ εἰπὼν ὅτι ζυγὸς παρ' Ὁμήρῳ — μετενήνεκται καταστάσεως et tum: λέγει δὲ καὶ ὁ ῥηθεὶς προσεχῶς παλαιός· ζυγὸς καὶ καθέδραι ἐρεσσόντων ὅθεν ὑψίζυγος ὁ ὕψι καθέδραν ἔχων. Quem antiquum neminem alium existimo nisi ipsum Herodianum, ex quo hausta sunt quae leguntur ap. Philem. p. 177 n. 254 Osann. auctoris nomine suppresso. Ζυγοί πόλις ex St. B. adieci. l. 23 πηγός accessit ex Epim. Cr. I 263, 31, unde etiam ad Λᾶγος addidi εἴρηται καὶ usque ad finem. Hic locum habuisse videtur etiam Βρυγοί cum υ producto in Schol. Apoll. Δ 470 ἔθνος Ἰλλυρίας et fortasse sic con-

Τὰ εἰς γος ὑπερδισύλλαβα βραχείᾳ παραληγόμενα προπαροξύνεται, πάταγος, ἔλεγος ὁ θρῆνος. Τεκτόσαγος. Ὤγυγος υἱὸς Τερμέρας, ἀφ' οὗ Λύκιοι Ὠγύγιοι λέγονται. ἀσπάραγος κυρίως ὁ ἐπὶ τοῦ ἑλείου ἢ ὀρείου ὁ μὴ σπειρόμενος. ἀσφάραγος ὁ λεγόμενος φάρυγξ.

Τὰ εἰς γος τρισύλλαβα ἀρσενικὰ φύσει ἢ θέσει μακρᾷ παραληγόμενα, μὴ διπλασιαζομένου τοῦ γ, χωρὶς εἰ μὴ κύρια εἴη καὶ ἔννοιαν συνθέσεως ἔχοι, ὀξύνεται, ἀρηγός, πελαργός, ἀμολγός, βροτολοιγός, ἀρρωγός. Πελασγός ἐθνικὸν ὁμώνυμον τῷ κτίστῃ, Ἀβασγός ἔθνος Σκυθίας. Χολαργός. οὕτω Δίδυμος καὶ Διόδωρος τὸν δῆμον τῆς Ἀκαμαντίδος φυλῆς καλοῦσι, Διονύσιος δὲ Χολαργεῖς. Ἱππημολγός ἔθνος Σκυθικὸν παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν. τὸ δὲ Ἄμολγος προπαροξύτονον ἐπὶ τῆς νήσου οὐκ ἀρσενικόν. λέγεται δὲ καὶ Ἄμοργος, ὡσαύτως καὶ Σολόγοργος πόλις Ἀρκαδίας ἡ καὶ Ἥραια. τὸ δὲ Σύναγγος πόλις Φοινίκης καὶ Σάλαγγος ἔθνος Ἰταλίας — ἔστι δὲ καὶ ἕτερον ἔθνος Ἰνδικόν — διπλασιαζόμενον ἔχει τὸ γ. καὶ τὸ Ὅμαργος σύνθετον ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ ἀργός. ἔστι δὲ ὄνομα κυνός.

* Τὸ ὀλίγος προπαροξύνεται. ἔστι δὲ μονῆρες. οὐδὲν γὰρ εἰς γος ὑπὲρ δύο συλλαβὰς τῷ ι παραλήγεται, ἀλλὰ μόνον τὸ ὀλίγος. Μήτι οὖν Ταραντῖνοι χωρὶς τοῦ γ προφερόμενοι τὴν λέξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δούλῳ Μελεάγρῳ

ὀλίοισιν ὑμῶν ἐμπέφυκ' εὐψυχία

καὶ ἐν Ἰοβάτῃ

χρῄζω γὰρ ὀλίον μισθὸν αὐτὸς λαμβάνειν.

Πλάτων μέντοι ὁ κωμικὸς διαπαίζει τὴν λέξιν ὡς βάρβαρον.

Τὰ εἰς δος διβράχεα ἀρσενικὰ καὶ θηλυκὰ κύρια βαρύνονται. εἰ δέ τι ὀξυνθῇ, τοῦτο θηλυκὸν προσηγορικὸν εὑρέθη τῷ ο παραλῆγον, κλάδος, Ἄδος πόλις Κιλικίας, κάδος καὶ Κάδοι πόλις Μυσίας. Στράβων ιβ' (p. 576) «καὶ Δορυλάειον πόλις καὶ Κάδοι». Ῥόδος νῆσος.

---

ceptus fuit canon: εἰ μὴ εἴη κύρια ἀπὸ τρισυλλάβου γενόμενα. l. 2 Τεκτόσαγος et Ὤγυγος adiecta sunt ex St. B. 612, 1 et 705, 18, ἀσπάραγος ex E. Gud. 84, 35, ἀσφάραγος ex E. Gud. 87, 52. l. 8 ἀρρωγός apposui ex canone in An. Ox. II 343, 4, qui cum Arcadio congruit. Πελασγός — Ἱππημολγός ex St. B. Pro Ἄμολγος librorum non necesse est Ἄμοργος cum Schmidtio scribere, ut docuit Meinek. ad St. B. 76, 10; sed Ἄμοργος addendum indicavi ex St. B. s. Ἀμοργός, ubi oxytonos scriptum est, sed proparoxytonesin tuetur etiam canon in An. Ox. l. c. Σολόγοργος ex St. B., ubi acuitur. τὸ δὲ Σύναγγος ex St. B. 591, 21, ubi: Ἡρωδιανὸς ἐν ἕκτῳ φησί, Σύναγγος πόλις Φοινίκης; item Σάλαγγος. Ex hoc canone etiam χαλαργός, quod in Sophocl. Electr. 861 oxytonos scriptum est, gravandum erit ut πόδαργος. l. 17 praeceptum de ὀλίγος ex Mon. 19, 24 et libro περὶ παθῶν in E. M. 621, 51 composui. l. 25 post θηλυκὰ addidi κύρια monente Schmidtio, quum sequens θηλυκὸν προσηγορικὸν id Herodianum voluisse demonstret. Pro ἄδος, quum neutrum sit, Lob. Rhem. 307 not. 26 μάδος, Goettling. de acc. 217 γάδος proponit, Schmidtius ἄδος satietatem masculino genere E. Magni loco, 18, 26 ἄδον ἀρέσκειαν σημαίνει ἢ γνώμην ἢ κόρον ἢ κόπον defendi posse opinatur, sed praeferenda est altera eius suspicio exhibendum esse Ἄδος ap. St. B. 588, 21, quo posito etiam exemplum, quod verba θηλυκὰ κύρια indicant, lucramur. Κάδοι ex St. B., ex eodem Ῥόδος. Parum accurate profertur canon in Epim. in Psalm. 21, 26 a Choerobosco: τὰ εἰς δος δισύλλαβα

τὸ μέντοι ὁδόc καὶ cποδόc ὀξύνεται ὡc θηλυκὰ προcηγορικὰ τῷ ο̄ παραλήγοντα.

Τὰ εἰc δοc διcύλλαβα ο̄ ἢ ου̅ ἢ οι̅ διφθόγγῳ ἢ η̄ παραληγόμενα, εἰ μὴ cύνθετα ὑπάρχοι ἢ ἐθνικά, ὀξύνεται, ὁδόc, cποδόc, οὐδόc· τὸ δὲ φροῦδοc ἀπὸ τοῦ πρόοδοc cύνθετον καὶ τὸ Μῆδοc ἐθνικόν. cεcημείωται τὸ cκοῖδοc παρὰ Μακεδόcιν ὁ οἰκονόμοc καὶ τὸ χλῆδοc προπεριcπώμενα καὶ τὸ Ῥόδοc παροξυνόμενον.

Τὰ εἰc δοc ἀρcενικὰ φύcει μακρᾷ παραληγόμενα βαρύνεται Μῆδοc υἱὸc Μηδείαc καὶ τὸ ἐθνικὸν ὁμοφώνωc τῷ πρωτοτύπῳ, νῖδοc (?) Ζεῦδοc (?). Βλαῦδοc πόλιc Φρυγίαc. τὸ μέντοι καυδόc θηλυκὸν ὥcπερ καὶ τὸ μαυδόc. cεcημείωται τὸ Μαιδόc ἔθνοc Θρᾴκηc πληcίον Μακεδονίαc καὶ Ἠδόc ἔθνοc Cκυθικόν. Ἑκαταῖοc Εὐρώπῃ καὶ Λυδόc.

Τὰ εἰc δοc διcύλλαβα ἔχοντα πρὸ τοῦ δ̄ cύμφωνον κατ' ἐπιπλοκὴν βαρύνεται, Cόγδοc ὁ οἰκήτωρ Cογδιανῆc. λέγεται καὶ Cόγδιοc. ῥάβδοc. ἄcδοc cτήλη λιθίνη, λύγδοc, Ῥύβδοc φρούριον Cικελίαc.

Τὰ εἰc δοc διcύλλαβα ἔχοντα πρὸ τοῦ δ̄ cύμφωνον κατὰ διάcταcιν βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη, Λίνδοc πόλιc ἐν Ῥόδῳ κτίcμα Λίνδου τοῦ Κερκάφου, τοῦ Ἡλίου καὶ Κυδίππηc, τῆc Ὀχίμου θυγατρόc. ἔcτι καὶ Cικελίαc πόλιc Λίνδοc. Cίνδοc ἔθνοc ἀπὸ μεcημβρίαc τῆc Μαιώτιδοc λίμνηc. τινὲc δὲ ὀξυτονοῦcιν, οὐκ εὖ, Πίνδοc, νάρδοc, μάρδοc αὐλοῦ εἶδοc καὶ ἔθνοc Ὑρκάνιον. Ἀπολλόδωροc περὶ γῆc δευτέρῳ. πάρδοc. Cάρδοc πόλιc Ἰλλυρίαc, Βάλδοc πόλιc Φοινίκηc, Χάλδοc ἔθνοc τῆc Ἀρμενίαc. οὕτωc γὰρ λέγεcθαι ἐπεκράτηcεν ἡ cυνήθεια διcυλλάβωc, οὐ Χαλδαίουc. Μύνδοc πόλιc Καρίαc. Ἑκαταῖοc Ἀcίᾳ. Γόρδοc ἔθνοc, ὃ καὶ Γορδυαῖοc καὶ Γόρδοχοc καλεῖται. cεcημείωται τὸ Ἰνδόc ποταμὸc καὶ ἐθνικὸν καὶ Ὀρδόc ἔθνοc Μακεδονίαc. λέγονται καὶ Ὀρδαῖοι, ὡc Νίκανδροc. τὸ δὲ λορδόc ἐπίθετον καὶ ὁ μυνδόc ὁ ἄφωνοc, ἀφ' οὗ «μυνδότεροι νεπόδων» παρὰ Καλλιμάχῳ.

διβράχεα θηλυκά, προcηγορικὰ ὄντα, ὀξύνεται οἷον cποδόc ὁδόc. l. 3 monente Schmidtio addidi ο̄ usque ad ἐθνικά, ipse apponens ἢ ου̅ ἢ οι̅ διφθόγγῳ propter exempla in canone prolata. Non dubito, quin cum Μῆδοc comparatum fuerit Ἠδόc, quod in sequente canone proposui, sic fere, ut propter vocalem in principio exemptum fuerit. In fine etiam hic Ῥόδοc adieci. l. 9 νῖδοc, de quo tacet Schmidt, non expedio, pro Ζεῦδοc G. Dindorf. in Thesaur. Γαῦδοc scribi vult, etiam Βλαῦδοc, quod ex St. B. addidi, loco corrupti Ζεῦδοc positum fuisse potest. Μαιδόc usque ad finem ex St. B. apposita sunt. l. 14 κατ' ἐπιπλοκὴν addidi propter sequentem canonem; pro ὄγδοc ex St. B. scripsi Cόγδοc. λύγδοc ex Epim. in Psalm. 94, 6, Ῥύβδοc ex St. B. In E. M. 701, 43 canon sic conceptus est: τὰ εἰc δοc διcύλλαβα εἴτε θηλυκὰ εἴτε κύρια εἴτε προcηγορικὰ μετ' ἐπιπλοκῆc cυμφώνου βαρύνεται, φροῦδοc (?) pro quo scribendum videtur Ῥύβδοc φρούριον, πάρδοc, Cάρδοc, ῥάβδοc προcηγορικόν. l. 18 Λίνδοc et Cίνδοc explevi ex St. B., de Cίνδοc Schol. Apoll. Δ 331: Cίνδοι Ἡρωδιανὸc ἐν τῷ ἕκτῳ τῆc καθόλου βαρυτονεῖν φηcι δεῖν. — μάρδοc explevi ex St. B. 432, 15, sed accentus ethnici non constat, nam p. 83, 15 Ἀμαρδοί ἔθνοc Ὑρκανῶν ἐγγύc. Cτραβων ια'· εἰcὶ καὶ Περcῶν Μαρδοὶ δίχα τοῦ ᾱ acuitur. πάρδοc accessit ex canone E. M. modo laudato, Cάρδοc — Γόρδοc ex St. B., ex eodem Ὀρδόc. λορδόc pro Κονδόc cum Mein. propter St. B. 157, 5 exhibui, unde etiam verba ἀφ' οὗ usque

Τὰ εἰϲ δοϲ ὑπερδιϲύλλαβα βραχείᾳ παραληγόμενα προπαροξύνεται, ὅμαδοϲ, κέλαδοϲ, Ἄραδοϲ νῆϲοϲ Φοινίκηϲ. ἔϲτι καὶ ἑτέρα τῆϲ Ἐρυθρᾶϲ θαλάϲϲηϲ. τρίτη Κρήτηϲ. Μαϲανώραδοϲ Κινδαψοῦ παῖϲ, ἀφ' οὗ Μαϲανώραδα πόλιϲ Καρίαϲ. Τένεδοϲ νῆϲοϲ τῶν Ϲποράδων, ὡϲ Ἑκαταῖοϲ, ἐν Ἑλληϲπόντῳ. ἔϲτι καὶ πόλιϲ Τένεδοϲ πρὸϲ τῇ Λυκίᾳ. Ἀπολλόδωροϲ δὲ Παμφυλίαϲ αὐτήν φηϲιν. Λέβεδοϲ, Κάπεδοϲ, Ἄλγιδοϲ πόλιϲ Ἰταλίαϲ, Νάγιδοϲ πόλιϲ μεταξὺ Κιλικίαϲ καὶ Παμφυλίαϲ. Ἑκαταῖοϲ Ἀϲίᾳ «μετὰ δὲ Νάγιδοϲ πόλιϲ, ἀπὸ τοῦ Νάγιδοϲ κυβερνήτου καὶ νῆϲοϲ Ναγιδοῦϲϲα». κόρυδοϲ, ὅπερ οἱ Ἀττικοὶ ὀξύνουϲιν.

Τὰ εἰϲ δοϲ ὑπερδιϲύλλαβα ἔχοντα κατ' ἐπιπλοκὴν ϲύμφωνον κύρια ἢ προϲηγορικὰ βαρύνεται, μόλυβδοϲ, ϲμάραγδοϲ, Κύαρδοϲ βαϲιλεὺϲ Καρῶν, υἱὸϲ Βαργάϲου. Λίχανδοϲ πόλιϲ Ϲικελίαϲ. Φίλιϲτοϲ Ϲικελικῶν τρίτῳ. Ληψίμανδοϲ πολίχνιον Καρίαϲ. Κύλλανδοϲ πόλιϲ Καρίαϲ. Ἑκαταῖοϲ Ἀϲίᾳ. Ἄϲπενδοϲ πόλιϲ Παμφυλίαϲ, Ἀϲπένδου κτίϲμα, ὡϲ Ἑλλάνικοϲ ἐν πρώτῃ Δευκαλιωνείαϲ. Βενέβενδοϲ πόλιϲ Καμπανίαϲ. Ἴϲινδοϲ πόλιϲ Ἰωνίαϲ. λέγεται καὶ Ἴϲινδα. Πύρινδοϲ πόλιϲ Καρίαϲ. Ἄλινδοϲ. Ἄρινδοϲ ὄνομα ποταμοῦ, Βερέκινδοϲ. τὸ δὲ ὀρυμαγδόϲ καὶ Ἐορδόϲ ὀξύνεται ὡϲ καὶ τὸ Ἀμαρδόϲ ἔθνοϲ Ὑρκανῶν ἐγγύϲ. Ϲτράβων ια' (p. 507).

Τὰ εἰϲ δοϲ ὑπερδιϲύλλαβα φύϲει μακρᾷ παραληγόμενα κύρια προπαροξύνεται, Ἄβυδοϲ πόλιϲ καθ' Ἑλλήϲποντον καὶ ἄλλη κατ' Αἴγυπτον ἀπὸ Ἀβύδου τινὸϲ κληθεῖϲα. Ἔνουδοϲ. Ἴϲϲηδοϲ. Ὄροιδοϲ βαϲιλεύϲ, οὗ μέμνηται Θουκυδίδηϲ (II, 80). τὸ ἀοιδόϲ ἐπίθετον ὡϲ καὶ τὸ ὀπηδόϲ. τὸ δὲ κίναιδοϲ προπαροξύνεται τῷ λόγῳ τῆϲ ϲυνθέϲεωϲ.

Τὰ εἰϲ ζοϲ πάντα βαρύνεται, ὄζοϲ, ῥοῖζοϲ, Γάζοϲ πόλιϲ Ἰνδική, Τόπαζοϲ νῆϲοϲ Ἰνδικὴ καὶ λίθοϲ ὁμώνυμοϲ τῇ νήϲῳ. Ἀλέξανδροϲ ὁ πολυίϲτωρ. διὰ τοῦ ξ δ' ἐγράφετο πρότερον. Λάζοϲ Ϲκυθῶν ἔθνοϲ, Ἄραζοϲ πόλιϲ πρὸϲ τῷ πόντῳ ἀπὸ Ἀράζου τοῦ ἡγηϲαμένου. Βύμαζοϲ πόλιϲ Παιόνων. Ἔφοροϲ κζ'. Τρίζοϲ ἔθνοϲ πρὸϲ νότον τοῦ

---

ad finem. Canon ap. St. B. l. c. s. Βάλδοϲ sic profertur: τὰ εἰϲ δοϲ διϲύλλαβα ἔχοντα πρὸ τοῦ δ ἄφωνον βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη. Ἰνδόϲ ὅμοιον τῷ ποταμῷ, τὸ λορδόϲ μινδόϲ ὁ ἄφωνοϲ ὀξύνεται, ἀφ' οὗ κτλ. l. 2 Ἄραδοϲ et Μαϲανώραδοϲ addidi ex St. B., ex eodem Τένεδοϲ explevi, Λέβεδοϲ Κάπεδοϲ accesserunt ex Theogn. 58, 29, Ἄλγιδοϲ et Νάγιδοϲ ex St. B. — Μιμνιδόϲ πόλιϲ Λυδῶν Ἑκαταῖοϲ Ἀϲίᾳ ap. St. B. acuitur et cum Λυχνιδόϲ comparatur, quod Herodianus Λυχνιτόϲ scripsit. l. 11 Κύαρδοϲ — Πύρινδοϲ sunt ex St. B., Ἄλινδοϲ — Βερέκινδοϲ ex Theogn. 54, 6. Ἐορδόϲ ex St. B. 272, 2 ubi: ὀξύνεται τὸ Ἐορδόϲ, ὡϲ Ἡρωδιανὸϲ ἕκτῃ. ex eodem Ἀμαρδόϲ. l. 21 Ἄβυδοϲ, quod Lob. Proll. 355 pro ἄοιδοϲ proposuit, explevi ex St. B., Ἔνουδοϲ ex Pausan. VII 4, 2 Schmidt. pro Ἔνοιδοϲ. Ἴϲϲηδοϲ, quod ap. St. B. 339, 20 oxytonos scriptum est, pro Εἴηδοϲ Lob. l. c., Ὄροιδοϲ ut postea ὀπηδόϲ sumpsi ex Cr. Epim. I 56, ubi qui profertur canon procul dubio ab Herodiano petitus est: τὰ εἰϲ δοϲ καθαρὰ ὑπὲρ δύο ϲυλλαβὰϲ ἁπλᾶ ἐπιθετικὰ ὄντα ὀξύνεται, ὀπηδόϲ, ἀοιδόϲ. μὴ ὄντα δὲ (ἁπλᾶ) ἐπιθετικὰ βαρύνεται, κίναιδοϲ, Ὄροιδοϲ [ποταμόϲ] βαϲιλεύϲ, οὗ μέμνηται Θουκυδίδηϲ. l. 25 apud Arcad. legitur ἴζοϲ, ῥοῖζοϲ, ταῦζοϲ, Τρῶζοϲ. Primum ἴζοϲ correxit Lob. Proll. 361 ὄζοϲ substituens, pro Ταῦζοϲ exhibui ex St. B. Τόπαζοϲ, pro Τρῶζοϲ Τρίζοϲ ap. St. B., quamquam ibi Τριζόϲ scriptum est pariter atque Λαζόϲ p. 406, 12, sed p. 549, 20 Ϲάζοι ἔθνοϲ παρὰ τῷ Πόντῳ, quod Meinek. ex

Ἴςτρου. Ἑκαταῖος Εὐρώπῃ. Τίριζος ἔθνος Παφλαγονίας. Κτηςίας δὲ Τιριζιβανοὺς αὐτούς φηςιν ἐν τῷ δευτέρῳ «ἐκ δὲ τῶν Ὀδρυςῶν εἰς Τιριζιβανοὺς οἰκοῦντας ἐν Παφλαγονίᾳ». Κρόβυζος ἔθνος πρὸς νότου ἀνέμου τοῦ Ἴςτρου. Ἑκαταῖος Εὐρώπῃ. Λόκοζος πόλις Φρυγίας. Ξάνθος δὲ ὁ Λυδὸς διὰ τοῦ ξ̄ γράφει. Κάττουζος ἔθνος Θρᾴκης. τὰ δὲ τριγενῆ καὶ τὰ ἀπὸ ἐπιρρημάτων ὀξύνεται, πεζός, χθιζός, πρωϊζός. cεcημείωται τὸ μαζός, ὅτι μονογενὲς ὂν ὀξύνεται. μήποτε οὖν ἀναλογώτεροι οἱ Ἴωνες μαςτὸν λέγοντες.

Τὰ εἰς θος λήγοντα καθαρὰ μονογενῆ διςύλλαβα παραληγόμενα φύςει μακρᾷ βαρύνεςθαι θέλει, κῶθος, οὕτως ὁ κωβίος, μῦθος, Ζῆθος, Cῆθος ποταμὸς Cκυθίας ὡς Φιλοςτέφανος, Ξοῦθος τὸ κύριον «Δῶρός τε Ξοῦθός τε» (Hesiod. fr. XXXII Goettl.). Βοῦθος Πύθια νικήςας. παροιμία Βοῦθος περιφοιτᾷ, Κρατῖνος Χείρωςι. τάττεται δὲ ἐπὶ τῶν εὐήθων καὶ παχυρίνων. Νοῦθος κύριον, καὶ ψόφος, ἣν οἶδεν Ἡςίοδος ἐν τρίτῳ

νοῦθος δὲ ποδῶν ὑπόδουπος ὀρώρει·

Λῆθος ὄνομα κύριον. cημειῶδες ἄρα τὸ στρουθός ὀξυνόμενον· Χαῖρις δέ φηςιν Ἀττικοὺς βαρύνειν τὸ ὄνομα, ὡς καὶ Τρύφων μέμνηται ἐν δευτέρῳ περὶ Ἀττικῆς προςῳδίας. ἴςως μέντοι παρήλλαξε τῶν προκειμένων, ἐπεὶ καὶ ἀρςενικῶς λέγεται

καλοὶ δέ c᾽ ἄγον
ὠκέες στρουθοί

καὶ θηλυκῶς

αὐτὰρ ἐπεὶ κατὰ τέκν᾽ ἔφαγε στρουθοῖο καὶ αὐτήν (B 326).

Τὰ εἰς θος διςύλλαβα μονογενῆ ἔχοντα τὴν πρὸ τέλους ςυλλαβὴν εἰς ςύμφωνον καταλήγουςαν βαρύνεται. πτόρθος, γόνθος ὁ κόγχος,

---

illo corruptum suspicatur; reliqua omnia usque ad Κάττουζος sunt ex St. B. l. 7 verba cεcημείωται usque ad finem apposui ex canone in Ep. Cr. I 443, 15: τὰ εἰς ζος λήγοντα τριγενῆ πάντα ὀξύνεται, πεζός, χθιζός, πρωϊζός. τὰ δὲ μονογενῆ βαρύνεται, ὄζος, ῥοῖζος. cεcημείωται κτλ. cf. p. 437, 20. In E. M. 809, 21 τὰ εἰς ζος ἀπὸ ῥημάτων (scr. ἀπὸ ἐπιρρημάτων) γινόμενα καὶ τριγενῆ ὄντα ὀξύνεται. l. 9 pro Arcadii canone: τὰ εἰς θος μονογενῆ διςύλλαβα μακρᾷ παραλήγοντα μὴ κοινὰ κατὰ γένος βαρύνεται, μῦθος, κῶθος, Ζῆθος, Ξοῦθος τὸ κύριον· τὸ δὲ στρουθός κοινὸν τῷ γένει posui praeceptum Mon. 42, 4 inserto ex Theogn. 54, 8 Λῆθος ὄνομα κύριον. Nam ex Schol. ad Arist. Vesp. 877: στρουθὲ μῆτερ: Ἡρωδιανὸς ἐν τῷ βάςκ᾽ ἴθι Ἶρι ταχεῖα τὸν Ἕκτορι μῦθον ἔνιςπε ἐπιμεριςμῷ φηςι τὸν Χάρητα λέγειν βαρύνειν Ἀττικοὺς τὸ στροῦθος, ὁμοίως καὶ ἐν τῷ ἑκκαιδεκάτῳ (scr. ἕκτῳ) τῆς καθόλου λέγων καὶ Τρύφωνα μεμνῆςθαι ἐν δευτέρῳ περὶ Ἀττικῆς προςῳδίας — apparet idem fere in Catholica docuisse Herodianum atque in Mon. In Epim. Cr. I 390, 3, E. M. 730, 30, Choer. Epim. in Psalm. 120, 1 canon recte quidem proponitur: τὰ εἰς θος διςύλλαβα μονογενῆ φύςει μακρᾷ παραληγόμενα βαρύνεται, Ξοῦθος κύριον. μῦθος. κῶθος. Ζῆθος, sed στρουθός excusatur alio modo: ἀλλὰ τὰ παρὰ τὸ θέω ςυντιθέμενα ἅπαντα ὀξύνεται· βοηθός. ἀγαθός· οὕτω καὶ στρουθός, quod paullo ante παρὰ τὸ μετὰ οἴςτρου θέειν ἢ παρὰ τὸ στερρῶς θέειν dictum esse traditur. Quae explicatio quamquam Herodianus a similibus originationibus non abhorret (κάραβος e. g. a βῶ βαίνω et Αἴγιςθος a θῶ θηλάζω E. M. 137, 32 repetit) ei non imputanda est, nam eum ἀγαθός non a θέω, sed ab ἀγάζω ἄγαμαι ἀγαςτός E. Or. 29, 1 propagasse scimus.

γρόνθος τὸ ἐπὶ τῆς αὐλήσεως, σμίνθος ὁ μῦς. Πάρθος ἔθνος Σκυθικὸν οἱ καὶ Πάρθιοι καὶ Παρθυαῖοι. ἔστι δὲ καὶ Πάρθος πόλις Ἰλλυρική. Ἀπολλόδωρος ἐν χρονικῶν ..... Κύνθος ὄρος Δήλου, παρ' Ἀντιμάχῳ ἐν πρώτῃ Θηβαΐδος. οὕτως δὲ ἐκαλεῖτο καὶ Δῆλος ἀπὸ Κύνθου τοῦ Ὠκεανοῦ. Ξάνθος ἔθνος Θρᾴκιον. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ «παρ' ἣ Ξάνθος ἐξίησι ποταμός». ἐκλήθη δὲ ἀπὸ Ξάνθου Αἰγυπτίου ἢ Κρητὸς οἰκιστοῦ. ἔστι καὶ Ξάνθος πόλις ἐν Λέσβῳ. Σίνθος πόλις παρὰ τῷ Θερμαίῳ. Ἡρόδοτος ἑβδόμῃ (c. 123). Ὄρθος τὸ μονογενές. τὸ δὲ ξανθός καὶ τυτθός καὶ ὀρθός τριγενῆ.

Τὰ εἰς θος διβράχεα παροξύνεται, εἰ μὴ τόπον δηλοῖεν, νόθος, πόθος, ψόθος, ῥόθος ὁ ψόφος, μόθος, Κόθος ὄνομα κύριον, λίθος, πίθος. καὶ Πίθος δῆμος τῆς Κεκροπίδος φυλῆς ἀπὸ Πίθου τινὸς ἢ πίθων αὐτόθι γινομένων. Ζύθος ὁ ἐκ κριθῆς οἶνος. γνύθος τὸ κοῖλον τῆς πέτρας καὶ ὁ βόθρος. τὸ μέντοι βυθός τοπικόν.

Τὰ εἰς θος δισύλλαβα τριγενῆ παραληγόμενα φύσει μακρᾷ ἢ θέσει, μὴ προηγουμένου τοῦ σ, ὀξύνεται, ἀφθός, τυτθός, ξανθός, αἰθός ὁ διάπυρος. τὸ δὲ λοῖσθος ἔχει τὸ σ. σεσημείωται τὸ Πάρθος, πόλις Ἰλλυρίας, λέγεται καὶ ἀρσενικῶς, ὡς Πολύβιος, καὶ τὸ ὄνθος.

Τὰ εἰς αθος μονογενῆ τρισύλλαβα ἀπὸ βραχείας ἀρχόμενα προπαροξύνεται, ἄμαθος, ψάμαθος, κύαθος, κάλαθος, λάπαθος, Σκίαθος νῆσος Εὐβοίας, Κράπαθος νῆσος πλησίον τῆς Κῶ. Ὅμηρος (Β 676) «Κράπαθόν τε Κάσον τε καὶ Κῶν», Μάραθος πόλις Ἀραδίας, ψίαθος. τὸ μέντοι ἀγαθός τριγενές. τὸ δὲ ὁρμαθός καὶ γυργαθός ὀξύνεται ἀπὸ μακρᾶς ἀρχόμενα.

l. 1 Πάρθος — Σίνθος (ap. Herodotum Σίνδος editur) ex St. B. adieci, Ὄρθος ex Il. Pr. Ω 316, ubi tamen ex canone aliter statuto barytonon esse dicitur: τὰ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων, οἷον χόρτος, φόρτος, ὄρκος, Ὄρθος τὸ μονογενές (Eustath. addit ἦν δὲ κύων Γηρυόνου), πόρνος κτλ. Propter hoc Ὄρθος postea addidi καὶ ὀρθός. Caeterum adnotandum est canonem, sub quem μισθός cadit, interiisse sic fere conceptum: τὸ μισθός ἔχει τὰ σύμφωνα κατ' ἐπιπλοκήν. l. 11 παροξύνεται pro ὀξύνεται scripsi cum Ellendt. lex. Sophocl. s. λίθος monente Iacobi, ῥόθος ante ὁ ψόφος inserui monente Lob. El. I 441 not. 9, Κόθος — γνύθος recepi ex Theogn. 54, Πίθος ex St. B. 523, 5. Caeterum πόθος gravatur ab Herodiano etiam secundum hunc canonem E. M. 678, 39: τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα, ποιοῦντα θηλυκά, ὀξύνονται (scr. ὀξύνουσιν) αὐτὰ οἷον στρόφος στροφή, νόμος νομή, ῥόος ῥοή. ταῦτα δὲ Ἡρωδιανός. ὁ βυθός commemoratur etiam a St. B. 190, 17 in loco alioquin valde mutilato. l. 18 Πάρθος explevi ex St. B. 505, 1, caeterum σεσημείωται intellegendum esse ὡς κοινὰ τῷ γένει vidit Schmidt. De αἰθός E. M. 32, 30: αἶθος: ἰστέον ὅτι αἶθος ἐστὶν ὁ αἴθων παρὰ τὸ αἴθω τὸ καίω. αἰθός δὲ ὁ αἰθόμενος τουτέστιν ὁ καιόμενος. οὕτω Φιλόξενος εἰς τὰ ῥηματικὰ αὐτοῦ. l. 21 ἄμαθος addidi ex Il. Pr. Β 676, ubi: Κράπαθον: ὡς λάπαθον, οὕτως Κράπαθον. καὶ γὰρ ὁ τοιοῦτος χαρακτὴρ ὀφείλει βαρύνεσθαι ἐπὶ θηλυκῶν, λέγω δὲ ὁ εἰς θος λήγων ὑπὲρ δύο συλλαβάς, τῷ α παραληγόμενος, ἄμαθος, ψάμαθος. — Σκίαθος adieci ex St. B. 574, 11, etiam Κράπαθος, Μάραθος πόλις Ἀραδίας, ut pro Ἀκαρνανίας suspicatus est I. Gronovius. ψίαθος ex Ep. Cr. I 445, 3, ubi: τὰ εἰς θος λήγοντα τὸ α παραληγόμενα ὁπότε ὑπὲρ δύο συλ-

Τὰ εἰς θος ὑπὲρ δύο συλλαβὰς παραλήγοντα ῑ ἢ ῡ ἢ καὶ φύσει μακρᾷ προπαροξύνεται· εἰ δέ τι ὀξύνεται, ἐπιθετικόν ἐστιν. Λάπιθος ἀφ' οὗ Λαπίθης, λέκιθος, ἔριθος, Μίκυθος, ἄκυθος ἡ μὴ τίκτουσα, μαμμάκυθος ὁ μωρός, Αἴνηθος ὄρος. Αἰσχύλος. Λάπηθος πόλις Κύπρου. Ἀλέξανδρος Ἐφέσιος «Βήλου δ' αὖ Κίτιόν τε καὶ ἱμερόεσσα Λάπηθος». Πεπάρηθος νῆσος τῶν Κυκλάδων ὁμώνυμον ἔχουσα πόλιν. Σεσάρηθος πόλις Ταυλαντίνων, ὥς φησιν Ἑκαταῖος. Κάνηθος, Ὄρηθος, Σέβηθος ὄνομα ποταμοῦ. ἐπίληθος «νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων» (Od. δ 221). Ναύαιθος ποταμὸς Ἰταλίας. Φάρβαιθος πόλις Αἰγύπτου. Κέλαιθος ἔθνος Θεσπρωτικόν. Ῥιανὸς δ'. λέγονται καὶ Κελαιθεῖς. Δάμαιθος, Κύναιθος εἷς τῶν Λυκάονος παίδων. Ὀλίγαιθος, Σίμαιθος ὄνομα ποταμοῦ. Ἀρίαιθος. τὸ δὲ βοηθός καὶ κακηθός ὁ κακιστός ὀξύνεται.

Τὰ εἰς θος ὑπερδισύλλαβα ἔχοντα κατὰ τὴν παραλήγουσαν δύο σύμφωνα μὴ ὄντα ἐπιθετικὰ προπαροξύνονται, Ἐρύμανθος ὄρος καὶ ποταμός «ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον» (Od. ζ 103). Ἄκανθος πόλις Θρᾴκης ἀκάνθαις πεφραγμένη, ὅθεν κέκληται, ἢ ἀπό τινος Ἀκάνθου, ὡς Μνασέας. β'. ἔστι καὶ ἐν Αἰγύπτῳ Ἄκανθος. γ'. ἄλλη ἐν τῇ χερρονήσῳ περὶ τὴν Κνιδίαν. δ'. ἔστι καὶ ἡ Ἀθαμανίας. Φάλανθος ὄρος καὶ πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ (c. 35, 9) ἀπὸ Φαλάνθου. Πύρανθος πόλις μικρὰ ἢ κώμη Κρήτης περὶ Γόρτυνα. Ψίναφθος Αἰγύπτου πολίχνιον ὡς Ἀλέξανδρος ἐν Αἰγυπτιακῶν δευτέρῳ. Μέλανθος, Λαβύρινθος, Ὑάκυνθος, Λέβινθος, Προβά-

---

λαβάς ἐστι, μονογενῆ προπαροξύνεται. τὸ δὲ ἀγαθός τριγενές ἐστι. Idem canon est etiam p. 55, 13, ubi additur Tryphonem aliter praeceptum constituisse: Τρύφων δὲ οὕτως· τὰ εἰς ος τριγενῆ παραλήγοντα τῷ ᾱ καὶ ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ ᾱ ὀξύνεται, μαδαρός, πλαδαρός, ἀγανός, οὕτως οὖν καὶ ἀγαθός. σεσημείωται τὸ κάρχαρος. βαρύνεται δὲ τοῦτο· τὰ γὰρ διὰ τοῦ αρος (hinc canon Herodianeus profertur cf. Arcad. 70, 10) ὥσπερεὶ δεδιπλασιασμένα βαρύνονται, μάρμαρος, Γάργαρος, Τάρταρος, βάρβαρος. οὕτως οὖν καὶ κάρχαρος. — Omisi Φάραθος πόλις τῆς Γαλιλαίας. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας ap. St. B., quia fortasse ex Φαραθών vel Φαραθώ corruptum est. l. 3 ἀφ' οὗ Λαπίθης addidi ex St. B. 132, 1. — de ἄκυθος cf. E. M. 55, 20, ubi de scriptura ἄκυθος et ἄκυτος agitur. μαμμάκυθος adieci ex Theogn. 59, 2, Αἴνηθος — Σεσάρηθος ex St. B., Κάνηθος — Σέβηθος ex Theogn. a Lob. Proll. 364 seqq. emendata, ἐπίληθος ex Schol. Od. δ 221: ὁ Ἀσκαλωνίτης προπερισπᾷ μετοχὴν ἀκούων. Ἀρίσταρχος δὲ προπαροξύνει ὄνομα ἐκδεχόμενος· οὕτω δὲ καὶ ἡμῖν ἀρέσκει, ἐπεὶ καὶ τὰ προκείμενα ἐπίθετα ἦν «νηπενθές τ' ἄχολόν τε». Idem vocabulum contineri videtur in corruptis Theognosti, de quibus Lobeck. desperat: θωνεκιθος et ὀλόκιθος, in quorum priore latere opinor κακῶν ἐπίληθον, in altero ὁ λέκιθος; saepe enim somnolenti epitomatores vel librarii articulum cum nomine in unum contraxerunt ut factum est in E. M. 425, 3 ἠλαξός pro ἡ λαξός. Ναύαιθος, pro quo Theogn. Τενεαιθος i. e. Νέαιθος habet, — Δάμαιθος sunt ex St. B., apud quem s. Πρυμνησία etiam Μίμαιθος, quod Meinek. ex Δάμαιθος corruptum putat. l. 11 Κύναιθος ex Theogn. 59, 5 et St. B. 393, 3. Ὀλίγαιθος — Ἀρίαιθος ex Theogn. — βοηθός ex βοηθόος contractum accentum in ultima habet ut λαξός, cum quo comparatur in E. M. l. c. et δορυξός p. 283, 34. — κακηθός alias perversa serioris aetatis pronunciatione in κακιθός perversum est, pro κάκιστος cum Iacobi propter Suid. s. v. κάκιθος ὁ κακιζόμενος exhibui κακιστός. cf. Schmidt. ad Hesych. s. v. l. 15 Ἐρύμανθος explevi ex St. B., Ἄκανθος — Ψίναφθος ex St. B., Ὑάκυνθος — Τρικόρυνθος ex St. B. praeter ὄλυνθος appellativum,

λινθος δῆμος Πανδιονίδος φυλῆς. θηλυκῶς δὲ λέγεται. Ϲύρινθος πόλις Κρήτης, Πέρινθος πόλις Θρᾴκης ἀπὸ Περίνθου Ἐπιδαυρίου τοῦ μετὰ Ὀρέστου στρατευσαμένου. Κόρινθος καὶ ὁ κτίστης καὶ ἡ πόλις ἔσω τοῦ ἰσθμοῦ τῆς Πελοποννήσου. Ἑκαταῖος Εὐρώπῃ. Ἀκροκόρινθος ἀρσενικῶς. Ἀμάρυνθος νῆσος Εὐβοίας. ὄλυνθος τὸ μὴ πέπειρον καὶ Ὄλυνθος πόλις Θρᾴκης ἀπὸ Ὀλύνθου τοῦ Ἡρακλέους. Ἀράκυνθος ὄρος Βοιωτίας, ἀφ' οὗ ἡ Ἀθηνᾶ Ἀρακυνθιὰς ὡς Ῥιανὸς ἐν τῇ Φήμῃ «κλῦθί μοι εὐχάων Ἀρακυνθιὰς εὐπατέρεια». Ἄψυνθος πόλις Θρᾴκης. ἔστι καὶ εἶδος φυτοῦ. διχῶς δ' ἡ γραφὴ καὶ διὰ τοῦ υ καὶ διὰ τοῦ ῑ. Ζήρυνθος πόλις καὶ ἄντρον Ἑκάτης ἐν Θρᾴκῃ. Λυκόφρων (v. 77) «Ζήρυνθον ἄντρον τῆς κυνοσφαγοῦς θεᾶς». Ζάκυνθος ὁ Δαρδάνου καὶ ἀπ' αὐτοῦ πόλις. ἀρσενικῶς Ὅμηρος καὶ θηλυκῶς «καὶ ὑλήεσσα Ζάκυνθος» (Od. ι 24) καὶ «ὑλήεντα Ζάκυνθον» (Od. α 246). δευτέρα Ἰβηρίας. τρίτη Λιβύης. Τρικόρυνθος δῆμος τῆς Αἰαντίδος φυλῆς. Διονύσιος ἀρσενικῶς, Εὐφορίων θηλυκῶς, Δίδυμος καὶ Διόδωρος οὐδετέρως. τὸ δὲ ὀλισθός ὁ ὀλισθηρός ὀξύνεται ἐπίθετον ὄν.

Τὰ εἰς κος μονογενῆ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται φῶκος καὶ Φῶκος κύριον, σῶκος καὶ Ϲῶκος κύριον. Τυραννίων μὲν ἀξιοῖ ὀξύνειν τὸ «σῶκος ἐριούνιος Ἑρμῆς» (Υ 72), ἵνα ἀποφύγῃ τὸ κύριον βαρυνόμενον «ὦ Ϲῶχ' Ἱππάσου υἱέ» (Il. Λ 450) ὥσπερ ἐπὶ τοῦ λευκός, γλαυκός. οὐκ ἔστι δὲ ὅμοιον τοῖς προκειμένοις κοινοῖς ἐπίθετον, ἀλλ' ἴδιον τοῦ Ἑρμοῦ, ὥσπερ καὶ τοῦ Ἀπόλλωνος βαρυνόμενον τὸ Φοῖβος· διὸ βαρυτονητέον ὁμοίως καὶ αὐτῷ τῷ κυρίῳ. εἰσὶ δὲ οἳ ἀξιοῦσι καὶ καθότι σύνθετόν ἐστι βαρύνεσθαι αὐτό. ἐκ γὰρ τοῦ σάοικος γεγενῆσθαι τὴν κρᾶσιν. οὕτω δὲ δώσουσι καὶ προσκείμενον τῷ ω τὸ ῑ, τῆς παραδόσεως οὐχ οὕτως ἐχούσης. θῶκος. Ῥαῦκος πόλις ἐν μεσογείῳ τῆς Κρήτης. Δᾶκος ἔθνος, ὃ καὶ Δᾶος καλεῖται. οἶκος. Γλαῦκος, ἀφ' οὗ Γλαύκου δῆμος ἐν Λυκίᾳ, ὡς Ἀλέξανδρός φησιν. Λεῦκος «ὁ δὲ Λεῦκον Ὀδυσσέος ἐσθλὸν ἑταῖρον» (Δ 491). τὸ δὲ σηκός ὀξύνεται. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται γλαυκός, λευκός, Γραικός ὁ Ἕλλην, τὸ δὲ Γραῖκος κύριον βαρύνεται.

---

quod habet Arcad. In E. M. 753, 10 τερμινθός καὶ τέρμινθος ἐμφερὲς λίνῳ φυτόν, quum accentus diversitas in his nominibus nulla deprehendatur, Lob. Proll. 368 τέρμινθος καὶ τρέμιθος scribendum iudicat. l. 18 Φῶκος κύριον addidi ex St. B. 675, 26 καὶ Ϲῶκος ex Il. Pr. Υ 72, unde etiam reliqua usque ad θῶκος. canon ipse sic ibi constituitur: τὰ εἰς κος λήγοντα δισύλλαβα οὐ παρεσχηματισμένα εἰς γένος θηλυκόν, φύσει μακρᾷ παραληγόμενα, βαρύνεσθαι θέλει οἷον φῶκος. θῶκος. οὕτως σῶκος. σεσημείωται τὸ σηκός. Pro Ταῦκος Arcadii posui Ῥαῦκος ex St. B., ex eodem Δᾶκος. οἶκος ex Il. Pr. Λ 24, ubi secundum hanc regulam barytonum esse traditur: φιλεῖ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς ος συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει — φημὶ δὲ διὰ τὸ Οἰός. οὕτως γὰρ λέγεται δῆμος παρ' Ἀθηναίοις κατ' ὀξεῖαν τάσιν — οἷον οἶκος, οἶτος, οἶκτος, οἶνος, οἶμος. — Γλαῦκος Λεῦκος, quae canonis conformatione flagitantur, addidi ex Il. Pr., Γλαῦκος explens ex Steph. Byz. et ad Λεῦκος versum Homericum addens ex Epim. Cr. I 263, 15 cf. praeterea E. M. 191, 52: βάτος ἡ ἄκανθα. εἴρηται κατὰ ἀντίφρασιν ὁ μὴ ὢν βατός. καὶ ἔστιν ἐν τόνῳ παροξυτόνῳ. καὶ τοιαῦτα πολλά, ὡς παρὰ τὸ κυρτός Κύρτος, ξανθός Ξάνθος, λευκός Λεῦκος ὄνομα κύριον. οὕτω βατός Βάτος

Τὰ εἰς κος δισύλλαβα κύρια, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, βαρύνεται, Μάκκος, Ὄγκος τὸ κύριον. Λύγκος πόλις Ἠπείρου. Στράβων ἑβδόμῃ (p. 326). ἐκλήθη ἀπὸ Λυγκέως. Φόρκος. Σύλκοι πόλις ἐν Σαρδοῖ, Καρχηδονίων κτίσμα. λέγεται καὶ Σόλκοι, ὡς Ἀρτεμίδωρος ἐν ἐπιτομῇ «ἀπὸ δὲ Καράλεως ἐπὶ Σόλκους».

Τὰ εἰς κος δισύλλαβα προσηγορικὰ μὴ παρασχηματιζόμενα εἰς θηλυκὸν γένος, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, πλὴν τοῦ λ, βαρύνεται, λάκκος, σάκκος, ἄρκος, κέρκος, ὄρκος. σεσημείωται τὸ θριγκός. τὸ δὲ χαλκός ἔχει τὸ λ. καὶ τὸ φολκός ἐστι τριγενὲς ἔχον καὶ τὸ λ.

Τὰ εἰς κος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου τοῦ σ ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, δίσκος, Φύσκος υἱὸς τοῦ Αἰτωλοῦ τοῦ Ἀμφικτύονος τοῦ Δευκαλίωνος. Ἑκαταῖος «ἐὼν δὲ πρεσβύτερος Λοκρὸς ἦν Φύσκου παῖς». «Φύσκος δὲ ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί....» καὶ τὸ ἔθνος ὁμοφώνως. Ῥιανὸς δὲ Φυσκέας αὐτοὺς καλεῖ. ἔστι καὶ ποταμὸς Φύσκος, καθά φησι Σοφαίνετος ἐν Κύρου ἀναβάσει. ἔστι καὶ Φύσκος πόλις Λοκρίδος καὶ ἑτέρα τῆς Καρίας. ἔστι δὲ λιμὴν Ῥόδου. ἔστι καὶ ἄλλη Μακεδονίας. μύσκος. Ζύσκος ποταμὸς Μακεδονίας, ὡς Ἀντιγενίδης φησί. Κέσκος. τὸ δὲ ἀσκός ἀπὸ φωνήεντος ἄρχεται.

Τὰ εἰς κος διβράχεα μονογενῆ, εἴτε ἀρσενικὰ εἴτε θηλυκά, βαρύνεται, εἰ μὴ διαστολή τις σημαινομένου γένοιτο, οἷον λύκος καὶ Λύκος υἱὸς Πανδίονος, Πλάκος «ὑπὸ Πλάκῳ ὑληέσσῃ» (Z 396), πόκος, τόκος, Μύκος ἔθνος Περσίδος, περὶ οὗ Ἑκαταῖος ἐν Ἀσίᾳ «ἐκ Μύκων εἰς Ἀράξην ποταμόν». Ἴκος νῆσος τῶν Κυκλάδων προσεχὴς τῇ Εὐβοίᾳ, κρίκος. τὸ δοκός πρὸς ἀντιδιαστολὴν τοῦ δόκος τοῦ σημαίνοντος τὴν δόκησιν. καὶ παρὰ Ἀριστοφάνει ἐν Ταγηνισταῖς σημαίνει τὴν ἀγχόνην. σεσημείωται τὸ φακός ὀξύτονον. τὸ δὲ Φάκος κύριον ὄνομα ὄρους. Ἑκαταῖος «πρὸς μὲν νῶτον Πακτωλὸς καὶ Φάκος».

---

cf. Lehrs Arist. 280 ed. II. l. 3 Λύγκος explevi ex St. B., Σύλκοι ex eod. p. 591, 8 addidi, eadem urbs p. 581, 7 Σολκοί oxytonos scribitur falso. l. 9 σάκκος adieci ex E. Gud. 435, 15, ubi ipse hic canon emendatius propositus est. ὄρκος Herod. in Il. Pr. Ω 316 alio canone fulcit: τὰ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ος συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων οἷον χόρτος, φόρτος, ὄρκος, Ὄρθος τὸ μονογενές, πόρνος. l. 12 canonem ex Mon. 41, 24 explevi addens ad Φύσκος Hecataei locum et Ζύσκος Κέσκος, ex St. B. 675. 7 reliqua ad Φύσκος apposui. Eustath. ad Dionys. 1069 commemorat etiam τὸ Τασκοί ἔθνους Περσικοῦ ὄνομα βαρυτόνως παρὰ πολλοῖς ἀναγινώσκεται, quod ex hoc loco fluxisse videtur. l. 22 λύκος pro κύκος cod. A vel κύκλος codd. BC scripsi ex Theogn. 59, 18 et Λύκος propr. ex St. B. adieci; ad Πλάκος verba Homerica apposui ex Cr. Epim. I 223. Μύκος accessit ex Theogn. et St. B., Ἴκος ex St. B., κρίκος et δοκός ex Epim. l. c. et E. M. 538, 46: κρίκος βαρύνεται· ἐπειδὴ τὰ εἰς κος μονογενῆ διβράχεα βαρύνεται· εἰ δέ τι ὀξύνεται, πρὸς ἀντιδιαστολὴν τοῦ σημαινομένου ὡς ἔχει τὸ δόκος τὸ ἐπὶ τῆς δοκήσεως πρὸς ἀντιδιαστολὴν τοῦ δοκοῦ. καὶ παρὰ Ἀριστοφάνει — ἀγχόνην (cf. Schmidt. ad Hesych. s. δόκον). σεσημείωται τὸ φακός ὀξυνόμενον. Ἡρωδιανός, quae subscriptio debetur An. Par. IV 46, 16. In fine Hecataei verba ex Epim. l. c. addidi emendata a Carolo Müller.

Τὰ εἰc κοc διcύλλαβα τριγενῆ ὀξύνεται οἷον λευκόc, γλαυκόc, μικκόc «τοῖc μικκοῖc μικκὰ δίδωcι θεόc» πλὴν τῶν παραληγόντων τῷ ω̄.

Τὰ εἰc κοc ὑπὲρ δύο cυλλαβὰc ᾱ παραληγόμενα, οὗ προηγεῖται cύμφωνον ἢ cύμφωνα, κύρια ὄντα βαρύνεται, Λάβδακοc, Πίνακοc, Ἀccάρακοc, Ἴθακοc ἥρωc. τὸ ἐθνικὸν ὁμοφώνωc τῷ οἰκιcτῇ «Ἴθακοc Ὀδυccεύc». Φύλακοc, Ὕλακοc, Νώρακοc πόλιc Παννονίαc. Γάζακοc κώμη μεγάλη τῆc Μηδίαc. Ἀρριανὸc ἐν Παρθικῶν τετάρτῃ «τῆc Γαζάκου». Θάψακοc πόλιc Cυρίαc πρὸc τῷ Εὐφράτῃ. Θεόπομποc ἐν Φιλιππικῶν τρίτῳ. cεcημείωται τὸ Ἀcτακόc — πόλιc Βιθυνίαc ἀπὸ Ἀcτακοῦ τοῦ Ποcειδῶνοc καὶ νύμφηc Ὀλβίαc, ὡc Ἀρριανὸc ἐν Βιθυνιακοῖc ἱcτορεῖ. ἔcτι καὶ Ἀκαρνανίαc πόλιc — καὶ Ναννακόc καὶ Θημακόc δῆμοc τῆc Ἐρεχθηΐδοc φυλῆc.

* Τὰ εἰc ακοc λήγοντα τριcύλλαβα, τὴν πρώτην cυλλαβὴν εἰc ἀμετάβολον καταλήγουcαν ἔχοντα προπαροξύνεται, Λάμψακοc πόλιc κατὰ τὴν Προποντίδα ἀπὸ Λαμψάκηc, ἐπιχωρίαc τινὸc κόρηc. Ῥύνδακοc πόλιc καὶ ποταμὸc μεταξὺ Φρυγίαc καὶ Ἑλληcπόντου «Ῥύνδακον ἀμφὶ βαθύcχοινον». λέγεται καὶ Ῥύνδαξ. Ὕρτακοc ἥρωc καὶ πόλιc Κρήτηc. Cπάρτακοc πόλιc Θρᾴκηc. Ἐρατοcθένηc ἐν Γαλατικῶν δευτέρῳ. Φάρνακοc, Ἄρτακοc ἔθνοc Θρᾴκιον. Ἄμβρακοc πολίχνιον τῆc Ἠπείρου.

* Τὰ δὲ εἰc ακοc λήγοντα τὴν πρώτην cυλλαβὴν εἰc ἄφωνον τὸ αὐτό, ἀφ᾽ οὗ ἄρχεται ἡ δευτέρα, καταλήγουcαν ἔχοντα ὀξύνεται, Πιττακόc καὶ τὰ ὅμοια.

* Τὰ εἰc κοc ὑπὲρ δύο cυλλαβὰc ᾱ παραληγόμενα, οὗ προηγεῖται φωνῆεν, ὀξύνεται, Καλλιακόc, Αἰακόc, Πιακόc πόλιc Cικελίαc.

Hist. Graec. fragg. I p. xvi, qui Πακτωλόc pro Πάωλοc scribendum vidit.
l. 2 μικκόc adieci ex Ep. Cr. I 263, 17. Verba sunt Callimachi, ut patet ex E. M. 587, 36, ubi tamen δίδουcι θεοί legitur. Ex hoc canone concludi potest Herodianum μῶκοc «cavillator» non discrevisse a μῶκοc «cavillatio». cf. Lob. Parall. 345. l. 5 Ἀccάρακοc pro Ἀμάρακοc exhibui omisso καί. Ἴθακοc explevi ex St. B. 328, 22, Φύλακοc Ὕλακοc ex Il. Pr. Ω 566 cf. Lob. Proll. 307. Νώρακοc — Θάψακοc ex St. B. — Pro Ἀcακόc cum Lob. Proll. 308 scr. Ἀcτακόc et pro Ἀλακόc cum Lob. et Mein. ad St. B. 329, 7 posui Ναννακόc, nam Μαλακόc dubium est. Καλλιακόc autem omisi, quum ab hoc canone, qui de ακοc exitu praecedente consona agit, alienum sit, sed Θημακόc ex St. B. addidi, quum demorum oxytonesis legitima sit. Sed omisi Θαυμακοί incolas urbis Θαυμακία, quae etiam Θαύμακοι vocatur, ab heroe Θαύμακοc appellata, qui 90, 1 Θαύμακοι proparoxytonos dicuntur. porro Τιτακόc κύριον p. 626, 12, Βρυcακοί ἔθνοc 188, 1, quorum accentus ab norma recedit. Addere potui Τρίνακοc ὁ Ποcειδῶνοc, nisi incerto Sibyllae testimonio fulciretur. l. 13 canonem sumpsi ex Il. Pr. Ν 759, Λάμψακοc, Ῥύνδακοc — de quo Schol. ad Apoll. 1165 non recte: Ῥυνδακόc ὡc Αἰακόc· — Ῥύνδακοc ποταμόc ἐcτι Φρυγίαc, οὗ μέμνηται Βακχυλίδηc, unde iure Schneidewin ap. Bergk. fragm. Bacchyl. 67 suspicatur verba poetae ab Herodiano allati esse Bacchylidis — Ὕρτακοc ex St. B. explevi reliquis nominibus ex eodem additis. Canonem de Πιττακόc ipse finxi ducente Lobeckio, qui similia Ἱππακόc Βυττακόc affert Proll. 308. Caeterum annotandum ap. St. B. Ἀρτακοί scriptum esse. l. 24 Lobeckii monitu l. c. addidi canonem de propriis in ιακοc. Pro Καλλιακόc Lob. scribi vult Καυλιακόc montis nomen, Πιακόc ap. St. B. proparoxytonos exhibetur.

Τὰ εἰς κος ὑπερδισύλλαβα παραληγόμενα τῷ ᾱ προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται, λιθιακός, μαλθακός, ψιττακός, ἀστακός, ἀνακός, φυλακός ὁ φύλαξ, Φύλακος δὲ τὸ κύριον, φαρμακός ὁ ἐπὶ καθαρμῷ τῆς πόλεως τελευτῶν, φάρμακος δὲ ὁ γόης. σεσημείωται τὸ θύλακος, ὕσσακος, αἴσακος προπαροξυνόμενα καὶ τὸ μαίμακος ἐπίθετον ἀπὸ γενικῆς.

Τὰ διὰ τοῦ ακος κτητικὰ ὀξύνεται, Δηλιακός, Φρυγιακός, Ἰλιακός, Αἰνιακός, Ἀκτιακός, Ἀλαβανδιακός, ἐξ οὗ καὶ Ἀλαβανδιακὸς σολοικισμός, ὡς Φιλόξενος τὴν Ὀδύσσειαν ἐξηγούμενος, ὅταν ἡ μή ἀπαγόρευσις ἀντὶ τῆς οὐ κεῖται, ὡς τὸ «μὴ δι᾽ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων» (Il. O 41). Βαργυλιακός, Βουριακός, Βυζαντιακός, Διακός, Ἐλευσινιακός, Θεσπρωτιακός, Θουριακός, Κυνοσουριακός, Ἰκιακός, Κοσσυριακός, Κυπριακός, Μαλιακός, Μαραθωνιακός, Μερουσιακός, Μηλιακός, Νισυριακός, Ὀλβιακός, Παλληνιακός, Παμφυλιακός, Βοιωτιακός, Παρνασσιακός, Πελασγιακός, Πελοποννησιακός, Πελοποννησιακὸν δὲ πόλεμον φυλάττονται λέγειν. Πηλουσιακός, Ποτνιακός, Ῥοδιακός, Σαμιακός, Στειριακός, Σιγειακός, Χιακός.

Τὰ εἰς εκος ἕν ἐστιν, Ἀλώπεκος ἀπὸ γενικῆς.

Τὰ εἰς οκος ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται σπάνια ὄντα Καππάδοκος ὁ κτίστης, ὡς Ἀλέξανδρος, καὶ τὸ ἔθνος. λέγεται γὰρ τὸ ὄνομα τριχῶς, ὁ Καππάδοκος, ὁ Καππάδοξ, ὁ Καππαδόκης. Σπόρδοκος Θρᾴκιον ὄνομα. Ἀμάδοκος Σκυθικὸν ἔθνος. Ἑλλάνικος ἐν Σκυθικοῖς. Δόλογκος ἔθνος Θρᾴκης ἀπὸ Δολόγκου τοῦ ἀδελφοῦ Βιθυνοῦ. Δημόδοκος ὄνομα κύριον. Λαόδοκος. τὸ δὲ ξενοδόκος καὶ ἰοδόκος βαρύνεται· καὶ τὸ αἰγοβοσκός ὀξύνεται.

---

l. 1 canon in Il. Pr. Ω 566 (E. M. 802, 3) sic constituitur: φυλακούς: Ἀρίσταρχος κατ᾽ ὀξεῖαν τάσιν προεφέρετο ὡς φρουρούς. ἔστι δὲ καὶ ὁ λόγος συναγωνιζόμενος τῇ ὀξείᾳ τάσει οὕτως, ὡς τὰ εἰς κος καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβάς, παραληγόμενα τῷ ᾱ, προσηγορικὰ ἢ ἐπίθετα ὀξύνεται, ἀνακὸς, φαρμακός, φυλακός. τὰ γὰρ κύρια βαρύνεται, Φύλακος, Αὔλακος (Ὕλακος Lob.), unde ἀνακός in Arcadii canonem inserui. — λιθιακός pro λιθακός cum Lob. scripsi, quum inde quod Arcadius trisyllaba tantum commemorat, nihil aliud consequitur nisi omnia tres syllabas excedentia ab eo omissa esse, nam de hyperdisyllabis, non de trisyllabis agi ipsius canonis verba indicant. — In fine pro σύνθετον Lobeckio monente Proll. 315 scripsi ἐπίθετον cum additamento ἀπὸ γενικῆς, quo accentus explicatur. De φυλακός Schol. ad Apoll. A 132: φύλακος Ἰωνικῶς ὁ φύλαξ. Ἴωνες δὲ ἐκ τῶν γενικῶν ποιοῦσιν εὐθείας, τοῦ φύλακος ὁ φύλακος, τοῦ μάρτυρος ὁ μάρτυρος. τοῦ δὲ φύλακος ὀξυτονητέον τὴν πρώτην (quae est Apollonii sententia ἐν τοῖς παρωνύμοις proposita, ut ex Steph. B. 325, 1 apparet). Ἡρωδιανὸς τὴν τελευταίαν ὀξύνει. l. 8 nomina inde ab Αἰνιακός ex St. B. apposui.

l. 19 Ἀλώπεκος proprium exhibui monente Schmidtio in programm. Sedinensi (1864) p. 19. l. 21 Καππάδοκος explevi ex St. B. 356, 15 et Theogn. 59, 19. Ad Σπόρδοκος, quod ap. Theogn. Σπάρδοκος scriptum est, ex eo addidi Θρᾴκιον ἔθνος. Ἀμάδοκος accessit ex St. B., Δόλογκος ex eodem, nam etiam de impuris Herodianum egisse docet αἰγοβοσκός, atque saepius Herodianus ap. Arcad. pura cum impuris coniungit; praeter sequentem canonem cf. Arcad. 107, 13. Caeterum hoc nomen inesse videtur in corrupto Δοίδοκος ap. Theogn., Δημόδοκος recepi ex Theogn., Λαόδοκος ex Arcad. 83, 7. ἰοδόκος adieci ex Theogn., apud quem vox in διόδοκος corrupta est. cf. Eustath. 1024, 61.

Τὰ εἰς κοc ὑπὲρ δύο cυλλαβὰς μακρᾷ παραλήγοντα cπάνια ὄντα βαρύνεται, Ἄτρηκοc πόλις Κρητική, μάληκοc ὄνομα ὀρνέου, μαληκόc δὲ ἀπὸ τοῦ μαλακός τροπῇ τοῦ ᾱ εἰς η̄ ὀξύνεται, πίθηκοc. Πήληκοc πόλις ἐν Λιβύῃ, Ζάληκοc ὄνομα ποταμοῦ, Ἀμάληκοc, ἀφ' οὗ Ἀμαληκῖτις ἐκλήθη. Κόθωκοc ὄνομα ἥρωος. τὸ δὲ Ἰωλκόc πόλις Θεσσαλίας «Βοίβην καὶ Γλαφυρὰς καὶ ἐϋκτιμένην Ἰαωλκόν» (Il. B 712) ἀπὸ Ἰωλκοῦ τοῦ Ἀμύρου, καὶ Ἀρδηcκόc ὀξύνεται.

Τὰ εἰς κοc παραληγόμενα αι̅ ἢ οι̅ μὴ ἐπιθετικὰ προπαροξύνεται, Πάταικοc, Φάλαικοc, Μίθαικοc, cόλοικοc, μόνοικοc τὸ κατὰ cυναλοιφήν. ἔcτι καὶ πόλις Λιγυστική. Ἑκαταῖος Εὐρώπῃ. Μοccύνοικοc ἔθνος καλούμενον παρὰ τὰς οἰκήσεις, περὶ οὗ Εὔδοξος ἐν πρώτῳ γῆς περιόδου. τὸ δὲ Εὐβοικόc ὀξύνεται ἐπιθετικὸν ὄν. τὸ δὲ ἄγροικοc cύνθετον καὶ προπαροξύνεται καὶ προπεριcπᾶται.

Τὰ εἰς κοc ὑπερδιcύλλαβα εἰ παραλήγοιτο ι̅ μακρῷ βαρύνεται, Εὔνικοc κύριον, Κάϊκοc ποταμός, ὅθεν ἄνεμος Καικίας ὡς ἐκεῖθεν πνέων, Γρήνικοc ποταμός. Φιλόνικοc, Ἑλλάνικοc, Ἀριcτόνικοc. εἰ δὲ τῇ ει̅ διφθόγγῳ, ὀξύνεται, δαρεικόc, βοεικόc «βοεικὰ ζεύγη» ι̅ ἡ παράδοcιc, ἀλλὰ διὰ διφθόγγου δεῖ γράφεcθαι, ἀπὸ γὰρ τοῦ βοειακός κατὰ cυγκοπὴν ὡς καὶ Δεκελεικόc ἀπὸ τοῦ Δεκελειακός. Κεραμεικόc. cεcημείωται τὸ Καμικόc καὶ ὁ κτίcτης καὶ ἡ πόλις Cικελίας ὀξύτονον καὶ ἔχον τὸ ι̅ μακρὸν ὡς τὸ Παλικόc. εἰcὶ δὲ Παλικοί δαίμονές τινες οὓς Αἰcχύλος ἐν Αἴτναις γενεαλογεῖ Διὸς καὶ Θαλείας τῆς Ἡφαίcτου, κληθῆναι δὲ τοὺς Παλικοὺς διὰ τὸ ἀποθανόντας πάλιν εἰς ἀνθρώπους ἱκέcθαι.

* Τὰ εἰς κοc λήγοντα καθαρὰ ὑπὲρ δύο cυλλαβάς, προcηγορικὰ

l. 2 Ἄτρηκοc ex Theogn., ubi per iotacismum Ἄτρικοc scriptum est, posui pro Arcadii ἔcτρηκοc, quamquam utrumque suspiciosum est cf. Lob. Proll. 323, μάληκοc explevi ex Theogn., unde etiam μαληκόc i. q. μαλακόc recepi, utrumque Lobeckio suspectum est; Πήληκοc ex Theogn. et St. B. 521, 3, Ζάληκοc ex Theogn., Ἀμάληκοc, quod Meinek. ad St. B. 210, 7 pro μάληκοc Arcadii ponere vult, ex St. B., Κόθωκοc ex Theogn. Ἰωλκόc explevi ex St. B. 343, 4. l. 9 ad μόνοικοc verba ἔcτι καὶ — Λιγυcτική addidi ex St. B., ex eodem Μοccύνοικοc et in fine τὸ δὲ ἄγροικοc κτλ. ex St. B. s. ἀγρόc, ubi quae de derivatis et compositis ab ἀγρόc traduntur, ex Herodiano fluxerunt, cυνθέτωc ἄγροικοc καὶ ἀγροῖκοc. Grammaticorum discordes sententias de discrimine accentus profert Goettling. de accent. p. 322. — Excidit canon de vocabulis in ευκοc, quae rara et propria sunt e. g. Cέλευκοc St. B. 560, 10 et Ζάλευκοc proparoxytona. l. 15 Εὔνικοc scripsi cum Mein. hist. crit. 249 pro Arcadii Ἄνικοc et Theognosti Αἴνικοc. Κάϊκοc explevi ex Eust. 890, 17: Γρήνικοc προπαροξύνεται κατὰ τὸ Ἑλλάνικοc Ξένικοc Ἀριcτόνικοc· ἤδη δὲ καὶ Κάϊκοc ποταμόc, ὅθεν κατὰ τὸν τεχνικὸν ἄνεμοc Καικίαc, ὡc ἐκεῖθεν πνέων ex quo loco sumpsi etiam Ἑλλάνικοc Ἀριcτόνικοc, nam Ξένικοc ex Εὔνικοc corruptum videtur pariter atque Φίλικοc ap. Arcad. pro quo Φιλόνικοc posui. Ad βοεικόc addidi ex Herod. Orth. ap. Choer. Cr. II 183: βοϊκὰ ζεύγη· ι̅ ἡ παράδοcιc. Ἡρωδιανὸc δὲ δίφθογγον αὐτῷ ἔταξεν ἐν τῇ ὀρθογραφίᾳ. et quae de syncope dicta sunt, ex eodem Choer. 196, 8 Δεκελειακόc καὶ κατὰ cυγκοπὴν Δεκελεικόc, quam Herodiani sententiam fuisse putat etiam Lob. Proll. 331. Κεραμεικόc ita Herodianum explicavisse sumendum est, ut ap. Choer. legimus p. 233: κεραμεύc τοῦ κεραμέωc τῷ κεραμέϊ κεραμεικόc. Καμικόc explevi ex St. B. 49, 18, qui etiam Παλικόc commemorat 496, 9 et Γράνικοc 212, 17. l. 25 hunc canonem ex Mon. 20, 19 sumpsi inserens προcηγορικὰ ἢ κύρια propter canonem se-

ἢ κύρια, ὁπότε τῷ ῑ παραλήγει συνεσταλμένῳ προπαροξύνεται, ἀνθέρικος, Κύζικος πόλις τῆς Προποντίδος, Ὥρικος πόλις ἐν τῷ Ἰονίῳ κόλπῳ. Ἑκαταῖος λιμένα καλεῖ Ἠπείρου τὸν Ὥρικον ἐν τῇ Εὐρώπῃ «μετὰ δὲ Βουθρωτὸς πόλις, μετὰ δὲ Ὥρικος λιμήν». Ἀπολλόδωρος δὲ πόλιν αὐτὴν οἶδε. λέγεται ἀρσενικῶς, ὡς Πολύβιος ἑβδόμῳ «οἱ δὲ τὸν Ὥρικον κατοικοῦντες, οἳ καὶ πρῶτοι κεῖνται περὶ τὴν εἰσβολὴν πρὸς τὸν Ἀδρίαν ἐκ δεξιῶν εἰσπλέοντι». Ἀσφόδικος, Ὄρικος κύριον, Σίνδικος πόλις προσεχὴς τῇ Σκυθίᾳ, Νήρικος πόλις Ἀκαρνανίας, ἣν Ὅμηρος (Od. ω 377) ἀκτήν φησι ἠπείροιο. Ὄμβρικος ἔθνος Ἰταλικόν. τὸ δὲ Θορικός οἱ πλείους ὀξύνουσιν. ἔστι δὲ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. Ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν.

Τὰ εἰς ῑκος κτητικὰ ἐπιθετικὰ καὶ θηλυκὸν ἔχοντα ὀξύνεται, Γαλατικός, Ἰταλικός, Πυθαγορικός, Ὁμηρικός, δουλικός, βασιλικός, δεσποτικός, κλωπικός, Τρωϊκός. Ἀττικός κατὰ τροπὴν διὰ τὴν εὐφωνίαν. Ταυρικός, βαρβαρικός, Γαδειρικός Εὔπολις ἐν Μαρικᾷ «πότερον ἦν τὸ τάριχος Φρύγιον ἢ Γαδειρικόν». Ἑλληνικός, Ἑλλαδικός. Καρικός. Ἡρόδοτος ἐν πρώτῃ (c. 171) «τὸ Καρικὸν ἔθνος δοκιμώτατον». Λιβυστικός «Λιβυστικὰς πλάκας» Λυκόφρων (v. 648), ὅ τινες διὰ τοῦ γ̄ γράφουσι κακῶς. Μηδικός «ὁ Μηδικὸς ὀπός». Στράβων (11 p. 525) «φέρει δὲ σίλφιον ἡ χώρα, ἀφ' ἧς ὁ Μηδικὸς καλούμενος ὀπός, οὐ πολὺ λειπόμενος τοῦ Κυρηναϊκοῦ». Πελασγικός «Πελασγικὸν Ἄργος ἔναιον» (Β 681). ἔστι δὲ καὶ ἐν Ἀθήναις τεῖχος «Πελαργικόν» ἤτοι Πελασγικόν ὡς ὁ κωμικὸς δηλοῖ ἐν τοῖς Ὄρνισιν (v. 832). «Ῥωσικὸς σκόπελος». Χαλυβδικός μετὰ τοῦ δ̄. Λυκόφρων «Χαλυβδικῷ κνώδοντι» (1109) καὶ ἡ χώρα Χαλυβική. Σινδικός. Ταναγρικός. Ἡρόδοτος πέμπτῃ (c. 57) «Ταναγρικὴ μοῖρα» καὶ Μένανδρος «Ταναγρικὴ γυνή». Χαιρωνικός. Ἀπολλόδωρος ἐν χρονικῶν δευτέρῳ «κατὰ δὲ μάχην, ὥς φασι, τὴν Χαιρωνικήν». Χαονιτικός. Λυκόφρων «φθογγὴν ἐδώλων Χαονιτικῶν ἄπο» (v. 1320). καὶ Χαονικός. Ἑκαταῖος Εὐρώπῃ «ὁ δὲ κόλπος Κιρραῖος καὶ τὸ πεδίον ἐν τῇ Χαονικῇ». Ψυλλικός. Ἑκαταῖος περιηγήσει Λιβύης «ὁ Ψυλλικὸς κόλ-

---

quentem, qui de possessivis agit. In Mon. allata sunt ἀνθέρικος — Ἀσφόδικος. Ὥρικος explevi ex Theogn., apud quem Σώρικος in Ὥρικος mutandum esse vidit Lobeck., et St. B. Ὄρικος addidi ex Theogn., ubi Ἔρικος a Lob. Proll. 325 emendatum, Σίνδικος Νήρικος Ὄμβρικος sunt ex St. B., Θορικός ex Theogn. et St. B. — Theogn. 60, 6 affert ἀνθερικός, ἀνθιήνικος, quod Lobeck. aut ex priore iteratum aut in Ἀρδέρικος vel Ἄνδρικος mutandum suspicatur, Σώρικος i. e. Ὥρικος, Ἔρικος i. e. Ὄρικος vel Βέρικος, Τέμικος ὄνομα πόλεως Κρητικῆς Lobeckio ignotum, de Λυκάνικος ὄνομα ποταμοῦ idem desperat. Omisi Βέσβικος νησίδιον περὶ Κύζικον ap. St. B., quia quomodo pronunciandum sit non constat. Propter accentum ab hoc canone aberrantem praeterii Καυλικοί ἔθνος κατὰ τὸν Ἰόνιον κόλπον, Ἑκαταῖος Εὐρώπῃ, κέκληται δ' ἀπὸ ὄρους, ὁ Ἀπολλώνιος μετὰ τοῦ ᾱ Καυλιακόν φησι (Arg. 4, 324). St. B. 369, 12 Ὀπικοί ἔθνος Ἰταλίας. Εὔδοξος ἕκτῳ γῆς περιόδου. — οἱ δὲ ὅτι Ὀφικοὶ ἀπὸ τῶν ὄφεων. et Ὄμβρικος ἔθνος St. B., cuius accentus apud alios fluctuat. l. 13 Ὁμηρικός — δεσποτικός sunt ex Theogn. 59, 8. κλωπικός, Τρωϊκός ex Mon. 20, 22, reliqua ex St. B. ita elegi, ut ea tantum commemorarem, quibus testimonia scriptorum addita sunt

πος μέγας καὶ βαθύς, τριῶν ἡμερέων πλόος». Ἀγριανικός, ὡς Χάραξ ἐν δευτέρῳ χρονικῶν. Ληναϊκός, Σμυρναϊκός, Πειραϊκός συστολῇ τοῦ ᾱ. Ἀκαδημαϊκός, Γαλαδραϊκός. Πολύβιος δὲ ἐν τῷ ιγ′ Γαλαδρικόν φησι. τὸ δὲ ἄδικος οὐ κτητικόν. τὸ δὲ ἡλίκος καὶ πηλίκος καὶ τηλίκος παρὰ ποιηταῖς καὶ ὁπηλίκος παροξύνονται· οὐ γὰρ κτητικά.

Τὰ εἰς ῡκος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ μὴ ἔχοντα κατ᾿ ἰδίαν θηλυκὰ κτητικῆς ἐννοίας ἐχόμενα βαρύνεται, Ἴβυκος, Ἄμυκος, Κώρυκος πόλις Κιλικίας. Παρθένιος προπεμπτικῷ. ἔνιοι δὲ τὴν πόλιν Κωρύκειαν φασίν. ἔστι καὶ Κώρυκος ὄρος ἀρσενικῶς λεγόμενον πλησίον Τέω τῆς Ἰωνίας καὶ Ἐρυθρῶν, ὡς Ἑκαταῖος Εὐρώπῃ. καὶ λιμὴν ὁμώνυμος καὶ νησίον ὁμώνυμον. Ἴνυκος πόλις Σικελίας. Ἄλυκος πόλις Πελοποννήσου «εἰς Ἀσίνην Ἄλυκόν τε καὶ ἂμ πόλιν Ἑρμιονήων». Καλλίμαχος. Ἐλίσυκος ἔθνος Λιγύων. Ἑκαταῖος Εὐρώπῃ. Πάτυκος πόλις Οἰνωτρῶν ἐν μεσογείᾳ. Ἁρπάλυκος ὄνομα κύριον, Εὔτυκος. Κήρυκος ὄνομα κύριον. Σίμυκος, Σίτυκος. τὸ δὲ Λιβυκός καὶ θηλυκός καὶ ἁλυκός ὀξύνεται θηλυκὰ ἔχοντα.

Τὰ εἰς σκος ῑ ἢ ῡ παραληγόμενα παροξύνεται, σατυρίσκος, νεανίσκος, παιδίσκος, ἀστερίσκος, ὀβελίσκος, πανίσκος, Κωραλίσκος, οὐρανίσκος, Βορμίσκος πόλις Μακεδονίας. Δορίσκος πόλις Θρᾴκης καὶ πεδίον. Φαλίσκος πόλις Ἰταλίας καὶ ὁ οἰκήτωρ ὁμοφώνως. Ἱππουρίσκος νῆσος Καρίας. Σκορδίσκος ἔθνος Παιονίας ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε′. Τριποδίσκος καὶ Τριποδίσκοι κώμη τῆς Μεγαρίδος. λέγεται καὶ Τριποδίσκη. Ἐλευθερίσκος πόλις Μακεδονίας. Ταυρίσκος ἔθνος περὶ τὰ Ἄλπεια ὄρη. λέγονται καὶ Ταυρῖνοι, ὡς Πολύβιος τρίτῳ (c. 60, 8). Ἐρατοσθένης Τερίσκους αὐτούς φησι διὰ τοῦ ε̄, οἳ καὶ Ταῦροι λέγονται. τὸ μέντοι Δαμασκός — ἔστι δὲ πόλις Συρίας — καὶ Ἀρδησκός καὶ Δραβησκός Θρᾴκης χωρίον, Θουκυδίδης α′ (c. 100), ὀξύνεται ῑ οὐκ ἔχοντα.

Τὰ εἰς λος διβράχεα βαρύνεται· εἰ δέ τι ὀξύνεται, διαστολὴν πέπονθεν ἢ ἕνεκα τριγενείας, Ἄλος πόλις Ἀχαΐας καὶ Φθιώτιδος ὑπὸ τῷ πέρατι τῆς Ὄθρυος. ὁ ποιητὴς «οἵ τ᾿ Ἄλον οἵ τ᾿ Ἀλόπην» (B 682). εἴρηται δ᾿ ἀπὸ τῆς Ἀθάμαντος ἄλης περὶ τοὺς τόπους ἐκείνους γενο-

---

aut quae ob aliam causam notabilia sunt. — τηλίκος — ὁπηλίκος adieci ex Mon. l. c. Verba οὐ γὰρ κτητικά sana sunt. Nam quum Herodianus hoc loco pronominalia cum adiectivis composuisset, haec causa aberrationis a norma satis apta est; in Mon., ubi cum nominibus in ῐκος omnino comparat, dicta solitaria esse pronunciat addens: πάντων δὲ λύσεις δίδωμι ἐν τῷ περὶ καθολικῆς προσῳδίας, quae solutiones ut omnes fere ab Arcadio omissae sunt aut miserabilem in modum recisae. l. 9 Κώρυκος habet cod. A, Κάρυκος BC, Κώρυκος etiam St. B. 401, 7, unde explevi hoc et Ἴνυκος ex p. 332, 18; ex eodem sunt Ἄλυκος — Πάτυκος. — Ἁρπάλυκος — Σίτυκος ex Theogn. 60, 13; sed tria extrema dubia sunt. cf. Lob. Proll. p. 331. De Λιβυκός et ἁλυκός cf. Ep. Cr. I 349, 21 et E. Gud. 356, 30. l. 19 ἀστερίσκος — Κωραλίσκος sunt ex Mon. 20, 33, οὐρανίσκος ex Theogn. 60, 21, reliqua ex St. B., ex quo etiam Δραβησκός accessit, quamquam ap. St. Δαρβῆσκος scriptum est. l. 31 Ἄλος addidi ex Steph. Byz.,

μένης καὶ ὑπ' αὐτοῦ κτισθεῖσα. Θέων δέ φησιν ὅτι Ἄλος θεράπαινα ἦν Ἀθάμαντος ἡ μηνύσασα τὴν Ἰνὼ φρύγειν τὰ σπέρματα, ἧς εἰς τιμὴν τὴν πόλιν ὠνόμασεν. δύο δὲ Παρμενίσκος ἱστορεῖ, τὸν μὲν Μαλιακὸν ὑπὸ Ἀχιλλεῖ, τὸν δὲ ὑπὸ Πρωτεσιλάῳ. Ἀπολλόδωρος δὲ ἀρσενικῶς λέγεσθαι τὴν πόλιν φησίν. πάλος, σάλος, λάλος, φάλος, μύλος, τύλος, Πύλος πόλις ἐν Μεσσήνῃ. Ξύλος πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. φίλος, κτίλος, ὃ κατ' ἀφαίρεσιν ἐκ τοῦ ἰκτίλος γέγονεν. πόλος, στόλος, ψόλος, ὅλος, Φόλος ὁ Κένταυρος, χόλος, δόλος, κόλος, βόλος, μόλος καὶ Μόλος «Μηριόνη Μόλου υἱέ» (Ν 249) σόλος καὶ Σόλοι Κιλικίας πόλις. Ἑκαταῖος Εὐρώπῃ. κέκληται δὲ ἀπὸ Σόλωνος ὡς Εὐφορίων. θόλος. «μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς» (Od. χ 442). τὸ μέντοι θολός τὸ μέλαν τῆς σηπίας ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστι. τὸ δὲ αὐτὸ λέγεται ὀλός. καὶ τὸ ὀλός δὲ ὁ ὀλέθριος ὀξύνεται. τὸ γὰρ Ἀλκμανικὸν «ἔχει μ' ἄχος ὦ ὀλὲ δαῖμον» ἐὰν μὲν ὀλός ἡ εὐθεῖα, οὐκ ἔστι συγκοπή. ἐὰν δὲ ἐκ τοῦ ὀλοός ἡ κλητικὴ ὀλοέ, συγκοπή ἐστιν.

Τὰ εἰς λος μονογενῆ δισύλλαβα μὴ ἀπὸ τοῦ χ ἀρχόμενα ἔχοντα δίχρονον ἐκτεταμένον, εἰ μή τις εἴη διαστολή, βαρύνεται, Μᾶλος Ἀμφικτύονος υἱὸς ἢ Ἀμύρου τοῦ Βοιωτοῦ, κᾶλος «ἐν δ' ὑπέρας τε κάλους τε» (Od. ε 260). Ἶλος τὸ κύριον, ἰλός δὲ ὁ διεστραμμένος, πῖλος, μῖλος, σπῖλος, Βρῖλος ὄνομα κύριον, τῖλος τὸ φορτικόν, στῦλος, γρῦλος, θρῦλος. τὸ δὲ χυλός καὶ χιλός ἡ τροφὴ ὀξύνεται ἀπὸ τοῦ χ ἀρχόμενα. τὸ δὲ ψιλός τριγενές ὡς καὶ τὸ καλός παρὰ τῷ ποιητῇ ὑγιῶς ἐκτεταμένον. τὸ δὲ βαλός, οὕτως ὁ βαθμός καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ κωμῳδίᾳ, Δωρικῶς τέτραπται. καὶ τὸ δαλός

μύλος, τύλος ex Theogn., Πύλος ex St. B., Ξύλος ex eod., φίλος ex Theogn., κτίλος ex Theogn. et Herod. περὶ παθῶν in E. Gud. 350, 36, πόλος στόλος ex Il. Pr. K 134, ψόλος — δόλος ex Ep. Cr. I 442, ex quibus Φόλος ex St. B. explevi, κόλος apposui ex Il. Pr. Π 117, ubi κόλον: οὕτως ὡς λόγον ὁ Ἀσκαλωνίτης. κἀγὼ δὲ συγκατατίθεμαι. βόλος et μόλος ex Theogn. 62, 19 et Ep. Cr. I 246, 12, σόλος καὶ Σόλοι ex Theogn. et St. B. Ad θόλος apposui verba Homerica ex Ep. Cr. II 461, 16. τὸ μέντοι θολός — πρὸς ἀντιδιαστολήν ἐστι ex Il. Pr. K et Ep. Cr. II. τὸ δὲ αὐτὸ λέγεται ὀλός ex Ep. Cr. I. Verba τὸ γὰρ Ἀλκμανικὸν usque ad finem ex Ep. II et Herod. περὶ παθῶν in E. M. 622, 47. Caeterum canon in Il. Pr. paullo aliter conceptus est, quare hic subscribo: τὰ εἰς λος λήγοντα δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος βαρύνεται, πόλος, στόλος, θόλος, κοῖλος, δοῦλος. οὕτως οὖν οὖλος. προσέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον διὰ τὸ μοχλός, πολλός. τὸ μέντοι θολός ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστιν. l. 17 pro ὑπὲρ δύο συλλαβὰς scripsi praeeunte Schmidtio δισύλλαβα. Μᾶλος addidi ex St. B., κᾶλος ex Ep. Cr. I 286, 10. Pro μύλος posui μῖλος i. q. σμῖλος σμῖλαξ, nam Theogn. Μῖλος ὄνομα νήσου iotacismo originem debet, σπῖλος et τῖλος ex Mon. 14, 10 apposui, Βρῖλος ex Theogn., ex eodem θρῦλος. σύλος, quod idem habet, fortasse ex Πύλος corruptum est. — καλός, βαλός, δαλός addidi ex Dichr. 295, 19: τὰ εἰς λος λήγοντα δισύλλαβα ὀξύτονα, ὁπότε ἔχει πρὸ τέλους δίχρονον, τοῦτο ἔχει ἢ ἐκτεταμένον δι' ἑαυτοῦ ἢ διὰ συμφώνου μεγεθυνόμενον. καὶ τὰ μὲν διὰ συμφώνων μεγεθυνόμενα τὰ τοιαῦτά ἐστι, κυλλός, μαλλός, θαλλός, τὰ δὲ δι' ἑαυτῶν τὰ τοιαῦτα, ψιλός, χυλός, δαλός, βαλός, οὕτως ὁ βαθμός καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ κωμῳδίᾳ. ἐχρῆν οὖν καὶ τὸ καλός ἢ βοη-

δὲ κατὰ πάθος. καὶ τὸ Νεῖλος βαρύνεται. ἔστι δὲ ποταμὸς Αἰγύπτου. Ἑκαταῖος περιηγήσει αὐτῆς «καὶ ἱρὸν Νείλου τοῦ ποταμοῦ». λέγεται δὲ κατὰ διάλεκτον Νέϊλος. καὶ τὸ δειλός ὀξύνεται.

Τὰ εἰς λος δισύλλαβα κύρια τῷ η παραληγόμενα περισπᾶται, οἷον Μῆλος Μαντοῦς υἱός, ἀφ' οὗ Μαλόεις τόπος ἐν Λέσβῳ, ὡς Ἑλλάνικος ἐν Λεσβικῶν πρώτῳ καὶ Μῆλος μία τῶν Κυκλάδων ὁμώνυμον ἔχουσα πόλιν. ἔστι καὶ κώμη τῆς Ἀκαρνανίας. Βῆλος ὁ Ζεύς καὶ Βῆλος ἡ καὶ Μῆλος πρὸς ταῖς Ἡρακλέους στήλαις ἀμφοτέρων· ἐτύμως λεγομένων τῷ τοὺς ἀρχαιοὺς βηλὸν λέγειν τὸν οὐδὸν τῆς θύρας καὶ ταύτην κεῖσθαι παρὰ τὸν οὐδὸν τοῦ Ὠκεανοῦ. Μῆλος δὲ καὶ Μηλαρία δύο πόλεις ἐπὶ τοῖς πέρασι, τὴν αὐτὴν ἔμφασιν ἔχουσιν ἀπὸ τῆς κλήσεως τῶν μήλων, ἃ χρύσεα λέγεται Ἡρακλῆς ἐκ τῆς Λιβύης ἀγηοχέναι. Δῆλος μία τῶν Κυκλάδων. ἢ παρὰ τὰς γονάς· ἱερὸν γὰρ Δῆλος τοῦ Ἀπόλλωνος τοῦ θεοῦ πρῶτον ἐν αὐτῇ γενομένου. ἢ διὰ τὰς μαντείας· δηλοῦσα γὰρ τὰ δυσεύρετα. Σφῆλος ὄνομα κύριον. Τῆλος νῆσος τῶν Κυκλάδων ὁμοφώνως τῷ οἰκιστῇ. Ζῆλος πόλις τῶν ἑσπερίων Αἰθιόπων. Ἦλος κύριον.

Ἔτι τὰ εἰς λος δισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ τῷ η παραληγόμενα, εἰ ἔχοι ἄφωνον πρὸ τοῦ η, ὀξύνεται, πηλός, βηλός ὁ οὐδός, χηλός, φηλός. τὸ μέντοι ἧλος καὶ ζῆλος βαρύνεται, οὐδὲ γὰρ ἄφωνον ἔχει. τὸ δὲ δῆλος ἐπιθετικὸν ἀπὸ δέελος κατὰ συναίρεσιν τῶν δύο εε εἰς η γέγονεν.

θεῖσθαι συμφώνῳ ἢ αὐτόθεν ἐκτείνεσθαι· ὑγιὴς οὖν ἡ ἔκτασις παρὰ τῷ ποιητῇ. Hinc καλός cum ψιλός composui, nam parum probabiliter Ep. Cr. I 246, ubi diversa commiscentur, καλός et κᾶλος comparantur cum θολός et θόλος· τὸ καλὸς ὠξύνθη πρὸς τὸ κᾶλος. βαλός ita Herodianum expedivisse arbitror ut feci aeque atque δαλός, de quo E. M. 246, 34: δαλός — λέγεται καὶ δαλός καὶ δαελός παρὰ Σώφρονι. παρὰ γὰρ τὸ δαίω δαϊλός ἢ παρὰ τὸ δαίω δαερός ὡς φαίνω φανερός. καὶ Ἀττικῶς δαελός καὶ Ἰωνικῶς δαυλός καὶ κοινῶς δαυλός. παρὰ δὲ τὸν δαίσω μέλλοντα γίνεται δαιλός καὶ τροπῇ τοῦ ῑ εἰς ῡ δαυλός. Quam ex his opinionibus Herodianus amplexus sit, difficile est dictu, sed eum accentum vocis δαλός a reliquis substantivis abhorrentem aliqua passione excusasse facile est ad credendum, quare addidi κατὰ πάθος. Νεῖλος explevi ex St. B. et Mon. 14, 10. De δειλός cf. Choer. Orth. 193, 24, περὶ ποσότ. 291, 8, E. M. 262, 25. l. 5 Μῆλος explevi ex St. B., item Βῆλος collato Theogn., qui habet Βῆλος ὁ Ζεύς et Δῆλος. Σφῆλος apposui ex Il. Pr. O 338: Σφήλοιο ὡς φίλοιο· ἔστι δὲ καὶ κανών ὡς τὰ εἰς λος δισύλλαβα, τῷ η παραληγόμενα, κύρια ὄντα βαρύνεσθαι θέλει, Τῆλος, Μῆλος, Βῆλος. οὕτω καὶ Σφῆλος. τὰ μέντοι προσηγορικὰ καὶ ὀξυτονεῖται, πηλός, χηλός, καὶ βαρύνεται, ὡς δῆλος τὸ ἐπιθετικὸν καὶ ἧλος καὶ ζῆλος, περὶ ὧν εἰρήσεται ἡμῖν ἐν τοῖς περὶ καθολικῆς προσῳδίας. Hinc recepi etiam Τῆλος, quod ex St. explevi. Ζῆλος accessit ex St. B., Ἦλος ex Theogn. l. 20 χηλός addidi ex Il. Pr. l. c. et Theogn., φηλός ex Theogn. iniuria contra Lobeck. El. I 123 not. 46 accentum φῆλος ap. Hesych. praeoptat Schmidt. — Verba τὸ δὲ δῆλος usque ad finem addidi propter Il. Pr. O 338 secutus Theogn. 61, 12 et Il. Pr. K 466: δέελον· ταὐτόν ἐστι τῷ δῆλον· διὸ καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα καὶ ψιλοῦται τὸ δεύτερον ε̄. Caeterum de βηλός cf. Schol. BL ad Il. A 591: βηλός ἐστι ὁ ἀνωτάτω τόπος τοῦ οὐρανοῦ. ἀπὸ γὰρ τοῦ βεβηκέναι. καὶ Πανύασις δὲ τὰ πέδιλα βηλὰ λέγει. Παρμενίων δὲ ὁ γλωσσογράφος φησὶν Ἀχαιοὺς καὶ Δρύοπας καλεῖν τὸν οὐρανὸν βηλόν. Κράτης δὲ περισπῶν τὴν πρώτην συλλαβὴν Χαλδαϊκὴν εἶναι τὴν λέξιν ἀποδίδωσιν. E. M. 196, 19 τῷ τόνῳ καθάπερ οἱ Ἀριστάρχειοι βηλόν ὡς πηλόν τὸν τῶν θεῶν βαθμόν, Hesych. Βῆλος οὐρανός καὶ Ζεύς

* Τὰ εἰς λος δισύλλαβα εἴτε κύρια εἴτε προσηγορικὰ τῷ ω παραληγόμενα περισπᾶται, Κῶλος ἔθνος πρὸς τῷ Καυκάσῳ. Ἑκαταῖος Ἀσίᾳ. Σκῶλος πόλις Βοιωτίας. Στῶλος πόλις ἐν Θρᾴκῃ. Τμῶλος, ὃς κατὰ ποιητικὸν μετασχηματισμὸν Τύμωλος. Πῶλος τὸ κύριον καὶ τὸ προσηγορικόν, μῶλος, βῶλος, κῶλος. Χῶλος τὸ κύριον. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, χωλός, ψωλός.

Τὰ εἰς αυλος δισύλλαβα μονογενῆ μὴ κύρια ὀξύνεται, αὐλός, δαυλός, καυλός, γαυλός ἐπὶ τοῦ ἀγγείου. «γαυλοί τε σκαφίδες» (Od. ι 223), ἐπὶ δὲ τοῦ πλοίου βαρυτόνως. Καλλίμαχος (fr. 217) «Κυπρόθε Σιδόνιός με κατήγαγεν ἐνθάδε γαῦλος». τὸ δὲ Βαῦλος, Παῦλος, Γαῦλος νῆσος πρὸς τῇ Καρχηδόνι. Ἑκαταῖος περιηγήσει — κύρια περισπᾶται καὶ τὸ ναῦλος μὴ ὂν κύριον. τὸ δὲ φαῦλος ἐπίθετον.

Τὰ εἰς λος ἐπιθετικὰ ἔχοντα πρὸ τοῦ λος δίφθογγον τὴν διὰ τοῦ ῡ βαρύνεται οἷον φαῦλος, δοῦλος, οὖλος. τὸ δὲ τραυλός ὀξύνεται καὶ τὸ δαυλός.

* Τὸ κοῖλος μόνον εἰς λος λῆγον δισύλλαβον τῇ οι διφθόγγῳ παραληγόμενον βαρύνεται. λέγεται δὲ καὶ κόϊλος.

Τὰ εἰς δύο λλ κύρια ἀρσενικὰ βαρύνονται, Ὕλλος υἱὸς Ἡρακλέους, ἀφ' οὗ Ὑλλεῖς ἔθνος Ἰλλυρικόν, οὓς Ἀπολλόδωρος Ὕλλους γράφει ἐν τῷ περὶ γῆς δευτέρῳ «ὑπὲρ δὲ Ὕλλους Λιβυρνοὶ καί τινες Ἴστροι λεγόμενοι Θρᾷκες». Τέλλος ὁ Ἀθηναῖος Ἡρόδοτος α' (c. 30), Μύλλος ποιητὴς κωμικός, Γάλλος ὁ ποταμὸς Φρυγίας· — λέγει δὲ ὁ Πο-

---

καὶ Ποσειδῶνος υἱός. βηλός οὐδὸς οἴκου ἀπὸ τοῦ βαίνεσθαι cf. Lehrs Arist. p. 299 ed. Π. l. 1 canonem finxi ex Theogn. 62, 15 et St. B., qui peculiare habet Κῶλος, reliqua propria praeter Πῶλος et Χῶλος, quae debentur Theogn., cum hoc communia. cf. Choer. Epim. in Psalm. 130, 20, Ep. Cr. I 436, 8 τί διαφέρει χῶλος καὶ χωλός; Χῶλος βαρυτόνως ὄνομα κύριον ὥσπερ καὶ τὸ Πῶλος ὄνομα. χωλός δὲ ὀξυτόνως ὁ τοὺς πόδας βεβλαμμένος. E. M. 816, 22 χωλός. Χῶλος δὲ ὄνομα ῥήτορος ὡς Πῶλος. l. 8 γαυλός addidi ex Schol. Od. ι 223: γαυλοί τε: νῦν μὲν ὀξυτόνως, ἐπὶ δὲ τοῦ πλοίου βαρυτόνως collato Schol. ad Arist. Av. 598: γαῦλος Φοινικικὸν σκάφος καὶ νῦν προπερισπωμένως, ἐπὶ δὲ τοῦ ἀγγείου ὀξυτόνως. Καλλίμαχος (fr. 217) «Κυπρόθε Σιδόνιός με κατήγαγεν ἐνθάδε γαῦλος» cf. Hesych. s. v. cum Schmidtii annotatione. — Pro Σαῦλος cod. BC et Δαῦλος cod. A scripsi Γαῦλος ex St. B. 200, 3. l. 15 pro δειλός exhibui δαυλός, quum ex ipso canone appareat de adiectivis in ος diphthongo ῡ continente praefinitis agi. In priore canone prolatum fuit substantivum δαυλός i. e. τὸ ἡμίφλεκτον ξύλον, hic docetur etiam adiectivum δαυλός i. e. δασύς acui. cf. Hesych. s. v. et St. B. 221, 9, ubi tamen contra Herodiani legem δαῦλον scriptum est, quem accentum etiam Eustath. ad Il. 274, 24; 654, 27 auctore Pausania Atticista praecipit, in E. M. 249, 50 ex Herodiani doctrina oxytonos scriptum est δαυλός ὁ δασύς. De οὖλος Herod. in Il. Pr. K 134 (cf. Ep. Cr. II 461, 16): οὔλη δ': ὡς κούρη. οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτοῦ ἐβαρύνετο «οὔλων τε ταπήτων» (Il. Π 224). τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος. καὶ μήποτε ἀνάλογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴγε ὀξυτονοῦσι τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη. οὐ δέον δέ· τὰ γὰρ εἰς λος κτλ., quae supra p. 154 posuimus. l. 16 notationem de κοῖλος recepi ex Mon. 20, 34. l. 18 cum hoc praecepto cf. Mon. 11, 17, Ὕλλος explevi ex St. B., Τέλλος ex Mon. Ex Μύλλος ap. Theogn. 61, 25 Λύλλος ὄνομα κύριον fortasse corruptum est, idem vitium obtinet etiam ap. Photium s. v. Λύλλος ποιητὴς ἐπὶ μωρίᾳ κωμῳδούμενος et ap. Hes. Λύλλος ἢ Μύλλος cf. Schmidt. ad h. l. Γάλλος explevi ex Mon. et St. B., item Ψύλλος. —

λυίστωρ ἐν τῷ περὶ Φρυγίας τρίτῳ, τὸν Γάλλον καὶ τὸν Ἄττιν ἀποκόψαι τὰ αἰδοῖα καὶ τὸν μὲν Γάλλον ἐλθεῖν ἐπὶ τὸν Τηρίαν ποταμὸν καὶ οἰκῆσαι καὶ ποταμὸν Γάλλον καλέσαι. ἀπ᾽ ἐκείνου γὰρ τοὺς τεμνομένους τὰ αἰδοῖα γάλλους καλοῦσιν — καὶ ἔθνος. Ψύλλος τὸ κύριον. Ἀγροίτας α΄ Λιβυκῶν· «ἀνδρωθέντα δὲ τὸν Ἀμφίθεμιν πλησιάσαι ταῖς νύμφαις καὶ γεννῆσαι παῖδας Ἀδυρμαχίδαν, Ἀραραύκηλα, Ἀσβύταν, Βάκαλα, Μάκαν, Ψύλλον». ἀφ᾽ οὗ Ψύλλοι τὸ ἔθνος, περὶ οὗ Ἡρόδοτος τετάρτῃ (c. 173) «Νασαμῶσι προσόμουροί εἰσι Ψύλλοι». Σκύλλος ὁ κολυμβητής, Φέλλος τὸ κύριον, Ἡσίοδος «Φέλλον ἐϋμμελίην τηλεκλειτὴ Μελίβοια», Γρύλλος καθάρας τοὺς Διοσκούρους ὡς Φιλοστέφανος, Κόλλος· Δημόγνητος ἐν τῷ περὶ Κνίδου· «καὶ Κόκκυγα τὸν Τελέστορος καὶ Κόλλον τὸν Σκίρου καὶ Λώγασον τὸν Αὐτονόμου καὶ Κτῆσιν τὸν Μνησιθέου». Γίλλος. Ἡρόδοτος γ΄ (c. 138). Φύλλος πόλις ἐν Θετταλίᾳ. Στράβων θ΄ (p. 435) ἀρσενικῶς. Ῥιανὸς δὲ Φύλλον θηλυκῶς ἐν θ΄ Θεσσαλικῶν «οἱ δ᾽ ἄφαρ ὁπλισθέντες ἴσαν κραναὴν ποτὶ Φύλλον». Τράλλος ἔθνος Ἰλλυρίας, οἳ καὶ Τράλλεις παρὰ Θεοπόμπῳ. Μάλλος ὁ κτίστης πόλεως Μαλλοῦ. Κύλλος τὸ κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς. τὸ δὲ κολλός ὀξύνεται ὡς ἐπιθετικόν. καὶ τὸ Μαλλός θηλυκὸν ὄνομα πόλεως Κιλικίας. Καλλίμαχος Αἰτίων πρώτῳ. καὶ τὸ Φελλός πόλις Παμφυλίας. Ἀλέξανδρος ὁ Πολυίστωρ ἐν τῷ περὶ Λυκίας Φελλὸν καὶ Ἀντίφελλον Λυκίας εἶναί φησι. σεσημείωται τὸ Ἑλλός ἢ Σελλός «ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίουσ᾽ ὑποφῆται» (Il. Π 234).

Τὰ εἰς δύο λλ προσηγορικά, εἰ μὴ παραλήγοιεν ῑ, καὶ πάντα τὰ τριγενῆ ὀξύνεται, μαλλός, φαλλός, θαλλός, φελλός, σκελλός, πολ-

---

Σκύλλος — Γίλλος sunt ex Mon. recepta, Φύλλος ex St. B., ex eodem Τράλλος et Μάλλος, Μαλλός πόλις Κιλικίας ἀπὸ Μάλλου κτίσαντος αὐτήν quae nomina comparanda sunt cum Φαῖστος Φαιστός cf. Lehrs Arist. 277 ed. II. Pari modo etiam Μαλοί ἔθνος Ἰνδικόν St. B. 430, 9 non cum Meinek. Μαλλοί rectius scribi, sed Μάλλοι opinor, praesertim quum in Il. Pr. Π 234, quem locum statim proponam, omnia in αλλος gravari tradatur. Κύλλος appositum est ex Mon. — Μαλλός explevi ex St. B., Φελλός accessit ex St. B. — σεσημείωται usque ad finem deprompsi ex Il. Pr. l. c., ubi canon sic conceptus est, ut Ἑλλός sub regulam cadat: τὰ εἰς λος ἑτέρῳ λ παραληγόμενα, οὗ τὸ ᾱ μὴ προηγεῖται, ὀξύνεται. κιλλός εἶδος χρώματος, ἐν Στεφανοπώλισιν Εὐβούλου «εὔχρων τι κιλλὸν μανθάνεις θερίστριον». πολλός, Κυλλός, Ἑλλός ἢ Σελλός «ἀμφὶ δὲ Σελλοί», σκελλός, φελλός τὸ προσηγορικόν. τὸ δὲ Γάλλος καὶ ἄλλος τὸ ᾱ ἔχει πρὸ τοῦ λ. ἔτι δὲ καὶ τὸ ἄλλος καὶ ὡς ἐπιμεριζόμενον. Herodianeum colorem habet etiam canon in Ep. Cr. I 338, 22: τὰ εἰς ος λήγοντα δισύλλαβα τοῖς αὐτοῖς συμφώνοις κεχορηγημένα παραληγόμενα τῷ ō βαρύνεται οἷον κόττος, ὄσσος, ὄρρος, κόλλος, ὁ σπόγγος. τὸ νοσσός ἐκ τοῦ νεοσσός. τὸ κομμός οὐδὲ σύνηθες. παράλογον δὲ τὸ πολλός κατ᾽ ὀξεῖαν τάσιν, ὅτι τὰ εἰς λος λήγοντα ἑτέρῳ λ παραληγόμενα τριγενῆ ὄντα ὀξύνονται, ἰλλός «ἰλλοί τε πόδες». κυλλός. οὕτως οὖν καὶ πολλός. καὶ ὅτι τῷ λ παραλήγεται καὶ ὅτι τριγενές. ἀντίκειται τὸ ἄλλος, ὅπερ ἔχει ἀπολογίαν, ὅτι τῶν ἐπιμεριζομένων ἐστί· βαρύνεται δὲ ταῦτα, ἕκαστος, ἕτερος, ἄλλος. Priorem partem usque ad πολλός ut regulam Herodianeam profert Eustath. 1746, 27, unde concludas in Epimerism. ante οὐδὲ σύνηθες excidisse τὸ κροσσός. Ex Epim. inserui l. 24 verba καὶ πάντα τὰ τριγενῆ.

l. 25 θαλλός recepi ex Dichr. 295, 22, σκελλός et πολλός ex Il. Pr. l. c. et

λός, μυλλός, ἰλλός «ἰλλοί τε πόδες». τὸ ἴλλος, σίλλος καὶ βίλλος τὸ ἀνδρεῖον αἰδοῖον τὸ κοινῶς βιλλίν παρ' Ἐφεσίοις βαρύνεται. τὸ δὲ κιλλός εἶδος χρώματος ἐν Στεφανοπώλισιν Εὐβούλου «εὔχρων τε κιλλὸν μανθάνεις θερίστριον» ὀξύνεται. σεσημείωται τὸ ψύλλος, τὸ δὲ Ψύλλος τὸ ἐπ' ἔθνους κύριον. τὸ δὲ ἄλλος ὡς ἐπιμεριζόμενον βαρύνεται.

Τὰ εἰς λος μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται· εἰ δέ τι εἴη ὀξύτονον, ἐπιθετικὸν ὑπάρχει, ὅτλος, βύβλος καὶ Βύβλος πόλις Φοινίκης. ἔστι καὶ Βύβλος ἐν τῷ Νείλῳ πόλις. βίβλος καὶ Βίβλος ποταμὸς Νάξου· ὄχλος, κόχλος, κύκλος, Ἄσκλος πόλις Ἰταλίας. Διονύσιος ἐν κ' Ῥωμαϊκῆς ἀρχαιολογίας. ἔστι καὶ οὐδέτερον. Τύσκλος πόλις Ἰταλίας. λέγεται καὶ Τυσκλανόν. Ὕβλος βασιλεύς, ἀφ' οὗ Ὕβλα πόλις Σικελίας. Ζάγκλος ὁ γηγενής, ἀφ' οὗ τινες Ζάγκλην πόλιν Σικελίας. τὸ δὲ τυφλός ὀξύνεται, ἐπιθετικὸν ὄν, ὥσπερ καὶ τὸ στρεβλός καὶ ἐσθλός καὶ σιφλός ὁ κεκακωμένος, σίφλος δὲ ὁ μῶμος. σεσημείωται τὸ μοχλός ὀξυνόμενον.

Τὰ εἰς αλλος τρισύλλαβα μὴ ἐθνικὰ προπαροξύνεται, κρύσταλλος, Δίαλλος, ὄκταλλος ὁ ὀφθαλμὸς παρὰ Βοιωτοῖς. τὸ δὲ Τριβαλλός ἐθνικόν. Ἀριστοφάνης Ὄρνισιν (1528) «ὄνομα δὲ τούτοις τῶν θεῶν τῶν βαρβάρων τί ἐστι; μανθάνω. Τριβαλλοί». καὶ τὸ προβαλλός ἡ ἀσπίς ὀξυνόμενον.

Τὰ ὑπὲρ τρεῖς συλλαβὰς ἐκφερόμενα παραληγόμενα τῷ ᾱ βαρύνεται, εἰ μὴ ἀπὸ τοῦ κ̄ ἄρχοιτο, ἀρύβαλλος τὸ μαρσύπιον, περίαλλος τὸ ἰσχίον, αἰγίθαλλος. κραπαταλλός δὲ εἶδος νομίσματος καὶ κορυδαλλός προσηγορικὸν καὶ ὄνομα δήμου Ἀττικοῦ ὀξύνεται.

Τὰ εἰς λλος πολυσύλλαβα, ὁποίῳ φωνήεντι παραλήγει πλὴν τοῦ ᾱ, προπαροξύνεται, Μύσκελλος ὁ Κρότωνος οἰκιστής, Μάρκελλος, Ἀντίφελλος χωρίον Λυκίας, Κύριλλος, Σόφιλλος, δόριλλος, Μέγιλλος, Τήριλλος, Πέριλλος, Ἄϊλλος, Ἔπιλλος, ἀνάσιλλος, Γράστιλλος ἀρσενικῶς πόλις Μακεδονίας, ὃ καὶ διὰ τοῦ π̄ γρά-

---

K 134, μυλλός ex Ep. Cr. I 45, 32, ἰλλός ex Ep. Cr. I 338, 26, ἴλλος ipse apposui secutus E. Or. 150, 14 σιφλός· πλεονασμῷ τοῦ φ̄. κυρίως δὲ ὁ σεσινωμένος τοὺς ἴλλους. — τὸ δὲ κιλλός — ὀξύνεται sunt ex Il. Pr. Π 234. Pro σεσημείωται τὸ ψύλλος τὸ ἐπὶ τοῦ ἔθνους scripsi praeeunte Schmidtio, quae proposui. τὸ δὲ ἄλλος addidi ex Il. Pr. l. c. et Ep. Cr. I 45, 32. Cum φελλός σκελλός coniungi potest πελλός in Ep. Cr. I 344, 6: πελιός παρὰ τὸ πελλός «ἔνθ' οὔτε πελλῆς οἷος ἄγραυλος βοτήρ» Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ fr. 111 Nauck. l. 7 Βύβλος et Βίβλος propria accesserunt ex St. B. l. 9 Ἄσκλος — Ζάγκλος ex St. B. sumpsi. σιφλός recepi ex Schol. ad Apollon. I 204 σιφλός ἀντὶ τοῦ κεκακωμένος· σίφλος δὲ ὁ μῶμος. Excidit canon huiuscemodi: τὰ εἰς λος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν βαρύνεται οἷον Μύρλος ὁ Κολοφωνίων ἡγεμών, ἀφ' οὗ Μύρλεια πόλις Βιθυνίας (St. B. 463, 18) et praeterea canon de hyperdisyllabis: ἔτι καὶ τὰ εἰς λος ὑπὲρ δύο συλλαβὰς μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται οἷον Κόρνικλος πόλις Λατίνων. Διονύσιος τρίτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας, sed Meinek. Κορνίκολος scribendum indicat. l. 17 Δίαλλος scripsi pro Κίαλλος ignoto cum Lob. Proll. 94, qui etiam ἴαλλος proponit. Ad Τριβαλλός Aristophanis versum adieci ex St. B. 634, 8. l. 24 προσηγορικὸν — δήμου Ἀττικοῦ addidi propter St. B. 377, 1. l. 26 Μύσκελλος explevi ex St. B. 592, 20, Ἀντίφελλος ex eodem inserui p. 101, 6 coll. p. 661, 20. Nomina inde a Μέγιλλος — ἀνάσιλλος sunt ex Theogn. 62, 12, Γράστιλλος ex St. B. 213, 3, formam

φεται κατὰ τὴν πρώτην cυλλαβὴν Πράcτιλλοc ὡc Εὔπολιc. Ῥήγιλλοc Cαβίνων πόλιc. Ἀρίcτυλλοc, Ἥρυλλοc, Θράcυλλοc, Βάθυλλοc ὑποκοριcτικά, Μελάμφυλλοc οὕτωc ἐκλήθη πρότερον ἡ Cάμοc. Ἄβυλλοc ἔθνοc πρὸc τῇ Τρωγλοδυτικῇ ἔγγιcτα τῷ Νείλῳ, ὡc Ἀπολλόδωροc δευτέρῳ περὶ γῆc. τὸ δὲ ὀπτίλλοc παροξύνεται. καὶ τὸ νεογιλλόc ἔχει θηλυκόν.

Τὰ εἰc αλοc, εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλουc μακράν, προπαροξύνεται, Κώδαλοc, Τάνταλοc, ἀφ' οὗ καὶ Τάνταλοc ὄροc Λέcβου, Ἅρπαλοc, ἴξαλοc, δαίδαλοc καὶ Δαίδαλοc, ἤκαλοc, πάccαλοc. Μαίναλοc ὁ Λυκάονοc καὶ πόλιc Ἀρκαδίαc. Μάνταλοc πόλιc Φρυγίαc, ὡc ὁ πολυίcτωρ Ἀλέξανδροc, ὁμοφώνωc τῷ κτίcτῃ. Κώκαλοc, Ἄcκαλοc, ἐξ οὗ Ἀcκάληc ὡc δάμαλοc «δαμάληc ἔρωc» (Anacr. fr. 2). Ἄραξοc Ἀράξηc, Χάραξοc Χαράξηc, Λάπιθοc Λαπίθηc. Ψύτταλοc, ἀφ' οὗ Ψυττάλεια νῆcοc. cεcημείωται τὸ ὀμφαλόc καὶ τὸ Θεccαλόc τὸ ἐθνικὸν ὁμοφώνωc τῷ οἰκιcτῇ.

Τὰ εἰc αλοc ἔχοντα τὴν τρίτην cυνεcταλμένην θηλυκῶν ἐcτερημένα, εἰ μὴ περιεκτικῇ cημαcίᾳ ἐκφέρηται, προπαροξύνεται, Κέφαλοc πατὴρ Πρόνου, Cάμου, Πηλέωc, Κρανίου, ἀφ' ὧν τετράπολιc ἡ νῆcοc Κεφαλληνία, Μακροκέφαλοc ἔθνοc πρὸc τοῖc Κόλχοιc. ἐγκέφαλοc, cίαλοc. Φίαλοc, ἀφ' οὗ Φιάλεια, δάμαλοc, Ῥόπαλοc. Πάραλοc ἐν Θεccαλίᾳ πόλιc τῶν Μηλιέων· Πάραλοc δὲ καὶ ὁ οἰκήτωρ Παραλίαc τῆc Ἀττικῆc. Πάταλοc νῆcοc παρακειμένη τῇ Καρίᾳ, Κύαλοc πόλιc Λυδίαc κτιcθεῖcα ὑπὸ Κυάλου τοῦ Διόc. Κρωβίαλοc πολίχνιον πρὸc τῇ Ποντικῇ. Ἀπολλώνιοc δευτέρῳ (v. 942) «Κρωβίαλον Κρῶμνάν τε καὶ ὑλήεντα Κύτωρον». Ἀμφίαλοc, Εὐρύαλοc, Ἀcτύαλοc, ὕφαλοc, ἀγχίαλοc. τὸ δὲ Ἰταλόc ὁ οἰκιcτήc καὶ τὸ ἐθνικὸν ὀξύνεται καὶ τὸ αἰγιαλόc περιεκτικόν. ἔcτι δὲ καὶ

Πράcτιλλοc praebet Theogn., Ῥήγιλλοc ex St. B. 544, 12. Ἀρίcτυλλοc et reliqua deminutiva sumpta sunt ex Herod. περὶ παθῶν ἢ εἰc τὴν Ἀπολλωνίου εἰcαγωγήν E. M. 142, 26, Μελάμφυλλοc ex St. B., nam composita proferri non alienum est, ut docet ἀνάcιλλοc et sequens νεογιλλόc, Ἄβυλλοc ex St. B. De Κύριλλοc Choer. Orth. 227, 16: ῑ ὡc προπαροξύτονον οὐχ ὡc Ἀcτυάγηc παροξυτόνωc. τὰ γὰρ ἔχοντα δύο λλ εἰc οc κύρια διὰ τοῦ ῑ γράφεται καὶ προπαροξύνεται. l. 8 Τάνταλοc explevi ex St. B., Δαίδαλοc proprium ex eodem recepi. ἤκαλοc et πάccαλοc sunt ex E. M. 44, 29: ἐκ τοῦ ἦκα γίνεται παραγωγὸν ἤκαλοc, ὡc πέμπω πέμπελοc καὶ ἄγω ἄγελοc καὶ ἄγγελοc. καὶ κατὰ cυcτολὴν ἀκαλόc ὁ ἥcυχοc ὡc ἀπαλόc ὁμαλόc χθαμαλόc, ὀξύνεται. τὸ δὲ ἤκαλοc προπαροξύνεται ὡc πάccαλοc Κόκαλοc (scr. Κώκαλοc), Τάνταλοc, quae ex Herodiano petita esse patet. Μαίναλοc — Ψύτταλοc sunt ex Steph. Byz., Μάνταλοc canoni Herodianeo adaptavi, nam ap. St. B. 431, 7 Μάνταλοc πόλιc Φρυγίαc ἀπὸ Μανταλοῦ κτίcτου αὐτῆc, ubi accentus andronymici perversus est; si enim discrimen factum esset, urbs potius Μανταλόc oxytonos scripta fuisset. Ad Θεccαλόc ex St. B. apposui τὸ ἐθνικὸν ὁμοφώνωc cf. Lehrs Arist. 273 et 276 ed. II. Praeterii Ἄρδαλοc ap. St. B. 115, 16 propter accentus instabilitatem, nam andronymicum ibi proparoxytonos prolatum est, gentile Ἀρδαλόc: τοῦ Ἀρδαλίc ἀρcενικὸν Ἀρδαλόc ὡc Θετταλόc, quod fortasse rectum est. l. 17 Κέφαλοc et Μακροκέφαλοc ex St. B. addidi, pro πίαλοc scripsi cum Lob. Proll. 104 cίαλοc, pro Φίγαλοc cum eodem Φίαλοc, quod etiam ap. St. B. 664, 11 exstat. Ῥόπαλοc — Κρωβίαλοc addita sunt ex St. B. Ἀμφίαλοc — ἀγχίαλοc ex Il. Pr. O 705, Ἰταλόc explevi ex St. B., item αἰγιαλόc. Caeterum canon se recte habet, nam quamquam ab Arcadio

Αἰγιαλός μεταξὺ Cικυῶνος καὶ τοῦ Βουπρασίου καλούμενος τόπος ἀπὸ Αἰγιαλέως τοῦ Ἰνάχου, ὡς Ἴςτρος ἐν ἀποικίαις τῆς Αἰγύπτου. ἔςτιν ἕτερος Αἰγιαλός προςεχὴς τῷ Πόντῳ μετὰ τὴν Κάραμβιν ἄκραν, ὡς Ἀπολλώνιος. ἔχει δὲ καὶ κώμην ὁμώνυμον. Ὅμηρος «Κρῶμνάν τ' Αἰγιαλόν τε» (Β 855). γράφεται δὲ «Κρῶμναν Κωβίαλόν τε». ἔςτι καὶ Θρᾴκης αἰγιαλὸς παρὰ τῷ Cτρυμόνι, ὡς Ἑκαταῖος. ἔςτι καὶ ἄλλος Αἰγιαλὸς μέγας καλούμενος ἐν Αἰθιοπίᾳ κατ' Αἴγυπτον.

Τὰ εἰς αλος τριγενῆ ἔχοντα τὴν τρίτην βραχεῖαν ὀξύνεται, ἁπαλός, χθαμαλός, τροχαλός, ἀταλός, ὁμαλός, ἀκαλός, γυαλός τὸ ἐπίθετον. ςεςημείωται τὸ μεγάλος παροξύτονον. ἐξέλειψε δὲ ἡ μεγάλος εὐθεῖα διὰ τὸ ἀχαρακτήριςτον τοῦ τόνου.

Τὰ διὰ τοῦ αλος ὑπερδιςύλλαβα μετὰ τοῦ ᾱ ἐκτεταμένου βαρύνεται, Φάρςαλος πόλις Θεςςαλίας ἀπὸ Φαρςάλου τοῦ Ἀκριςίου. ἔςτι καὶ Παμφυλίας πόλις. Τάβαλος, Cτύμφαλος πόλις Ἀρκαδίας καὶ πεδίον ὁμώνυμον καὶ πηγή. ἡ πόλις ἀρςενικῶς καὶ θηλυκῶς.

Τὰ διὰ τοῦ ελος μονογενῆ προπαροξύνεται, εἰ μὴ πάθος τι γένοιτο, ἄμπελος. ἔςτι καὶ πόλις τῆς Λιγυςτικῆς. Ἑκαταῖος Εὐρώπῃ. ἔςτι καὶ ἄκρα Τορωναίων Ἄμπελος λεγομένη. ἔςτι καὶ ἑτέρα ἄκρα τῆς Cάμου. καὶ ἄλλη ἐν Κυρήνῃ, Ἀγροίτας δὲ δύο πόλεις εἶναί φηςι, τὴν μὲν ἄνω, τὴν δὲ κάτω. ἔςτι καὶ Ἰταλίας ἄκρα καὶ λιμὴν καὶ πόλις. Cθένελος, πύελος καὶ πτύελος, Κύψελος, Δέκελος, Ἔχελος ἥρως, Πάνελος ἀρςενικῶς πόλις περὶ τὸν Πόντον. ἐκλήθη δὲ ἀπό τινος τῶν Ἡρακλεωτῶν, ὃς ἀφίκετο ἐκ Βοιωτίας ἀπόγονος ὢν Πηνέλεω τοῦ ςτρατηγήςαντος ἐπὶ Τροίαν. ἄγγελος, ςκόπελος, ςφάκελος, ἀςφό-

---

praeter αἰγιαλός trisyllaba tantum afferuntur, tamen canon ipse nihil diserte de trisyllabis solis edicit et verisimile est ab epitomatore vocabula velut Κρωβίαλος omissa esse. Ἰταλός autem ad canonem quadrat, qnin opus sit cum Lob. περιεκτικῇ in ἐθνικῇ mutare, quum habeat femininum. Ineptit E. M. 14, 36 Ἀγχίαλος ἡ μὲν πόλις ὀξύνεται, ὁ δὲ παραθαλάςςιος τόπος προπαροξύνεται. l. 9 pro ἰταλός scripsi cnm Schmidtio ἀταλός, ὁμαλός, ἀκαλός ex E. M. 44, 29 apposui, γυαλός ex Il. Pr. Є 99 τὸ γύαλον ὅταν ἐπίθετον ᾖ, ὀξύνεται, εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάςαςθαι, unde Lobeck. recte negat concludi posse propterea adiectivum acui, quod epithetum sit; nam nisi tertia ab ultima brevis esset, quamvis adiectivum ex Herodiani sententia aeque atque δαίδαλος, ἤκαλος proparoxytonos scribendum esset. Canon enim Herodiani hic est: nomina cum antepaenultima producta, sive substantiva sive adiectiva, proparoxytona sunt, nomina substantiva cum antepaenultima correpta proparoxytona sunt, nomina adiectiva cum brevi antepaenultima acuuntur. Verba ἐξέλειψε δὲ usque ad finem recepi ex Choer. Epim. in Psalm. 68, 19. ἐξέλειψε — τόνου· δῆλον δὲ ὅτι παρωξύνθη ἡ μεγάλος εὐθεῖα ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν. οἱ μεγάλοι γάρ φαμεν. l. 13 Φάρςαλος explevi ex St. B., Cτύμφαλος ex eodem addidi. l. 17 Ἄμπελος πόλις apposui ex St. B., καὶ πτύελος ex Theogn. 61, 30, Δέκελος, Ἔχελος Πάνελος ex St. B., ἄγγελος — ςφάκελος ex Theogn. 61, 29. De ἀςφοδελός Schol. ad Od. λ 539: ὀξυτόνως ἀςφοδελός ὁ τόπος, ὁ ἔχων ἀςφόδελον, ἥτις ἐςτὶ βοτάνη ὁμοία ςκίλλῃ cf. Hesych. s. ἀςφόδελος et E. M. 161, 12; differt Trypho ap. Eustath. 1698, 28: Τρύφων, φαςί, προκρίνει ὁμοτονεῖν ἄμφω, ἐπεὶ πολλάκις ὁμότονα τοῖς περιέχουςι τὰ περιεχόμενα· ςκόροδον γοῦν καὶ ὁ τόπος, ἐν ᾧ τὸ φυτὸν πωλεῖται καὶ αὐτὸ τὸ φυτόν. ὁμοίως καὶ κρόκος ὁ τόπος τε καὶ τὸ ἐν αὐτῷ πεφυκός. Ἀττικοὶ δὲ οὕτω ποιοῦςιν ἐπὶ

δελοϲ ἡ βοτάνη, ἀϲφοδελόϲ ὁ τόποϲ ὁ περιέχων. τὸ δειελόϲ τὸ δειλινόν ὀξύνεται καὶ τὸ ὀβελόϲ καὶ μυελόϲ.

Τὰ διὰ τοῦ ελοϲ ἐπιθετικὰ ὑπερδιϲύλλαβα ἔχοντα τὴν τρίτην μακρὰν προπαροξύνεται, ἀείδελοϲ, εἴκελοϲ, εὐτράπελοϲ, πέμπελοϲ ὁ παλαιόϲ. εἰ δὲ τριβράχεα εἴη ἐπιθετικὰ μὴ ὄντα ϲύνθετα, ὀξύνεται, Cικελόϲ τὸ ἐθνικὸν ἀπὸ τοῦ οἰκιϲτοῦ καὶ ἀρχηγέτου τῆϲ χώραϲ, ἀφ' οὗ καὶ Cικελία ἡ χώρα, ὡϲ Κίλικεϲ τοῦ Κίλικοϲ, οὗ καὶ ἡ Κιλικία, ὡϲ Θετταλοί ἀπὸ Θετταλοῦ, οὗ ἡ Θετταλία, καὶ Φρύγεϲ Φρυγόϲ, οὗ ἡ Φρυγία. «τῶν δὲ νηϲιωτῶν οἱ μὲν ἰθαγενεῖϲ πάλαι Λίγυεϲ ἐξ Ἰταλίαϲ Cικελοὶ λέγονται, οἱ δὲ ἐπήλυδεϲ Ἕλληνέϲ εἰϲι Cικελιῶται ὡϲ Ἰταλιῶται.» ϲτροβελόϲ, κεφελόϲ (?). τὸ δὲ Ζάφελοϲ ϲύνθετον ὂν παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω προπαροξύνεται. τὸ δὲ δέελοϲ ταὐτόν ἐϲτι τῷ δῆλοϲ.

Τὰ διὰ τοῦ ηλοϲ ὑπερδιϲύλλαβα προϲηγορικὰ ἢ κύρια ἢ ἐπιθετικὰ μὴ ἔχοντα ἴδια θηλυκὰ προπαροξύνεται, εὔκηλοϲ, τράχηλοϲ, κάπηλοϲ, κάμηλοϲ, φάϲηλοϲ, Cτύμφηλοϲ, βέβηλοϲ, κίβδηλοϲ, ἐρύγμηλοϲ, ὃ οὐ δεόντωϲ Τυραννίων ὀξύνει· ἐγένετο δὲ παρὰ τὸ ἐρύγω, ἔνθεν παρατατικὸϲ «ἤρυγεν ἑλκόμενοϲ ἕλικι» (Il. Υ 404), ἐρύγηλοϲ καὶ ἐν πλεοναϲμῷ τοῦ μ ἐρύγμηλοϲ. Πάμηλοϲ, Εὔζηλοϲ φρουρίον Cικε-

---

πολλῶν cf. Velsen p. 16 seqq. Ante δειελόϲ τὸ δειλινόν Schmidt. suspicatur excidisse δείελοϲ ὁ ἀϲτήρ iniuria, nam δειελόϲ Herodianus inter vocabula, quae propter passionem exempta sunt, retulit et δειελόϲ ex δείλη per pleonasmum vocalis ε repetivisse putandus est E. M. 251, 14 cf. Lob. Proll. 106, El. I 414, Rhem. 188. ὀβελόϲ quomodo Herodianus propagaverit, scimus ex E. Or. 115, 24 ὀβελόϲ· παρὰ τὸ βάλλω ἢ βέλλω γίνεται τὸ μὲν οὐδέτερον βέλοϲ, τὸ δὲ ἀρϲενικὸν βελόϲ καὶ πλεοναϲμῷ τοῦ ο ὀβελόϲ. οὕτωϲ ἐν τῷ περὶ παθῶν Ἡρωδιανόϲ. μυελόϲ ita explicavisse videtur ut E. M. 593, 34 μυελόϲ παρὰ τὸ ἐν μυχῷ εἰλεῖϲθαι, μύχελόϲ τιϲ ὤν, et si Sophronis δαελόϲ commemoratum fuit, etiam hoc per πάθοϲ expedivisse putandus est Herod. aut ex δαερόϲ aut ex δαϊλόϲ E. M. 246, 34.

l. 5 τριβράχεα pro τριϲύλλαβα scripsi cum Schmidt., sed ἐθνικὰ ἢ ἐπιθετικὰ non opus est, quum Cικελόϲ etiam adiectivum sit. Hoc Cικελόϲ explevi ex St. B. — pro κεφελόϲ ignoto Lob. Proll. 107 aptum vocabulum substituere non habet: Ζάφελοϲ explevi verbis παρὰ τὸ ζα — αὔξω ex E. Or. 65, 20 coll. E. M. 370, 19 Ζαφελῶϲ· ἄγαν ϲφοδρῶϲ ἢ ἐπικόπωϲ· παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω γίνεται Ζαόφελοϲ καὶ ϲυγκοπῇ Ζάφελοϲ. Ἡρωδιανόϲ. Alio canone fulcit Herod. in Il. Pr. Ι 516 accentum voc. Ζάφελοϲ. ἐπιζαφελῶϲ: ἐχρῆν, ἐπεὶ παρὰ τὸ Ζάφελοϲ γέγονε, καὶ Ζαφέλωϲ ἡμᾶϲ ἀνεγνωκέναι βαρυτόνωϲ, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέρεϲθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν Ζάφελοϲ προπαροξύνεται λόγῳ τούτῳ, ὡϲ τὰ εἰϲ οϲ λήγοντα ϲυγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, Ζάθεοϲ, Ζάκοτοϲ· οὕτωϲ Ζάφελοϲ. τὸ δὲ Ζαφελῶϲ περιϲπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λωϲ ἐπιρρήματα, παραληγόμενα τῷ ε, ὡϲ ἐπὶ πλεῖϲτον φιλεῖ περιϲπᾶϲθαι, ἐντελῶϲ, ἐπιμελῶϲ, οἷϲ καὶ τὸ Ζαφελῶϲ ξυνέδραμε. πρόϲκειται ὡϲ ἐπὶ τὸ πλεῖϲτον διὰ τὸ εὐτραπέλωϲ, ἰκέλωϲ. — τὸ δὲ δέελοϲ κτλ. adieci ex Il. Pr. Κ 466. l. 14 προϲηγορικὰ — ἐπιθετικὰ addidi ex Il. Pr. C 580: ἐρύγμηλον: ὡϲ βέβηλον. τὰ γὰρ διὰ τοῦ ηλοϲ ὑπὲρ δύο ϲυλλαβὰϲ προϲηγορικὰ ἢ κύρια προπαροξύνεϲθαι θέλει, κάμηλοϲ καὶ φάϲηλοϲ, Cτύμφηλοϲ. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεϲθαι μὲν θέλει, ὅτε παραϲχηματιϲμὸν ἔχει θηλυκοῦ, ϲιγηλόϲ, ὑψηλόϲ, ἀπατηλόϲ, μὴ οὕτωϲ δὲ ἔχοντα βαρύνεϲθαι, βέβηλοϲ, κίβδηλοϲ, κάπηλοϲ. εἰ δὴ καὶ τὸ ἐρύγμηλοϲ οὐκ ἔχει θηλυκόν, δῆλον ὅτι ὑγιῶϲ βαρυτονηθήϲεται καὶ οὐ δεόντωϲ αὐτὸ Τυραννίων ὀξύνει· ἐγένετο δὲ κτλ. Hinc addidi κάμηλοϲ — ἐρύγμηλοϲ. Πάμηλοϲ, quod Lob. Proll. 110 not. 11 pro Πάϲηλοϲ scribendum proponit, recepi ex Theogn. Εὔζηλοϲ — Ἄρβηλοϲ ex St. B.

λίαc. Εὐρύηλοc· οὕτωc ἡ ἀκρόπολιc τῶν Ἐπιπολῶν. Κάρμηλοc ὄροc. Ὄλβηλοc πόλιc Μακεδονίαc. Βάλακροc Μακεδονικῶν .... Ῥάκηλοc πόλιc Μακεδονίαc. Cελευκόβηλοc πόλιc Cυρίαc. Φάρβηλοc πόλιc Ἐρετριέων. Ἄρβηλοc ὁ Ἀθμονέωc, ἀφ' οὗ Ἄρβηλα πόλιc Περcική. τὸ δὲ ῥιγηλόc ἔχει θηλυκόν.

Τὰ διὰ τοῦ ηλοc ὑπερδιcύλλαβα ἁπλᾶ ἐπιθετικὰ ἔχοντα θηλυκὰ ὀξύνεται, cιγηλόc, μιμηλόc, ἀπατηλόc, ὑψηλόc, ὑδρηλόc, χαμηλόc, ὀμβρηλόc, ὀκνηλόc, ἀτυζηλόc.

Τὰ διὰ τοῦ ιλοc ἀρcενικὰ ἔχοντα τὸ ῐ βραχὺ παροξύνεται· εἰ δέ τι προπαροξύτονον εἴη, ἢ πάθει γέγονεν ἢ γένει διαφέρει, ναυτίλοc, Τρωΐλοc, Ζωΐλοc, Πενθίλοc, ὀργίλοc, Μυρτίλοc, Χοιρίλοc, Πορcίλοc, Βανδίλοc, φρυγίλοc. Cποργίλοc δῆμοc Ἀττικόc, Κορπίλοc Θρακῶν ἔθνοc. Cτράβων Ζ' (p. 87). τὸ δὲ αἴγιλοc θηλυκὸν προπαροξύνεται. τὸ δὲ κόϊλοc ἀπὸ τοῦ κοῖλοc κατὰ πάθοc καὶ τὸ μύτιλοc ὁ ἔcχατοc καὶ τὸ πύτιλοc προπαροξύνεται. cεcημείωται δὲ καὶ τὸ Νύκτιλοc προπαροξυνόμενον.

Τὰ εἰc ιλοc ὑπερδιcύλλαβα, εἰ ἔχοι τὸ ῑ ἐκτεταμένον, προπαροξύνεται, εἰ μὴ ἡ τρίτη ἔχοι τὸ ᾱ, ὃ προκατάρχει cυμφώνων ἐν cυλλήψει ὄντων, cτρόβιλοc εἶδοc ὀρχήcεωc, cτροβιλόc δὲ ἡ cυcτροφὴ τοῦ ἐχίνου, ἔcβιλοc, ὅμιλοc, Πάμμιλοc, ἀλλ' οὐκ ἐν cυλλήψει τὰ cύμφωνα. τὸ δὲ Καδμῖλοc ὁ Ἑρμῆc προπεριcπᾶται ἔχον τὸ ᾱ ἐπιφερομένων δύο cυμφώνων ἐν cυλλήψει.

---

omisi Αἴγηλοc ἔθνοc Μηδικὸν ap. St., quod Mein. ex Αἰγλοί Herod. 3, 92 corruptum putat. Similem canonem praebent etiam An. Ox. II 415, 13 τράχηλοc· τὰ διὰ τοῦ ηλοc ὀνόματα ὑπὲρ δύο cυλλαβὰc ἢ ὀξύτονα οἷον ὑψηλόc χαμηλόc. προπαροξύτονα οἷον κίβδηλοc, κάμηλοc, cτρίβηλοc (scr. Ὄρβηλοc vel simile quid Lob. Proll. 109), βέβηλοc. l. 6 post ἁπλᾶ addidi ἐπιθετικά ex Il. Pr. l. c., χαμηλόc — ὀκνηλόc ex Theogn., ἀτυζηλόc ex Schol. ad Apoll. B 1057, ubi: περιcπαcτέον τὸ ἀτυζηλῷ. ἔcτι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλόc, ὡc Ἡρωδιανὸc ἐν τῷ ἕκτῳ τῆc καθόλου. Fortasse distinxit Herodianus a cιγηλόc proprium Cίγηλοc, quod Eustath. affert 1967, 35 ut videtur ex Philopono, si conferas p. 906, 51; videas Lehrs. de Arist. 280 ed. II. l. 11 ὀργίλοc — φρυγίλοc addita sunt ex Theogn. 62, 6 excepto Πορcίλοc, quod ex libro περὶ ποcότητοc Cr. An. Ox. II 291, ubi vitiose Πυρcίλοc scriptum est, huc retuli. Nam canon de nominibus in ιλοc et ειλοc ibi propositus est Herodianeus, ut apparet ex comparatione Theognosti et Cr. Epim. II 303. Cποργίλοc ex St. B., ubi tamen Cπόργιλοc exhibetur, Κορπίλοc ex eodem, quamquam ap. Strabonem Κορπῖλοc scriptum est. Cum αἴγιλοc, nisi quantitas vocalis ῑ incerta esset, componi potuissent urbium nomina Ἄμιλοc πόλιc Ἀρκαδίαc. Παυcανίαc ὀγδόῃ. Ἄργιλοc πόλιc Θρᾴκηc. Τράγιλοc πόλιc μία τῶν ἐπὶ Θρᾴκηc κτλ., Τρώγιλοc χωρίον Cικελίαc, Πράξιλοc πόλιc Μακεδονίαc fortasse ut Πράξιλλα per duplex λλ scribendum. τὸ πύτιλοc addidi ex Mon. 20, 35: κοῖλοc. οὐδὲν εἰc λοc λῆγον διcύλλαβον βαρύτονον τῇ οῑ διφθόγγῳ παραληγόμενον ὅτι μὴ μόνον τὸ κοῖλοc. ἀνάλογον οὖν ἐcτι τριcυλλαβοῦν καὶ λεγόμενον κόϊλοc. μεμίμηται γὰρ τὸ αἴγιλοc, μύτιλοc, πύτιλοc, νύκτιλοc, unde in fine apposui cεcημείωται etc., cum Νύκτιλοc componendum esse Τάξιλοι ap. Eustath. ad Dionys. 1141 suspicatur Lobeck. cf. de his Lob. Proll. 116 seqq. et Lehrs ad Mon. l. l. l. 18 pro οὗ προκατάρχει cύμφωνον cum Schmidtio scripsi: ὃ προκατάρχει — ὄντων. l. 20 ἔcβιλοc tuetur Schmidt. ad Hesych. ἔcβηνεc (leg. ἔcβιλοc) ποτηρίου εἶδοc (παρὰ) Ταραντίνοιc, Lobeckius mendosum et cέcιλοc vel εἴcπνιλοc substituendum iudicat. — in fine addidi ἐπιφερομένων — ἐν cυλλήψει

* Τὰ διὰ τοῦ ειλος πολυσύλλαβα σύνθετα ἀπὸ ὀνόματος προπαροξύνεται, τρίχειλος, ἀγκυλόχειλος, κροκόδειλος, εὔειλος.

Τὰ εἰς ολος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ κύρια ἢ προσηγορικὰ προπαροξύνεται, Αἴολος τὸ ἐθνικὸν ὁμοφώνως τῷ οἰκιστῇ ὡς Θετταλός, Ἰταλός, ἄσβολος, εὔκολος, διάβολος. Ὅμολος ὄρος Θετταλίας, ὃ καὶ Ὁμόλη. Νάκολος, Ποτίολοι πόλις Τυρρηνίας, ἥτις καὶ Δικαιάρχεια. αὐτόμολος καὶ Αὐτόμολος ἔθνος Αἰθιοπικόν ὡς Ηρόδοτος δευτέρᾳ (c. 30) «τοῖσι δὲ Αὐτομόλοισι τούτοισιν ὄνομα Ἀσμάχην, ὅ ἐστιν οἱ ἐξ ἀριστερῆς χειρὸς παριστάμενοι βασιλέϊ». Ἀμφίδολοι πόλις τῆς Τριφυλίας καὶ οἱ πολῖται ὁμοίως ὡς Θούριοι καὶ Θαύμακοι καὶ Λεοντῖνοι καὶ Δελφοί. τὸ δὲ αἰόλος εἴτε κύριον εἴτε ἐπίθετον παροξύνεται. καὶ τὸ βουκόλος παροξύνεται, ὅτι ἀπὸ ῥήματος. τὸ δὲ ὀβολός ὀξύνεται.

Τὰ διὰ τοῦ υλος τρισύλλαβα προσηγορικὰ ἢ κύρια, εἰ ἄρχοιτο ἀπὸ φύσει μακρᾶς, παροξύνεται, κρωβύλος καὶ Κρωβύλος, κηρύλος ὁ τῶν ἀλκυόνων ἄρρην, Αἰσχύλος, Ῥωμύλος, Σιμύλος, Ἡδύλος, Τουσσύλος· οὕτως οἱ Κάττουζοι ὑπὸ Καρῶν ἐκαλοῦντο. βαιτύλος ὁ λίθος ὃν ὁ Κρόνος κατέπιεν, Δημύλος, βηθύλος. σεσημείωται τὸ Οἴτυλος, ἥρως καὶ πόλις Λακωνικῆς «ἠδ' Οἴτυλον» (B 585). ἄρχεται τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου, κακῶς δὲ Τυραννίων οἰόμενος ἄρθρον εἶναι τὸ οἱ καὶ παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱστορίαν, εἴγε οὕτως φησὶ καὶ Φερεκύδης «τοῦ δὲ γίνεται Ἀμφιάναξ, τοῦ δ' Οἴτυλος, ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται». καὶ Ὤγυλος νῆσος μεταξὺ Πελοποννήσου καὶ Κρήτης. τὸ δὲ αἴσυλος ἐπίθετόν ἐστιν.

Τὰ διὰ τοῦ υλος τρισύλλαβα ἐπιθετικὰ ὄντα ἁπλᾶ ἔχοντα τὴν τρίτην μακρὰν παροξύνεται, στωμύλος, αἱμύλος ὁ πρᾷος, στρογγύ-

---

duce Lob. Proll. 117. Addi potuit Διόμιλος, quod Lob. in Cr. Ep. II 291 pro ἀνθόμιλος substituendum arbitratur. Δεσιλοί ἔθνος Θρᾳκικόν. Ἑκαταῖος Εὐρώπῃ ap. St. B. acuto notatum est. l. 1 hunc canonem finxi ex Choer. Orth. 229, 17, περὶ ποσότ. Cr. II 291 et Ep. Cr. I 303 cf. Lob. El. II 12. l. 4 Αἴολος apposui ex St. B. 53, 10 Αἰολία: οἱ νεώτεροι τὸ ἐθνικὸν ὁμοίως καὶ ὁμόφωνον τῷ οἰκιστῇ, quo circumscribitur quod traditur p. 49, 14: ὅσα τοιαῦτα ἐπὶ χωρῶν διὰ τοῦ ῑ προφερόμενα ἔχει προκατάρχοντα κύρια, τούτοις ἐπιεικῶς ὁμοφωνεῖ τὰ ἐθνικά. — ὁ δὲ λόγος τῶν ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ Αἴολος, Αἰολία ἡ χώρα καὶ τὸ ἐθνικὸν Αἰολεύς. Ἡρωδιανὸς δέ φησι, ὅτι τοῖς συνοικισταῖς συνεχῶς ὁμοφωνεῖ τὰ ἐθνικά, δηλονότι καὶ γραφῇ καὶ τόνῳ κτλ. — διάβολος est ex Theogn. 63, 1, Ὅμολος — Ἀμφίδολοι ex St. B. Αἰόλος κύριον non de gente et conditore, sed de deo ventorum intellegi debet cf. Lehrs Arist. 282 ed. II, Goettling. de accent. 190 pro κύριον substituere vult προσηγορικόν (sc. ἰχθύς), quod non opus est, post βουκόλος παροξύνεται adieci ὅτι ἀπὸ ῥήματος ex ipso Arcad. 86, 7. Addi potuit fortasse Κορνίκολος, quod Mein. Stephano pro Κόρνικλος reddendum suspicatur propter Dionysii Archaeol. (c. 50) locum ab ipso Stephano citatum. l. 15 pro κρὸκύλος scripsi cum Lehrs Arist. 290 ed. II κρωβύλος addens eodem auctore proprium Κρωβύλος. Σιμύλος Ἡδύλος apposui ex Ep. Cr. I 51. Τουσσύλος ex St. B. βαιτύλος ex Theogn. 61, 21, ex eodem Δημύλος, quod in Δειμύλος corruptum est cf. Lob. Proll. 126, et βηθύλος, de quo cf. E. M. 196, 54 εἶδος ὀρνέου. Pro αἴτυλος et ὄγκυλος cum Lobeck. Οἴτυλος et Ὤγυλος posui, illud explens ex Steph. B. et Il. Pr. B 585, hoc ex St. B.

λος, «γογγύλος ἐστὶ λίθος» Καλλίμαχος, ἀγκύλος, καμπύλος. τὸ δὲ αἴσυλος προπαροξύνεται ὡς σύνθετον ἀπὸ τοῦ ᾱ καὶ τοῦ συλῶ ὁ πολλὰ συλῶν «ὅδ᾽ οὐκ ὄθετ᾽ αἴσυλα ῥέζων» (Є 403).

Τὰ εἰς ῡλος τρισύλλαβα κύρια ὄντα ἔχοντα τὴν πρώτην συλλαβὴν μηκυνομένην παροξύνεται, προσηγορικὰ δὲ ὄντα προπαροξύνεται. παροξύνεται δὲ Δερκύλος, Βακχύλος, Χαρμύλος. προπαροξύνεται δὲ κόνδυλος, σφόνδυλος, δάκτυλος, γόγγυλος. τὸ δὲ Ἄξυλος καὶ Ὄξυλος κύρια ὄντα τοῖς προσηγορικοῖς κατὰ τὸν τόνον ἠκολούθησαν.

Τὰ διὰ τοῦ ῠλος τριβράχεα, εἰ ἔχοι ἐν τῇ τρίτῃ συλλαβῇ ῑ, προπαροξύνεται, τὰ δὲ μὴ οὕτως ἔχοντα παροξύνεται, εἰ μὴ εἴη παρώνυμον ἐν ἰσοσυλλάβοις, Τίτυλος, Ἴτυλος τὸ κύριον. Σίπυλος πόλις Φρυγίας· Ἑλλάνικος ἐν Ἱερειῶν πρώτῳ. τὸ μέντοι Χρεμύλος καὶ Κρατύλος παροξύνονται οὐκ ἔχοντα ῑ ἐν τῇ πρώτῃ. τὸ δὲ σταφυλός παρώνυμόν ἐστι παρὰ τὸ σταφυλή. τὸ δὲ Ἄγυλος κύριον προπαροξύνεται.

Τὰ εἰς ῠλος ὑπερτρισύλλαβα παροξύνεται, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεώς οἷον ἐρωτύλος, ἰαμβύλος, Ὀνησύλος, Νικασύλος. τὸ μέντοι εὐρύπυλος σύνθετον ὡς καὶ Ἑκατόμπυλος πόλις Παρθίας.

Τὰ διὰ τοῦ ωλος μονογενῆ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, εἰ μὴ ἔχοι πρὸ τοῦ ῶ δύο σύμφωνα κατ᾽ ἐπιπλοκήν, ὧν τὸ δεύτερόν ἐστι τ̄ οἷον Κίμωλος ἥρως καὶ νῆσος, Ἐρίγμωλος, φάσκωλος ὁ θύλακος, Μαύσωλος ὁ Κάρ ἀπὸ Μαυσώλου. Δημοσθένης δεκάτῳ Βιθυνιακῶν «Δαίδαλα Μαυσώλων», Ἄνωλος πόλις Λυδίας ἀπὸ Ἀνώλου τοῦ Ἀσίου παιδὸς καὶ ὁ πολίτης ὁμωνύμως, Ἴωλος ἔθνος Περ-

---

l. 1 γογγύλος addidi ex Cr. Ep. I 51 amplexus emendationem Meinekii ad Callimach. p. 147 et ad αἴσυλος verba Homerica. Ut Herodianus hic αἴσυλος ab ἄσυλος, sic in Il. Pr. C 410 αἴητος ex ἄετος ἄητος πλεονασμῷ τοῦ ι repetit. Lobeck. adnotat ab Arcadio omissa esse adiectiva tribrevia quae oxytona esse perhibet velut παχυλός, βραχυλός. l. 4 pars tantum canonis servata est in E. M. 245, 40: δάκτυλος: διατί προπαροξύνεται; τὰ διὰ τοῦ ῡλος εἰ ἔχει τὴν πρώτην συλλαβὴν διὰ δευτέρου συμφώνου μηκυνομένην προσηγορικὰ ὄντα προπαροξύνεται σπόνδυλος, γόγγυλος. — Ἄξυλος et Ὄξυλος propter ξ Herodianus exemisse videtur; Epim. Cr. l. c. παρὰ τὸ δρᾶναι δραμύλος τοῖς ἀπὸ θέσει μακρᾶς ἀρχομένοις κυρίοις ἐναντίον. οὕτω τὸ Ὄξυλος καὶ Ἄξυλος, ubi Lobeck. pro δρᾶναι δραμύλος δρᾶξαι Δράκτυλος vel Δάκτυλος scribendum indicat, et postea: ἐπὶ τοῦ Ἄξυλος καὶ Ὄξυλος ἐν ἀμφοτέροις τὸ ξ̄ ὂν οὐκ ἀντιπίπτει. Praeterii Πάμφυλος φυλὴ Δωριέων καὶ ὁ φυλέτης et Τρίφυλος (παρὰ τὸ οἰκισθῆναι ἀπὸ τριῶν φυλῶν ἢ ἀπὸ τριῶν πυλῶν ἢ ἀπὸ Τριφύλης τῆς Κλυτίου μητρός) ap. St. B. propter ῡ productum, quorum canon ab Arcadio omissus est. Praeterea exclusi Δάσκυλος St. B. 469, 1 et Βάργυλος 158, 26, quae si brachyparalecta essent, paroxytonos scribi deberent. l. 10—11 verba προπαροξύνεται, τὰ δὲ μὴ οὕτως ἔχοντα παροξύνεται cum Schmidtio inserui et l. 12 post ἰσοσυλλάβοις omisi προπαροξύνεται. Σίπυλος ex St. B. addidi, omisi Κορυλος St. B. 377, 4 (ubi genet. Κορύλου) βασιλεύς, ἀφ᾽ οὗ Κορύλειον propterea quod ap. Priscian. I 8, 45 Κόρυλος proparoxytonos scriptum est, Μότυλος p. 554, 5 propterea quod quantitas vocalis ῡ incerta est, ob eandem causam Πάπυλος ap. Theogn. 61, 19. Ἄγκυλος ad canonem non quadrat, quare Lobeck. aut Ἄγυλος aut Ἄκυλος proponit, sed dubitanter. l. 18 Ὀνησύλος Νικασύλος ex Theogn. addidi, Ἑκατόμπυλος ex St. B. l. 22 Κίμωλος explevi ex St. B., Ἐρίγμωλος scripsi cum Lob. Proll. 132 pro εὐρύσμωλος. Μαύσωλος — Τύμωλος

ραιβίας. Ὅμηρος «τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί» (Β 749), ταῦτά τινες μετέγραψαν «τῷ δ' ἄρ' Ἴωλοι ἕποντο μενεπτόλεμοί τε Περαιβοί», Μάγδωλος πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει. Τύμωλος ὁ Τμῶλος κατὰ ποιητικὸν μετασχηματισμόν. Ἐτέωλος ὄνομα λιμένος. Ἄρρωλος ὄνομα πόλεως. Καστωλὸς δὲ — ἦν δὲ πόλις ἐν Λυδίᾳ — ἐκλήθη δὲ ὅτι Καστωλοὺς τοὺς Δωριεῖς οἱ Λυδοί φασιν — ὀξύνεται ἔχον δύο σύμφωνα, ὧν τὸ ἓν τ̄ ἐστίν, ὡς καὶ τὸ Πακτωλός. τὸ μέντοι Σπάρτωλος βαρύνεται. ἔστι δὲ πόλις Μακεδονίας, ὡς Θουκυδίδης ἐν δευτέρᾳ (c. 79). τὰ γὰρ δύο σύμφωνα οὐκ εἰσὶν ἐν συλλήψει, ἀλλ' ἐν διαστάσει. τὸ δὲ Αἰτωλός τριγενές.

Τὰ διὰ τοῦ ωλος ὑπερδισύλλαβα ἁπλᾶ ῥηματικὰ ἔχοντα τὴν τρίτην μακρὰν ὀξύνεται, φειδωλός, αἰτωλός τὸ ἐπίθετον παρὰ τὸ ῥῆμα τὸ αἰτεῖν, ἁμαρτωλός. τὸ μέντοι ἕωλος ὁ χθεσινός προπαροξύνεται ὡς παρώνυμον καὶ τὴν τρίτην βραχεῖαν ἔχει.

* καὶ ἄλλως·

Τὰ εἰς ωλος ἀρσενικὰ πρὸ τοῦ ω̄ τὸ τ̄ ἔχοντα ὀξύνεται, Καστωλός, Πακτωλός, ἁμαρτωλός, Αἰτωλός ὁ Ἐνδυμίωνος, ὃς ἐκπεσὼν ἀπὸ Πίσης ὑπὸ Σαλμωνέως συνῴκισε τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Αἰτωλίαν, καὶ τὸ ἐθνικὸν ὁμοφώνως. τὸ Σπάρτωλος θηλυκόν ἐστι καὶ τὸ Μαύσωλος οὐκ ἔχει τὸ τ̄.

Τὰ εἰς λος ὑπερδισύλλαβα παραληγόμενα τῇ διὰ τοῦ ῡ διφθόγγῳ προπαροξύνεται. δίαυλος, θύραυλος, ἴουλος, Κάμουλος, ὕπουλος, Γαίτουλος ἔθνος Λιβύης, ὃ Ἀρτεμίδωρος Γαιτουλίους φησί. Τούρδουλος ἔθνος τῆς Ἰβηρίας, οἳ καὶ Τουρδητανοί. Ἀρτεμίδωρος δὲ Τούρτους αὐτοὺς καλεῖ καὶ Τουρτιτανούς.

---

accesserunt ex St. B., Ἐτέωλος Ἄρρωλος ex Theogn. 62, 31. Πακτωλός ex St. B. 55, 15. l. 12 ad αἰτωλός verba τὸ ἐπίθετον — αἰτεῖν ex St. B. 55, 15 adieci. Ex hoc canone concludi potest Herodianum ἕωλος ab ἕως repetivisse atque dissensisse a Philoxeno, qui verbum ἕω substruxit E. M. 352, 16 ἕωλος ὁ χθεσινός καὶ ἕωλον ὄψον τὸ χθεσινόν. παρὰ τὴν ἕω τὴν ἡμέραν γίνεται ἕωλος. Φιλόξενος δὲ λέγει, ὅτι γίνεται ἀπὸ τῶν εἰς ω̄ ῥημάτων ὀνόματα εἰς λος οἷον φείδω φειδωλός, ἁμαρτῶ ἁμαρτωλός. οὕτω καὶ παρὰ τὸ ἕω τὸ κορεννύω γίνεται ἕωλος. ὅταν γὰρ κορεσθῶμέν τινος, εἰώθαμεν τὰ λοιπὰ τὰ εἰς τὴν ἑξῆς φυλάττοντες ἕωλα λέγειν. l. 15 quum uterque et Arcadii et St. Byzantii canon ex Herodiano petitus sit neque tamen consociari possit, sumendum est Herodianum duplici modo praeceptum de nominibus in ωλος constituisse, quare St. Byzantii canonem additis verbis καὶ ἄλλως inserui; summam utriusque canonis eodem redire perspicuum est. l. 22 θύραυλος accessit ex St. B. 146, 12, Γαίτουλος ex eodem et Eustath. ad Dionys. 215, ubi diserte: Γαιτοῦλοι — ὁ δὲ Ἡρωδιανὸς προπαροξύνει λέγων ὅτι τὰ εἰς λος παραληγόμενα διφθόγγῳ διὰ τοῦ ῠ προπαροξύνεται. — Τούρδουλος ex St. B. 629, 18, ubi Τουρδοῦλοι scriptum.

ΠΕΡΙ ΤΩΝ ΕΙϹ μοϲ, νοϲ, ξοϲ, ποϲ.

ΒΙΒΛΙΟΝ Ζ'.

Τὰ εἰϲ μοϲ ἔχοντα πρὸ τοῦ μ τὸ γ ὀξύνεται προϲηγορικὰ ὄντα, νυγμόϲ, φραγμόϲ, ἀγμόϲ, ψυγμόϲ, λυγμόϲ, ῥωγμόϲ· εἰϲὶ καὶ Ῥωγμοὶ Κιλικίαϲ ἐπίνειον, δραγμόϲ καὶ Δραγμόϲ πόλιϲ Κρήτηϲ ὡϲ Ξενίων ἐν τοῖϲ Κρητικοῖϲ, τιναγμόϲ, ἀλαλαγμόϲ, ὑλαγμόϲ, διωγμόϲ, παιγμόϲ ἐμπαιγμόϲ, κηρυγμόϲ ἐκκηρυγμόϲ. κυνυλαγμόϲ παρὰ Cτηϲιχόρῳ «ἀπειρεϲίοιο κυνυλαγμοῖο». καὶ παρὰ τῷ ποιητῇ «ἐπεί κεν ὑλαγμὸν ἀκούϲῃ» (Φ 575) Ἀρίϲταρχόϲ τινάϲ φηϲι γράφειν κυνυλαγμόν· οὕτω καὶ Ζηνόδοτοϲ. οὐχ ὁρῶ δέ τι πλέον ἐκ τῆϲ ϲυνθέϲεωϲ· ὁ γὰρ ὑλαγμόϲ καὶ χωρὶϲ τοῦ προϲκεῖϲθαι τὸ ὄνομα ἰδίωϲ ἐπὶ τῶν κυνῶν ἀκούεται ὡϲ ὁ χρεμετιϲμὸϲ ἐπὶ τῶν ἵππων. ἄλλωϲ τε τὰ εἰϲ γμοϲ ῥηματικὰ μετὰ προθέϲεωϲ πέφυκε ϲυντίθεϲθαι τῆϲ αὐτῆϲ τάϲεωϲ μενούϲηϲ, μετ' ἄλλου δὲ οὐδενόϲ, καὶ τὸ ὑλαγμόϲ οὖν παρὰ τὸ ὑλάϲϲω γεγονὸϲ οὐ ϲυντεθήϲεται μετ' ἄλλου μέρουϲ λόγου. ϲύνδεϲμοϲ οὖν ἐϲτιν ὁ κέν. ϲεϲημείωται τὸ ὄγμοϲ ἡ τάξιϲ βαρυνόμενον. ἔϲτι δὲ κανὼν ὁ λέγων· τὰ εἰϲ οϲ λήγοντα διϲύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο ϲύμφωνα ἢ πλείονα βαρύνεϲθαι θέλει οἷον ὄκνοϲ, ὄμβροϲ, ὄρροϲ, ὄϲϲοϲ, Ὄρθοϲ τὸ μονογενέϲ, ὄρφοϲ, οὕτω καὶ ὄγμοϲ. καὶ τὸ Ῥίγμοϲ οὐ προϲηγορικὸν εἰϲ ἰδιότητα βαρύνεται.

Τὰ εἰϲ μοϲ πρὸ τοῦ μ δ ἔχοντα ὀξύνεται προϲηγορικὰ ὄντα, εἰ δὲ κύρια εἴη, βαρύνεται. ὀξύνεται δὲ ταῦτα ἀρδμόϲ, ϲκιαδμόϲ, βαρύνεται δὲ ταῦτα Κάδμοϲ, Κύδμοϲ.

Τὰ εἰϲ μοϲ ἔχοντα πρὸ τοῦ μ θ ἢ χ ὀξύνεται, βαθμόϲ, ἰϲθμόϲ. καλεῖται δὲ καὶ Ἰϲθμόϲ ἡ Ἁλικαρναϲϲόϲ, τῆϲ Καρίαϲ πόλιϲ. ἔϲτι καὶ Κορίνθου Ἰϲθμόϲ. ἔϲτι δὲ καὶ ἰϲθμόϲ ϲτενὸϲ τόποϲ, δι' οὗ ἵενται τὰ ἐϲθιόμενα καὶ πινόμενα ἢ παρὰ τὸ ἰέναι τὴν πνοήν. ϲταθμόϲ, αὐχμόϲ, μηνιθμόϲ, πορθμόϲ, ϲκαρθμόϲ, ἰωχμόϲ, πλοχμόϲ, εἴτε

---

l. 4 ἀγμόϲ — λυγμόϲ sunt ex Il. Pr. Υ 485: Ῥίγμον ὡϲ ὅρμον, εἰϲ ἰδιότητα. τὰ γὰρ εἰϲ γμοϲ λήγοντα πάντα ὠξύνετο, ἀγμόϲ, ψυγμόϲ, λυγμόϲ. δοκεῖ δὲ τὸ ὄγμοϲ ἀντικεῖϲθαι. — ῥωγμόϲ ex Il. Pr. Ψ 420: Ἡρωδιανὸϲ ἐν τῇ ἀρχῇ τοῦ Ζ' διὰ τοῦ γ φηϲὶ ῥωγμόϲ. — δραγμόϲ et Δραγμόϲ ex St. B. 238, 6, unde apparet propria, quibus appellativum adest, horum accentum retinere. παιγμόϲ — κυνυλαγμόϲ cum iis, quae de loco Homerico dicuntur, ex Il. Pr. Φ 575 huc retuli. l. 16 excusationem variati accentus in ὄγμοϲ apposui ex Il. Pr. Λ 68 verba ἔϲτι δὲ κανὼν ὁ λέγων ipse supplens; in fine εἰϲ ἰδιότητα βαρύνεται addidi ex Il. Pr. Υ 485. l. 23 Κάδμοϲ ποταμόϲ ap. St. B. commemoratur, ubi Κύδμοϲ ex hoc nostro loco scribendum esse suspicatur Schmidt. l. 24 ἰϲθμόϲ explevi ex St. B. et E. M. 654, 1 ubi: ἰϲθμόϲ ἐϲτι — πνοήν. οὕτωϲ Ἡρωδιανόϲ. — μηνιθμόϲ πορθμόϲ ϲκαρθμόϲ sunt ex Eustath. 582, 15: ὀξύνεται ὁ ϲταθμόϲ κανόνι τοιούτῳ. τὰ εἰϲ μοϲ λήγοντα ἔχοντα πρὸ τοῦ μ τὸ θ ὀξύνεται, μημνιθμόϲ, πορθμόϲ, ϲκαρθμόϲ, ἰϲθμόϲ. τὸ κρῆθμοϲ οἱ μὲν τοῦ Ὁμήρου ὑπομνηματιϲταὶ βαρύνεϲθαί φαϲιν εἰϲ ἰδιότητα. ἐν δὲ τοῖϲ ἀντιγράφοιϲ τοῦ Λυκόφρονοϲ καὶ αὐτὸ ὀξύνεται, unde in fine pro ϲεϲημείωται τὸ κρίθμοϲ βαρυνόμενον posui τὸ δὲ κρίθμοϲ εἰϲ ἰδιότητα βαρύνεται. — ἰωχμόϲ —

συγκέκοπται εἴτε καὶ ἐντελές ἐστι, δοχμός. τὸ δὲ κρίθμος βαρύνεται εἰς ἰδιότητα.

Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ κ σπάνια μέν εἰσι καὶ βαρύνεται οἷον Λάκμος, Δέκμος. τὸ μέντοι Τρωκμός ἔθνος Γαλατικόν — ἐκαλοῦντο δὲ καὶ Τροκμηνοί — ὀξύνεται.

Τὰ εἰς μος λήγοντα ἔχοντα πρὸ τοῦ μ τὸ τ βαρύνονται, οἷον πότμος, Πάτμος, Λάτμος. σεσημείωται τὸ ἀτμός ὀξυνόμενον.

Τὰ εἰς μος λήγοντα ἁπλᾶ ἔχοντα πρὸ τοῦ μ τὸ σ προσηγορικὰ ὄντα ὀξύνεται, μὴ ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ ο μόνον εἰς σ καταλῆγον, ῥυσμός, δεσμός, δασμός, θεσμός, χρησμός, σπασμός. πρόσκειται «προσηγορικά» ἵνα φύγωμεν τὰ βαρύτονα κύρια τὸ Κροῖσμος καὶ Κάσμος. τὸ δὲ Βρυσμός (ἔστι δὲ ὄνομα βασιλέως) ὀξύνεται. «οὐκ ἔχοντα τὸ ο μόνον». τὸ γὰρ κόσμος βαρύνεται, τὸ δὲ κρουσμός ὀξύνεται. καὶ τὸ σύνδεσμος προπαροξύνεται σύνθετον ὄν.

Τὰ εἰς μος προσηγορικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς λ καταλήγουσαν ὀξύνεται, ὀφθαλμός, τιλμός, ψαλμός, παλμός, ἰνδαλμός. τὸ δὲ Ἄλμος τὸ κύριον (ἔστι δὲ πόλις Βοιωτίας, ὡς Ἑλλάνικος· καὶ Σάλμον αὐτήν φησι ἐν δευτέρῳ Δευκαλιωνείας) καὶ τὸ Ὅλμος τὸ κύριον καὶ τὸ προσηγορικὸν βαρύνεται.

* Τὰ εἰς μος προσηγορικὰ καὶ ἐπιθετικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν ὀξύνεται, κορμός, φορμός, θερμός. τὸ δὲ ὅρμος βαρύνεται. τὸ δὲ Θέρμος πολίχνιον Αἰτωλίας, ὡς Πολύβιος, καὶ τὸ Σκύρμος πόλις Κυζίκου πλησίον, καὶ Ἕρμοι δῆμος τῆς Ἀκαμαντίδος φυλῆς ὃ καὶ Ἕρμος οὐδετέρως κύρια.

δοχμός sunt ex Il. Pr. Μ 148: τὸ δοχμός ὀξύνεται, ἐπεὶ τὰ εἰς μος μετ' ἐπιπλοκῆς τοῦ χ ὀξύνεσθαι θέλει κτλ. Pro κρίθμος ap. Eustath. et Hesych. κρῆθμος scriptum est, sed κρίθμος etiam apud Dioscor. II 157 exstat cf. de hac voce Lob. Parall. 427 not. l. 4 apud St. B. 639, 11, unde ἔθνος — Τροκμηνοί addidi, scriptum est Τροκμοί. l. 8 ἁπλᾶ inserui cum Schmidtio editore, pro τὸ σ εἰς ο μόνον καταλῆγον Schmidtius Sedinensis in programm. (1864) p. 20 emendavit τὸ ο μόνον εἰς σ καταλῆγον, quod suadent verba οὐκ ἔχοντα τὸ ο μόνον, quae Schmidt. edit. post κρουσμός retrahere vult, quod non aptum est; potius πρόσκειται supplendum est et pro τὸ δὲ κόσμος — καὶ τὸ κρουσμός sic scribendum ut feci. l. 10 pro βρυσμός Schmidt. edit. scribendum proponit ῥυσμός vel βρασμός iure, nam Βρυσμός est nomen proprium, quod ad canonem non quadrat. Sed quum in E. M. 249, 15 in loco, qui ex Herodiani libro περὶ συντάξεως στοιχείων depromptus est, accentus proprii Βρυσμός (ἔστι δὲ ὄνομα βασιλέως) traditus sit acutus, hic etiam σημείωσιν quandam de accentu huius nominis allatam fuisse certum est, quare scripsi post Κάσμος· τὸ δὲ Βρυσμός κτλ. l. 18 explicationem vocis Ἄλμος recepi ex St. B. et ex eodem Ὅλμος recepi monente Schmidt. et Nauck. ad Aristoph. Byz. p. 239; caeterum ap. St. B. urbs Ciliciae Ὅλμοι, filius Sisyphi Ὀλμός scribitur. Transiit canon in E. M. 817, 27 ex Choer. Epim. in Psalm. 1, 25. l. 21 hunc canonem finxi ipse ex Il. Pr. Ω 316, ubi: τὰ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται ὑπεσταλμένων τῶν εἰς μος ληγόντων — διὰ τὸ κορμός φορμός. Vocabuli ὅρμος barytonesis constat, Eustath. 1788, 47: ὀξύνεται παρά τισι τῶν ἐσύστερον ὁ ὅρμος ὁ γυναικεῖος κόσμος πρὸς ἀντιδιαστολὴν τοῦ κατὰ τὸν λιμένα cf. 1967, 29. Θέρμος et Σκύρμος sunt ex St. B. Canon in Ep. Cr. I 281, 13 sic profertur: τὰ εἰς μος λήγοντα δισύλλαβα τῇ ορ συλλαβῇ

Τὰ εἰc μ̄ο̄c̄ ἔχοντα τὴν πρὸ τέλουc εἰc μ̄ καταλήγουcαν ἀρcενικὰ προcηγορικά, εἰ ἀπὸ τῆc πρώτηc εἴη cυζυγίαc, ὀξύνεται, γράφω γραμμόc, τρίβω τριμμόc, θλίβω θλιμμόc, κόπτω κομμόc. τὸ δὲ ἄμμοc καὶ ψάμμοc θηλυκά. ἔτι καὶ τὸ μάμμοc ὁ ἔκγονοc βαρύνεται ἐπιθετικὸν ὄν.

Τὰ εἰc μ̄ο̄c̄ διcύλλαβα τῷ η̄ παραληγόμενα κύρια ὄντα βαρύνεται, Κνῆμοc, Cῆμοc, Ῥῆμοc ὄνομα ποταμοῦ. τὰ δὲ προcηγορικὰ ὀξύνεται, εἰ μὴ διαcτολή τιc εἴη, κημόc ἡ χώνη, τὸ ἐπιτιθέμενον ἐπὶ τῇ ὑδρίᾳ ἐξ ἧc αἱ ψῆφοι φέρονται. καὶ τοῖc ἵπποιc δὲ περιτιθέμενοc οὕτωc ἐκαλεῖτο κημόc ὁ καλούμενοc φιμόc, ὡc Ξενοφῶν ἐν τοῖc περὶ ἱππικῆc (10, 8). δηλοῖ δὲ καὶ πλέγμα τι ἐκ cχοινίων γενόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰc πορφύραc λαμβάνουcιν, εἰc ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰcέρπουcιν. ἐν αὐτοῖc δὲ τούτοιc ἐcτὶ καὶ τὸ δέλεαρ, ὡc Cοφοκλῆc ἐν Ποιμέcιν «κημοῖcι πλεκτοῖc πορφύραc φθείρει γένοc». Αἰcχύλοc ἐν Λυκούργῳ ἀλληγορικῶc τοὺc δεcμοὺc κημοὺc εἴρηκε διὰ τούτων «καὶ τοῦcδε κημοὺc cτόματοc». κνημόc ὁ τραχὺc τόποc τῶν ὀρέων, δημόc τὸ λίποc, δῆμοc δὲ ὁ ὄχλοc, ὡc ἐν Cφηξὶν (v. 41) «τὸν δῆμον ἡμῶν βούλεται διϊcτάνειν». «θεὸc δ' ὣc τίετο δήμῳ» (Il. Ν 218). «εὐνήν τ' αἰδομένη πόcιοc δήμοιό τε φῆμιν» (Od. π 75) καὶ ὁ εἷc δημότηc «οὐ μὲν ἔοικε δῆμον ἐόντα» (Il. Μ 212) καὶ ὁ τόποc «δήμῳ ἐνὶ Τρώων» (Od. ν 266) καὶ τόποc ἐν Ἰθάκῃ, ὃc καὶ Κροκύλειον, καὶ παρ' Ἀθηναίοιc ἡ κώμη. καὶ ὁ Ἀcκαλωνίτηc λέγει τὸ μὲν ἐπὶ τοῦ πλήθουc παρὰ τὸ δέμαc γεγενῆcθαι οἱονεὶ cῶμά τι τυγχάνον ἢ παρὰ τὸν δαcμόν. τὸ δὲ ἐπὶ τοῦ λίπουc παρὰ τὸ δαίω· εὔκαυcτον γὰρ τὸ λίποc. δύναιτο δ' ἄν τιc καὶ ἄλλωc ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο δέεμοc καὶ ἐν cυναλοιφῇ δῆμοc, τὸ cυνδεδεμένον πλῆθοc. τὸ γὰρ ἐναντίον λύη ἀπὸ τῆc διαλύcεωc.

Τὰ εἰc ᾱμ̄ο̄c̄ μονογενῆ διcύλλαβα βαρύνεται, πράμοc, γάμοc, Cάμοc ἐπιφανὴc πρὸc τῇ Καρίᾳ νῆcοc, ὡc Ἀλέξανδροc ἐν τῷ περὶ

παραληγόμενα ὀξύνονται, τορμόc (quod vulgo τόρμοc scribitur), κορμόc, φορμόc. μόνον τὸ ὅρμοc βαρύνεται· μόνον γὰρ ἀπὸ φωνήεντοc ἄρχεται. Deest etiam canon de hyperdisyllabis, çui subiiciendum foret Πάνορμοc πόλιc Cικελίαc καὶ λιμήν, ὡc Πολύβιοc. ἔcτι καὶ λιμὴν Κυζίκου, sed allatum fuit fortasse in compositis in οc. l. 3 κόπτω κομμόc addidi, quia hoc canone excusatur, quum pugnet contra canonem generalem Herodianeum ap. Eust. 1746, 29: τὰ εἰc ο̄c̄ μονογενῆ διcύλλαβα τῷ ο̄ παραληγόμενα ἢ ἐξ αὐτοῦ ἀρχόμενα ἢ ἔχοντα δὶc τὸ αὐτὸ cύμφωνον βαρύνεται κόννοc, ὄρροc, κόκκοc, κόττοc, ὄccοc· εἴρηται δὲ μονογενῆ διὰ τὸ πολλόc. μάχεται τῷ κανόνι τὸ κομμόc. l. 7 ad Ῥῆμοc addidi ὄνομα ποταμοῦ ex Theogn. 63, 5. κημόc explevi ex Schol. ad Aristoph. Eq. 1150, ubi post καὶ τὸ δέλεαρ posita sunt verba: ὥc φηcιν Ἡρωδιανὸc παρατιθέμενοc τὰ Cοφοκλέουc ἐκ Ποιμένων. Non solum ea, quibus Herodiani nomen adiectum est, ex Herodiano deprompta esse docet et consuetudo epitomatorum et Theognostus, qui omissa Arcadii explicatione haec habet: κημόc τὸ ἐπιτιθέμενον τοῖc ἵπποιc ἐν cτόματι, πλέγμα cχοινίου. Exempla ad usum vocis δῆμοc comprobandum posita sunt ex St. B., quae de derivatione vocis traduntur, ex Il. Pr. Θ 240, cum quo cf. Μ 213. l. 28 πράμοc pro βράμοc Lob. El. I 336 not. 13 correxit, Cάμοc et

Καρίαϲ δευτέρῳ. Ἆμοϲ πόλιϲ Καρίαϲ. Λάμοϲ υἱὸϲ Ἡρακλέουϲ καὶ ποταμὸϲ Κιλικίαϲ, Πλάμοϲ πόλιϲ Καρίαϲ. τὸ μέντοι ἀμόϲ ὁ ἡμέτεροϲ καὶ τὸ τίϲ, ὅθεν μηδαμόϲ καὶ μηδαμινόϲ, τριγενὲϲ ὂν ὀξύνεται.

Τὰ εἰϲ μ̄ο̄ϲ̄ διϲύλλαβα παραληγόμενα τῷ ō ἢ ē μὴ ὄντα τριγενῆ βαρύνεται ἀρχόμενα ἀπὸ ϲυμφώνου ἢ ϲυμφώνων, βρόμοϲ, γόμοϲ, τρόμοϲ, δρόμοϲ, ῥόμοϲ ὁ ϲκώληξ, δόμοϲ, τόμοϲ ὁ τετμημένοϲ, τομόϲ δὲ ὁ τέμνων, νομόϲ δὲ ἡ νέμηϲιϲ πρὸϲ ἀντιδιαϲτολὴν τοῦ νόμοϲ ὁ θεϲμόϲ. τὸ δὲ ὁμόϲ ἐπὶ τοῦ ὁμοίου ἐϲτὶ τριγενέϲ.

* Τὰ εἰϲ ῑμοϲ καὶ ὀξύνεται οἷον φιμόϲ, λιμόϲ, ϲιμόϲ καὶ βαρύνεται οἷον μῖμοϲ, τῖμοϲ, βρίμοϲ.

Τὰ εἰϲ ῡμοϲ ἔχοντα τὸ ῡ ἐκτεταμένον διϲύλλαβα ὀξύνεται, κρυμόϲ, ῥυμόϲ, χυμόϲ, θυμόϲ. θύμοϲ δὲ τὸ μόριον ἢ ἡ βοτάνη. τὸ δὲ Δρυμόϲ καὶ ἐπὶ τοῦ κυρίου καὶ προϲηγορικοῦ ὀξύνεται.

Τὰ εἰϲ ῶμοϲ διϲύλλαβα προϲηγορικὰ ἀρχόμενα ἀπὸ ϲυμφώνου μὴ τοῦ μ̄, εἰ ἐπὶ οὐϲίαϲ τάττοιτο, ὀξύνεται, βωμόϲ· εἰϲὶ καὶ Βωμοί λόφοι Αἰτωλίαϲ. ψωμόϲ, ζωμόϲ, θωμόϲ ὁ ϲωρόϲ, βλωμόϲ τὸ δῆγμα. τὸ μέντοι κῶμοϲ ἡ ᾠδή βαρύνεται καὶ τὸ μῶμοϲ ἀπὸ τοῦ μ ἄρχεται, καὶ τὸ βρῶμοϲ ὁ χόρτοϲ καὶ Κρῶμοϲ κύριον βαρύνεται, ὥϲπερ τὸ ὦμοϲ εἰϲ ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. ἄλλωϲ τε τὰ εἰϲ ο̄ϲ̄ λήγοντα

Ἆμοϲ explevi ex St. B., Λάμοϲ et Πλάμοϲ ex eodem addidi. Verba τὸ τίϲ — καὶ apposui praeeunte Schmidtio. l. 4 similiter canon profertur in Choer. Epim. in Psalm. 32, 8 τὰ εἰϲ μ̄ο̄ϲ̄ καθαρὰ διϲύλλαβα ἀρχόμενα ἀπὸ ϲυμφώνου παραληγόμενα τῷ ε̆ ἢ τὸ ο̆ μὴ ὄντα τριγενῆ βαρύνονται οἷον γόμοϲ, τρόμοϲ, βρόμοϲ. εἰ δέ τι τούτων ὀξυνθείη, πρὸϲ ἀντιδιαϲτολὴν ὀξύνεται et p. 96, 15. Nomina ε̆ praefinita huius generis non reperiuntur praeter dubia δέμοϲ νόμοϲ ἢ δεϲμόϲ Suid. et θεμόϲ Hesych., Theogn. habet 63, 31: παραληγόμενα τῷ ο̆ ἀπὸ ῥημάτων τὸ ε παραληγομένων. — δόμοϲ addidi ex Ep. Cr. I 122, 3 δόμοϲ: τὰ εἰϲ μο̄ϲ̄ λήγοντα τῷ ō παραληγόμενα διϲύλλαβα μονογενῆ ὄντα βαρύνεται, εἰ μὴ διάφορον εἴη τὸ ϲημαινόμενον, γόμοϲ, νόμοϲ, τρόμοϲ, δρόμοϲ· εἰ δέ τι ὀξύνεται, πρὸϲ διάφορον ϲημαινόμενον «νόμον κατὰ τρομὸν δρόμημα γεραιοῦ ποδόϲ» Εὐριπίδηϲ. τομόϲ ὁ τεμνόμενοϲ. τὸ ὁμόϲ ὀξύνεται· τριγενὲϲ γὰρ ὁμόϲ ὁμή ὁμόν, in quibus verbis Nauckius fragm. Eurip. 868 legendum suspicatur: νομόϲ καὶ νομόϲ, τρόμοϲ καὶ τρομόϲ· «τρομὸν δρόμημα κτλ.» cf. Ep. Cr. I 371, 1. de τόμοϲ et τομόϲ idem habet Choer. Dict. 238, 31. νόμοϲ δὲ usque ad θεϲμόϲ recepta sunt ex Il. Pr. Υ 249: ἐπέων δὲ πολὺϲ νομόϲ: ὀξυτόνωϲ, ἵνα ϲημαίνηται ὡϲ ἐν τῇ ϲυνηθείᾳ ἡ νέμηϲιϲ. τοῦτο γὰρ ἐμφάϲεωϲ μείζονόϲ ἐϲτι ϲημαντικόν consulto Hesych. s. v. et E. M. 606 extr.: νομόϲ πρὸϲ διάφορον ϲημαινόμενον ἡ νομὴ τῆϲ βοϲκῆϲ, νόμοϲ δὲ ὁ νέμων πᾶϲι τὸ δέον. — ὁμόϲ ex Theogn. 63, 29 et Ep. l. c. l. 9 hunc canonem finxi propter Theogn. 63, 8 collato loco περὶ ποϲότητοϲ 291, 27. Apud Theogn. μῖμοϲ, βρῖμοϲ, πρίμοϲ ϲεϲημείωται ὅτι καὶ βαρύνεται καὶ διὰ τοῦ ῑ γράφεται, ubi pro βρῖμοϲ scribi debet τῖμοϲ et pro πρίμοϲ βρίμοϲ, quod ap. Hesych. oxytonos βριμόϲ scriptum est. l. 12 pro θύμοϲ δὲ τὸ κύριον scripsi cum Schmidt. θύμοϲ δὲ τὸ μόριον. Nam quum simillimum Δρυμόϲ accentum servet, non verisimile est canis nomen Θυμόϲ ap. Xenoph. Cyn. VII 5 aliter se habere. Fieri potest, ut Herodianus scripserit θυμόϲ καὶ Θυμόϲ τὸ κύριον· τὸ δὲ κτλ. — οὐ γὰρ ἔχει τὸ ῡ ἐκτεταμένον. cf. Dichr. 300 cum Lehrsii annotatione. Choer. Epim. in Psalm. 81, 29. l. 15 Βωμοί addidi ex St. B., βλωμόϲ τὸ δῆγμα ex Ep. Cr. I 448, 4, ubi qui proponitur canon orthographicus, derivatus est ex hoc tonico, et p. 450, 24. Pro Arcadii verbis: καὶ τὸ ῥῶμοϲ καὶ βρῶμοϲ κύριον scripsi καὶ τὸ βρῶμοϲ ὁ χόρτοϲ ex Theogn. 63, 21 et Κρῶμοϲ ex St. B. 688, 22 et pro ὥϲπερ τὸ πῶλοϲ exhibeo ὥϲπερ τὸ ὦμοϲ ex Theogn. l. 24 et Il. Pr. Γ 35, unde εἰϲ ἀποφυγὴν usque ad finem recepi, quod annotamentum transiit in Ep. Cr. I

δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω̅, μὴ προσκειμένου τοῦ ι̅ βαρύνεται, ὦρος, ὦμος, ὦχρος. πρόσκειται μὴ ἔχοντα τὸ ι̅ διὰ τοῦ ᾠδός.

Τὰ εἰς μο̅ς̅ δισύλλαβα διφθόγγῳ παραλήγοντα ἀπὸ συμφώνου ἀρχόμενα ὀξύνεται, λοιμός, λαιμός. τὰ δὲ μὴ ἀπὸ συμφώνου ἀρχόμενα βαρύνονται οἷον Αἶμος ὄρος Θρᾴκης. λέγεται καὶ οὐδετέρως, ὡς οἱ πολλοί. ἐγένετο δὲ ὁ Αἶμος υἱὸς Βορέου καὶ Ὠρειθυίας, ἀφ' οὗ καὶ τὸ ὄρος. καὶ οἶμος. σεσημείωται τὸ Δεῖμος.

Τὰ διὰ τοῦ α̅μ̅ο̅ς̅ τριβράχεα προπαροξύνεται, εἰ μὴ προηγεῖται τῷ α̅ τὸ τ̅, πλόκαμος, κέραμος, κάλαμος, θάλαμος, κύαμος, Πρίαμος ἐκ τοῦ πρίαμαι. ἐπράθη γὰρ καὶ ταύτης τῆς ἐπωνυμίας ἔτυχε ὡς ἱστορεῖ Λυκόφρων (v. 338) «ὠνητὸς αἰθαλωτόν». Ὕλαμοι πόλις Λυκίας ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν δευτέρῳ περὶ Λυκίας. Ὑλάμους δὲ τοὺς καρπούς φασι. τὸ μέντοι ἰταμός ἐπιθετικὸν καὶ ποταμός παρὰ τὸ ποτασμός καθ' ὑφαίρεσιν τοῦ σ̅ γινόμενον ὀξύνεται ὡς ἔχοντα τὸ τ̅ πρὸ τοῦ α̅.

Τὰ διὰ τοῦ α̅μ̅ο̅ς̅, εἰ ἔχοι τὴν πρώτην φύσει μακράν, εἰ μὲν κύρια εἴη, προπαροξύνεται, Πύραμος ποταμὸς ἐν Μαλλῷ τῆς Κιλικίας, Σήσαμος, Τεύταμος, Ἴαμος Σκυθίας ἔθνος ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Εὐξείνου πόντου. εἰ δὲ μή, ὀξύνεται, οὐλαμός, χηραμός ἡ κατάδυσις. τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ φωριαμός τὸ κιβώτιον, εἴτε παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὰ φάρη φυλάσσειν παρῆκται, ἔσται κατ' ὀξεῖαν τάσιν. ἔστι γὰρ φωραμός καὶ πλεονασμῷ τοῦ

450, 23 et An. Paris. III 319, 21 et E. M. 822, 27, unde ὦρος addidi. l. 3 canonem ex E. M. 568, 36, Epim. in Psalm. 27, 32 ita explevi, ut pro Arcadii verbis τὸ Δεῖμος καὶ οἶμος βαρύνονται scriberem: τὰ δὲ μὴ ἀπὸ συμφώνου — οἶμος recepto ex St. B. 50, 8 nomine Αἶμος cum explicatione et in fine consulto Arcadio adderem σεσημείωται τὸ Δεῖμος, de quo cf. E. M. 261, 40: δεῖμος ὁ φόβος· ὥσπερ ἀπὸ τοῦ ἄνθος γίνεται ἄνθιμος καὶ ἀπὸ τοῦ κῦδος κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ δέος δέϊμος καὶ δεῖμος ὁ δέος ἐμποιῶν ὄνομα πρέπον Ἄρεος παιδί. Ὅμηρος «Δεῖμός τε Φόβος τε». Nomen οἶμος Herod. Il. Pr. Λ 24 huic canoni subiicit: βαρύνεται τὸ οἶμος (οἶμος Herod. ap. Arcad. 199, 23) ὡς οἶκος· δοκεῖ δέ μοι κατά τινα ἀφορμήν. φιλεῖ γάρ πως τὰ εἰς ο̅ς̅ λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς ο̅ι̅ διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς ο̅ς̅ συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει κτλ. l. 8 canonem in Il. Pr. Ω 228 sic concipit: τὰ διὰ τοῦ α̅μ̅ο̅ς̅ παρηγμένα ὀνόματα μὴ ὄντα ἐπιθετικὰ βαρύνεσθαι θέλει, κάλαμος, Πρίαμος. τὸ ποταμός ἐγένετο παρὰ τὸ ποτασμός καθ' ὑφαίρεσιν τοῦ σ̅, τὸ δὲ ἰταμός ἐπιθετικόν ἐστι, hinc ἐπιθετικόν et παρὰ — γενόμενον inserui. De ποταμός ex ποτασμός orto cf. E. M. 477, 86, Choer. Epim. in Psalm. 162, 13 ποταμός· παρὰ τὸ ποτάζω ποτάσω ποτασμός καὶ ποταμός. οὕτως Ἡρωδιανός. In fine addendum videtur: τὸ δὲ Ἀγαμός τὸ κύριον πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθετικοῦ ὀξύνεται, nam ap. St. B. 13, 11 Ἀγαμός (hoc accentu) πόλις περὶ Ἡράκλειαν τὴν Ποντικήν. ὠνόμασται δὲ ἀπὸ παλαιᾶς βασιλίδος, ἣ στέρξασα παρθένος καὶ κυνηγὸν καὶ .... αὐτήν. Caeterum Πρίαμος explevi ex Ep. Cr. I 349, 13 et Ὕλαμος ex St. B. addidi. l. 17 Πύραμος explevi ex St. B. 540, 19. Σήσαμος pro Σίσαμος, quod quamquam etiam in E. M. 688, 18 exstat, prohibetur canone ap. Theogn. 65, 9, scripsi cum Lobeckio, Τεύταμος ex Il. Pr. l. c. addidi, Ἴαμος ex St. B. 322, 5. In fine pro φωριαμός τὸ κιβώτιον scripsi, quae sunt in Il. Pr. l. c. Caeterum Ἡρωδιανὸς περὶ Ἀττικῶν προσῳδιῶν E. M. 804, 20: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, οὐχ ὡς ἀνάλογον, ἀλλ' ὡς Ἀττικόν. ἡ μέντοι συνήθεια ὀξυνόμενον ἔχει. Canon in Il. Pr. sic se habet: τὰ ἔχοντα τὴν ἀρχὴν μακράν, εἰ μὲν θέσει ἦ, βαρύνεται, ὄρχαμος, Τύρταμος, Πέργαμος· εἰ δὲ φύσει (unde apparet ap. Ar-

ῑ φωριαμός. εἰςὶ καὶ Φωριαμοί τόπος Ἤλιδος μεταξὺ Παρθενίου τοῦ ποταμοῦ καὶ Ἀρκαδίας ἐπιτήδειος εἰς ἐνέδραν ἐν στενῷ κείμενος.

Τὰ διὰ τοῦ αμος, εἰ ἄρχεται ἀπὸ δύο συμφώνων, κύρια ὄντα ἢ ἐπίθετα προπαροξύνεται, ἄρταμος ὁ μάγειρος, ὄρχαμος, παρὰ τὴν ἀρχὴν ἄρχαμος καὶ ὄρχαμος. Πέργαμος πόλις Ἀσίας, ἐμπέραμος, Ἴμβραμος. οὕτως Ἑρμῆν λέγουσιν οἱ Κᾶρες, Τύρταμος. τὸ μέντοι σχινδαλαμός ὁ σχισμός ὀξύνεται προσηγορικὸν ὄν.

Τὰ εἰς μος ὑπερδισύλλαβα παραληγόμενα τῷ ε̄ προπαροξύνεται, Τήλεμος, Ἔχεμος, πόλεμος, ἄνεμος. Ἰάλεμος, ἤρεμος, κοάλεμος, Φάλεμος, ἄργεμος, ἄνθεμος. τὸ δὲ θελεμός ἀπὸ τοῦ θελημός ὀξύνεται.

Τὰ εἰς μος ἁπλᾶ τῷ η̄ παραληγόμενα σπάνια ὄντα προπαροξύνεται, ἔρημος Ἀττικῶς, ἐρῆμος δὲ παρὰ τῷ ποιητῇ «ὡς ἴδε χῶρον ἐρῆμον» (Κ 520), Κέημος ὄνομα νήσου· ἔτι καὶ τὰ σύνθετα Εὔδημος, εὔφημος, εὔσημος, ἄσημος, ἐπίσημος, βλάσφημος, πάνδημος, Νικόδημος, ἐπίδημος.

Τὰ εἰς ιμος ὑπερδισύλλαβα προπαροξύνεται, ἀγώγιμος, ὄψιμος, πρώϊμος, ὠφέλιμος, ἄλκιμος, νόμιμος. σπόριμος, ἐπήτριμος, τοῦτο ὁ Ἀσκαλωνίτης ὀξύνει ὡς πολεμικός. οὐκ εὖ. κύδιμος, φαίδιμος, δόκιμος, ὤκιμος, Ἄριμος, Ὄχιμος πατὴρ Κυδίππης.

Τὰ εἰς ομος ὑπερδισύλλαβα προπαροξύνεται, κέρτομος, ἄνδρομος ὁ ἀνδρώδης, ἕβδομος, Δίομος Κολυττοῦ υἱὸς Ἡρακλέους ἐρώμενος. πλὴν τοῦ καρατόμος, ἀγρονόμος ἀπὸ ῥημάτων συντεθέντων.

Τὰ εἰς υμος ἔχοντα τὸ υ βραχὺ πρὸ τοῦ μος προπαροξύνεται,

---

cadium pro θέσει scribendum esse φύσει) κύρια μὲν ὄντα βαρύνεται ὡς ἔχει τὸ Πύραμος, Τεύταμος· οὐχ οὕτως δὲ ἔχοντα ὀξύνεται, ὡς ἔχει τὸ οὐλαμός, χηραμός. τούτῳ οὖν κτλ. cf. Ep. Cr. I 430, 7. Φωριαμοί addidi ex St. B. l. 4 ὄρχαμος explevi ex E. Or. 89, 4, ubi Herodianum et Apollonium sic ὄρχαμος explicasse traditum est, Πέργαμος ex St. B., ἐμπέραμος pro ἔμπαμος Lob. Proll. 156 restituit, Ἴμβραμος addidi ex St. B. 331, 15 et Τύρταμος ex Il. Pr. l. c. et St. B. 275, 19. l. 9 Ἰάλεμος — ἄνθεμος addidi ex Theogn. 64, 15, κοάλεμος pro κάλλεμος scribens cum Lob. et ἄργεμος pro ἄγρεμος; omisi Τρίλεμος, quod Lobeck. ex praecedente Τήλεμος repetitum suspicatur. cf. E. M. 103, 41 et Choer. Epim. in Psalm. 57, 1; E. M. 194, 33: ἔστι καὶ ῥῆμα βέλλω, ἀφ' οὗ βέλεμος ὡς ἔχω Ἔχεμος, Τήλεμος, πλεονασμῷ τοῦ ν̄ βέλεμνος καὶ βέλεμνον. Ἡρωδιανὸς περὶ παθῶν. l. 13 verba Homerica addidi ex Mon. 33, 4: ἐρῆμος: οὐδὲν εἰς μος λῆγον ὑπὲρ δύο συλλαβὰς προπερισπώμενον τῷ η̄ παραλήγεται, ἀλλὰ μόνον ἐρῆμος — Ἀττικοὶ μέντοι προπαροξύνουσι τὴν λέξιν. Pro ἴημος scripsi Κέημος nomen caeterum ignotum ex Theogn. cf. Lob. Parall. 398 et Schmidt. ad Hesych. s. λίημος ψάμαθος. An. Ox. II 466, 16. Composita inde ab εὔσημος sunt ex Theogn. Omisi Ἀκάδημος vel Ἑκάδημος, unde Ἀκαδήμεια dictum, ut incerta cf. Mein. ad St. B. s. Ἀκαδήμεια et Ἑκαδήμεια. Θεμβρίημος ap. St. B. Mein. ex Θεμβρία δῆμος corruptum putat. l. 17 eundem canonem habet Il. Pr. C 211, unde νόμιμος — οὐκ εὖ recepi; κύδιμος — δόκιμος ex Theogn. 64, 26, ὤκιμος ex Dichr. 293, 19; Ἄριμος ex St. B. 118, 15, Ὄχιμος ex eodem 417, 20. Omisi Σίκιμος πόλις Ἀραβίας καὶ Σίκιμα καὶ Σίκιμος τὸ ἐθνικόν, quum scriptura inter η̄ (Σίκημος St. B.) et ῑ (Hesych. Σίκιμα) fluctuet. l. 22 Δίομος exhibui pro Θέομος ex St. B. 394, 1 collat. E. M. 102, 42, Ep. Cr. I 83, 3. cf. Meinek. Anall. Alex. p. 177.

ἔλυμος καὶ Ἔλυμος ἥρως, ἀφ' οὗ Ἐλυμία πόλις Μακεδονίας. ἔτυμος καὶ ἐτήτυμος, δίδυμος, ἥδυμος, νήδυμος, σκόλυμος εἶδος βοτάνης, Σόλυμος ἔθνος οἱ νῦν Πισίδαι ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Χαλδήνης «Σολύμους καλουμένους παρελθὼν Μαυσώλου». Ἴδυμος ποταμὸς Καρίας, Σίδυμος, ἀφ' οὗ Σίδυμα πόλις Λυκίας. Εὔρυμος. τοῦ μέντοι κωλυμός καὶ ἐρυμός τὸ ῡ μακρόν.

Τὰ εἰς μος τρισύλλαβα παραληγόμενα τῇ οι διφθόγγῳ μὴ παρεσχηματισμένα θηλυκῷ γένει ὀξύνεται, κυδοιμός ἡ ταραχή, ἀλοιμός, ἀμοιμός κατὰ ἐναλλαγὴν στοιχείων ἀπὸ τοῦ ἀμοιβός. τὸ δὲ ἕτοιμος Ἀττικόν, τὸ δὲ ἑτοῖμος κοινόν ἐστι τριγενές. καὶ τὸ ἀλύδοιμος ὁ οἰκτρός προπαροξύνεται.

* Τὰ εἰς μος λήγοντα ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ μ τὸ σ ὀξύνεσθαι θέλει, μερισμός, ὁπλισμός, ἀθροισμός, ἀφλοισμός. τοῦτο δὲ ἔνιοι παρὰ τὸ ἀφρισμός μεταβολῆς γενομένης τοῦ ρ εἰς λ καὶ πλεονάσαντος τοῦ ο. οἱ δὲ παρὰ τὸ φλέω καὶ φλύω, φλοισμός καὶ ἀφλοισμός ἐν πλεονασμῷ τοῦ α. διὸ οὐ δεόντως Τυραννίων προπαροξύνει.

* Τὰ εἰς ωμος ὑπερδισύλλαβα προπαροξύνεται, Εὔρωμος πόλις Καρίας ἀπὸ Εὐρώμου τοῦ Ἰδριέως Καρός, Ἴθωμος, ἀφ' οὗ Ἰθώμη πόλις Θεσσαλίας, Τετράκωμος ἔθνος οἱ καὶ Τετραχωρῖται. ὁμοίως δὲ καὶ τὰ διὰ τοῦ ουμος ὑπερδισύλλαβα Πάτουμος πόλις Ἀραβίας.

Τὰ εἰς νος ἔχοντα πρὸ τοῦ ν ἕν τι τῶν μέσων στοιχείων ἔχοντα θηλυκὸν γένος ὀξύνεται, στεγνός, στυγνός, ἁγνός, κεδνός, ἀλαπαδνός, ἀκιδνός, ὀλοφυδνός. τὸ μέντοι λάγνος βαρύνεται· οὐκ ἔχει γὰρ ἴδιον θηλυκόν. ἔχει δὲ καὶ ἔννοιαν συνθέσεως. ὡσαύτως καὶ

---

l. 1 Ἔλυμος ἥρως ex St. B., καὶ ἐτήτυμος ex Theogn. 64, 30; ἥδυμος ex Theogn., νήδυμος σκόλυμος ex Ep. Cr. I 298, 28, ubi idem canon profertur. Σόλυμος ex St. B. explevi, Ἴδυμος, Σίδυμος ex eodem adieci. Εὔρυμος pro ἔρυμος ex Lobeckii coniectura Parall. 422 (cf. Proll. 165) exhibui, Πόλυμος ὄνομα κύριον ap. Theogn. Lobeckio ex praecedente Σόλυμος corruptum videtur, quare omisi. κωλυμός pro κολυμός praebent Epim. l. c., ἐρυμός pro ῥυμός flagitat canon, qui agit de hyperdisyllabis cf. Lehrs ad Dichr. 300. Lob. Parall. l. c. et E. M. 603, 10. l. 8 post κυδοιμός ἀθροισμός ἀφλοισμός exturbavi, nam huc irrepserunt ex alio canone, qui ab Arcadio omissus in Il. Pr. Ο 607 reperitur; post κοινόν addidi ex Theogn. 65, 4 ἐστὶ τριγενές. De ἑτοῖμος Herod. in Mon. 33, 9: οὐδὲν εἰς μος λῆγον ὑπὲρ δύο συλλαβὰς τῇ οι διφθόγγῳ παραληγόμενον προπερισπᾶται, ἀλλὰ μόνον τὸ ἑτοῖμος. καὶ τοῦτο δὲ παρ' Ἀττικοῖς τοῖς νεωτέροις φασὶ προπαροξύνεσθαι. — Plurisyllaborum in αιμος unum affert Lobeck. Proll. 159 Σόαιμος hominis barbari nomen, ad quod accedit ex St. B. 90, 15 Ἀνάδραιμος alterum, fortasse Macedonicum nomen urbis Ἀμφίπολις. l. 12 hunc canonem ex Il. Pr. Ο 607 huc transtuli nomine ἀθροισμός ex Arcadio assumpto. l. 18 canonem ipse finxi ex nominibus, quae ap. St. B. reperiuntur. Ad horum similitudinem etiam τὸ παρὰ τῷ Ἰόβᾳ κείμενον βαρβαρικὸν ὄνομα Ναβωμός potius Νάβωμος scribendum iudicat Lehrs ad Mon. 13, 30. l. 23 ἀλαπαδνός — ὀλοφυδνός adieci ex Mon. 293, 15. — ἔχει δὲ καὶ ἔννοιαν συνθέσεως ex Il. Pr. Ξ 351: στιλπναί ὁμοίως τῷ ἰσχναί· τὰ γὰρ εἰς νος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ὀξύνεσθαι θέλει, πρυμνός, ἰσχνός. πυκνός· ἐναντιοῦται τὸ λίχνος· τὸ γὰρ λάγνος ἔννοιαν ἔχει συνθέσεως. de λάγνος cf. Eustath. 1412, 29: ἐκ τοῦ γόνος ἤτοι γονή οὐ μόνον ὁ λάγνος, ἀλλὰ καὶ ὁ κατὰ τοὺς παλαιοὺς λάγνης, ὡς οἱονεὶ λαγόνης ἤγουν πολύ-

ἄγνος ἡ βοτάνη καὶ τὰ κύρια, Κύδνος ποταμὸς Κιλικίας, Πύδνος, Κάλυδνος παῖς Οὐρανοῦ, ἀφ᾽ οὗ Κάλυδνα πόλις Θήβης, ἢ καὶ Κάλυδνος.

Τὰ εἰς νος ἁπλᾶ ἔχοντα πρὸ τοῦ ν ἕν τι τῶν ἀντιστοίχων ὀξύνεται, ἐπιθετικὰ ὄντα καὶ μὴ ἔχοντα πρὸ τέλους ορ, πυκνός, κραιπνός, τερπνός, στρυφνός — ὁ λόγος τοῦτο διὰ τοῦ υ ἀπαιτεῖ, ὡς γὰρ τέρπω τερπνός, στέγω στεγνός, οὕτω καὶ στύφω στυφνός. καὶ καθάπερ κέντον κέντρον, οὕτω πλεονασμῷ τοῦ ρ στυφνός καὶ στρυφνός, ὅμως εὕρηται καὶ διὰ τοῦ ι προφερόμενον στριφνός. σημειῶδες καὶ τὸ στρύφνός ἐκτεῖνον τὸ υ. Ἀριστοφάνης ἐν Σφηξί (v. 877)

παῦσον τ᾽ αὐτοῦ τοῦτο τὸ λίαν στρυφνόν.

Τὰ γὰρ ἄλλα τοιαῦτα τῷ υ παραληγόμενα συνεσταλμένον αὐτὸ ἔχει γυμνός, συχνός, πυκνός, στυγνός — ἰσχνός, θαλπνός, στιλπνός, συχνός, περκνός ὁ μέλας «μόρφνον θηρητῆρ᾽ ὃν καὶ περκνὸν καλέουσιν» (Ω 316). ὁ μέντοι Ἀρίσταρχος ἀετοῦ εἶδος καὶ βαρύνει, ἀλλ᾽ ἐπείσθη ἡ παράδοσις τοῖς ὀξύνουσιν. σεσημείωται τὸ λίχνος βαρύτονον ὡς σύνθετον. παρὰ τὸ λίαν χαίνειν. τὸ δὲ μόρφνος ὁ μέλας ἔχει τὸ ορ. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων οἷον χόρτος, φόρτος, ὅρκος, Ὄρθος τὸ μονογενές, πόρνος, οὐ γὰρ θηλυκὸν αὐτοῦ τὸ πόρνη. οὕτω θέλει καὶ τὸ πτόρθος. οὕτως μόρφνος. παρεφύλαξα δὲ τὰ εἰς μος διὰ τὸ κορμός, φορμός. ἐσχημάτισται δὲ τὸ μόρφνος ἢ παρὰ τὸ μόρφονος ἢ παρὰ τὴν ὄρφνην πλεονάσαντος τοῦ μ κατὰ τὴν ἀρχήν, ἵνα σημαίνηται ὁ μέλας, ἢ παρὰ τὸ μάρπτω μάρφνος ἐστὶ καὶ μόρφνος ὁ συλλαμβάνων, ἐξ οὗ σημαίνεται ὁ ταχύς. καὶ τὸ ὄκνος προσηγορικὸν βαρύνεται. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλείονα βαρύνεσθαι θέλει οἷον ὄμβρος, ὄρρος, ὄσσος, Ὄρθος, ὄγμος. οὕτως καὶ ὄκνος.

Τὰ εἰς νος μονογενῆ δισύλλαβα ἔχοντα πρὸ τοῦ νος ἕν τι τῶν ἀντιστοίχων, προηγουμένου φωνήεντος πλὴν τοῦ α βαρύνεται, ὄκνος, κύκνος καὶ Κύκνος ἥρως, Κύθνος ἥρως καὶ νῆσος πρὸς τῇ Δρυο-

---

γονος. καὶ μέν τινες παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ γυνή τὰ τοιαῦτα παρήγαγον. — Κύδνος explevi ex St. B. pariter atque Κάλυδνος, cuius accentus fluctuat ap. St. B. p. 350, 6 ἀπὸ Καλύδνου, παιδὸς οὐρανοῦ. λέγεται καὶ Καλυδνός (sc. νῆσος Καλύδνα); p. 652, 1 Καλύκαδνος ποταμός, ὃν Καλυδνόν τινες καλοῦσιν. Secundum hunc canonem scribendum est Μάκεδνος proprium et Μακεδνός ethnicum utpote feminino genere praeditum. l. 6 quae ad στρυφνός addita sunt, prompsi ex Eustath. 1413, 5 ubi ὁ λόγος κατὰ Ἡρωδιανὸν et in fine στρυφνός γάρ φησι (sc. Herodian.), inde a σημειῶδες ex Mon. 41, 11 coll. Dichron. 293, 16. l. 13 θαλπνός adieci ex Dichr. 293, 15, στιλπνός ex Il. Pr. Ξ 351, συχνός ex Il. Pr. Ε 292: ὀξύνεται ὁ πρυμνός, ἐπεὶ τὰ εἰς νος λήγοντα μετ᾽ ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται, συχνός, πυκνός. οὕτως πρυμνός. περκνός adieci ex Il. Pr. Ω 316, ex eodem loco apposita sunt l. 18 τὰ γὰρ εἰς ος — l. 26 ταχύς et quae ad explicandum accentum vocis ὄκνος prolata sunt. l. 32 proprium Κύκνος apposui ex Steph. Byz. 392, 5, Κύθνος explevi ex Steph. Byz., item

πίδι τῶν Κυκλάδων, Πέφνος πόλις Λακωνική. Ἀπολλόδωρος δὲ νῆσον αὐτήν φησι· λέγεται δὲ καὶ θηλυκῶς καὶ οὐδετέρως. ὕπνος. Σίφνος περὶ τὴν Κρήτην νῆσος ἀπὸ Σίφνου τοῦ Σουνίου, ὡς Νικόλαος πέμπτῳ. Ἴπνος, ἣν Ἰπνέαν τινές, Λοκρῶν τῶν Ὀζολῶν. τὸ δὲ προσηγορικὸν ἰπνός ὀξύνεται. Θῶκνος ἥρως. τὸ δὲ καπνός ὀξύνεται ὡς ἔχον τὸ ᾱ.

* Τὰ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου δισύλλαβα μονογενῆ ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ ῡ βαρύνεσθαι θέλει, ὕμνος, κύκνος, λύχνος, Κύθνος, Βύσνος βασιλεὺς Βεβρύκων· οὕτως καὶ σκύμνος. τὸ δὲ ἀνδρωνυμικὸν ὀξύνεσθαι ἀξιοῖ ὁ Ἀσκαλωνίτης. ὁ μέντοι λόγος συναγωνίζεται τῇ βαρείᾳ τάσει.

Τὰ εἰς μνος δισύλλαβα, εἰ παραλήγοι ᾱ μετὰ συμφώνου, βαρύνεται, θάμνος, ῥάμνος. τὸ δὲ ἀμνός ὀξύνεται. ἀπὸ γὰρ τοῦ ᾱ καὶ ἐπιθετικώτερον· ἄμενος γὰρ παρὰ τὸ μὴ ἔχειν μένος.

Τὰ εἰς μνος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους μὴ φύσει μακράν, μονογενῆ μὲν ὄντα, βαρύνεται, ὕμνος, σκύμνος, Τύμνος πόλις Καρίας. τριγενῆ δὲ ὀξύνεται, γυμνός, σεμνός, στυμνός ὁ σκληρός, πρυμνός.

* Τὰ εἰς μνος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους φύσει μακρὰν βαρύνεται, Κρῶμνος ὁ Λυκάονος καὶ πόλις Πελοποννήσου, Λῆμνος νῆσος πρὸς τῇ Θρᾴκῃ, Τῆμνος πόλις τῆς Αἰολίδος.

Τὰ εἰς μνος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ μὴ ἔχοντα ἴδια θηλυκὰ προπαροξύνεται, Ἄμυμνος ἔθνος Ἠπειρωτικόν, Λύκαμνος, Ἐπίδαμνος πόλις Ἰλλυρίας ἀπὸ Ἐπιδάμνου, Αἴσυμνος. Ἴαμνος, Λεπέτυμνος, τὸ μέντοι ἐρεμνός ἔχει θηλυκὸν τὸ ἐρεμνή, ὥσπερ καὶ τὸ ἐρυμνός ὁ κεκαλυμμένος.

Τὰ εἰς δύο νν βαρύνεται ἀπαρασχημάτιστα ὄντα θηλυκῷ γένει, βλέννος, θύννος, Κύννος ὁ ἀδελφὸς Κοίου, Σάννος ἔθνος. Βοῦννος πόλις Ἰλλυρίας. Γόννοι πόλις Περραιβίας ἀπὸ Γουνέως κληθεῖσα τοῦ ἀπογόνου Κύφου. οὕτως φησὶν Ὅμηρος (Β 748). Αἰολεῖς ὄντες οἱ Περραιβοὶ τὰ σύμφωνα ἐδίπλουν καὶ Περραιβοὺς ἑαυτοὺς καλοῦντες

Πέφνος, Σίφνος. Ex eodem addidi Ἴπνος, et appellativum ἰπνός ex Epim. Cr. I 422, 29 ubi praecipuus canon de nominibus in πνος constituitur: τὰ εἰς πνος λήγοντα ὀνόματα δισύλλαβα [εἴτε] μονογενῆ [εἴτε τριγενῆ] ὀξύνεται, τερπνός, ἰπνός, καπνός. σημειωτέον ἄρα βαρυνόμενον τὸ ὕπνος. — Θῶκνος ex St. B. A canone, quo nomina in νος praecedente consona, cui vocalis α praemissa est, acui iubentur, aberrat Πρᾶκνος πόλις Ἰλλυρίας ap. St. B., quod fortasse ut barbarum exemit Herodianus aut propter ᾱ productum atque fieri potest, ut Θῶκνος Πρᾶκνος vocali longa praefinita singulari canone concluserit. l. 7 canonem recepi ex Il. Pr. Σ 319 Βύσνος ex St. B. s. Βυσναῖοι addito. l. 16 Τύμνος pro τέμνος scripsi ex St. B., πρυμνός addidi ex Il. Pr. Ε 292 et Μ 149. Canon Arcadio similis exstat in An. Ox. II 344, 8. Futilis est distinctio in E. M. 720, 23: σκύμνος λέγεται ἐπὶ λέοντος, σκυμνός δὲ ἐπὶ τῶν ἄλλων ζῴων. l. 19 hunc canonem finxi ex exemplis Stephani Byzantii. l. 23 Ἄμυμνος ex St. B. exhibui pro librorum scriptura Ἄτυμνος; ex eodem explevi Ἐπίδαμνος et addidi Ἴαμνος et Λεπέτυμνος. l. 28 Κύννος explevi ex St. B., ex eodem adieci Σάννος, Βοῦννος, Γόννοι.

καὶ Γόννοι διὰ δύο νν τὴν πόλιν. γόννα γὰρ οἱ Αἰολεῖς τὰ γόνατα. Σίγυννος πόλις Αἰγύπτου, ὡς Κτησίας ἐν πρώτῳ περίπλων. καὶ ὁ πολίτης ὁμοφώνως. Ἄργυννος υἱὸς Πεισιδίκης τῆς Λεύκωνος τοῦ Ἀθάμαντος τοῦ Σισύφου τοῦ Αἰόλου ἐρώμενος Ἀγαμέμνονος, Βοιωτός, ὃς ἀνιὼν εἰς τὸν Κηφισσὸν τελευτᾷ. ἀφ' οὗ Ἀργυννίδα τὴν Ἀφροδίτην ἐτίμησαν. τύραννος· ἐγένετο δὲ οὕτως. ἔστι Τυρρηνός καὶ Τυρρανός κατὰ Δωρίδα διάλεκτον, ἀφ' οὗ κατὰ ἀφαίρεσιν καὶ γράμματος προσθέσει τύραννος ἐκλήθη. Φάλαννος πόλις Περραιβίας, ὡς Ἔφορος ἐν τῷ θ'. Ἔραννος πόλις ἡ ὕστερον Κυπάρισσος. Βίεννος πόλις Κρήτης. οἱ μὲν ἀπὸ Βιέννου τοῦ τῶν Κουρήτων ἑνός, οἱ δὲ ἀπὸ τῆς περὶ τὸν Ἄρη γενομένης βίας, ὃν ἐνταῦθα δεδέσθαι φασὶν ὑπὸ Ὤτου καὶ Ἐφιάλτου τῶν παίδων Ποσειδῶνος. ἔστι καὶ ἑτέρα πόλις ἐν Γαλλίᾳ. Πέλιννος ὁ Οἰχαλέως. τὰ μέντοι ἔχοντα θηλυκὰ ὀξύνεται, ἐραννός ὁ ποθεινός, ἀργεννός, κελαδεννός, ἐρεβεννός.

* Τὰ εἰς νος ἔχοντα πρὸ τοῦ νος τὸ ρ βαρύνεται, Κάρνος ὁ Φοίνικος, ἀφ' οὗ Κάρνη πόλις Φοινίκης ἡ καὶ Κάρνος παρ' Ἀρτεμιδώρῳ. ἔστι καὶ νῆσος Ἀκαρνανίας. Ἀρτεμίδωρος β' γεωγραφουμένων, Ἄρνος ὁ καταπολεμήσας Πρωτόγονον, ἀφ' οὗ ἡ Ξάνθος πόλις Λυκίας Ἄρνα ἐκαλεῖτο, Νάρνος ποταμός, Κύρνος ὁ κτιστὴς καὶ ἡ νῆσος πρόσβορρος Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ. Πύρνος πόλις Καρίας. Σάμορνος· ἡ Ἔφεσος οὕτως ἐκαλεῖτο. Ἄορνος πόλις Βακτρίων ἀρσενικῶς καὶ θηλυκῶς. ὀξύνεται δὲ τὸ Λιβυρνός Ἀττικός τις καὶ ἔθνος προσεχὲς τῷ ἐνδοτέρῳ μέρει τοῦ Ἀδριατικοῦ κόλπου. Ἑκαταῖος Εὐρώπῃ. Ἀχαρνός ἔθνος πρὸς τῇ Σκυθίᾳ παρὰ Θεοπόμπῳ τὸ καὶ Ἀχανός.

Τὰ εἰς ερνος Ἰταλιωτικὰ παροξύνεται, Φαλέρνος, πατέρνος, Ἰουέρνος ἔθνος ἐν τῷ πόντῳ τῷ Πρετανικῷ, Ἀροέρνος ἔθνος μαχιμώτατον τῶν πρὸς τῇ Κελτικῇ Γαλατῶν. Ἀπολλόδωρος τετάρτῃ χρονικῶν «Κελτῶν Ἀροέρνους». Πριουέρνος πόλις Ἰταλίας.

Τὰ εἰς ανος δισύλλαβα κύρια ὄντα ἢ προσηγορικὰ μὴ ἔχοντα διαστολὴν βαρύνεται, Τάνος πόλις Κρήτης, ὡς Ἀρτεμίδωρος ἐν τετάρτῳ γεωγραφουμένων, Φᾶνος τὸ κύριον, θρᾶνος ὁ δίφρος. τὰ μέντοι

---

l. 2 pro corrupto δάθυννος substitui Σίγυννος ex St. B., ex quo etiam explevi Ἄργυννος et τύραννος et addidi Φάλαννος usque ad Πέλιννος. κελαδεννός cum Lob. El. I 398 pro κελαινός scripsi. Diversum accentum habent Βασιννοί Ἀραβικὸν ἔθνος. Γλαῦκος ἐν τρίτῳ Ἀραβικῆς ἀρχαιολογίας et Καταννοί ἔθνος πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. Ἑκαταῖος Ἀσίᾳ fortasse ut gentilia trigenera. l. 15 hunc canonem finxi ex nominibus, quae exstant ap. St. B., potui huc etiam referre πύρνος et τόρνος ex Schol. Od. ο 312: πύρνον: τὸ μὲν γένος ἄδηλον παρὰ τῷ ποιητῇ, ὁ δὲ τόνος ὡς τόρνος. l. 26 nomina inde ab Ἰουέρνος usque ad finem ex St. B. addidi, quamquam apud eum omnia huius generis vocabula proparoxytonos exhibentur. l. 30 Τάνος, quod Lob. Proll. 184 not. 23 Τᾶνος scribendum iudicat, explevi ex St. B., Φᾶνος pro Φάνος scripsi cum Lehrsio Arist. p. 280 ed. II, pro πάνος ὁ δίφρος cum Lob. l. l. θρᾶνος posui, Lehrsius vult πάνος ὁ λύχνος. In canone multa corrupta et confusa esse (confusa sc. μακροπαράληκτα et βραχυπαράληκτα) animadvertit Lehrsius; neque tamen audeam canonem restituere; fortasse sic processit: τὰ εἰς ανος δισύλλαβα ἔχοντα ἐν τῇ πρὸ τέλους τὸ ᾱ ἐκτεινόμενον, ἐπιθετικὰ μὲν ὄντα, ὀξύνεται δανός, τρανός, μανός

ἐπιθετικὰ ἢ προcηγορικὰ ἔχοντα διαcτολὴν ὀξύνεται, φανόc. τὸ δὲ πλάνοc βαρύνεται καὶ τὸ νᾶνοc ὁ μικρόc.

Τὰ εἰc ενοc δικύλλαβα τινὰ μὲν βαρύνονται, ἕνοc ὁ ἐνιαυτόc, ξένοc, Τένοc ὁ Κύκνου, τινὰ δὲ ὀξύνονται, κενόc, cτενόc.

Τὰ εἰc ηνοc κύρια ἢ προcηγορικὰ βαρύνεται, Τῆνοc, νῆcοc Κυκλὰc ὁμοφώνωc τῷ οἰκιcτῇ. ἔcτι καὶ πόλιc Λακωνικὴ μία τῶν ἑκατὸν Τῆνοc λεγομένη, Φῆνοc ὄνομα ποταμοῦ, Ῥῆνοc ὁ ποταμὸc καὶ ἔθνοc παροικοῦν. Cτρῆνοc πόλιc Κρητική, Λῆνοc ὁ τόποc τῶν Πιcατῶν. Φλέγων μη' Ὀλυμπιάδι. Cῆνοc πόλιc Αἰγύπτου. Ἑκαταῖοc ἐν αὐτῆc περιηγήcει, Ἦνοc, Cφῆνοc ὄνομα τόπου, Cμῆνοc ὄνομα ποταμοῦ, Γλῆνοc ὄνομα πόλεωc Κρητικῆc, Μῆνοc, θρῆνοc. τὰ δὲ ἐπίθετα ὀξύνεται, φηνόc ὁ λαμπρόc, cτρηνόc, πτηνόc, ψηνόc. ἔτι καὶ τὸ ληνόc μὴ ὂν ἐπίθετον.

Τὰ εἰc ινοc δικύλλαβα βαρύνεται, Νίνοc πόλιc Ἀccυρίων, ἣν ἔκτιcε Νίνοc Cεμιράμιδοc ἀνήρ, ἐν τῇ Ἀτουρίᾳ. πίνοc ὁ ῥύποc, δῖνοc ἡ cυcτροφή, cχῖνοc, λίνοc ὃ cημαίνει εἶδοc ὕμνου ὡc παιάν, διθύραμβοc, cπίνοc εἶδοc ὀρνέου «καὶ cπίνοc ἠῷα cπίζων καὶ ὄρνεα πάντα» παρ' Ἀράτῳ (Dios. 292). Cπῖνοc ποταμόc, γρῖνοc, πρῖνοc. μόνον τὸ ῥινόc ὀξύνεται «ἕccατο δ' ἔκτοcθεν ῥινόν» (Κ 334). τὸ δὲ κλεινόc, αἰνόc, δεινόc ὀξύνεται μὴ ἔχοντα τὸ ῑ μόνον. τὸ δὲ αἶνοc ἐπὶ τοῦ ὕμνου ἐπί τε τῆc πόλεωc βαρύνεται.

Τὰ εἰc ῡνοc δικύλλαβα, εἰ μὴ κύρια εἴη, ὀξύνεται, θυνόc, ξυνόc, γρυνόc ἡ ῥίζα τῶν ξύλων ἡ ξηρὰ καὶ παχεῖα, πλυνόc, φρυνόc ὁ βάτραχοc. τὰ δὲ κύρια βαρύνεται, Κῦνοc ἐπίνειον Ὀποῦντοc,

---

(haec ex Dichron. 292, 2, unde in An. Ox. II 414, 25 τὰ εἰc νοc ὀξύτονα δικύλλαβα τὸ α παραληγόμενα ἐκτείνει αὐτό, τρανόc, φανόc, πανόc. Ἀττικοὶ δὲ ἐνίοτε cυcτέλλουcι pro πανόc aut μανόc aut δανόc scribendum est), φανόc. κύρια δὲ βαρύνεται Τᾶνοc Φᾶνοc καὶ βαρύνεται τὰ προcηγορικὰ οἷον θρᾶνοc ὁ δίφροc. καὶ τὸ νᾶνοc ὁ μικρόc βαρύνεται. τὰ δὲ εἰc ανοc δικύλλαβα ἔχοντα ἐν τῇ πρὸ τέλουc τὸ ᾰ βραχὺ βαρύνεται οἷον πλάνοc. Caeterum adnoto Μανόc cφόδρα εὔποροc κτιcτὴc Μανηcίου πόλεωc Φρυγίαc ap. St. B. 430, 23 acui. l. 4 Τένοc ex St. B. adieci. l. 5 Τῆνοc explevi ex St. B., item Φῆνοc, ad quod Arcadius apponit ὁ τόποc, quam explicationem addidi ad Λῆνοc monente Meinekio, cui tamen non adstipulor Λῆνοc pro Φῆνοc substituenti. Ῥῆνοc explevi ex St. B., Cτρῆνοc addidi ex St. B. p. 587, 1: Ἡρωδιανὸc ἑβδόμῃ «Cτρῆνοc πόλιc Κρητική» — Λῆνοc ex eodem, nomina inde ab Cῆνοc, quod ex St. B. explevi, usque ad θρῆνοc sunt ex Theogn. 65, 28 unde etiam cτρηνόc, ante quod Cτρῆνοc ap. Theogn. excidit, et ψηνόc accesserunt. l. 14 pro Νῖνοc scripsi Νίνοc et explevi ex St. B., πίνοc et δῖνοc explicavi ex Theogn. (E. M. 262, 21 δεῖνοc προπεριcπᾶται ὁ ψυκτήρ [παρὰ τὸ δέοc ἐμποιεῖν] idem est atque δῖνοc atque de hac scripturae vicissitudine Herodianum disseruisse inde concludi potest, quod etiam ap. Hesych. δεῖνοc εἶδοc ἐκπόματοc scriptum est), λίνοc ex Il. Pr. C 570, cπίνοc addidi ex Theogn. et Mon. 39, 35, Cπῖνοc ex St. B. 584, 14, γρῖνοc, quod pro βρῖνοc ponendum esse suspicatur Lob. Proll. 191, et πρῖνοc ex Theogn. 66, 1. μόνον τὸ ῥινόc κτλ. adieci ex canone in An. Ox. I 282, 5: τὰ εἰc νοc δικύλλαβα τῷ ῑ μόνῳ παραληγόμενα βαρύνεται, cπίνοc, Νίνοc, Λίνοc, μόνον τὸ ῥινόc ὀξύνεται. In fine τὸ δὲ αἶνοc κτλ. adieci ex Theogn. 65, 15, qui nihil de Δεῖνοc proprio adnotat cf. Goettling. de accent. p. 196. l. 24 φρυνόc addidi ex Dichr. 287, 1. Extremam canonis partem inde a τὰ δὲ κύρια βαρύνεται ipse finxi secutus Arcadium et Dichr. l. c., ubi Κῦνοc

ὡϲ Φίλων καὶ Παυϲανίαϲ. Ἑκαταῖοϲ δὲ πόλιν αὐτήν φηϲιν. Ὅμηροϲ «οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε» (Β 531). Γρῦνοι πολίχνιον Μυριναίων. Ἑκαταῖοϲ δὲ τὴν πόλιν Γρύνειαν καλεῖ. Θῦνοϲ ἐθνικὸν ὁμοφώνωϲ τῷ οἰκιϲτῇ ὡϲ Θετταλόϲ Ἰταλόϲ. Φρῦνοϲ ἔθνοϲ Ϲκυθικόν.

* Τὰ εἰϲ $\overline{\text{ονοϲ}}$ διϲύλλαβα μονογενῆ ἀπαραϲχημάτιϲτα βαρύνεται, χρόνοϲ, Κρόνοϲ, δόνοϲ, φθόνοϲ, κλόνοϲ, πόνοϲ, Πρόνοϲ υἱὸϲ Κεφάλου. τὸ ὄνοϲ ἔχον θηλυκὸν ϲυνέπεϲε τοῖϲ εἰρημένοιϲ ὡϲ ἀπαραϲχημάτιϲτον. τὸ γόνοϲ, ὅπερ ϲημαίνει τὸ γεγενημένον, βαρύνεται, ὁ δὲ γεννητικὸϲ γονόϲ ὀξύνεται, πλεοναϲμῷ τοῦ $\bar{υ}$ γουνόϲ ὁ γεννητικὸϲ τόποϲ, ὁ γόνιμοϲ καὶ κάρπιμοϲ.

Τὰ εἰϲ $\overline{\text{ωνοϲ}}$ βαρύνεται, Πρῶνοϲ πόλιϲ Κρητική, κῶνοϲ, ὦνοϲ ἡ τιμή, ϲτῶνοϲ(?), χῶνοϲ ἡ χώνη, φῶνοϲ ὁ μεγαλόφωνοϲ.

Τὰ εἰϲ $\overline{\text{αινοϲ}}$ καὶ $\overline{\text{οινοϲ}}$ μονογενῆ βαρύνεται, αἶνοϲ· ἔϲτι δὲ καὶ Αἶνοϲ πόλιϲ Θρᾴκηϲ. Ϲτράβων Ζ' (p. 88) «ἐν δὲ τῇ ἐκβολῇ τοῦ Ἕβρου διϲτόμου ὄντοϲ πόλιϲ Αἶνοϲ, κτίϲμα Μιτυληναίων καὶ Κυμαίων». β' ἔϲτι καὶ πόλιϲ Θεϲϲαλίαϲ, κληθῆναι δὲ αὐτὴν ὅτι πληϲίον τῆϲ Ὄϲϲηϲ ἦν Αἴνιοϲ ποταμὸϲ καὶ κώμη ἐπώνυμοϲ. οἱ δὲ ἀπὸ τοῦ Αἴνου τοῦ Γουνέωϲ ἀδελφοῦ. γ' ἔϲτι καὶ Λοκρῶν τῶν Ὀζολῶν. δ' κατὰ Θάψακον καὶ τὸν Εὐφράτην. ε' ἔϲτι καὶ νῆϲοϲ παρακειμένη τῇ εὐδαίμονι Ἀραβίᾳ. ἔϲτι καὶ τόποϲ Αἶνοϲ ἐν τῇ καταντικρὺ Ῥοδίων ἠπείρῳ. Αὔαινοϲ, Κόλαινοϲ ὄνομα κύριον, ἀφ' οὗ καὶ Κολαινία Ἄρτεμιϲ, Κρύϲταινοϲ, Λέαινοϲ ὄνομα κύριον. Μύραινοϲ, Τάλαινοϲ ἀπὸ τοῦ τάλαϲ. Μακαρίαινοϲ, Περίτταινοϲ, Ἀρίϲταινοϲ. Μάζαινοϲ. Δρύαινοϲ, Μελάγχλαινοϲ ἔθνοϲ Ϲκυθικόν. Ἑκαταῖοϲ Εὐρώπῃ. κέκληνται ἀφ' ὧν φοροῦϲιν ὡϲ Ἱππημολγοὶ παρὰ τὸ τοὺϲ ἵππουϲ ἀμέλγειν καὶ Μοϲϲύνοικοι παρὰ τὰϲ οἰκήϲειϲ. οἶνοϲ, ϲχοῖνοϲ. τὸ

βαρυνόμενον, vocabulis ex St. B. receptis. Θῦνοϲ ap. St. B. falso oxytonos scriptum est. Φρῦνοϲ addidi ex Eustath. ad Dionys. 752, qui locus ex St. B. promptus videtur; ibi falso scriptum est: φρῦνοι γάρ, καθὰ καὶ Φίλων γράφει, οἱ βάτραχοι, appellativum est acuendum φρυνόϲ. De πλυνόϲ cf. Mon. 33, 13: ϲημειῶδεϲ τὸ πλυνόϲ κατὰ χρόνον. καίτοι γε τὸ πλύνω ἐκτεινόμενον τὸ $\bar{υ}$. Ab Herodiano abhorret distinctio inter πλύνοϲ τὸ πλυνόμενον et πλυνόϲ ὁ τόποϲ καὶ τὸ ἀγγεῖον, ἐν ᾧ πλύνουϲί τι. Favorin. 370, 9, E. M. 677, 18, Schol. Arist. Plut. 1061 cf. Lob. Parall. p. 506. l. 6 hunc canonem recepi ex Theogn. 66, 10 addito ex St. B. 381, 19 Πρόνοϲ, ex Herod. in E. M. 239, 9 γόνοϲ et γονόϲ. l. 12 canonem explevi ex Theogn. 66, 15 ad Πρῶνοϲ addens πόλιϲ Κρητική et nomina ϲτῶνοϲ usque ad finem cf. Choer. Dict. 411, 8 οὐκ ἔχομεν εὐθεῖαν εἰϲ $\overline{\text{νοϲ}}$ καθαρὸν διϲύλλαβον τῷ $\bar{ω}$ παραληγομένην καὶ ὀξυνομένην, βαρυνομένην δὲ ἔχομεν ὡϲ ἐπὶ τοῦ κῶνοϲ ὦνοϲ. l. 14 de αἶνοϲ et αἰνόϲ cf. Ep. Cr. I 72, 8, E. M. 35, 55: αἶνοϲ καὶ αἰνόϲ. προπεριϲπώμενον μὲν ὁ ἔπαινοϲ (ἀπὸ τοῦ ἰαίνω ἴαινοϲ καὶ ἀφαιρέϲει τοῦ $\bar{ι}$ αἶνοϲ ὡϲ ἰήϊοϲ ἤϊοϲ). ὀξυτόνωϲ δὲ ὁ φοβερόϲ ἢ πονηρόϲ καὶ κακόϲ, ἀφ' οὗ καὶ τὸ «αἰνόθεν αἰνῶϲ» (Η 97), γίνεται δὲ παρὰ τὸ δεινόϲ ἀποβολῇ τοῦ $\bar{δ}$ καὶ τροπῇ τοῦ $\bar{ε}$ εἰϲ $\bar{α}$. — Αἶνοϲ proprium ex St. B. addidi, ad Κόλαινοϲ ex Theogn. apposui ὄνομα κύριον atque ex eodem nomina usque ad Ἀρίϲταινοϲ. Περίτταινοϲ pro Πέρταινοϲ cum Lob. Proll. 186 not. 27, cui etiam Μακαρίαινοϲ suspectum est, scribens. Μάζαινοϲ, Δρύαινοϲ, Μελάγχλαινοϲ sunt ex St. B. — οἶνοϲ Herod. in Il. Pr. Λ 72 latiore canone complectitur: φιλεῖ πωϲ τὰ εἰϲ $\overline{\text{οϲ}}$ λήγοντα διϲύλλαβα μονογενῆ ἀπὸ τῆϲ $\overline{\text{οι}}$ διφθόγγου ἀρχόμενα βαρύνεϲθαι, ὁπότε

μέντοι κοινόc τριγενὲc ὥcπερ τὸ δαφοινόc, κελαινόc, καινόc, αἰνόc.

Τὰ εἰc νοc διφθόγγῳ παραληγόμενα τῇ διὰ τοῦ υ μονογενῆ ὀξύνονται, καυνόc καὶ Καυνόc πόλιc Καρίαc ὁμοφώνωc τῷ οἰκιcτῇ. ἔcτι καὶ ἄλλη πόλιc ἐν Κρήτῃ. γλαυνόc (?), βαυνόc, ὅπερ οἱ Ἀττικοὶ βαρύνουcι, κρουνόc· εἰcὶ καὶ Κρουνοί πόλιc ἐν τῷ Πόντῳ ἀπὸ τῆc τῶν ὑδάτων καταρροῆc. βουνόc, κεραυνόc. τὸ μέντοι χαῦνοc τριγενέc. καὶ Χαῦνοc ἔθνοc Θεcπρωτικὸν — Ῥιανὸc τετάρτῳ Θεccαλικῶν «Κεcτρῖνοι Χαῦνοί τε καὶ αὐχήεντεc Ἔλινοι» — βαρύνεται. τὸ δὲ πύραυνοc ὁ χυτρόπουc προπαροξύνεται ὡc καὶ Λούγδουνοc πόλιc Κελτογαλατίαc. Πτολεμαῖοc ἐν περίπλῳ, καὶ Βέρουνοc Ἰταλικὴ πόλιc μεταξὺ τῶν Νωρικῶν.

Τὰ εἰc ανοc τοῦ α βραχέοc ὄντοc, εἰ μὴ θηλυκὰ ἔχοι, εἰ μὴ πρὸ τοῦ α τὸ δ ἢ ε ἢ υ ὑπάρχοι, προπαροξύνεται, cτέφανοc, κλίβανοc, λίβανοc. ἔcτι καὶ Λίβανοc ὄροc τῆc Cυρίαc, χόανοc, γέρανοc, πλάτανοc· ἔcτι δὲ καὶ Πλάτανοι πόλιc Φοινίκηc, Ὄλγανοc υἱὸc Βέρητοc, ἀφ᾽ οὗ ποταμὸc ἐπώνυμοc, Κάντανοc πόλιc Κρήτηc ὡc Ξενίων. Ἴτανοc πόλιc ἐν Κρήτῃ ὁμοφώνωc τῷ οἰκιcτῇ, κοίρανοc· ἔcτι καὶ κύριον ὄνομα μάντεωc. cεcημείωται τὸ πελανόc, οὐρανόc. Ἀλκαῖοc δὲ καὶ εἰc ω ἀποφαίνεται τὸ ὄνομα, ὠρανόc λέγων κατὰ τροπὴν τῆc ου διφθόγγου εἰc τὸ ω καὶ ἄνευ τοῦ υ ὀρανόc. καὶ Cαπφώ «ψαύην δ᾽ οὐ δοκίμωμ᾽ ὀράνω δυcαπάχεα». Cικανόc ἔθνοc· ἔcτι καὶ ποταμὸc Ἰβηρίαc, ὥc φηcιν Ἀπολλόδωροc. τὸ δὲ πιθανόc ἔχει θηλυκόν. τὸ δὲ «δ πρὸ τοῦ α» διὰ τὰ ἀπὸ τοῦ δανοc, ὅτι πάντα ὀξύνεται, χωρὶc εἰ μὴ ὀφθείη πρὸ τοῦ δ τὸ ρ καταλῆγον, οἷον ἑδανόc ὁ ἡδύc, οὐτιδανόc — οἱ δὲ οὔτιc οὐτίδανοc ὡc οὐδάμινοc — ἐλλεδανόc ὁ cυcτρέφων, ῥιγεδανόc, πευκεδανόc, ληθεδανόc,

---

πρὸ τῆc οc cυλλαβῆc cύμφωνον ἢ cύμφωνα ὑπάρχει, φημὶ δὲ διὰ τὸ Οἰόc· οὕτωc γὰρ λέγεται δῆμοc παρ᾽ Ἀθηναίοιc κατ᾽ ὀξεῖαν τάcιν — οἷον οἶκοc, οἶτοc, οἶκτοc, οἶνοc, οἶμοc. Nomina propria Καινόc ἔθνοc Θρᾴκιον· Ἀπολλόδωροc χρονικῶν τετάρτῳ et Καλαινόc κρήνη Λυκίαc ap. Steph. oxytonos scripta sunt. Apud Theogn. κέλαινοc ὁ μέλαc Lobeckius lacunam esse arbitratur sic explendam: Κέλαινοc ὄνομα κύριον, κελαινόc δὲ μέλαc. l. 4 καὶ Καυνόc κτλ. recepi ex St. B. 370, 1, quamquam ap. eum scriptum est Καῦνοc, quum Eustath. ad Dionys. 533 ἡ Καῦνοc, ἣν Ἡρωδιανὸc ἐν τῇ καθόλου προcῳδίᾳ ὀξύνει, referat et etiam Hesych. habeat: καυνόc κλῆροc καὶ πόλιc Ῥόδου. Pro γλαυνόc suspicatur Schmidt. γλουνόc χρυcόc, sed fortasse corruptum est ex γουνόc, de quo Herod. in E. M. 239, 9 loco supra citato. Κρουνοί adieci ex St. B., ex eodem Χαῦνοc et in fine ὡc καὶ Λούγδουνοc κτλ., nam ad accentum spectat annotatio 165, 6 Βέρουνοc ὡc Λούγδουνοc. l. 14 ἢ υ scripsi pro ἢ ι cum Lob. Proll. 181. Λίβανοc proprium adieci ex St. B., γέρανοc ex Choer. Ep. in Psalm. 79, 11: τὰ εἰc νοc ὑπὲρ δύο cυλλαβὰc ἔχοντα πρὸ τέλουc τὸ α cυνεcταλμένον προπαροξύνεται, εἰ μὴ cχηματίζοιτο εἰc θηλυκὸν γένοc, cτέφανοc γέρανοc. cεcημείωται τὸ οὐρανόc, Cικανόc· ἔcτι δὲ τόποc (ex St. B. scr. ποταμὸc) Ἰβηρίαc. Πλάτανοι apposui ex St. B., ipse πλάτανοc adiiciens, ex eodem Ὄλγανοc — Ἴτανοc, ex Ep. Cr. I 369, 22 κοίρανοc. οὐρανόc explevi ex Mon. 7, 18, ubi docetur οὐρανόc unicum in ἄνοc vocabulum esse antepaenultima producta. Cικανόc explevi ex St. B. et Choer. Ep. — ἑδανόc pro ἡδανόc scripsi propter Il. Pr. Ξ 172, οὐτιδανόc explevi ex Il. Pr. Α 293, πευκε-

σφεδανός, Ἀπιδανός ποταμὸς τῆς Τρωάδος «ἐκβάλλων εἰς τὴν ἑσπέριον θάλασσαν» ὡς Δημήτριός φησι κατὰ Τιμοσθένην, Ῥοδανός ποταμός, Ἠριδανός ποταμός, Ἐδδανός, ἀφ᾽ οὗ Ἔδδανα πόλις πρὸς τῷ Εὐφράτῃ. ἐφυλάξατο δὲ ὁ κανὼν «τὸ ρ̄ πρὸ τοῦ δ̄ ὑπάρχον» διὰ τὸ Δάρδανος πόλις Τρωάδος. Μνασέας «Δάρδανος ἐξιὼν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τὸ παλλάδιον ἀράμενος ἀφίκετο εἰς Σαμοθρᾴκην μετὰ Ἁρμονίας καὶ Ἰασίωνος ἑνὸς τῶν ἀδελφῶν, κἀκεῖ διάγοντα Κάδμος ὁ Ἀγήνορος ἐφιλοποιήσατο, καὶ ἀποθανούσης Τηλεφάης γαμεῖ τὴν Ἁρμονίαν ὁ Κάδμος καὶ ἀποστέλλει τὸν Δάρδανον εἰς τὴν Ἀσίαν μετὰ τῶν ἑταίρων πρὸς Τεῦκρον τὸν Τρῶα· ὁ δὲ Τεῦκρος ἀναγνωρίσας τὸν Δάρδανον δίδωσιν αὐτῷ τὴν θυγατέρα Βάτειαν καὶ ἀποθνήσκων τὴν βασιλείαν. καὶ πόλιν ᾤκισε Δάρδανον καὶ Δαρδανίαν τὴν χώραν ὠνόμασεν, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο». Ἰάρδανος ποταμὸς Λυδίας. Ὅμηρος «Ἰαρδάνου ἀμφὶ ῥέεθρα» (Il. Η 135), ἃ προπαροξύνονται. «τὸ δὲ ε̄ πρὸ τοῦ ᾱ» διὰ τὸ ὠκεανός ὁ ποταμὸς ὁ περιέχων τὴν γῆν. Φαβωρῖνος ἐν ταῖς παντοδαπαῖς ἱστορίαις «προσαγορεύουσι δὲ τὴν ἔξω θάλατταν ἐκεῖ μὲν οἱ πολλοὶ τῶν βαρβάρων Ὠκεανόν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες μεγάλην θάλασσαν, οἱ δὲ Ἕλληνες Ἀτλαντικὸν πέλαγος». ἐκλήθη δὲ οὕτως παρὰ τὸ ὠκέως νάειν, ὅ ἐστι ῥεῖν. καὶ «τὸ ῡ πρὸ τοῦ ᾱ» διὰ τὸ πυανός καὶ κυανός.

Τὰ διὰ τοῦ α̅ν̅ο̅ς̅ τριγενῆ ὀξύνεται, στεγανός ὁ πυκνός, πιθανός ὁ πρᾶος, ἱκανός, ὀρφανός, ἀγανός, τραγανός, ἰδανός «σὰς ἰδανὰς χάριτας» ὁ Καλλίμαχος, ἐδανός, πεδανός, ῥοδανός.

* Τὰ διὰ τοῦ α̅ν̅ο̅ς̅ τοῦ ᾱ ἐκτεταμένου ὀξύνεται, Ἀγκυρανός, Ἀσιανός, Καρδιανός, Ὀλβιανός, Φασιανός, Τραλλιανός, Σαρδιανός, Παριανός, Βοσποριανός, Κιανός, Τιανός, Ζυγιανός, Ταυριανός, Σκορπιανός. Τοξιανός ἔθνος Ταυρικὸν τὸ καὶ Τόξιοι. Ἱσπανός, Καρμανός, Καμπανός, Γερμανός, Βρεττανός, Ὠρετανός, Ἀφρικανός, Ἀλβανός, Ὑρκανός. Ἀλαμανός ἔθνος Γερμανοῖς πρόσχωρον. Ἀλανός ὄρος Σαρματίας. Ἀμενανός ποταμὸς Σικελίας. Ἀρβαξανός ἔθνος Λιγυστικόν «παρέπλεον δὲ τὴν χώραν τὴν μὲν πρώτην ἔρημον, ἣν ἐνέμοντο πρότερον Ἰψίκουροι

δανός — σφεδανός ex hoc loco et Π 372 addidi, Ἀπιδανός explevi ex St. B. 105, 6, Ῥοδανός — Ἐδδανός ex eodem apposui. — Ἄδανος ap. St. B. 25, 1 Γῆς καὶ οὐρανοῦ παῖς a norma discedit, sed prosodiam huius vocis incertiorem dicit Lob. Proll. 181. A canone aberrat Ἀζανοί sive Αἰζανοί πόλις Φρυγίας, cuius α quum breve sit, ut ex Hermesianact. El. I 44 apparet, proparoxytonos scribi debuit.

l. 4 Δάρδανος explevi ex St. B. — Ἰάρδανος scripsi pro Ἰόρδανος collato St. B. 322, 14. Verba τὸ δὲ ε̄ πρὸ τοῦ ᾱ addidi secundum ipsum Arcadii canonem ex Theogn. 67, ubi quae praeterea exstant Μυρλεανός, Κτεανός (Τεανός Lob.), ὠκεανός ad canonem de exitu α̅ν̅ο̅ς̅ cum ᾱ producto pertinent; caeterum explevi ὠκεανός ex St. B. in fine καὶ τὸ ῡ κτλ. adieci auctore Lobeckio. l. 22 nomina inde ab ὀρφανός — ῥοδανός accesserunt ex Il. Pr. Ξ 172 et Mon. 7, 18. l. 24 canonem ipse finxi ex nominibus ap. St. B. prolatis, ubi diserte p. 577, 8 Σκορπιανός ἔθνος· Ἡρωδιανὸς ἑβδόμῃ «Ζυγιανός, Ταυριανός, Σκορπιανός» et 628, 14 Τόξιοι καὶ Τοξιανοί ἔθνος Ταυρικόν. Ἡρωδιανὸς ἑβδόμῃ; praecipue autem consului praeceptum 'de derivatione ethnicorum in α̅ν̅ο̅ς̅ s. Ἄγκυρα, ad quod in

καὶ Ἀρβαξανοί» Θεόπομπος τεσσαρακοστῷ τρίτῳ. Ἀγριανός ἔθνος προσεχὲς τοῖς Καδουσίοις. Ἀπολλόδωρος δευτέρῳ. Ἀσπουργιανός ἔθνος τῶν περὶ τὴν Μαιῶτιν λίμνην. Στράβων ἑνδεκάτῃ (p. 495) «τούτων δ' εἰσὶ καὶ Ἀσπουργιανοὶ μεταξὺ Φαναγορείας οἰκοῦντες καὶ Γοργιππίας». Βελιτανοί οἱ αὐτοὶ τοῖς Λουσιτανοῖς ὡς Ἀρτεμίδωρος ἐν τρίτῃ γεωγραφουμένων. Σινοεσσανοί ἔθνος Ἰταλικόν, ὡς Πολύβιος ἐν τρίτῳ. Φρουρεντανός ἔθνος Ἰταλίας. Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. Φωρμανοί πόλις Ἰταλίας καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Μυρλεανός, Τεανός, ἀκεανός. τὸ δὲ Κάρβανος ἀπὸ γενικῆς εὐθεῖα παραγομένη βαρύνεται.

* Τὰ εἰς ενος μὴ ὄντα μετοχικὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Ἕλενος ὄνομα κύριον, ἔβενος εἶδος ξύλου, Ὤγενος ἀρχαῖος θεός, Ὤλενος πόλις Ἀχαΐας καὶ Αἰτωλίας θηλυκῶς λεγομένη. Αἰσχύλος Καρσίν «τὴν αἰπεινὴν ζαθέαν Ὤλενον». Σοφοκλῆς ἐν Ἱππόνῳ «ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι». Ἀπολλόδωρος δὲ ἀρσενικῶς αὐτήν φησιν ἐν τῇ η' τοῦ νεῶν καταλόγου «τὸν Ὤλενον καὶ τὴν Πυλήνην νῦν μὲν οὐκέτι εἶναι συμβέβηκε». κέκληται δὲ ἀπὸ Ὠλένου τοῦ Διός, ὡς Ἴστρος ἐν Αἰγυπτίων ἀποικίαις «τῶν δὲ Δαναΐδων Ἀναξιθέας καὶ Διὸς Ὤλενον γενέσθαι τὸν ἄρξαντα τῶν Ὠλενίων». ἔστιν οὖν καὶ ἄλλη Αἰτωλίας, ἧς Ὅμηρος μνημονεύει «οἳ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην» (Il. B 639). Τήμενος, ἀφ' οὗ Τημένιον χωρίον Μεσσήνης. ἄφενος, Ἴσχενος, τέρενος, ὅπερ ἀπὸ τῆς τέρενος γενικῆς εὐθεῖα γίνεται. σεσημείωται τὸ παρθένος μόνον παροξυνόμενον.

Τὰ διὰ τοῦ μενος μετοχικὰ ὀξύνονται, εἰ μὴ πάθος τι γένηται παρὰ τὴν φωνήν, τότε γὰρ προπαροξύνεται. τὰ δὲ ὀξύτονα ταῦτα· Στησαμενός, Ἀκεσαμενός «Ἀκεσσαμενοῖο θυγατρῶν» (Φ 142). Φαμενός. Σοφοκλῆς Μάντεσι

ξυνετὸς
Φαμενὸς Τειρεσίου παῖς.

Ἰαμενός, Σωζομενός, Δεξαμενός, Μεσόλου παῖς, ἀφ' οὗ Δεξαμεναί, Τισαμενός· λέγεται δὲ ὁ Ὀρέστης. Κλαυσαμενός. καταλέγεται δὲ ἐν μαλακοῖς. Ἀγχομενός

γενναία,
Βοιωτὶς δ' ἦν ἐξ Ἀγχομενοῦ

---

libro περὶ παρωνύμων recurram. Κάρβανος recepi secutus St. B. 357, 13. l. 11 hunc canonem addidi ex Mon. 8, 27 et Theogn. 67, 6. Ὤγενος recepi ex St. B. 705, 14, Ὤλενος ex eodem explevi, ἄφενος Ἴσχενος ex Theogn. adieci, postremum videtur idem nomen esse atque Ἰσχένοος ap. Herodotum, τέρενος ex Ep. Cr. I 413, 14: τέρενος, ὅπερ ἀπὸ τῆς τέρενος γενικῆς εὐθεῖα γίνεται. ἐκ τούτου τερενώτερος «ναρκίσσου τερενώτερον». ὁ δὲ Ἀντίμαχος ἀπὸ τοῦ τέρενος εἶπε κατὰ συγκοπὴν τερέντερον ἀπὸ τοῦ τερενώτερος. καὶ παρὰ Ἀλκαίῳ θηλυκόν «τερένας ἄνθος ὀπώρας». l. 26 ad Ἀκεσαμενός verba Homerica apposui ex An. Ox. II 321, 1, ubi hic tonicus canon in orthographicum transversus est. Φαμενός explevi ex Mon. 8, unde etiam Δεξαμενός, quod ex St. B. explevi, — Ἀγχομενός recepi, Δεξαμενός et Τισαμενός proferuntur etiam in Il. Pr. Φ 142: ὀξυτονητέον τὸ Ἀκεσαμενός, ἵνα ὄνομα γένηται· οὕτως δὲ ἔχει καὶ Δεξαμενός, Τισαμενός,

Ἀριϲτοφάνηϲ Ταγηνιϲταῖϲ. τὸ Ἰάλμενοϲ προπαροξύνεται ὡϲ παθόν, ὥϲπερ καὶ Ὄρμενοϲ, Κλύμενοϲ, ἴκμενοϲ, Ἄρμενοϲ, ἀφ' οὗ Ἀρμενία χώρα.

Τὰ εἰϲ ηνοϲ ὑπερδιϲύλλαβα μὴ ϲύνθετα ὀξύνεται, εἰ μὴ παρώνυμα εἴη κατὰ τροπὴν γένουϲ θηλυκοῦ εἰϲ τὴν εἰϲ οϲ κατάληξιν γενόμενα ἢ παρὰ γενικῆϲ ἀναπεμφθέντα, ἢ παρὰ Ϲυρακουϲίοιϲ παράγοιτο καθ' ὁμοιωματικὴν ϲημαϲίαν. ὀξύνονται δὲ ταῦτα· Τυρϲηνόϲ, Ἀβυδηνόϲ, Ἀϲϲακηνόϲ ἔθνοϲ Ἰνδικόν. Ἀρριανὸϲ τετάρτῃ τῆϲ Ἀλεξάνδρου ἀναβάϲεωϲ (25, 6) «ᾔει ὡϲ ἐπὶ τοὺϲ Ἀϲϲακηνούϲ». Ἀταφηνόϲ ἔθνοϲ μέγα Ἀραβίαϲ, περὶ οὗ Γλαῦκοϲ ἐν δευτέρῳ. Δαχαρηνόϲ ἔθνοϲ Ἀραβίαϲ. Εὐαληνόϲ ἔθνοϲ Ἀραβίαϲ, περὶ οὗ φηϲι Γλαῦκοϲ ἐν δευτέρῳ περὶ Ἀραβίαϲ. Ἰβηνόϲ ὁ καὶ Ἰβαῖοϲ ἔθνοϲ Κελτικῆϲ. Ἰβηνοὶ δ' εἰϲὶ καὶ Λιβύηϲ, οἳ καὶ Ἰαονῖται λέγονται. Ϲαμηνόϲ νομάδων Ἀραβίων ἔθνοϲ. Ϲαλμηνόϲ ἔθνοϲ νομαδικόν, ὡϲ Γλαῦκόϲ φηϲιν ἐν . . . Ἀραβικῆϲ ἀρχαιολογίαϲ. Ϲακχηνόϲ ἔθνοϲ Ἀράβιον. Ϲκυθηνόϲ ἔθνοϲ οὐ πόρρω τῶν Μακρώνων, ὡϲ Ξενοφῶν ἐν ἀναβάϲεωϲ τετάρτῳ (7, 18). Χαβαρηνόϲ ἔθνοϲ. Εὔδοξοϲ πρώτῳ γῆϲ περιόδου «ὀνομάζονται γὰρ καὶ Χαβαρηνοὶ οἱ περὶ Χαλύβων οἰκοῦντεϲ, οἳ τῶν ξενικῶν γυναικῶν, ὧν ἴϲωϲ γένωνται κύριοι, τοὺϲ τίτθουϲ ὠμοὺϲ ἐϲθίουϲι, τὰ δὲ παιδία κατευωχοῦϲι». Ἐδεϲϲηνόϲ, Ϲαρακηνόϲ, Δαμαϲκηνόϲ, Περγαμηνόϲ, Λαμψακηνόϲ. Ἀλπηνοί κώμη πληϲίον Θερμοπυλῶν. Ἡρόδοτοϲ. ἔϲτι καὶ μητρόπολιϲ Λοκρῶν. τὸ ἐθνικὸν ὁμοίωϲ. Καμαρηνοί νῆϲοι Ἀραβίων. Ἑκαταῖοϲ ἐν περιηγήϲει· καὶ οἱ κατοικοῦντεϲ ὁμοίωϲ. Ταβηνόϲ Ἀργεῖοϲ, ἀφ' οὗ κατ' ἐνίουϲ Τάβαι πόλιϲ Λυδίαϲ, καὶ ἔθνοϲ κατὰ τὴν ἔρημον Καρμανίαϲ οἰκοῦντεϲ. Γαληνόϲ κύριον, Ἀκεϲηνόϲ ποταμόϲ, Εὐηνόϲ ποταμὸϲ Αἰτωλίαϲ, ὃϲ καὶ Λυκόρμαϲ καλεῖται, Ϲιληνόϲ, ποτηνόϲ, ὠγηνόϲ, ἀμενηνόϲ, γαλαθηνόϲ, πετηνόϲ, ἀκμηνόϲ, Ἰϲμηνόϲ ποταμὸϲ Βοιωτίαϲ. τὸ δὲ πανϲέληνοϲ ϲύνθετον ὥϲπερ καὶ τὸ προϲέληνοϲ — ὁ Ἀρκάϲ. Ἵππυϲ δὲ ὁ Ῥηγῖνοϲ λέγεται πρῶτοϲ καλέϲαι προϲελήνουϲ τοὺϲ Ἀρκάδαϲ — καὶ τὸ δύϲτηνοϲ, δίμηνοϲ, τρίμηνοϲ, διχόμηνοϲ. προϲέθηκα δὲ «εἰ μὴ παρώνυμα εἴη κατὰ τροπὴν γένουϲ θηλυκοῦ εἰϲ τὴν εἰϲ οϲ κατάληξιν γενόμενα» διὰ τὸ Ὑπήνη Ὕπηνοϲ, Μυκήνη Μύκηνοϲ, Κυλλήνη Κύλληνοϲ. «ἢ παρὰ γενικῆϲ ἀναπεμφθέντα» διὰ τὸ Τροίζηνοϲ «υἱὸϲ Τροιζή-

---

quod posterius explevi ex An. Ox. l. c. l. 2 Ἄρμενοϲ addidi ex St. B. l. 4 pro ἁπλᾶ ἢ παραϲύνθετα scripsi μὴ ϲύνθετα. Nomina Ἀϲϲακηνόϲ usque ad Χαβαρηνόϲ ex St. B. addidi, Ἐδεϲϲηνόϲ — Λαμψακηνόϲ ex Theogn. p. 67; Ἀλπηνοί — Ταβηνόϲ ex St. B., Γαληνόϲ — Εὐηνόϲ ex Theogn., postremum ex St. B., ubi Εὔηνοϲ scriptum est, amplificatum. Ϲιληνόϲ — ἀκμηνόϲ, quod pro corrupto ἀργηνόϲ substituendum videtur, ex Theogn., Ἰϲμηνόϲ ex St. B., προϲέληνοϲ ex St. B., διχόμηνοϲ ex Theogn. Cum δύϲτηνοϲ comparari potest ἄϲτηνοϲ δύϲτηνοϲ χαλεπόϲ Hesych., quod Heins. et Henr. Steph. ex E. M. 159, 11 παρὰ τὸ ϲτάϲιν μὴ ἔχειν μήτε οἴκηϲιν et Suida gravant, Lobeck. Proll. 192 ut a verbo ἀϲταίνω ductum acuit. cf. Schmidt. ad Hesych. — Canonis extremam partem inde a l. 31 προϲέθηκα usque ad finem ipse composui Arcadii vestigia secutus adhibito Theognosto de Ὕπηνοϲ, Μύκηνοϲ, Κύλληνοϲ, quibus fortasse Ϲύηνοϲ (sic enim ap. Steph. scriptum est) a Ϲυήνη addi potest, et de Τροίζηνοϲ consultis Herod.

νοιο» (B 847). ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ· οὕτω καὶ ὁ Γέρην τοῦ Γέρηνος ὁ Γέρηνος· Ἡσίοδος ἐν α΄ καταλόγων «κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ ξεῖνος ἐὼν ἐτύχησε παρ᾽ ἱπποδάμοισι Γερήνοις». καὶ αὖθις «Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμοέντι Γερήνῳ». πρόσκειται δὲ «εἰ μὴ παρὰ Συρακουσίοις παράγοιτο καθ᾽ ὁμοιωματικὴν σημασίαν» διὰ τὸ τοσσῆνος, τοιῆνος.

Τὰ εἰς ῑνος ὑπερδισύλλαβα τὸ ῐ βραχὺ ἔχοντα σημαίνοντα μετουσίαν προπαροξύνεται, κρίθινος, δάφνινος, φήγινος, πύρινος, ξύλινος, λίθινος, δρύϊνος, πέτρινος, γήϊνος, δερμάτινος, βύσσινος. τούτοις ὅμοια καὶ τὸ κότινος καὶ κόφινος προσηγορικὰ καὶ τὰ κύρια, Σίκινος νῆσος περὶ τὴν Κρήτην. Στράβων δεκάτῃ (p. 484). Μύρσινος πόλις Ἤλιδος «καὶ Μύρσινος ἐσχατόωσα» (B 616) καὶ τὰ κτητικὰ Βίβλινος «Βίβλινος οἶνος» ἀπὸ Βιβλίνης χώρας Θρᾴκης. Βολβίτινος «Βολβίτινον ἅρμα» ἀπὸ Βολβιτίνης πόλεως Αἰγύπτου. τὰ μέντοι ἐπὶ καιροῦ ἢ ἀπὸ ἐπιρρήματος ὀξύνεται οἷον θερινός, χειμερινός, ἐαρινός, ἑσπερινός, νυκτερινός, ἑωθινός, δειλινός, μετοπωρινός, πρωϊνός, ὀψινός, χθεσινός, περυσινός, αὐρινός. παρὰ μέντοι ποιητῇ κατ᾽ ἔκτασιν ἀναγινώσκομεν τοῦτο ἐπιζητοῦντος τοῦ μέτρου «ὡς δ᾽ ὅτ᾽ ὀπωρινὸς βορέης» (Φ 346) καὶ

in Il. Pr. B 847 et Theogn. et St. B., unde etiam Γέρηνος. — τοσσῆνος τοιῆνος sumpsi ex Ahrensio de dial. Dor. 270 not. 7 et Lob. Proll. 191. — De ἀκμηνός accuratiora proponere dubitavi, quia testimonia inter se discrepant: Ep. Cr. I 74, E. M. 49, 30, Schol. ad Ψ 191, Eustath. 1944, 30 cf. Lehrs Arist. p. 300 c. not. (ed. II) et Lob. Proll. 191. In E. Gud. 26, 36 legimus: ἀκμηνός ὁ ἄγευστος καὶ ἄσιτος καὶ ἀκοπίαστος — ἀκμηνός ὁ θάλλων καὶ αὔξων, Ep. Cr.: ἄκμηνος: ὁ ἄγευστος «ἄκμηνος σίτοιο» (T 163). Ἀρίσταρχος σύνθετον αὐτό φησιν εἶναι παρὰ τὸ ᾱ στέρησιν καὶ τὸ ἀκμῆνος (Lob. κμηνός). ἀλλ᾽ οὐκ ἔστι λέξιν εὑρεῖν ἀπὸ τοῦ κ̄ ἀρχομένην. ἀλλ᾽ εἴ τις δοίη εἶναί τι τοιοῦτον, ὤφειλεν ὀξύνεσθαι ὁμοίως τῷ ἀμενηνός. ὁ γὰρ διὰ τοῦ ηνος τύπος ποθεῖ τὴν ὀξεῖαν τάσιν· τινὲς δὲ παρὰ τὸ ἀκμή ἄκμηνος ὁ ἀκμάζων κτλ. E. M. ἄκμηνος λέγεται καὶ ἐπὶ τοῦ ἀκμάζοντος Ὀδυσσείας ψ 191 «Θάμνος ἔην τανύφυλλος ἐλαίης, ἑρκέων ἐντὸς ἄκμηνος, θαλέθων». ὁ θάλλων καὶ ἀνθῶν· παρὰ τὸ ἀκμή, ὃ σημαίνει τὴν ἡλικίαν. τοῦτο παρὰ τὸ ἄγω ἀγή καὶ πλεονασμῷ τοῦ κ̄ καὶ τροπῇ τοῦ γ̄ εἰς μ̄ ἀκμή ἄκμηνος. ἄκμηνος σίτοιο, ἄγευστος, ἄσιτος διὰ τοῦ η̄. ὁ γὰρ διὰ τοῦ ηνος τύπος τὴν ὀξεῖαν ποθεῖ. καὶ οἱ μὲν ἁπλῆν παρὰ τὴν ἀκμὴν λέγουσιν. οὕτω γὰρ τὴν ἀσιτίαν οἱ Αἰολεῖς λέγουσιν. οἱ δὲ σύνθετον κατὰ στέρησιν τοῦ κομεῖν, ὡς δηλοῖ τὸν ἀτημέλητον. οἱ δὲ κατὰ στέρησιν τῆς ἰκμάδος. οἱ δὲ τὸν κεκμηκότα περὶ τὰ σιτία. ὁ δὲ Ἀρίσταρχος λέγει τὸν ἄκμηνον προπαροξυτόνως παρὰ τὴν ἀκμήν, Θέων δὲ ὀξύνεσθαι ἀξιοῖ ὡς ἀγαθός. ἔνιοι δὲ προπερισπῶσιν. ἢ παρὰ τὴν ἀκτὴν τὸν σῖτον. Eustath.: ἀκμηνός νῦν ὀξύνεται· φασὶ γὰρ ὅτι Ἀρίσταρχος ἐνταῦθα μὲν ἐπὶ τοῦ «θάμνος ἀκμηνός» ὅ ἐστιν ἀκμὴν ἔχων τοῦ νεάζειν, ὠξυτόνησεν, ἐν δὲ Ἰλιάδι ἐπὶ τοῦ δηλοῦντος τὸν νῆστιν ἐβαρυτόνησεν· ἕτεροι δέ, φασιν, καὶ τὰ δύο προπαρωξυτόνησαν. l. 10 nomina inde a δρύϊνος — δερμάτινος ex Theogn. 67, 15, βύσσινος ex St. B. 190, 19, qui etiam γήϊνος μετουσιαστικὸν habet 206, 19, κότινος et κόφινος ex Theogn., Σίκινος, Μύρσινος, Βίβλινος, Βολβίτινος ex St. B., qui etiam Τίκινος πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος habet, quod ex canone properispomenon esse debuit; omisi etiam Μύρκινος τόπος καὶ πόλις κτισθεῖσα παρὰ τῷ Στρυμόνι ποταμῷ. Παρθένιος δὲ Μυρκιννίαν αὐτήν φησιν, quia mensura in incerto est; praeterea Ἔλινοι ἔθνος Θεσπρωτικὸν Ῥιανὸς δ΄ Θεσσαλικῶν, quod p. 267, 10 sic, p. 689, 21 Ἐλινοί scriptum est, sed quum paenultima producta sit, potius circumflectendum fuit. l. 17 ἐαρινός — ἑωθινός sunt ex Dichr. 293, 24, reliqua usque ad περυσινός ex Theogn., αὐρινός ex Choer. Orth. 179, 23, πεδινός a πέδοι ex An. Ox. II 327, 17. παρὰ μέντοι ποιητῇ — ἐναλίγκιον ex Dichr., inde

πάλιν «ἀςτέρ᾽ ὀπωρινῷ ἐναλίγκιον» (Ε 5). ταχινόϲ, ἀληθινόϲ, λεπτακινόϲ, οὐδαμινόϲ, φυζακινόϲ, πυκινόϲ, ῥαδινόϲ, πεδινόϲ.

Τὰ εἰϲ ῑνοϲ μακρὸν ἔχοντα τὸ ῑ ὅϲα ἐν ὕδατι διαιτᾶται, προπεριϲπᾶται, ἐχῖνοϲ· ἔϲτι καὶ μάντεωϲ ὄνομα· ἔϲτι καὶ Ἐχῖνοϲ πόλιϲ Ἀκαρνανίαϲ Ἐχίνου κτίϲμα. ἔϲτι καὶ Θεϲϲαλίαϲ. Ῥιανὸϲ «Ἐχίονοϲ ἄϲτυ» ταύτην εἶπεν. τινὲϲ δὲ καὶ Ἐχινοῦντά φαϲι τὴν αὐτήν. κορακῖνοϲ, φοξῖνοϲ. ϲεϲημείωται τὸ καρκίνοϲ παροξυνόμενον ἐπί τε τοῦ ζῳδίου τοῦ ἐν οὐρανῷ ὁμοίωϲ καὶ τοῦ θαλαϲϲίου ἢ ἐπιγείου ἢ καὶ κυρίου καὶ τοῦ ἐργαλείου· οὐ γὰρ ὑγιῶϲ τινεϲ τοῦτο προπαροξύνουϲιν. ἐχρῆν δὲ προπεριϲπᾶϲθαι τὸ καρκίνοϲ. καὶ τὸ γυρῖνοϲ προπεριϲπᾶται ὁ μικρὸϲ βάτραχοϲ. τούτοιϲ δὲ ὁμοίωϲ καὶ τὸ ἰκτῖνοϲ ὁ ὄρνιϲ καὶ τὸ κύριον. Ἰκτῖνοϲ δὲ παρὰ Ἀττικοῖϲ οὐκ ἄϲημοϲ δημιουργόϲ.

Τὰ εἰϲ ῑνοϲ ἔχοντα τὸ ῑ μακρὸν προϲηγορικὰ βαρύνεϲθαι θέλει, κάμινοϲ, κύμινοϲ, κυκλάμινοϲ. ϲπάνια δὲ τὰ ὀξύτονα ἐρινόϲ ὁ ἐρινεόϲ καὶ ὁ χαλινόϲ.

Τὰ εἰϲ ῑνοϲ τὸ ῑ μακρὸν ἔχοντα κύρια, ἐθνικὰ ἢ ἐπιθετικὰ ἢ ὑποκοριϲτικῶν ἔννοιαν ἔχοντα προπεριϲπῶνται, Φιλῖνοϲ, Κρατῖνοϲ, Ἐχῖνοϲ τὸ κύριον, Γεντῖνοϲ πόλιϲ Τρῳάδοϲ, Γρηϲῖνοϲ πόλιϲ Χερρονήϲου, Ϲτουῖνοϲ πόλιϲ Λιγύρων καὶ ὁ πολίτηϲ ὁμοφώνωϲ. Ὑρτακῖνοϲ πόλιϲ Κρήτηϲ, ἢ καὶ Ὑρτακόϲ, καὶ ὁ πολίτηϲ ὁμωνύμωϲ. Φαιϲτῖνοϲ πόλιϲ Κρήτηϲ, ἢ καὶ Φαῖϲτοϲ, Κεϲτρῖνοϲ ἥρωϲ καὶ ἔθνοϲ, Ῥιανὸϲ τετάρτῳ Θεϲϲαλικῶν «Κεϲτρῖνοι Χαῦνοί τε καὶ αὐχήεντεϲ Ἐλινοί», Ἐρυθῖνοϲ πόλιϲ Παφλαγονίαϲ· λέγεται δὲ παρὰ τὸ ἔρευθοϲ. Ἀπολλώνιοϲ «αἰπεινούϲ τε παρὲξ ἐνέοντ᾽ Ἐρυθίνουϲ» (Argonaut. 2, 941). καὶ Ὅμηροϲ «καὶ ὑψηλοὺϲ Ἐρυθίνουϲ» (Β 855) καὶ τὸ ἐθνικὸν ὅμοιον. Λαμητῖνοϲ πόλιϲ Ἰταλίαϲ ἀπὸ Λαμήτου ποταμοῦ πρὸϲ Κρότωνι. Ἑκαταῖοϲ Εὐρώπῃ «ἐν δὲ Λάμητοϲ ποταμόϲ, ἐν δὲ Λαμητῖνοι». καὶ ὁ πολίτηϲ Λαμητῖνοϲ. Λατῖνοϲ, Λεοντῖνοϲ, Ῥηγῖνοϲ, Μαμερτῖνοϲ, Ἀκραγαντῖνοϲ, Ἰναχῖνοϲ, Ταραντῖνοϲ, Ϲαβῖνοϲ, Νουκερῖνοϲ. Πολύβιοϲ τρίτῳ. Νεπεϲῖνοϲ ἀπὸ τοῦ Νέπετοϲ κατὰ τροπὴν τοῦ

---

usque ad finem ex Theogn. et Choer. Orth. l. c., An. Ox. l. c., Epim. in Psalm. 131, 29. l. 4 hunc canonem explevi et correxi secutus Lobeck. Proll. 207 et Mon. 20, 17. — ἐχῖνοϲ explevi ex St. B. Post φοξῖνοϲ leguntur ap. Arcadium καρκῖνοϲ. ἐχρῆν καὶ γυρῖνοϲ προπεριϲπᾶϲθαι ὁ μικρὸϲ βάτραχοϲ. In fine ἰκτῖνοϲ et Ἰκτῖνοϲ apposui ex Eustath. 1825, 10: ὅτι καὶ Ἀττικὴ λέξιϲ ὁ δημιουργόϲ, δηλοῖ καὶ Ἡρωδιανὸϲ ἱϲτορῶν, ὅτι Ἰκτῖνοϲ παρὰ Ἀττικοῖϲ· οὐκ ἄϲημοϲ δημιουργὸϲ ὁμώνυμοϲ τῷ ὄρνιθι, οὗ καὶ τὴν περιϲπωμένην φυλάϲϲει ἐν τῇ παραληγούϲῃ. Unde efficitur Theognostum ἴκτινοϲ proparoxytonos scribentem scripturae tantum per ῑ, non accentus memorem fuisse, sicut etiam nomina brevi et producto ῑ praefinita commiscet. l. 14 priorem canonis partem usque ad κυκλάμινοϲ ex vocabulis a Theognosto prolatis composui. De χαλινόϲ An. Ox. II 423, 10: τὰ διὰ τοῦ ῑνοϲ ὀνόματα ὀξύτονα μὴ ὄντα παρώνυμα διὰ βραχέοϲ τοῦ ῑ οἷον πυκινόϲ, ἀληθινόϲ πλὴν τοῦ χαλινόϲ. τοῦτο δὲ ὅτι ἐϲτὶ καὶ οὐδέτερον τὰ χαλινά. ὡϲ οὖν διαλλάξαν κατὰ τὰ ἄλλα, διήλλαξε καὶ κατὰ τὸν χρόνον. l. 19 Nomina inde a Γεντῖνοϲ praeter Λατῖνοϲ usque ad Μαμερτῖνοϲ, quae ap. Arcad. exstant, ex Steph. Byz., qui de Ἀκραγαντῖνοϲ diserte edicit: τὸ ἐθνικὸν Ἀκραγαντῖνοϲ ὡϲ Ἰναχῖνοϲ Ταραντῖνοϲ, ὥϲ φηϲιν Ἡρωδιανόϲ. Ἐρυθῖνοϲ

ῑ εἰς ϲ. Ἀργυρῖνοϲ ἔθνοϲ Ἠπειρωτικόν, ὡϲ Τίμαιοϲ καὶ Θέων καὶ Λυκόφρων «εἰϲ Ἀργυρίνουϲ καὶ Κεραυνίων νάπαϲ» (v. 592). Βουδῖνοϲ ἔθνοϲ Cκυθικόν, παρὰ τὸ δινεύειν ἐπάνω ἁμαξῶν ὑπὸ βοῶν ἑλκομένων. ἁμαξόβιοι γὰρ οἱ Cκύθαι. Παρμένων ὁ Βυζάντιοϲ ἐν ἰάμβων πρώτῳ. Βουλῖνοϲ ἔθνοϲ περὶ Ἰλλυρίαν. Ἀρτεμίδωροϲ δὲ οὐκ ἔθνοϲ, ἀλλὰ Βουλίνην πόλιν φηϲίν, ἧϲ τὸ ἐθνικὸν Βουλῖνοϲ. Δωνεττῖνοϲ, ἔθνοϲ Μολοϲϲικόν. Ῥιανὸϲ δʹ Θεϲϲαλικῶν «αὐτὰρ Δωνεττῖνοι ἰδ᾽ ὀτρηροὶ Κεραΐνεϲ» καὶ ἐν τῇ ζʹ «ἑπτὰ δὲ Δωνεττῖνοι, ἀτὰρ δυοκαίδεκα κᾶρεϲ». Λιβυϲτῖνοϲ ἔθνοϲ παρακείμενον Κόλχοιϲ, ὡϲ Διόφαντο ἐν πολιτικοῖϲ. Ἀγαθῖνοϲ. Ἅβρων ἐν τῷ περὶ παρωνύμων τοῖϲ ἐθνικοῖϲ καὶ τοῦτο ϲυνέμιξεν. εἰ δὲ καὶ κύριον εἴη τὸ Ἀγαθῖνοϲ, οὐκ ἀπεικὸϲ ϲημαίνειν ἀμφότερα. Cχοινεύϲ γὰρ καὶ κύριον καὶ ποταμοῦ καὶ ἐθνικὸν καὶ Λίξοϲ, ὁμοίωϲ Θεϲϲαλόϲ καὶ Cικανόϲ καὶ Cικελόϲ καὶ μυρία. Ἀμοργῖνοϲ τὸ ἐθνικόν, τὸ δ᾽ ἀμόργινοϲ χιτὼν χρώματοϲ ἴδιον ἀγρωϲτῖνοϲ, ἀγχιϲτῖνοϲ, προμνηϲτῖνοϲ ἐπιθετικά. παλλακῖνοϲ ὑποκοριϲτικόν. τὸ δὲ λαρινόϲ «λαρινῷ βοΐ» (Aristoph. Pac. 925) ὀξύνεται ὡϲ ἀληθινόϲ.

Τὰ εἰϲ ειν̅ο̅ϲ̅ ὑπερδιϲύλλαβα ἁπλᾶ παρώνυμα ὀξύνεται, φαεινόϲ, ϲκοτεινόϲ, ἀλγεινόϲ, βορεινόϲ, ταπεινόϲ τὸ ἐπίθετον. ἐλεεινόϲ, αἰπεινόϲ, ὀρεινόϲ, ποθεινόϲ, φωτεινόϲ καὶ τὸ κύριον ὁμοίωϲ. τὸ δὲ εὔξεινοϲ ϲύνθετον ὂν προπαροξύνεται.

* Τὰ διὰ τοῦ ο̅ν̅ο̅ϲ̅ ὑπὲρ δύο ϲυλλαβὰϲ προπαροξύνεται, Μύκονοϲ υἱὸϲ Ἀνίου τοῦ Καρυϲτοῦ καὶ Ῥοιοῦϲ τῆϲ Ζάρηκοϲ καὶ ἀπ᾽ αὐτοῦ Μύκονοϲ μία τῶν Κυκλάδων. Θουκυδίδηϲ τρίτῃ (c. 29) καὶ Cτράβων

---

etiam in Il. Pr. B 855 affertur: Ἐρυθίνουϲ ὡϲ Ἀκραγαντίνουϲ. Quum canon etiam ἐπιθετικὰ complectatur, addidi ἀγρωϲτῖνοϲ ex Steph. Byz. 22, 8 appositis ἀγχιϲτῖνοϲ προμνηϲτῖνοϲ, quae quamquam in nullo fonte reperiuntur, tamen ab Herodiano memorata fuisse verisimile est. παλλακῖνοϲ ὑποκοριϲτικόν addidi propter canonis verba: ὑποκοριϲτικῶν ἔννοιαν ἐχόντων ex E. M. 793, 45, qui locus eximie cum Arcadio congruit: Φιλῖνοϲ: τὰ διὰ τοῦ ι̅ν̅ο̅ϲ̅ ὀνόματα ἢ κύριά εἰϲιν ἢ ἐθνικὰ Cκοπελῖνοϲ, Ἀκραγαντῖνοϲ ὁ πολίτηϲ· ἢ ἐπίθετα ὡϲ τὸ ῥηγῖνοϲ ὁ δειλόϲ, quod ineptum esse ostendit Lob. Proll. 206, ἢ προϲηγορικὰ ὡϲ ἐχῖνοϲ, γελαϲῖνοϲ (γελαϲῖνοι δέ εἰϲιν αἱ γενόμεναι κοιλότητεϲ εἰϲ τὸ πρόϲωπον ἐκ τοῦ γελᾶν) ἢ ὑποκοριϲτικὰ οἷον Φιλῖνοϲ, ϲημαίνει δὲ τὸν φίλον, παλλακῖνοϲ ὁ ἀπὸ παλλακῆϲ — quamquam Lobeck. l. c. his nominibus deminutivam vim inesse negat, tamen Herodianum haec inter deminutiva retulisse non incredibile est, praesertim si reputes eum Ἡφαιϲτίων similia in huius generis vocabulis numerare — ταῦτα δὲ εἰ μὲν ἀπὸ ὀνόματοϲ παραχθῶϲιν, ἢ ἀπὸ εὐθείαϲ ἢ ἀπὸ γενικῆϲ παράγονται, φίλοϲ Φιλῖνοϲ, ἀγαθόϲ Ἀγαθῖνοϲ, ἀπὸ τῆϲ πάλλακοϲ παλλακῖνοϲ· εἰ δὲ ἀπὸ ῥήματοϲ, ἢ ἀπὸ ἐνεϲτῶτοϲ ἢ ἀπὸ μέλλοντοϲ ἔχω ἐχῖνοϲ, πράξω Πραξῖνοϲ. τὸ δὲ Cεβεῖνοϲ διὰ διφθόγγου γράφεται, quod postremum excluditur canone Theognosti 67, 19. — In fine λαρινῷ βοΐ et ὡϲ ἀληθινόϲ addidi ex Schol. Arist. Pac. 925, ubi: τοῦτο δὲ Ἡρωδιανὸϲ ὀξύνει ἐν τῷ ζʹ τῆϲ καθόλου λαρινόϲ ὡϲ ἀληθινόϲ. Cf. An. Ox. I 3, 17 τὰ εἰϲ ν̅ο̅ϲ̅ παρώνυμα ϲυϲτέλλει τὸ ῑ ἑϲπερινόϲ, ταχινόϲ πλὴν τοῦ χαλινόϲ καὶ λαρινόϲ. τὸ μὲν χαλινόϲ, ὅτι ἐϲτὶ καὶ οὐδέτερον τὰ χαλινά. τὸ δὲ λαρινόϲ ἐκ τοῦ ῥινόϲ βύρϲηϲ καὶ μετὰ τοῦ λ̅α̅ ἐπιτατικοῦ λαρινόϲ, unde emendandus est locus in iisdem Epim. 350, 4. l. 19 ἐλεεινόϲ accessit ex Theogn. 67, 27, αἰπεινόϲ — ὁμοίωϲ ex Choer. Orthogr. 179, 22 emendato a Lobeck. Proll. 190 cum not., cf. etiam E. M. 58, 50, de Φωτεινόϲ proprio Lehrs Arist. 281 ed. II. l. 22 hunc canonem ex Theogn. 68, 12 apposui, Μύκονοϲ explevi ex St. B.

δεκάτῃ (p. 487) «Μύκονος δ' ἐστίν, ὑφ' ᾗ μυθεύουσι κεῖσθαι τῶν Γιγάντων τοὺς ὑγιεινοτάτους ὑφ' Ἡρακλέους καταλυθέντας, ἀφ' ὧν ἡ παροιμία 'πάντα ὑπὸ μίαν Μύκονον' ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν ἀγαγόντων τὰ διῃρημένα τῇ φύσει· καὶ τοὺς φαλακροὺς δέ τινες Μυκονίους καλοῦσιν ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν τῇ νήσῳ». Ἤδονος ποταμός. τὸ δὲ ἡμίονος, ἔγγονος, πρόγονος, ἄτονος σύνθετά εἰσιν.

Τὰ εἰς υνος ὑπερδισύλλαβα προπαροξύνεται· εἰ δέ τι ὀξύτονηθῇ, ἐθνικὸν εὑρέθη, κίνδυνος, Πάχυνος ἀκρωτήριον Σικελίας, πίσυνος, βόθυνος. Ῥόσχυνος. Ὄρδυνος ὄνομα ποταμοῦ, κόρυνος, εὔθυνος, γηθόσυνος «γηθόσυνος δ' οὔρῳ» (Od. ε 269), δεσπόσυνος, θάρσυνος, Λάβυνος. τὸ μέντοι Βιθυνός καὶ Μαριανδυνός ἐθνικά. Μαριάνδυνος δὲ βαρυτόνως κατὰ τοὺς Αἰολεῖς. τὸ μόσυνος βαρυνόμενον σημειῶδες καὶ μακρὸν ἔχει τὸ ῡ (τὰ γὰρ ἔχοντα τὸ σ βραχὺ ἔχει τὸ υ). ἀπὸ γενικῆς γὰρ μετήχθη. αἱ δὲ γενικαὶ αἱ διὰ τοῦ νος ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι εἰ παραλήγοιντο τῷ ῡ, ἐκτεταμένῳ παραλήγονται, Φόρκυνος, Πόλτυνος· καὶ τὸ γέρυνος ὁ μικρὸς βάτραχος.

Τὰ εἰς ωνος ἁπλᾶ ὑπερδισύλλαβα ὀξύνεται, κοινωνός, οἰωνός, Γελωνός πόλις Σαρματίας τῆς ἐν Εὐρώπῃ ἀπὸ Γελωνοῦ τοῦ Ἡρακλέους, τοῦ Ἀγαθύρσου ἀδελφοῦ. ἔστι δὲ ἡ πόλις ξυλίνη, κειμένη ἐν Βουδίνοις, ὡς Ἡρόδοτος (IV 108). καὶ ὁ οἰκήτωρ ὁμοφώνως. υἱωνός, Τιθωνός, Κολωνός, μελεδωνός, Ἠδωνός ἔθνος Θρᾴκης ἀπὸ Ἠδωνοῦ τοῦ Μύγδονος ἀδελφοῦ, Ἐτεωνός πόλις Βοιωτίας. Ὅμηρος «πολύκνημόν τ' Ἐτεωνόν» (Il. B 497). καλεῖται δὲ νῦν Σκάρφη. Καννωνός, Ὀθρωνός πόλις, οἱ δὲ νῆσον πρὸς νότον Σικελίας. «ἄλλοι δὲ Μελίτην νῆσον Ὀθρωνοῦ πέλας» (Lycophr. 1027). Βωδωνός ἥρως, ἀφ' οὗ Βωδώνη πόλις Θεσσαλίας. τὰ δὲ σύνθετα προπαροξύνεται, τετράγωνος, εὔφωνος, εὔωνος. τὸ δὲ Κόρωνος κύριον, τὸ δὲ κορωνός ἐπίθετον. βαρύνονται δὲ καὶ Γίγωνος πόλις Θρᾴκης

---

l. 9 Πάχυνος explevi ex St. B., Ῥόσχυνος — εὔθυνος ex Theogn. 68, 10 adieci, γηθόσυνος ex Il. Pr. N 29, δεσπόσυνος — Λάβυνος ex Dichr. 287, 3. Μαριάνδυνος — Αἰολεῖς recepi ex St. B., ubi 433, 5: τὸ ἐθνικὸν Μαριάνδυνος βαρυτόνως κατὰ τοὺς Αἰολεῖς· ἡ δὲ κοινὴ χρῆσις ὀξύνει αὐτὸ κατὰ τὸν τύπον τῶν εἰς νος ἐθνικῶν. Pro Arcadii verbis τὸ μέντοι μόσυνος ἀπὸ γενικῆς μετήχθη substitui praeceptum Steph. Byzantii p. 170, 11 Βιθυνός verbis ἀπὸ γενικῆς γὰρ μετήχθη usque ad Πόλτυνος, quae ex Arcad. et Dichr. l. c. concinnavi, insertis.

l. 20 Γελωνός explevi ex St. B., υἱωνός usque ad Ὀθρωνός ex Theogn. 68, 17 addita sunt ita, ut Ἠδωνός Ἐτεωνός Ὀθρωνός ex St. B. explerem, Βωδωνός recepi ex St. B. — κορωνός ἐπίθετον ex cod. B exhibui ut aptius codd. AC προσηγορικὸν praebentibus. Verba βαρύνονται δὲ καὶ Γίγωνος usque ad finem apposui secutus Stephan. Byzantium, apud quem omnia nomina, quae excepi, barytonos scripta sunt. Ex Steph. B. fluxisse videtur etiam articulus Εὔδωνος in E. M. 389 extr.: ποταμὸς τῆς ποτὲ μὲν Δίας τε καὶ Ἐρύμνης καὶ Λαρίσης, νῦν δὲ Τράλλεων καλουμένης τῆς Ἀσίας· ὅτι Λάβρανδος καὶ Πάνορμος καὶ Πάλαξος ἢ Σπάλαξος οἱ Κούρητες, κατὰ χρησμὸν ἐπὶ τὴν Καρίαν ὁρμῶντες, νυκτὸς ἐπικαταλαβούσης, ἐπὶ ταῖς ὄχθαις αὐτοῦ κατεκοιμήθησαν. παρὰ τὸ εὐδῆσαι οὖν

προcεχὴc τῇ Παλλήνῃ, Ἴτωνοc ἥρωc καὶ πόλιc Θεccαλίαc ἢ καὶ Ἴτων, Ἄλπωνοc πόλιc καὶ ὄροc ἐν Μακεδονίᾳ, ὡc Εὐφορίων, τινὲc δὲ Θετταλίαc αὐτήν φαcιν. ἔcτι καὶ ἄλλη Λοκρῶν Ἐπιζεφυρίων ὡc Ἑλλάνικοc ἐν πρώτῃ Δευκαλιωνείαc. Τρίτωνοc πολίχνιον Μακεδονίαc, Τρικόλωνοc παῖc Λυκάονοc καὶ ἀπ' αὐτοῦ πόλιc Ἀρκαδίαc.

Τὰ εἰc ξοc εἴτε διcύλλαβα εἴτε ὑπὲρ δύο cυλλαβὰc βαρύνονται, Λίπαξοc πόλιc Θρᾴκηc. Ἑκαταῖοc. Ἄραξοc ἀκρωτήριον. ἔcτι δὲ καὶ ἔθνοc Ἰλλυρίαc, ὃ καὶ Ἀράξηc, Ἀλέξανδροc Κορνήλιοc ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶc εἰρημένων, Πύξοc ἡ πόλιc καὶ τὸ φυτόν, μύξοc, Βύξοc ὄνομα κύριον. Cίξοc πόλιc Μαcτιηνῶν. Ἑκαταῖοc «μετὰ δὲ Cίξοc πόλιc». Φρίξοc ἥρωc καὶ πόλιc Λυκίαc, Λίξοc ποταμὸc Λιβύηc καὶ Μαυριτανίαc καὶ ἔθνοc. Λάκοξοc, Ῥοῖξοc ἐπίνειον Κιλικίαc ἐπὶ ταῖc ἐκβολαῖc τοῦ Cάρου ποταμοῦ. Κρόξοc, Βόξοc, Λάοξοc ὁ ποταμόc. Ὦξοc ὁ ποταμόc. Ἄξοc πόλιc Κρήτηc ὡc Ἡρόδοτοc ἐν τετάρτῃ (c. 154), Νάξοc νῆcοc τῶν Κυκλάδων ἀπὸ τοῦ Νάξου Καρῶν ἡγεμόνοc, ἄλλοι δὲ ἀπὸ Νάξου τοῦ Ἐνδυμίωνοc. Εὐφορίων δὲ παρὰ τὸ νάξαι, ὅ φαcι θῦcαί τινεc. ἔcτι καὶ πόλιc Cικελίαc. καὶ ἄλλοι τόποι Νάξοι. Ὄαξοc πόλιc Κρήτηc Ἐλευθέρνηc οὐ πόρρω, καθὰ Ξενίων ἀπὸ Ὀάξου τοῦ Ἀκακαλλίδοc τῆc θυγατρὸc τοῦ Μίνω. τινὲc δὲ διὰ τὸ καταγῆναι τὸν τόπον καὶ κρημνώδη ὑπάρχειν. καλοῦcι γὰρ τοὺc τοιούτουc τόπουc ἄξουc, καθάπερ καὶ ἡμεῖc ἀγμούc. Χάραξοc ἀπὸ τοῦ χαράξω, ἀφ' οὗ Χαράξηc. Ὀλόφυξοc πόλιc ἐν Θρᾴκῃ περὶ τὸν Ἄθω. Ἴξοc λιμὴν τῆc Ῥόδου. τὸ μέντοι ἰξόc τὸ προcηγορικὸν ὀξύνεται, καὶ τὸ λοξόc, φοξόc ὡc ἐπίθετα καὶ τὸ κοραξόc ὡc ἐπίθετον ὀξύνεται, βαρύνεται δὲ ὡc ἐθνικόν. ἔcτι δὲ ἔθνοc Κόλχων πληcίον Κώλων. Ἑκαταῖοc Εὐρώπῃ. τὸ δὲ λαξόc καὶ φυλλοξόc κατὰ cυγκοπὴν ἀπὸ τοῦ λαοξόοc και φυλλοξόοc γέγονεν.

Εὔδωνον τὸν ποταμὸν ὠνόμαcαν. — Canon exstat etiam in Ep. Cr. I 331, 5 cf. etiam Choer. Dictat. 411, 13, ubi κοίνωνόc, οἰωνόc, Τιθωνόc proferuntur. l. 7 initio canonis pro θηλυκὰ posui, quae habet Theogn. 69, 8 εἴτε — cυλλαβάc, nam de femininis solis hunc canonem non pronunciatum esse apparet ex Theogn., a quo μύξοc masculin. appellativum et masculina propria proferuntur. Λίπαξοc, Ἄραξοc explevi ex St. B., μύξοc, Βύξοc sunt ex Theogn., Cίξοc ex eodem et St. B., Φρίξοc, Λίξοc item, Λάκοξοc pro κοξόc ex Lobeckii emendatione Parall. 404 not. ex Theogn., Ῥοῖξοc ex St. B., quod fortasse rectius Ῥόξοc ex Theogn. 14, 7 scribitur propter canonem Theogn. 69, 13: τὰ εἰc ξοc διcύλλαβα τὴν διὰ τοῦ η, τὴν διὰ τῆc ει καὶ τῆc οι διφθόγγων παραιτεῖται γραφήν. Κρόξοc Βόξοc ex Theogn., item Λάοξοc et Ὦξοc. Nomina inde ab Ἄξοc usque ad Ἴξοc deprompta sunt ex St. B., apud quem Ἰξόc acuitur, sed patet Ἴξοc gravandum esse et huic proprio opponi ἰξόc appellativum ut oxytonon. Nam verba ὡc προcηγορικὸν sensu carent, quum ab Arcadio ipso πύξοc allatum sit femininum et a Theogn. μύξοc masculinum ut ἰξόc. Quare scripsi pro ὡc articulum τό. l. 25 Arcadius habet καὶ Κοραξόc ὡc ἐθνικόν, quod duce Lobeckio l. c. emendavi; nam alia gentilia a Stephano prolata Ἄραξοc Λίξοc barytona sunt. Caeterum Κόραξοc explevi ex St. B. Annotationem de λαξόc et φυλλοξόc finxi ex Theognosti vocabulis. λαοξόc, quod corruptum videtur ex λαξύc i. e. ἡ λαξόοc cf. Lob. El. I 317, φίλοξοc, pro quo φυλλοξόc exhibui, collato E. M. 425, 3 ἡ λαξόc ἀπὸ τοῦ λαξόοc ὡc βοηθόοc

Τὰ εἰϲ π̅ο̅ϲ̅ διϲύλλαβα μὴ ὄντα ἐπιθετικὰ παραλήγοντα διχρόνῳ ἢ μακρῷ φωνήεντι βαρύνεται, ἶποϲ παρὰ τὸ ἴπτω καὶ ἰάπτω ὡϲ κόπτω κόποϲ. ἔϲτι δὲ εἶδοϲ παγίδοϲ. ῥῖποϲ, γρῖποϲ, τρίποϲ, ῥύποϲ. τὸ δὲ παρὰ τῷ ποιητῇ «καθήραντεϲ ῥύπα πάντα» (Od. ζ 93), εἰ μή ἐϲτι πληθυντικὸν οὐδέτερον, μεταπέπλαϲται ἐκ τῆϲ ῥύπον αἰτιατικῆϲ ὡϲ ἡ λῖτα ἐκ τῆϲ λιτόν. τύποϲ, κτύποϲ, ϲτύποϲ τὸ ϲτέλεχοϲ τοῦ δένδρου. Κρῶποϲ καὶ ῥῶποϲ ὁ παντοδαπὸϲ φόρτοϲ. κῆποϲ. Κνῶποϲ κύριον, ἀφ᾽ οὗ Κνωπούπολιϲ, Ϲκοῦποι πόλιϲ Θρᾴκηϲ. τὸ δὲ γρυπόϲ — ῥυβόϲ ἐϲτι παρὰ τοῖϲ Αἰολεῦϲι τὸ ἐπικαμπὲϲ ἤτοι ῥαιβὸν καὶ τροπῇ τοῦ β̄ εἰϲ π̄ ῥυπόϲ καὶ πλεοναϲμῷ τοῦ γ̄ γρυπόϲ — καὶ λοιπόϲ ἐπίθετά εἰϲιν.

Τὰ εἰϲ π̅ο̅ϲ̅ διϲύλλαβα παραλήγοντα διχρόνῳ καταλήγοντι εἰϲ μ̄ ἢ εἰϲ π̄ βαρύνεται, ἵπποϲ καὶ Ἵπποϲ νῆϲοϲ Ἐρυθραίαϲ. Θεόπομποϲ τεϲϲαρακοϲτῷ δευτέρῳ· ἔϲτι καὶ Ϲικελίαϲ· ἔϲτι καὶ Παλαιϲτίνηϲ. πάπποϲ. κάμποϲ καὶ Κάμποϲ τόποϲ περὶ Κύμην κτίϲμα Καμπανῶν. Λάμποϲ κύριον, λαμπόϲ δὲ τὸ ἐπίθετον. τὸ δὲ καρπόϲ ὀξύνεται. οὐ γὰρ ἔχει τὸ δίχρονον λῆγον εἰϲ μ̄ ἢ εἰϲ π̄. πρὸϲ ἀντιδιαϲτολὴν δὲ ἐβαρύνθη τὸ Κάρποϲ κύριον ὄνομα ὡϲ Ἄρποι πόλιϲ Δαυνίαϲ ἡ καὶ Ἀργύριππα.

Τὰ εἰϲ π̅ο̅ϲ̅ διϲύλλαβα μὴ ἐπιθετικὰ ἔχοντα ō ἐν τῇ παραληγούϲῃ ἢ μόνον ἢ μετὰ ϲυμφώνου ἢ ϲυμφώνων, εἰ μὴ διαφοράν τινα ποιοίη ἢ ὑποϲτρέφει εἰϲ ῥῆμα τῷ ε̄ παραληγόμενον, βαρύνεται, τρόποϲ ὁ τρέπων, τροπόϲ ὁ τετραμμένοϲ, κόμποϲ τὸ προϲηγορικόν, κομπόϲ τὸ ἐπίθετον, τόποϲ, κόποϲ, πόποϲ· Ϲκύθαι γὰρ τὰ παρ᾽ αὐτοῖϲ ἀγαλμάτια πόπουϲ καλοῦϲι. κόλποϲ, δόρποϲ. τὸ μέντοι ϲκοπόϲ καὶ ὀπόϲ καὶ λοπόϲ ὀξύνεται ὥϲπερ τὰ ἐπίθετα λοιπόϲ, γρυπόϲ, πομπόϲ, χαλεπόϲ.

βοηθόϲ et 283, 34: δορυξόοϲ ἐκ τοῦ δόρυ καὶ τοῦ ξόω. οὐδεὶϲ δὲ λέγει Ἑλλήνων δόρυξοϲ, ἀλλὰ δορυξόοϲ καὶ δορυξόϲ κατὰ ϲυγκοπήν. l. 2 ἶποϲ explevi ex E. Orion. 77, ubi ὁ Ἡρωδιανὸϲ subscriptum est; ῥῖποϲ — τρίποϲ addidi ex Theogn. 68, ῥύποϲ ex Il. Pr. Ψ 254 coll. Ϲ 352 explevi, τύποϲ — ϲτύποϲ ex Theogn. accesserunt, Κνῶποϲ Ϲκοῦποι ex St. B., γρυπόϲ, quod explevi ex E. Or. 41, ubi subiectum est οὕτωϲ Ἡρωδιανὸϲ ἐν τοῖϲ Ἐλέγχοιϲ, et λοιπόϲ ex Theogn.
l. 12 canon in Choer. Epim. in Psalm. 46, 18 sic profertur: τὰ εἰϲ π̅ο̅ϲ̅ λήγοντα ἔχοντα τὴν πρὸ τέλουϲ ϲυλλαβὴν καταλήγουϲαν εἰϲ μ̄ ἢ εἰϲ π̄ βαρύνονται ἵπποϲ, κάμποϲ, πάπποϲ. — οὐ μάχεται τὸ καρπόϲ ὀξυνόμενον. οὐ γὰρ ἔχει τὸ δίχρονον λῆγον εἰϲ μ̄ ἢ εἰϲ π̄. Ἵπποϲ proprium addidi ex St. B., πάπποϲ ex Choer. Ep., Κάμποϲ ex St. B. secundum Meinekii emendationem. In Schol. ad Dionys. 357: Καμπανοὶ εἴρηνται ἢ ἀπὸ τοῦ Κάμπου, ἐν ᾧ τὴν οἴκηϲιν ἔχουϲιν, ἢ ἀπὸ Κάμπου τινὸϲ οὕτωϲ ὀνομαζομένου. ὁ δὲ Ἡρωδιανὸϲ ὀξύνει τὸ ὄνομα verba ὁ δὲ Ἡρωδιανὸϲ ὀξύνει τὸ ὄνομα non ad Κάμποϲ, sed ad Καμπανοί referenda sunt. In fine οὐ γὰρ ἔχει — π̄ sunt ex Epim. Choer., tum πρὸϲ ἀντιδιαϲτολὴν — κύριον ὄνομα ex E. M. 492, 20. Nam quamquam hic Herodiani nomen non subscriptum est, tamen in hoc genere nominum haec distinctio ita fixa est, ut, quin Herodianus hoc discrimen statuerit, non dubitandum sit. Ἄρποι adieci ex St. B. l. 21 ἢ μόνον addidi propter τρόποϲ, τόποϲ, κόποϲ. De τροπόϲ cf. Schol. ad Od. δ 782: τροποῖϲ; περιϲπωμένωϲ· δηλοῖ γὰρ τοὺϲ τροπωτῆραϲ, περὶ οὓϲ αἱ κῶπαι τρέπονται καὶ ϲυϲτρέφονται ἐν ἱμᾶϲι τοῖϲ περιδεδεμένοιϲ ταῖϲ κώπαιϲ. — πόποϲ ex Theogn. p. 158 huc retuli monente Lehrsio de Arist. p. 119 ed. II.

Τὰ διὰ τοῦ δαπος πάντα παρηγμένα ὀξύνεται, ἡμεδαπός, ποδαπός, παντοδαπός, ἀλλοδαπός, τηλεδαπός.

Ἔτι τὰ ἐπιθετικὰ σύνθετα τῷ ω παραληγόμενα ὀξύνεται αἱματωπός, κελαινωπός, πολυωπός, εὐωπός, τηλωπός, χαρωπός, μελανωπός, πελιωπός.

Τὰ εἰς ποc ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ ἀρσενικὰ ὄντα καὶ θηλυκὰ μηδὲ ἐπιθετικά, εἰ μὴ παραλήγοιτο τῷ ω, προπαροξύνεται, Ἄροπος, Τρίοπος ὁ πατὴρ Ἐρυσίχθόνος. Ἑλλάνικος δὲ καὶ Τρίοπά φησιν αὐτὸν ἀπὸ τοῦ Τρίοψ. Δουρίοπος πόλις Μακεδονίας. Στράβων ἑβδόμῃ (p. 326). οὕτως καὶ ἡ χώρα. Ἄναπος, Ὕαπος, ἀφ᾽ οὗ Ὑάπεια πόλις Φωκίδος. Μέσσαπος ὁ μετοικήσας εἰς Ἰταλίαν, ἀφ᾽ οὗ Μεσσαπία. Πρίαπος υἱὸς Ἀφροδίτης καὶ Διονύσου. ἔστι καὶ πόλις Ἑλλησποντίας. Ἀστέροπος. Ὄλυμπος· ἔστι καὶ ὄρος Μυσίας. Ἀρριανὸς Βιθυνιακῶν πρώτῳ. ἔστι καὶ πόλις Παμφυλίας. Στράβων ιδ′ (p. 666). Μέλαμπος. Εὐρύαμπος πόλις Μαγνησίας. Μάρσιππος πόλις Φοινίκης. Φίλιππος. εἰσὶ καὶ Φίλιπποι πόλις Μακεδονίας οἱ πρότερον Κρηνίδες. Ἀρτεμίδωρος «καὶ πόλις Φίλιπποι τὸ παλαιὸν Κρηνίδες. τοῖς δὲ Κρηνίταις πολεμουμένοις ὑπὸ Θρᾳκῶν βοηθήσας ὁ Φίλιππος Φιλίππους ὠνόμασεν». ἐκλήθησαν Φίλιπποι καὶ αἱ Θῆβαι Θεσσαλίας καὶ Γόμφοι Θεσπρωτίας. Εὔριπος. Ἴσηπος ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. Χάροπος τὸ κύριον, χαροπός δὲ τὸ ἐπίθετον. σεσημείωται τὸ ἀτραπός ὀξυνόμενον καὶ τὸ Ἀριμασπός ἔθνος Ὑπερβορέων. τὸ δὲ ἀρτίπος, ἀελλόπος ὡς παρὰ τῷ ποιητῇ (Θ 409) «ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα», ὠκύπος κατ᾽ ἔλλειψιν τοῦ υ γενόμενα παροξύνεται. τὰ δὲ παραληγόμενα τῷ ω κύρια ἢ προσηγορικὰ καὶ βαρύνεται καὶ ὀξύνεται. τὰ μὲν οὖν κύρια ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ὀξύνεται, Ἰνωπός ὄνομα ποταμοῦ, Ἀσωπός πατὴρ Αἰγίνης, Ὠρωπός πόλις Βοιωτίας. ἔστι καὶ πόλις ἐν Ἄργει κτισθεῖσα καὶ ἐν Θεσπρωτίᾳ. λέγεται καὶ ἀρσενικῶς. Θουκυδίδης ὀγδόῃ (c. 60) «ἔχοντες οὖν τὸν Ὠρωπὸν ἀφικνοῦνται εἰς τὴν Ῥόδον». Παυσανίας δὲ ἐν τῷ ἑβδόμῳ (c. 11, 4) τὴν πόλιν θηλυκῶς φησι «διαρπάζουσι Ὠρωπὸν ὑπήκοόν σφισιν οὖσαν».

---

l. 2 τηλεδαπός addidi ex Ep. Cr. I 369, 27: τὰ πυσματικὰ πάντα βαρύνεται ὑπεσταλμένου τοῦ ποδαπός· τὰ γὰρ διὰ τοῦ δαπος πάντα ὀξύνεται, ἀλλοδαπός, ἡμεδαπός, τηλεδαπός. l. 4 nomina inde ab εὐωπός ex Theogn. 69, 6 deprompta sunt. l. 6 in initio canonis pro ἀρσενικὰ ὄντα καὶ ἐπιθετικά, quum μὴ ante ἐπιθετικὰ cum Schmidtio inserere non satisfaciat, scripsi, quae posui. Ἄροπος Schmidt. firmat numo ap. Mion. II 118. Τρίοπος, Δουρίοπος sunt ex St. B., item Ὕαπος — Πρίαπος. Ὄλυπος, quod Schmidtius pro Ὄλυμπος suspicatur, non necesse est, quum canon etiam nomina consona praefinita complectatur. Μέλαμπος — Φίλιππος sunt ex St. B., item Ἴσηπος. l. 21 de Χάροπος cf. Il. Pr. B 672: Χαρόποιο ὡς Μενάνδροιο: καὶ γὰρ ἀπὸ γενικῆς εὐθεῖά ἐστι παρειλημμένη ὡς τὸ υἱὸς Τροιζήνοιο καὶ εἰς ἰδιότητα ὀφείλει ἡ βαρεῖα τάσις παραλαμβάνεσθαι. Ἀριμασπός ex St. B., verba τὸ δὲ ἀρτίπος — παροξύνεται composui ex Il. Pr. I 505: ἀρτίπος: πρὸ τέλους ἡ ὀξεῖα, ὁμοίως τῷ ἀελλόπος καὶ τρίπος et Herod. περὶ παθῶν in E. M. 680, 57, ubi ὠκύπος affertur, locum Homeri addidi ex Choer. Dict. 248, 2. cf. Lob. Parall. 249 seqq. et El. I 277. Ἰνωπός explevi ex Theogn., Ἀσωπός Ὠρωπός ex Steph. Byz.

Κασσωπός. οὕτως Ἡρόδωρός φησιν τοὺς Κασσωπίους, ἴσως κακῶς. Εὐρωπός ὁ Μακεδόνος καὶ Ὠρειθυίας τῆς Κέκροπος· καὶ ἀπ' αὐτοῦ πόλις Μακεδονίας. ἔστι καὶ Συρίας ἄλλη κτισθεῖσα ὑπὸ Νικάτορος, περὶ ἧς ὁ πολυίστωρ ἐν τῷ περὶ Συρίας φησὶν οὕτως «Ξενοφῶν ἐν ταῖς ἀναμετρήσεσι τῶν ὀρῶν περὶ Ἀμφίπολιν κεῖσθαι πόλιν Εὐρωπόν, ἣν πρότερον Τελμισσὸν καλεῖσθαι ὑπὸ τῶν κτισάντων. ταύτην δέ φασιν ὑπὸ Σελεύκου τοῦ Νικάτορος ἐπικτισθεῖσαν Ὠρωπὸν ὠνομάσθαι ἀπὸ τῆς ἐν τῇ Ἑλλάδι Ὠρωποῦ». σημείωσαι τὸ Αἴσωπος. τὸ δὲ Κρότωπος καὶ Μελάνωπος κύρια οὐκ ἀπὸ μακρᾶς ἄρχονται. Κάνωπος δέ, ὅπερ ἔδει γράφεσθαι διὰ τοῦ π̄, ὅμως γράφεται διὰ τοῦ β̄. τὸ δὲ ἄνθρωπος προσηγορικὸν προπαροξύνεται. τὸ μέντοι στενωπός ὀξύνεται προσηγορικὸν ὂν ἐπὶ θηλυκοῦ μόνου. ἔτι καὶ τὸ ἀλωπός ὀξύνεται.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ρος, σος, τος, φος ΚΑΙ ΤΩΝ ΚΑΘΕΞΗΣ.

ΒΙΒΛΙΟΝ η'.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ᾱ κύρια ὄντα ἢ προσηγορικὰ βαρύνονται, λάρος «λάρῳ ὄρνιθι ἐοικώς» (Od. ε 51), κάρος, Φάρος. ἔστι δὲ ἀρσενικόν. οὕτω γὰρ ὁ Μενελάου ἐκαλεῖτο πρωρεύς. ἀλλὰ καὶ θηλυκὸν ἐπὶ τῆς νήσου τῆς πρὸς τῇ Ἀλεξανδρείᾳ ἀπ' αὐτοῦ ὄνομα λαβούσης, ὥς φησιν Ἑκαταῖος. δηχθεὶς γὰρ ὑπὸ ὄφεως ἐν τῇ νήσῳ ἐτάφη. καὶ ὁμωνύμως λέγεται ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος ἐπ' αὐτῆς. Φάρος δὲ καὶ ἡ Ἀλεξάνδρεια ἐκαλεῖτο. ἔστι καὶ νῆσος ἐν τῷ Ἀδρίᾳ ποταμὸν ὁμώνυμον ἔχουσα. ἔστι δὲ κτίσμα Παρίων, ὡς Ἔφορος εἰκοστῷ ὀγδόῳ. ἔστι καὶ πόλις Ἰλλυρίας, ὡς Πολύβιος γ'. ἔστι καὶ Περραιβίας πόλις. σάρος καὶ Σάρος ποταμὸς Κιλικίας ὃς πρότερον Κοίρανος καλούμενος ἀπὸ τοῦ ἡγεμόνος Σάρου ἐκλήθη. Πάρος νῆσος, ἣν καὶ πόλιν Ἀρχίλοχος καλεῖ ἐν τοῖς ἐπῳδοῖς. τὸ ὄνομα μὲν

---

l. 1 Κασσωπός ex eodem addidi, item Εὐρωπός. Hoc nomen ap. St. B. 287, 14 et 542, 11, oxytonos 475, 9 barytonos scriptum est ut ex Arcadio, qui unum Αἴσωπος excipit, suspicari licet, contra Herodiani normam, a qua etiam abhorret Eustath. ad Dionys. 270: βούλονταί τινες τὴν Εὐρώπην ἀπό τινος Εὐρώπου ὠνομάσθαι· διὸ βαρύνεται. βαρεῖαν γὰρ ἔχει τάσιν καὶ ὁ Εὔρωπος τὸ κύριον πρὸς ἀντιδιαστολὴν τοῦ εὐρωποῦ, ὅπερ δηλοῖ τὸν πλατὺν ἢ σκοτεινόν. Sed attentione dignum est, quod Lehrsius Aristarch. p. 284 ed. II de incerto compositorum in ωψ, ωπός accentu dicit. l. 17 ad λάρος verba Homerica adieci ex Mon. 35, 17. Φάρος explevi ex Mon. 36, 28, cum quo loco congruit Steph. B. 659, 10: Φάρος νῆσος ἡ πρὸς τῇ Ἀλεξανδρείᾳ, ἐφ' ἧς ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος ὁμώνυμος. Φάρος γὰρ ὁ πρωρεὺς Μενελάου ἐν τῇ νήσῳ δηχθεὶς ὑπὸ ὄφεως ἐτάφη κτλ., unde recepi verba inde a l. 21 καὶ ὁμωνύμως usque ad Περραιβίας πόλις l. 25. — Ad Σάρος, quod explevi ex St. B. 24, 22, addidi σάρος, quam vocem Hes. s. σάρον diserte gravandam esse praescribit: βαρυτονητέον ὡς παρὰ Σώφρονι cf. Lobeck. ad Phryn. p. 83 not. — Πάρος explevi ex Steph. Byz.

λέγεται ἀπὸ Πάρου τοῦ Παρρασίου ἀνδρὸς Ἀρκάδος ἔχειν ὡς Καλλίμαχος. Νικάνωρ δὲ ἐν ταῖς μετονομασίαις κεκλῆσθαί φησιν Πακτίαν Δημητριάδα Ζάκυνθον Ὑρίαν Ὑλήεσσαν καὶ Μινῴαν καὶ Κάβαρνιν. ἔστι δὲ καὶ ἄλλη Πάρος νῆσος Λιβυρνῶν, ὥς φησι Σκύμνος ὁ Χῖος ἐν πρώτῳ περιηγήσεως. Κλάρος. Νίκανδρος (Ther. 958)

μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρος νιφόεσσα πολίχνη.

γάρος. Αἰσχύλος Πρωτεῖ σατυρικῷ

καὶ τὸν ἰχθύων γάρον·

σπάρος, σκάρος καὶ Σκάρος πόλις Λυκίας καὶ τὸ ἐθνικὸν ὁμοίως. ἔστι δὲ καὶ κρήνη ἱερά. Τμάρος ὁ Τόμαρος ὄρος Δωδώνης. τὸ δὲ βᾶρος καὶ Ῥᾶρος παρ' Ἀττικοῖς κατὰ χρόνον σημειώδη. τὸ δὲ κλᾶρός ἐστι Δωρικόν. τὰ μέντοι ἐπίθετα ὀξύνεται, μναρός ὁ ἡδὺς, λαρός ὁ γλυκύς «λαρὸς ἄμης», ἔνθεν τὸ οὐδέτερον «λαρὸν τετυκοίμεθα δόρπον» (Od. μ 283). ψαρός, ναρός, ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ σατυρικῷ

ναράς τε πατρὸς κυμάτων ἐπιρροὰς
ἐπώμοσα.

Τὰ εἰς ηρος δισύλλαβα κύρια ὄντα βαρύνεται, Σῆρος, Τρῆρος χωρίον Θρᾴκης, Δρῆρος πόλις Κρητική. τὰ δὲ προσηγορικά, εἰ μὴ ἀπὸ συμφώνων ἄρχοιντο, ὀξύνεται, κηρός, φηρός ἡ τροφὴ τῶν θεῶν, μηρός. τὸ μέντοι κλῆρος βαρύνεται ὡς ἀπὸ δύο συμφώνων ἀρξάμενον.

Τὰ εἰς ηρος δισύλλαβα ἐπιθετικὰ ὄντα μετὰ θηλυκῶν, εἰ μὲν ἀπὸ ἡμιφώνου ἄρχοιτο, ὀξύνεται, σκληρός, ξηρός. καὶ τὸ πηρός δὲ ὀξύνεται παρὰ τῷ ποιητῇ, παρὰ δὲ τοῖς Ἀττικοῖς πῆρος. ὑγιεστέρα δὲ ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἐπεὶ τὰ εἰς ος δισύλλαβα, εἰ ἔχοι τὴν πρώτην συλλαβὴν ἔχουσαν τὸ π καὶ τὸ η ὀξύνονται οἷον πηός, πηλός. οὕτως καὶ πηρός. τὸ δὲ λῆρος μονογενές.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ι κύρια ὄντα βαρύνεται,

Κλάρος, γάρος, σπάρος, σκάρος addidi ex Mon. l. c., Σκάρος ex St. B., Τμάρος ex eodem. Verba τὸ δὲ βᾶρος — σημειώδη ex Dichr. 299, 24, τὸ δὲ κλᾶρος ex Mon. 35, 21 adieci, λαρός explevi ex Mon., pro βλαρός Arcadii posui ναρός, quod Lehrs in Mon. pro λαρός scripsit, cum explicatione in Monad. — A canone aberrat Ἀρός ποταμὸς ap. St. B. 240, 5. Bisyllabum in ερος non exstat, nam exploduntur, qui Od. χ 184 γέρον σάκος a γερός repetiverunt. Ep. Cr. I 103, 20: παραιτητέον τοὺς ἀναγινώσκοντας γερόν, ἵν' ᾖ γεροντικόν. ὁ δὲ ποιητὴς κατολιγωρήσας τῆς φωνῆς ἐφρόντισε τοῦ σημαινομένου. τὸ γὰρ ἐναντίον τοῦ νέου βουλόμενος δηλῶσαι γέρον εἶπε. τὸ δὲ αἴτιον τοῦ οὐδετέρου, διότι ὡς μετοχὴ ἐκλίθη ὁ γέρων τοῦ γέροντος καὶ ὡς λέγων λέγοντος λέγον, φρονῶν φρονοῦντος φρονοῦν, οὕτως γέρων γέροντος γέρον· ἐπειδὴ οὐδὲν ὄνομα κλινόμενον διὰ τοῦ τος οὐδετέρου ἀνεδέξατο παρασχηματισμόν. l. 18 ex Σῆρος corruptum videtur Σβῆρος in E. M. 475, 23: τὰ διὰ τοῦ ηρος δισύλλαβα κύρια καὶ βαρύνονται καὶ διὰ τοῦ ι γράφονται . . . Σβῆρος δὲ ὄνομα κύριον. πρόσκειται κύρια διὰ τὸ λῆρος ἡ φλυαρία. Pro librorum scriptura Τῆρος Ἧρος exhibui Τρῆρος Δρῆρος ex Theogn. 69, 27 simul Τρῆρος ex St. B., Δρῆρος ex Theogn. explens. φηρός explevi ex Theogn., conferendus est Arcadius 122, 26: φῆρον βρῶμα θεῶν. — μηρός addidi ex Theogn. l. 23 μὲν pro μὴ scripsi cum Schmidtio Sedinensi. καὶ τὸ πηρός δὲ addidi ex Theogn. et ex Il. Pr. B 599 explevi.

Ἶροc τὸ κύριον καὶ πόλιc Θεccαλίαc. Λυκόφρων «Ἰρόν τε Τραχῖνα καὶ Περραιβικήν» (v. 905), Πῖροc, Τίροc, Cκίροc τὸ κύριον. ἔcτι δὲ ἥρωc, ἀφ' οὗ Cκίρον τόποc Ἀττικόc, καὶ Ἀρκαδίαc κατοικία πληcίον Μαιναλέων καὶ Παρραcίων. εἰ μέντοι προcηγορικὰ ἢ ἐπιθετικὰ εἴη, ὀξύνεται, ἱρόc ὁ ἱερόc, λιρόc ὁ ἀναιδήc, cιρόc τὸ προcηγορικὸν ὁ κατώγειοc οἶκοc.

Τὰ εἰc ρ̄ο̄c̄ διcύλλαβα παραληγόμενα τῷ ο̄ βαρύνεται, ὁπότε γίνεται ἀπὸ τῶν παραληγομένων τῷ ε̄ ἢ ε̄ῑ ἢ ᾱῑ διφθόγγῳ ῥημάτων, εἰ μή τιc διαcτολὴ γένοιτο, cπόροc, ὅτι cπείρω, πτόροc ὁ πταρμόc, ὅτι πταίρω, φθόροc ὅτι φθείρω, μόροc ὅτι μείρω, κόροc ὅτι κείρω, φόροc ὅτι φέρω, φορόc δὲ ὁ ἄνεμοc ὀξυτόνωc, ὅροc, εἴρω γάρ, ὀρόc δὲ τὸ ἀφυλιζόμενον τοῦ γάλακτοc. τὸ δὲ ὄρροc βαρυτόνωc καὶ κατὰ τὴν διάλεκτον καὶ τῷ λόγῳ· τὰ γὰρ εἰc ο̄c̄ μονογενῆ διcύλλαβα τῷ ο̄ παραληγόμενα ἢ ἐξ αὐτοῦ ἀρχόμενα καὶ ἔχοντα δὶc τὸ αὐτὸ cύμφωνον βαρύνεται, κόννοc, κόκκοc, κόττοc, ὄccοc· οὕτωc ἄρα καὶ ὄρροc· τὸ μέντοι βορόc ὁ πολλὰ ἐcθίων καὶ τὸ χορόc καὶ cορόc ὁ τάφοc καὶ τορόc ὀξύνονται· οὐ γὰρ γίνονται ἀπὸ τοιούτων ῥημάτων, ἀλλὰ τὸ βορόc ἀπὸ τοῦ βρῶ βρώcω βρώcκω, καὶ τὸ χορόc ἀπὸ τοῦ χωρῶ, χῶροc, χορόc τροπῇ τοῦ ω̄ εἰc ο̄, καὶ τὸ cορόc ἀπὸ τοῦ cωρεύω cωρεόc cωρόc ἀρcενικῶc καὶ cορόc θηλυκῶc καὶ τὸ τορόc δὲ ἀπὸ τοῦ τρῶ. cεcημείωται τὸ δορόc ὁ δεδαρμένοc, εἰ καὶ ἐκ τοῦ δείρω γίνεται.

---

l. 1 Ἶροc expleyi ex St. B. 337, 2 et 8. — Πῖροc, quamquam flumen apud Herodotum et Strabonem Πεῖροc scribitur, tamen retinendum est, quum diserte Arcadius de nominibus in ῑρ̄ο̄c̄ dicat et Theogn. tradat: τὰ διὰ τοῦ η̄ρ̄ο̄c̄ διcύλλαβα κύριά τε καὶ προcηγορικὰ καὶ ἐπίθετα, ὁποίαc ἂν εἴη τάcεωc, διὰ τοῦ η̄ γράφεται· cεcημείωται διὰ τοῦ ῑ γραφόμενα κύρια τέccαρα Ἶροc, Τίροc, Πίροc, Cκίροc καὶ ἐπὶ προcηγορικῶν δύο ἱρόc ὁ ἱερόc, cιρόc τὸ οἴκημα. cf. E. M. 475, 23 τὰ διὰ τοῦ ῑρ̄ο̄c̄ διcύλλαβα κύρια καὶ βαρύνονται καὶ διὰ τοῦ ῑ γράφονται οἷον Κίροc ὄνομα κύριον, Πῖροc ὄνομα ποταμοῦ καὶ Τίροc ὄνομα ποταμοῦ, Μίροc ποταμὸc Φρυγίαc. cκῖροc ὁ γύψοc (Hesych. cκεῖροc). πρόcκειται κύρια διὰ τὸ νειρόc ὀξύτονον· οὐκ ἔcτι δὲ κύριον. cημαίνει δὲ τὸν ὁρμητικόν. Hinc apparet Herodianum diverse ab aliis vocabulum per ῑ pronunciasse, fortasse quod bisyllaba in ε̄ῑρ̄ο̄c̄ omnino esse negavit, vel etiam quod ex Πίεροc, qua forma utitur Pausanias, eodem modo quo ἱρόc ex ἱερόc contractum putavit. Utrum Cκίροc an Cκῖροc scribendum sit, haesitat Meinek. ad St. B. 575, 9. l. 11 de φόροc et φορόc cf. Choer. Dict. 239, 6, E. M. 686, 10, Favorin 378, 15, Ep. Cr. I 369, 30, ubi idem atque inter φόροc et φορόc discrimen statuitur inter πόροc et πορόc: παρὰ τὸ περῶ γίνεται ἐν ὀξείᾳ τάcει ὁ διαπερῶν καὶ ἐν βαρείᾳ τάcει πόροc ὁ διαπερώμενοc τόποc. — de ὅροc notatu dignum est, Herodianum alio loco repetivisse ab ὁρᾶν Bekk. An. 649, 20: Ἡρωδιανὸc λέγει ὅτι ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω γέγονεν ὅροc· καὶ γὰρ ὁ ὅροc εὐόρατα καὶ εὔοπτα ποιεῖ ἡμῖν τὰ ὁριζόμενα; fortasse hoc fecit propter spiritum asperum, nam τὸ ο̄ ἐπιφερομένου τοῦ ρ̄ ψιλοῦται πλὴν τοῦ ὁρῶ καὶ ὅροc ἀρcενικὸν καὶ ὁρίζω Arcad. 199, 20. Num Herodianus εἴρω scripserit, ut in cod. A exhibetur, dubium est, quum canon sic se habeat: ἡ ε̄ῑ δίφθογγοc ψιλοῦται neque εἴρω inter exempta sit vocabula. τὸ ὄρροc addidi ex Schol. ad Arist. Ran. 222: ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι τὸν ὄρρον; — Ἡρωδιανὸc δὲ καὶ λόγῳ καὶ κατὰ τὴν διάλεκτον βαρέωc (ad v. 223 Τιμαχίδαc τῇ προφορᾷ ὀρρόν ὡc ὀρθόν, sed codd. ὄρρον ὡc ὄρθον, Dindorf. ὄρρον ὡc ὅρμον emendavit) et λόγον adieci ex Eustath. 1746, 26, ubi de ὄccοc agit, potui etiam alterum canonem in Il. Pr. Λ 68 adhibere ὄγμον: ὡc ὄλβον. τὰ γὰρ εἰc ο̄c̄ λήγοντα διcύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο̄ καὶ ἔχοντα δύο cύμφωνα ἢ πλείονα βαρύνεcθαι θέλει οἷον ὄκνοc, ὄμβροc, ὄρροc, ὄccοc, Ὄρθοc, ὄρφοc· οὕτω καὶ ὄγμοc. — l. 17 verba ἀλλὰ τὸ βορόc usque ad l. 20 ἀπὸ τοῦ τρῶ

Τὰ εἰς ροc δισύλλαβα παραληγόμενα τῷ ῠ βραχεῖ βαρύνονται, Cύρος κοινὸν ὄνομα πολλῶν ἐθνῶν. Τύρος νῆσος ἐν Φοινίκῃ ἀπὸ Τύρου τοῦ Φοίνικος. ἔστι καὶ Τύρος τῆς Λακωνικῆς καὶ νῆσος πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ, ἣν Ἀρτεμίδωρος Τύλον διὰ τοῦ λ καλεῖ, ἔστι καὶ πόλις Ἰνδίας καὶ Λυδίας καὶ Πισιδίας. Ἀρριανὸς δὲ τὰ Ἄναθα Τύρον καλεῖ. Μύρος ποταμὸς παραρρέων Μύραν πόλιν ὁ καὶ Μύρων. εἰ δὲ ἔχοι ἐκτεταμένον, κύρια μὲν ὄντα βαρύνεται, Κῦρος, Cκῦρος, ἡ νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ «Cκῦρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες». Cφῦρος, Cῦρος νῆσος Ἰωνική, ὡς Cτράβων δεκάτῃ (p. 485), ἣν ὁ ποιητὴς Cυρίην καλεῖ ἐν Ὀδυσσείᾳ (ο 403) ἥτις μηκύνει τὴν πρώτην. μὴ οὕτω δέ, ὀξύνεται, πυρός ὁ σῖτος, τυρός, ξυρός.

Τὰ εἰς ροc μονογενῆ δισύλλαβα παραληγόμενα τῷ ῶ βαρύνεται, Δῶρος ὁ Ἕλληνος καὶ πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίᾳ «μετὰ δὲ ἡ πάλαι Δῶρος, νῦν δὲ Δῶρα καλεῖται». Ἰώσηπος ἐν ϛʹ τῆς Ἰουδαϊκῆς ἱστορίας «εἶναί τι γύναιον ἐν πόλει Δώρῳ» καὶ πάλιν «ὅτε ἤνεγκεν εἰς τὴν Δῶρον». Ἀπολλόδωρος ἐν χρονικῶν δʹ «εἰς Δῶρον οὖσαν ἐπιθαλάττιον πόλιν». καὶ Ἀλέξανδρος ἐν Ἀσίᾳ «Δῶρος τ' ἀγχίαλός τ' Ἰόπη προύχουσα θαλάσσης». καὶ Χάραξ ιαʹ «Τρύφων ἐν Δώρῳ τῆς κοίλης Συρίας πόλει πολιορκούμενος ὑπ' Ἀντιόχου ἔφυγεν εἰς Πτολεμαΐδα τὴν Ἄκην λεγομένην». ἔστι καὶ Καρίας Δῶρος πόλις, ἣν συγκαταλέγει ταῖς πόλεσιν ταῖς Καρικαῖς Κρατερὸς ἐν τῷ περὶ ψηφισμάτων τρίτῳ «Καρικὸς φόρος· Δῶρος, Φασηλῖται». Βῶρος. Χλῶρος τὸ κύριον, χῶρος, Πρῶρος, Πῶρος ὄνομα κύριον. Ὦρος. σεσημείωται τὸ σωρός τὸ πλῆθος ἐκ τοῦ σωρεός συγκοπέν. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, χλωρός, βλωρός ὁ ὑπόλευκος, ζωρός ὁ θερμός, ψωρός, πωρός, μωρός καὶ μῶρος Ἀττικῶς.

Τὰ εἰς ροc δισύλλαβα παραληγόμενα τῇ αι διφθόγγῳ, εἰ μὲν κύρια

---

ipse finxi secutus vestigia Theognosti, qui Herodianum non male intellexit, ut Schmidtius opinatur, sed corruptus est. Nam collato hoc Arcadii loco patet ap. Theogn. 70, 16 pro χαίρω χαρῶ χορός τροπῇ τοῦ ω εἰς ο scribendum esse χαίρω χαρός χορός ἢ παρὰ τὸ χωρῶ χῶρος χορός τροπῇ τοῦ ω εἰς ο. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. — χωρῶ autem ipsum Herodianus ex χῶ repetivit ap. St. B. 699, 7 χώρα ἡ μερικὴ γῆ παρὰ τὸ χῶ ῥῆμα, ἀφ' οὗ καὶ χών καὶ χθών ἡ χωρητικὴ γῆ, ἀφ' οὗ καὶ χῶρος. Quae de βορός dixi, collato E. M. 452, 29, et quae de τορός ipse canone Arcadii ducente commentus sum, σωρός autem in Il. Pr. Ψ 160 sic deducit Herodianus: παρὰ τὸ σωρεύω ὁ σωρεός, τὸ δὲ σωρός κατὰ συγκοπὴν ἀποτελεῖται, atque probabile est eum ut χορός ex χῶρος, sic σορός ex σωρός repetivisse; ἀρσενικῶς et θηλυκῶς ex Theogn. addidi. De τορός Eust. 907, 13: τόρος μὲν ἀργαλεῖον τεκτονικόν ὁ καὶ τόρνος, τορός δὲ ὁ σαφής.

l. 2 Cύρος et Τύρος ex St. B. explevi, Μύρος ex eodem apposui, Cῦρος ex St. B. et ex Eustath. ad Dionys. 525 explevi. Eustath. 907, 12 distinguit substantivum γῦρος ab adiectivo γυρός, quod fortasse ut reliqua plurima ibi prolata ex Herod. fluxit. l. 14 Δῶρος explevi ex St. B., χῶρος — Ὦρος ex Theogn. addidi, σωρός explevi ex Il. Pr. Ψ 160. — ζωρός ὁ μικρός ap. Arcad. corruptum est, posui quod ex omnibus explicationibus ad μικρός forma proxime accedit θερμός. Iacobi suspicatur οὐ μικτός i. q. ἄκρατος. De μωρός Theogn.: τοῦτο ἐπὶ ἐμψύχου τιθέμενον βαρύνεται.

εἴη, βαρύνεται, Σφαῖρος, Σκαῖρος. εἰ δὲ μὴ οὕτως, ὀξύνεται, καιρός, θαιρός, ὃ σημαίνει τὴν στρόφιγγα «ῥῆξαι δ᾽ ἀπ᾽ ἀμφοτέρους θαιρούς» (Μ 459). τὸ δὲ δαῖρος διφορεῖται ἤτοι ὁ καυστικός.

Τὰ εἰς ρος δισύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα ἐπὶ ἐμψύχων τιθέμενα βαρύνεται, φλαῦρος, σαῦρος, καῦρος ὁ κακός. ταῦρος καὶ Ταῦρος ἔθνος περὶ τὰ Ἄλπεια ὄρη, οἳ καὶ Ταυρίσκοι καὶ Ταυρῖνοι. ἔστι καὶ ὄρος διὰ μέσης Ἀσίας διῆκον, διότι ταύρους οἱ παλαιοὶ πάντα τὰ μεγάλα καὶ βίαια ἐπωνόμαζον. ἢ προτομῇ ταύρου τὰ πρὸς τῇ θαλάσσῃ ἀπείκασαν. Μαῦρος ἔθνος μέγα Λιβύης, ὃ καὶ Μαυρούσιοι. Ξαῦρος ὄνομα κύριον καὶ ἀπ᾽ αὐτοῦ Ξαῦρος πόλις Μακεδονίας. σημείωσαι τὸ σταυρός ἄψυχον. καὶ τὸ μαυρός ἀπὸ τοῦ ἀμαυρός γέγονεν.

Τὰ εἰς ρος δισύλλαβα τῇ ευ παραληγόμενα σπάνια βαρύτονα, εὖρος, πλεῦρος. τὸ δὲ λευρός ἐπίθετον καὶ Νευρός ὄνομα ἔθνους.

* Τὸ χοῖρος μόνον δισύλλαβον εἰς ος τῇ οι διφθόγγῳ παραληγόμενον προπερισπᾶται.

Τὰ εἰς ρος δισύλλαβα ἁπλᾶ παραληγόμενα τῇ ου διφθόγγῳ βαρύνεται, εἰ μή τι εἴη κατὰ διαστολήν, οὖρος ὁ ἄνεμος, οὐρός τόπος ὁ περιορίζων τὰς ναῦς, Φροῦρος τὸ κύριον· ἔστι δὲ ἔθνος Σκυθικόν, φρουρός τὸ ἐπίθετον, κοῦρος, θοῦρος, λοῦρος πλακοῦντος εἶδος. τό τε κηπουρός καὶ οἰκουρός ὡς σύνθετα τρισύλλαβα τὴν ἄρχουσαν μακρὰν ἔχοντα ὀξύνεται.

l. 1 fortasse ad καιρός additum fuit ὁ χρόνος, καῖρος δὲ ὁ μίτος, ut traditur in loco Eustath. modo laudato p. 907, 12 collato cum Schol. Od. η 107, qui locus ex Pros. Odyss. promptus videtur. θαιρός addidi ex Choer. Epim. in Psalm. 46, 35: τὰ εἰς ρος καθαρὰ δισύλλαβα τῇ αι διφθόγγῳ παραληγόμενα εἰ μέν εἰσι κύρια, βαρύνονται οἷον Σφαῖρος, Σκαῖρος, εἰ δὲ μή, ὀξύνονται οἷον καιρός θαιρός et An. Ox. II 365, 3, unde explicationem et verba Homerica sumpsi. l. 5 ταῦρος ipse propter Ταῦρος, quod ex St. B. adieci, apposui, Μαῦρος, Ξαῦρος accesserunt ex St. B. De ἀμαυρός cf. Lehrs ad Il. Pros. Θ 178, Lob. Proll. p. 209 not. 18 et El. I p. 22. l. 12 diphthongus ει praetermissa est fortasse quia Herodianus bisyllaba in ρος diphthongo praefiniri negavit, sed ex Hesychii scriptura σκεῖρος (λατύπη) et σκειρός (σκληρός) et νειρός σφοδρός concludi potest mentionem certe iniectam fuisse vocabulorum a quibusdam per ει scriptorum, praesertim quum in Choer. Orth. et in E. M. huiusmodi scriptura memoretur. Quare sic fere canonem processisse arbitror: τὰ εἰς ρος δισύλλαβα τῇ ει διφθόγγῳ παραληγόμενα ἀμφιβαλλόμενα σπάνια ἐπιθετικὰ μὲν ὄντα ὀξύνεται, σκειρός ὁ σκληρός καὶ νειρός ὁ σφοδρός, τὸ δὲ προσηγορικὸν σκεῖρος ἡ λατύπη βαρύνεται. l. 14 praeceptum de χοῖρος ipse finxi ex Theogn. 70, 3. l. 17 de οὖρος cf. Il. Pr. Β 153: οὐρούς: ψιλοῦται· ἐν πλεονασμῷ γὰρ τοῦ υ ἐγένετο ὡς καὶ ὅλος οὖλος. ἀνεγνώσθη δὲ κατ᾽ ὀξεῖαν τάσιν. ὁ γὰρ Ἀρίσταρχος παρήγγελεν. ἴσως δὲ σημειώδης ὁ τόνος· τὰ γὰρ εἰς ρος λήγοντα δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ου δίφθογγον ἐβαρύνετο, κοῦρος, θοῦρος, οὖρος. καὶ γὰρ ταῦτα περισσὸν ἔχει τὸ υ. ἴσως οὖν εἰς ἀποφυγὴν τοῦ ἐπὶ τοῦ ἀνέμου. καὶ γὰρ καὶ ἐπ᾽ ἄλλων τὸ τοιοῦτο ποιεῖ ὁ ἀνήρ. Commemoratum fuit hic etiam οὖρος ὁ ὅρος, de quo Α 554: εὔκηλον: τὸ εὔκηλον ψιλοῦται κατὰ δύο λόγους, καὶ ὅτι τὸ υ ἐπεντιθέμενον ψιλοῖ τὰ δασυνόμενα φωνήεντα, ὅρος οὖρος, ὅλος οὖλος καὶ ὅτι κτλ., et οὖρος ὁ φύλαξ, cuius meminit Ν 450, ubi de ἐπίουρος agit. — De Φροῦρος et φρουρός Eustath. ad Dionys. 752: Φροῦροι Σκυθικὸν ἔθνος πρὸς ἀντιδιαστολὴν τοῦ φρουροί, ὅπερ ὀξυνόμενον δηλοῖ τοὺς φύλακας. Ad κηπουρός οἰκουρός σύνθετα Schmidt. τρισύλλαβα addendum suspicatur, sed hoc non satisfacit, ex p. 73, 5 supplevi praeterea τὴν ἄρχουσαν μακρὰν ἔχοντα.

Τὰ εἰc ρ̄ο̄c̄ ὑπερδιcύλλαβα παραληγόμενα τῷ ᾱ, μονογενῆ ἢ κύρια, προπαροξύνεται Πίνδαρος, Πάνδαρος, κόμαρος, ἄγγαρος, Αἴσαρος ποταμός, τάλαρος, κύλλαρος, Φρέαρος Ἀθήνηcιν ἐπίcημος ἥρως καὶ Φρέαροι δῆμος Ἀθήνηcιν, Ὠλίαρος νῆcoc τῶν Κυκλάδων μία, περὶ ἧc Ἡρακλείδηc ὁ Ποντικὸc ἐν τῷ περὶ νήcων οὕτω φηcίν «Ὠλίαρος Cιδωνίων ἀποικία ἀπέχουcα Πάρου cταδίουc ιη´». Cάγγαρος ποταμός, Τόμαρος ὄρος Δωδώνηc, ὅ τινεc Τόμουρον. οἱ δὲ Τμάρος. Ταίναρος πόλιc Λακωνικὴ ἀπὸ Ταινάρου τοῦ Γεραιcτοῦ μὲν ἀδελφοῦ, Διὸc δὲ παιδόc· ὃc πλέων cὺν Καλαβρῷ τῷ ἀδελφῷ καὶ τόπον τῆc Πελοποννήcου καταλαβών τινα Ποcειδῶνοc ἱερὸν ἱδρύcατο, ὃ καλεῖται Ταίναρον. ἔcτι καὶ Ταίναρος ὁ Ἰκαρίου υἱόc «ἀφ' οὗ καλεῖται ἡ πόλιc καὶ ἡ ἄκρα καὶ ὁ λιμήν». Γύαρος νῆcoc μία τῶν Cποράδων. Δέξαρος ἔθνοc Χαόνων τοῖc Ἐγχελέαιc προcεχεῖc. Μεμβλίαρος ὁ Θήραν οἰκήcαc Φοῖνιξ εἷc τῶν μετὰ Κάδμου καὶ νῆcoc πληcίον Θήραc ἡ νῦν Ἀνάφη. λέγεται κατ' ἀφαίρεcιν Βλίαροc. Καλλίαρος πόλιc Λοκρῶν ἀπὸ Καλλιάρου τοῦ Ὀδοδόκου καὶ Λαονόμηc, ὡc Ἑλλάνικοc ἐν πρώτῃ Δευκαλιωνείαc. Cτράβων δ' ἐν ἐνάτῃ (p. 426) παρὰ τὸ εὐήροτον αὐτὴν εἶναι. φαcὶ καὶ Καλλίαρα οὐδετέρωc. Ἴκαρος νῆcoc μία τῶν Κυκλάδων. ἔcτι καὶ πόλιc Ἀττικῆc καὶ νῆcoc πρὸc τῇ Ἐρυθρᾷ θαλάccῃ. Ἴcμαρος πόλιc Θρᾴκηc τῶν Κικόνων. Ὅμηροc (Od. ι 40). Πίναρος ποταμὸc παρ' Ἰccῷ. Πάταρος ὁ Ἀπόλλωνοc καὶ Λυκίαc. Λίπαρος ὁ υἱὸc Αὔcονοc. Γίνδαρος ἀκρόπολιc Κύρρου, πόλεωc Cυρίαc. Ἀμιcώδαρος ὁ πατὴρ Cιδάκηc. Ὕμαρος ὁ πατὴρ Γέλωνοc. Ἄψαρος τόποc ἐν Εὐξείνῳ πόντῳ Ἄψυρτοc πρότερον λεγόμενοc.

Τὰ εἰc ροc ὑπερδιcύλλαβα δεδιπλαcιαcμένα κατ' ἀρχὴν καὶ τὴν πρώτην cυλλαβὴν εἰc ρ̄ καταλήγοντα προπαροξύνεται, βάρβαρος· οὐκ ἐπὶ ἔθνουc, ἀλλ' ἐπὶ φωνῆc ἐλαμβάνετο ὡc καὶ Ὅμηροc τοὺc Κᾶραc βαρβαροφώνουc ὡc πολεμίουc τῶν Ἰώνων. εἴρηται παρὰ τοῖc νεωτέροιc ἐθνικῶc. Τάρταρος. Κράτηc τὸν ὑπὸ τοῖc πόλοιc ἀέρα παχύν τε καὶ ψυχρόν τινα καὶ ἀφώτιcτον· Ὅμηροc δὲ τόπον εἶναι cυνέχοντα τοὺc περὶ Κρόνον καὶ ὑπὸ γῆν ὄνταc. λέγεται δὲ ἀρcενικῶc καὶ θηλυκῶc καὶ οὐδετέρωc. Γάργαρος ὁ Διόc, ἀφ' οὗ Γάργαρα πόλιc Τρῳάδοc, ἣν Ἀλκμὰν θηλυκῶc τὴν Γάργαρόν φηcιν, μάρμαρος, οὕτωc οὖν καὶ κάρχαρος τριγενέc. «Τρίτωνοc ἠμάλαψε κάρχαροc κύων» (Lycophr. 34) καὶ τὸ θηλυκὸν παρ' Ἀλκμᾶνι «καρχάραιcι φωναῖc» καὶ ἐπίρρημα καρχάρωc. Κέρβερος, πέρπερος, βόρβορος.

---

l. 2 ἄγγαροc et Αἴcαροc ex Dichr. 300, 1 addidi et Αἴcαροc quidem ex St. B. expletum. τάλαροc, κύλλαροc ex Mon. 21, 9 accesserunt, reliqua omnia ex St. B. — Eustath. ad Dionys. 358 commemorat etiam Cίλαροc ποταμόc, ὃν ὁ Γεωγράφοc Cίλλαριν λέγει et ad p. 752: Τόχαροι ἔθνοc, τινὲc ὀξύνουcι, τριγενὲc εἶναι λέγοντεc. l. 26 βάρβαροc explevi ex St. B., item Τάρταροc; Γάργαροc ex eodem addidi, κάρχαροc ex Ep. Cr. I 55, 23, ubi, postquam Tryphonis praeceptum propositum est: Τρύφων οὕτωc· τὰ εἰc ο̄c̄ τριγενῆ παραλήγοντα τῷ ᾱ καὶ ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλουc cυλλαβῇ ᾱ ὀξύνεται, μαδαρόc, πλαδαρόc, ἀγανόc, ἀγαθόc.

Τὰ εἰς ροc ὑπερδιcύλλαβα παραληγόμενα ᾱ cυνεcταλμένῳ ἢ ἐκτεταμένῳ τριγενῆ ὄντα ὀξύνεται, εἰ μὴ δεδιπλαcίαcται ἐν τῇ ἀρχῇ, χαλαρόc, λιπαρόc, χλιαρόc, ψαφαρόc, λαγαρόc ὁ ἀcθενήc, μαδαρόc, ῥυπαρόc, πλαδαρόc, οἷc ἠκολούθηcε καὶ τὸ ἀκαρόc. τὸ μέντοι κάρχαροc δεδιπλαcίαcται ἐν τῇ ἀρχῇ. τὸ δὲ φλύαροc προπαροξύνεται οὐκ ἔχον θηλυκὸν καὶ τὸ ἔγκαροc ὁ ἐγκέφαλοc.

Τὰ εἰc τεροc τριcύλλαβα, εἰ ἔχει τὴν ἄρχουcαν μακράν, προπαροξύνεται, φέρτεροc, βέλτεροc, κύντεροc «κύντερον ἄλλο γυναικόc» (Od. λ 427). ὕcτεροc, ὅπερ cημειῶδεc μήτε ἀπὸ τῶν εἰc υc ληγόντων παραχθὲν τριcύλλαβόν τε ὑπάρχον καὶ ἔχον τὸ c προηγούμενον τοῦ τεροc· ἀλλ᾽ ἴcωc αἴτιον τὸ πάθοc. γίνεται γὰρ παρὰ τὴν ὑπό ὑπότεροc καὶ κατὰ cυγκοπὴν ὕcτεροc. τὸ δὲ ο cυγκοπτόμενον τὸ c ποιεῖ θεόφατον θέcφατον, θεοείκελον θέcκελον. δεύτεροc. ἴκτεροc. τὸ δὲ καρτερόc ὀξύνεται ἀπὸ τοῦ κρατερόc καὶ τὸ Κρατερόc ὄνομα κύριον.

Τὰ διὰ τοῦ τεροc τριβράχεα τότε βαρύνονται, ὅτε πυcματικὴν ἔννοιαν ἔχοι ἢ ἐκ δύο προcώπων ἕν τι τὸ κατηγόρημα ποιεῖται, πότεροc, πρότεροc, ἕτεροc, οἷc ἠκολούθηcε καὶ τὸ ἑκάτεροc.

Τὰ εἰc τεροc ὑπερτριcύλλαβα cυγκριτικὰ ἢ cυγκριτικῶc παραληγόμενα προπαροξύνεται, ἰθύντεροc ῥήματι παρακείμενον τῷ ἰθύνω, ἀβέλτεροc, μελάντεροc, ὀρέcτεροc, ἡμέτεροc, ὑμέτεροc, cφωΐτεροc, φιλαίτεροc, πληcιαίτεροc, περαίτεροc, ταχύτεροc, πλατύτεροc, βραχύτεροc, ἡδύτεροc, ἐπαccύτεροc «ὡc τότ᾽ ἐπαccύτεραι Δαναῶν» (Il. Δ 427), ὅπερ οὐκ ἔχει φυcικὸν τὸ υ, ἐκ δὲ τοῦ ἀccοτέρου ἐτράπη «ἀccοτέρω καθίcαcα παραὶ πυρί» (Od. ρ

---

cεcημείωται τὸ κάρχαροc κτλ. sequitur Herodiani canon: κάρχαροc βαρύνεται· τὰ γὰρ διὰ τοῦ αροc ὡcπερεὶ δεδιπλαcιαcμένα βαρύνονται, μάρμαροc, Γάργαροc, Τάρταροc, βάρβαροc. οὕτωc οὖν καὶ κάρχαροc. l. 3 μαδαρόc, ῥυπαρόc ex Dichr. 296, 19 addidi, πλαδαρόc — ἀκαρόc ex Arcad. 87, 10 collato E. M. 26, 29: τὰ ἀπὸ τῶν εἰc ᾱ καὶ εἰc η θηλυκῶν διὰ τοῦ οc γινόμενα ὀνόματα προπαροξύνεται, κεφαλή ἀκέφαλοc, ψυχή ἄψυχοc, ὥρα ἄωροc. πρόcκειται ἐν τῷ κανόνι, εἰ μὴ χαρακτὴρ κωλύcει διὰ τὸ κάρη ἀκαρόc. ὀξύνεται γὰρ ὡc τὸ μαδαρόc et p. 45, 13 ἀκαρόc cημαίνει τὸν ἐγκέφαλον ἢ τὴν κεφαλήν καὶ γίνεται ἀπὸ τοῦ κάρη. καὶ διὰ τὸν χαρακτῆρα ὀξύνεται ὡc τὸ μαδαρόc. — ὁ ἐγκέφαλοc pro ὁ ἔγκυοc scripsi cum Lob. Proll. 253 not. 1. l. 8 κύντεροc explevi ex Mon. 21, 24, ὕcτεροc ex eodem loco addens ex Ep. Cr. I 417 γίνεται γὰρ — θέcκελον, quae Lehrsio ad Mon. l. c. Herodianeum colorem habere videntur. Huiuscemodi aliquid in Catholica se exposuisse Herod. indicat his verbis: ἀλλ᾽ ἴcωc αἴτιον τὸ πάθοc, ὡc δείκνυται ἐν ἑτέροιc (ut videtur in Catholica), ἔνθα καὶ περὶ τοῦ κύντερον ἄλλο γυναικόc, εἰ καὶ cυγκριτικόν. cf. Lehrs. adnotationem. Κρατερόc ex Theogn. addidi, ubi tamen vitiose Βλαττερόc scriptum est cf. Lehrs Aristarch. p. 282[2]. ἴκτεροc ex Choer. Epim. in Psalm. 63, 9 τὰ διὰ τοῦ τεροc τριcύλλαβα, εἰ ἔχει τὴν ἀρχὴν μακράν, βαρύνεται οἷον φίλτεροc, βέλτεροc, ἴκτεροc καὶ τὰ ὅμοια. τὸ καρτερόc ὀξυνόμενον οὐ μάχεται. ἀπὸ τοῦ κρατερόc γέγονε καθ᾽ ὑπερβιβαcμόν. De καρτερόc cf. praeterea Dichr. 294, 11 τὸ καρτερόc ὑπέρθεcιν ἔχει et Il. Pros. Α 280: καρτερόc: τὰ εἰc τεροc τριcύλλαβα βαρύνεται οἷον cφέτεροc, πότεροc, κύντεροc. πῶc οὐχὶ κάρτεροc κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰc τεροc ἀλλ᾽ εἰc εροc. τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔcχεν. ἦν γὰρ ἀπὸ τοῦ κράτοc ὡc ἀπὸ τοῦ βλάβοc βλαβερόc οὐ διὰ τοῦ βεροc ἡ παραγωγή (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β), οὕτωc καὶ ἀπὸ τοῦ κράτοc κρατερόc διὰ τοῦ εροc ἡ παραγωγή, οὐ διὰ τοῦ τεροc. l. 19 ἰθύντεροc explevi ex Mon. 21, 25; ἡμέτεροc — περαίτεροc accesserunt ex Theogn., ταχύτεροc — παραὶ πυρί» ex Mon. l. c.,

572). δημότερος συγκριτικὸν οὐκ ἀποκοπῇ, ἀλλ' ἐκ τοῦ ἐπιθετικοῦ τοῦ «δῆμον ἐόντα παρὲξ ἀγορευέμεν» (Il. Μ 213), βασιλεύτερος. τούτοις ἠκολούθησε καὶ τὸ κασσίτερος, εἰ καὶ προσηγορικόν. τὸ δὲ περιστερός ὀξύνεται. τὸ μέντοι ἀριστερός ὀξύνεται ὡς διὰ τοῦ ερος καὶ δεξιτερός. τὸ δὲ ἀμφότερος ἐπιθετικόν, τὸ δὲ Ἀμφοτερός ὡς κύριον ὀξύνεται.

* Τὰ εἰς ερος ὑπερδισύλλαβα μονογενῆ ἢ κύρια βαρύνεται, Τέρμερος, ἀφ' οὗ Τέρμερα πόλις Λυκίας, Σύβερος πόλις Ἰλλυρίδος, Ὤλερος Κρητικὴ πόλις, περὶ ἧς Ξενίων ἐν Κρητικοῖς φησι «πορρωτέρω δὲ τῆς Ἱεραπύτνης Ὤλερος ἦν ἡ πόλις ἐφ' ὑψηλοῦ μὲν ᾠκισμένη τόπου». ἵμερος παρὰ τὸ ἵημι καὶ ἵεσθαι «ἵετο γὰρ βαλέειν» (Π 383 et 866) ὁ ποθῶν γὰρ ἵεται ἐπὶ τὸ ποθούμενον.

Τὰ διὰ τοῦ ερος τριγενῆ ὄντα καὶ τριβράχεα ὀξύνεται, χωρὶς εἰ μὴ ἔχοι τὸ τ̄ πρὸ τοῦ ε̄, γοερός, νοερός, ψογερός, δροσερός, τρυφερός, βλαβερός, φανερός, ἱερός, σφαλερός, δολερός, χλοερός, νοσερός, σταθερός, πενθερός. τὸ δὲ ἥμερος τὴν πρὸ τέλους τρίτην μακρὰν ἔχει. ᾧ ἠκολούθησε καὶ τὸ ἐλεύθερος. τὸ δὲ πότερος, ἕτερος ἔχει τὸ τ̄ πρὸ τοῦ ε̄.

Τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς εἴτε κύρια εἴτε προσηγορικὰ εἴτε ἐπίθετα μὴ ἔχοντα κατ' ἰδίαν θηλυκὰ προπαροξύνεται, ὅμηρος, σίδηρος. Φάληρος· Ἄβδηρος ὄνομα τόπου. Ἄηρος πόλις Κρητική, Ἄνδηρος, Ἴβηρος ἀπὸ τῆς Ἴβηρος γενικῆς παραχθὲν «αὐτὸς Ἴβηρος τραγοπώγων» ἐν Μαλθακοῖς Κρατίνου. καὶ Ἀπολλώνιος μὲν ἐν τοῖς παρωνύμοις φησίν «ἀπὸ γενικῶν εὐθεῖαι παράγονται, τῶν μὲν ὑπὲρ δύο συλλαβὰς ὁμοίως τῇ εὐθείᾳ κατὰ τὸν τόνον προπαροξυνόμεναι, καὶ ἐν ἁπλῷ σχήματι ἢ ἐν συνθέτῳ. ἁπλοῦν μὲν οὖν μάρτυρ μάρτυρος ὁ μάρτυρος, Χάροψ Χάροπος ὁ Χάροπος «Χαρόποιο τ' ἄνακτος» (Il. Β 672), Τροίζην Τροίζηνος ὁ Τροίζηνος «υἱὸς Τροιζήνοιο» (Il. Β 847). Ἴβηρ Ἴβηρος ὁ Ἴβηρος». τὸ αὐτὸ καὶ Ἅβρων ἐν παρωνύμοις φησίν. ἀλλὰ τὰ παρὰ γενικῆς ἀναπεμφθέντα κατὰ τὸν τόνον συνεξομοιοῦνται τῷ χαρακτῆρι τῆς εὐθείας. τὸ γὰρ φυλακός προσηγορικὸν ὀξύνεται τῷ χαρακτῆρι τῶν εἰς ακος ὑπερδισυλλάβων προσηγορικῶν,

---

δημότερος ex St. B. 228, 12, βασιλεύτερος ex Mon. 42, 1; l. 4 περιστερός ex Theogn. — De Ἀμφοτερός Pros. Il. Π 415: Ἀμφοτερόν: εἰς διαστολὴν τὸ κύριον ὀξυτόνως ἀνέγνω ὁ Ἀρίσταρχος ὡς δεξιτερόν· καὶ ἐπείσθησαν οἱ γραμματικοί· περὶ δὲ τοιαύτης ἀνωμαλίας τοῦ ἀνδρὸς ἐν ἑτέροις ἡμῖν εἴρηται cf. Lehrs Arist. p. 266 ed. II. l. 7 hunc canonem finxi ex nominibus a Stephano relatis addito ex Theogn. ἵμερος, quod explevi ex E. Orion. 76, 28, ubi οὕτως Ἡρωδιανὸς subiectum est. l. 15 nomina inde a βλαβερός — ἱερός addidi ex Dichr. 294, 11, reliqua usque ad σταθερός ex Theogn., πενθερός, quod Herodianum inter adiectiva retulisse ostendit simile ἑκυρός, ex Dichr. 294, 19, ἥμερος ex Theogn., ipse addidi ἐλεύθερος, quia ab Herodiano procul dubio hic commemoratum fuit. τὸ δὲ πότερος usque ad finem ipso canone demonstrante adieci. l. 21 Ἄβδηρος usque ad Ἴβηρος sumpsi ex Theogn. p. 71, Ἴβηρος explevi ex St. B., sed quum sumendum sit a Stephano Byzantio Herodiani de accentu vocabulorum ex genetivo in nominativum transgressorum ab Apollonio et Habrone diversam sententiam omissam esse, eam ipse consulto Arcadio 51, 8; 71, 9; 67, 15; 65, et Il.

τὸ δὲ μάρτυρος ἠκολούθηcε τῷ ἄργυρος, τὸ Χάροπος τῷ Ἄροπας, Ἀcτέροπος. οὕτω καὶ τὸ Ἴβηρος τῷ ὅμηρος cίδηρος. τὸ δὲ Τροίζηνος ἀπὸ Τροιζήν ὀξυτόνου εἰς ἰδιότητα βαρύνεται ὡς καὶ τὸ Φύλακος κύριον. Ἄβληρος κύριον. Ὅμηρος «Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ» (Ζ 32). Ψένηρος Αἰγυπτία κώμη. Κύθηρος ὁ Φοίνικος, ἀφ' οὗ Κύθηρα νῆcος, καὶ δῆμος τῆς Πανδιονίδος φυλῆς. Δίγηρος ἔθνος Θρᾴκιον. Πολύβιος ιγʹ. Δίζηρος ποταμὸς Ἰλλυρίδος. Λυκόφρων (1026) «οἳ πρὸς βαθεῖ νάccαντο Διζήρου πόρῳ». ἴcως ἀπὸ τοῦ δίζηcθαι τὴν Μήδειαν ὀνομαcθείς. Δόβηρος πόλις Παιονίας. Κάληρος βαcιλεύς, ἀφ' οὗ ἡ Ἀλωπεκόννηcος ἐκαλεῖτο Κάληρος. Cτενύκληρος πόλις Μεccήνης. ἐρίηρος, τριέτηρος, πενταέτηρος, τετραφάληρος. τὰ μέντοι διὰ τοῦ ηρος ὑπὲρ δύο cυλλαβὰς ἐπιθετικὰ ἔχοντα κατ' ἰδίαν θηλυκὰ ὀξύνεται, λυπηρός, ἀταρτηρός, τυχηρός, ὀλιcθηρός, ποιηρός, ἀτηρός, ἀλγηρός, πνιγηρός, ἀνθηρός, τολμηρός, πενθηρός ἐπὶ ἱματίου μέλανος ἔφη Ἀναξίλας

A. φέρ' αὔτ' ἀνύcας. B. ἀλλ' ἐcτὶ πενθηρὸν πάνυ.

καματηρός, αἱματηρός, ἀcηρός, cιγηρός, ἀγροικηρός ἀπὸ τοῦ ἄγροικος «ἀγροικηρὴν φύcιν». ὀτρηρός, οὗ τὸ θηλυκὸν ὀτρηρή «τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη» (Ζ 381). ἰcτέον δὲ ὅτι τὸ πόνηρος καὶ μόχθηρος οἱ Ἀττικοὶ ἀντὶ τοῦ ὀξύνειν προπαροξύνουcιν, ὅταν τὸν ἐπίπονον καὶ ἐπίμοχθον cημαίνῃ, ἐπὶ δὲ τῶν κατὰ ψυχὴν φαύλων ὀξύνουcιν.

Pr. B 347 et 672 concinnavi. — Ἄβληρος accessit ex Ep. Cr. I 335, 2, E. M. 660, 49 (ubi Ἄβληρος κύριον et Ἄβδηρος Αὔδηρος τόπος) et An. Ox. II 326, 21, unde verba Homerica apposui. Ψένηρος — Cτενύκληρος ex St. B., ἐρίηρος ex Theogn., ποιηρός — πενθηρός ex Dichr. 294, 14, καματηρός — ἀcηρός ex Theogn., cιγηρός et ἀγροικηρός ex St. B. s. ἀγρός. l. 18 ὀτρηρός ex Ep. Cr. I 304, 22, ubi idem canon proponitur. — l. 20 ἐπίπονον scripsi pro ἐπίμονον et in fine addidi ἐπὶ δὲ τῶν κατὰ κτλ. ex Eustath. 341, 14 (Favorin. 326, 20): πᾶν εἰς ρος λῆγον παρώνυμον, παρεcχηματιcμένον τοῖς γένεcιν ὀξύτονόν ἐcτι καθ' Ἡρωδιανόν. διό, φηcί (sc. Trypho), εἰ καὶ πόνηρος μὲν καὶ μόχθηρος βαρυτόνως ἐπὶ τῶν ἐπιπόνων καὶ ὑπομενετικῶν, πονηρός δὲ καὶ μοχθηρός ἐπὶ τῶν κατὰ ψυχὴν φαύλων, ἀλλὰ τοῦτο οὐκ εὖ, in quibus Velsen Eustathium cum Tryphone Herodianum commiscuisse probabiliter coniicit p. 18. Ex eodem fonte fluxit Ep. Cr. I 372, 12: πονηρός ὁ κατὰ ψυχὴν ὀξυτόνως, ὁ δὲ κατὰ cῶμα προπαροξυτόνως. καὶ παρ' Εὐπόλιδι τὸ θηλυκὸν πονήρα «καὶ μὴ πονηροὺς ὦ πονήρα προξένει» (Mein. fragm. Com. I 216 ed. min.). τὸ μὲν πρότερον ὀξύνοντες, τὸ δὲ ἐπὶ τῆς προμνηcτρίας τὸ δεύτερον βαρυτονοῦντες· τῶν μὲν γὰρ τοὺς τρόπους ὁριζόμενος ὁ δῆμος, τῆς δὲ αἰτιᾶται (Mein. pro αἰτιατικῆς) ὡς ἐν λοιδορίᾳ τὴν τύχην. οἱ μέντοι νεώτεροι τῆς κωμῳδίας ποιηταὶ γλιcχρότεροι διαλύcαντες τὸ ὄνομα πονηροὺς ἐξήνεγκαν τοὺς ἐρῶντας παρὰ τὸ πονεῖν ἐν τῷ ἐρᾶν. Caeterum ex Eustath. loco apparet Herodianum iudicasse voces πονηρος et μοχθηρος ab Atticis propter sententiae discrimen diverso accentu insignitas esse, neque adstipulatum esse Tryphoni, qui barytonesin Atticis nullo intellectus discrimine propter ipsorum consuetudinem gravandi assignavit. Ammon. 116, 5 πόνηρον βαρυτονούμενον, ὡς cόλοικον καὶ πονηρόν ὀξυτονούμενον ὡς κυδοιμόν φαcὶ διαφέρειν παρὰ τοῖς Ἀττικοῖς, ὁμοίως μόχθηρον καὶ μοχθηρόν. πονηρός γάρ ἐcτιν ὀξυτόνως ὁ κακοήθης, πόνηρος δὲ ὁ ἐπίπονος. Ἀτόπως, φηcὶ Τρύφων, καὶ γὰρ τὰ φαῦλα μόχθηρα λέγομεν· κατὰ δ' ὀξύτητα, φηcί, καὶ ἐπ' ἀψύχων, μοχθηρᾶς γέ τοι τέχνης δημιούργημά φαμεν εἶναι. εἰ δὴ ταὐτοῦ τύπου κεκοινώνηκεν, ἄμφω ὀφείλει καὶ τῶν αὐτῶν τόνων μετέχειν. ὅτι [δὲ δεῖ] ὀξυτονεῖν, ἀπαιτεῖ ὁ λόγος τοῦ χαρακτῆρος (pro βίᾳ ἀνάγκης). πᾶν γὰρ παρώνυμον εἰς ηρος λῆγον παραcχηματιζόμενον τοῖς γένεcιν ὀξυτονεῖται οἷον κάματος καματηρός, ὄλιcθος ὀλιcθηρός, μέλι μελι-

Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ει διφθόγγῳ ἢ μόνῳ τῷ ῑ ἐκτεταμένῳ βαρύνεται, Κάμειρος τὸ κύριον — ἔστι δὲ παῖς Κερκάφου τοῦ Ἡλιάδου καὶ Κυδίππης — διὰ διφθόγγου, Κάμιρος δὲ πόλις ἐν Ῥόδῳ διὰ τοῦ ῑ «Λίνδον Ἰήλυσόν τε καὶ ἠνεμόεντα Κάμιρον» (Il. B 656). ἤπειρος, Κάβειρος πόλις τῆς κάτω Ἀσίας. τοὺς δὲ δαίμονας Καβείρους ὁ Ἀλεξίων διὰ τοῦ ῑ, ὡσαύτως δὲ Φιλόξενος. ἡ δὲ παράδοσις δίφθογγον ἔχει καὶ ἴσως συνέδραμε τῷ μάγειρος, αἴγειρος, πέπειρος, ὄνειρος. Ἄνδειρος ὄνομα ποταμοῦ, Κόνειρος ὄνομα ἔθνους, ὄνειρος, πέπειρος, μάγειρος παρὰ τὸ μάσσω ὁ τὰς μάζας φυρῶν. Αἰολεῖς δὲ διὰ τοῦ ῑ. αἴγειρος διὰ διφθόγγου τὰ δύο. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ῑ οἷον «καὶ αἰγέρων ἔφυσαν εὐγενέστεραι» καὶ κατὰ πλεονασμὸν τοῦ ῑ αἴγειρος Ὅμηρος (Od. η 106) «μακεδνῆς αἰγείροιο». τὰ γὰρ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλουσι παραλήγεσθαι οἷον ἀΐσσω αἴγειρος, μάσσω μάγειρος, ὀνῶ ὄνειρος, πέπτω πέπειρος. τὸ δὲ αι τῆς πρώτης συλλαβῆς γέγονεν ἀπὸ τοῦ ἀΐσσω κατὰ κρᾶσιν. ἔστι δὲ καὶ Αἴγειρος πόλις Μεγαρίδος, ὡς Θεόπομπος πεντηκοστῇ ἕκτῃ, ἣν Στράβων Αἰγείρουσαν λέγει (9 p. 394). σάπφειρος λίθος, Στάγειρος. Κάσπειρος πόλις Πάρθων προσεχὴς τῇ Ἰνδικῇ καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Στάλιρος, Σίτιρος, Βίστιρος πόλις Θρᾴκης καὶ Πίστιρος τὸ ἐμπόριον. Κύστιρος, Δύσιρος, Βεδύσιρος, ἄϊρος σύνθετον ἀπὸ δισύλλαβου Ἶρος «ἦ τάχα Ἶρος ἄϊρος

τηρός, τόλμα τολμηρός, νόσος νοσηρός· εἰ δὴ πόνος καὶ μόχθος τὰ πρωτότυπα, πονηρός καὶ μοχθηρός ῥητέον ὀξυτόνως. εἰ δ' οἱ Ἀττικοὶ βαρυτονοῦσιν, οὐ θαυμαστόν ἐστι· χαίρουσι γὰρ τῇ βαρύτητι· Ἄδελφε γοῦν λέγουσι τὴν πρώτην ὀξυτονοῦντες ὡς ἄπελθε (φησὶν ὁ Τρύφων παρατιθέμενος Φιλήμονα τὸν Αἰξωνέα) καὶ Θεττάλην ὡς Μυρτάλην καὶ χάριεν τὴν πρώτην συλλαβὴν ὀξυτονοῦντες· ὥστε οὐκ εἰς διαστολὴν (φησίν) τοῦ σημαινομένου εὗρον τὴν βαρύτητα ἀλλ' ὡς ἔθος ἐκπληροῦντες οὕτως προηνέγκαντο. — Eustath. 1967, 33 etiam tertiam formam πονῆρος ὁ ἐλέους ἄξιος profert. l. 3 quum Arcadius Κάμειρος, Theogn. Κάμιρος habeat, utrumque posui secutus Eustath. ad Dionys. 504: Κάμιρος διὰ τοῦ ι γραφομένη πρὸς ἀντιδιαστολὴν τοῦ κυρίου· ὁ γὰρ Κάμειρος κύριον διὰ διφθόγγου γράφεται, quod eo firmatur, quod ap. Steph. B. urbs Κάμιρος scripta est, quum 88, 13 andronymicum per ει proferatur, et canone orthographico E. M. 488, 7, qui ex Herodiano petitus videtur (cf. 660, 49): Κάμιρος ὄνομα πόλεως ὡς παρὰ τῷ ποιητῇ «Λίνδον Ἰήλυσόν τε καὶ ἠνεμόεντα Κάμιρον» — τὰ διὰ τοῦ ιρος ἐπὶ πόλεως λεγόμενα καὶ μὴ οὐδέτερα διὰ τοῦ ῑ γράφεται, Πίστιρος, Στάλιρος, Κύστιρος, Δύσιρος, Σίτιρος. τὸ ἤπειρος οὐκ ἀντίκειται ἡμῖν. οὐκ ἐπὶ πόλεως γάρ, ἀλλ' ἐπὶ χωρίου οὔτε τὸ Στάγειρος· ἔχει γὰρ οὐδέτερον τὰ Στάγειρα· τὰ δὲ ἄλλα πάντα διὰ τῆς ει γράφεται, μάγειρος, Κάμειρος (sc. ὁ ἥρως) χωρὶς εἰ μὴ ὦσιν ἀπὸ δισυλλάβου διὰ τὸ ἄϊρος, unde concludas etiam urbes Κάβειρος et Κάσπειρος ap. Steph. habuisse formam neutralem. Caeterum Κάμειρος et Κάμιρος explevi ex St. B., ἤπειρος recepi ex St. B. et E. M., Κάβειρος ex St. B. et E. Gud. 289, 30, unde verba τοὺς δὲ δαίμονας usque ad l. 9 ὄνειρος, quo loco καὶ Ἡρωδιανὸς λέγει τὴν παράδοσιν κτλ. Ἄνδειρος et Κόνειρος ex Theogn., item ὄνειρος — μάγειρος, quod postremum partim explevi ex Herod. Orth. in E. Or. 100, 4, porro αἴγειρος, quod explevi ex Orth. Herod. in E. Orion. 100, 4 collato Choerob. 177, 31 et E. M. 28, 39 et ex St. B., ex quo etiam recepi σάπφειρος — Κάσπειρος. Σίτιρος ex E. M. et Theogn. scripsi pro Σίσιρος vel Σίσειρος (cod. C), Βίστιρος et Πίστιρος ex St. B., Κύστιρος, Δύσιρος ex E. M. et Theogn., Βεδύσιρος ex Theogn. recepi. In fine Βοιωτιακῶς ex Theogn. et ὡς τέθηκα τέθεικα ex An. Ox. II 327, 1 addidi. Schmidtius ad Hesych. s. v. Arcadium i. e. Herodianum

ἐπίϲπαϲτον κακὸν ἕξει» (Od. ϲ 72). τὸ καυϲτειρόϲ οὐ μάχεται. ἀπὸ γὰρ τοῦ η̅ ἐτράπη εἰϲ ε̅ι̅ Βοιωτιακῶϲ ὡϲ τὸ τέθηκα τέθεικα.

* Τὰ εἰϲ ροϲ ὑπερδιϲύλλαβα παραληγόμενα τῷ ο̅ ἁπλᾶ προπαροξύνεται, Δοροκόττοροϲ πόλιϲ Γαλατῶν τῶν προϲβόρρων. ἀλάϲτοροϲ εὐθεῖα παρὰ τὴν γενικὴν παραχθεῖϲα. Αἰϲχύλοϲ Ἰξίονι «πρευμενὴϲ ἀλάϲτοροϲ» καὶ Φερεκύδηϲ «ὁ Ζεὺϲ δὲ Ἱκέϲιοϲ καὶ Ἀλάϲτοροϲ καλεῖται».

Τὰ εἰϲ ρ̅ο̅ϲ̅ ὑπερδιϲύλλαβα παραληγόμενα τῷ ο̅ ϲύνθετα ὄντα προπαροξύνεται, κατήγοροϲ, ϲυνήγοροϲ, περὶ ὧν ἐν τῷ τέλει λέξομεν. νῦν δὲ διαληψόμεθα περὶ τῶν ἐχόντων τὸν τόνον ἐν τῇ παραληγούϲῃ, τελεϲφόροϲ, δορυφόροϲ, βουληφόροϲ, ἑωϲφόροϲ, τὸ δὲ ἄφοροϲ προπαροξύνεται, παντοπόροϲ, καὶ γαμόροϲ, τὸ δὲ κατάμοροϲ προπαροξύνεται.

Τὰ εἰϲ ρ̅ο̅ϲ̅ ὑπὲρ δύο ϲυλλαβὰϲ παραληγόμενα τῷ υ̅ κύρια ἢ προϲηγορικά, μὴ περιεκτικὰ ἢ ἐπιθετικὰ ἔχοντα κατ' ἰδίαν θηλυκὰ προπαροξύνεται, πάπυροϲ, διάπυροϲ ὁ θερμόϲ, μάρτυροϲ, ἄργυροϲ. ἔϲτι καὶ πόλιϲ. Φίλιϲτοϲ ἐν ἐνάτῃ. πόρφυροϲ, Ζέφυροϲ, Ϲάτυροϲ, λάθυροϲ εἶδοϲ ὀϲπρίου. Ἴδυροϲ πόλιϲ, ἣ καὶ Ἰδυρίϲ, καὶ ποταμὸϲ Παμφυλίαϲ. Ἑκαταῖοϲ. Μάνθυροϲ. Ἄμυροϲ πόλιϲ Θεϲϲαλίαϲ ἀπὸ ἑνὸϲ Ἀργοναυτῶν. ἡ πόλιϲ θηλυκόν. ἄδηλον δὲ τὸ Ἡϲιόδειον «Δωτίῳ ἐν πεδίῳ πολυβότρυοϲ ἀντ' Ἀμύροιο». Ϲουίδαϲ δ' ἐν ταῖϲ γενεαλογίαιϲ τὴν πόλιν Ἀμυρικὴν καλεῖ. Γλάφυροϲ υἱὸϲ Μάγνητοϲ ὁ τὰϲ Γλαφυρὰϲ κτίϲαϲ, Ἔλυροϲ πόλιϲ Κρήτηϲ ὡϲ Ξενίων ἐν Κρητικοῖϲ. Ἔφυροϲ ὁ Ἄμβρακοϲ τοῦ Θεϲπρωτοῦ τοῦ Λυκάονοϲ τοῦ Πελαϲγοῦ τοῦ γηγενοῦϲ τοῦ Ἀρκάδοϲ, καὶ τὸ ἐθνικὸν ὅμοιον. Βάκυροϲ ἔθνοϲ πρὸϲ Πάρθουϲ καὶ Μήδουϲ ὃ καὶ Βακυριανόϲ. Ϲίμυροϲ πόλιϲ Ϲύρων. Ἔφοροϲ δὲ Ϲίμυρα οὐδετέρωϲ αὐτήν φηϲι. Καϲπάπυροϲ πόλιϲ Γαν-

---

καυϲτειρόϲ ex καυϲτηρόϲ per tropen repetentem ineptire dicit, quae ratio summos viros tractandi ipsa est inepta. l. 3 hunc canonem ab Arcadio omissum restitui ex nomine Δοροκόττοροϲ ap. St. B. et ἀλάϲτοροϲ in Ep. Cr. I 62, 11. Ἄβοροϲ ποταμόϲ ap. St. B. 544, 7 recipere dubitavi, quia hic fluvius ap. Strab. 16 p. 747 Ἀβόρραϲ dicitur et Dindorfius pro Ἄβορον scribere vult Ἀβόρραν. Fortasse commemoratum fuit etiam proprium Πάκοροϲ, quod Lobeck in πάποροϲ Arcadii inesse suspicatur, et κάμοροϲ plantae nomen, quod in κατάμοροϲ idem corruptum esse opinatur Proll. 271 not. 40 et Elemm. I 362 not. 13. Nam quamquam Schmidtius recte vidit Herodianum disseruisse de vocabulis γαμόροϲ, παντοπόροϲ similibus, tamen vocabula ap. Arcadium prolata ex canone priore, qui intercidit, in alienum locum irrepsisse credibile est. l. 8 de κατήγοροϲ, ϲυνήγοροϲ cf. Arcad. 89, 5, τελεϲφόροϲ — ἑωϲφόροϲ huc recepi ex Arcad. 88, 9 et indidem ἄφοροϲ, quod fortasse in ἄνοροϲ Arcadii delitescit, παντοπόροϲ cum Schmidt. pro πάποροϲ et καὶ γαμόροϲ pro κατάμοροϲ scripsi, sed hoc ipsum κατάμοροϲ retinui ut voci γαμόροϲ oppositum. l. 15 ἄργυροϲ explevi ex St. B., πόρφυροϲ accessit ex Theogn. 72, 1; Ζέφυροϲ et Ϲάτυροϲ ex Ep. Cr. I 180, 16, ubi idem canon; λάμπυροϲ, quod ibi legitur, aut ex πάπυροϲ aut διάπυροϲ corruptum videtur; πάϲϲυροϲ, quod Lob. Rhem. 12 not. 13 pro Arcadii πάπυροϲ cod. A in codd. BC πάρϲυροϲ scripto reponendum iudicat, fortasse addendum est. λάθυροϲ accessit ex canone orthogr. in An. II 323, 24: τὰ εἰϲ υ̅ρ̅ο̅ϲ̅ ὑπὲρ δύο ϲυλλαβὰϲ — ὀξύτονα οἷον ἁλμυρόϲ, ὀϊζυρόϲ, ἑκυρόϲ. προπαροξύτονα δὲ οἷον Ϲάτυροϲ, ψίθυροϲ (?) λάθυροϲ· ἔϲτι δὲ εἶδοϲ ὀϲπρίου. πάπυροϲ. Ζέφυροϲ. — Ἴδυροϲ, quod falso ap. Theogn. Ἴπυροϲ scriptum, a Lob. Proll. 274 not. 14 emendatum est, explevi ex St. B.; Μάνθυροϲ promptum est ex Theogn., reliqua

δαρική. Cκυθῶν δὲ ἀκτή. Ἑκαταῖος Ἀσίᾳ. Κόccυρος νῆcος κατὰ Cελινοῦντα Cικελίας ποταμὸν καὶ πόλις ὁμώνυμος. Κίνυρος Κουρέως πατήρ. Λάμυρος ποταμὸς Λυκίας. Λίγυρος ποταμὸς Ἰβηρίας. Λίμυρος ποταμὸς Λυκίας. Λευκόσυρος ποταμὸς Κιλικίας ὁ ὕστερον Πύραμος. λέγονται καὶ Cύροι ἔθνος Λευκόσυροι. Cτράβων ἑκκαιδεκάτῃ (p. 737) «δοκεῖ δὲ ἀπὸ Βαβυλωνίας τῶν Cύρων τὸ ὄνομα διατείνειν μέχρι τοῦ Ἰσσικοῦ κόλπου, ἀπὸ δὲ τούτου μέχρι τοῦ Εὐξείνου πόντου. οἱ γοῦν Καππάδοκες ἀμφότεροι, οἵ τε πρὸς τῷ Ταύρῳ οἵ τε πρὸς τῷ Πόντῳ, μέχρι νῦν Λευκόσυροι καλοῦνται». Νίσυρος νῆσος μία τῶν Κυκλάδων «οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον» (B 676). Τάπυρος ἔθνος οὐ πόρρω Ὑρκανίας. Λέσυρος ποταμός. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Ὕοψ πόλις, μετὰ δὲ Λέσυρος ποταμός». τὸ δὲ ἀχυρός ὁ ἀχυρών παρὰ Ἀττικοῖς ὀξύνεται ὡς περιεκτικόν. τὰ δὲ ἔχοντα θηλυκὰ τριγενῆ ὀξύνεται, λιγυρός, καπυρός, ἁλμυρός, ὀϊζυρός, ὀχυρός, ἐχυρός, ἰσχυρός, βδελυρός, ἑκυρός ὁ πενθερός.

Τὰ διὰ τοῦ ωρος ὑπερδισύλλαβα κύρια προπαροξύνεται, Θεόδωρος, Ἄψωρος πόλις Ἰλλυρίας, Ἰσόδωρος. Ἄλωρος πόλις Μακεδονίας. ἔστι δὲ καὶ τὸ μυχαίτατον τοῦ Θερμαίου κόλπου. Ἄζωρος πόλις Πελαγονίας τῆς λεγομένης Τριπολίτιδος, ὡς Cτράβων (7 p. 327), ὑπό τινος ἐκτισμένη Ἀζώρου. λέγεται καὶ πληθυντικῶς «ἐν Ἀζώροις». Ῥιανὸς Ἀζώρειαν αὐτήν φησιν. Ἀννίχωρος ἔθνος πλησίον Περσῶν. λέγεται καὶ Ἀννίχωρ. Ἄωρος πόλις Κρήτης ἀπὸ Ἀώρας νύμφης. ἐκαλεῖτο καὶ Cάωρος. Γάζωρος πόλις Μακεδονίας. Ἕλωρος ποταμὸς ὁ κατὰ Πάχυνον, ὃς λέγεται τιθασοὺς ἰχθῦς ἔχειν ἀπὸ χειρὸς ἐσθίοντας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν πρώτῃ. καὶ ἀπ' αὐτοῦ Ἕλωρος πόλις Cικελίας. ἔστι καὶ Μακεδονίας ἄλλη. Θέστωρος πόλις Θρᾴκης. Θεόπομπος εἰκοστῇ δευτέρᾳ. Κασσάνωρος πόλις Αἰγυπτία, ἧς μέμνηται Ἔφορος κϛʹ. Κύτωρος ἢ Κύδωρος πόλις Παφλαγονίας ἀπὸ Κυτώρου τοῦ Φρίξου παιδός. Μίλκωρος Χαλκιδικὴ πόλις ἐν Θρᾴκῃ. Θεόπομπος κεʹ Φιλιππικῶν. Πίλωρος πόλις περὶ τὸν Ἄθων. τὰ μέντοι προσηγορικὰ ἢ ἐπιθετικὰ καὶ ὀξύνεται καὶ βαρύνεται. καὶ ὀξύνονται μέν, ὅσα ἔχει ἔννοιαν τοῦ ὠρῶ ῥήματος, θεωρός, ὑληωρός, ἰωρός ὁ γνήσιος φύλαξ, πυλωρός, θυρωρός, μυλωρός, φρυκτωρός, σκευωρός. τὰ δὲ βαρύνεται, νέωρος, ἀσχέδωρος, μετέωρος, ὀλίγωρος, οὐδενόσωρος.

---

omnia usque ad Λέσυρος, quod ibi falso acutum est, ex St. B. recepi, Τάπυρος pro Τάπυρρος restituens ex Eustath. ad Dionys. 730: Ἄπυρος, οὓς Ταπύρους φησὶν ὁ Γεωγράφος ἀρχομένους ἀπὸ τοῦ τ̄. l. 14 ὀϊζυρός recepi ex An. Ox. l. c., ἰσχυρός ex Dichr. 294, 15, βδελυρός ex Theogn. l. 17 Ἄψωρος explevi ex St. B., ubi Ἄψωρος πόλις Ἰλλυρίας. Ἡρωδιανὸς ὀγδόῃ. Nomina inde ab Ἄλωρος — Πίλωρος addidi ex St. B., θυρωρός — σκευωρός ex Theogn. 72, fortasse Herodianus etiam Homericae formae θυραωρός mentionem iniecerat, Schol. enim B ad Il. X 69 Ἡρωδιανὸς θυραωρούς γράφει pro Aristarchi πυλαωρούς refert fortasse ex Catholica. νέωρος non necesse est cum Schmidtio νεωρός scribere et praecedentibus adiungere, hoc νέωρος idem est ac νέος cf. Lob. ad Buttm. II 407 et El. II 163. οὐδενόσωρος apposui ex Il. Pr. Θ 178: οὐδενόσ-

Τὰ εἰς ρ̄ο̄ς̄ ὑπερδισύλλαβα παραληγόμενα τῇ ᾱῑ διφθόγγῳ προπαροξύνονται, κἂν ἐπιθετικὰ ὑπάρχωσιν, Πάλαιρος· ἔστι δὲ χωρίον τῆς Ἀκαρνανίας. μέμνηται καὶ Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ «οὔτ' ὧν Πάλαιρος οὔτε βοιαυτοῦ» (*). χήμαιρος· κύπαιρος Δωρικὸν ἀπὸ τοῦ κύπειρος γέγονεν τροπῇ τοῦ ε̄ εἰς ᾱ ὡς κατώγειος κατώγαιος. εὔκαιρος, ἄκαιρος. τὸ μέντοι ἑταῖρος προπερισπᾶται. ἴσως οὖν ἀναλογώτερον τὸ «ἑτάρους τε» χωρὶς τοῦ ῑ λεγόμενον. πολλὰ γάρ ἐστι τοιαῦτα, μάρμαρος, βάρβαρος, τάλαρος, κύλλαρος, φλύαρος.

Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῇ ᾱῡ διφθόγγῳ, μὴ ἔχοντα θηλυκά, προπαροξύνεται, Ἴσαυρος ἔθνος. Ἐπίδαυρος πόλις πρὸς τῷ Ἄργει θηλυκῶς λεγομένη. τὸ γὰρ «ἀμπελόεντ' Ἐπίδαυρον» (B 561) μετὰ ἀρσενικοῦ ἐπιθέτου θηλυκόν ἐστιν ὡς τὸ «ψολόεντος ἐχίδνης» (Ther. 129) παρὰ Νικάνδρῳ καὶ τὸ «ἠμαθόεντος Πύλου» (B 77) καὶ ὅσα τοιαῦτα. τινὲς δὲ αὐτήν φασι Λειμήρη διὰ διφθόγγου ὡς λειμῶνας ἔχουσαν ἢ διὰ τοῦ ῑ ὡς πολυλίμενον κατὰ Ἀρτεμίδωρον. ἐκαλεῖτο καὶ Μειλισσία καὶ Αἱμηρά διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν τοῦ Ἀσκληπιοῦ ὑπὸ τῶν θυσιῶν. εἶτα Ἐπίταυρος καὶ Ἐπίδαυρος. Κένταυρος, Ἄναυρος, Ἄγλαυρος, Κάλαυρος ὁ Ποσειδῶνος, Μάταυρος πόλις Σικελίας Λοκρῶν κτίσμα. Βάναυρος υἱὸς Αἴαντος, ἀφ' οὗ Βαναυρίδες Τυρρηνικαὶ νῆσοι. τὸ δὲ θησαυρός ὡς περιεκτικὸν ὀξύνεται ὥσπερ καὶ τὰ τριγενῆ, ἀμαυρός, ἀφαυρός καὶ τὸ ἀγαυ-

---

ωρος: ὡς κυνόσουρα ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνός γενικῆς ἐντελοῦς· οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται, ἀλλὰ οἵ γε ποιηταὶ τολμῶσι ξένας συνθέσεις. l. 2 Πάλαιρος ex Mon. 21, 13 et Theogn. recepi, χήμαιρος, quod Lobeck. pro χίμαιρος dictum suspicatur, ex Theogn. 71, 4, ex eodem κύπαιρος, de huiuscemodi formis Doricis cf. Ahrens de dial. Dor. 186 seqq. ad ἑταῖρος adieci verba ἴσως οὖν ἀναλογώτερον usque ad finem ex Mon. l. c. Theognostus de ἑταῖρος haec refert: σεσημείωται τὸ ἑταῖρος προπερισπώμενον διὰ τῆς ᾱῑ διφθόγγου, γέγονε δὲ παρὰ τὸ ἔθος ὡς δρόμος δρομαῖος καὶ τροπῇ τοῦ θ̄ εἰς τ̄ καὶ πλεονασμῷ τοῦ ρ̄ ἑταῖρος, μεταθέσει τῆς ψιλῆς εἰς δασεῖαν. οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς. l. 10 Ἴσαυρος pro Πίσαυρος scripsi ex St. B., Ἐπίδαυρος explevi ex St. B., de Λειμήρη et Λιμήρη cf. E. M. 566, 34 Λιμήρη Ἐπίδαυρον: τοῦτο δισσόν ἐστιν· ὁπότε παρὰ τοῦ λιμένος λιμενήρης ἢ παρὰ τὸ λειμῶνος λειμωνήρη λειμήρη. οὕτως Ἡρωδιανός. l. 18 Ἄγλαυρος addidi ex Schol. ad Hes. theog. 832, quod congruit fere cum Arcadio et ex eodem fonte fluxit, licet Muetzel Theog. 342 Scholia ante Herodiani tempora perscripta esse contendat, quod annotavit Iacobi: τὰ εἰς ᾱῡρ̄ο̄ς̄ ἔχοντα κατ' ἰδίαν θηλυκὰ ὀξύνονται, ἀφαυρός, ἀμαυρός· τὸ δὲ ἄγαυρος βαρύνεται πλεονασμῷ τοῦ ᾱ ἐκ δισυλλάβου γενόμενον. τὰ δὲ μὴ ἔχοντα προπαροξύνεται, Ἐπίδαυρος ὄνομα πόλεως, Ἄγραυλος (?), Κένταυρος· σεσημείωται τὸ θησαυρός ὀξυνόμενον. — Κάλαυρος, Μάταυρος accesserunt ex St. B. — καὶ τὸ ἀγαυρός ipse addidi secutus Schol. Theog. l. c. et Il. Pr. Θ 178: οὐκ ἐκεῖνο μέντοι διηνεκὲς λέγομεν, ὅτι πλεονασμὸς τοῦ ᾱ φυλάσσει τὸν τόνον ἀεί· οἶδα γὰρ τὸ ἄδορος (sic Lob. El. I 31 pro ἄβορος), ἀγαυρός, ἄσταχυς, unde quae in textu sunt posui. Scholiastam Theogn. Herodiani de vocis ἀγαυρός accentu sententiam pervertisse apparet etiam ex Eustath. 1444, 8: ἀγαυός καὶ πλεονασμῷ ἀγαυρός. εἰ δέ τι μετέχει τοῦ τοιούτου ἀγαυροῦ ἀγαύρισμα, ὅπερ ἐστὶ πάλης εἶδος, οὐκ ἂν εἴη ἀκριβῶς ἀποφήνασθαι· ὥσπερ ἴσως οὐδὲ εἰ τὸ ἀγαυρός μὴ ἀπὸ τοῦ ἀγαυός ἀλλ' ἀπὸ τοῦ γαῦρος γίνεται· εἰ γὰρ ἐκεῖνο μὲν οὐκ ἔχει ἀπορίαν ὡς τῆς ἐπενθέσεως τοῦ ρ̄ μὴ ἀναγκαζούσης προπαροξυτόνησιν, τοῦτο δὲ ἀπορηθείη ἄν, εἰ τὸ μὲν ἁπλοῦν βαρύνεται ἤτοι τὸ γαῦρος, τὸ δὲ σύνθετον ἀγαυρός ὀξύνεται, δέον ὂν προπαροξύνεσθαι· ἀλλὰ καὶ τοῦτο ἔχει λόγον, διὰ τὸ συνακολουθῆσαι τῷ

ρός, ὅπερ ἔδει βαρύνεσθαι πλεονασμῷ τοῦ ᾱ ἐκ δισυλλάβου γενόμενον.

Τὰ εἰς ροσ ὑπὲρ δύο συλλαβὰς παραληγόμενα ου προπαροξύνεται, ἐπίκουρος, ἐπάρουρος ὁ κηπουρός. Ἕλουρος Σκυθικὸν ἔθνος, μελάνουρος, Παλίνουρος, παλίουρος τὸ φυτόν. Ὄλουρος πολίχνιον τῆς Ἀχαΐας οὐ πόρρω Παλλήνης ὡς Ξενοφῶν Ἑλληνικῶν ἑβδόμῳ (4, 17). Βάλβουρος, ἀφ' οὗ Βάλβουρα πόλις Λυκίας. Βόλουρος πόλις τῶν ἐν Ἰλλυρίᾳ Τράλλεων «μοῖρα γὰρ τῶν Ἰλλυριῶν Βῆγις καὶ Βόλουρος». Ἰψίκουρος ἔθνος Λιγυστικόν. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ «ἣν ἐνέμοντο πρότερον Ἰψίκουροι καὶ Ἀρβαξανοὶ καὶ Εὔβιοι, Λίγυες τὸ γένος». Κυνόσουρος ὁ Ἑρμοῦ, Κύνουρος παῖς Περσέως, Ἀπάτουρος κόλπος ἐν τῇ Ἀσίᾳ. Ἑκαταῖος. Τόμουρος. οὕτως τινὲς Τόμαρον ὄρος Δωδώνης ὃ καὶ Τμάρος καὶ τὸν κατοικοῦντα. σεσημείωται νομηουρός ὁ τὴν νομὴν φυλάσσων καὶ ὑλοκουρός ὁ τὴν ὕλην τέμνων.

Τὰ εἰς ροσ τρισύλλαβα παραληγόμενα τῇ ου ὀξύνεται, εἰ ἔχοι τὴν ἄρχουσαν μακράν, οἰκουρός, κηπουρός, τηλουρός ὁ μακρὰν ὤν. τὰ μέντοι προπερισπώμενα τρισύλλαβα ὁρᾶται ἔχοντα ἐν τῇ πρὸ τῆς ου δύο σύμφωνα ἢ καὶ πλείω τῶν χαρακτηριστικῶν τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων, ἀρκτοῦρος, ἀγχοῦρος, κλαγγοῦρος ὁ κρακτικός. τὸ δὲ Λάμπουρος προπαροξύνεται καὶ τὸ κέρκουρος εἶδος πλοίου.

Τὰ εἰς ροσ δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου ἀρχόμενα ἀπὸ τῆς νε ὀξύνεται, νεκρός, νεβρός, νεφρός.

* Τὰ εἰς ροσ δισύλλαβα μετ' ἐπιπλοκῆς τοῦ β ἁπλᾶ μονογενῆ βαρύνεται, Ἄβρος ἔθνος πρὸς τῷ Ἀδρίᾳ Ταυλαντίων προσεχὲς τοῖς Χελιδονίοις ὡς Ἑκαταῖος. Ἕβρος ποταμὸς Θρᾴκης. Κίμβρος, οὕς τινές φασι Κιμμερίους, Σκύβρος χωρίον Μακεδονικὸν ὡς Θεόπομπος. Σκόμβρος ἔθνος ὡς Σοφοκλῆς. Θίβρος πόλις Καρίας. Λυκόφρων (v. 1390) «οἳ Θίβρον οἰκήσουσι Σάτνιόν τ' ὄρος». Θύμβρος φίλος Δαρδάνου, ἀφ' οὗ Θύμβρα. Ἴμβρος νῆσος Θρᾴκης ἱερὰ Καβείρων καὶ Ἑρμοῦ, ὃν Ἴμβραμον λέγουσιν οἱ Κᾶρες. ἔστι καὶ πόλις. Τέμβρος πόλις Κύπρου. Ὄμβρος ποταμὸς Ἰταλίας καὶ ἔθνος. λέγονται καὶ Ὄμβρικοι καὶ Οὔμβροι παρὰ τοῖς Ἰταλικοῖς συγγραφεῦσι. καὶ τὸ ὄμβρος προσηγορικόν. ἄλλως τε τὰ εἰς οσ δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλέονα βαρύνεσθαι θέλει. οἷον ὄκνος, ὄρρος, ὄσσος, Ὄρθος, ὄγμος. οὕτως καὶ ὄμβρος. τὸ μέντοι γαμβρός ὀξύ-

---

ἀφαυρός καὶ τῷ ἀμαυρός καὶ τοῖς ὁμοίοις. l. 2 canon de nominibus in οιροσ hyperdisyllabis non propositus est, quum unicum huius generis vocabulum ὄνοιρος Aeolicum sit: E. M. 660, 52: ὄνειρος ὄνοιρος λέγεται Αἰολικῶς. l. 4 Ἕλουρος ex St. B. explevi, nomina inde ab Ὄλουρος usque ad Τόμουρος ex St. B. adieci, apud quem contra canonem Τομοῦρον scriptum est. l. 25 hunc canonem finxi ex St. B. 9, 3 s. Ἄβροι, ubi βαρύνεται δὲ ὡς Κίμβροι κτλ., etiam reliqua indidem petita sunt, appellativum ὄμβρος ex Il. Pr. Λ 68. τὸ μέντοι γαμβρός

νεται. τὰ δὲ τριγενῆ ὀξύνεται λιβρός ὁ σκοτεινός. τὸ δὲ λάβρος σύνθετον.

Τὰ εἰς ροϲ δισύλλαβα μετ' ἐπιπλοκῆς τοῦ γ βαρύνεται, μονογενῆ ὄντα, φάγρος, πάγρος, γόγγρος. τὰ δὲ τριγενῆ ὀξύνεται, λυγρός, ὑγρός, μεθ' ὧν καὶ ἀγρός.

Τὰ εἰς ροϲ δισύλλαβα ἔχοντα δ μονογενῆ βαρύνεται, Ἄνδρος νῆσος μία τῶν Κυκλάδων. ἐκλήθη δὲ ἀπὸ Ἄνδρου τοῦ Εὐρυμάχου ἢ τοῦ Ἀνίου ἀδελφοῦ τοῦ πατρὸς τῶν Οἰνοτρόπων. τινὲς δέ φασιν Ἀνδρέα τοῦτον καὶ Ἀνίου παῖδα. Σκίδρος πόλις Ἰταλίας. Κόδρος. Φαῖδρος τὸ κύριον, φαιδρός δὲ ὁ λαμπρός ὀξύνεται, ὥσπερ καὶ τὸ κυδρός ὁ τίμιος. σεσημείωται τὸ χονδρός ὀξυνόμενον, οὐ τὸ ἐπίθετον τριγενὲς ὄν, ἀλλὰ τὸ προσηγορικόν εἶδος ἐντέρου ὄν.

Τὰ εἰς ροϲ δισύλλαβα τριγενῆ ἔχοντα δασὺ πρὸ τοῦ ρ ὀξύνεται, νωθρός, σαθρός, ψυχρός, ἐχθρός, αἰσχρός, στιφρός ὁ συνεστραμμένος. βληχρός. σεσημείωται τὸ γλίσχρος. τὰ δὲ μονογενῆ βαρύνεται οἷον δίφρος καὶ Δίφροι πόλις Φοινίκων καὶ τὸ ἐθνικὸν ὁμώνυμον, ὦχρος τὸ μονογενές, ὠχρός τὸ ἐπίθετον. τάχα δὲ καὶ τὸ ὦχρος ἐγένετο παρὰ τὸ ἄχροος, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς οϲ λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται ὦμος. πρόσκειται μὴ ἔχοντα τὸ ι διὰ τὸ ᾠδός. σεσημείωται τὸ ἀφρός ὁ ἐπὶ τῶν ὑγρῶν ὀξυνόμενον, τὸ δὲ ἐθνικὸν Ἄφρος βαρύνεται.

Τὰ εἰς κροϲ δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα ὀξύνεται, μακρός, πικρός, μικρός, νεκρός, λευκρός ὁ φαλακρός παρὰ Σαλαμινίοις, Λοκρός ὁ κτιστὴς καὶ ἔθνος καὶ Λοκροὶ Ἐπιζεφύριοι πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. Τευκρός τὸ ἐθνικὸν οἱ Τρῶες, Τεῦκρος δὲ τὸ κύριον υἱὸς Σκαμάνδρου καὶ Ἰδαίας νύμφης. ἔστι μὲν κανὼν ὁ λέγων, ὅτι τοῖς συνοικισταῖς ὁμοφωνεῖ τὰ ἐθνικὰ δηλονότι καὶ γραφῇ καὶ τόνῳ οἷον Ἴων, Θετταλός, Ἀχαιός, Τρώς, Δαναός, Λοκρός. τὸ δὲ

---

ipse adieci, fortasse Herodianus hoc nomen ut πενθερός ἑκυρός primitus adiectivum esse existimavit et ex γαμηρός syncopatum ut anonymus in E. M. 221, 8. — Finem canonis τὰ δὲ τριγενῆ ipse composui vestigia Arcadii in sequente canone premens, λιβρός ex E. M. 564, 49 exempli causa proposui, τὸ δὲ λάβρος ex E. M. 554, 2 et Eustath. 1033, 57; 1066, 1 addidi, nam sic Herodianum etiam accentum abnormem explicasse arbitror recordans eum etiam λάγνος pro composito habere. Ζαβρός autem ap. Hesych., quod Lob. Parall. 259 a βιβρώσκω ortum putat, accentum legitimum retinet. l. 4 huc etiam Φλεγρός ὁ Φλεγραῖος St. B. referendum esset, si scriptura esset certa, sed Meinek. Φλεγρεύς scribendum iudicat. l. 6 Ἄνδρος explevi ex St. B., Σκίδρος ex eodem addidi, de Φαῖδρος cf. Lehrs Arist. 280 ed. II. de χονδρός cf. Lob. El. I 406 not. 5 et Choer. Dict. 269, 7, Schmidt. ad Hesych. χονδράς. l. 14 de ψυχρός cf. Herod. Orth. in E. Or. 167, 15, de ἐχθρός in E. Or. 57, 29. — βληχρός addidi ex Il. Pros. Θ 178. Verba τὰ δὲ μονογενῆ — ὁμώνυμον addidi ex St. B. s. Δίφροι, ὦχρος et ὠχρός ex Il. Pr. Γ 35; ἀφρός et Ἄφρος ex Eustath. 907, 3. l. 25 λευκρός addidi ex Ep. Cr. I 281, 9, ubi idem canon exstat. Λοκρός et Τεῦκρος explevi ex St. B.

Τευκρός διήλλαξεν ὡς τριγενὲς ὀξυνόμενον. τὸ δὲ ἄκρος καὶ ἴγκρος βαρύνεται.

Τὰ εἰς ρ̄ο̄ς̄ ἔχοντα π̄ πρὸ τοῦ ρ̄ μονογενῆ μὲν παροξύνεται, κόπρος, κάπρος, Κύπρος νῆσος ἀπὸ Κύπρου τῆς θυγατρὸς Κινύρου ἢ τῆς Βύλλου καὶ Ἀφροδίτης, ὡς Φιλοστέφανος ἐν τῷ περὶ νήσων καὶ Ἴστρος ἐν ἀποικίαις Αἰγύπτου ἱστόρησαν, ἢ ἀπὸ τοῦ φυομένου ἄνθους κύπρου. Ἀστύνομος δέ φησι Κρύπτον κεκλῆσθαι διὰ τοῦ κρύπτεσθαι πολλάκις ὑπὸ τῆς θαλάσσης. εἶτα Κύπρος. ἔστι καὶ Λιβυκὴ Κύπρος. Ἄπρος πόλις Θράκης. Θεόπομπος εἰκοστῇ ἕκτῃ «τοῦ δ' Ἀντιπάτρου διατρίβοντος περὶ τὴν Ἄπρον». Λάμπρος τὸ κύριον, λαμπρός δὲ τὸ ἐπίθετον. τριγενῆ δὲ ὄντα ὀξύνεται, σαπρός, λεπρός, λυπρός.

Τὰ εἰς ρ̄ο̄ς̄ δισύλλαβα ἔχοντα πρὸ τοῦ ρ̄ τὸ τ̄ μόνον ἢ μεθ' ἑτέρου συμφώνου μὴ ἐπιθετικὰ βαρύνεται, Χύτρος Κύπρου πόλις, ἣν ὠνομάσθαι μὲν Ξεναγόρας φησὶν ἀπὸ Χύτρου τοῦ Ἀλεξάνδρου τοῦ Ἀκάμαντος. Λεῦκτρος, οἶστρος, βόστρος, Ἴστρος ἔθνος ἐν τῷ Ἰονίῳ κόλπῳ. Ἑκαταῖος Εὐρώπῃ. ἔστι δὲ καὶ πόλις Κρήτης, ἣν Ἀρτεμίδωρος Ἰστρῶνά φησι. δευτέρα πόλις Ἴστρος ἐν τῷ Πόντῳ. Ἀρριανὸς δὲ Ἰστρίαν ὡς Ὀλβίαν αὐτήν φησι. τρίτη νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ τὸ Τριόπιον τῆς Κνιδίας. τετάρτη πόλις τῆς Ἰαπυγίας, ὡς Ἔφορος εἰκοστῷ ἐνάτῳ. ἔστι καὶ ποταμός. Βάκτρος ἔθνος. τὸ δὲ δαιτρός ὀξύνεται καὶ τὸ οἰκτρός, ἔτι καὶ τὸ φιτρός ὁ κορμός.

Τὰ εἰς δύο ρ̄ρ̄ ἐπιθετικὰ ὄντα ὀξύνεται, στερρός, πυρρός τὸ ἐπίθετον. Πύρρος δὲ τὸ κύριον ὥσπερ καὶ τὸ Ὕρρος καὶ Γέρρος τόπος καὶ ποταμὸς προσεχὴς τῷ Βορυσθένει καὶ Κύρρος πόλις Συρίας.

Τὰ εἰς ρ̄ο̄ς̄ ὑπερδισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου ὀξύνεται ἐπιθετικὰ ὄντα, φαλακρός, μολοβρός, ἐρυθρός, πενιχρός. τὰ δὲ σύνθετα τῆς κατὰ τὸ τέλος συνθέσεως ὑπερβαινούσης μίαν συλλαβὴν βαρύνεται, δείλανδρος, ἄνανδρος, ἔνυδρος, ἄνυδρος, ὕπανδρος, φίλανδρος, ἄϊδρος, πάρεδρος, ἔφεδρος. τὸ δὲ ἀβληχρός ὀξύνεται ἐκ πλεονασμοῦ ἔχον τὸ ᾱ. αὐτὸ γὰρ τὸ βληχρός ἤδη σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον τὸ ἀσθενές. Ἀλκαῖος θ' «βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί» καὶ ὁ Νίκανδρος «βληχρὸν γὰρ μυὸς οἷον μυληβόρου ἐν χροῒ νύγμα» (Ther. 446). τοῦτο δὲ πλεονάσαν τῷ ᾱ φυλάξει τὸν αὐτὸν τόνον, λαλητός ἀλαλητός, στεροπή ἀστεροπή. καὶ ἡ παράδοσις ὀξύνει τὸ ὄνομα πεισθεῖσα τῷ παρασχηματισμῷ ὡς ἁπλῷ. θηλυκῶς

l. 4 Κύπρος explevi ex St. B., Ἄπρος ex eodem adieci. l. 13 συμφώνου apposui, Χύτρος explevi ex St. B., ex eodem Ἴστρος et Βάκτρος adieci. l. 23 Γέρρος et Κύρρος ex St. B. accesserunt; hic fortasse commemoratum fuit σκίρρος ἐπὶ τοῦ πάθους, σκιρρός ἐπίθετον Choer. Orth. 257, 19, quamquam hoc diverse scriptum reperitur σκιρός, σκειρός, σκηρός, illud etiam ap. Choer. per simplex ρ̄ exhibetur. l. 26 πενιχρός addidi ex Il. Pr. Θ 178, πάρεδρος et ἔφεδρος ex St. B. 503, 12. ἀβληχρός ex Il. Pr. Θ 178 verbis paullo aliter positis, diversam de significatione sententiam, si Orioni fides habenda est, protulit Herod. in libro περὶ παθῶν E. Orion. 7, 3 cf. Ep. Cr. I 95. — Exciderunt in canone huiuscemodi verba: τὸ δὲ ἀλιβρός, νεογνός σύνθετα ὀξύνονται τῆς κατὰ τέλους συνθέσεως μίαν συλλαβὴν μὴ ὑπερβαινούσης cf. Lobeck. Parall. 259.

γὰρ παρεςχηματίςθη ἀβληχρά ὡς πενιχρά, ψυχρά. διὸ οὐκ εὖ βαρύνει Ἡρακλείδης ὁ Μιλήςιος λόγῳ χρώμενος τούτῳ ὡς ὅτι βληχρόν ἐςτι τὸ ἰςχυρόν, ὅπερ κατὰ ςτέρηςιν ὀφείλει λέγεςθαι ἄβληχρος ὡς ἄκακος.

Τὰ εἰς ρος ὑπὲρ δύο ςυλλαβὰς κύρια ὄντα μετ᾽ ἐπιπλοκῆς ςυμφώνου προπαροξύνεται, εἰ μὴ ἐθνικὰ εἴη, Μίνυθρος, Ἔρυθρος ὁ ἥρως, ἀφ᾽ οὗ Ἐρυθρὰ ἡ θάλαςςα, Χάραδρος ποταμὸς ὡς Ἑκαταῖος Ἀςίᾳ «μετὰ δὲ Χάραδρος ποταμός». Cκάμανδρος ἥρως καὶ ποταμὸς Τροίας. Μυρίανδρος πόλις Cυρίας πρὸς τῇ Φοινίκῃ. Ξενοφῶν ἐν πρώτῳ ἀναβάςεως (4, 6). Μαίανδρος ποταμὸς καὶ πόλις Μαγνηςίας. Ἄντανδρος πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυςίᾳ τῆς Αἰολίδος. ἀπὸ Ἀντάνδρου τοῦ ςτρατηγοῦ Αἰολέων. ἢ ἡ ἀντὶ ἀνδρὸς δεδομένη, ἐπειδὴ Ἀςκάνιος αἰχμάλωτος γίνεται ὑπὸ Πελαςγῶν καὶ ἀνθ᾽ ἑαυτοῦ τὴν πόλιν δέδωκε λύτρον καὶ ἀπελύθη. Τήλανδρος πόλις Καρίας. Ἀλέξανδρος δ᾽ ὁ πολυίςτωρ οὐδετέρως πόλιν Τήλανδρον καλεῖ πρώτῳ Λυκιακῶν καὶ Τηλάνδρειαν τὴν αὐτήν. Φολέγανδρος νῆςος τῶν Cποράδων ἀπὸ Φολεγάνδρου τοῦ Μίνωος «ἣν Ἄρατος ςιδηρείην ὀνομάζει διὰ τὴν τραχύτητα» (Strabo 10, 484). Τάρανδρος χωρίον Φρυγίας. Βήριθρος πόλις Τρωϊκή. Ἄθυμβρος, οὗ κτίςμα Ἄθυμβρα πόλις Καρίας. Κέλαιθρος, ἀφ᾽ οὗ Κελαίθρα πόλις Βοιωτίας. Γάλαδρος Ἠμαθίου παῖς καὶ ὄρος. Κάϋςτρος ποταμός, ὃς διὰ τὸ ἔχειν τὴν κεκαυμένην χώραν πληςίον ἐκλήθη. ἔςτι δὲ καὶ Κάϋςτρος υἱὸς Πενθεςιλείας τῆς Ἀμαζόνος, ὃς ἐν Ἀςκάλωνι ἔγημε τὴν Δερκετώ. καὶ ἐξ αὐτῆς ἔςχε τὴν Cεμίραμιν, ἥτις καὶ Βαβυλώνια τείχη κατεςκεύαςεν. Τέγεςτρος, ἀφ᾽ οὗ Τέγεςτρα πόλις Ἰλλυρίας. τὸ δὲ Οἰνωτρός ἔθνος ὁμοφώνως τῷ οἰκιςτῇ ὡς Ἰταλός καὶ Ἴων καὶ Κίλιξ. ὡςαύτως καὶ Καλαβρός ὁ οἰκήτωρ τῆς Καλαβρίας ὡς τῆς Κανταβρίας Κανταβρός. τὸ δὲ Ἴνςοβρος ἔθνος Ἰταλικὸν Πολύβιος ιϛ´ βαρύνεται.

Τὰ εἰς ςος διβράχεα βαρύνεται, Θάςος νῆςος πρὸς τῇ Θρᾴκῃ ἀπὸ Θάςου. Κάςος Κλεόχου υἱὸς καὶ ἀπ᾽ αὐτοῦ μία τῶν Κυκλάδων «οἳ δ᾽ ἄρα Νίςυρόν τ᾽ εἶχον Κράπαθόν τε Κάςον τε» (Β 676). ἔςτι καὶ ἑτέρα Περςίδος πόλις. Ἄςος πολίχνιον Κρήτης. νόςος, δρόςος, πίςος τὸ ὄςπριον, μέςος, ἴςος, πόςος, ὅςος, τόςος.

---

l. 5 Ἔρυθρος ex St. B. explevi, item Χάραδρος ex p. 687, 6 Χάραδρα πόλις Φωκίδος οὐ πόρρω Λιλαίας. τὸ ἐθνικὸν Χαραδραῖος· ἐπάγει γὰρ ὡς Ἡρωδιανός «Χαραδραίοις» et Χαράδρας λιμὴν καὶ ἐπίνειον Κιλικίας. Ἑκαταῖος Ἀςίᾳ «μετὰ δὲ Χάραδρος ποταμός», quos articulos ab epitomatoribus misere et truncatos et perturbatos auxilio Pausaniae X 33, 3 sic redintegrandos Meinek. existimat: Χάραδρα πόλις Φωκίδος οὐ πόρρω Λιλαίας [Παυςανίας]. τὸ ἐθνικὸν Χαραδραῖος. ἐπάγει γὰρ «Χαραδραίοις». Χάραδρος λιμὴν καὶ ἐπίνειον Κιλικίας [ἔςτι καὶ ποταμός], ὡς Ἡρωδιανὸς [καὶ Ἑκαταῖος] Ἀςίᾳ «μετὰ δὲ Χάραδρος ποταμός». — Cκάμανδρος item ex St. B. explevi, reliqua omnia usque ad Τέγεςτρος ex eodem addidi, Κάϋςτρος etiam ex Ep. Cr. I 235, 26 explens et Ἄντανδρος ex iisdem p. 83, 18. — Οἰνωτρός ex St. B. 487, 2 explevi, ubi diserte ὀξύνεται τὸ Οἰνωτρός. ὡςαύτως δὲ Καλαβρός κτλ. usque ad finem sunt ex St. B., apud quem Καλαβρός acuitur, Ἴνςοβρος autem gravatur. l. 28 Θάςος et Κάςος ex St. B. explevi, ex eod. Ἄςος addidi, νόςος ex Herod. ap. Eustath. 1746, 23. Eundem canonem invenies in An. Par. III 308, 17, ubi pro δάςος, νῆςος scr. Θάςος νῆςος.

Τὰ εἰς coc δισύλλαβα τῷ η̄ παραληγόμενα βαρύνεται, νῆcoc καὶ Νῆcoc πόλις Ἰβηρική. πεπλάνηται δὲ νῆcoc παρὰ τὸ γένος. τὰ γὰρ ἄλλα ἀρσενικά ἐστιν. Βῆcoc, Μνῆcoc, Ῥῆcoc, Κτῆcoc, Θῆcoc, Δρῆcoc, Κῆcoc ὄνομα ποταμοῦ.

Τὰ εἰς coc θηλυκὰ δισύλλαβα τῷ ω̄ παραληγόμενα ὀξύνεται, κρωcόc ἡ ὑδρία, Κνωcόc «οἳ Κνωcόν τ' εἶχον» (Β 646) δι' ἑνὸς c̄, Τρύφων δὲ διὰ δύο. Ῥωcόc πόλις Κιλικίας. τὸ μέντοι Cῶcoc ἀπὸ τοῦ σώσω βαρύνεται, καὶ τὸ Κρῶcoc ὁμοίως ἀρσενικόν.

Τὰ εἰς coc δισύλλαβα ἀρσενικὰ μονογενῆ παραληγόμενα διχρόνῳ ἐκτεταμένῳ βαρύνεται, Ἶcoc τὸ κύριον, Κῖcoc, Κρῖcoc τὸ κύριον, Πῖcoc τὸ κύριον, ἀφ' οὗ καὶ Πῖcα ἡ πόλις. Νῖcoc ὁ Πανδίονος, ἀφ' οὗ Νίcαια. Νῦcoc ποταμός, Τρῦcoc ποταμός, κῦcoc. τὸ δὲ Λιcόc πολίχνιον Κρήτης ὀξύνεται καὶ τὸ Βρυcόc ὁ λιμὴν καὶ τὸ Μυcόc ἐθνικὸν καὶ τὸ τρυcόc, ῥυcόc ἐπίθετα καὶ τὸ χρυcόc μόνον εἰς υcoc δισύλλαβον προσηγορικόν.

Τὰ εἰς coc δισύλλαβα παραληγόμενα διφθόγγῳ ὀξύνεται, ὅτε ἐπιθετικὰ εἴη ἢ ἐπὶ πόλεως κεῖται. Παιcόc πόλις κατὰ τὴν Τρῳάδα. Ὅμηρος «ὅς ῥ' ἐνὶ Παιcῷ ναῖε πολυκτήμων» (Il. Ε 612), ἐν ἑτέροις δὲ «δῆμον Ἀπαιcοῦ» (Il. Β 828). Παιcὸc δὲ εἴρηται παρὰ τὸ τὴν Ἀργὼ προσορμίζουσαν ἐκεῖσε παῖσαι καὶ προσεγγίσαι. Παιcόc καὶ ἐν πλεονασμῷ τοῦ ᾱ Ἀπαιcόc ὥσπερ Ἄταρνα πόλις καὶ Τάρνα. Ὅμηρος «ὅς ἐκ Τάρνης ἐριβώλακος» (Il. Ε 44). ἔστι καὶ Δαυνίας πόλις Παιcόc κατ' Ἀργύριππα. Λουcόc καὶ Λουcοί πόλις Ἀρκαδίας, ὅπου Μελάμπους ἔλουσε τὰς Προίτου θυγατέρας καὶ ἔπαυσε τῆς μανίας. λέγεται δὲ καὶ Λοῦcα οὐδετέρως. Πραιcόc πόλις. Μαυcόc κώμη Κορίνθου. Θεόπομπος τριακοστῷ δευτέρῳ. καὶ τὰ ἐπιθετικὰ δέ,

l. 2 Νῆcoc addidi ex St. B., πεπλάνηται — γένος ex Mon. 11, 12, unde etiam Κτῆcoc — Δρῆcoc; Κῆcoc ex Theogn. 72, 7. l. 6 Κνωcόc explevi versu Homerico ex Mon. 38, 28 et verbis δι' ἑνὸς — δύο ex Theogn. 72, 10, in Mon. Γνωcόc per γ̄ scriptum est. Ῥωcόc est ex St. B. et Theogn., Κρῶcoc ex Theogn. 72, 11 (apud Suid. Κρῶccoc), Βλῶcoc autem p. 74, 5 ex ἄλωcoc corruptum est. l. 11 Πῖcoc explevi ex Theogn. 72, 15, Νῖcoc addidi ex St. B., Νῦcoc — κῦcoc ex Theogn. 72, 17; falso κυcόc ἡ πυγή ἢ γυναικαῖον αἰδοῖον acuitur. Ῥῖcoc ap. Theogn. ex Ῥῆcoc corruptum videtur. Λιcόc explevi ex Mon. 38, 26, Βρυcόc ex Theogn. 73, 26 collato Mon. l. c., τρυcόc, ῥυcόc ex Theogn. et Mon., χρυcόc explevi ex Mon.: τὰ εἰς coc λήγοντα δισύλλαβα ὀξυνόμενα φύσει μακρά, εἰ παραλήγοιτο τῷ ῡ, ἢ κύρια θέλει εἶναι ἢ ἐπίθετα, οὐ μὴν προσηγορικά. κύρια μὲν οὖν ἐστι τοιαῦτα· Βρυcόc . . . . πολὺς γὰρ εἰς coc χαρακτὴρ ἐπὶ πόλεων, ὡς καὶ τὰ τοιαῦτα. Λιcόc πολίχνιον Κρήτης, Παιcόc «ὅς ῥ' ἐνὶ Παιcῷ» «οἳ Γνῶcόν τ' εἶχον», Ῥωcόc. καὶ ταῦτα ἐπὶ πόλεων. ἐπίθετα δὲ τοιαῦτα· τρυcόc, ῥυcόc, Μυcόc. τὸ τοίνυν χρυcόc ὀξυνόμενον μονῆρές ἐστιν· οὔτε γὰρ κύριον οὔτε ἐπιθετικόν ἐστι.

l. 17 Παιcόc explevi ex St. B. et Herod. in E. M. 119, 33. Λουcόc habet Arcad., Λουcοί St. B., Herodian. in Schol. ad Callim. hymn. Dian. 235 τὰ Λοῦccα, ἡ εὐθεῖα τὰ Λοῦccα, ὡς Ἡρωδιανός, ubi recte Meinek. Λοῦcα scribendum suspicatur, quod est in Mon. 13, 11. Schmidt. ad Hesych. λοῦcoν opinatur, hic non proprium, sed λουcόc adiectivum proferri, sed tum non inter oppidorum nomina positum esset, sed cum βλαιcόc comparatum. Fortasse ab Herodiano dictum fuit: Λουcόc πόλις — καὶ λουcόc ὁ κόλουρος. l. 25 πόλις ad Πραιcόc addidi ex St. B., et verba, quae apud Arcad. sequuntur ἔτι ὅτι ὀξύνεται eieci. — Μαυcόc

βλαιcόc, Βραιcόc ἔθνοc Μακεδονίαc. Τραυcόc πληcίον Κελτοῖc ἔθνοc, οὓc οἱ Ἕλληνεc Ἀγαθύρcουc ὀνομάζουcι. τὸ μέντοι Ναῖcοc βαρύνεται καὶ τὸ Βλαῖcοc κύριον καὶ τὸ Κροῖcοc καὶ Βροῦcοc Ἠμαθίου παῖc καὶ τὸ ἔθνοc Μακεδονίαc ὁμοφώνωc. τινὲc δὲ γράφουcι διὰ τοῦ ῡ, καὶ τὸ γαῖcοc προcηγορικὸν εἶδοc δόρατοc ὄν.

Τὰ εἰc coc διcύλλαβα ἔχοντα πρὸ τέλουc cυλλαβὴν εἰc ἀμετάβολον λήγουcαν βαρύνεται· εἰ δέ τι εὑρέθη ὀξυνόμενον, τοῦτο ὤφθη ἐν τῇ πρὸ τέλουc cυλλαβῇ ἔχον ῑ ἢ ᾱ. καὶ βαρύνεται μὲν ταῦτα, κόρcοc ὁ κρόταφοc, μόλcοc ὁ δήμιοc καὶ τὸ cέλινον, μόρcοc, χέρcοc, θύρcοc, μύρcοc, Μέλcοc. cεcημείωται πυρcόc ὀξυνόμενον, τὸ κιρcόc καὶ ὀρcόc καὶ Κορcόc τὸ ἔθνοc καὶ Μαρcόc ἔθνοc Ἰταλικὸν καὶ τὸ ταρcόc τὸ προcηγορικὸν καὶ πόλιc Κιλικίαc. Ταύτην δὲ διὰ τοῦ ε̄ ἔλεγον Τερcόν παρὰ τὸ τερcανθῆναι, ὅ ἐcτιν ἀναξηρανθῆναι. τῶν γὰρ ὑδάτων κατὰ τὴν πρώτην cύcταcιν προχωρούντων εἰc τὸ νῦν πέλαγοc φαcὶν ἀναφανθῆναι πρῶτα τὰ Ταυρικὰ ὄρη. οἱ δέ φαcιν Τερcὸν τὰ πρῶτα διὰ τοῦ ε̄ cτοιχείου ὀνομαcθῆναι τὴν πόλιν διὰ τὸ τοὺc ἐκεῖ πρώτουc cυναγαγόνταc καρπὸν χλωρὸν τερcῆναι, ὅ ἐcτι ξηρᾶναι, καὶ εἰc χειμῶνοc ἀποθέcθαι τροφήν. Διονύcιοc δὲ ὁ Θρᾷξ ἐν τῷ περὶ Ῥόδου ἀπὸ τῆc τοῦ Βελλεροφόντου πτώcεωc· μέροc γάρ τι τοῦ ποδὸc ταρcὸν καλεῖcθαι, τῆc ἐκείνου χωλείαc ὑπόμνημα ποιουμένων τῶν ἀρχαίων. Ἀλέξανδροc δὲ ὁ πολυίcτωρ διὰ τὸ τὸν Πήγαcον ἵππον ἐκεῖ τὸν ταρcὸν κλάcαι καὶ Βελλεροφόντην ἐν τῷ Ἀληΐῳ πεδίῳ πλανηθῆναι. Ἐρατοcθένηc δέ φηcιν τὴν κλῆcιν τῇ πόλει εἶναι ἀπὸ Διὸc Τερcίου τοῖc ἐκεῖ καλουμένου. Θαρcόc δὲ ἐκαλεῖτο καὶ Θαρcεῖc οἱ Κίλικεc, ὡc Ἰώcηποc ἐν ἀρχαιολογίᾳ (1, 7). ἔcτι δὲ καὶ Ταρcόc ἄλλη τῆc Βιθυνίαc, ἣν Δημοcθένηc ἐν δευτέρῳ Βιθυνιακῶν Τάρcειαν διὰ τῆc ει διφθόγγου οἶδεν. Τὰ δὲ ὑπερδιcύλλαβα ἔχοντα πρὸ ἀμεταβόλου τὸ ᾱ ἐν τῇ πρὸ τέλουc cυλλαβῇ βαρύνεται, Βάγαρcοc, Μάγαρcοc πόλιc Κιλικίαc. Μαίμαρcοc πόλιc Ἴcτρων. Μόκαρcοc Θρᾴκηc χωρίον. Θεόπομποc πρώτῳ τῶν Φιλιππικῶν. Τούτοιc ἀκολουθεῖ καὶ τὸ Ἀγάθυρcοc εἴτε κύριον εἴτε ἐθνικὸν εἴη. ἔcτι δὲ ἔθνοc ἐνδοτέρω τοῦ Αἵμου. κέκληνται δὲ ἢ ἀπ' Ἀγαθύρcου τοῦ Ἡρακλέουc ἢ ὡc Πείcανδροc ἀπὸ τῶν θύρcων τοῦ Διονύcου. λέγονται καὶ Ἀγαθύρcιοι. καὶ τὸ Πέτορcοc Λιβύηc ἔθνοc μέγα καὶ πολυάνθρωπον, Ἄορcοc ἔθνοc

petivi ex St. B., item Βραιcόc, Τραυcόc emendatum in litterarisch. Centralblatt 1864 No. 50 p. 200. Κροῖcοc addidi ex Theogn. 72, 19 et 73, 28, Βροῦcοc ex St. B., ubi diserte Βροῦcοι ὡc Κόλχοι. l. 10 in E. M. 459, 39 distinguuntur Θύρcοc ὄνομα κύριον, θυρcόc cτέμμα τῶν Βακχῶν (pro γάμων scr.) falso. Μέλcοc addidi ex St. B. 446, 16, ὀρcόc pro ἀρcόc Mein. ad St. B. 12, 3 emendavit. Κορcόc, Μαρcόc adieci ex St. B., apud quem andronymicum Μάρcοc p. 434, 16 gravatur, ταρcόc et Ταρcόc ex eodem et Eustath. ad Dionys. 867. Pro Μέγαρcοc scripsi Μάγαρcοc ex St. B. et explevi, Μαίμαρcοc accessit ex St. B. 12, 3: Ἀγάθυρcοι ἔθνοc ἐνδοτέρω τοῦ Αἵμου. ὁ τόνοc βαρύc. τὰ εἰc coc ὑπὲρ δύο cυλλαβὰc ἔχοντα τὴν πρὸ τέλουc εἰc ἀμετάβολον λήγουcαν βαρύνεται, Μάγαρcοc πόλιc Κιλικίαc, Μαίμαρcοc πόλιc Ἴcτρων· οὕτωc Ἀγάθυρcοc καὶ κύριον καὶ ἐθνικόν. Ἀγάθυρcοc explevi ex St. B., Μόκαρcοc, Πέτορcοc, Ἄορcοc ex eodem apposui,

Cκυθικόν, περὶ οὗ Cτράβων ἑνδεκάτῃ (p. 492. 506). τὸ δὲ Cολογορcόc πόλιc Ἀρκαδίαc ὀξύνεται.

Τὰ εἰc cοc διcύλλαβα ἔχοντα καὶ ἕτερον c κλιτικὸν ἐν τῇ πρὸ τέλουc cυλλαβῇ μὴ κατὰ πάθοc ὀξύνεται, Βεccόc τὸ ἐθνικόν, Θυccόc, Ἀccόc πόλιc Λυδίαc. δευτέρα πόλιc Αἰολίδοc κατὰ τὸν Ἑλλήcποντον ἢ Κεκρόπειον. Ἀλέξανδροc δ' ὁ Κορνήλιοc ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶc ἱcτορουμένων Μιτυληναίων ἄποικον ἐν τῇ Μυcίᾳ φηcὶν Ἀccόν, ὅπου ὁ cαρκοφάγοc γίνεται λίθοc. ἔcτι καὶ λειμὼν ἐν τῷ Κιλβιανῷ πεδίῳ τῆc Λυδίαc περὶ τὸν Κάϋcτρον ποταμόν. ἔcτι καὶ ἑτέρα πόλιc ἐν Ἠπείρῳ μικρά. Ἡccόc πόλιc Λοκρίδοc. Ψηccόc ἔθνοc τῆc Ταυρινίαc. Ἀπολλόδωροc ἐν δευτέρῳ περὶ γῆc «ἔπειτα δ' Ἑρμώναccα καὶ Κῆποc πόλιc, τρίτον δὲ τὸ Ψηccῶν ἔθνοc». Τνυccόc πόλιc Καρίαc. Ἑκαταῖοc Ἀcίᾳ. Βυccόc τὸ ἐθνικὸν καὶ ἡ νῆcοc καὶ βυccόc ὁ βυθόc, πεccόc. Ἰccόc πόλιc μεταξὺ Cυρίαc καὶ Κιλικίαc. διccόc, τριccόc, λιccόc, κιccόc. τὸ δὲ Κίccοc τὸ κύριον βαρύνεται. ὡcαύτωc καὶ τὸ βύccοc τὸ θηλυκὸν προcηγορικὸν ἀφ' οὗ καὶ βύccινον, καὶ Λίccοc πόλιc Ἰλλυρίαc· τὸ γὰρ γλωccόc ὁ λάλοc παρὰ τὸ γλῶccα γέγονε παρωνύμωc. τὸ δὲ κάccοc ἀπὸ τοῦ κάcοc γίνεται κατὰ πλεοναcμὸν τοῦ c. ἔcτι δὲ εἶδοc ἱματίου οὕτω καλουμένου. ὡcαύτωc καὶ μέccοc καὶ τόccοc. τὸ δὲ ὄccοc — λέγεται δὲ καθάπερ ὁ cκότοc καὶ τὸ cκότοc ἐν ὁμοίᾳ καταλήξει καὶ ὁ ἔλεγχοc καὶ τὸ ἔλεγχοc, οὕτω καὶ ὁ ὄccοc καὶ τὸ ὄccοc — βαρύνεται οὐ μόνον καθότι Αἰολικὸν δοκεῖ εἶναι, ἀλλὰ καὶ ὅτι τὰ εἰc οc μονογενῆ διcύλλαβα τῷ ο παραληγόμενα καὶ ἐξ αὐτοῦ ἀρχόμενα καὶ ἔχοντα δὴ τὸ αὐτὸ cύμφωνον βαρύνεται, κόννοc, ὄρροc, κόκκοc, κόττοc. οὕτωc ἄρα καὶ ὄccοc. εἴρηται μονογενῆ διὰ τὸ πολλόc. μάχεται τῷ κανόνι τὸ κομμόc. θαυμαcτὸν δὲ οὐδὲν εἴπερ τὰ εἰc οc λήγοντα τῷ ο παραληγόμενα φιλεῖ ἓν ἔχειν τὸ c εἰ μὴ κατὰ πάθοc διπλοῦται ὡc τὸ τόccοc. τοῦτο δὲ μόνον ἔcχε διccὸν αὐτό.

---

in fine Cολογορcόc ut exemptum posui propter accentum a Stephano traditum. l. 4 Βεccόc habet etiam St. B. 618, 8 cum Strabonis testimonio, quare nihil mutandum est; Ἀccόc explevi ex St. B., ex eodem addita sunt Ψηccόc, Τνυccόc, Βυccόc, de quo St. B.: Βυccόc ἐθνικὸν καὶ ὀξυτόνωc ὡc Ἡρωδιανόc. λέγεται καὶ ὁ βυθόc. τὸ μέντοι θηλυκὸν βύccοc βαρύνεται, ἀφ' οὗ καὶ βύccινον et Eustath. ad Dionys. 457 ἐν ταῖc Γυμνηcίαιc νήcοιc ἡ Βοῦcόc ἐcτιν, ἣν Ἡρωδιανὸc ἐν τῇ καθόλου προcῳδίᾳ ὀξύνει Βουcόc (scr. Βυccόc) ἀναγινώcκων. — πεccόc ex Il. Pr. Ω 80 adieci; Ἰccόc ex St. B., λιccόc, quod Lehrsius ad Il. Pr. Ω 80 pro Ἀccόc scribendum suspicatur, apposui propter Λίccοc πόλιc ap. St. B. — Post κιccόc excidisse verba τὸ δὲ Κίccοc τὸ κύριον βαρύνεται vidit Goettling. de accent. p. 211, qui etiam pro ὕccοc posuit βύccοc, quod ex St. B. explevi, Λίccοc ex St. B. sumpsi. l. 19 ὡcαύτωc καὶ μέccοc addidi ex Il. Pr. Ω 80: βυccόν: ἐπεκράτηcε τὸ ὀξύνεcθαι τῷ τὰ εἰc οc λήγοντα ὀνόματα διcύλλαβα ἀρχόμενα ἀπὸ cυμφώνου ἢ cυμφώνων, δεδιπλαcιαcμένον ἔχοντα τὸ c ὀξύνεcθαι θέλειν, κιccόc, πεccόc. ἀντιπίπτει τὸ μέccοc. Eustath. hoc Scholion describens dicit: ἀντιπίπτει τὸ Νέccοc κύριον ὄνομα; sed in Pros. Cathol. utrumque commemoratum videtur, Νέccοc ut vere exemptum, μέccοc autem pariter atque κάccοc propter pleonasmum literae c. — καὶ τόccοc adieci ex Eustath. 1746, 23, unde etiam sequentia de ὄccοc, nam diserte Herodianus laudatur ὁ δὲ Ἡρωδιανὸc λέγει ὅτι καθάπερ κτλ. et post θαυμαcτὸν δέ, φηcί, et

τοιαῦτα δὲ κατὰ τὸν κανόνα τὸ νόϲοϲ καὶ δρόϲοϲ. τὸ γὰρ κροϲϲόϲ οὐκ οἶδα ϲύνηθεϲ Ἕλληϲιν, τὸ δὲ νοϲϲόϲ ἐκ τοῦ νεοϲϲόϲ.

Τὰ εἰϲ ϲοϲ ὑπερδιϲύλλαβα ἔχοντα τὸ ᾰ ϲυνεϲταλμένον, ἑνὸϲ ὄντοϲ τοῦ ϲ, προπαροξύνεται, κόμπαϲοϲ, Ἅρπαϲοϲ ποταμὸϲ Καρίαϲ, Δάμαϲοϲ, βαύναϲοϲ τὸ καὶ βάναυϲοϲ, θίαϲοϲ, Ἴαϲοϲ πόλιϲ Καρίαϲ ἐν ὁμωνύμῳ νήϲῳ κειμένη, ἣ καὶ ὀξυτόνωϲ λεγομένη, Ἴαϲοϲ δὲ καὶ τὸ Ἄργοϲ ἀπὸ Ἰάϲου τοῦ κατ᾽ ἐνίουϲ πατρὸϲ Ἰοῦϲ. Ἴμβραϲοϲ ποταμὸϲ καὶ ἀπ᾽ αὐτοῦ ἡ Cάμοϲ, Τράγαϲοϲ, ἀφ᾽ οὗ Τραγαϲαί χωρίον ἐν ἠπείρῳ, Καύκαϲοϲ τὸ ὄροϲ τῶν κατὰ τὴν Ἀϲίαν ὀρῶν μέγιϲτον, λέγεται καὶ Καύκαϲιϲ διὰ τοῦ ῑ, Βάργαϲοϲ, ὁ υἱὸϲ Βάργηϲ καὶ Ἡρακλέουϲ, ἀφ᾽ οὗ Βάργαϲα πόλιϲ Καρίαϲ, Μύλαϲοϲ υἱὸϲ Χρυϲάοροϲ τοῦ Γλαύκου τοῦ Cιϲύφου τοῦ Αἰόλου, ἀφ᾽ οὗ Μύλαϲα πόλιϲ Καρίαϲ. λέγεται καὶ ἡ πόλιϲ Μύλαϲοϲ, ὡϲ Αἰϲχύλοϲ ἐν Καρϲὶν ἢ Εὐρώπῃ. Νάκραϲοϲ πόλιϲ καὶ δῆμοϲ Καρίαϲ. Ἀπολλώνιοϲ δεκάτῳ Καρικῶν. Πρόγαϲοϲ. Πύραϲοϲ πόλιϲ Φθίαϲ. κέκληται δὲ διὰ τὸ τὴν χώραν εἶναι πυροφόρον. Πήδαϲοϲ πόλιϲ ὑπὲρ τὴν Ἴδην. Τάμαϲοϲ πόλιϲ Κύπρου. ἐντεῦθέν τινεϲ γράφουϲιν» (Od. α 184) «εἰϲ Τάμαϲον μετὰ χαλκόν». ἀπιθάνωϲ. Πάρραϲοϲ εἷϲ τῶν Λυκάονοϲ παίδων. Ἔραϲοϲ. ϲημείωϲαι τὸ κεραϲόϲ φυτὸν ὀξυνόμενον, τὴν δὲ πόλιν βαρύνουϲιν. τὸ μέντοι Ἐγγυαϲόϲ ἐκτεταμένον ἔχον τὸ ᾱ ὀξύνεται καὶ τὸ Παρναϲϲόϲ δύο ϲϲ ἔχον. ἔϲτι δὲ ὄροϲ Δελφῶν. ἐκαλεῖτο δὲ πρότερον Λαρναϲϲόϲ διὰ τὸ τὴν Δευκαλίωνοϲ λάρνακα αὐτόθι προϲενεχθῆναι. ἔνιοι δέ φαϲιν ἀπὸ Παρναϲϲοῦ Παρναϲϲὸν τοὔνομα λαβεῖν, ὃν καὶ μαντεύϲαϲθαι Πυθοῖ πρῶτον, ὡϲ Ἀλεξανδρίδηϲ φηϲὶν ἐν πρώτῳ περὶ τοῦ ἐν Δελφοῖϲ χρηϲτηρίου. ὡϲαύτωϲ καὶ Ὑγαϲϲόϲ πόλιϲ Καρίαϲ, Βυβαϲϲόϲ πόλιϲ Καρίαϲ ἀπὸ Βυβαϲϲοῦ νομέωϲ περιϲώϲαντοϲ ἀπὸ θαλάϲϲηϲ καὶ χειμῶνοϲ εἰϲ Καρίαν ἐκπεϲόντα Ποδαλείριον. λέγεται καὶ Βούβαϲτοϲ. Ἀλέξανδροϲ δευτέρῳ Καρικῶν. Ἔφοροϲ δὲ Βύβαϲτόν φηϲι. Κρυαϲϲόϲ πόλιϲ Καρίαϲ ἀπὸ Κρυαϲϲοῦ τοῦ Κάρητοϲ. Cαγαλαϲϲόϲ πόλιϲ Πιϲιδίαϲ. λέγεται καὶ Cελγηϲϲόϲ. Ἁλικαρναϲϲόϲ πόλιϲ Καρίαϲ, ἣν Ἄνθηϲ, φαϲίν, ὠνόμαϲεν ἀπὸ τοῦ ἁλὶ περιέχεϲθαι τὴν Καρίαν. αὐτὸϲ δὲ ὁ Ἄνθηϲ ἐκ Τροιζῆνοϲ μετῴκηϲε λαβὼν τὴν Δύμαιναν φυλήν, ὡϲ Καλλίμαχοϲ. ἢ ἀπὸ τοῦ νάϲαϲθαι αὐτὸν ἀπὸ Τροιζῆνοϲ, ὡϲ Ἀπολλόδωροϲ. Cυαϲϲόϲ κώμη Φρυγίαϲ. Ἀμαμαϲϲόϲ πόλιϲ Κύπρου. Καβαϲϲόϲ πόλιϲ ἐν Καππαδοκίᾳ

οὐκ οἶδα, φηϲί; τὸ δὲ νοϲϲόϲ ἐκ τοῦ νεοϲϲόϲ recepi ex Ep. Cr. I 338, 22. Κοϲϲόϲ ὄροϲ Βιθυνίαϲ ap. St. B. ut canoni ab Eustathio relato repugnans vocabulum praetermisi. l. 4 Ἅρπαϲοϲ ex St. B. explevi, βαύναϲοϲ τὸ καὶ βάναυϲοϲ scripsi pro βαύναϲοϲ καὶ βάναυϲοϲ. θίαϲοϲ addidi ex Choer. Orth. 219, 34 θίαϲοϲ: τὰ ἔχοντα ἢ μακρὸν (scr. καθαρὸν) τὸ α ἢ δύο ϲϲ ὀξύνονται, οἷον Καρναϲόϲ, de quo cf. Lob. Proll. 407, Ἁλικαρναϲϲόϲ. Nomina inde ab Ἴαϲοϲ usque ad Πήδαϲοϲ ex St. B. addidi, Τάμαϲοϲ ex eodem et Dichr. 300, 14, Πάρραϲοϲ ex St. B., ubi tamen oxytonos scriptum est. Ἔραϲοϲ ex Dichr. l. c. De Ἐγγυαϲόϲ, cuius forma incerta est, cf. Lehrs ad Herod. p. 374 et Lob. Proll. 407. Παρναϲϲόϲ ex St. B. explevi, verba inde ab ὡϲαύτωϲ καὶ Ὑγαϲϲόϲ ex St. B. addidi. Omisi Πειγέλαϲοϲ πόλιϲ Καρίαϲ, quod Mein. propter Πειγελαϲϲεῖϲ scribendum putat Πειγελαϲϲόϲ.

ἢ καὶ Καβηccόc. Κυβαccόc πόλιc Καρίαc. Πριναccόc πόλιc Καρίαc. Ῥυτιαccόc.

Τὰ εἰc coc ὑπερδιcύλλαβα ἁπλῷ τῷ ε παραληγόμενα cπάνια ἓν c ἔχοντα προπαροξύνεται, Ἔφεcοc πόλιc Ἰωνίαc ἐπιφανεcτάτη καὶ λιμὴν ἐν κόλπῳ. Ἡρόδοτοc δὲ Λυδίαc αὐτήν φηcιν (I 142). ἐκλήθη δὲ ἀπὸ μιᾶc τῶν Ἀμαζόνων, ἣν καὶ βαcίλιccαν καὶ πρόπολον Ἀρτέμιδοc εἶναί φαcιν. ἔcτι καὶ Ἔφεcοc νῆcοc ἐν τῷ Νείλῳ καὶ Χίοc καὶ Λέcβοc καὶ Κύπροc καὶ Cάμοc καὶ ἄλλαι, ὡc Ἑκαταῖοc. Ἔρεcοc πόλιc Λέcβου ἀπὸ Ἐρέcου τοῦ Μάκαροc. τὸ μέντοι Θυεccόc πόλιc Λυδίαc ἀπὸ Θυεccοῦ καπήλου — ἔcτι καὶ Πιcιδίαc — δύο cc ἔχον ὀξύνεται.

Τὰ εἰc coc ὑπερδιcύλλαβα τῷ η παραληγόμενα ἕτερον ἔχοντα c ὀξύνεται· εἰ δέ τι βαρύτονον εἴη, παρώνυμον ἂν εἴη. τὰ δὲ ἓν ἀναδεξάμενα c βαρύνεται, cπάνια δέ ἐcτι, χωρὶc εἰ μὴ ἔννοιαν cυνθέcεωc ἔχοι. Ταρτηccόc πόλιc Ἰβηρίαc ἀπὸ ποταμοῦ τοῦ ἀπὸ τοῦ Ἀργυροῦ ὄρουc ῥέοντοc. Λυρνηccόc πόλιc Τρωϊκή. Λυκαβηccόc. Μυκαληccόc πόλιc ἐν μεcογείᾳ Βοιωτίαc. Θουκυδίδηc ἑβδόμῃ (c. 29). ἐκλήθη δὲ ὅτι ἡ βοῦc ἐνταῦθα ἐμυκήcατο ἡ τὸν Κάδμον καὶ τὸν cὺν αὐτῷ cτρατὸν ἀγαγοῦcα εἰc Θήβαc. ἔcτι καὶ ἄλλη Καρίαc, ὡc Ἔφοροc τρίτῳ. ἔcτι καὶ ὄροc Μυκαληccόc ἐναντίον Cάμου. Τευμηccόc ὄροc Βοιωτίαc. Ὅμηροc ἐν τῷ εἰc Ἀπόλλωνα ὕμνῳ (v. 224) «εἰc Μυκαληccὸν ἰὼν καὶ Τευμηccὸν λεχεποίην». ἄcτυ, ὡc Δημοcθένηc ἐν τρίτῳ Βιθυνιακῶν. ἐκλήθη δ' οὕτωc, ὡc Ἀντίμαχοc πρώτῳ Θηβαΐδοc.

οὕνεκά οἱ Κρονίδηc, ὅcτε μέγα πᾶcιν ἀνάccει,
ἄντρον ἐνὶ cκηνῇ τευμήcατο, τόφρα κεν εἴη
Φοίνικοc κούρη κεκυθμένα, ὄφρα ἑ μή τιc
μηδὲ θεῶν ἄλλοc γε παρὲξ φράccαιτό κεν αὐτοῦ.

Ἐδεβηccόc πόλιc Λυκίαc, Ἐρβηccόc πόλιc Cικελίαc. Ὀρδηccόc, Ὀδηccόc πόλιc ἐν πόντῳ πρὸc τῷ Cαλμυδηccῷ. Ἀπολλόδωροc δ' ὄροc μέγα τὴν Ὀδηccόν φηcιν. Cαλμυδηccόc κόλποc τοῦ Πόντου. Ἀγηccόc πόλιc Θρᾴκηc ὡc Θεόπομποc ἐν τεccαρακοcτῇ ἑβδόμῃ. Ἀκαληccόc πόλιc Λυκίαc, Ἀccηccόc πόλιc Μιληcίαc γῆc. Θεόπομποc

---

l. 4 Ἔφεcοc ex St. B. explevi, item Ἔρεcοc, ex eodem p. 319, 13 Θυεccόc πόλιc Λυδίαc ὀξοτόνωc; ap. Theogn. 72, 29 Εὐεccόc διὰ δύο cc γραφόμενον· ἔcτι δὲ ὄνομα πόλεωc ex Θυεccόc corruptum est. l. 11 Arcadius sic canonem profert: τὰ εἰc coc τῷ η παραληγόμενα ὀξύνεται· εἰ δέ τι βαρύτονον εἴη, παρώνυμον ἂν εἴη καὶ ἔννοιαν cυνθέcεωc ἔχοι, Ταρτηccόc, Λυρνηccόc, Λυκαβηccόc. τὸ μέντοι Κάρηccοc (B Κάβηccοc) τινὲc βαρύνουcιν. βαρύνεται δὲ ταῦτα Μάρπηccοc ἀπὸ τοῦ Μάρπηccα. τὸ δὲ Μυόννηcοc κτλ. Theogn. 72, 31 distinguit nomina in ηccοc a nominibus in ηcoc: τὰ διὰ τοῦ ηccoc ὀξύτονα ὑπὲρ δύο cυλλαβὰc διὰ τοῦ η καὶ δύο cc γράφεται — τὸ Κέηcοc (scr. Κάρηcοc), Βρίληcοc δι' ἑνὸc c γραφόμενα βαρύνονται. Cum Theognosto congruit etiam Il. Pros. M 20, ubi idem discrimen statuitur. Quare canonem ab Arcadio neglegenter conceptum restituendum arbitratus sum sic fere, ut feci. — Ταρτηccόc Λυρνηccόc explevi ex St. B., Μυκαληccόc — Cαλμυδηccόc ex Theogn. collato Steph. Byzantio; pro Ἐλβηccόc ap. Theogn. ὄνομα ποταμοῦ Lob. Proll. 411 aut Ἐδεβηccόc vel Ἐρβηccόc ὄνομα πόλεωc scribendum indicavit, equidem utrumque vocabulum recepi; exstant etiam ap. St. B. Nomina inde ab Ἀγηccόc usque ad Καβηccόc ex St. B. transtuli.

Φιλιππικῶν εἰκοστῇ τετάρτῃ. Καρδαμυλησσός κώμη. Καρδησσός πόλις Σκυθίας. Ἑκαταῖος Εὐρώπῃ. Κορησσός πόλις τῆς Ἐφεσίας... διὰ τὸ τὴν Λητὼ τεκοῦσαν καὶ τὴν Ἄρτεμιν κομίζουσαν γενομένην κατὰ τὸν τόπον, οὗ νῦν βωμὸς αὐτῆς, τῆς δὲ πυθομένης τίνος ἐστὶν ὁ τόπος, κόρη σός εἰπεῖν. Μερμησσός πόλις Τρωϊκή. Σαρδησσός πόλις Κιλικίας. Σινδησσός πόλις Καρίας. Τεγησσός πόλις Κύπρου, Τερμησσός πόλις Πισιδίας. ἔστι καὶ ἄλλη ταύτης ἄποικος καὶ αὐτὴ Πισιδίας λεγομένη μικρά, ὡς ἡ προτέρα μείζων. Τυλησσός ὄρος Ἰταλίας. Τυμνησσός πόλις Καρίας ἀπὸ Τυμνησσοῦ ἢ ἀπὸ τυμνίας ἤτοι ῥάβδου. Ξάνθιοι γὰρ τὴν ῥάβδον τυμνίαν λέγουσιν. Ἀγορησσός πόλις Καρίας. Καβησσός πόλις ἐν Καππαδοκίᾳ, πατρὶς Ὀθρυονέως. Ὅμηρος «Καβησσόθεν ἔνδον ἐόντα» (Il. N 363). Ἑκαταῖος δ' ὁ Μιλήσιος πόλιν εἶναί φησιν ὑπερβάντι τὸν Θρᾴκιον Αἷμον. καὶ συμφωνεῖ καὶ ἡ τοῦ γάμου ἐλπὶς τῶν Θρᾳκῶν ἀκολασίᾳ. Ἑλλάνικος δὲ τῆς Λυκίας πόλιν. Ἀπίων δὲ ἀληθέστερόν φησι κώμην εἶναι Καππαδοκίας μεταξὺ Ταρσοῦ καὶ Μαζάκων. λέγεται δὲ καὶ Καβασσός, ὅπερ ἀπὸ τοῦ Καβακησός οἴεται Δίδυμος κατὰ συγκοπήν. τὸ δὲ Μάρπησσος βαρύνεται ὡς παρώνυμον ἀπὸ τοῦ Μάρπησσα. τὸ δὲ Κάρησος καὶ Βρίλησος δι' ἑνὸς σ̄ γραφόμενα βαρύνεται. τὸ δὲ Κάρησος (M 20) Τυραννίων ὀξύνει· οὕτω γὰρ ὑπὸ Κυζικηνῶν ὀνομάζεσθαι τὸν ποταμόν. ὁ δὲ Ἀρίσταρχος βαρύνει· οὐ γὰρ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν, εἴγε Διονύσιος ἱστορεῖ τοὺς ἐγχωρίους τὸ Γλισᾶς μὴ περισπᾶν τῆς συνηθείας περισπώσης. τό τε Λύκαστος ὁ αὐτὸς ἱστορεῖ ὀξύνεσθαι ἡμῶν ἀναγινωσκόντων βαρυτόνως (B 647). οὕτως οὖν εἰκὸς καὶ ἐπὶ τοῦ Κάρησος μὴ πεισθῆναι τὸν Ἀρίσταρχον ὁμοίως τοῖς ἐγχωρίοις προενέγκασθαι τὴν λέξιν. τάχα δὲ ἐπεὶ ἑώρα τὰ εἰς ος̄ λήγοντα ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα τῷ η̄ παραληγόμενα ἕτερον ἔχοντα σ̄, τοῦτο δὲ ἓν ἀναδεξάμενον, διὰ τοῦτο καὶ ἐξήλλαξεν αὐτὸ τῆς ἐκείνων τάσεως. τὸ δὲ Μυόννησος πόλις μεταξὺ Τέω καὶ Λεβέδου. Ἑκαταῖος Ἀσίᾳ. Ἀρτεμίδωρος δὲ χωρίον αὐτήν φησι. Χερρόνησος πόλις ἐν τῇ κατὰ Κνίδον χερρονήσῳ κατὰ Τριόπιον. ἔστι β' πόλις ἐν τῇ Θρᾴκῃ Χερρόνησος, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ «ἐν δὲ αὐτοῖσι πόλις Χερσόνησος ἐν τῷ ἰσθμῷ τῆς χερσονήσου». ἔστι καὶ γ' πόλις τῆς Ταυρικῆς. Ἡρόδοτος τετάρτῃ (c. 99) «νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι Χερσονήσου τῆς τρηχείης καλεομένης». δ' Χερρόνησος κατὰ Κρήτην νῆσον ἔχουσα πολισμάτιον ὁμώνυμον. Ξενίων ἐν τῷ περὶ αὐτῆς «κατὰ δὲ τὴν αὐτὴν πλευρὰν καὶ Χερρόνησος κεῖται πρὸς τῇ θαλάσσῃ μεταξὺ τῆς τε Κνωσοῦ καὶ τῆς Ὀλοῦντος». ἔστιν ε' πόλις Λιβύης Χέρρουρα καλουμένη, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ «ἔχεται χερρόνησος ὄνομα Χέρρουρα». ϛ' Χερρόνησος ἡ πρὸς τῇ Κορίνθῳ. ἔστι καὶ ἄλλη ἄκρα Χερρόνησος

τὸ δὲ Κάρησος — βαρύνεται ex Theogn., verba τὸ δὲ Κάρησος (M 20) Τυραννίων ὀξύνει usque ad τῆς ἐκείνων τάσεως ex Il. Pr. M 20. Μυόννησος, Χερρόνησος,

ἐν Λυκίᾳ· καὶ ἄλλη πρὸς τὴν Κορωνιτῶν πόλιν. Προκόννηϲοϲ μία τῶν Ϲποράδων ἐν τῇ Προποντίδι, Ἐλαφόνηϲοϲ μία τῶν Ϲποράδων νήϲων ἔχουϲα πόλιν ὁμώνυμον. Ἁλόννηϲοϲ, Ἀλωπεκόννηϲοϲ πόλιϲ τῆϲ Ἑλληϲποντίαϲ χερρονήϲου κατὰ χρηϲμὸν κτιϲθεῖϲα κελεύϲαντα, ἔνθα ἂν ϲκύλακαϲ ἴδωϲιν ἀλώπεκοϲ, ἐκεῖ πόλιν οἰκίϲαι. Ἀρκόνηϲοϲ νῆϲοϲ Καρίαϲ. Ἀπολλώνιοϲ ἑβδόμῃ Καρικῶν. Ἀρκτόνηϲοϲ. οὕτωϲ ἡ Κύζικοϲ ἐκαλεῖτο. Ἀρτύμνηϲοϲ, πόλιϲ Λυκίαϲ, ἄποικοϲ Ξανθίων. Μενεκράτηϲ ἐν πρώτῃ τῶν Λυκιακῶν. Δημόνηϲοϲ περὶ Χαλκηδόνα νῆϲοϲ ἀπὸ Δημονήϲου τινόϲ. Ἱππόνηϲοϲ πόλιϲ Καρίαϲ. Ἑκαταῖοϲ Ἀϲίᾳ. ἔϲτι καὶ Λιβύηϲ, ὡϲ Ἀρτεμίδωροϲ ἑβδόμῳ. Ἑκατόννηϲοϲ. οὕτωϲ περὶ τὴν Λέϲβου νηϲία κʹ, ὡϲ Ϲτράβων (13 p. 618), παρὰ τὸν Ἕκατον τὸν Ἀπόλλωνα. τιμᾶται γὰρ διαφόρωϲ ἐν τοῖϲ τόποιϲ, Ϲμινθεύϲ, Κιλλαῖοϲ, Γρυνεύϲ. Κορακόννηϲοϲ... Ἀλέξανδροϲ τρίτῳ Λιβυκῶν. καὶ ἔτι τὸ Πελοπόννηϲοϲ ϲύνθετα.

Τὰ εἰϲ ϲϲοϲ ὑπερδιϲύλλαβα ἔχοντα πρὸ τοῦ τέλουϲ ῑ εἰϲ ϲ̄ καταλῆγον μονογενῆ ὄντα προπαροξύνεται, κυπάριϲϲοϲ καὶ τὸ φυτὸν καὶ ὁ ἥρωϲ καὶ ἡ πόλιϲ. Ὅμηροϲ «οἳ Κυπάριϲϲον ἔχον Πυθῶνά τε πετρήεϲϲαν» (B 519) ἀπὸ Κυπαρίϲϲου τοῦ Μινυοῦ, οἱ δὲ ὡϲ Δίδυμοϲ ἀπὸ πλήθουϲ τῶν αὐτόθι κυπαρίϲϲων, ἣν Κυπαριϲϲοῦντά τινεϲ καὶ Ἀπολλωνιάδα φαϲί. νάρκιϲϲοϲ καὶ τὸ φυτὸν καὶ τὸ κύριον. Μέλιϲϲοϲ. Μύρμιϲϲοϲ πόλιϲ περὶ Λάμψακον, ὡϲ Πολέμων. Βόλιϲϲοϲ πόλιϲ Αἰολικὴ ἐπ' ἄκρου Χίου πληϲίον. Θουκυδίδηϲ Βολίϲκον αὐτὴν καλεῖ ἐν ὀγδόῃ (c. 24). Ἀνδροτίων δὲ δι' ἑνὸϲ ϲ̄ γράφει. καί φαϲιν ὅτι Ὅμηροϲ ἐν τούτῳ τῷ πολιϲματίῳ τὰϲ διατριβὰϲ ἐποιεῖτο, ὡϲ Ἔφοροϲ. Ἀρχέμιϲϲοϲ ὄνομα ποταμοῦ. Τριπόλιϲϲοϲ ἔθνοϲ Θεϲπρωτικόν, οὓϲ καὶ Τριπολιϲϲίουϲ καλεῖ Ῥιανὸϲ ἐν τῷ πεντεκαιδεκάτῳ. Βαρβάλιϲϲοϲ φρούριον τῆϲ ἔω περιτετειχιϲμένον, Θέμιϲϲοϲ πόλιϲ Καρίαϲ, ἣν ἔκτιϲε Δάδαϲ, ἀπὸ Θεμίϲϲου παιδόϲ, ὃν λύκοι διεχρήϲαντο. Μούκιϲϲοϲ πόλιϲ Καππαδοκίαϲ. Μύγιϲϲοϲ πόλιϲ Καρίαϲ. Ἑκαταῖοϲ τετάρτῃ γενεαλογιῶν. Παροπάνιϲϲοϲ πόλιϲ καὶ ὄροϲ Ἰνδικῆϲ, ἀφ' οὗ Παροπανιϲϲάδαι οἱ οἰκοῦντεϲ. Ἀπολλόδωροϲ δὲ ἐν δευτέρῳ περὶ γῆϲ ἀπ' αὐτῶν φηϲι τὸ ὄροϲ κεκλῆϲθαι. βούλονται δέ τινεϲ Παρπάνιϲον προπαροξυτόνωϲ λέγεϲθαι τὸ ὄροϲ. πολλοὶ δὲ καὶ ὀξύνουϲι καὶ διὰ τοῦ μ̄ γράφουϲι Παρπαμιϲόν. Ϲτράβων δὲ (p. 723) Παροπαμιϲόν γράφει πεντεϲυλλάβωϲ. Ὕδιϲϲοϲ πόλιϲ Καρίαϲ ἀπὸ Ὑδίϲϲου παιδὸϲ Βελλεροφόντου καὶ Ἀϲτερίαϲ θυγατρὸϲ Ὑδέου, ὡϲ Ἀπολλώνιοϲ Καρικῶν τετάρτῳ. Πεδνήλιϲϲοϲ

Προκόννηϲοϲ, Ἐλαφόννηϲοϲ explevi ex St. B., reliqua inde ab Ἁλόννηϲοϲ usque ad Κορακόννηϲοϲ ex eodem addidi. De duplici ν̄ cf. Herod. in E. M. 650, 48.
l. 16 κυπάριϲϲοϲ explevi ex St. B. s. v. et s. Ἀπολλωνία, ubi ὡϲ Δίδυμοϲ. Μύρμιϲϲοϲ recepi ex St. B. pro Κύρμιϲϲοϲ ap. Theogn. 73, Βόλιϲϲοϲ ex eodem pro Theognosti corrupto Πόλιϲϲοϲ; Ἀρχέμιϲϲοϲ vocabulum ignotum ex Theogn., Τριπόλιϲϲοϲ ex St. B., Βαρβάλιϲϲοϲ -- Μύγιϲϲοϲ ex St. B., quamquam apud eum omnia acuuntur, Παροπάνιϲϲοϲ ex St. B. et Eust. ad Dionys. 1097. Ὕδιϲϲοϲ, quod Mein. rectius Ὑδηϲϲόϲ scribendum iudicat, Πεδνήλιϲϲοϲ ex St. B., ubi oxy-

πόλις Πισιδίας. τὸ μέντοι περισσός τριγενές. σεσημείωται τὸ Τελμισσός πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων, Λυκίας. ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα.

Τὰ εἰς c̅o̅c̅ ὑπερδισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ῑ ἐκτεταμένον λήγουσαν ὀξύνεται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ, Κηφισός, Ἰλισός ποταμὸς τῆς Ἀττικῆς, ἐν ᾧ τιμῶνται αἱ Μοῦσαι Ἰλισίδες, ὡς Ἀπολλόδωρος. Κεδρισός, Ἀμισός πόλις ἐν Πόντῳ. λέγεται καὶ ἀρσενικῶς. Ἀμνισός ποταμὸς Κρήτης. τὸ δὲ Ἄρνισος Ἄρνισα, Λάρνισος Λάρνισα ἀπὸ θηλυκῶν, ὡσαύτως καὶ Μήρισος, Μάρισος ὁ ποταμός, Πάμισος, Κρίμισος ὁ ποταμὸς Σικελίας, Μόρμισος ὁ ποταμός, Νάϊσος, ὕρισος βαρύνονται.

Τὰ εἰς c̅o̅c̅ ὑπερδισύλλαβα τῷ ō παραληγόμενα ἐν διπλασιασμῷ τοῦ c̄ ὀξύνεται, νεοσσός, κολοσσός, Μολοσσός ὄνομα ἔθνους.

Τὰ εἰς δύο c̅c̅ παραληγόμενα τῷ υ προπαροξύνεται, Γένυσσος ὄνομα ποταμοῦ. Ἄμφρυσσος πόλις Φωκίδος. καὶ δι' ἑνὸς c̄ ἐκφέρεται. τινὲς δὲ διὰ τοῦ β̄ φασί. ἔστι καὶ ποταμὸς Μαγνησίας. Ἴνυσσος πόλις Αἰγύπτου προσεχὴς τῷ Κασίῳ ὄρει. Ἡρόδοτος (3, 5). ὡσαύτως καὶ τὰ δι' ἑνὸς c̄ ἐκφερόμενα προπαροξύνεται, μέθυσος, γόγγυσος, Διόνυσος, Ὄνυσος ὁ ποταμός. ἄφυσος, ἄρυσος ἀγγεῖον πλεκτὸν σπυριδῶδες. Ἰάλυσος ἥρως καὶ πόλις ἐν Ῥόδῳ καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ. Ἀμφίλυσος ποταμὸς Σάμου. Εὐφορίων Ἀρτεμιδώρῳ «δαῖμον ὃς Ἀμφιλύσοιο ῥόον».

Τὰ εἰς c̅c̅o̅c̅ ὑπὲρ δύο συλλαβὰς τῷ ω̄ παραληγόμενα ὀξύνεται, Κερωσσός πόλις Ἀπολλωνιάδος. Βηρωσσός, Κεδρωσσός ἔθνος πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης, οὓς καὶ Γεδρωσίους καλοῦσιν. τὸ δὲ ἄλωσος ἓν c̄ ἔχει· γέγονε δὲ παρὰ τὸν ἀλώσω μέλλοντα.

---

tona sunt. Τελμισσός Herodianum scripsisse testatur Arcadius h. l. et Steph. B. et Herod. ap. Eustath. ad Dionys. 859, sed quum St. B. Τελμήσσιος cum Λυγνήσσιος comparet, eum etiam Τελμησσός cognitum habuisse et de discrepantia scripturae adnotasse concludi potest; caeterum hoc nomen ex St. B. explevi.
l. 6 Ἰλισός explevi ex St. B., ubi Ἰλισσός scriptum est. Κεδρισός pro Κερδισός emendavit Lob. Proll. 413; Ἀμισός, Ἀμνισός ex St. B. addidi. Pro Ἄρκισος Ἄρκισα Lobeck. ex Theogn. 73, 14 scripsit Ἄρνισος Ἄρνισα. Verba inde ab ὡσαύτως καὶ Μήρισος usque ad finem adieci ex Theogn. Lobeckii emendationes recipiens, nam ap. Theogn. Νήρισος pro Μήρισος, Ἄρισος pro Μάρισος, ἄϊσος pro Νάϊσος (quod ap. St. B. Νάϊσσος πόλις Θρᾴκης scriptum est), ὕβρισος pro ὕρισος exhibentur, de Μόρμισος dubitat Lobeck. l. 14 Μολοσσός explevi ex Theogn. 78, 21. l. 15 Γένυσσος addidi ex Theogn. 73, 27, Ἄμφρυσσος ex Schol. Apoll. A 54: Ἄμφρυσσος. γράφεται καὶ διὰ τοῦ β̄, ὡς Διονύσιος (Argonauticorum scriptor)· ἔστι δὲ ποταμὸς Θεσσαλίας. προπαροξύνεται, ὡς ἐν τῇ η̄ τῆς καθόλου et St. B. Ἄμφρυσσος πόλις Φωκίδος, τινὲς δὲ διὰ τοῦ β̄ φασί et Theogn., ubi Ἄμβρυσσος. — Ἴνυσσος apposui ex St. B., ubi suo loco motum est, apud Herodotum exhibetur Ἰήνυσσος. — Verba ὡσαύτως — προπαροξύνεται ipse adieci, Ὄνυσος — ἄρυσος ex Theogn., Ἰάλυσος, Ἀμφίλυσος ex St. B. l. 25 Κερωσσός explevi ex Theogn. 74, 3, Βηρωσσός ex eodem addidi, quamquam Βήρωσσος scriptum est, qui accentus ad formam Βήρωσος pertinere videtur, Κεδρωσσός ex St. B. 371, 14 coll. 200, 15; de ἄλωσος cf. Lob. Proll. 418, qui Theognosti Βλῶ-

* Τὰ διὰ τοῦ αιcoc ὑπερδιcύλλαβα cπάνια ὄντα βαρύνεται, Ἄλαιcoc, κάβαιcoc ὁ ἄπληcτοc. Γάλαιcoc ὄνομα ποταμοῦ. τὸ μέντοι Παραιcόc ὀξύνεται· ἐγένετο δὲ ὁ Παραιcὸc Μίνῳ cυγγενήc, ἀφ' οὗ ἡ πόλιc ἡ Παραιcόc ὁμοτόνωc τῷ οἰκιcτῇ. καὶ Πριαιcόc πόλιc Κρήτηc. τὸ δὲ Ἀπαιcόc ἠκολούθηcε τῷ «ὅc ῥ' ἐνὶ Παιcῷ (Il. Ε 612).

* Τὰ διὰ τοῦ αυcoc cπάνια ὄντα προπαροξύνεται βάναυcoc ὃ καὶ βαύναcoc, Νέμαυcoc πόλιc Γαλλίαc ἀπὸ Νεμάcου Ἡρακλείδου.

* Τὸ Παράδειcoc πόλιc Cυρίαc μόνον διὰ τοῦ ειcoc προπαροξύνεται.

Τὰ εἰc τοc διcύλλαβα παραληγόμενα τῇ ου ἢ οι ἢ αι διφθόγγῳ, μὴ τῇ ει, ἀρcενικὰ ὄντα μὴ ἐπιθετικὰ βαρύνεται, εἰ μὴ μέροc cώματοc cημαίνοι, πλοῦτοc, οἶτοc, Κλοῖτοc, Προῖτοc, γοῖτοc ὁ ῥύποc, κοῖτοc, μοῖτοc, φοῖτοc, Λαῖτοc, βροῦτοc. τὸ δὲ Κλειτόc ἔχει τὴν ει. καὶ τὸ γλουτόc cώματοc μέροc δηλοῖ. καὶ τὸ Βοῦτοc θηλυκὸν κώμη Αἰγύπτου — ἐκαλεῖτο δὲ καὶ Βουτώ, ἔcτι καὶ ἑτέρα Γεδρωcίαc. καὶ τὸ Παιτόc ἐθνικὸν ὡc καὶ τὸ Ῥαιτόc. ἔcτι δὲ Τυρρηνικὸν ἔθνοc.

Τὰ εἰc τοc διcύλλαβα παραληγόμενα ἑνὶ τῶν φύcει μακρῶν κύρια ὄντα βαρύνεται, Κλῆτοc ὄνομα ποταμοῦ. Δῶτοc ὁ Πελαcγοῦ, ἀφ' οὗ τὸ Δώτιον πεδίον. ἔcτι καὶ ὄνομα αὐλητοῦ. Πρῶτοc. Ὦτοc

---

coc p. 74, 5 iure ex ἄλωcoc corruptum iudicat, nam de hyperdisyllabis sermo est; ex Theogn. γέγονε δὲ κτλ. apposui. l. 1 hunc canonem constitui ex Theogn. 73, 30, ubi Κέλαιcoc et Γναῖcoc corrupta sunt, Lob. Proll. 409 Ἄλαιcoc et Γάλαιcoc substituit, Παραιcόc est ex Herod. ap. St. B., Παραιcόc πόλιc Κρήτηc περὶ ἧc Ἡρωδιανὸc ἐν ὀγδόῳ, τὸ μέντοι κτλ. — τῷ οἰκιcτῇ. Πριαιcόc ex St. B. addidi, Holstenius Παραιcόc et Πριαιcόc idem nomen esse putat. Ἀπαιcόc, quod ap. Theogn. gravatur, ex Il. Pr. Β 828 explevi: Ἀπαιcοῦ: οὕτωc Ἀπαιcοῦ ὡc ἀγανοῦ. καὶ ἴcωc ἀκολούθωc τῷ «ὅc ῥ' ἐνὶ Παιcῷ». De κάβαιcoc E. M. 482, 21 diserte: κάβαιcoc ὁ ἄπληcτοc διὰ διφθόγγου προπαροξύνεται παρὰ τὸν κάβον, ὅ ἐcτι μέτρον cιτικόν. Κρατῖνοc Μαλθακοῖc. cf. Schmidt. ad Hesych. l. 6 canonem ipse finxi ex βάναυcoc, quod est ap. Arcad. 76, 21, et Νέμαυcoc ap. St. B., Parthenii testimonium omisi, quia fortasse Phocaeensis significatur, non Nicaeensis cf. Mein. Anall. p. 289. l. 8 annotationem de Παράδειcoc apposui propter nomen a St. B. relatum, disserit de hac voce etiam Choer. Orth. 251, 27, unde suspiceris Herodianum quoque huius vocis et scripturae mentionem iniecisse: παράδειcoc: ει, παρὰ γὰρ τὸν δεύcω μέλλοντα, τὸν cημαίνοντα τὸ βρέξω. γέγονε παράδευcoc καὶ κατὰ τροπὴν τοῦ υ εἰc ι παράδειcoc. ἢ παρὰ τὴν δεῖcα, ὃ cημαίνει τὴν ὑγραcίαν, γέγονε παράδειcoc. τὸ δὲ δεῖcα διὰ τῆc ει διφθόγγου γράφεται. l. 12 οἶτοc Herod. in Il. Pr. Λ 24 latiori canoni subiicit: φιλεῖ πωc τὰ εἰc οc λήγοντα διcύλλαβα μονογενῆ ἀπὸ τῆc οι διφθόγγου ἀρχόμενα βαρύνεcθαι, ὁπότε πρὸ τῆc οc cυλλαβῆc cύμφωνον ἢ cύμφωνα ὑπάρχει. — κοῖτοc, μοῖτοc, φοῖτοc addidi ex Theogn. 74, 8. Proprii Κλειτόc accentum Herod. in Il. Pr. Ο 445 aliter expedit: Κλειτόc ὄνομα κύριον. ὀξυντέον δὲ ὁμοίωc τῷ ἐπιθέτῳ, ἐπειδὴ κόcμου ἐcτὶ τὸ ἐπίθετον. Βοῦτοc explevi ex St. B., apud quem Βοῦτοc πόλιc Αἰγύπτου, Ἡρωδιανὸc δὲ κώμην αὐτὴν λέγει. Ῥαιτόc accessit ex St. B.

l. 19 Κλῆτοc explevi ex Theogn. 74, 15, Δῶτοc ex St. B., ubi p. 257, 15 Δώτιον ἀπὸ Δώτου τοῦ Πελαcγοῦ παιδόc, ὡc Ἡρωδιανὸc ἐν τῷ η': Δῶτοc ὁ Πελαcγοῦ κτλ. Herodianus ipse ex Mnasea petiverat, ut apparet ex l. 1: Μναcέαc δὲ «ἀπὸ Δώτου τοῦ Πελαcγοῦ». — ἔcτι καὶ ὄνομα αὐλητοῦ sunt ex Epimerism. loco statim proferendo. Πρῶτοc inserui ex Theogn., ubi Κνῶτοc et Ep. Cr. I 340, 13, ubi Κλῶτοc. Ὦτοc explevi ex Theogn., unde etiam addidi ᾧ

ὄνομα κύριον καὶ τὸ ὄρνεον, ᾧ ὁμοίως καὶ τὸ νῶτος ἐπὶ τῆς ψόας. καὶ γὰρ τούτου ἡ χρῆσις, καὶ τὸ μὲν οὐδέτερον «πολὺ τὸ νῶτον», ἤδη δὲ καὶ τὸ ἀρσενικόν. ἱστορεῖται δὲ παρὰ Ξενοφῶντι καὶ Ἐφόρῳ. τὸ μέντοι λωτός οὐ κύριον. εἰ μέντοι ἐπιθετικὰ εἴη παραληγόμενα τῷ η ἢ τῷ ω, ὀξύνεται, εἰ μὴ ἐπὶ ἀριθμοῦ τάττοιτο, ῥητός, νητός, κμητός, τρητός, οἷς ὅμοιον καὶ τὸ Σητοί ἔθνος καὶ πόλις Βιθυνίας, πλωτός, ἔνθεν «πλωτῇ ἐνὶ νήσῳ» (Od. κ 3), στρωτός, γνωτός, πτωτός, βρωτός, τρωτός, πρωτός ὁ πεπρωμένος, ὅθεν καὶ ἐτόλμησάν τινες ἀναγινώσκειν «ἐπὴν τὰ πρωτὰ γένηται» (Il. Ζ 489), ἵν' ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶς. πρῶτος δὲ ἐπὶ ἀριθμοῦ. ἰστέον δὲ ὅτι κανόνες κατέσχον τέσσαρες τὴν βαρεῖαν τάσιν· ὡς γὰρ παρὰ τὴν ἐξ γίνεται ἐξώτερος, οὕτως καὶ παρὰ τὴν πρό γέγονε πρότερος συγκριτικὸν καὶ πρότατος ὑπερθετικὸν καὶ ἀποβολῇ τοῦ τ πρόατος καὶ κράσει τοῦ οα εἰς ω πρῶτος· βαρύνεται δὲ ἴσως καὶ ὥσπερ ἐπιμεριζόμενον, μία δὲ ἡ τάσις τῶν ἐπιμεριζομένων ἡ βαρεῖα, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ πρωτός βαρύνεται. ἔτι δὲ βαρύνεται, ἐπειδὴ τὰ εἰς ος τακτικὰ βαρύνεται, ὑπεσταλμένων τῶν εἰς στος, ἕβδομος, ὄγδοος, ἔννατος, δέκατος.

Τὰ εἰς τος διβράχεα μονογενῆ βαρύνεται, ὁπότε μὴ ἐπὶ ἀθροίσματος ἢ κύριά εἰσιν ἀπὸ ἐπιθετικῶν ἢ ἔχει ἀντέμφασιν, βάτος, λάτος, βρότος τὸ αἷμα, βροτός δὲ ὁ φθαρτός τὸ τριγενές, πότος τὸ συμπόσιον, ποτός δὲ τὸ πινόμενον, πάτος ἡ ἀναστροφή, Στράτος τὸ μὴ ἐπὶ τοῦ ἀθροίσματος, ἔστι δὲ πόλις Ἀκαρνανίας, στρατός δὲ τὸ σύναγμα, κρότος, κότος, μίτος, νότος, σκότος. τὸ δὲ Κριτός καὶ Κλιτός ὀξύνεται.

Τὰ εἰς τος διβράχεα ἐπιθετικὰ μὴ ἐπὶ ἀριθμοῦ ταττόμενα ὀξύνεται,

---

ὁμοίως — ψόας, verba inde ab καὶ γὰρ τούτου — Ἐφόρῳ ex Ep. Cr. l. c. — ῥητός, κμητός (pr. κρητός), τρητός ex Theogn., οἷς ὅμοιον καὶ τὸ Σητοί — Βιθυνίας ex St. B., l. 7 ἔνθεν — νήσῳ ex Ep. Cr., στρωτός, γνωτός, πρωτός, βρωτός (pr. βωτός) ex Theogn., τρωτός ex Mon. 38, 19; ὅθεν καὶ ἐτόλμησαν — οὐχ ὑγιῶς ex Ep. Cr. et Il. Pr. Ζ 489. — ἰστέον δὲ ὅτι κανόνες — τάσιν ex Mon. l. c., ubi οὐκ ἀγνοῶ δέ. — ὡς γὰρ — κράσει τοῦ οα εἰς ω πρῶτος ex Herodiani Epim. ap. Theogn. 83, 30, nam sic etiam verum Herodianum disputasse iudicat Lehrs ad Mon. l. c. — βαρύνεται δὲ — πρὸς ἀντιδιαστολὴν τοῦ πρωτός βαρύνεται ex Epim. Cr., ἔτι δὲ usque ad finem ex Arcad. 42, 18. Caeterum in constituendo canone secutus sum Lehrsium ad Mon., ubi sic traditur: πρῶτος. τὰ εἰς τος λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῷ ω τριγενῆ ὑπάρχοντα ὀξύνεσθαι θέλει, γνωτός, τρωτός, πλωτός, πτωτός, ἀλλὰ καὶ ὁ πρωτός. τὸ δὲ πρῶτος τοῦ ἀριθμοῦ τὸ ὄνομα βαρύνεται. οὐκ ἀγνοῶ δέ, ὅτι κανόνες κατέσχον τέσσαρες τὴν βαρεῖαν τάσιν. Canon de nominibus in ωτος sic in Ep. Cr. l. c. proponitur: τὰ εἰς τος τῷ ω παραληγόμενα βαρύνεται μονογενῆ ὄντα, Ὦτος, Κλῶτος (Πρῶτος scr.), Δῶτος ὄνομα αὐλητοῦ. νῶτος — ἡμάρτηται τὸ λωτός. cf. Choer. Ep. in Psalm. 2, 12. l. 19 ἢ ἔχει ἀντέμφασιν addidi ex Il. Pr. Ζ 202: πάτον: ὡς λόγον. τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος, κότος, μίτος, νότος, πότος. οὕτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός. τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει, ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν, quod adnotamentum transiit in E. M. 656, 15 cf. Ep. Cr. I 378, 22. Ex hoc loco addidi κρότος — νότος, σκότος ex Theogn. 74, 24. — de βροτός βρότος cf. Hesych. βροτον., de ποτός et πότος E. M. 685, 4 ποτός ὀξυνόμενον σημαίνει τὴν πόσιν, παροξυνόμενον δὲ τὸ συμπόσιον.

βατός, φατός, θετός, δετός, ἐτός ὁ ἀληθής ἀπὸ τοῦ εἰμί, ὃ δηλοῖ τὸ ὑπάρχω. πλυτός. τὸ δὲ τρίτος ἐπὶ ἀριθμοῦ.

Τὰ εἰς τος δισύλλαβα παραληγόμενα ῑ μακρῷ βαρύνεται, σῖτος — ὥσπερ παρὰ τὸ ἐργάζομαι γίνεται ἐργαστής καὶ ἀποβολῇ τοῦ σ ἐργάτης βαρυνόμενον καὶ ἀπὸ τοῦ δεσποστής δεσπότης, οἰστός οἶτος, οὕτω καὶ παρὰ τὸ σέσειςται σειστός ἀποβολῇ τοῦ σ καὶ ε σῖτος — Τρῖτος ὁ ποταμός, ῥῖτος φρέαρ, τὸ μέντοι λιτός τριγενές.

Τὰ εἰς τος δισύλλαβα παραληγόμενα τῷ ῡ προσηγορικὰ ὀξύνεται, βρυτός ὁ βρύων, χυτός, ῥυτός, λυτός, κλυτός, πλυτός, τρυτός. τὸ δὲ Βύτος κύριον βαρύνεται.

Τὰ εἰς τος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν ἢ καθ' ὅλου εἰς ἀμετάβολον βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη ἔχοντα θηλυκόν, φόρτος, χόρτος, μύρτος καὶ Μύρτος ἡ πόλις, ἄρτος, μίλτος, δέλτος, κίρτος· παρὰ Σιμωνίδῃ ἡ χρῆσις. Τοῦρτος· οὕτως καλεῖ Ἀρτεμίδωρος τοὺς οἰκήτορας τῆς Τουρδητανίας. Ἄλτος χωρίον πλησίον Θεσσαλονίκης. Πάλτος πόλις Συρίας. Ἀρτεμίδωρος. πόντος καὶ ἰδικῶς ὁ Εὔξεινος. Κύρτος πόλις Αἰγύπτου ἐν τῷ μεσογείῳ. καὶ κύρτος εἶδος δικτύου. σεσημείωται κοντός καὶ παλτός ὀξυνόμενα. τὸ δὲ σπαρτός, κυρτός, καρτός, θικτός ὀξύνονται ὡς θηλυκὰ ἔχοντα. ὀξύνεται δὲ καὶ Κυρτός τὸ ἐθνικὸν ὡς καὶ Σιντός ἔθνος Θρᾳκικόν, οἳ καὶ Σίντιες καὶ Σίντιοι ἐκαλοῦντο, καὶ Κελτός, οὓς Κέλτας Στράβων φησί. καὶ τὸ Σπαρτός — υἱὸς Ἀμύκλαντος τοῦ Λέλεγος καὶ Σπαρτοί οἱ μετὰ Κάδμου — κύριον ὀξύνεται.

---

l. 1 δετός, ἐτός addidi ex Theogn. 75, 2. ad βατός addere potui βάτος δὲ ἡ ἄκανθα ex E. M. 191, 54, ubi Philonis (scr. Philoxeni) observatio profertur: βάτος ἡ ἄκανθα ἐστὶν ἐν τόνῳ παροξυτόνῳ καὶ τοιαῦτα πολλὰ ὡς παρὰ τὸ Κυρτός κύρτος, ξανθός Ξάνθος, λευκός Λεῦκος ὄνομα κύριον καὶ οὕτω βατός βάτος. cf. Hesych. βατός ὁ διαπεράσιμος τόπος· ἡ δὲ ἄκανθα βάτος. l. 3 σῖτος explevi ex E. M. 714, 34, ubi σῖτος, λέγει ὁ τεχνικός, quem Herodianum esse concludi potest ex E. Or. 113, 9 οἶτος· Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς λέγει παρὰ τὸ οἴω τὸ δηλοῦν τὸ φέρω, οὗ μέλλων οἴσω, οἰστός οἶτος. et Il. Pr. Ω 228, ubi ποταμός ex ποτασμός repetitur Choer. in Orth. 256, 16 ῥειτός: ει δίφθογγος ἢ ῥῖτος ῑ. ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου λέγει, ὅτι διὰ τοῦ ι γράφεται καὶ βαρύνεται οἷον ῥῖτος, σῖτος, Τρῖτος, ἔστι δὲ ὄνομα ποταμοῦ. Cr. An. Ox. II 293 περὶ ποσότητος: ὁ μὲν Ἡρωδιανὸς βαρύνει αὐτὰ καὶ διὰ τοῦ ι γράφει ὁμοίως τὸ σῖτος, ῥῖτος cf. E. M. 703, 15. l. 9 πλυτός τρυτός addidi ex Theogn. 74, 32; τὸ δὲ Βύτος ex St. B. 281, 3. l. 11 in Ep. Cr. I 424, 13 canon sic profertur: τὰ εἰς τος δισύλλαβα ἀπαρασχημάτιστα ἔχοντα ἐν τῇ πρὸ τέλους τὸ ρ βαρύνεται, κύρτος, Μύρτος ἡ πόλις, κίρτος· παρὰ Σιμωνίδῃ ἡ χρῆσις, unde pro Μύρτος τὸ κύριον Arcadii scripsi Μύρτος ἡ πόλις, cui proprio praemisi appellativum, quod ab epitomatoribus omissum esse claret, et κίρτος adieci. Τοῦρτος, Ἄλτος — πόντος ex St. B. accesserunt, ex eodem Κύρτος, de quo: Κύρτος πόλις Αἰγύπτου ἐν τῷ μεσογείῳ. ὁ τόνος τοῦ μὲν ἐθνικοῦ ὀξὺς ὁμόφωνος τῷ πάθει (sc. κυρτός), τοῦ δὲ κυρίου τῆς πόλεως βαρὺς ὡς κόστος καὶ πόντος. — κύρτος appellativum addidi ex Ep. Cr. I 232, 17 κύρτος βαρυτόνως εἶδος δικτύου, κυρτός ὀξυτόνως τὸ ἐπίθετον cf. E. M. 548, 47, Schol. L ad Il. B 218. — De κοντός E. M. 529, 5: παρὰ τὸ κέντω ῥῆμα βαρύτονον κοντός ὡς τρέφω τροφός καὶ πέμπω πομπός. Κυρτός ἐθνικὸν addidi ex St. B. l. c., ex eodem Σιντός, Κελτός ex Eustath. ad Dionys. 288 καὶ τὸ Σπαρτός κύριον finxi ex St. B. 407 Σπαρτός ὁ Ἀμύκλαντος. Caeterum φόρτος et χόρτος generali canoni subiicit Herod. in Il. Pr. Ω 316 τὰ εἰς ος λήγοντα δισύλλαβα μὴ ἔχοντα

Τὰ εἰς στος δισύλλαβα μονογενῆ ὀξύνεται, εἰ μὴ ἡ πρὸ τέλους συλλαβὴ ἔχοι τι τῶν φύσει βραχέων, ἱστός, ἔστι καὶ νῆσος Λιβύης. Σηστός πόλις πρὸς τῇ Προποντίδι. λέγεται δὲ ἀρσενικῶς παρ' Ἐφόρῳ· οἱ δὲ Ἀθηναῖοι «ἐν τῇ Σηστῷ» φασιν. παστός, μαστός, ξυστός. Κραστός πόλις Σικελίας τῶν Σικανῶν. Φίλιστος Σικελικῶν τρισκαιδεκάτῳ. Γραστός παῖς Μυγδόνος, ἀφ' οὗ Γρηστωνία χώρα Θρᾴκης. Φαιστός πόλις Κρήτης «ἐς Φαιστόν, μικρὸς δὲ λίθος» (Od. γ 296). ἔστι καὶ ἄλλη Φαιστός Πελοποννήσου ἡ πρότερον Φρίξα καλουμένη. τὸ δὲ Φαῖστος ἐπὶ τοῦ ἥρωος βαρύνεται «Ἰδομενεὺς δ' ἄρα Φαῖστον» (Il. Ε 43). σεσημείωται τὸ Δύστος πόλις Εὐβοίας. Θεόπομπος ἐν Φιλιππικῶν κδ' «ἀποστήσας δὲ τοὺς ἐν αὐτῇ τῇ περιοικίδι τῶν Ἐρετριέων ἐστράτευσεν ἐπὶ πόλιν Δύστον». καὶ Κάστος καὶ Νάστος πόλις Θρᾴκης, ἣ καὶ Νέστος λέγεται· Ἀπολλόδωρος δευτέρᾳ περὶ γῆς· βαρύτονα. τὸ δὲ Νέστος πατὴρ Καλλιρρόης καὶ πόλις καὶ ποταμὸς Ἰλλυρίας καὶ κόστος καὶ νόστος βραχεῖ παραλήγουσι.

Τὰ εἰς τος δισύλλαβα ἔχοντα πρὸ τοῦ τ σ, εἰ παρασχηματίζοιτο εἰς διάφορα γένη, ὀξύνεσθαι θέλει, εἰ μὴ ὑπερθετικὰ εἴη ἢ ἐκ πλειόνων συλλαβῶν εἰς δισυλλαβίαν μεταστῇ, πιστός, ξυστός, ἀστός, μεστός, κεστός. τὸ δὲ πλεῖστος, λῷστος, ῥᾷστος ὑπερθετικὰ ὄντα βαρύνεται. καὶ τὸ Πλεῖστος ποταμὸς ἐν Δελφοῖς βαρύνεται «πολλὰ δὲ Κωρύκιαι νύμφαι Πλείστοιο θύγατρες». Ἀπολλώνιος (Argon. II 711). τινὲς δὲ ἀναγινώσκουσι προπερισπωμένως ἐπὶ τῆς γενικῆς, ἐπειδὴ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστός ὀξυτόνως, οὐκ ἐπικρατεῖ δὲ ἡ ἐθνικὴ παράδοσις. καὶ τὸ δύστος ὁ δύστηνος καὶ πόστος ἐκ τοῦ πόσατος γέγονεν.

Τὰ εἰς τος ῥηματικὰ μὴ ὄντα ἀριθμητικά, πρὸ τοῦ τ τὸ κ ἢ τὸ π ἔχοντα ὀξύνεται, πλεκτός, ἑλκτός, πνικτός, θελκτός. τὸ δὲ οἶκτος βαρύνεται. οὐ γὰρ ῥηματικόν. — ἄλλως τε φιλεῖ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς ος συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει — καὶ τὸ ἄρκτος καὶ πέκτος ὁ πόκος καὶ τὸ κάκτος. καὶ Λύκτος πόλις Κρήτης ἀπὸ Λύκτου τοῦ Λυκάονος· ἔνιοι δὲ Λύττον αὐτήν φασιν διὰ τὸ κεῖσθαι ἐν μετεώρῳ τόπῳ. τὸ γὰρ ἄνω καὶ ὑψηλὸν λύττον

παρασχηματισμόν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων, οἷον χόρτος, φόρτος, ὅρκος, Ὄρθος τὸ μονογενές κτλ. l. 2 ἱστός explevi ex St. B., item Σηστός, quod Schmidt. pro σιστός Lob. Parall. 351 not. 51 οἰστός proponente exhibuit, Κραστός ex St. B. addidi, pariter Γραστός, quod p. 504, 9 oxytonos, p. 213, 9 barytonos scriptum est. Φαιστός et Φαῖστος explevi ex St. B. et Il. Pr. Ε 43 et Β 648. Δύστος cum Schmidt. pro βύστος ex St. B. posui et Νάστος ex eodem addidi, Νέστος ex St. B. explevi. l. 18 ἀστός ex St. B. 139 ἀστός καὶ ἀστή καί ἀστόν scripsi pro μαστός, Schmidt. ναστός proponit. καὶ τὸ Πλεῖστος — παράδοσις addidi ex E. M. 676, 5 collato Schol. ad Apollon. l. c., ipse supplens verba οὐκ ἐπικρατεῖ — παράδοσις ex Herodiani ap. St. B. 421, 3 sententia, qui in E. M. diserte praecepisse dicitur barytonesin: Ἡρωδιανὸς δὲ ἐν τῷ καθόλου Πλεῖστος βαρύνει.
l. 28 verba ἄλλως τε — ὑπάρχει adieci ex Il. Pr. Λ 24, Λύκτος et Ῥάπτος ex

φασί. καὶ Ῥάπτος ποταμὸς Αἰθιοπίας. τὸ δὲ πέμπτος ἕκτος τὰ ἐπὶ ἀριθμοῦ βαρύνεται. τὸ μέντοι πεμπτός ὀξύνεται τὸ ἐπιθετικὸν καὶ τὸ ἑκτός ὁ ἐχόμενος, ἐκτός δὲ χωρὶς ἐπίρρημα.

Τὰ εἰς διπλοῦν ττ βαρύνεται, χωρὶς τῶν Ἀττικῶν, κόττος, λύττος, Βάττος, Βρέττος πόλις Τυρρηνῶν ἀπὸ Βρέττου τοῦ Ἡρακλέους καὶ Βαλητίας τῆς Βαλήτου, Σφῆττος παῖς Τροιζῆνος, τὸ δὲ Σφηττός δῆμος Ἀκαμαντίδος φυλῆς ὀξύνεται. τὰ δὲ Ἀττικὰ ὁμοτονεῖ τοῖς κοινοῖς, ἐξ ὧν γέγονε, κιττός, ὅτι κισσός, τριττός, ὅτι τρισσός.

Τὰ εἰς τατος ὑπερθετικὰ προπαροξύνεται, καὶ ὅσα εἰς στος ὑπερθετικά, λαμπρότατος, ὁσιώτατος, σεμνότατος, κάλλιστος, κύδιστος, ἄριστος. ὁμοίως καὶ τὸ πλατάνιστος ἀπὸ τοῦ πλάτανος.

Τὰ εἰς τος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ παραληγόμενα τῷ ᾱ προπαροξύνεται, Ἔλατος, ἀφ᾽ οὗ Ἐλάτεια πόλις Φωκίδος, ὕπατος, ἔνατος, Εἴνατος πόλις Κρήτης, ὡς Ξενίων φησί. τινὲς δὲ ὄρος καὶ ποταμός, ἐν ᾧ τιμᾶσθαι τὴν Εἰλείθυιαν Εἰνατίην. θάνατος, Ἔρατος τὸ κύριον, ἐρατός ὁ ἐπιθυμητικός. ἄκατος, Ἀμήστρατος πόλις Σικελίας. Ἀπολλόδωρος τετάρτῃ χρονικῶν. Μυτισέρατος φρούριον Σικελίας. Φίλιστος δεκάτῃ. Μυτίστρατος πολίχνιον περὶ Καρχηδόνα. Πολύβιος πρώτῳ.

Τὰ διὰ τοῦ ατος παρηγμένα εἰ μὴ ῥηματικά εἰσιν ἀπὸ τῶν εἰς μι ληγόντων, ἢ ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων προπαροξύνονται, μέσατος, πύματος, ὀγδόατος, τρίτατος, τέτρατος, νέατος. τὸ μέντοι ἐρατός, ἐλατός ὀξύνεται. ὡσαύτως δὲ ὀξύνεται καὶ τὰ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων μακρὸν ἔχοντα τὸ ᾱ, περατός, θεατός, φυρατός, ἰατός.

Τὰ εἰς ετος τρισύλλαβα ἔχοντα τὸ ε̄ ἐν τῇ τρίτῃ ἀπὸ τέλους κύρια ὄντα καὶ προσηγορικὰ προπαροξύνεται, Νέπετος πόλις Ἰταλίας. Διονύσιος τρισκαιδεκάτῃ Ῥωμαϊκῆς ἀρχαιολογίας. Ἔχετος, Δέρκετος, Μένετος τὸ κύριον, μενετός τὸ ἐπίθετον. τούτοις ἠκολούθησε καὶ τὸ ἔμετος ὡς ἔχον τὸ ε̄ ὥσπερ τὰ ἄνω. σεσημείωται τὸ Ἐνετός ἔθνος Παφλαγονίας ὀξυνόμενον. Ὅμηρος «ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων» (Il. B 852). τὰ δὲ ἔχοντα τὸ ᾱ ὁμοίως, ἀργε-

---

St. B. recepi; l. 2 ἐπὶ cum Schmidtio ante ἀριθμοῦ inserui. l. 4 pro ῥύττος ex St. B. s. Λύκτος posui λύττος, Iacobi ex Arist. Eqq. 874 Γρύττος et Βάττος cum Schmidtio pro Κάττος, potuit etiam cum Iacobi ex Strab. p. 291 scribi Χάττος. Βρέττος, Σφῆττος et Σφηττός adieci ex St. B. l. 12 canon exstat etiam in Choer. Epim. in Psalm. 110, 22: τὰ εἰς τος λήγοντα ὀνόματα ὑπὲρ δύο συλλαβὰς τῷ ᾱ παραληγόμενα προπαροξύνεται οἷον ἔννατος, ἄκατος (pro ἄκακος), ἄκρατος. — Ἔλατος explevi ex St. B., ex eodem Εἴνατος apposui, ἄκατος ex Choer. Epim., Ἀμήστρατος usque ad finem ex St. B. l. 22 τέτρατος scripsi pro τέταρτος, cum Schmidtio φυρατός pro φρατός. l. 27 pro Μέγιστος Πέλετος suspicatur Lob. Proll. 373 Μεγαίνετος Νέπετος, equidem opinor Μέγιστος ex Νέπετος corruptum esse et in Πέλετος contineri additamentum ad Νέπετος: πόλις atque sic scripsi ex St. B. Ἰταλίας adiiciens. — σεσημείωται τὸ Ἐνετός

τος, ἄφετος, ἄνετος, Αἴνετος, αἰνετός δὲ τὸ ἐπίθετον. Λάμπετος υἱὸς Ἴρου, πάγετος, ὅπερ ὀξύνει ἡ συνήθεια. ἔτι ὀξύνεται καὶ ἀετός καὶ αἰετός.

Τὰ διὰ τοῦ ετος τρισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται, εἰ μὴ παρωνύμως τετύπωται, νιφετός, ὑετός, κοπετός, πυρετός, τοκετός, συρφετός. τὸ μέντοι ἄσχετος, ἄσπετος, γνύπετος ὁ χαῦνος προπαροξύνεται.

* Τὰ ὑπὲρ τρεῖς συλλαβὰς διὰ τοῦ ετος ἐκφερόμενα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ, ἐπιθετικῶς μὲν λαμβανόμενα τρίτην ἀπὸ τέλους θέλει ἔχειν τὴν ὀξεῖαν ὥσπερ ἔχει τὸ ἀμαιμάκετος, περιμήκετος, ἀριδείκετος, ἐξαίρετος, παλινάγρετος, τηλύγετος, Ταΰγετος, ἀτρύγετος. τὸ δὲ λαιλαπετός μὴ ὂν ἐπιθετικὸν ὠξύνθη καὶ τὸ Ἰαπετός ἐπὶ κυρίου. οὕτως οὖν καὶ τὸ ἀφυσγετός, εἴπερ οὐκ ἔστιν ἐπιθετικόν, ὑγιῶς ὀξυτονηθήσεται κατὰ τὸν Ἀρίσταρχον. ἢ εἴπερ αὐτὸ βαρύνομεν κατὰ τὸν Τυραννίωνα, δώσομεν αὐτὸ καὶ ἐπικεῖσθαί τινι.

Τὰ εἰς τος κύρια ἢ ἐπίθετα παραληγόμενα τῷ η μονογενῆ βαρύνονται, Ἄρητος, Λάμητος ποταμὸς πρὸς Κρότωνι, ἀφ' οὗ Λαμητῖνοι πόλις. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Λάμητος ποταμός, ἐν δὲ Λαμητῖνοι». Μέλητος ὄνομα κύριον, βύνητος εἶδος ἱματίου παρ' Αἰγυπτίοις. Μάσητος πόλις Ἀργείων, ἣ καὶ Μάσης. Μίλητος πόλις ἐπιφανὴς ἐν Καρίᾳ τῶν Ἰώνων. Ἑκαταῖος Ἀσίᾳ. Δίδυμος δ' ἐν τοῖς συμποσιακοῖς φησιν, ὅτι πρῶτον Λελεγηίς ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων Λελέγων, εἶτα Πιτύουσα ἀπὸ τῶν ἐκεῖ πιτύων καὶ ὅτι ἐκεῖ πρῶτον πίτυς ἔφυ. οἱ γὰρ Μιλήσιοι ἐν τοῖς θεσμοφορίοις πίτυος κλάδον ὑπὸ τὴν στιβάδα . . . καὶ ἐπὶ τὰ τῆς Δήμητρος ἱερὰ κλῶνον πίτυος τίθεσθαι . . . διὰ τὸ ἀρχαῖον τῆς γενέσεως. μετὰ δὲ ταῦτα ἀπὸ Ἄνακτος τοῦ Γῆς καὶ Οὐρανοῦ ὠνομάσθη Ἀνακτορία. ἔστι δὲ καὶ Κρητικὴ πόλις Μίλητος. λέγεται δὲ καὶ τὴν Καλυψοῦς νῆσον Μίλητον κληθῆναί ποτε. Κόρητος. Κατάρητος ὁ ποταμός. Αἴνητος ὄνομα κύριον, τρύ-

---

apposui ex St. B. et Schol. ad Il. B 852. — pro ἄρετος scripsi ἄφετος ex Theogn. 75, 7, quod ut gravatum E. M. 104, 43 componit cum ἄνετος. Tum propter ἀνετός, quod ex αἰνετός corruptum suspicatur Lob. Parall. 481 Theognosto concinente, Αἴνετος praemisi. Λάμπετος ex St. B. addidi. In fine canonis νιφετός et ὑετός ad sequentem canonem releganda sunt, et cum Schmidtio pro καὶ τὸ αἰετός posui καὶ ἀετός καὶ αἰετός. l. 5 huc transtuli νιφετός, ὑετός, sed omisi ἀφυσγετός ut quadrisyllabum. Nam Arcadius duos canones, quorum alter de hypertrisyllabis servatus est in Il. Pr. Λ 495, contraxit. l. 8 canonem ex Il. Pr. l. c. huc transposui; ex Ep. Cr. I 135, E. M. 347, 22, ubi canon sic profertur: τὰ διὰ τοῦ ετος ὑπὲρ δύο (Lob. Proll. 374 not. 2 τρεῖς) συλλαβὰς προπαροξύνεσθαι θέλει οἷον ἀριδείκετος, ἀμαιμάκετος, ἐξαίρετος, παλινάγρετος, χωρὶς εἰ μὴ ἁπλᾶ ὄντα πρὸ τοῦ ε τὸ π ἔχει ἢ ἀπὸ ῥήματος συνθέτου γέγονε· πρόσκειται εἰ μὴ ἁπλᾶ ὄντα πρὸ τοῦ ε τὸ π ἔχει διὰ τὸ Ἰαπετός. ἢ ἀπὸ ῥήματος συνθέτου διὰ τὸ ἐπαινέσω ἐπαινετός. σεσημείωται τὸ ἀφυσγετός ἡ ἀκαθαρσία. — inserui ἀριδείκετος — παλινάγρετος, ex Theogn. τηλύγετος, ex St. B. 607, 11 Ταΰγετος: ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως Ταΰγετον. l. 17 de Ἄρητος cf. Eustath. ad P 37, E. M. 140, 39, Λάμητος explevi ex St. B., Μέλητος ex Theogn., Μάσητος, Μίλητος ex St. B. adieci, Κόρητος, Κατάρητος, cui Lobeck. Proll. 378 aptum nomen substituere non habet, Αἴνητος, quod Lob. pro Ἔνητος proponit,

γητος ὁ καιρὸς μονογενῶς, τρυγητός δὲ τὸ τρυγώμενον. τοιοῦτον καὶ τὸ ἄμητος καὶ ἀμητός. τὸ δὲ ἑψητός, λαλητός ὀξύτονα καὶ ἐπιθετικά. καὶ τὸ ἀλαλητός ἀπὸ τοῦ λαλητός προσθέσει τοῦ ᾱ.

Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ η ἁπλᾶ τριγενῆ ὀξύνεται, δωρητός, ἀσκητός, κοσμητός, ἀγαπητός, ὠνητός, ποτητός, ἀρητός, μισητός, ᾧ ὁμοτονεῖ Μισητός πόλις Μακεδονίας, νοητός, παραρρητός, παραμυθητός. τὸ δὲ ἄρρητος, ἄκλητος, ἄκμητος σύνθετα προπαροξύνονται. οὕτως καὶ τὸ ἄητος ὁ ἀκατάπαυστος «θάρσος ἄητον ἔχουσα» (Φ 395). ἔστι γὰρ σύνθετον, ὥς φησι Φιλόξενος, παρὰ τὸ ἐτός ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός. ἐγένετο δὲ καὶ τὸ πληθυντικὸν οὐδέτερον ἐν ἐπιρρηματικῇ τάξει, καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς οὐκ ἐτός ἀντὶ μεσότητος τῆς ἐτῶς. τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τουτέστι μέγα, ἄετον καὶ ἄητον.

* Τὰ εἰς ττος ὑπὲρ δύο συλλαβὰς τῷ η παραληγόμενα κύρια ὀξύνεται, Γαργηττός πόλις καὶ δῆμος Αἰγηΐδος φυλῆς, Ὑμηττός ὄρος τῆς Ἀττικῆς — τὸ ῡ μακρὸν καὶ βραχύ. Λυκαβηττός. Συπαληττός δῆμος τῆς Κεκροπίδος φυλῆς. Ὑηττός κώμη Βοιωτίας. ὠνόμασται δ' οὕτως διὰ τὸ καθύεσθαι σφοδροῖς ὄμβροις. τινὲς δὲ τὴν Ἀσπληδόνα Ὑηττόν ἐκάλεσαν.

Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ παραληγόμενα τῷ ῑ μὴ ὄντα ἐπιθετικὰ βαρύνονται, βάρβιτος, Νήριτος ἢ Νήριτον ὄρος, Λήϊτος, Φώκριτος, Ἄγχιτος, Ἀφρόδιτος. τὰ δὲ θηλυκὰ ὀξύνεται ἁμαξιτός· ἔστι καὶ πολίχνιον Τρῳάδος. Στράβων ιγʹ (p. 612). ἀτραπιτός, Λυχνιτός ἡ λίμνη Ἰλλυρίας θηλυκῶς καὶ ἡ πόλις ἀρσενικῶς. τινὲς δὲ διὰ τοῦ δ γράφουσιν. τὸ δὲ θεριτός τὸ θεριζόμενον, θέριτος δὲ ὁ καιρός.

Τὰ εἰς τος τρισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ο̄

---

ex Theogn. De ἀμητός cf. E. M. 83, 10 (An. Ox. II 331, 25): διαφέρει ἄμητος καὶ ἀμητός. ἄμητος γὰρ ὁ καιρὸς τοῦ θέρους, ἀμητός δὲ ὁ θερισμὸς οἱονεὶ αὐτὸς ὁ ἀμώμενος καρπός. Canonem pervertit Tzetzes in Schol. ad Hesiod. p. 337, 28: ἀμητός καὶ θεριτός οἱ καιροί. ἄμητος δὲ καὶ θέριτος τὰ θεριζόμενα καὶ ἀροτριώμενα. De ἀλαλητός cf. Il. Pr. Θ 178, ubi comparatur cum στεροπή ἀστεροπή. Contra canonem peccat Ἠρητός πόλις Σαβίνων ap. St. B. l. 6 ποτητός addidi ex Theogn., ἀρητός ex Il. Pr. Ρ 37, μισητός addidi propter Μισητός ap. St. B., cum quo propter accentum compara Ἀγαπητός Φιλητός ap. Lehrs. Arist. p. 282 ed. II, νοητός — παραμυθητός ex Il. Pr. Ι 526, ἄκμητος ex Il. Pr. Σ 410, unde extremam partem de ἄητος huc retuli; ap. Arcadium legitur ἄκλητος ἄητος ὁ ἀκατάπαυστος παρὰ τὸ ἐτός προπαροξύνεται. l. 15 hunc canonem ipse addidi propter nomina a St. B. relata et propter disertum praeceptum s. v. Γαργηττός· ὀξύνεται δὲ τὸ Γαργηττός ὡς Ὑμηττός, Λυκαβηττός. l. 22 Νήριτος cum Lob. Proll. 379 ex St. B. posui pro Δήριτος Arcadii et Ἀδήριτος Theogn. 75, 23, Φώκριτος cum Lob. pro Ὀΐκριτος Theogn. et Ἄκριτος Arcad.; Ἄγχιτος, Ἀφρόδιτος ex Theogn. addita sunt. ἁμαξιτός explevi ex St. B., Λυχνιτός ex eodem, apud quem Λυχνιδός πόλις Ἰλλυρίας ἀρσενικῶς λεγομένη καὶ λίμνη θηλυκῶς. Ἡρωδιανὸς Λυχνιτὸν τὸν αὐτόν φησιν, Arcad. habet Λυχνιτός ἡ πόλις, quod comparato Stephano non accurate dictum est. δήριτος in fine Schmidt. seclusit, equidem in hac voce θέριτος contineri arbitror, cuius accentum ad Arcadii distinctionem inter ἄμητος et ἀμητός accommodavi.

καταλήγουσαν σπάνιά εἰσιν, ὀνοτός, Μολοτός ἔθνος τῆς Ἠπείρου καὶ τόπος, δι' ἑνὸς τ̄ καὶ Μολοττός, ὀμοτός. τὸ μέντοι ἄροτος καὶ βίοτος προπαροξύνεται.

Τὰ εἰς τος ὑπερδισύλλαβα παραληγόμενα ῠ βραχεῖ κύρια ὄντα βαρύνεται, Ἔρυτος, Ἄνυτος, Εὔρυτος Μελανέως πατήρ, Αἴπυτος, Ὄρνυτος, Μάδυτος πόλις Ἑλλησποντία. Ἑκαταῖος Εὐρώπῃ καὶ ἄλλοι. λέγεται καὶ Μάδυτα. Ὤκυτος. Ἄφυτος πόλις Θρᾴκης, ἣ καὶ Ἀφύτη καὶ Ἀφυτίς, Ἄκυτος νῆσος περὶ Κυδωνίαν τῆς Κρήτης. πρόσκειται κύρια διὰ τὰ τριγενῆ ἁπλᾶ ὄντα, ἃ ὀξύνεται, φορυτός, πινυτός. τὸ δὲ ἄλυτος σύνθετον προπαροξύνεται. τὰ δὲ τρισύλλαβα ἐκτεταμένον τὸ ῡ ἔχοντα ὀξύνεται, Βηρυτός πόλις Φοινίκης, κωκυτός, Καρδυτός πόλις Σύρων μεγάλη, ὡς Ἑκαταῖος ἐν περιηγήσει Ἀσίας. βουλυτός, Κορδυτός πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. γωρυτός. Κολλυτός ὁ υἱὸς Διόμου. τὸ δὲ Σεβέννυτος πόλις Αἰγύπτου καὶ λιμὴν καὶ ποταμὸς προπαροξύνεται ὑπερβαῖνον τὴν τρισυλλαβίαν.

Τὰ εἰς τος τρισύλλαβα παραληγόμενα τῷ ω̄ ὀξύνεται, πτερωτός, τορνωτός, χρυσωτός, αὐλωτός, κηρωτός, κροκωτός, Βοιωτός, ὃν γενέσθαι φασὶ Ἰτώνου τοῦ Ἀμφικτύονος τοῦ νεωτέρου τῶν Δευκαλίωνος καὶ Πύρρας παίδων. Νικόστρατος δέ φησιν, ὅτι Ποσειδῶνος καὶ Ἄρνης ἦν παῖς. Εὐφορίων

ὄφρα κε μαντεύοιτο μεθ' υἱάσι Βοιωτοῖο,
τόν ῥα Ποσειδάωνι δαμασσαμένη τέκεν Ἄρνη,
Βοιωτὸν δ' ὀνόμηνε. τὸ γὰρ καλέσαντο νομῆες,
ὅττι ῥα πατρῴῃσι βοῶν ἀπεθήκατο κόπροις.

καὶ Εὐριπίδης «τὸν δ' ἀμφὶ βοῦς ῥιφέντα Βοιωτὸν καλεῖν». τὸ ἐθνικὸν ὅμοιον Βοιωτός. Ἀποδωτός ἔθνος Αἰτωλίας. Θουκυδίδης τρίτῃ (c. 94) «ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδωτοῖς, ἔπειτα Ὀφιονεῦσιν». Ἀραχωτός ποταμὸς Ἰνδικῆς ῥέων ἀπὸ Καυκάσου, ὡς Φαβωρῖνος καὶ Στράβων ἑνδεκάτῃ (p. 513). καὶ ἀπ' αὐτοῦ Ἀραχωτοί πόλις Ἰνδικῆς. εἰσὶ καὶ ἄλλοι πλησίον Μασσαγετῶν ὡς Στράβων ἑνδεκάτῃ. διχῶς δὲ

---

l. 1 Μολοτός explevi ex St. B., apud quem Meinekius Μολοττός inserendum esse recte iudicavit, ὀμοτός accessit ex Theogn. 75, 29. l. 5 Εὔρυτος recepi ex St. B., habet etiam E. M. 37, 31 ὡς εὐρύς Εὔρυτος, οὕτως Αἰπύς Αἴπυτος. — Μάδυτος ex Theogn. 75, 33 adieci, ubi inter nomina ῠ brevi praefinita relatum gravi donatum est, ap. St. B. contra Μαδυτός acuto. Ὤκυτος est ex Theogn., Ἄφυτος ex St. B., item Ἄκυτος. — Βηρυτός explevi ex St. B., ubi hic canon sic profertur: Βηρυτός ὀξύνεται ὡς τρισύλλαβον καὶ μακρὸν ἔχει τὸ ῡ ὡς κωκυτός, γωρυτός, Καρδυτός πόλις. τὸ Σεβέννυτος τετρασύλλαβον. — Καρδυτός explevi ex St. B., ex hoc vocabulo corruptum videtur ἄρυτος ap. Theogn.; Κορδυτός apposui ex St. B. et Theogn., γωρυτός ex St. B. s. Βηρυτός, unde apparet recte Lobeckium Proll. 389 ὠρυτός ap. Theogn. ex γωρυτός corruptum esse indicasse, Κολλυτός ex Theogn. et St. B. 231, 13, ubi tamen Κόλλυτος scriptum est, Σεβέννυτος explevi ex St. B. s. v. l. 17 πτερωτός cum Lob. Proll. 391 not. 18 pro περνωτός Arcadii et περωτός Theogn. 76 scripsi; αὐλωτός, κηρωτός ex Theogn. adieci, κροκωτός ex St. B. 227, 11 κροκωτὸν πεδίον. Βοιωτός explevi ex St. B., Ἀποδωτός addidi ex St., apud quem Ἀποδωτόν ὡς Βοιωτοί; ex eodem Ἀραχωτός —

λεκτέον καὶ Ἀραχώτης καὶ Ἀραχωτός. Βουθρωτός νῆσος περὶ Κέρκυραν. ἔστι καὶ πόλις. Θεσπρωτός ἔθνος, μυωτός εἶδος χιτῶνος, ἁλωτός. τὸ δὲ δορυάλωτος σύνθετον προπαροξύνεται. τὰ δὲ ἔχοντα ἐν τῇ πρώτῃ τὸ ᾱ στερητικὸν προπαροξύνεται, ἄγνωτος, ἄτρωτος, ἄπτωτος, ἄζωτος· ἔστι καὶ Ἄζωτος πόλις Παλαιστίνης. καὶ ἔτι τὰ σύνθετα, ἀνακίδωτος ἄνευ ἀκίδος, ἀπύργωτος, πολύγνωτος, ἀκηλίδωτος. σεσημείωται τὸ Ἄσβωτος πόλις Θεσσαλίας καὶ Μάσκωτος πόλις Λιβύης. Ἑκαταῖος περιηγήσεως β'.

Τὰ εἰς $\overline{\text{τος}}$ ὑπερδισύλλαβα κύρια καὶ προσηγορικὰ ἔννοιαν συνθέσεως ἔχοντα καὶ ἔτι τὴν παραλήγουσαν εἰς ἀμετάβολον καταλήγουσαν βαρύνεται, εἰ μὴ διαστολή τις γένοιτο, Ἁλίαρτος πόλις Βοιωτίας ἀρσενικῶς. Ὅμηρος «ποιήενθ' Ἁλίαρτον» (Il. B 503). λέγεται δὲ οἰκισθῆναι ὑπὸ Ἁλιάρτου τοῦ Θερσάνδρου. Ἀρμενίδας δ' ἐν τῷ ρ̄ Ἀρίαρτόν φησιν. Ἄψυρτος παῖς Αἰήτου καὶ τόπος ἐν τῷ Εὐξείνῳ πόντῳ, Ἄψαρος ὕστερον λεγόμενος. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ. καὶ Πολύβιος νῆσον Ἄψυρτον ἱστορεῖ. Σίβυρτος πόλις Κρήτης. ἄσφαλτος. Ἀμάραντος τὸ κύριον, τὸ δὲ ἐθνικὸν ὀξύνεται ὡς Ἀπεραντός. εἰσὶ δὲ Ἀμαραντοί Κολχικὸν ἔθνος, ἀφ' ὧν ὁ Φᾶσις ῥεῖ, ὅθεν καὶ Ἀμαράντιον τὸν Φᾶσίν φασιν. οἱ δὲ Ἀπεραντοί ἔθνος Θεσσαλίας. Ὀδόμαντος ἔθνος Θρᾴκης. Θουκυδίδης δευτέρᾳ (c. 101). Σάγουντος πόλις ἐν Ἱσπανίαις. Τάραντος πόλις Βιθυνίας, ἔνθα τιμᾶται Ταρανταῖος Ζεύς, ὡς Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν, ἀρσενικῶς λεγομένη. εὕρηται καὶ διὰ τοῦ δ̄ Δάρανδος. Δύσποντος ὁ Πέλοπος, ἀφ' οὗ Δυσπόντιον πόλις Πισαίας. ὀξύνεται δὲ τὰ πρὸ τέλους $\overline{\text{εν}}$ ἔχοντα, Λωμεντός, Λαυρεντός, Σωρεντός, Βενεβεντός, ἣ καὶ Μαλοεντός ἐλέγετο. Καρουεντός Διονύσιος β' Ῥωμαϊκῆς ἀρχαιολογίας· ἔν τισι δὲ γράφεται Καρυεντός· Ῥαρεντός, πόλεις Σικελικαί, ὡσαύτως καὶ Πολλεντός. ἔτι ὀξύνεται καὶ τὸ κονιορτός καὶ κολοσυρτός σύνθετα ὄντα. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, ἱμερτός, ἐγερτός, ὑφαντός.

Θεσπρωτός, ἄζωτος ex Theogn. et Ἄζωτος ex St. B. — In fine σεσημείωται Ἄσβωτος καὶ Μάσκωτος ex accentu, quem haec nomina ap. St. B. habent, finxi. l. 9 προσηγορικὰ cum Schmidt. inserui, Ἁλίαρτος explevi ex St. B., item Ἄψυρτος; ex eodem addidi Σίβυρτος. — De Ἀμαραντός Schol. ad Apoll. Rhod. B 399 (E. M. 77, 45) Ἀμαραντῶν περισπωμένως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ῆ τῆς καθόλου· ἔστι δὲ Ἀμαραντός πόλις ἐν Πόντῳ, ὡς δὲ αὐτός φησι, ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις ποταμὸς καταφέρεται; paullo post: ὅτι δὲ τὰ Ἀμαραντὰ ὄρη ἐστὶ Κολχίδος ἱστορεῖ Κτησίας ἐν τῷ β', unde intellegimus Ἀμαραντός adiective usurpatum esse ita, ut Ἀμαραντοί populum, Ἀμαραντά montes significaret. In E. M. additur: τὰ ἀμάραντα σώματα barytonos scribendum esse, unde concludas ap. Herodianum exstitisse Ἀμάραντος τὸ κύριον ὡς ἀμάραντος τὸ ἐπιθετικόν. — St. B. 83, 13 Ἀμαραντοί ὀξυτόνως, Κολχικὸν ἔθνος; 104, 12 τὸ Ἀπεραντοί ὡς Ἀμαραντοί ὀξυτόνως, unde adieci ὡς τὸ Ἀπεραντός. — Ὀδόμαντος — Δύσποντος accesserunt ex St. B. — Λωμεντός habet etiam St. B. pro Νωμεντός, sic ut error Herodiano assignandus sit: Λωμεντός πόλις Ἰταλίας, ὀξυτόνως καὶ ὅσα εἰς $\overline{\text{τος}}$ τῇ $\overline{\text{εν}}$ συλλαβῇ παραλήγει. Σωρεντός, pro quo Mein. Συρρεντός ponere vult, — Ῥαρεντός ex St. B. inserui. πόλεις Σικελικαί non mutandum est in Ἰταλικαί, quum Herod. Siciliam pro inferiore parte Italiae dicat cf. Arc. 16, 24 Σούλμων πόλις Σικελίας. Etiam Πολλεντός ex St. B. accessit, ubi Πολλεντός

Τὰ εἰς ¯τος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ τ̄ ψιλὸν κατ' ἐπιπλοκὴν ἐπιθετικὰ ὄντα καὶ ῥηματικὰ ὀξύνεται, ἑλικτός, ἀμελκτός, χαρακτός, ὀρεκτός. τὸ μέντοι Αἴγυπτος — ἡ χώρα καὶ ὁ ποταμός. ἐκλήθη ἀπὸ τοῦ Αἰγύπτου, ὡς Χάραξ «Βήλου παῖς ὢν καὶ Ἀερίας τῆς καὶ Ποταμίτιδος βασιλεύσας ἔτη τριάκοντα τρία». — καὶ Πάνακτος καὶ Ναύπακτος πόλις Αἰτωλίας ἀπὸ ναυπηγίας τῶν Ἡρακλειδῶν, ὡς Ἔφορος καὶ Στράβων (9 p. 427). καὶ Πρόνεκτος πόλις Βιθυνίας καὶ Δατύλεπτος ἔθνος Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ — μὴ ὄντα ῥηματικὰ προπαροξύνεται. σεσημείωται τὸ δρυφακτός ὀξυνόμενον, ἡ θύρα τοῦ δικαστηρίου, ἣ καὶ κιγκλίδες καλοῦνται.

Τὰ εἰς ¯στος κύρια ἀρσενικὰ μόνως ἢ θηλυκὰ βαρύνεται, Ἄκαστος. Λύκαστος πόλις Κρήτης. Ὅμηρος «Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον» (Β 647) ἀπὸ Λυκάστου αὐτόχθονος ἢ παιδὸς τοῦ Μίνωος. ἔστι καὶ Ποντικὴ Λύκαστος. τὴν Κρητικὴν Λύκαστον ὀξύνουσιν οἱ ἐγχώριοι, ὡς ἱστορεῖ Διονύσιος. οὐκ ἐπικρατεῖ δὲ ἡ ἐθνικὴ παράδοσις. Ἥφαιστος. Ἄδραστος βασιλεύς, ἀφ' οὗ πόλις Ἀδράστεια. Βίβαστος Θρᾴκης πόλις. Βούβαστος πόλις Αἰγύπτου, ἣν Ἡρόδοτος (e. g. 2, 59) Βούβαστίν φησι διὰ τοῦ ῑ. Μούμαστος πόλις Καρίας. Ἀλέξανδρος δευτέρῳ Καρικῶν. Ἔγεστος ὁ Τρωός, ἀφ' οὗ Ἔγεστα πόλις Σικελίας. Αἴγεστος στρατηγός τις, ἀφ' οὗ Αἰγεσταῖοι οἱ Θεσπρωτοί. Πραίνεστος πόλις Ἰταλίας ἀπὸ Πραινέστου τοῦ Λατίνου τοῦ Ὀδυσσέως καὶ Κίρκης υἱοῦ. Μάκιστος ὁ ἀδελφὸς Φρίξου καὶ πόλις τῆς Τριφυλίας. Ἀνάφλυστος δῆμος τῆς Ἀντιοχίδος φυλῆς ἀπὸ Ἀναφλύστου ἥρωος. Παυσανίας δευτέρῳ (30, 9) «Τροιζῆνος οἱ παῖδες Ἀνάφλυστος καὶ Σφῆττος». Κάρυστος ὁ Χείρωνος καὶ ἀπ' αὐτοῦ πόλις ὑπὸ τῇ Ὄχῃ ὄρει τῆς Εὐβοίας. ἔστι καὶ Κάρυστος τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν, ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν ἔφη, καθὰ Στράβων δεκάτῃ (p. 446). τὰ δὲ προσηγορικὰ ὀξύνεται, ἀγοστός ἡ ἀγκάλη, ὀϊστός.

* Τὰ εἰς ¯στος τῷ η̄ παραληγόμενα κύρια ὀξύνεται, Ὀγχηστός ἄλσος. Ὅμηρος «Ὀγχηστόν θ' ἱερόν, Ποσιδήϊον ἀγλαὸν ἄλσος» (Β 506). — ἱδρυνθὲν ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος. ἔστι καὶ πόλις, ὡς Παυσανίας ἐνάτῳ (26, 6). Ἀπολλώνιος δὲ ὁ Ῥόδιος .... πόλιν φησὶ μεγάλην τὸν Ὀγχηστὸν μεταξὺ Ἁλιαρτίων καὶ Ἀκραιφνίων. Τυφρηστός πόλις τῆς Τραχῖνος ὀνομασθεῖσα ἀπὸ τῆς τέφρας Ἡρακλέους ἢ ἀπὸ Τυφρηστοῦ υἱοῦ Σπερχειοῦ.

Τὰ εἰς ¯στος ἐπιθετικὰ ἁπλᾶ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται,

---

ὡς Σωρεντός. l. 3 Αἴγυπτος explevi ex St. B. — de forma Πάνακτος Iacobi laudat Harpocrat. 144, 23. Ναύπακτος explevi ex St. B., Πρόνεκτος et Δατύλεπτος ex eodem adieci. l. 11 ἢ θηλυκὰ propter urbium nomina adieci, additamento ἀρσενικὰ μόνως ἢ θηλυκὰ discernuntur propria a nominibus adiectivis velut ἄλαστος, quae duorum generum sunt. l. 12 Λύκαστος scripsi pro Ἄλαστος ex St. B. et Il. Pr. M 20, unde inserui verba ὡς ἱστορεῖ Διονύσιος. — Ab accentu nominis Ἥφαιστος aberrat Γεραιστός κώμη Εὐβοίας ἀπὸ Γεραιστοῦ τοῦ υἱοῦ τοῦ Διός ap. St. B. — Nomina inde ab Ἄδραστος usque ad Κάρυστος apposui ex St. B. l. 29 canonem de nominibus in η̄στος ipse finxi ex vocabulis a St. B. relatis.

ληϊςτός, μεριςτός, ὀνομαςτός. τὰ δὲ ςύνθετα προπαροξύνεται, φραςτός ἄφραςτος, ἀλίαςτος, ἄλαςτος ὁ ἄδικος ἀπὸ τοῦ λάζω τὸ λαμβάνω, ὡςαύτως καὶ τὰ ὑπερθετικά, τάχιςτος, ἄριςτος, κάλλιςτος, μεθ' ὧν ἕκαςτος.

Τὰ εἰς στος ὑπερδιςύλλαβα παραληγόμενα ο ἐπὶ ποςότητος ταςςόμενα ὀξύνεται, πολλοςτός, εἰκοςτός, τριακοςτός, πεντηκοςτός.

Τὰ εἰς τος ὑπὲρ δύο ςυλλαβὰς παραληγόμενα τῇ ευ διφθόγγῳ ἁπλᾶ ὄντα ὀξύνεται, τορνευτός, ςτρατευτός, βουλευτός. τὸ δὲ ἀςτράτευτος ςύνθετον.

* Τὰ εἰς τος ὑπὲρ δύο ςυλλαβὰς παραληγόμενα τῇ οι διφθόγγῳ ςπάνια ὄντα βαρύνεται, ἄλοιτος ὁ ἄδικος καὶ μιαρός.

Τὰ διὰ τοῦ ουτος προπεριςπᾶται, τηλικοῦτος, τοιοῦτος, τοςοῦτος.

Τὰ εἰς τος ὑπερδιςύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα προπαροξύνεται, ἄπαυςτος, ἄθραυςτος, ἄκλαυςτος. ςεςημείωται ἐνιαυτός ὀξυνόμενον.

Τὰ εἰς φος διςύλλαβα κύρια ἢ προςηγορικὰ βαρύνεται, εἰ μὴ παραλήγοι τῷ ῠ βραχεῖ τοπικὰ ἢ εἰς τὸ λ, Πάφος πόλις Κύπρου, τάφος καὶ Τάφος πόλις Κεφαλληνίας, νῦν δὲ Ταφιοῦςςα. Γόμφοι πόλις Θεςςαλίας καὶ τὸ ἐθνικὸν ὅμοιον, Σόφος τὸ κύριον, ςοφός δὲ τὸ ἐπίθετον, ὄρφος κοινῶς, ὀρφῶς δὲ Ἀττικῶς. λόφος, κέκφος εἶδος

l. 2 inserui λάζω τό. — Canon in Ep. Cr. I 175, 19 sic statuitur: τὰ εἰς στος λήγοντα [ἐπιθετικὰ ἁπλᾶ adde] ὑπὲρ δύο ςυλλαβὰς [ὀξύνεται], εἰ μὴ ὑπερθετικὰ εἴη διὰ τὸ κάλλιςτος, τάχιςτος, ὅθεν παρὰ τὸ οἰκτίζω οἰκτιςτός ὀξυτόνως, τὸ δὲ «οἴκτιςτον δὴ 'κεῖνο ἐγὼ ἴδον» (Od. μ 258) ὑπερθετικοῦ εἴρηται τρόπῳ. τὸ ἕκαςτος βαρύνεται ἢ ὅτι ἔχει ἔννοιαν ὑπερθετικοῦ ἢ ὅτι τὰ ἐπιμεριζόμενα πάντα βαρύνεται, ἕκαςτος, ἑκάτερος. — de ἄλαςτος habemus hoc adnotamentum in Ep. Cr. I 61, 26: ἄλαςτος: παρὰ τὸ ἀλῶ τὸ πλανῶ κατὰ παραγωγὴν ἀλάζω ὡς ἀνῶ ἀνιάζω, ςκεδῶ ςκεδάζω καὶ ὡς ςκευάζω ςκευαςτός, χλευάζω χλευαςτός, οὕτως ἀλάζω ἄλαςτος. ἀλλὰ πῶς προπαροξύτονον ἀναγινώςκομεν «Ἕκτωρ μή μοι ἄλαςτε» (Χ 262). καὶ μή πως ὡς ἄμητος καὶ ἀμητός. καί φαςί τινες κατὰ ςυςτολὴν «πένθος ἄλαςτον» (Ω 105) παρὰ τὸ λήθω ἄλητος, ἐπεὶ τῶν κακῶν μεμνήμεθα ἀεί. διὰ τοῦτο γὰρ καὶ μέρμηρα εἴρηται. ἡ δὲ ςυςτολὴ ὡς ἐν τῷ λελαςμένος καὶ κατὰ τοῦτο βαρεῖα ἡ τάςις. ὀξυτόνως δὲ [ἀλαςτός παρὰ τὸ ἀλάζω· ἔςτι δὲ inserenda videntur] ἄλαςτον τὸ χαλεπόν, ὃ οὐκ ἂν θέλοι τις λαβεῖν· ἵν' ᾖ παρὰ τὸ λάζω τὸ λαμβάνω «καὶ ἡνία λάζετο χερςίν» (Ε 365), quae extrema sententia, ut ex Arcadio intellegimus, Herodianea est, sed etiam reliqua ex eodem auctore petita videntur, qui diversas diversorum opiniones contendere solet.

l. 5 eundem canonem habent Choer. Ep. in Psalm. 133, 3, An. Ox. II 367, 1. l. 10 hunc canonem finxi propter ἄλοιτος ap. Theogn. 76, 2, quod est etiam in Ep. Cr. I 79, 1. l. 12 pro προπαροξύνεται scripsi προπεριςπᾶται. l. 17 Lob. Rhem. 278 post κύρια inseri vult ἢ τοπικά, vocem τοπικὰ hinc in sequentem versum post εἰς τὸ λ translatam esse existimans. In Cr. An. Ox. I 372 et 385 (cf. An. II 372, 11) canon sic conceptus est: τὰ εἰς φος διςύλλαβα κύρια ἢ προςηγορικὰ βαρύνονται, εἰ μὴ ἔχοι τὸ ῠ πρὸ τοῦ τέλους ςυνεςταλμένον ςημαίνοντα τοπικὴν ἔννοιαν ἢ εἰς λ καταλήγει, ubi Lobeckius ςυφός significatum esse opinatus corrigere vult ἢ ςημαίνοι τοπικὴν ἔννοιαν; sed equidem arbitror verba sana esse et pertinere ad utrumque ab Arcadio propositum κρυφός (latebrae) et ςυφός; atque hoc Herodianum voluisse existimo: nomina bisyllaba in φος propria et appellativa gravantur, acuuntur τοπικά, quae breve ῠ ante terminationem habent, κρυφός, ςυφός, sed ex his localibus excepta sunt urbium nomina ῠ praefinita velut Κύφος atque sic canonem constitui, τοπικὰ ponens post τῷ ῠ βραχεῖ. — Πάφος explevi ex St. B., urbem Τάφος addidi ex Steph. Byz., item Γόμφοι, λόφος ex Cr. Ep. I 385, κέκφος —

ὀρνέου, ζόφος, δνόφος, γνόφος, γρῖφος, ψῆφος. τὸ δὲ κρυφός καὶ ϲυφός ἔχει τὸ ῡ βραχὺ ϲημαίνοντα τοπικὴν ἔννοιαν. τὸ δὲ κῦφος τὸ κῡ μακρόν, ὡϲ καὶ τὸ τῦφος. τὸ δὲ Κύφος παῖϲ Περραιβοῦ, ἀφ᾽ οὗ Κύφος πόλιϲ Περραιβίαϲ, ἔϲτι καὶ ποταμὸϲ Κύφος — «Γουνεὺϲ δ᾽ ἐκ Κύφου ἦγε δύω καὶ εἴκοϲι νῆαϲ» (Il. B 748) — βραχὺ ἔχον τὸ ῡ παροξύνεται. τὸ δὲ ἀλφός τὸ ϲωματικὸν πάθοϲ καὶ πολφός ὄψον τι ἔχουϲι τὸ λ̄ ὡϲ καὶ τὸ Δελφοί πόλιϲ ἐπὶ τοῦ Παρναϲϲοῦ πρὸϲ τῇ Φωκίδι καὶ τὸ ἐθνικὸν ὁμοφώνωϲ τῇ πόλει — ἐκλήθηϲαν δὲ Δελφοί, ὅτι Ἀπόλλων ϲυνέπλευϲε δελφῖνι εἰκαϲθείϲ. τὰ δὲ ἐπίθετα ὀξύνεται, ϲοφός, κυφός, κωφός, οἷϲ ἠκολούθηϲε καὶ τὸ τροφός. τὸ δὲ κοῦφος προπεριϲπᾶται.

Τὰ εἰϲ φοϲ ὑπερδιϲύλλαβα ἁπλᾶ μὴ δηλοῦντα ἐνέργειαν προπαροξύνεται, κρόταφος, ἔλαφος, ϲκίραφος, ὃ ϲημαίνει τὸν ἀκόλαϲτον καὶ κυβευτήν, ἀπὸ τῶν ἐν Ϲκίρῳ διατριβόντων, Ἔπαφος, Κέρκαφος Ἡλίου παῖϲ, Τέκταφος ὁ Δώρου τοῦ Ἕλληνοϲ, κόλαφος, ἀϲκάλαφος, ἔριφος, Ϲέριφος μία τῶν Ϲποράδων, Ἄντιφος, Τήλεφος Τάρχωνοϲ πατήρ, Αἴγηϲ καὶ Τεύθραντοϲ υἱόϲ, ἄργυφος ὁ λευκός, κόϲϲυφος, Κόττυφος, Ϲίϲυφος, κόρυφος, Κίνυφος ὁ ποταμός. τὸ δὲ ἀδελφός ὀξύνεται καὶ ἴϲωϲ ὡϲ τριγενέϲ. τὰ γὰρ λοιπὰ μονογενῆ. καὶ τὰ ἐνέργειαν δηλοῦντα παροξύνεται, πορφυροβάφος, ὑποδηματορράφος καὶ ἱπποτρόφος.

Τὰ εἰϲ χοϲ διϲύλλαβα μὴ ὄντα ἐπιθετικὰ βαρύνεται, κόλχος καὶ Κόλχος, βρόγχος, μόϲχος καὶ Μόϲχος ἔθνοϲ προϲεχὲϲ τοῖϲ Ματιηνοῖϲ. Ἑκαταῖοϲ Ἀϲίᾳ. κόγχος, τρόχος ὁ τόποϲ ἐν ᾧ τρέχουϲι ὡϲ παρ᾽ Εὐριπίδῃ ἐν Μηδείᾳ (46)

γνόφοϲ ex Ep. Cr. I 372, γρῖφοϲ, ψῆφοϲ ex Theogn. 76, 14, τῦφοϲ ex Theogn., Κύφοϲ ex St. B., item Δελφοί. Ex hoc canone etiam πόμφοϲ cum Lob. Proll. 131, non πομφόϲ scribendum est; τρόφοϲ in canone ap. Cramer. inter barytona relatum est, sed quum hic ut ap. Theogn. masculina cum neutris permisceantur et canon omnino valde detruncatus sit, fidem derogandam iudico praesertim quum τροφόϲ ita in adiectivam naturam abeat, ut etiam neutrum habeat, atque opinor E. M. 529, 6 Herodiani referre sententiam: κοντόϲ παρὰ τὸ κέντω ῥῆμα βαρύτονον· κοντόϲ ὡϲ τρέφω τροφόϲ καὶ πέμπω πομπόϲ, quae congruunt cum Herodiani doctrina ap Arc. 79, 13 et 67, 5. Hinc post κωφόϲ inserui: οἷϲ ἠκολούθηϲε καὶ τὸ τροφόϲ. — ϲκύφοϲ commemoratur a Theogn., sed suspicor hoc ab Herodiano inter neutra relatum esse; si hic commemoratum fuit, hunc fere in modum factum esse arbitror: ϲκύφοϲ τὸ ῡ βραχὺ καὶ μακρόν. λέγεται δὲ καὶ οὐδετέρωϲ. l. 13 ϲκίραφοϲ ex St. B. 575, 13, ubi ϲκιραφόροϲ a Meinekio emendatum. Κέρκαφοϲ, Τέκταφοϲ addidi ex St. B., ἔριφοϲ ex Theogn. 76, 14, item Ϲέριφοϲ, quod exstat etiam ap. St. B., Ἄντιφοϲ ex Ep. Cr. I 388, 14, ubi idem canon proponitur, κόϲϲυφοϲ ex Theogn., item Κόττυφοϲ Ϲίϲυφοϲ, ex quibus ap. Theogn. Κολόϲυφοϲ corruptum putat Lob. Proll. 296, Ϲίϲυφοϲ habet etiam St. B. — κόρυφοϲ ex Theogn., Κίνυφοϲ emendatum a Lob. l. c. ex Choer. Orth. 257, 3: Ϲέριφοϲ: ῑ. τὰ γὰρ εἰϲ φοϲ μονογενῆ μὴ ὄντα οὐδέτερα, ἁπλᾶ, μὴ ὄντα Ἰταλικὰ ἐνὶ φωνήεντι θέλουϲι παραλήγεϲθαι οἷον ἔριφοϲ, Τήλεφοϲ, Κίνυφοϲ· ϲημαίνει δὲ τὸν ποικίλον. πρόϲκειται μονογενῆ διὰ τὸ ὁ κοῦφοϲ ἡ κούφη τὸ κοῦφον· μὴ ὄντα οὐδέτερα διὰ τὸ λαῖφοϲ, ἁπλᾶ δὲ διὰ τὸ φιλοῖφοϲ, ϲημαίνει δὲ τὸν ϲυνουϲιαϲτήν· Ἰταλικὰ δὲ διὰ τὸ Ῥοῦφοϲ. — ἀδελφόϲ explevi ex Ep. Cr. l. c.

l. 23 Κόλχοϲ et Μόϲχοϲ propria addidi ex St. B., κόγχοϲ pro κόχλοϲ scripsi cum Schmidtio, qui praeterea λόχοϲ et πόλχοϲ proponit. Locum Euripideum addidi ex Choer. Dict. 239, 1, quo hinc transiit cf. E. M. 769, 50. — De τρόχοϲ

ἀλλ᾽ οἶδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν.

τροχός δὲ ὁ κύκλος, βρόχος, ἦχος, Τρῆχος ὄνομα κύριον, στίχος, τύχος, τοῖχος, βρῦχος ὁ κῆρυξ, δηλοῖ δὲ καὶ ὄνομα τόπου. σεσημείωται τὸ μυχός ὁ ἐνδότερος τόπος. τὸ δὲ μοιχός, πτωχός, ἀρχός ἐπιθετικὰ ὄντα ὀξύνεται.

Τὰ εἰς χος ὑπερδισύλλαβα προπαροξύνεται, στόμαχος, βάτραχος, Βώταχος. Νικόλαος ε΄ «Ἰοκρίτου δὲ τοῦ Λυκούργου Βώταχος, ἀφ᾽ οὗ ὁ τόπος Βωταχίδαι ἐν Τεγέᾳ ἐκλήθη». Ἴναχος ὁ ποταμός, Σήμαχος, ᾧ καὶ ταῖς θυγατράσιν ἐπεξενώθη Διόνυσος, ἀφ᾽ οὗ Σημαχίδαι δῆμος Ἀττικῆς. Σωτήριχος, μείλιχος, Ἰάμβλιχος, τάριχος, τοῦτο ἑκατέρως λέγεται καὶ τὸ τάριχος καὶ ὁ τάριχος. Ἀριστοφάνης «ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι». ὁ αὐτός «τάριχον τοιοῦτον πλύνω». Κλέοχος, Τάοχος ἔθνος ἐνδοτέρω τοῦ Πόντου· τούτους τινὲς Τάους καλοῦσιν, ὡς Σοφαίνετος ἐν τῇ ἀναβάσει φησίν. Ἀμφίλοχος ὁ Ἀμφιαράου, ἀφ᾽ οὗ Ἀμφίλοχοι πόλις Ἀκαρνανίας καὶ οἱ πολῖται ὁμοφώνως, Γόρδοχος ἔθνος Περσικὸν ὃ καὶ Γορδιαῖος καὶ Γόρδος καλεῖται. ἥσυχος, βότρυχος, βόστρυχος, Μόρυχος, Μόνυχος, ἀφ᾽ οὗ Μουνυχία, Μόλορχος, ἀφ᾽ οὗ Μολορχία πόλις Νεμέας. Ὀξύρυγχος πόλις Αἰγύπτου τιμῶσα τὸν ὁμώνυμον ἰχθῦν. δόλιχος τὸ ὄσπριον, δολιχός δὲ ὁ μακρός. τὸ δὲ μοναχός ὀξύνεται. καὶ ὀξύνεται δὲ τὸ Ἀρρηχός ἔθνος Μαιωτῶν. Στράβων ἑνδεκάτῃ (p. 495), τὸ δὲ Καρδοῦχος προπερισπᾶται. ἔστι δὲ ἔθνος Μηδίας, ὡς Ξενοφῶν ἐν ἀναβάσεως τρίτῃ (5, 15) «ἐς Καρδούχους ἄγοι. τούτους δ᾽ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι καὶ βασιλέως οὐκ ἀκούειν». καὶ Σοφαίνετος ἐν Κύρου ἀναβάσει φησὶ περὶ αὐτῶν.

Τὰ εἰς ψος δισύλλαβα μὴ ἐπιθετικὰ βαρύνεται, Μόψος, γύψος, Τίψος ἡ πόλις, Μίψος τὸ ἔθνος, θάψος εἶδος ξύλου, Θάψος πόλις Λιβύης Στράβων ἑπτακαιδεκάτῳ (p. 831). ἔστι καὶ Σικελίας. ἔστι δὲ χερσόνησος ἐν στενῷ ἰσθμῷ, ὡς Θουκυδίδης (6, 97). Λάμψος παῖς Κοδρίδου καὶ ἀπ᾽ αὐτοῦ μοῖρα τῆς Κλαζομενίων χώρας, ὡς Ἔφορος

---

et τροχός cf. Ep. Cr. I 371, 2, E. M. 686, 10, Favorin 378, 15 et qui omnes praeivit, Tryphon ἐν δευτέρᾳ περὶ Ἀττικῆς προσῳδίας Velsen p. 14. — ἦχος — βρῦχος addidi ex Theogn. 76, 17; apud eum βρύχος scriptum est, ap. Hesych. βρυχός, sed alio loco βρύκος et βρύοχος. Schmidt. ad Hesych. βρύκος dubitat an pro κῆρυξ scribendum sit μῆρυξ. l. 9 Βώταχος — Σήμαχος sunt ex St. B., μείλιχος — τάριχος ex Theogn. 76, 26; τάριχος explevi ex Eustath. p. 73 extr., ubi κατὰ Ἡρωδιανὸν καὶ τάριχος ἑκατέρως λέγεται κτλ. — Κλέοχος — Γόρδοχος recepi ex St. B., ἥσυχος — Μόρυχος ex Theogn., Μόνυχος — Ὀξύρυγχος ex St. B. — Ἀρρηχός et Καρδοῦχος ex St. B. apposui. Hic etiam ἀγέρωχος commemoratum fuisse concluseris ex Ep. Cr. I 29, 25. — Schol. ad Theocr. IV 20 tradit: ἀπὸ τοῦ πυρρός πύρριχος κατὰ παραγωγήν· τινὲς δὲ παροξυτόνως λέγουσιν. ἔστιν οὖν ὑποκοριστικὸν Αἰολικῶς, sed Herodianus nihil de paroxytonesi vocabulorum in ιχος praecipit cf. Lob. Proll. 336. l. 28 μὴ inserui monente Schmidtio, Τίψος explevi ex Theogn. 77, 1, unde Μίψος addidi, Θάψος et Λάμψος accesserunt ex St. B.

τρίτῳ. τὰ δὲ ἐπιθετικὰ πρὸ τοῦ ψ̄ ἔχοντα μ̄ ὀξύνεται, κομψός, γαμψός.

Τὰ εἰς ψ̄ο̄ς̄ ὑπερδισύλλαβα ὀξύνεται, Λυκαψός κώμη πλησίον Λυδίας. Εὐφορίων Διονύσῳ· κινδαψός καὶ σκινδαψός ὀργάνου ὄνομα καὶ κύριον. τίθεται καὶ κατ' οὐδενὸς ὡς τὸ τραγέλαφος, χορδαψός, Κυδαψός, Γαληψός πόλις Θρᾴκης καὶ Παιόνων. Ἑκαταῖος Εὐρώπῃ. Θουκυδίδης τετάρτῃ (c. 107) «καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη». ὠνόμασται δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης. Αἰδηψός πόλις Εὐβοίας. Στράβων ἐνάτῳ (p. 425) «κεῖται δὲ κατ' Αἰδηψὸν τῆς Εὐβοίας, ὅπου τὰ θερμὰ λουτρὰ Ἡρακλέους». Λαδεψός καὶ Τρανιψός ἔθνη Θυνῶν. Θεόπομπος ὀγδόῳ Ἑλληνικῶν. Τακομψός κώμη ἐν τοῖς ὁρίοις Αἰγυπτίων καὶ Αἰθιόπων πρὸς τῇ Φίλῃ νήσῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῳ.

Τὰ εἰς ο̄ς̄ λήγοντα οὐδέτερα ὀνόματα ἀεὶ βαρύνεται, τεῖχος, βέλος, πάθος, πέλαγος, ὕψος, ὕφος, σκύφος, στῖφος, δίψος, νέφος βρέφος, λαῖφος, αἶσχος, δέλος, δέος, κλέος, μέγεθος, στέλεχος. αἱ δὲ μετοχαὶ οὐδέτεραι ὀξύνονται, τετυφός, πεποιηκός, γεγραφός, ὥσπερ καὶ αἱ ἀρσενικαί.

ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΣΥΝΤΙΘΕΜΕΝΩΝ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ Θ'.

Περὶ τῶν εἰς ο̄ς̄.

Τὰ ἀπὸ τῶν εἰς ο̄ς̄ προπαροξυτόνων σύνθετα προπαροξύνεται, φιλαλέξανδρος, φιλάνθρωπος, εὐστέφανος.

Τὰ ἀπὸ τῶν εἰς ο̄ς̄ δισυλλάβων παροξυτόνων προπαροξύνεται, νόος Ἀλκίνοος, πόντος Ἑλλήσποντος ὁ κόλπος καὶ ἡ χώρα ἡ παρα-

---

l. 3 hic canon ap. St. B. s. Γαληψός, unde transiit in E. M. 219, 45, sic profertur: τὰ εἰς ψος ὑπερδισύλλαβα ὀξύνεται, σκινδαψός ὀργάνου ὄνομα καὶ κύριον, τίθεται καὶ κατ' οὐδενὸς ὡς τραγέλαφος, χεραψός, pro quo Meinek. χορδαψός ex Arcadio substituere vult, Λυκαψός. Hic Mein. pro Καλυψός Arc. et Καλυψός τὸ ἔθνος Theogn. scribendum vidit Λυκαψός, quod ex St. B. explevi, nam ap. Theogn. ante τὸ ἔθνος nomen gentis e. g. Λαδεψός excidit. — Ex St. B. addidi etiam formam σκινδαψός ad Arcadii κινδαψός et explevi; nomina inde a Κυδαψός usque ad finem apposita sunt ex St. B. accentu vocabulorum Αἴδηψος, Τάκομψος secundum hunc nostrum canonem mutato; Γαληψός, Τρανιψός habet etiam Theogn. 77, 2. l. 15 ὕφος — στέλεχος ex Theogn. p. 76 et 77 addita sunt praeter νέφος, quod accessit ex Ep. Cr. I 372. l. 22 ἀπὸ τῶν εἰς ο̄ς̄ προπαροξυτόνων pro εἰς ο̄ς̄ scribendum esse clarum est. Trypho ap. Eustath. 1447, 46: ἰστέον ὅτι ἀπορίαν ἔχει, πῶς δήποτε ὁ μὲν ἔμπορος καὶ μεγαλέμπορος προπαροξύνονται τῆς ὀξείας τοῦ πόρος ἀναστελλομένης ἐν αὐτοῖς, ὥς που φράζει ὁ Τρύφων, ὁ δὲ λογεμπόρος παρὰ τοῖς ὕστερον κατεβίβασε τὸν τόνον εἰς τὴν παραλήγουσαν. l. 24 δισυλλάβων apposui. Ἑλλήσποντος explevi ex St. B.,

κειμένη ἀπὸ Ἕλληϲ. πόροϲ Βόϲποροϲ πόλιϲ Πόντου κατὰ τὸν Κιμμέριον κόλπον ὡϲ Φίλων καὶ πορθμὸϲ ὁμώνυμοϲ, ἀπὸ Ἰοῦϲ τῆϲ Ἰνάχου καλούμενοϲ, καθὼϲ Αἰϲχύλοϲ ἐν Προμηθεῖ δεϲμώτῃ γράφει

ἔϲται δὲ θνητοῖϲ εἰϲαεὶ λόγοϲ μέγαϲ
τῆϲ ϲῆϲ πορείαϲ, Βόϲποροϲ δ' ἐπώνυμοϲ
κεκλήϲεται.

ἔϲτι καὶ ἄλλη τῆϲ Ἰνδικῆϲ. ὅρμοϲ Πάνορμοϲ πόλιϲ Cικελίαϲ καὶ λιμήν, ὡϲ Πολύβιοϲ· ἔϲτι καὶ λιμὴν Κυζίκου· φίλοϲ Δίφιλοϲ. τὸ δὲ ὀϲτολόγοϲ καὶ οἰκονόμοϲ οὐ παρὰ τὸ λόγοϲ καὶ νόμοϲ, ἀλλὰ παρὰ τὸ λέγω καὶ νέμω. ὅϲα δὲ ὑπερδιϲύλλαβα παροξύνονται, ἐν τῇ ϲυνθέϲει προπαροξύνονται, ποικίλοϲ παμποίκιλοϲ, ἀγκύλοϲ μεϲάγκυλοϲ, πληϲίοϲ παραπλήϲιοϲ, αἰόλοϲ παναίολοϲ. τὸ δὲ «κορυθαιόλοϲ Ἕκτωρ» (e. g. Γ 83) οὐκ ἀπὸ ὀνόματοϲ, ἀλλ' ἀπὸ ῥήματοϲ. τὸ μέντοι ἱπποβουκόλοϲ διὰ τὴν ἐνέργειαν παροξύνεται καὶ ὅτι ἀπὸ τοῦ ῥήματοϲ καὶ αὐτό. τὸ δὲ ἐναντίοϲ ἀπὸ τοῦ ἀντίοϲ παρέλκον ἔχει τὸ ἐν.

Τὰ ἀπὸ τῶν εἰϲ οϲ διϲυλλάβων προπεριϲπωμένων προπαροξύνεται, ζῆλοϲ ἀρίζηλοϲ, δοῦλοϲ ϲύνδουλοϲ, δοῦποϲ ἐρίγδουποϲ. ϲεϲημείωται τὸ οἰκουρόϲ καὶ κηπουρόϲ. ἔτι τὰ ὑπερδιϲύλλαβα Ῥωμαῖοϲ φιλορώμαιοϲ, Ἀθηναῖοϲ φιλαθήναιοϲ.

Τὰ ἀπὸ ὀξυτόνων προπαροξύνονται, δμητόϲ ἄδμητοϲ, κτητόϲ δορίκτητοϲ, κακόϲ ἄκακοϲ, ϲοφόϲ ἄϲοφοϲ, ποιητόϲ δημοποίητοϲ, ἐλατόϲ δημήλατοϲ. Αἰϲχύλοϲ Ἱκετίϲιν (v. 614) «ἄτιμον εἶναι ξὺν φήμῃ δημηλάτῳ». πρατόϲ δημιόπρατοϲ. Ἀριϲτοφάνηϲ Ἱππεῦϲιν (v. 103) «ἐπίπαϲτα λείξαϲ δημιόπραθ' ὁ βάϲκανοϲ». βοτόϲ ἱππόβοτοϲ, φατόϲ Ἀρηΐφατοϲ «αἵ ῥά τε φῶταϲ ἀρηϊφάτουϲ κατέδουϲι» (Τ 31), βατόϲ ἄμβατοϲ. «ἔνθα μάλιϲτα ἄμβατόϲ ἐϲτι πόλιϲ» (Ζ 434). χωρὶϲ τῶν ἐπὶ ἐθνικῶν λαμβανομένων, Ἀχαιόϲ φιλαχαιόϲ, Βοιωτόϲ φιλοβοιωτόϲ καὶ χωρὶϲ εἰ μὴ διὰ ϲημαϲίαν τινὰ φυλαχθῇ ἐν τῇ ϲυνθέϲει ἡ ὀξεῖα τάϲιϲ ὡϲ τὸ βροτολοιγόϲ, ἵνα φυλαχθῇ ἡ ἐνέργεια. βροτολοιγόϲ γάρ ἐϲτιν ὁ φθείρων τοὺϲ ἄνδραϲ. τούτου χάριν καὶ ὁ τόνοϲ ἐφυλάχθη. εἰ γὰρ προπαρωξύνετο, ἤμελλε παρέχειν ἐπίϲταϲιν, ὅτι πάθοϲ ἐϲτίν. ὁμοίωϲ καὶ τὸ ἀθηρηλοιγόϲ.

Βόϲποροϲ ex eodem adieci, item Πάνορμοϲ. — Cum hoc canone congruunt fere, quae tradit E. M. 113, 32, Ep. Cr. I 8, 10, unde huc retuli ἀγκύλοϲ — παραπλήϲιοϲ. cf. praeterea E. M. 531, 47, Choer. Dict. 526, 9. l. 17 cf. E. M. 37, 11: τὰ εἰϲ οϲ διϲύλλαβα προπεριϲπώμενα ἐν τῇ ϲυνθέϲει προπαροξύνονται οἷον οἶκοϲ ἄοικοϲ, κοῦροϲ ἐπίκουροϲ, πῶλοϲ αἰολόπωλοϲ. l. 22 ϲοφόϲ ἄϲοφοϲ sumpsi ex E. M. 215, 1, ποιητόϲ δημοποίητοϲ, δημήλατοϲ, δημιόπρατοϲ ex St. B. 228, 15. 16. 18, βατόϲ ἄμβατοϲ ex Ep. Cr. I 214, 17. Verba χωρὶϲ τῶν ἐπὶ ἐθνικῶν usque ad finem sunt ex E. M. l. c. et Ep. Cr. I 139, 16, pro ἔμφαϲιν scripsi ἐπίϲταϲιν. cf. Choer. Ep. in Psalm. 77, 34, Ep. Cr. I 110, 29, E. M. 250, 28 addunt inter excepta praeter ἀρχιατρόϲ, quod Arcadius in sequenti canone habet, δαφοινόϲ, quod item propter activam quandam significationem acutum retinere dicunt: τοῦτο διὰ τὸ ϲημαινόμενον ἐκωλύθη βαρύνεϲθαι; accentus certe notabilis est in δαφοινόϲ praesertim quum infra doceatur nomina cum ζα, cum quo δα

Τὰ δὲ παραϲύνθετα καὶ φυλάττει καὶ ἀναβιβάζει, ἐκλεκτόϲ ἐκ τοῦ ἐκλέγω, ἐπίλεκτοϲ ἐκ τῆϲ ἐπί καὶ τοῦ λεκτόϲ. ἀνεκτόϲ ὀξύνεται «ἦ δὴ λοίγια ἔργα τάδ' ἔϲϲεται οὐκέτ' ἀνεκτά» (Il. A 573). διαμετρητόϲ ἐϲτι παραϲύνθετον· τὸ γὰρ ῥῆμα ϲυντέθειται ἐν τῷ «χῶρον μὲν πρῶτον διεμέτρεον» (Γ 315). ὑγιῶϲ ἄρα τὸ «διαμετρητῷ» (Il. Γ 344). Ἀρίϲταρχοϲ περιϲπᾷ καὶ οἱ ἄλλοι. καὶ οὕτωϲ ἔχει ἡ παράδοϲιϲ. οὕτω καὶ τὸ ἐπαινετόϲ ὀξύνεται, ὅτι ἀπὸ ῥήματοϲ ϲυνθέτου γέγονε, τὸ δὲ ἐξαίρετοϲ βαρύνεται. τὸ δὲ «ἄφαρ δ' ἀνάπυϲτα θεοὶ θέϲαν ἀνθρώποιϲι» (Od. λ 274) προπαροξυτόνωϲ, περιττῆϲ οὔϲηϲ τῆϲ ἀνά ἀντὶ τοῦ πυϲτά ἐξηκουϲτά. — τὸ δὲ ἰατρόϲ φιλίατροϲ ἀναβιβάζει καὶ ἐν τῷ ἀρχιατρόϲ καὶ ἱππιατρόϲ φυλάττει. τὸ δὲ κλειτόϲ καὶ κλυτόϲ εἰ μὲν μετὰ ἀπτώτου ϲυντεθῇ ὑπὲρ μίαν ϲυλλαβήν, φυλάϲϲει τὴν ὀξεῖαν τάϲιν οἷον κλειτόϲ ἀγακλειτόϲ, κλυτόϲ περικλυτόϲ, ἀγακλυτόϲ. εἰ δὲ μετὰ πτωτικοῦ ἢ ἀπτώτου μονοϲυλλάβου, προπαροξύνεται, πρόκλυτοϲ «πρόκλυτ' ἀκούοντεϲ ἔπεα θνητῶν ἀνθρώπων» (Υ 204), ὀνομάκλυτοϲ, τοξόκλυτοϲ, Ἡράκλειτοϲ. διὸ ϲημειούμεθα τὸ ναυϲικλυτόϲ ὀξυνόμενον. ὅτι γὰρ ϲύνθετόν ἐϲτι, δῆλον ἐκ τοῦ μένειν τὸ ᾱ τῆϲ ναυϲί δοτικῆϲ. κατ' ἰδίαν γὰρ παρὰ τῷ ποιητῇ ἢ διὰ τοῦ η̄ λέγεται ἢ διὰ τοῦ ε̄, ἐν δὲ ϲυνθέϲει διὰ τοῦ ᾱ, Ναυϲικάα, Ναυϲίθοοϲ. τὸ δὲ δουρὶ κλυτόϲ ἐν παραθέϲει ἐϲτίν. εἰ γὰρ ἦν ἐν ϲυνθέϲει, ἤμελλε προπαροξύνεϲθαι ὡϲ μετὰ πτωτικοῦ ϲυντεθὲν καὶ ἀναβιβάϲαν τὸν τόνον.

Τὰ παρὰ τὸ ἀείδω γινόμενα, εἰ μὲν τῇ ῳ διφθόγγῳ παραλήγονται, ὀξύνεται, τραγῳδόϲ, κωμῳδόϲ, μελῳδόϲ· εἰ δὲ τῇ οι̅ διφθόγγῳ, εἰ μὲν ὑπὲρ τέϲϲαραϲ ϲυλλαβὰϲ ὦϲι, προπαροξύνεται, λιγυάοιδοϲ, ὑπεράοιδοϲ· εἰ δὲ τέϲϲαρεϲ, ὁμοίωϲ, ὑμνάοιδοϲ, ἐπάοιδοϲ, λυράοιδοϲ. τὰ δ' ἐξ αὐτῶν ὀξύνεται, ὑμνῳδόϲ, ἐπῳδόϲ, λυρῳδόϲ.

Ὅϲα ἀπὸ γενικῆϲ εἰϲ ο̅ϲ̅ ϲυντίθενται, προπαροξύνεται, πλὴν τῶν

---

cognatum est, proparoxytona esse. l. 2 pro librorum scriptura ἐπίλεκτοϲ ἐκ τοῦ ἐκλεκτόϲ exhibui cum Lob. Parall. 495 ἐκ τῆϲ ἐπί καὶ τοῦ λεκτόϲ, ut est in simillimo loco Ep. Cr. I 113, 18 et E. M. 269, 3 διαμετρητόϲ: ϲχήματοϲ παραϲυνθέτου· καὶ πόθεν διαχωρίζεται τὰ παραϲύνθετα ἐκ τῶν ϲυνθέτων; ἐκ τῆϲ διαφορᾶϲ τοῦ τόνου. τὰ μὲν γὰρ ϲύνθετα προπαροξύνεται, ἐπειδὴ ἀπὸ ῥήματοϲ ἔχουϲι τὴν ϲύνθεϲιν οἷον ἐκλέγω ἐκλεκτόϲ· ἐπίλεκτοϲ δὲ προπαροξύνεται, ὅτι ἀπὸ ὀνόματοϲ ἔϲχε ϲύνθεϲιν, ἐκ τῆϲ ἐπί προθέϲεωϲ καὶ τοῦ λεκτόϲ. οὕτωϲ οὖν καὶ διαμετρῶ διαμετρήϲω διαμετρητόϲ. — ἀνεκτόϲ sumpsi ex Il. Pr. Λ 610 coll. Θ 355, ubi λέλεκται ἡμῖν περὶ τῆϲ προϲῳδίαϲ, ὁπότε διελάβομεν περὶ τοῦ «ἦ δὴ λοίγια κτλ.», quod adnotamentum intercidit. Verba διαμετρητόϲ usque ad παράδοϲιϲ adiectis ὑγιῶϲ ἄρα recepi ex Il. Pr. Γ 344. — Quae de ἐπαινετόϲ et ἐξαίρετοϲ dicta sunt, repetivi ex Ep. Cr. I 135. l. 8 de ἀνάπυϲτα Schol. ad Od. λ 274: προπαροξυτόνωϲ φηϲὶ ἐν τῇ καθόλου περιττῆϲ οὔϲηϲ κτλ. cf. Lob. Parall. 496, qui hoc adnotamentum contrarium esse omnibus, quae de pleonasmo praepositionum accepta habemus, summo iure asserit, sed locum intactum reliqui. Huc pertinet etiam Schol. Od. ν 110: καταιβατόϲ, ὀξυτόνωϲ. cf. praeterea E. M. 474, 17 ἱππόβοτον: διατί ἀνεβίβαϲε τὸν τόνον; τὰ εἰϲ ο̅ϲ̅ ὀξύτονα διϲύλλαβα ἐν τῇ ϲυνθέϲει προπαροξύνεται· βατόϲ, ἄμβατόϲ ἐϲτι πόλιϲ, φατόϲ Ἀρηΐφατοϲ, χωρὶϲ εἰ μὴ παραϲύνθετα ὦϲι διὰ τὸ μετρῶ μετρήϲω μετρητόϲ καὶ «διαμετρητῷ ἐνὶ χώρῳ». — Quae de κλειτόϲ et κλυτόϲ eorumque compositis protuli, sunt ex E. M. 215, 21, Ep. Cr. I 378, 12. Pros. Il. K 109 et Schol. Od. α 30; in fine μὴ ante ἀναβιβάϲαν in Ep. Cr. omisi. l. 22 ἀείδω scripsi pro εἴδω librorum; τέϲϲαραϲ et post τέϲϲαρεϲ pro τρεῖϲ monente Schmidtio.

παρὰ τὸ ω̅π̅ο̅ς̅ οἷον στενωπός. πυθμένος ἀπύθμενος, λιμένος ἀλίμενος, μηνός δίμηνος, τρίμηνος, πατρός Ἀντίπατρος, χάριτος ἀχάριτος, θέμιτος ἀθέμιτος. ὡσαύτως καὶ βριήπυος. ἐγένετο δὲ οὕτως. ἤπυς ὡς γῆρυς, μελίγηρυς, ἔπειτα γενικὴ βριήπυος, ἥτις εἰς εὐθεῖαν μετέστη ὁ βριήπυος· οὐ γὰρ ἄηθες γενικὰς ἀναπέμπεσθαι εἰς εὐθείας καὶ μάλιστα παρὰ τῷ ποιητῇ. διὸ καὶ προπαροξύνει αὐτὸ ἡ συνήθεια.

Τὰ εἰς ο̅ς̅ συντεθειμένα ἀπὸ τῶν εἰς ᾱ καὶ εἰς η̄ προπαροξύνεται, ἑστία ἐφέστιος, σκιά εὔσκιος, μοῦσα φιλόμουσος, χρεία ἄχρειος τὸ κοινόν, ἀχρεῖος δὲ τὸ Ἀττικὸν ὡς ἀστεῖος, ἀνδρεῖος, Ἀργεῖος, ἀρχή ταξίαρχος, φωνή ἄφωνος, αὐδή ἄναυδος, μορφή πολύμορφος, μάχη ναύμαχος «ναύμαχον δόρυ», κόμη ἱππόκομος «ἱππόκομον πήληκα» (Π 797), κυπαρισσόκομος, καλλίκομος, οὐλόκομος. τὸ δὲ ἱππομάχος καὶ ἱπποκόμος ἀπὸ ῥημάτων καὶ τὸ γηροκόμος καὶ τὸ ἀκαρός ἀπὸ τοῦ κάρη γέγονε. τοῦτο ἠκολούθησε τῷ μαδαρός καὶ πλαδαρός ὁ ἀσθενής. τὸ δὲ ἀθῷος προπερισπᾶται ἀπὸ τοῦ θῳή.

Τὰ εἰς ο̅ς̅ σύνθετα ἀπὸ τῶν εἰς ο̅ν̅ οὐδετέρων ἢ εἰς ο̅ς̅ ἢ ᾱ προπαροξύνεται, δῶρον βοτρυόδωρος, τόξον κλυτότοξος, ξίφος ἄξιφος, ὄνομα ἐπώνυμος, διώνυμος.

Τὰ εἰς ο̅ς̅ συντεθειμένα παρὰ τὸ ἔργον μὴ ὄντα κύρια ὀξύνεται,

---

l. 3 adnotationem de βριήπυος sumpsi ex Schol. A ad Il. N 521, ubi in fine: ταῦτα Ἡρωδιανὸς ἐν τῷ θ′ τῆς καθόλου. l. 10 ἀνδρεῖος Ἀργεῖος addidi ex Il. Pr. B 269, αὐδή ἄναυδος ex Il. Pr. N 132, μάχη ναύμαχος «ναύμαχον δόρυ» ex Eustath. 1021, 42 et κόμη usque ad οὐλόκομος ex Il. Pr. N 132 et Π 797 (cf. E. M. 474, 57), nam de compositis a μάχη et κόμη dixisse Herodianum inde apparet, quod statim de nominibus a verbis ortis loquitur, atque simile quid atque Eustath. de ναύμαχος Herodianum tradidisse ex sententiae connexu concludi potest. Similia neque tamen ab omni parte Herodianea habet Athenaeus IV p. 154 F: ἔοικε δὲ πεποιῆσθαι τὸ ὄνομα (sc. μονομάχος) οὐκ ἐκ τοῦ μάχη, ἀλλ' ἐκ ῥήματος τοῦ μάχεσθαι μᾶλλον συγκεῖσθαι. ὁπότε γὰρ τὸ μάχη συντιθέμενον τὸ τέλος εἰς ο̅ς̅ τρέπει, ὡς ἐν τῷ σύμμαχος, πρωτόμαχος, ἐπίμαχος, ἀντίμαχον, φιλόμαχον γένος ἐκ Περσέως παρὰ Πινδάρῳ, τηνικαῦτα προπαροξύνεται. ὁπότε δὲ παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει ὡς ἐν τῷ πυγμάχος, ναυμάχος (sc. ἀνήρ), αὐτόν σε πολυμάχε πρῶτον παρὰ Στησιχόρῳ, ὁπλομάχος, τειχομάχος, πυργομάχος. — In his πολυμάχος paroxytonon non congruit cum doctrina Herodianea, ut ex canone de compositis a πολύ patet, porro Herodianus σύμμαχος non a μάχη, sed a μάχομαι repetivit. cf. Goettling. de accent. p. 319. ἀκαρός pro καραβός emendavit Schmidt. ex E. M. 26, 29: τὰ ἀπὸ τῶν εἰς ᾱ καὶ εἰς η̄ θηλυκῶν διὰ τοῦ ο̅ς̅ γινόμενα ὀνόματα προπαροξύνεται, κεφαλή ἀκέφαλος, ψυχή ἄψυχος, ὥρα ἄωρος. πρόσκειται ἐν τῷ κανόνι, εἰ μὴ χαρακτὴρ κωλύσει διὰ τὸ κάρη ἀκαρός. ὀξύνεται γὰρ ὡς τὸ μαδαρός. — De ἀθῷος cf. supra p. 128, ubi de nominibus in ῳ̅ο̅ς̅ actum est. Cum Arcadio concinunt Ep. Cr. I 153, 13 τὰ ἀπὸ ῥήματος παρηγμένα σύνθετα πρὸ μιᾶς ἔχουσι τὸν τόνον· εἰ δὲ ἀπὸ ὀνόματος προπαροξύνεται οἷον ἱπποκόμος, ἱεροκόμος εἰροκόμος et 227, 30, unde sumpsi verba Homerica ex Il. Π 797 et An. Ox. II 422, 10: φώταυγος: τὰ ἐκ τῶν εἰς ᾱ καὶ η̄ θηλυκῶν εἰς ο̅ς̅ γινόμενα ἀρσενικὰ ὀνόματα προπαροξύνονται, ὥρα ἄωρος, φωνή ἄφωνος. l. 21 canon exstat etiam in Ep. Cr. I 305, 28: τὰ παρὰ τὸ ἔργον συντιθέμενα ὑπὲρ δύο συλλαβὰς ὄντα, εἰ μὲν ἀπὸ πτωτικῶν συντίθενται (quibus verbis a canone eximuntur ἑκάεργος περίεργος πάρεργος) ὀξύνονται οἷον λειτουργός, παντουργός, πλαστουργός, δημουργός ὀβριμοεργός πλὴν τριῶν, πανοῦρ-

ἐλεφαντουργός, αὐτουργός, ὀβριμοεργός, λειτουργός, παντουργός, πλαστουργός, δημουργός. τὸ μέντοι κακοῦργος βαρύνεται ὁμοίως καὶ τὸ ἑκάεργος, περίεργος, πολύεργος, πάρεργος. τὰ δὲ ὄντα κύρια βαρύνεται, Λυκοῦργος, Φιλοῦργος. τὰ δὲ ἐθνικὰ ὀξύνεται οἷον Σιαγαθουργός.

Περὶ τῶν παρὰ ῥῆμα συντεθειμένων.

Τὰ παρὰ τὸ βόσκω ὀξύνονται, πορνοβοσκός, ὑοβοσκός, χηνοβοσκός.

Ὅσα παρὰ τὸ ἕλκω καὶ ἀμέλγω καὶ λείχω, ὀξύνεται, γαγγαμουλκός, ἀμολγός, ματιολοιχός, τραπεζολοιχός.

Τὰ παρὰ τὸ ἄγω καὶ πήσσω ὀξύνεται, φορτηγός, στρατηγός, κυνηγός, δημαγωγός, νυμφαγωγός, μυσταγωγός, προαγωγός, ναυπηγός.

Ἔτι τὰ παρὰ τὸ ποιῶ ὀξύνεται, ἐργοποιός, ἐποποιός.

Ἔτι τὰ παρὰ φέρβω καὶ ἀσκῶ, ἱπποφορβός, φωνασκός. τὸ δὲ αὐτόφορβος οἱ πλείους βαρύνουσι καὶ τὸ Εὔφορβος κύριον.

Τὰ ἀπὸ ῥήματος κύρια προπαροξύνεται, Ἱππόδαμος, Δηΐφοβος, Λαόγονος, Λαόδοκος. Βούνομος· οὕτως ἐκαλεῖτο ἡ Μακεδονίας Πέλλα. τὸ μέντοι ξεινοδόκος οὐ κύριον.

Τὰ παρὰ τὸ φέρω παροξύνεται, τελεσφόρος, δορυφόρος, βουληφόρος, ἑωσφόρος, λωτοφόρος. τὸ μέντοι ἄφορος, δίφορος ἀπὸ τοῦ φορά.

γος, Λυκοῦργος, κακοῦργος, unde nomina ὀβριμοεργός — δημουργός adieci. τὰ δὲ ἐθνικὰ ipse adieci propter Σιαγαθουργοί ap. St. B., quod Müller Geogr. minor. I p. cxxxiv not. ** ex οἱ Ἀγαθουργοί corruptum putat. De Φιλοῦργος comparat Iacobi Schol. ad Aristoph. Lysistr. 266. l. 9 γαγγαμουλκός pro γαμουλκός scripsit Schmidt. ex E. M. 219, 23. — ματιολοιχός addidi ex Schol. ad Arist. Nub. 451: ματιολοιχός — ὀξύνει δὲ Ἡρωδιανός, τραπεζολοιχός ex Ep. Cr. I 139, ubi cum βροτολοιγός et ἀθηρηλοιγός componitur: συναπηνέχθη δὲ τούτοις κατὰ μετασχηματισμὸν τὸ τραπεζολοιχός καὶ ὠξύνθη. l. 12 νυμφαγωγός — προαγωγός addidi ex An. Ox. II 393, 26, ubi idem canon de compositis ab ἄγω profertur, δημαγωγός ex St. B. 228, 14. l. 16 Εὔφορβος Schmidt. pro Ἄφορβος scripsit, idem proposuit Iacobi. l. 18 Λαόγονος addidi ex Il. Pr. Π 604: Λαόγονον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. κύριον γάρ. Βούνομος ex St. B.

l. 21 λωτοφόρος apposui ex St. B. 424, 5. — E. M. 775, 48 distinguit ὑδροφόρος ab ὑδρόφορος: τὸ ὑδροφόρος παροξυτόνως μὲν σημαίνει ἐνέργειαν, προπαροξυτόνως δὲ πάθος. τὸ μὲν γάρ ἐστιν ὁ φέρων τὸ ὕδωρ, τὸ δὲ τὸ ἀπὸ ὕδατος φερόμενον. ἆρα καὶ ἐν πᾶσι τοῖς ἀπὸ ῥημάτων συντιθεμένοις ταὐτὸν εἶναι εὑρίσκομεν; φασὶν ὅτι ἐπίπαν, ὅτι δὲ ἔνια μόρια παραβαίνοντα τὸν λόγον ὡς αἱ προθέσεις καὶ τὰ ἐπιτατικὰ οἷον ἐπίσκοπος καὶ ζάχρυσος ἐνέργειαν σημαίνει, οὐ πάθος, καὶ προπαροξύνεται καὶ τὰ ὅμοια ὥσπερ τὸ ναύβατος παροξυτόνως μὲν παθητικός, προπαροξυτόνως δὲ ἐνεργητικός, τὸ μὲν γὰρ δηλοῖ τὸν ἐπιβαίνοντα ἐπὶ τὴν ναῦν, τὸ δὲ τὸν ὑπὸ τῆς νηὸς βαινόμενον. In his quod de ἐπίσκοπος dictum est, congruit cum Arcadio, reliqua ab eo differunt, nam Arcadius diserte tradit nomina a ναῦς composita acui in antepaenultima praeter ναυπηγός, ναυηγός oxytona; quod de ζάχρυσος dicitur, recte se habet, sed cum reliquis comparari non potest, quum non sit a verbo compositum; ὑδροφόρος autem et ὑδρόφορος est exemplum fictum ad analogiam nominum καράτομος καρατόμος, nam intellectu passivo, quod sciam, non legitur. Hinc efficitur E. Magni adnotamentum profectum esse a grammatico, qui regulam de activa et passiva sen-

Ὅcα πρόθεcιν ἔχει ἐν τῇ ἀρχῇ, προπαροξύνεται, περίβολος, Ὑπέρβολος, ἀμφίβολος, πρόβολος. τὸ δὲ ἐπεcβόλος παροξύνεται ἀπὸ τοῦ ἔπεcι βάλλειν. καὶ χωρὶc τῶν ἀπὸ κλειτόc καὶ κλυτόc, τὸ γὰρ περικλυτός ὀξύνεται, καὶ τὰ παρὰ τὸ ἔργον ὑπουργός, cυνεργός.

Τὰ παρὰ τὸ βάλλειν cύνθετα καὶ μὴ παρὰ πρόθεcιν παροξύνονται, λιθοβόλος ὁ βάλλων λίθους, λιθόβολος δὲ ὁ ὑπὸ λίθων βαλλόμενος, ὡς παρὰ Εὐριπίδῃ ἐν Φοινίccαις (1069) «λιθόβολον εἷμα κατειργάcω». τὸ δὲ πρόβολος καὶ ἀμφίβολος ἀπὸ προθέcεων.

Τὰ παρὰ τὸ πολῶ τὸ ἀναcτρέφομαι cύνθετα καὶ μὴ παρὰ πρόθεcιν παροξύνονται, ἱπποπόλος, οἰωνοπόλος, δικαcπόλος, ὀνειροπόλος, θυηπόλος, μυροπόλος, αἰπόλος. τὸ δὲ ἀμφίπολος, πρόπολος ἐκ προθέcεως.

Τὰ παρὰ τὸ cκοπῶ cύνθετα μὴ ἐκ προθέcεως παροξύνεται, ὀρνιθοcκόπος, οἰωνοcκόπος. τὸ δὲ ἐπίcκοπος, κατάcκοπος ἀπὸ προθέcεων «ὀτρυνέεις Τρώεccιν ἐπίcκοπον» (Il. K 38). Νικίας ἀναcτρέφει τὴν ἐπί, ἵν' ᾖ ἐπὶ Τρώεccιν. εἰcὶ δὲ οἳ ἀνεγνώκαcιν ἐπιcκοπόν ὡc ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριcτάρχῳ cυγκατατίθεcθαι· καὶ γὰρ ἤδη ἡ cυνήθεια ἐπίcταται τὴν τοιαύτην cύνθεcιν, χρὴ δὲ νοεῖν ὅτι πολλὴ ἡ χρῆcιc τοῦ ὀνόματος παρὰ τῷ ποιητῇ ἐν ἁπλότητι καὶ ἐν cυνθέcει «δμωάων cκοπός ἐccι» (Od. χ 396) «καὶ ἐπίcκοπος ἦcιν ἑταίρων» (Od. θ 163).

Τὰ παρὰ τὸ μάχομαι καὶ μὴ παρὰ πρόθεcιν παροξύνεται, λεοντομάχος, μονομάχος χωρὶc τοῦ ἀγχέμαχος. τὸ δὲ πρόμαχος καὶ cύμμαχος ἐκ προθέcεων.

Ἔτι τὰ παρὰ τὸ ἀγορῶ μετὰ προθέcεως cύνθετα προπαροξύνεται, cυνήγορος, κατήγορος, παρήγορος. δημηγόρος δὲ παροξύνεται. οὐ γὰρ ἀπὸ προθέcεως.

---

tentia accentu discriminanda iusto latius extendit pariter atque grammaticus in E. M. 313, 11, qui cακέcπαλος et cακεcπάλος scribendum praecipit secundum canonem suum: τὰ εἰc οc cύνθετα εἰc ἐνέργειαν καὶ εἰc πάθοc ἀναλυόμενα δύο τόνουc ἐπιδέχονται. Propius ad Arcadium accedit neque tamen omnino concinit praeceptum in Ep. Cr. I 90, 14 πάντα τὰ παρὰ τὸ φέρω παροξύνεται οἷον φόροc βουληφόροc, εἰ μὴ ἄρα τύποc κωλύῃ διὰ τοῦ εὖ μορίου καὶ τῆc ἐν προθέcεωc καὶ τῆc ᾱ cτερήcεωc εὔφοροc πρόcφοροc ἄφοροc. l. 4 γὰρ scripsi cum Schmidt. pro δέ, sed πρόκλυτοc hic commemorari non necesse fuit, quum accentus canoni hic statuto conveniat. — Discrimen, quod Ammonius p. 131 et Thom. Magist. s. v. statuunt: cυνεργόc ὀξυτόνωc ὁ περὶ τὸ ἔργον cυμποιῶν, cύνεργοc δὲ προπαροξυτόνωc ὁ τὸ αὐτὸ μετιὼν οἱονεὶ cύντεχνοc — Herodiano ignotum fuisse videtur. l. 6 canon exstat etiam in Ep. Cr. I 137, 11, E. M. 355, 3, verba Euripidea addidi ex Il. Pr. Γ 354. l. 11 Ep. Cr. I 108, 11 δικαcπόλοc: τὰ παρὰ τὸ πέλω cυγκείμενα ὀνόματα, εἰ μὲν μετὰ πτωτικοῖc cυντεθῶcι, πρὸ μιᾶc ἔχουcι τὸν τόνον οἷον ἱπποπόλοc, δικαcπόλοc· εἰ δὲ μετὰ ἀπτώτου, προπαροξύνεται οἷον πρόπολοc, ἀμφίπολοc. E. M. 37, 50: τὰ παρὰ τὸ πολῶ μὴ μετὰ προθέcεωc cυντεθέντα πρὸ μιᾶc ἔχει τὸν τόνον οἷον ὀνειροπόλοc, θυηπόλοc, μυροπόλοc, αἰπόλοc· πρόcκειται μὴ μετὰ προθέcεωc διὰ τὸ πρόcπολοc, ἀμφίπολοc cf. 93, 38. Ex his locis addidi δικαcπόλοc — αἰπόλοc et πρόπολοc. l. 16 verba inde ab ὀτρυνέειc usque ad finem addidi ex Il. Pr. K 38.

Ἔτι τὰ παρὰ τὸ χέω cύνθετα παροξύνεται, χρυcοχόοc, οἰνοχόοc. τὸ πρόχοοc δὲ ἀπὸ προθέcεωc.

Ὅcα ἐν τῇ ἀρχῇ cυντίθεται ἐκ τοῦ πολύ, προπαροξύνεται, πολύcτροφοc, πολύκαρποc, πολύφιλοc, πολύμηλοc, Πολύϊδοc, πολύολβοc, Πολύφημοc, πολύζυγοc, πολύλαλοc. τὸ δὲ μογιλάλοc παροξύνεται. οὐ γὰρ παρὰ τὸ πολύ. cεcημείωται τὸ πολυφάγοc. ἐξηκολούθηcε γὰρ ἑτέρῳ κανόνι.

Τὰ γὰρ παρὰ τὸ φαγεῖν ἐν τῷ τέλει cυντεθειμένα παροξύνεται, ἀρτοφάγοc, μονοφάγοc, παμφάγοc, ποηφάγοc, ἀδδηφάγοc, ὠμοφάγοc, cαρκοφάγοc· οὕτω καὶ πολυφάγοc. ὡcαύτωc καὶ τὰ ἐθνικὰ Μελινοφάγοc ἔθνοc Θρᾴκηc καὶ Φθειροφάγοc.

Ὅcα τὸ εὖ μόριον κατ' ἀρχὴν ἔχει, προπαροξύνεται, εὔτοκοc, εὔτονοc, εὔμολποc, εὐποίητοc «βοῶν τ' εὐποιητάων» (Il. Π 636). τὸ εὖ κρεῖττόν ἐcτιν ἓν ποιεῖν εὐποιητάων, ἐπεὶ καὶ ἐν ἑτέροιc φηcὶ τὴν δοτικὴν «εὐποιήτῃcι πύλῃcι» (Il. Ε 466) ἢ κατ' ἰδίαν προφέρεcθαι. Εὔμαιοc, εὔcκοποc, εὔξοοc· χωρὶc τῶν παρὰ τὸ ἔργον εὐεργόc.

οἵ τε κατ' αἶcχοc ἔχευε καὶ ἐccομένῃcιν ὀπίccω
θηλυτέρῃcι γυναιξὶ καὶ ἥ κ' εὐεργὸc ἔῃcιν (Od. λ 433).

Ὅcα ἀπὸ τοῦ ᾱ cτερητικοῦ μορίου cυντίθεται, προπαροξύνεται, ἄτολμοc, ἄτομοc, ἄcτοργοc.

Ὅcα ἐν ἀρχῇ ἔχει τὸ φιλεῖν, προπαροξύνεται, φιλόπονοc, φιλόcοφοc, φιλόλογοc.

Τὰ παρὰ τὸ λέγω χωρὶc τῶν παρὰ τὸ φιλεῖν παροξύνεται, δικαιολόγοc, φυcιολόγοc, τερατολόγοc. τὸ δὲ φιλόλογοc ἀπὸ τοῦ λόγοc καὶ τὸ φιλῶ.

Τὰ παρὰ τὸ δυc καὶ ζα μόρια προπαροξύνεται, δύcμορφοc, δύcτηνοc, ζάπλουτοc, ζάκοτοc, ζάθεοc, ζάφελοc, τὸ δὲ ζαφελῶc περιcπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λωc ἐπιρρήματα παραληγόμενα τῷ ε ὡc ἐπὶ τὸ πλεῖcτον φιλεῖ περιcπᾶcθαι, ἐντελῶc, ἐπιμελῶc, οἷc καὶ τὸ ζαφελῶc ξυνέδραμε.

Τὰ παρὰ τὸ ὠκύc προπαροξύνεται, ὠκύμοροc, ὠκύποροc· τὸ

---

l. 1 Ep. Cr. I 32, 7, E. M. 93, 38: τὰ παρὰ τὸ πολῶ καὶ χέω μὴ μετὰ προθέcεων cυντιθέμενα πρὸ μιᾶc ἔχουcι τὸν τόνον οἷον ὀνειροπόλοc, οἰωνοπόλοc, οἰνοχόοc. τὰ δὲ μετὰ προθέcεωc cυντιθέμενα προπαροξύνονται, πρόπολοc, πρόχοοc. l. 4 πολύμηλοc — πολύζυγοc addidi ex Ep. Cr. I 354, 24, E. M. 681, 29. πολύλαλοc cum Schmidt. propter sequens μογιλάλοc apposui et verba cεcημείωται τὸ πολυφάγοc κτλ. ex Ep. l. c. (cf. 447, 6) propter sequentem canonem. l. 8 γὰρ posui pro δέ, quum in praecedenti canone exceptio de πολυφάγοc addita sit; verba ποηφάγοc — πολυφάγοc recepi ex Ep. Cr. l. c. — Gentilia sumpta sunt ex St. B. l. 13 εὐποίητοc cum annotatione sumpsi ex Il. Pr. Π 636. l. 16 Εὔμαιοc — εὔξοοc apposui ex Ep. Cr. I 140, 6 (cf. E. M. 394, 48), ubi idem canon; indidem etiam versus Homeri petiti sunt. l. 21 cf. Ep. Cr. I 10, 15. l. 24 de paroxytonesi vocis φιλόλογοc Herodiano ignota cf. Goettl. de acc. p. 319. l. 26 canon de compositis a ζα reperitur etiam in Il. Pr. Ι 516: τὰ εἰc οc λήγοντα cυγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, inde adieci ζάφελοc et quae de adverbio ζαφελῶc dicta sunt.

δὲ ποντοπόρος παροξύνεται· οὐ γὰρ ἀπὸ τοῦ ὠκύς. cεcημείωται τὸ ὠκυμάχος.

Ἔτι καὶ τὰ παρὰ τὸ εὐρύς, εὐρύπορος.

Ὅcα ἔχει κατὰ ἀρχὴν τὸ ναυ, προπαροξύνεται, ναύαρχος, ναύκληρος, ναύλοχος. τὸ δὲ ναυπηγός, ναυηγός ὀξύνεται.

Ὅcα παρὰ ἐπίρρημα cυντίθεται, προπαροξύνεται, ὀψίφυγος, ὀψίτυχος, ὀψιτέλεςτος, ἀγχίμολος, ἀγχέμαχος. τὸ δὲ περικλυτός ἀπὸ τῆς περί.

Ὅcα παρὰ τὸ πάλιν καὶ ἄγαν καὶ αὐτό cύνθετα, προπαροξύνεται, παλίμβολος, παλίγκοτος, ἀγάννιφος, ἀγάςτονος, αὐτόμαχος, αὐτοδίδακτος.

Τὰ παρὰ τὸ ἀκούω προπαροξύνεται, ὑπήκοος, ἀνήκοος. τὸ δὲ ἐπακουός παραςύνθετον· γίνεται γὰρ ἐκ τοῦ ἐπακούω.

Τὰ παρὰ τὸ ἔχω cυγκείμενα ὀνόματα, εἰ μὲν τῷ ο παραλήγεται, προπαροξύνεται, αἰγίοχος, ἡνίοχος· ἔςτι δὲ καὶ ἔθνος παρὰ τῷ Καυκάςῳ. Cτράβων ἑνδεκάτῃ (p. 496). ἔνοχος, μέτοχος, πάροχος. εἰ δὲ τῇ ου διφθόγγῳ, προπεριςπᾶται, οἷον ῥαβδοῦχος, κλειδοῦχος, λαμπαδοῦχος, λυχνοῦχος, cταθμοῦχος, ἀςπιδοῦχος. Cοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι «ὡς ἀςπιδοῦχος ἢ Cκύθης τοξεύμαςι». cκηπτοῦχος, ὀφιοῦχος.

Τὰ ἀπὸ διςυλλάβου ῥήματος, οὗ ἡ ἄρχουςα μακρά, cυντεθειμένα προπαροξύνεται, μυκῶ ἐρίμυκος, cυλῶ ἱερόςυλος, ἄρχω γυμναςίαρχος, πορθῶ πτολίπορθος.

Τὰ παρὰ τὸ εἰς ις ἐπίρρημα ἀριθμοῦ cυντεθειμένα προπαροξύνεται, δίφορος, τρίφορος, τρίπολος, μεθ' ὧν καὶ τετράφορος.

Τὰ παρὰ τὸ γράφω παροξύνεται, ἱςτοριογράφος, βιβλιογράφος. τὸ δὲ παράγραφος τὸ cημεῖον τὸ ἐν τοῖς μέτροις τιθέμενον προπαροξύνεται, παρὰ τὸ γραφή γάρ.

Τὰ παρὰ ῥῆμα cυντιθέμενα παροξύνεται μέν, ὅτε ἐνέργειαν ὑπιςχνεῖται, προπαροξύνεται δέ, ὅτε πάθος, εἰ μὴ κανόνες τινὲς κωλύοιεν.

---

l. 3 quum p. 233 l. 26 ante δύςμορφος verba: καὶ τὸ εὐρύπορος προπαροξύνεται et l. 1 post ποντοπόρος παροξύνεται eadem verba reperiantur, opinor ea in alienum locum irrepsisse et ex canone eius modi, qualem proposui, remansisse.
l. 4 inanis est distinctio vocabulorum ναυβάτος et ναύβατος, quae nihili sunt, in E. M. 675, 56. l. 7 ὀψίτυχος ὀψιτέλεςτος addidi ex Mon. 26, 5. l. 10 ἀγάςτονος pro ἀγάτονος scripsi cum Schmidt. l. 13 γίνεται γὰρ omittit cod. A.
l. 14 pro Arcadii canone: τὰ παρὰ τὸ ἔχω βαρύνεται, ἡνίοχος ἤοχος (A, ἄοχος BC), προπεριςπᾶται δὲ τὸ λυχνοῦχος, ῥαβδοῦχος, cταθμοῦχος — posui canonem in An. Ox. I 387, 10 (E. M. 432, 22), ex St. B. Ἡνίοχος ἔθνος addens, ex Arcadio λυχνοῦχος — cταθμοῦχος; ἀςπιδοῦχος ex St. B. 135, 5, cκηπτοῦχος, ὀφιοῦχος ex E. Gud. 503, 46, ubi canon iisdem fere verbis atque in Anecd. prolatus est. l. 23 πορθῶ πτολίπορθος adieci ex Ep. Cr. I 354, 20, E. M. 694, 42.
l. 24 εἰς cum Schmidt inserui. l. 26 An. Ox. II 397, 22: τὰ παρὰ τὸ γράφω ἅπαντα προπαροξύνονται οἷον καλλιγράφος, ὀξυγράφος. l. 29 ab Arcadio sic canon conceptus est: τὰ ἐπὶ ἐνεργείας τιθέμενα cυντιθέμενα ἀπὸ τοῦ τέμνω, φονεύω, ὀρύςςω, κτείνω, νέμω, τίκτω παροξύνονται, cκυτοτόμος, μιαιφόνος, τοιχωρύχος, πατροκτόνος, οἰκονόμος· τὸ δὲ καρατόμος καὶ πρωτοτόκος παροξυ-

ὥςτε διαφέρειν τὸ λιθοβόλος τοῦ λιθόβολος καὶ τὸ καρατόμος τοῦ καράτομος. τὸ μὲν γὰρ παροξυνόμενον σημαίνει τὸν τὰς κάρας τέμνοντα οἷον ἐπὶ δημίου, τὸ δὲ προπαροξυνόμενον τὸν τὴν κάραν τμηθέντα, ὡς ἡ μὲν Γοργὼ λέγεται καράτομος ὡς ἀποτμηθεῖσα τὴν κεφαλήν, ὁ δὲ Περσεὺς καρατόμος ὁ τῆς Γοργοῦς τὴν κεφαλὴν τεμών. ὡσαύτως τὸ πρωτοτόκος ἐστὶ δραστικόν, τὸ δὲ πρωτότοκος δηλοῖ τὴν πρώτως τεχθεῖσαν. οὕτως οὖν παροξύνονται τὸ σκυτοτόμος, μιαιφόνος, τοιχωρύχος, πατροκτόνος, οἰκονόμος, μογοστόκος, θεοτόκος, ξεινοδόκος, ἰηδόκος συντεθειμένα ἀπὸ τοῦ τέμνω, φονεύω, ὀρύσσω, κτείνω, νέμω, τίκτω, δέχομαι ἐπὶ ἐνεργείας τιθέμενα. ἔφαμεν δὲ τὰ τοιαῦτα τῶν συνθέτων ἐνέργειαν ὑπισχνούμενα παροξύνεσθαι, εἰ μὴ κανόνες τινὲς κωλύοιεν. εἰσὶ γάρ τινες κανόνες, καθ' οὓς κἂν ἐνέργεια σημαίνηται, πάντως προπαροξύνεσθαι δεῖ οἷον τὸ πρωτόπλοος προπαροξύνεται, ἐπειδὴ οὕτως ἐμελέτησε τὰ παρὰ τὸ πλέω, καὶ τὸ πολύλαλος, ἐπεὶ τὰ παρὰ τὸ πολὺ συντεθειμένα προπαροξύνεσθαι θέλει. μάχεται μέντοι ἄντικρυς τὸ «ὄρνυσθ' ἱππόδαμοι Τρῶες» (Il. Δ 509). ἐνεργητικὸν γὰρ ὂν καὶ μὴ ὑποπῖπτον κανόνι τῷ προπαροξυτονοῦντι προπαρωξυτονήθη.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ῡς ΛΗΓΟΝΤΩΝ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΕΧΟΝΤΩΝ ΔΙΦΘΟΓΓΟΥΣ ΠΡΟ ΤΟΥ ς̄· ΕΤΙ ΠΕΡΙ ΤΩΝ ΕΙΣ ῶς ΚΑΙ ΕΙΣ ψ̄.

ΒΙΒΛΙΟΝ ι΄.

Τὰ εἰς ῡς δισύλλαβα κύρια ἢ προσηγορικὰ ἢ ἐθνικὰ βαρύνεται, Λίβυς κύριον, τὸ δὲ ἐθνικὸν ὁμοφωνεῖ, ἔστι δὲ τριγενὲς Λίβυς Λίβυσσα

νόμενα μὲν ἐπὶ ἐνεργείας τίθενται, προπαροξυνόμενα δὲ ἐπὶ πάθους. Equidem satius duxi ex reliquiis Herodianeis adhibito Arcadio canonem constituere. Initium sumptum est ex Il. Pr. Γ 354, adnotamentum de καρατόμος et καράτομος ex E. M. 215, 1, quem locum iam supra ut Herodianeum in nostrum usum convertimus. Similia servavit etiam Choerob. in Orthogr. 233, 31, Epim. in Psalm. 78, 8. l. 6 annotationem de πρωτοτόκος et πρωτότοκος recepi ex Il. Pr. Ρ 5 cf. Choer. Ep. in Psalm. 167, 9 πρωτότοκος μέν ἐστιν ὁ πρώτως γεννηθείς, πρωτοτόκος δὲ ἡ πρώτη τοκήσασα et An. Ox. II 404, 29. Inde ab οὕτως οὖν sequuntur verba Arcadii paullulum immutata, inter quae recepi μογοστόκος ex Il. Pr. Λ 270, ξεινοδόκος ex Il. Pr. Γ l. c., ἰηδόκος ex Il. Pr. Ο 444 cum verbo δέχομαι. Inde ab l. 11 ἔφαμεν δὲ sunt ex Il. Pr. Λ 270, πρωτόπλοος ex Il. Pr. Μ 26, πολύλαλος ipse ex Arcadii canone superiore apposui; verba μάχεται μέντοι l. 16 usque ad finem sunt ex Il. Pr. Λ 270. l. 19 titulum, qui est in libris περὶ τῶν εἰς ῡς ληγόντων, mutavi secundum indicem singulorum librorum Arcadio praefixum. l. 22 ἢ ἐθνικά, quae verba omittit C, praebent AB. Schmidtius ea in μὴ ἐθνικὰ mutavit inductus Steph. B. Γηλύς — ὀξύνεται δέ; in quo eum falli ostendit magnus numerus gentilium barytonorum, quem ex St. B. apposui, quare puto Γηλύς ab Herodiano diserte exemptum esse. — Pro ἄλδυς, quod C omittit, Schmidt. proponit κάνδυς vel πάλμυς, ego satius duxi unum ex multis a St. B. traditis nominibus in principio exemplorum ponere Λίβυς p. 415, 12. Πόλ-

Λίβυ, Πόλτυς, ἀφ᾽ οὗ Πολτυμβρία ἡ Πόλτυος πόλις, Σῆλυς, ἀφ᾽ οὗ Σηλυμβρία, Ζῆλυς ὁ ποταμός. Βίθυς ὁ Ἄρεος καὶ Σίντης, ἀφ᾽ οὗ Βιθύαι ἔθνος Θρᾴκης, Βλέμυς ἔθνος βαρβαρικὸν Λιβύης ἀπὸ Βλέμυος. Φλέγυς ἔθνος, ὃ καὶ Φλεγύας ἢ Φλεγύης, Γόρδυς Τριπτολέμου παῖς, ἀφ᾽ οὗ Γορδυαία χώρα Περσική, Γόρτυς ἥρως, ἀφ᾽ οὗ Γόρτυν πόλις Κρήτης, Δίρφυς ὄρος Εὐβοίας, ὡς Εὐφορίων, Κάπυς ὁ πατὴρ Ἀγχίσου. Λίγυς ἔθνος Ἰβηρικόν, Μάζυς ἔθνος Λιβύης νομαδικόν. Ἑκαταῖος περιηγήσει. εἰσὶ δὲ καὶ ἕτεροι Μάξυες καὶ ἕτεροι Μάχλυες. Μάκρυς ἔθνος Λιβύης. Ῥιανὸς δὲ Μάκριας διὰ τοῦ ῑ τούτους φησί. Μίλυς ἔθνος. Μίλυες γὰρ καὶ Μιλύαι καλοῦνται οἱ πρότερον Σόλυμοι, ὡς Τιμαγένης ἐν πρώτῳ βασιλέων. Σάλλυς ἔθνος Λιγυστικὸν πολεμῆσαν Ῥωμαίοις, ὡς Χάραξ ἐν δεκάτῳ χρονικῶν. βότρυς· ἔστι δὲ καὶ πόλις Φοινίκης. Ἕρπυς, Ἅλυς, Φόρκυς, μάρτυς, ὃ ἡ τῶν Αἰολέων διάλεκτος διὰ τοῦ ρ̄ προφέρει. τὸ ἰχθῦς προσηγορικὸν περιεσπάσθη ἀλόγως. οὐδὲν γὰρ εἰς υς λῆγον ἀρσενικὸν ὑπὲρ μίαν συλλαβήν, μὴ ἔχον ὑποκοριστικὴν ἔννοιαν, περισπᾶσθαι θέλει. προσέθηκα δὲ μὴ ὑποκοριστικὴν ἔννοιαν διὰ τὸ ἀπφῦς. δοκεῖ γὰρ παρὰ τὸ ἀπφάς παρωνομάσθαι. ἔστι δὲ καὶ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύσου· ὧν οὐδὲ αἱ γενικαὶ παρόμοιοι τῷ προκειμένῳ· ἰχθύος γὰρ λέγεται· οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεσθαι. μόνον δὲ διὰ δύο δασέων ἐκφέρεται ὁ ἰχθῦς, τῶν ἄλλων εἰς υς ληγόντων οὐχ οὕτως ἐχόντων, πρόσκειται τῷ κανόνι ἀρσενικὸν διὰ τὸ ὀφρῦς περισπώμενον θηλυκόν, ἔτι δὲ καὶ τὸ ὀσφῦς. ὥστε εἰ περισπᾶται τὸ ἰχθῦς, ἔστω θηλυκόν· εἰ δὲ ἀρσενικόν ἐστιν, ὀφείλει ὅμοιον εἶναι τῷ στάχυς, βότρυς. ἀλλ᾽ ἐξωμοιώθη τοῖς μονοσυλλάβοις εἰς υς τῷ μῦς καὶ σῦς. τὸ δὲ Γηλύς ἔθνος Παρθίας ὀξυνόμενον σημειῶδες. τὰ γὰρ εἰς λυς λήγοντα καθαρὸν ἔχοντα τὸ ῠ συνεσταλμένον βαρύνεσθαι θέλει, θῆλυς, φόλυς «φόλυες κύνες» παρὰ τῷ Ἀντιμάχῳ, ἔπηλυς, νέηλυς, ὄλολυς τὸ προσηγορικὸν εἴτε τὸ κύριον, Ζῆλυς ὁ ποταμός, ἔγχελυς, μόλυς. σημειώδη ἄρα τὸ πολύς κοινὸν καὶ τὸ Γηλύς ἀπεξενωμένον. πρόσκειται δὲ καθαρὸν διὰ τὸ ἀμβλύς, συνεσταλμένον δὲ τὸ ῠ διὰ τὸ ἰλύς.

τυς explevi ex St. B., Σῆλυς addidi ex St. B. 446, 16 coll. 562, 9, Ζῆλυς ex Herod. Mon. 33, 1. — Βίθυς — Σάλλυς recepi ex St. B., βότρυς ex eodem explevi, μάρτυς addidi ex Herod. cf. supra p. 47, 4. — l. 15 οὐδὲν γὰρ usque ad l. 25 ὅμοιον εἶναι τῷ στάχυς, βότρυς sumpsi ex Mon. 31, 5. ἀλλ᾽ ἐξωμοιώθη — σῦς ipse addidi secutus Arcadium, qui habet ὥσπερ τὸ μῦς, σῦς, ex Eustath. 1859, 16, qui dicit Herodianum docuisse: ἓν μόνον ὑπὲρ μίαν συλλαβὴν ὁ ἰχθῦς ὁμοίως ἐκλίθη τοῖς προειρημένοις (sc. τοῖς μονοσυλλάβοις). — τὸ δὲ Γηλύς — ὀξυνόμενον σημειῶδες formavi propter St. B. s. v. — Canonem de vocabulis in λυς petivi ex Mon. 32, 33, ubi de πολύς agitur, in quo loco Γηλύς quidem non memoratur, sed hoc ideo factum arbitror, quod ὄνομα ἀπεξενωμένον, πολύς vero usu tritum est; nam inde quod St. B. Quadratum pro teste affert, non concluserim Herodiano hoc nomen ignotum fuisse, sed ex eo, quod diserte ὀξύνεται δέ dicitur, coniectari potest ab Herodiano nomen allatum fuisse, cui quum testimonium non additum esset, St. B. de suo adiecit. Sic etiam Meinekius locum intellexit, qui in annotatione diserte ad verba ὀξύνεται hanc Herodiani admonitionem esse pronunciat.

Τὰ εἰc ῡc ἁπλᾶ ἐπιθετικὰ διὰ τοῦ ε̄ κλινόμενα τριγενῆ διcύλλαβα ὄντα ὀξύνεται, ἠΰc, ἡδύc, ταχύc, βραδύc, ὠκύc, πολύc «πολέων κεκορήμεθ' ἀέθλων» (ψ 350). τὸ δὲ ἥμιcυc προπαροξύνεται. οὐ γὰρ διcύλλαβον. καὶ τὸ θῆλυc προπεριcπᾶται «θῆλυc ἐέρcη» (Od. ε 467). «Ἥρη θῆλυc ἐοῦcα» (Il. Τ 97)· οὐ γὰρ τριγενέc· οὐ δύναται γὰρ εἶναι ἀρcενικὸν τὸ τῆc τῶν γυναικῶν φύcεωc κατηγοροῦν. καὶ τὸ πρέcβυc βαρύτονον. μονογενὲc ὄν. καὶ τὸ Λίβυc. διὰ γὰρ τοῦ ῡ κλίνεται.

Πᾶν εἰc ῡc λῆγον cύνθετον ἐπιθετικὸν βαρύνεται, ἔπηλυc, νέηλυc, πολύδακρυc, μελάνοφρυc.

Τὰ εἰc ῡc ἀρcενικὰ ὑπερδιcύλλαβα βαρύνεται, ἥμιcυc, πέλεκυc, Ῥαδάμανθυc, Πάλαμυc. ἔcτι δὲ ὄνομα βαcιλέωc, ὄλολυc, ἄcταχυc. cεcημείωται τὸ ἐλαχύc ὁ ἐλάχιcτοc ὀξυνόμενον. ὀξύνεται δέ, ἐπεὶ τὰ εἰc ῡc ἔχοντα οὐδετέρου παραcχηματιcμὸν παραληγόμενα τῷ ᾱ ὀξύνονται οἷον βραδύc, ταχύc, πραΰc. τὴν οὖν ὀφειλομένην προπαροξύτονον τάcιν ἐν τῷ θηλυκῷ ἀνεδέξατο «νῆcοc ἔπειτ' ἐλάχεια» (Od. ι 116).

Τὰ εἰc ῡc θηλυκὰ cυνεcταλμένον ἔχοντα τὸ ῠ καὶ διὰ τοῦ δοc κλινόμενα ὀξύνεται, χλαμύc, πηλαμύc, κροκύc, Καινύc νῆcοc πληcίον Πελωριάδοc τῆc κατὰ Cικελίαν ἄκραc, πρὸc δύcιν νεύουcα. τὰ μέντοι μὴ διὰ τοῦ δοc κλινόμενα βαρύνεται, γένυc, πίτυc, χέλυc, γῆρυc, ἀτράφαξυc εἶδοc λαχάνου, ἄμαξυc, κόρυc, κῶμυc, ἔγχελυc· οἱ δὲ Ἐγχελεῖc ἔθνοc Ἰλλυρικὸν ἢ ἀπὸ τοῦ Ἐγχελῆc ἢ ἀπὸ τοῦ Ἐγχελεύc. λέγεται καὶ Ἐγχελέαι ἀπὸ τοῦ Ἐγχελέηc ἢ Ἐγχελέαc. Μῶλυc Λίβυccα πόλιc. Ἑκαταῖοc περιηγήcει Λιβύηc. Κῶβρυc πόλιc Θρᾴκηc. Θεόπομποc Φιλιππικῶν ἐνάτῳ. Αἶγυc πόλιc Λιγυcτική, ὡc Εὐφο-

---

l. 1 τριγενῆ addidi ex Ep. I 147, 14, ad πολύc verba Homerica adieci ex Ep. Cr. I 341, 21; — ad ἥμιcυc apposui οὐ γὰρ διcύλλαβον propter canonis formationem; ad θῆλυc versus Homericos apposui ex Il. Pr. Ε 269 et verba οὐ γὰρ τριγενέc· — κατηγοροῦν ex Ep. Cr. I 147: τὰ εἰc ῡc τριγενῆ διcύλλαβα ὀξύνεται· τὸ θῆλυc οὐκ ἀντίκειται· οὐ δύναται γὰρ εἶναι τὸ ἀρcενικὸν τῆc τῶν γυναικῶν φύcεωc κατηγοροῦν. ὥcτε οὐκ ἄντικρυc ἀντιπίπτει τὸ Λίβυc καὶ πρέcβυc μονογενῆ ὄντα. καὶ τὸ μὲν Λίβυc διὰ τοῦ ῡ κλίνεται Λίβυοc, τὸ δὲ πρέcβυc διὰ τοῦ ε̄. Hinc explevi πρέcβυc verbis μονογενὲc ὄν et Λίβυc addidi cum verbis διὰ γὰρ τοῦ ῡ κλίνεται, nam hanc causam ab Herodiano prolatam fuisse, concludi potest ex St. B., qui tria genera Λίβυc Λίβυccα Λίβυ diserte profert.
l. 8 cf. E. M. 246, 11. l. 11 Πάλαμυc ex Choer. Dict. 232, 3 recepi, ὄλολυc ex Mon. 32, 35, ἄcταχυc ex Il. Pr. Θ 178 et Ep. Cr. I 85, 5: καθόλου τὰ εἰc ῡc λήγοντα ἀρcενικὰ ὑπὲρ δύο cυλλαβὰc προπαροξύνεcθαι θέλει ἁπλᾶ τε καὶ cύνθετα, πέλεκυc, ἥμιcυc, δίπηχυc καὶ τἄλλα. ταύτῃ οὖν καὶ τὸ ἄcταχυc ἅμα τῷ πλεοναcμῷ προπαροξύνεται· τὸ ἐλαχύc ὑπὲρ δύο cυλλαβὰc ὂν ὀξύνεται· ὅθεν οὐκ ἠκολούθηcεν αὐτῷ τὸ θηλυκὸν ἐλάχεια, προπεριεcπάcθη γὰρ ἂν «νῆcοc ἔπειτ' ἐλάχεια» (Od. ι 116). Ep. Cr. I 256, 19: τὰ εἰc ῡc ὑπὲρ δύο cυλλαβὰc cυcτέλλοντα τὸ ῡ προπαροξύνεται οἷον Λεύκοφρυc, ἥμιcυc, ἀτράφαξυc, πέλεκυc· οὕτωc οὖν καὶ ἔλαχυc ὤφειλεν εἶναι· ἀλλὰ ἐπεὶ τὰ εἰc ῡc ἔχοντα οὐδετέρου παραcχηματιcμὸν παραληγόμενα τῷ ᾱ ὀξύνονται οἷον βραδύc, ταχύc, πραΰc, τούτου χάριν καὶ τὸ ἐλαχύc ὀξύνεται· τὴν οὖν κεχρεωcτημένην παροξύτονον τάcιν ἐν τῷ θηλυκῷ ἀνεδέξατο, ex quo loco supplevi annotationem de ἐλαχύc pro κεχρεωcτημένην substituens vocem Herodianeam ὀφειλομένην. l. 18 κροκύc recepi ex Choer. Dict. 358, 22, Καινύc ex St. B. ἄμαξυc — ἔγχελυc ex Choer. 357, 26; Ἐγχελεῖc ex St. B., unde etiam reliqua usque ad finem.

ρίων. Πάτραcυc πόλιc Ποντικὴ ὡc Ἑκαταῖοc Ἀcίᾳ. Πίναμυc πόλιc Αἰγύπτου.

Τὰ εἰc ῡc πάντα cύνθετα cυνεcταλμένον ἔχοντα τὸ ῡ προπαροξύνεται, cύνοφρυc, λεύκοφρυc καὶ Λεύκοφρυc· οὕτω γὰρ ἐκαλεῖτο ἡ Τένεδοc, κάλλιχθυc, δίβραχυc, ἀρcενόθηλυc, δίπηχυc, ἔπηλυc, νέηλυc.

Τὰ εἰc ῡc θηλυκὰ ἐκτείνοντα τὸ ῡ ὀξύνεται, πληθύc, ἐδητύc, ὀϊζύc, ἐρινύc, ἰξύc ἡ ῥάχιc, ἰcχύc, ἰλύc, κλιτύc, ἀλητύc, ῥυcτακύc, ἀγλύc cημειῶδεc κατὰ κλίcιν· διὰ γὰρ τοῦ θοc ἐκλίθη, οὐ διὰ καθαροῦ τοῦ ōc. τὸ δὲ νηδύc ποιητικῇ ἀδείᾳ cυcτέλλεται ὡc παρὰ Καλλιμάχῳ (h. Dian. 160) «ἔτι οἱ πάρα νηδὺc ἐκείνη» καὶ παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (356) «καὶ νηδὺν ἐξαμβλοῦμεν ὡc αὐτὸc λέγει». cεcημείωται ἐν τοῖc θηλυκοῖc τὸ ὀφρῦc καὶ ὀcφῦc ἡ ῥάχιc περιcπώμενα.

Τὰ εἰc ῡc ὑποκοριcτικὰ περιcπῶνται, καμμῦc, κλαυcῦc, λαρδῦc, Διονῦc, ἀπφῦc.

Εὑρίcκεται οὖν τὰ εἰc ῡc ὑπὲρ μίαν cυλλαβὴν περιcπώμενα ὑποκοριcτικὰ πάντα πλὴν τοῦ ὀcφῦc καὶ ὀφρῦc καὶ ἰχθῦc. τὸ δὲ ἰξύc, εἰ καὶ ἐν τῷ ὀνοματικῷ παρεθέμεθα ὡc περιcπώμενον ἀλόγωc ὥcπερ τὸ δρῦc καὶ μῦc καὶ cῦc, ἀλλ' οὖν ὀξύνεται.

---

l. 4 Λεύκοφρυc proprium accessit ex St. B., ἀρcενόθηλυc — νέηλυc ex Choer. Dict. 63, 1 coll. 233, 8. l. 8 ἰcχύc et ἰλύc ex Il. Pr. Φ 318. κλιτύc — ἀγλύc sumpsi ex Ep. Cr. I 164, 31 et Choer. Dict. 359, 17. νηδύc exemplis Callimachi et Euripidis explevi ex Choer. Dict. 359, 1. De canone cf. Io. Alex. 8, 32: ἐν τοῖc εἰc ῡc περιcπᾶται τὸ ὀcφῦc, ὀφρῦc, καὶ ἀρcενικῶc τὸ ἰχθῦc παραλόγωc. Eustath. 1859, 10: φηcὶν Ἡρωδιανόc, ὅτι τὸ ῡ ἐπ' εὐθείαc ἐκτεινόμενον φιλεῖ cυcτέλλειν τὰc ἄλλαc πτώcειc, οὐ μόνον ἐν τῷ πῦρ πυρόc, ἀλλὰ καὶ ἐν τῷ ἰχθύοc, δρυόc, ἰcχύοc [Il. Pr. l. c. ἰλύοc: τὸ ῡ ἐκτέταται διὰ τὸ μέτρον· τὸ γὰρ ἀκόλουθόν ἐcτιν ἰλύοc ὡc ἰcχύοc]. ὅτι δὲ οὐ μόνον δρῦc καὶ τὰ κατ' αὐτὸ περιcπῶνται, ἀλλὰ καί τινα τῶν ὑπὲρ μίαν cυλλαβὴν δηλοῖ ὁ αὐτὸc γράψαc οὕτωc· τὰ εἰc ῡc ὀξύτονα θηλυκὰ cυcτέλλοντα τὸ ῡ διὰ τοῦ δ̄ κλίνονται, κροκύδοc, χλαμύδοc. τὰ δὲ ἐκτεταμένον ἔχοντα τὸ ῡ διὰ καθαροῦ τοῦ ōc ὀϊζύοc Ἐρινύοc. τὰ δὲ περιcπώμενα καὶ αὐτὰ καθαρεύει ὀcφύοc δρύοc ὥcτε περιcπᾷ καὶ τὸ ὀcφῦc καὶ τὸ ὀφρῦc· ἐν ἄλλοιc δὲ δοκεῖ ὅμοιον τόνον ἐπιτιθέναι καὶ τῇ τοῦ ἰχθύοc εὐθείᾳ· εἰπὼν γὰρ ἐν τῷ περὶ τῶν εἰc ῡc περιcπωμένων μονοcυλλάβων ἀρcενικῶν ὡc φυλάττουcι τὸ ῡ ἐν τῇ κλίcει ἐπάγει, ὅτι ἓν μὲν μόνον ὑπὲρ μίαν cυλλαβὴν ὁμοίωc ἐκλίθη τοῖc προειρημένοιc. l. 14 de deminutivis in ῡc conferendus est Herod. Mon. 31, 8, quem locum supra inserui, eadem vocabula profert Choer. Dict. 232, 22; Io. Al. 8, 34: Διονῦc καὶ ἀπφῦc ὑποκοριcτικώτερα ὄντα καὶ αὐτὰ περιεcπάcθη. l. 17 Arcadius h. l. habet: τὸ δὲ ἰξῦc ποτὲ μὲν ὀξύνει ὁ Ἡρωδιανόc, ποτὲ δὲ περιcπᾷ. τὸ δρῦc καὶ μῦc καὶ cῦc περιcπῶνται. Haec duce Lehrsio Herod. p. 105 transformavi. Choer. enim Dict. 232, 56 tradit: τὸ γὰρ ἰξύc, cημαίνει δὲ καὶ αὐτὸ τὴν ῥάχιν (sc. ut ὀcφῦc), εἰ καὶ παρατέθειται ὁ Ἡρωδιανὸc ἐν τῷ Ὀνοματικῷ ὡc περιcπώμενον, ἀλλ' οὖν οὐ περιcπᾶται, ἀλλ' ὀξύνεται, ὥc φηcιν ἐν τῇ καθόλου. Lehrsius ab Herodiano in Catholica perispasin adoptatam esse suspicatur, quia natura sua monosyllabum putaverit ξῦc a ξύω; sed scrupulum mihi iniiciunt Schol. BEQ ad Od. ξ 231, E. M. 472, 6 ἰξύc οἷον ἀξύc τιc οὖcα ἣν οὐχ οἷόν τε ξύειν καὶ κνήcαcθαι τῇ χειρί, quae Herodiani originatio mihi videtur, praesertim quum in E. Or. 77, 18 pariter ἰξόc ab ἀξόc per tropen vocalis ᾱ in ῑ ortum existimaverit. Atque quum etiam voc. ἰχθῦc, in quod pleonasmi ne suspicio quidem cadit, perispasin similitudine monosyllaborum μῦc et cῦc excuset ap. Arcad. 91, 11, opinor eum etiam ἰξῦc non quod primitus monosyllabum esset, sed contra analogiam ἀλόγωc circumflexum monosyllaborum recepisse in Onoma-

Τὰ εἰς αις πολυσύλλαβα Αἰολικῶς λεγόμενα βαρύνεται, Ἀτρεΐδαις ἀντὶ τοῦ Ἀτρείδης, Ὀρέσταις, μέλαις ἀντὶ τοῦ μέλας, Θόαις, τάλαις καὶ τὰ σύνθετα ἄπαις, εὔπαις, ἀνδρόπαις, ὁμόδαις. καθόλου γὰρ ἡ αις κατάληξις ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, παῖς, σταῖς, καλαῖς σοφαῖς, μεγάλαις ἀρίσταις χωρὶς τοῦ δαίς. τοῦτο γὰρ ὀξύνεται.

Τὰ εἰς εις πολυσύλλαβα ὀνόματα κοινολεκτούμενα παροξύνεται. ταῦτα δὲ παραλήγεται ἢ τῷ ᾱ, ὡς ἔχει τὸ ἀντάεις, αὐλάεις, σκιάεις ἢ τῷ η̄ ὡς φωνήεις, αὐδήεις, παχνήεις, τιμήεις, δαφνήεις, Κυπαρισσήεις πόλις Μαγνησίας. Ὅμηρος «Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον» (Β 593), φθογγήεις, τελήεις, ἀμφιγυήεις, θυήεις «βωμός τε θυήεις (Θ 48) ἢ κατὰ συστολὴν ποιητικὴν τὸ ε̄ ἠχέεις, βρωμέεις, ἢ τὸ ο̄, ὥσπερ ἀστερόεις, ἁρματόεις, ἀνεμόεις, αἱματόεις, δροσόεις, ὑδατόεις, πυρόεις, Σιμόεις, ἐρόεις, κερόεις, τειχιόεις· ἔστι δὲ καὶ ἐθνικὸν τῆς Τειχιοέσσης καὶ φρούριον πλησίον τῆς Τραχῖνος. Ταυρόεις πόλις Κελτική, Μασσαλιητῶν ἄποικος. Ἀρτεμίδωρος ἐν πρώτῳ γεωγραφουμένων φησὶν ὅτι ταυροφόρος ἦν ἡ ναῦς ἡ διακομίσασα τοὺς τὴν πόλιν κτίσαντας, οἳ ἀπορριφέντες ἀπὸ τοῦ στόλου τῶν Φωκαέων καὶ προσενεχθέντες αὐτόθι ἀπὸ τοῦ ἐπισήμου τῆς νεὼς τὴν πόλιν ὠνόμασαν. Ὀπόεις πόλις Λοκρῶν τῶν Ἐπικνημιδίων. Μαλόεις Ἀπόλλων ἐν Λέσβῳ καὶ ὁ τόπος τοῦ ἱεροῦ Μαλόεις ἀπὸ Μήλου τῆς Μαντοῦς, ὡς Ἑλλάνικος ἐν Λιβυκῶν πρώτῳ. σκιόεις, τερμιόεις. ἢ τὸ ω̄ ὡς εὐρώεις, κητώεις, ὠτώεις, κηώεις. ὅθεν τὸ χαριτόεις παρὰ Ἀνακρέοντι ἀναλογώτερόν ἐστι τοῦ χαρίεις παραληγομένου τῷ ῑ. τὸ δὲ «ὑγίεντα δ' εἴ τις ὄλβον» (Pind. Ol. V 54) ὁ μὲν Ἀρίσταρχος ἀναγινώσκει ὀξύτονον τὴν παραλήγουσαν ἀντὶ τοῦ ὑγιαίνοντα, τινὲς δὲ ὡς χαρίεντα. τὸ δὲ ἀντήρεις, ὃ λέγεται πᾶν, εἰς ὃ ἐρείδεταί τις, ἐστὶ θηλυκόν. γράφεται

---

tico pronunciasse; praeoptasse autem videtur in Catholica oxytonesin propter analogiam reliquorum in υς plurisyllaborum. — Hinc paullulum a Lehrsio in verbis constituendis discessi. l. 1 post Αἰολικῶς inserui λεγόμενα et pro ὀξύνεται scripsi βαρύνεται. — Ἀτρεΐδαις ἀντὶ τοῦ Ἀτρείδης, Ὀρέσταις intacta reliqui, quamquam haec transmutatio nulla nisi hac auctoritate nititur et An. Ox. III 238, 24 in loco, qui quaedam Herodianea continet, ubi afferuntur μέλαις Θόαις Ὀρέσταις. — μέλαις — τάλαις adieci ex Choer. Dict. 98, 24; ὁμόδαις ex An. Ox. l. c. Canonem generalem de exitu αις oxytoneseos experte ex Choer l. c., qui certe hoc ex Herodiano deprompsit, omisi autem, quod idem dicit: τὸ δὲ Αἴας Αἴαις οὐ λέγουσι διὰ τὴν ἐπαλληλίαν τῆς αι διφθόγγου· ηὑρίσκετο γὰρ ἀλλεπάλληλος ἡ αι δίφθογγος καὶ ἐκ τούτου κακόφωνος ἐγένετο ἡ λέξις non ob id, quod eiusmodi placitum ab Herodiano abhorreat licet Lob. auctore Parall. p. 21 usu non comprobetur, sed ut reservarem fragmentis περὶ ὀνομάτων. Caeterum Arcadii verba τὸ δὲ παῖς περισπᾶται, καὶ τὸ σταῖς. τὸ δὲ δαίς ὀξύνεται ex hoc ipso canone generali excerpta sunt. l. 6 in initio canonis adieci ὀνόματα, quod propter oppositum αἱ δὲ μετοχαὶ hic deesse non potest. Tum adhibui Mon. 14, 15 χαρίεις, Choer. Dict. 59, 21, Theogn. 47, 25, Schol. ad Odyss. δ 1, Ep. Cr. I 408, 25; E. M. 34, 34, An. Ox. II 328, 23. Propria Κυπαρισσήεις, Τειχιόεις, Ταυρόεις, Ὀπόεις, Μαλόεις sumpsi ex St. B. l. 24 τὸ δὲ ὑγίεντα adieci ex Schol. ad Pindar. l. c., ἀντήρεις inserui ex Choer. Orth. 172, 5 et 173, 1 coll. Epim. I 283, 26, E. M. 112, 9, Eustath. 903, 50, Choer. Ep. in Psalm. 60, 6. regulam de

δὲ κατὰ τὴν παράδοσιν διὰ τῆς ει διφθόγγου καὶ βαρύνεται, τῶν ἄλλων θηλυκῶν ὑπὲρ μίαν συλλαβὴν κοινῶν τὴν ει δίφθογγον ἀποστρεφομένων καὶ ὀξυνομένων ὡς ῥανίς βολίς θυρίς. αἱ δὲ μετοχαὶ ὀξύνονται τυφθείς, τυπείς, δαρείς. τὸ δὲ κτείς ὀξύτονον ὡς μονοσύλλαβον καὶ τὸ κλείς. τοῦτο δὲ ἐν τῇ συνθέσει βαρύνεται οἷον κατάκλεις. καὶ οἱ Βοιωτοὶ τὸ η τῶν εἰς ης εἰς ει τρέποντες ὀξύνουσι τὰ ὀξύτονα, εὐγενείς ἀντὶ εὐγενής, ἀγενείς ἀντὶ ἀγενής. τὸ δὲ οὐδείς δύο μέρη λόγου εἰσὶ τό τε οὐ καὶ τὸ δείς. οὐδὲ γὰρ ἔστι σύνθετον. εἰ γὰρ ἦν σύνθετον, ἤμελλε πρὸ μιᾶς ἔχειν τὸν τόνον. πᾶν γὰρ ὄνομα μονοσύλλαβον συντιθέμενον ἀναβιβάζει τὸν τόνον παῖς εὔπαις, χθών αὐτόχθων, Θρᾷξ Σαμόθρᾳξ χωρὶς τοῦ πτώξ πολυπτώξ. δηλοῖ δὲ καὶ ἡ γενικὴ ὀξυνομένη. εἰ γὰρ ἦν ἐν συνθέσει, ἤμελλεν ἡ γενικὴ βαρύνεσθαι. πᾶσα γὰρ γενικὴ ὑπὲρ δύο συλλαβὰς εἰς ος λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν χωρὶς τοῦ γυναικός καὶ θυγατρός.

Τὰ εἰς αυς πολυσύλλαβα βαρύνονται, χιλιόναυς, ὠμόγραυς. τὰ δὲ ἁπλᾶ περισπῶνται γραῦς, ναῦς.

Τὰ εἰς ευς κοινῶς μὲν ὀξύνεται, βασιλεύς, Πηλεύς, Τυδεύς, ἀριστεύς, Περσεύς, Πορθεύς, Πρωτεύς, ἁλιεύς, οἰνεύς, Λυγκεύς, Ἀχιλλεύς, Τηρεύς, Θησεύς, Ὀδυσσεύς. ἔστι καὶ πόλις Ἰβηρίας Ὀδυσσεῖς ἀρσενικῶς. Βρισεύς, Ἀτρεύς. Λεοντεύς, Αἰθιοπεύς, ἐξ οὗ τὸ Αἰθιοπῆας παρ' Ὁμήρῳ (Il. A 423), ἀγυιεύς ὁ τοπίτης. λέγονται καὶ ὀβελίσκοι θεοῖς ἀνειμένοι, ὡς Εὔπολις. λέγεται καὶ κίων ἀγυιεύς εἰς ὀξὺ ἀπολήγων, ὁ πρὸ τῶν θυρῶν ἱστάμενος. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (v. 489) καὶ ὁ Ἀπόλλων ἀγυιεύς τουτέστιν ὁ ἐφόδιος. Μοψοπιεύς, Ἐρετριεύς, Φωκαιεύς, Θεσπιεύς, Ἀλεξανδρεύς, Ἀντιοχεύς, Σελευκεύς, Αἰγιαλεύς. εὑρίσκεται δὲ καὶ αἰγιαλεύς ἐπὶ ἰχθύος. Αἰγικορεῖς, Ἀργαδεῖς φυλαὶ παλαιαί. Αἰθυσσεῖς ἔθνος Λιβυκὸν Μαρμαρίδαις πάροικον, ὡς Ῥιανός. Αἰολεύς. οὕτως λέγονται οἱ τὴν Λέσβον οἰκοῦντες ἀπὸ τῶν Αἰόλου παίδων ὡς Δωριεῖς ἀπὸ τῶν Δώρου. Ἁλιεῖς πόλις Ἀργολικῆς παραθαλασσία καὶ τὸ ἐθνικὸν ὁμοίως. Ἔφορος ἐν τῷ ἕκτῳ «Τιρύνθιοί εἰσιν οὗτοι καὶ ἐξαναστάντες ἐβουλεύοντο οἰκεῖν τινα τόπον καὶ ἠρώτων τὸν θεόν. ἔχρησε δ' οὕτως «ποῖ τυ λαβὼν καὶ ποῖ τυ καθίξω καὶ οἴκησιν ἔχων ἁλιέα τε κεκλῆσθαι». ἐλέγοντο δ' οὕτως διὰ τὸ πολλοὺς τῶν Ἑρμιονέων ἁλιευομένους κατὰ τοῦτο τὸ μέρος οἰκεῖν τῆς χώρας. Ἀντικονδυλεῖς οἱ ἐν Βοιωτίᾳ Κολοίφρυγες, ὡς Ἀριστοφάνης ὁ τοὺς Θηβαίων ὥρους γεγραφώς. Αὐσεῖς ἔθνος Λιβύης. Ἀπολλόδωρος δευτέρᾳ περὶ γῆς καὶ Ἡρόδοτος ἐν τετάρτῃ (c. 180). Γαργαρεῖς ἔθνος, ὃ μίγνυται ταῖς Ἀμαζόσιν, ὡς Στράβων

---

accentu compositi κατάκλεις petivi ex Choer. Orth. 233, 3. — l. 6 pro αὐτά posui ὀξύτονα, quod necesse est propter Λάχης Λάχεις, πένης πένεις. Adnotamentum de οὐδείς accessit ex E. M. 639, 16, ubi Zenobii nomen subscriptum est, quem saepius Herodianum exscripsisse scimus. l. 18 ἀριστεύς — Ἀτρεύς addidi ex Mon. 6, 2, urbe Ὀδυσσεύς ex St. B. apposita. Λεοντεύς, Αἰθιοπεύς ex Il. Pr. N 246 coll. St. B. 23, 6 et 49, 3, reliqua omnia ex St. B.

ια' (p. 504). Γονεῖς πόλις Θρᴀ́κης καὶ οἱ κατοικοῦντες ὁμοίως. Γουνεύς ὁ ἀπόγονος Κύφου, ἀφ' οὗ Γόννοι πόλις Περραιβίας. Διανεῖς ἔθνος Γαλατικόν, Ἐρατοσθένης ἐν δ' Γαλατικῶν. Δωριεῖς — καὶ οἱ Κρῆτες Δωριεῖς ἐκαλοῦντο «Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί (Od. τ 177), περὶ ὧν ἱστορεῖ Ἄνδρων, Κρητὸς ἐν τῇ νήσῳ βασιλεύοντος Τέκταφον τὸν Δώρου τοῦ Ἕλληνος, ὁρμήσαντα ἐκ τῆς ἐν Θετταλίᾳ τότε μὲν Δωρίδος νῦν δὲ Ἱστιαιώτιδος καλουμένης, ἀφικέσθαι εἰς Κρήτην μετὰ Δωριέων τε καὶ Ἀχαιῶν καὶ Πελασγῶν τῶν οὐκ ἀπαράντων εἰς Τυρρηνίαν. Ἐλαιεύς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς Διόνυσος. Διόδωρος δ' Ἐλαιοῦς. Ἑρμοτυμβιεῖς μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῃ. Ἐταιεῖς διὰ διφθόγγου ὡς Διπαιεῖς. ἔστι δὲ πόλις Λακωνική. Ἰμφεῖς ἔθνος προσεχὲς τοῖς Περραιβοῖς. Ἑκαταῖος Εὐρώπῃ «Ἰμφέες, Περραιβοί». Ἰουλεῖς οἱ Ῥωμαῖοι ἀπὸ βασιλέως, ἀφ' οὗ καὶ ὁ μήν, ἢ ἀπὸ Ἰουλίδος. Καφαρεύς ἐπίνειον Εὐβοίας, ὅστις Καθηρεύς ἐκαλεῖτο, ὅτι τοὺς πλέοντας ἐκεῖ καθῄρουν οἱ Εὐβοιεῖς. Λητωεύς δῆμος ἐν Ἀλεξανδρείᾳ, ὡς Τρύφων ἐν τῷ περὶ παρωνύμων, ὅτι παρὰ τὸ Λητῷος κτητικὸν σχηματίζεται. Μαλιεύς πόλις ἐπώνυμος τῶν Μαλιέων ἀπὸ Μάλου τοῦ Ἀμφικτύονος υἱοῦ ἢ Ἀμύρου τοῦ Βοιωτοῦ. Μωριεῖς ἔθνος Ἰνδικὸν ἐν ξυλίνοις οἰκοῦντες οἴκοις, ὡς Εὐφορίων. Ῥοπεῖς ἔθνος, οὗ μέμνηται Φαβωρῖνος ἐν ἐπιτομῇ δ' τῆς Παμφίλης. Σαλγανεύς «μετὰ τὴν Χαλκίδα ἐστὶν ὁ Σαλγανεὺς συνάπτων τῷ Εὐρίπῳ». Σχοινεύς ποταμὸς Ἀρκαδίας ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος. Τομεύς πόλις πρὸς τῇ Ὀδησσῷ. Στράβων ἑβδόμῃ (p. 318). ὠνομάσθη δὲ οὕτως διὰ τὸ Ἄψυρτον τὸν Αἰήτου υἱὸν ὑπὸ Μηδείας καὶ Ἰάσονος ἐν τῇ φυγῇ ἐκεῖ κατατμηθῆναι. Ὑλλεῖς ἔθνος Λιβυρνικόν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Δηϊανείρας. ἔστι δὲ ὡς Φῶκος Φωκεύς, Αἴολος Αἰολεύς, οὕτως Ὕλλος Ὑλλεύς. καὶ Ὑλλεύς ὁ φυλέτης φυλῆς Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων Ὑλλίδος. Χάραξ θ' «καὶ Παμφύλιοι καὶ Ὑλλεῖς». Φελλεύς ὄρος τῆς Ἀττικῆς. τάχα δ' οὐ μόνης τῆς Ἀττικῆς, ἀλλὰ παντός του τόπου ἔχοντος ἐπιπολῆς μὲν πέτραν ὑπὸ ταύτης δὲ γῆν λιπαρὰν πρὸς ἐλαιοφυτίαν. Φηγαιεῖς δῆμος τῆς Πανδιονίδος φυλῆς. Φηγεύς ὁ ἀδελφὸς τοῦ Φορωνέως, ὃς ἔκτισε πόλιν Φήγειαν. Φλυεῖς δῆμος τῆς Κεκροπίδος φυλῆς. Ὠτιεῖς μοῖρα Κυπρίων. Ἔφορος ιη' «Ἀμαθούσιοι δὲ καὶ Σόλιοι καὶ Ὠτιεῖς ἀντέχοντες ἔτι τῷ πολέμῳ». — αἰολικῶς δὲ βαρύνεται· Αἰολέων γὰρ ἴδιον τὸ βαρυτονεῖν, Ἄτρευς, Πήλευς, Ἄρευς παρ' Ἀλκαίῳ.

l. 36 verba Αἰολέων γὰρ ἴδιον τὸ βαρυτονεῖν ex Eustath. 528, 24, ex quo ad Ἄρευς addidi etiam παρ' Ἀλκαίῳ, exempla Ἄτρευς Πήλευς sumpsi ex Herod. in An. Ox. III 422, Favorin. 125, 30 Ἄρης· εὐθεῖα Ὁμήρῳ ἄρρητος ὁ Ἄρευς Αἰολική, ὡς καὶ Ἡρωδιανῷ δοκεῖ. E. M. 189, 46. Canonem generalem de barytonesi Aeolum proponit Choer. 333, 26: πᾶσα λέξις ὑπὲρ μίαν συλλαβὴν παρ' ἡμῖν ὀξυνομένη παρὰ τοῖς Αἰολεῦσι βαρύνεται οἷον Ἀτρεύς Ἄτρευς, σοφός σόφος, χωρὶς τῶν προθέσεων καὶ συνδέσμων· ἐπὶ γὰρ τούτων φυλάττουσι τὴν ὀξεῖαν

Τὰ εἰc ουc πολυcύλλαβα ἁπλᾶ μὲν ὄντα περιcπᾶται, ἁπλοῦc, διπλοῦc, τριπλοῦc, πλακοῦc. Cχοινοῦc Ἀρκαδίαc χωρίον. ἑλώδηc ὢν ὁ τόποc ἀπὸ τῶν ἐν αὐτῷ cχοίνων τὴν προcηγορίαν εἴληφεν· ἐπιπολάζει γὰρ τοῦτο τὸ εἶδοc παρ' Ἕλληcιν ἀπὸ τῶν ἐν τόποιc πλεοναζόντων φυτῶν οἷον Cκιλλοῦc, πόλιc Τριφυλική, Τρεμιθοῦc κώμη Κύπρου ἀπὸ τῶν περὶ τὸν τόπον πεφυκυιῶν τερεβίνθων, ἃc Κύπριοι τρεμίθουc καλοῦcιν. ἄλλοι δὲ φαcὶν ὅτι ἀποβάcηc Ἀφροδίτηc εἰc τὸν τόπον διὰ τὴν παρουcίαν τῆc δαίμονοc ὑπὸ τρόμου διαcαλευθῆναι, διὸ καὶ Τρεμιθοῦντα κληθῆναι. — Δαφνοῦc Φωκικὴ πόλιc — ἔcτι καὶ δῆμοc πληcίον τῆc Κῶ ὁ Δαφνοῦc λεγόμενοc — Cελινοῦc πόλιc Cικελίαc ἀρcενικῶc καὶ θηλυκῶc λεγομένη — Φοινικοῦc πόλιc Κρήτηc· ἔcτι καὶ νῆcοc πρὸc τῇ Λυκίᾳ· ἔcτι καὶ Φοινικοῦc λιμήν. Θουκυδίδηc ὀγδόῃ (c. 34). Φυκοῦc πόλιc Λιβύηc· κεῖται δὲ ὁ Φυκοῦc κατὰ τὸ Ταίναρον τῆc Πελοποννήcου. Θριοῦc πόλιc πάλαι τῆc Ἀχαΐαc, νῦν δὲ τῆc Ἠλείαc ὅμοροc Πάτραιc. ἄλλοι δὲ ἀπὸ Θριοῦντοc Ἀθηναίου, ὃν Θηcεὺc ἔπεμψε μετὰ cτρατιᾶc cυμμαχήcειν Ἡρακλεῖ. Μυρικοῦc πόλιc καταντικρὺ Τενέδου καὶ Λέcβου τῆc Τροίαc. Ἑκαταῖοc «εἰc Μυρικόεντα τῆc Τρωϊκῆc». Οἰνοῦc πολίχνιον Λακωνικῆc, ὡc Ἀνδροτίων καὶ Δίδυμοc, Πυξοῦc πόλιc Cικελίαc, Ῥιζοῦc πόλιc Θεccαλίαc, Ἀνθεμοῦc πόλιc Μακεδονίαc καὶ Cυρίαc· ἄλλοι δὲ ἀπὸ Ἀνθέμου. ὁμοίωc καὶ Πιτυώδηc, Ἐρικώδηc, Κυπάριccοc πόλιc ἐν Παρναccῷ, ἥν τινεc καὶ Κυπαριccοῦντά φαcι, Θρύον, Ἐλαία. καὶ τῶν Ἀθηναίων δήμων τινὲc ἀπὸ τῶν ἐν αὐτοῖc φυομένων, Ῥαμνοῦc δῆμοc τῆc Αἰαντίδοc φυλῆc, Φηγοῦc δῆμοc τῆc Ἐρεχθηΐδοc φυλῆc, Μυρρινοῦc δῆμοc τῆc Πανδιονίδοc φυλῆc. Διονύcιοc δ' ὁ Τρύφωνοc Μυρινοῦττά φηcιν. Μαραθοῦc καὶ Μαραθών, Ἁγνοῦc δῆμοc τῆc Δημητριάδοc φυλῆc, τινὲc δὲ τῆc Ἀκαμαντίδοc ἀπὸ τῆc ἐν αὐτῷ φυομένηc ἄγνου. Ἀναγυροῦc δῆμοc Ἐρεχθηΐδοc φυλῆc, Ἀχερδοῦc δῆμοc τῆc Ἱπποθοωντίδοc φυλῆc καὶ Ἀχραδοῦc παρ' Ἀριcτοφάνει. Ἐλαιοῦc δῆμοc τῆc Ἱπποθοωντίδοc φυλῆc, ὡc Διόδωροc. Διονύcιοc δὲ Ἐλαιεύc. ἔcτι καὶ Ἐλαιοῦc πόλιc ἐν Ἑλληcπόντῳ· ἔcτι καὶ Ἄργουc Ἐλαιοῦc. Ἔτι καὶ Ἁλιμοῦc δῆμοc τῆc Λεοντίδοc φυλῆc. Καλλίμαχοc δὲ πόλιν ἡγεῖται. Ἀμαθοῦc πόλιc Κύπρου ἀρχαιοτάτη· ἀπὸ Ἀμαθοῦντοc δὲ τοῦ Ἡρακλέουc ἐκλήθη ἢ ἀπὸ τῆc Κινύρου μητρὸc Ἀμαθούcηc. Ψαμαθοῦc πόλιc Λακωνική, Ἀρτεμίδωροc δευτέρῳ γεωγραφουμένων «μετὰ γὰρ τὸ Ταίναρον πόλιc ἐκδέχεται Ψαμαθοῦc». Ὀποῦc πόλιc Λοκρῶν τῶν

τάcιν οἷον ἀνά κατά διά μετά αὐτάρ ἀτάρ ἐκτόc (pro πρόc scripsi)· «ὑπὲρ μίαν cυλλαβήν» διὰ τὰ μονοcύλλαβα, ἐπὶ τούτων γὰρ φυλάττουcι τὴν ὀξεῖαν τάcιν οἷον νύξ Cτύξ· πῶc γὰρ δύνανται τὰ μονοcύλλαβα βαρύνεcθαι; cf. Ahrens de dial. Aeol. p. 10 et supra p. 7, 1. l. 1 ἁπλοῦc addidi ex Choer. Dict. 245, 5, ubi accuratius exponitur haec nomina et propter accentum et propterea quod trigenera sunt, esse simplicia (cf. supra p. 126, 25); ex eodem petivi πλακοῦc, reliqua omnia in ουc ex όειc contracta, quae ab Arcadio omnino omissa sunt, ex St. B. s. vv. — De derivatione nominum urbium a plantis agit St. B. s. Cχοινοῦc, Ἁγνοῦc, Τρεμιθοῦc, unde canonem composui. cf. de his vocabulis Lob. ad Buttm. II 423.

Ἐπικνημιδίων, λέγεται καὶ Ὀπόειϲ. ἔϲτι καὶ Ὀποῦϲ πόλιϲ Ἀχαΐαϲ καὶ τῆϲ Ἠλείαϲ ἄλλη. Ϲιδαροῦϲ πόλιϲ Λυκίαϲ καὶ λιμήν. Μαχαιροῦϲ φρούριον τῆϲ Ἰουδαίαϲ, ὡϲ Ἰώϲηποϲ. Τραπεζοῦϲ πόλιϲ πρὸϲ τῷ Εὐξείνῳ πόντῳ· ἔϲτι καὶ Ἀρκαδίαϲ πόλιϲ Τραπεζοῦϲ ἀπὸ Τραπεζοῦντοϲ παιδὸϲ Λυκάονοϲ, ὡϲ Παυϲανίαϲ ὀγδόῳ (3, 3). ἔϲτι καὶ ἄλλη πληϲίον τοῦ Ἀραβικοῦ κόλπου. Ϲολοῦϲ πόλιϲ Ϲικελίαϲ, ὡϲ Ἑκαταῖοϲ Εὐρώπῃ. ἐκλήθη δὲ ἀπὸ Ϲολοῦντοϲ κακοξένου, ὃν ἀνεῖλεν Ἡρακλῆϲ. Πηλοῦϲ νῆϲοϲ περὶ Χίον. Ὀλοῦϲ πόλιϲ Κρήτηϲ. Ξενίων ἐν τοῖϲ Κρητικοῖϲ. Μυοῦϲ πόλιϲ Ἰωνίαϲ, ὡϲ Φίλων καὶ Ἀρτεμίδωροϲ ἐν α΄ χρονικῶν. Ϲτράβων ιβ΄ (p. 579) «τὸ περὶ Μαγνηϲίαν καὶ Μυοῦντα». Ἰπνοῦϲ χωρίον ἐν Ϲάμῳ. Οἰκοῦϲ Καρίαϲ πόλιϲ. Πεϲϲινοῦϲ πόλιϲ Γαλατίαϲ ἀπό τινοϲ Γάλλου Πεϲϲινοῦντοϲ· τινὲϲ δὲ ἀπὸ πηγῆϲ ῥεούϲηϲ τοῦ λόφου τοῦ ἐν ᾧ ἐτάφη ὁ Μαρϲύαϲ. Ϲιδοῦϲ κώμη Κορίνθου ἢ Μεγαρίδοϲ ἐπίνειον· ἔϲτι καὶ περὶ Κλαζομενὰϲ κώμη καὶ ἄλλη τῆϲ Ἐρυθραίαϲ. Ϲιμοῦϲ καὶ Ϲιμόειϲ, Ϲιποῦϲ πόλιϲ Δαυνίων, Ϲαρνοῦϲ πόλιϲ Ἰλλυρική, Φλιοῦϲ ὁ υἱὸϲ Διονύϲου καὶ Χθονοφύληϲ. Παυϲανίαϲ δὲ Φλίαντα αὐτὸν καλεῖ. ἀπ' αὐτοῦ ἐκλήθη Φλιοῦϲ πόλιϲ Πελοποννήϲου· Φιλητᾶϲ φηϲι

Φλιοῦϲ γὰρ πόλιϲ ἐϲτί, Διωνύϲου φίλοϲ υἱόϲ
Φλιοῦϲ, ἣν αὐτὸϲ δείματο λευκολόφοϲ.

ὠνόμαϲται δὲ παρὰ τὸ φλεῖν, ὅ ἐϲτιν εὐκαρπεῖν. Ὑδροῦϲ φρούριον... ἀρϲενικῶϲ. Θεόπομποϲ τριακοϲτῷ ἐνάτῳ Φιλιππικῶν. Ὑψοῦϲ παῖϲ Λυκάονοϲ καὶ πόλιϲ Ἀρκαδίαϲ, ὡϲ Παυϲανίαϲ ὀγδόῳ (3, 3). Καοῦϲ κώμη τῆϲ ἐν Ἀρκαδίᾳ Τελφουϲίαϲ γῆϲ, Βαιταρροῦϲ κώμη μεγάλη τῆϲ τρίτηϲ Παλαιϲτίνηϲ. Ἱεριχοῦϲ πόλιϲ μεταξὺ Ἱεροϲολύμων καὶ Ἰορδάνου ποταμοῦ. εὕρηται δὲ καὶ δοτικὴ Ἱεριχοῖ ἀπὸ τῆϲ Ἱεριχώ.

Κατὰ τὸν εἰρημένον κανόνα, ὡϲ τὰ εἰϲ ουϲ ἁπλᾶ περιϲπᾶϲθαι θέλει, καὶ τὸ χρύϲεὸϲ καὶ ἀργύρεὸϲ μετὰ τὴν ϲυναίρεϲιν περιεϲπάϲθη χρυϲοῦϲ ἀργυροῦϲ καίπερ ἐπὶ τῷ λόγῳ τῆϲ ϲυναιρέϲεωϲ ἔδει βαρύνεϲθαι· αἱ γὰρ δύο βαρεῖαι εἰϲ βαρεῖαν ϲυναιροῦνται ὡϲ τὸ Δημοϲθένὲοϲ Δημοϲθένουϲ. ὡϲαύτωϲ καὶ τὸ ἀδελφιδὲόϲ ἀδελφιδοῦϲ, θυγατριδὲόϲ θυγατριδοῦϲ, υἱιδοῦϲ, τηθαλλαδοῦϲ διὰ τὸν αὐτὸν κανόνα περιεϲπάϲθηϲαν, καίτοι ἡ βαρεῖα καὶ ὀξεῖα εἰϲ ὀξεῖαν ϲυναιρεῖϲθαι θέλει οἷον ζωόϲ ζώϲ.

Ϲημειῶδεϲ ἄρα τὸ ὀδούϲ παραλόγωϲ ὀξυνθέν. ἀλλ' ἠκολούθηϲε καὶ κατὰ τὸν τόνον καὶ κατὰ τὴν κλίϲιν ταῖϲ μετοχαῖϲ. ὀδούϲ γὰρ ὀδόντοϲ ὡϲ διδούϲ διδόντοϲ. λέγεται δὲ καὶ ὀδών πρὸϲ Ἰώνων.

Τὰ δὲ ϲύνθετα βαρύνεται, Πειρίθουϲ, Ἀλκίνουϲ, εὔπλουϲ, πολύνουϲ, Οἰδίπουϲ, Μελάμπουϲ, ἔυξουϲ, εὔνουϲ, ϲύννουϲ,

l. 27 Arcadius habet nihil nisi nomina ἀδελφιδοῦϲ θυγατριδοῦϲ, quae cum διπλοῦϲ τριπλοῦϲ componit, equidem hunc canonis partem ex Io. Al. 6, 20 explevi, υἱιδοῦϲ τηθαλλαδοῦϲ ex Mon. 21, 35 addidi. cf. Choer. Dict. 247, 5 et 246, 5 et supra p. 10, 17. l. 34 exceptionem de ὀδούϲ composui ex Arcad., Io. Al. 6, 28 et Mon. 21, 35 cf. Choer. Dict. 238, 13. l. 38 Μελάμπουϲ ad Arcadii nomina accessit ex Io. Al. 6, 27; ἔυξουϲ, εὔνουϲ ex Il. Pr. K 373, Ϲκιάπουϲ Ἰάπουϲ ex St. B., ϲύννουϲ,

εὔχρους, Σκιάπους ἔθνος Αἰθιοπικόν, ὡς Ἑκαταῖος ἐν περιηγήσει Αἰγύπτου, Ἰάπους ἔθνος Κελτικὸν πρὸς τῇ Ἰλλυρίᾳ. Διονύσιος ἑκκαιδεκάτῳ. τριόδους, κυνόδους.

Τὰ εἰς ως ἀρσενικὰ περιττοσυλλάβως κλινόμενα καὶ διὰ καθαροῦ τοῦ ος βαρύνονται, ἥρως, Μίνως, πάτρως, μήτρως. Ἄθως, οὗ ἡ κλίσις διττὴ καὶ Ἄθωος καὶ Ἄθω. ἔστι δὲ ὄρος Θρᾴκης ἀπὸ Ἄθω γίγαντος, ὡς Νίκανδρος πέμπτῳ τῆς Εὐρωπείας

καί τις Ἄθω τόσον ὕψος ἰδὼν Θρήϊκος ὑπ᾿ ἄστροις
ἔκλυεν οὐ δηθέντος ἀμετρήτῳ ὑπὸ λίμνῃ,
ὃς ἀναποῦν χείρεσσι δύο ῥίπτεσκε βέλεμνα
ἠλιβάτου προθέλυμνα Καναστραίης πάρος ἄκρης.

εἴρηται δὲ καὶ Ἄθοος ὡς τὸ Κῶς Κόος. λέγεται καὶ κατὰ συναίρεσιν Ἄθους. ἔστι δὲ καὶ Ἄθως πόλις ἐπὶ τῷ Ἄθῳ.

Τὰ εἰς ως ἁπλᾶ διὰ τοῦ τος κλινόμενα, εἰ μακρᾷ παραλήγοι, ἢ μετοχικὰ ὄντα ὀξύνεται, εὐρώς, ἱδρώς, Ἀραρώς. ἔστι δὲ ὄνομα τοῦ υἱοῦ τοῦ Ἀριστοφάνους, ὑποδεδιώς· ἔστι δὲ εἶδος ὀρνέου. εἰ δὲ ἰαμβικὰ ὑπάρχοι διὰ τοῦ τος κλινόμενα, βαρύνεται, γέλως, ἔρως, Νέπως· ἔστι δὲ ὄνομα ὄρους. τὸ δὲ Εἵλως ἀπὸ τοῦ Ἕλως προσθέσει τοῦ ι. Εἵλωτες δ᾿ εἰσὶν οἱ κατοικοῦντες τὴν Μεσσηνιακὴν πόλιν Ἕλος. λέγονται καὶ Εἱλῶται καὶ Ἕλειοι καὶ Ἑλεῖται. οἱ δὲ Λακεδαιμόνιοι πάντας τοὺς δούλους Εἵλωτας καλοῦσιν. λέγονται δὲ Εἵλωτες καὶ οἱ ἐπὶ Ταινάρῳ Σάτυροι.

Τὰ ἀπὸ παρακειμένου συντεθέντα διὰ τοῦ τος κλινόμενα ὀξύνεται ἀπτώς, ἀγνώς. ἔστι δὲ καὶ Ἀγνῶτες ἔθνος Κελτικῆς παρὰ τὸν ὠκεανόν, ὡς Ἀρτεμίδωρος.

Τὰ εἰς ως σύνθετα ἀπὸ τῶν εἰς ως μονοσυλλάβων παροξύνεται, ζώς ἀείζως, χρώς λευκόχρως. τὸ μέντοι ὑποδμώς «Ποσειδάωνος ὑποδμώς» (δ 386) ὀξύνεται ὡς παρέλκουσαν ἔχον τὴν ὑπό.

Τὰ εἰς ως σύνθετα ἀπὸ τῶν εἰς ως πολυσυλλάβων παροξύνεται, ἔρως χρυσέρως, ἱδρώς λυσίδρως. τὸ δὲ δύσερως καὶ φιλόγελως καὶ τὰ τοιαῦτα Ἀττικὰ ὄντα προπαροξύνονται.

Τὰ εἰς ως Ἀττικὰ ὁμοτονοῦσι ἐκείνοις, ἀφ᾿ ὧν ἐσχηματίσθησαν, ναός νεώς, λαός λεώς, κάλος κάλως, Τάλος Τάλως· ἔστι δὲ ὄνομα κύριον, Μενέλαος Μενέλεως, Ἰόλαος Ἰόλεως, Τυνδάρεος Τυνδά-

---

εὔχρους, τριόδους, κυνόδους ex Choer. Dict. 238, 8 et 240, 3, ubi vitiose ἀκλίνους pro Ἀλκίνους scriptum est. l. 5 Ἄθως addidi ex St. B. l. 15 Ἀραρώς pro ἀραρώς scripsi, neque enim de participiis, sed de participialibus agitur, et explevi ex Choer. Dict. 202, 2, indidem pro ὑπερδεδιώς scripsi ὑποδεδιώς et explevi. Νέπως accessit ex Choer. Dict. 65, 17 et 256, 26. Verba προσθέσει τοῦ ι usque ad finem supplevi ex St. B. 269, 15, Choer. Orth. 208, 26 et Dict. 256, 20 et Eustath. 297, 35 οἱ Εἵλωτες οὐ μόνον δουλικοῦ εἰσιν ὀνόματος, ἀλλά κατά τι ἑτεροῖον δηλοῦσιν· ἐν γοῦν τοῖς Ἡρωδιανοῦ εὕρηται, ὅτι Εἵλωτες οἱ ἐπὶ Ταινάρῳ Σάτυροι. De ἱδρώς et εὐρώς cf. Il. Pr. Δ 227. Canon transiit in Ep. Cr. I 210, 1. l. 24 Ἀγνῶτες addidi ex St. B. l. 27 verba Homerica addidi ex Il. Pr. Δ 423. l. 29 pro σύνθετα πολυσύλλαβα ἀπὸ τῶν εἰς ως scripsi σύνθετα ἀπὸ τῶν εἰς ως πολυσυλλάβων. l. 33 κάλως, Τάλως, Μενέλεως, Ἰόλεως

ρεως, ἀξιόχρεος ἀξιόχρεως, ἵλαος ἵλεως, ἀνάπλεως, εὔγηρως, χρυσόκερως. σεσημείωται τὸ ὀρφῶς καὶ λαγῶς. ταῦτα γὰρ οὐκ ἐφύλαξε τὸν τόνον τῶν κοινῶν· τοῦ μὲν γὰρ ὀρφῶς τὸ κοινὸν ὄρφος ἐστὶ βαρυτόνως, τοῦ δὲ λαγῶς ὀξυτόνως λαγός. καὶ ἐν τοῖς εἰς ως ὑπὲρ μίαν συλλαβὴν οὐδὲν περισπᾶται πλὴν τοῦ ὀρφῶς καὶ λαγῶς. τὸ γὰρ τυφῶς καὶ ταῶς καὶ Μανεθῶς ἐστι δικατάληκτα. καὶ γὰρ εἰς ν λήγουσι τυφῶν καὶ ταῶν καὶ Μανεθῶν. τὸ δὲ ταῶς ἀπὸ τοῦ ταός, ὥς τινες βούλονται, οὐκ ἠδύνατο εἶναι, ἐπειδὴ τὸ ταός διὰ τοῦ ος οὐκ ἔστι σύνηθες παρὰ τοῖς Ἕλλησιν. Πάντα δὲ τὰ εἰς ως περισπασθέντα ἄνευ λόγου περιεσπάσθη. τὸ δὲ Τηλεβῶς ἐκ τοῦ Τελεβόας συνῃρέθη.

* Τὰ εἰς ως παρὰ τοῖς Ἀθηναίοις εὑρεθέντα μὴ ἔχοντα προϋποκείμενον κοινὸν οἷον κορώνεως, φιβάλεως, δαμαρίππεως, χελιδώνεως (ἔστι δὲ εἴδη φυτῶν), ἱέρεως ὁ ἱερεύς πάντα προπαροξύνονται.

Τὰ εἰς ως Περσικὰ ἢ Αἰγύπτια παροξύνεται, Φάργως, Ἰνάρως ὄνομα βασιλέως, Παραμίζως ὄνομα εὐνούχου, Σαβάκως. τὸ δὲ Μάννεως χώρα συνεξωμοιώθη τοῖς Ἀττικοῖς οἷον Μενέλεως.

Τὰ εἰς ως θηλυκὰ πολυσύλλαβα βαρύνεται μέν, ὅσα βραχείᾳ παραλήγει, Κέως, Τέως πόλις μέση Ἰωνίας, ὡς Ἡρόδοτος πρώτῃ (c. 142). ἐκλήθη δὲ ἀπὸ τῆς Ἀθάμαντος θυγατρὸς Ἀρᾶς. σκοπουμένου γὰρ τοῦ Ἀθάμαντος ἔνθα ἱδρύσει τὸν λαόν, ἀθύρουσα οἷα δὴ παῖς ἐκ λίθων οἰκίαν δειμαμένη ἔλεγεν «ἕως σὺ χῶρον ἐσκόπεις, τέως ἐγὼ πόλιν σοι ἐδειμάμην». καὶ διὰ τοῦτο ἡ πόλις οὕτως ὠνομάσθη. ἔστι καὶ ἑτέρα πόλις ἐν Δυρβαίοις τῆς Σκυθίας, ἐν ᾗ λέγουσι λίμνην ἰχθύων ἔχουσαν πλη-

---

ex Choer. Dict. 261, 5, Τυνδάρεως ex Theogn. 97, 27, ἵλεως ex Choer. 260, 1, reliqua omnia usque ad χρυσόκερως ex eod. p. 65, 34 accesserunt. Pro Arcadii verbis τὸ δὲ λαγῶς καὶ ὀρφῶς περισπῶνται, καὶ ὁ τυφῶν καὶ ταῶν posui σεσημείωται τὸ ὀρφῶς — ὀξυτόνως λαγός l. 4 ex Choer. Dict. 260, 27, quae habet etiam E. M. 635, 36 addens: ὡς Ἡρωδιανός φησι, ὅτι ἐν τοῖς — λαγῶς, verba τὸ γὰρ τυφῶς usque ad Μανεθῶν supplevi ex Io. Al. 9, 1. Verba τὸ δὲ ταῶς — παρὰ τοῖς Ἕλλησιν ex Choer. 300, 26, ubi: ἐπειδή, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου κτλ. — Πάντα δὲ usque ad finem ex Io. Al. 9, 2. Caeterum Io. Al. cum ὀρφῶς λαγῶς ut perispomenon componit Ταλῶς, quod Choerob. diserte barytonon dicit atque Herod. ap. E. M. non eximit, fortasse Τηλεβῶς scribendum est, ad quod paullo post recurrit Io. Al. l. 11 hunc canonem adieci ex Choer. 261, 20.
l. 14 Ἰνάρως explevi ex Choer. l. c, Παραμίζως et Σαβάκως ex eodem addidi Μάννεως ex eodem et St. B. s. v. De accentu Choerob. aliter tradit atque Arcadius: εἰσὶ δὲ καὶ Περσικὰ ὀνόματα καὶ Αἰγύπτια εἰς ως λήγοντα, ἅτινα τὴν αὐτὴν κλίσιν ἐπιδέχονται τοῖς εἰς ως Ἀττικοῖς. οὐ μέντοι προπαροξύνονται κατὰ τὴν εὐθεῖαν ὥσπερ οὐδὲ ἐν ταῖς ἄλλαις πτώσεσιν· ἔστι γὰρ Ἰναρῶς ὄνομα βασιλέως, Παραμιζῶς (in Bekk. An. 1197 Σπαραμιζῶς) ὄνομα εὐνούχου, Σαβακῶς, Μανεῶς (Bekk. An. Κανεῶς), ταῦτα δὲ ὀνόματά εἰσι κύρια. καὶ ἰστέον ὅτι τινὲς μὲν ὀξύνουσιν αὐτά, τινὲς δὲ περισπῶσι. τὸ δὲ Σαβακῶς Ῥωμανὸς βαρύνει Σαβάκως λέγων. — Equidem accentum nominum praeter Μάννεως accommodavi ad Arcadii praeceptum, quamquam ex Choer. concluserim Herodianum hic de diversa tonosi fusius disseruisse, Μάννεως autem proparoxytonos scripsi, quum hunc accentum praebeat Stephan. B. et sententiam, qua Herodianum in huius vocabuli accentu ductum arbitror, explevi cf. Herod. περὶ παθῶν in E. M. 347, 9.
l. 18 Τέως explevi ex St. B., huc pertinent fortasse vocabula ἐσχάρως (ἐσχάρωθεν) Θριώς (Bekk. An. 1415 Θρίως, Mein. ad St. B. 318, 4 Θριώς) ὄνομα δήμου Ἀττικοῦ Theogn. 156, 33.

θος, ἀφ' ὧν εὐδίας γινομένης ἔλαιον ἐπιπολάζει τοσοῦτον, ὅσον ἀρύεσθαι αὐτὸ ταῖς χερσὶν εἰς σκάφος καὶ χρῆσθαι αὐτῷ. ἄλως, ἕως. τὰ δὲ μὴ οὕτως ἔχοντα ὀξύνεται, αἰδώς, ἠώς.

* Τὰ εἰς δύο σύμφωνα λήγοντα πολυσύλλαβα βαρύνεται, Τῖρυνς πόλις τῆς Πελοποννήσου «οἵ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν» (B 559). καλεῖται δὲ ἀπὸ Τίρυνθος ἀδελφοῦ Ἀμφιτρύωνος. γέγονε δὲ ἐκ τοῦ Τῖρυς προσθέσει τοῦ ν̄. ἕλμινς, μάκαρς, δάμαρς, Σάλαρς νῆσος Λιβύης, Περίηρς παρ' Ἀλκμᾶνι ἐκ τοῦ περιήρης. ἔστι δὲ ἄκλιτον. τὸ δὲ μονοσύλλαβον ἅλς ὀξύνεται.

Τὰ εἰς α̅ψ̅ πολυσύλλαβα βαρύνεται, Ἄραψ, λαῖλαψ, θέραψ, Σκίραψ· ἔστι δὲ ὄνομα κύριον παρὰ τοῖς κωμικοῖς εὑρισκόμενον. τὸ δὲ πλινθοβάψ καὶ πελεθοβάψ ὀξύνεται.

Τὰ εἰς ψ̅ πολυσύλλαβα ἔχοντα πρὸ τοῦ ψ̅ ο̅ ἢ ε̅ βαρύνεται, Πέλοψ, Δρύοψ ἔθνος περὶ τὴν Οἴτην, μέροψ. ἔστι δὲ καὶ κύριον. Μέροψ γάρ ἐστι παῖς μὲν Τριόπα, πατὴρ δὲ τῆς Κῶ, ἀφ' οὗ Μέροπες οἱ Κῷοι. Δόλοψ ἥρως καὶ ἔθνος Θεσσαλῶν ἔγγιστα, Ἔλλοψ ὁ Ἴωνος, ἀφ' οὗ Ἐλλοπία χωρίον Εὐβοίας. Κέκροψ, Ὕοψ πόλις ἐν Ἰβηρίᾳ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Ὕοψ πόλις, μετὰ δὲ Λεσυρὸς ποταμός». Τρίοψ· Τρίοπα γάρ φησιν Ἑλλάνικος Τρίοπον τὸν πατέρα Ἐρυσίχθονος. ἡ δὲ Μόψοψ εὐθεῖα ἄρρητός ἐστιν. Αἰθίοψ «Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν» (Od. α 23). οὐ γὰρ ἀληθὴς ὁ Ὑψικράτους λόγος ὡς οὐδὲν εἰς ο̅ψ̅ παρ' Ὁμήρῳ εἰ μὴ τὸ καλαῦροψ. εἰσὶ δὲ καὶ τὸ ὄψ καὶ τὸ μέροψ. εὐρύοψ. βοῦκλεψ παρ' Ἀριστοφάνει, τυρόκλεψ, ἀλευρόκλεψ, νακόκλεψ, κατῶβλεψ εἶδος θηρίου.

Τὰ εἰς ψ̅ ἔχοντα ι̅ πρὸ τοῦ ψ̅ βαρύνεται, σκευότριψ, παιδότριψ, χέρνιψ, χοιρότριψ, οἰκότριψ, πεδότριψ, ἀμφίτριψ, Κεντόριψ, κατῆλιψ, αἰγίλιψ καὶ Αἰγίλιψ πλησίον Κροκυλείων

---

l. 4 hunc canonem ipse composui ex Choer. 66, 29, Τῖρυνς explevi ex St. B. coll. Eustath. ad Homer. l. c. et Choer. Orth. 264, 7, unde verba γέγονε δὲ — τοῦ ν̄, Σάλαρς recepi ex St. B., ubi Σάλαρς ὡς μάκαρς. Περίηρς ex libro περὶ παθῶν in E. M. 663, 54. Huc referendum est etiam Βερέκυντος γενικὴ τῆς εὐθείας ἀρρήτου ap. St. B. 163, 19. l. 11 Σκίραψ ex Choer. Dict. 88, 11 et 26. l. 14 Δρύοψ explevi ex St. B., Μέροψ ex eodem p. 446, 11 coll. 402, 14, Δόλοψ — Αἰθίοψ ex eodem adieci. l. 23 εὐρύοψ addidi, βοῦκλεψ explevi ex Ep. Cr. I 269, 9. — ἀλευρόκλεψ, ut cum Lob. Parall. 292 not. 14 pro ἐφευρόκλεψ scripsi, et νακόκλεψ, κατῶβλεψ ex Theogn. 97, 30. l. 26 de χέρνιψ cf. Schol. ad Arist. Pac. 956: οὕτω τὸν χέρνιβα μᾶλλον προπαροξυντέον κατὰ τὴν ἀναλογίαν. οἱ δὲ Ἀττικοὶ παροξύνουσιν ὡς ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ. Athen. p. 409 παρὰ τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς παροξυτόνως ἀνέγνωσται χερνίβα. παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ «εἰς χερνίβ' ὡς βάψειεν Ἀλκμήνης γόνος». ἀλλὰ καὶ παρ' Εὐπόλιδι ἐν Αἰξὶν «αὐτοῦ τὴν χερνίβα παύσεις». χρὴ μέντοι προπαροξυτόνως προφέρεσθαι. τὰ γὰρ τοιάδε ῥηματικὰ συντεθέντα εἰς ψ̅ λήγοντα γεγονότα παρὰ τὸν παρακείμενον, τὴν παραλήγουσαν τοῦ παρακειμένου φυλάσσουσιν, ἄν τε ἔχῃ τοῦτον διὰ τῶν δύο μ̅μ̅ λεγόμενον, βαρύνεται λέλειμμαι αἰγίλιψ τέτριμμαι οἰκότριψ, κέκλεμμαι βοῦκλεψ παρὰ Σοφοκλεῖ Ἑρμῆς, βέβλεμμαι κατῶβλεψ παρὰ Ἀρχελάῳ τῷ Χερρονίτῃ ἐν τοῖς Ἰδιοφυέσιν: ἐν δὲ τοῖς πλαγίοις τὰ τοιαῦτα ἐπὶ τῆς αὐτῆς συλλαβῆς φυλάττει τὴν τάσιν. — χοιρότριψ ex Theogn. 98, 2 et Choer. 88, 16, οἰκότριψ ex Choer., πεδότριψ ἀμφίτριψ ex Theogn. coll. Dichr. 286, 11, Κεντόριψ ex Theogn., κατῆλιψ ex Choer., αἰγίλιψ ex Ep. Cr. I 269, 10, Αἰγίλιψ ex St. B.

τῆϲ Ἠπείρου. Ὅμηροϲ «καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν» (Β 633). εἴληφε δὲ τὴν προϲηγορίαν διὰ τὸ πετρώδηϲ εἶναι καὶ ὑψηλὴ καὶ ἀπρόϲβατοϲ.

Τὰ εἰϲ $\overline{\text{υψ}}$ βαρύνεται, Κίνυψ ὁ λιμήν· ἔϲτι δὲ καὶ ποταμόϲ. Χάλυψ, περὶ τὸν Πόντον ἔθνοϲ ἐπὶ τῷ ποταμῷ Θερμώδοντι, περὶ οὗ Εὔδοξοϲ ἐν πρώτῳ «ἐκ δὲ τῆϲ Χαλύβων χώραϲ ὁ ϲίδηροϲ ὁ περὶ τὰ ϲτομώματα ἐπαινούμενοϲ ἐξάγεται». «τούτουϲ Ὅμηροϲ Ἁλίζωνάϲ φηϲιν ἐν τῷ μετὰ τοὺϲ Παφλαγόναϲ καταλόγῳ (Il. Β 856)

αὐτὰρ Ἁλιζώνων Ὀδίοϲ καὶ Ἐπίϲτροφοϲ ἦρχον
τηλόθεν ἐξ Ἀλύβων, ὅθεν ἀργύρου ἐϲτὶ γενέθλη.

ἤτοι τῆϲ γραφῆϲ μετατεθείϲηϲ ἀπὸ τοῦ 'τηλόθεν ἐκ Χαλύβηϲ' ἢ τῶν ἀνθρώπων πρῶτον Ἀλύβων λεγομένων ἀντὶ τοῦ Χαλύβων». καὶ Χάλυβοι παρ' Ἑκαταίῳ «Χαλύβοιϲι πρὸϲ νότον Ἀρμένιοι ὁμορέουϲι». Ἄρυψ οἱ ἀπὸ δύϲεωϲ μέχρι Ἰϲθμοῦ Ἀχαιοί. τοῦτο δὲ καὶ μονοϲυλλάβωϲ Ῥύψ λέγεται.

Εἰϲ $\overline{\text{ηψ}}$ οὐκ ἔϲτιν εὑρεῖν ὅτι μὴ μόνον τὸ κώληψ βαρύτονον.

Τὰ εἰϲ ωψ πολυϲύλλαβα κύρια ὄντα ἢ προϲηγορικὰ βαρύνονται, Κύκλωψ, Ἄλμωψ ὁ Ποϲειδῶνοϲ καὶ Ἕλληϲ τοῦ Ἀθάμαντοϲ, ἀφ' οὗ Ἀλμωπία χώρα τῆϲ Μακεδονίαϲ, καὶ τὸ ἐθνικὸν ὁμοφώνωϲ. ἴωψ, μώλωψ. ϲεϲημείωται, ὥϲ τινέϲ φαϲι, τὸ εὐρώψ ὀξυνόμενον. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται ὑπεϲταλμένων τῶν ὑποπεπτωκότων κυρίοιϲ ἢ τῶν ἰδιαζόντων μονώψ ὁ μονόφθαλμοϲ, κελαινώψ, τυφλώψ, γλαυκώψ «γλαυκῶπεϲ δράκοντεϲ», εὐώψ «εὐῶπα παρειάν» παρὰ Σοφοκλεῖ (Antig. 530) «εὐῶπεϲ» παρὰ Λυκόφρονι (v. 23), παραβλώψ «παραβλῶπέϲ τ' ὀφθαλμώ» (Il. Ι 503). τὸ δὲ ἑλίκωψ καὶ ὁ μύωψ ὁ μυὸϲ ὀφθαλμοὺϲ ἔχων καὶ νυκτάλωψ βαρύνεται, ὥϲπερ τὸ Κύκλωψ καὶ κέρκωψ ὁ δόλιοϲ καὶ ἴωψ ὁ ἰχθῦϲ.

l. 4 Κίνυψ explevi ex Theogn. 98, 3, Χάλυψ ex St. B., apud quem verba τούτουϲ Ὅμηροϲ — ἀντὶ τοῦ Χαλύβων (l. 7—12) ex Strabone p. 549 petita sunt. Ἄρυψ adieci ex Theogn. 98, 4, ap. St. B. Ἀρύπη πόλιϲ [ἐν Ἀχαΐᾳ] ἧϲ οἱ πολῖται Ἄρυπεϲ, ὡϲ Ἡρωδιανόϲ et Ῥύπαι πόλιϲ Ἀχαϊκή — ὁ πολίτηϲ Ῥύψ. l. 16 pro Arcadii verbis τὰ εἰϲ $\overline{\text{ηψ}}$ βαρύνεται, κώληψ posui Theognosti canonem p. 97, 32. l. 18 Ἄλμωψ inserui ex St. B., γλαυκώψ — παραβλώψ ex Eustath. 768, 39, verba Homerica addens ex Il. Pr. Ι 503, νυκτάλωψ hoc loco ex Eust. l. c. interposui, quia similiter atque μύωψ et substantivum et adiectivum est; pro κέκρωψ scripsi cum Lobeck. κέρκωψ, pro ἴωψ ὁ κυνικόϲ scripsi ἰχθῦϲ, nam piscis nomen notum est Athenaeo p. 300, Schmidt. κυνίϲκοϲ exhibuit. Caeterum de hoc canone conferendus est Lob. Parall. p. 293 et ad Ai. p. 407 seqq. Quorundam velut ἑλίκωψ accentum disceptatum fuisse apparet ex Il. Pr. l. c. παραβλῶπεϲ: προπεριϲπαϲτέον ὁμοίωϲ τῷ τυφλῶπεϲ. ἀπὸ γὰρ ὀξυνομένηϲ εὐθείαϲ ἐγένετο τῆϲ παραβλώψ. τὰ δὲ τοιαῦτα καὶ βαρυνόμενα εὑρέθη καὶ ὀξυνόμενα ὥϲπερ τὸ ἑλικῶπεϲ καὶ Κύκλωπεϲ, περὶ ὧν ἐντελέϲτερον λέγεται ἐν τοῖϲ περὶ ϲχημάτων. Fluxit ex Herod. Eustath. l. c.

ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΕΙϹ ᾱ ΘΗΛΥΚΩΝ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ ια΄.

Τὰ εἰϲ ᾱ λήγοντα μακρὸν θηλυκὰ τῶν εἰϲ ο̅ϲ̅ ὁμοτονοῦϲιν αὐτοῖϲ, καὶ ἔτι τὰ εἰϲ η̅, φοβερόϲ φοβερά, ἰϲχυρόϲ ἰϲχυρά, ϲοφόϲ ϲοφή, καλόϲ καλή, φίλοϲ φίλη. τὸ μέντοι βαρύτεροϲ βαρυτέρα καὶ τὰ ὅμοια, εἰ καὶ τὸν τόπον ἐνήλλαξαν, ἀλλ' οὐ τὸν τόνον.

Τὰ εἰϲ ᾱ μακρὸν καὶ εἰϲ η̅ τῶν εἰϲ ο̅υ̅ϲ̅ περιϲπωμένων περιϲπᾶται ἀργυροῦϲ ἀργυρᾶ, ἔϲτι δὲ καὶ μητρόπολιϲ τῆϲ ἐν Ἰνδικῇ Ταπροβάνηϲ νήϲου. χρυϲοῦϲ χρυϲῆ, διπλοῦϲ διπλῆ.

Τὰ ἔχοντα τὸ ᾱ βραχὺ διὰ τοῦ τ̅ρ̅ι̅ᾰ̅ προπαροξύνεται, αὐλήτρια, ψάλτρια, ποιήτρια, μεϲήτρια, ὁδηγήτρια, ὀρχήϲτρια, μαθήτρια, λεκάϲτρια ἡ πόρνη. Ἐρέτρια πόλιϲ Εὐβοίαϲ. Ὅμηροϲ «Χαλκίδα τ' Ἐρέτριάν τε» (Il. Β 537) ἀπὸ Ἐρετριέωϲ τοῦ Φαέθοντοϲ υἱοῦ. τὸ δὲ μετρία καὶ ἀλλοτρία τὸ ᾱ μακρὸν ἔχουϲι. καὶ τὸ πότνια· ἔϲτι δὲ καὶ Πότνιαι πόλιϲ Βοιωτίαϲ. καὶ ὄμπνια, Πολύμνια, Ἰάμνια πολίχνιον Φοινίκηϲ, Ϲτράβων δὲ κώμην φηϲίν (16, p. 759) «ἀπὸ Ἰάμνου ἢ ὅτι ἰάμνουϲ ἐκάλουν τοὺϲ καθύγρουϲ καὶ τεθηλόταϲ τόπουϲ». Λάμια πόλιϲ Θεϲϲαλίαϲ τῶν Μηλιέων, ὡϲ Πολύβιοϲ, οἱ μὲν ἀπὸ Λάμου τοῦ Ἡρακλέουϲ φαϲίν, οἱ δὲ ἀπὸ Λαμίαϲ γυναικόϲ, ἣ ἐβαϲίλευϲε Τραχινίων· ἔϲτι καὶ ἄλλη Κιλικίαϲ — προπαροξύνεται.

Τὰ εἰϲ ε̅ι̅ᾰ̅ ἀπὸ τῶν εἰϲ ε̅υ̅ϲ̅ προπαροξύνεται, βαϲιλεύϲ βαϲίλεια, πολιεύϲ πολίεια, Πιτυεύϲ Πιτύεια, Ἀλαλκομενεύϲ Ἀλαλκομένεια, ἱερεύϲ ἱέρεια. τοῦτο δὲ οἱ Ἀττικοὶ ἐκτείνοντεϲ τὸ ᾱ παροξύνουϲι. ἀλλ' οὐκέτι πανδόκεια, βαϲίλεια.

---

l. 3 canon in An. Paris. III 299, 24 sic conceptus est: θεά ὀξύνεται· τὰ γὰρ εἰϲ ᾱ λήγοντα ἐκτεταμένον ἢ η̅ παρεϲχηματιϲμένα τοῖϲ εἰϲ ο̅ϲ̅ λήγουϲιν ὀνόμαϲιν τὸν ἐκείνων τόνον ἀναδέχονται οἷον φοβερόϲ φοβερά, ἰϲχυρόϲ ἰϲχυρά, ϲοφόϲ ϲοφή, θεόϲ θεά, κοῦφοϲ κούφη. l. 8 Ἀργυρᾶ proprium adieci ex St. B. l. 11 ποιήτρια — μαθήτρια sumpsi ex Dichr. 289, 8, λεκάϲτρια ex Theogn. 98, 25, Ἐρέτρια ex St. B. et Ep. Cr. I 370, 21, An. Paris. III 351 et 136, Πότνιαι ex St. B., Πολύμνια — Λάμια ex Dichr. l. c. et St. B. s. vv. In Ep. l. c. et An. Par. ll. cc. his additur Ἀκυλήϊα ὄνομα πόλεωϲ, sed dubitavi hoc addere, quia et ap. St. B. Ἀκυληΐα scriptum est et ab Epimerista exceptis ab Herodiano vocabulis adiectum videtur, nam canone proposito additur: δεῖ προϲθεῖναι καὶ χωρὶϲ τοῦ Ἀκυλήϊα, quae urbs etiam Ἀκύλεια dicitur. Huc referri possunt etiam Ἐλαύϊα φρούριον Ϲικελίαϲ. Φίλιϲτοϲ β΄ ap. St. B., cuius gentile Ἐλαυιάτηϲ ἢ Ἐλαυίτηϲ comparatur cum Ἰαμνιάτηϲ ἢ Ἰαμνίτηϲ, porro Νηκούϊα πόλιϲ Ὀμβρίκων. Διονύϲιοϲ ἑπτακαιδεκάτῳ Ῥωμαϊκῆϲ ἀρχαιολογίαϲ; eodem accentu insignitum est ap. St. B. Ἐπάκρια. l. 22 πολίεια usque ad Ἀλαλκομένεια adieci ex St. B. — τοῦτο δὲ usque ad finem canonis recepi ex Dichr. 290, 20 collat. Arcad. 194, 22, in quo loco Iacobi scribi vult: οὐκέτι δὲ πανδοκεία, βαϲιλεία, quod non necesse est, quum subintellegi possit: προφέρουϲι πανδοκεία, βαϲιλεία, neque rectum est, quod Lehrsius ex Choer. Dictat. 200, 14 pro causa affert: οὐ γάρ εἰϲι κατὰ παραϲχηματιϲμόν, ἀλλὰ κατὰ παρώνυμον παραγωγήν, nam πανδόκεια et βαϲίλεια pariter feminina masculinorum πανδοκεύϲ et βαϲιλεύϲ sunt atque ἱέρεια femininum masculini ἱερεύϲ et Choeroboscus dicit de substantivis abstractis εὐ-

* Τὰ διὰ τοῦ εια παρώνυμα κατὰ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα θηλυκὰ προπαροξύνονται, Πηνελόπη Πηνελόπεια, χαλκοβαρής χαλκοβάρεια, ἠριγενής ὁ ἐν τῷ ἀέρι γεννηθείς· — τὰ γὰρ τοιαῦτα εἰς πάθη ἀναλύονται καὶ οὐκ εἰς ἐνέργειαν οἷον Λυκηγενής ὁ ἐν Λυκίᾳ γεγεννημένος — ἠριγένεια. οὕτω καὶ Τριτογένεια καὶ Ἀμφιγένεια πόλις Μεσσηνιακή. ἱππόδασυς ἱπποδάσεια καὶ ἀμφιδάσεια· τοῦτο δὲ οὐχ, ὡς οἴεται ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων, σύνθετόν ἐστιν ἀλλὰ παρασύνθετον.

* Τὰ εἰς εια ἐπὶ πραγματείας ἤγουν συγγράμματος προπαροξύνεται οἷον Ὀδύσσεια, Ἡράκλεια, Τηλεγόνεια, Γιγάντεια, Διομήδεια, Δολώνεια.

Ἔτι τὰ ἀπὸ τῶν εἰς υς βαρυτόνων προπαροξύνεται, ἥμισυς ἡμίσεια, θῆλυς θήλεια. τὰ μέντοι ἀπὸ ὀξυτόνων προπερισπῶνται, ταχύς ταχεῖα, βραδύς βραδεῖα, πλατύς πλατεῖα. ἔστι δὲ καὶ Πλατεῖα νῆσος Λιβύης. τραχύς τραχεῖα. λέγεται δὲ καὶ ἡ Ἰσαυρία τραχεῖα. Στράβων τεσσαρεσκαιδεκάτῃ (p. 668) «Κιλικίας δὲ τῆς ἔξω τοῦ Ταύρου ἡ μὲν λέγεται τραχεῖα, ἡ δὲ πεδιάς» καὶ ἡ Ἔφεσος Τρηχεῖα ἐκαλεῖτο. ὀξύς ὀξεῖα. εἰσὶ δὲ καὶ Ὀξεῖαι νῆσοι τῶν Ἐχινάδων, ἃς θοὰς ὁ ποιητὴς εἶπεν (Od. ο 299). πλὴν τοῦ λίγεια (ἔστι δὲ καὶ νῆσος) καὶ ἐλάχεια ἀπὸ τοῦ λιγύς καὶ ἐλαχύς, οἷς ἠκολούθησε καὶ τὸ θάλεια

σέβεια, ἀναίδεια καὶ εὐγένεια, quae paronyma sint, nam feminina adiectivorum εὐσεβής, ἀναιδής, εὐγενής esse item εὐσεβής, ἀναιδής, εὐγενής. Herodianus nihil aliud dicere voluit nisi: non omnia feminina masculinorum in ευς ab Atticis producte pronunciari, sed ἱερεία singulare esse. l. 1 canonem inserui ex libro περὶ ποσότητος Cr. An. Ox. II 300, 8 collato Theogn. 99. — ἠριγενής ἠριγένεια explevi ex E. M. 767, 52: Τριτογένεια παρὰ τὸ τρεῖν γεννᾶν. ἐπειδή, ὥς φησιν ὁ τεχνικός, τὰ τοιαῦτα εἰς πάθη ἀναλύονται καὶ οὐκ εἰς ἐνέργειαν οἷον Λυκηγενής ὁ ἐν Λυκίᾳ γεγεννημένος· ἠριγενής ὁ ἐν τῷ ἀέρι γεννηθείς· οὕτως οὖν καὶ Τριτογένεια ἡ ἐκ τοῦ τρεῖν γεννωμένη, οὐ μὴν ἡ τὸ τρεῖν γεννῶσα. Exceptis iis, quae de significatione vocabuli Τριτογένεια dicta sunt, quae collato Eustath. 696, 40 et 504, 26, Choerobosco ipsi tribuenda, reliqua Herodiano debentur, quem Choeroboscus κατ᾽ ἐξοχὴν τεχνικὸν appellare solet. — ἀμφιδάσεια cum adnotamento addidi ex Il. Pr. Ο 309, ubi grammaticus noster haec se exposuisse dicit ἐν τῷ περὶ τοῦ ἠριγένεια i. e. nostro loco. De extremis vocabulis cf. Eustath. 1017, 35 et 833, Lob. Phryn. 538. De Πηνελόπη Πηνελόπεια sibi Herodianus non constitisse videtur, utrum ab utro repetendum sit, si Steph. B. s. Ἀγάμεια et Ψυτάλλεια Herodianum exscripsit. cf. Lob. Parall. 321. l. 9 canonem finxi ex libr. περὶ ποσότ. 299, 26 et Choer. Orth. 189, 7 et 196, 33. l. 14 πλατεῖα τραχεῖα ὀξεῖα recepi propter Πλατεῖα Τρηχεῖα Ὀξεῖαι ap. St. B., postremum exstat etiam in Ep. Cr. I 200, 20 Ὀξεῖαι οὕτω καλοῦνται νῆσοι περὶ τὴν Κεφαλληνίαν. De λίγεια, ἐλάχεια, θάλεια disseruit Lehrs quaest. ep. p. 166 seqq., qui quamquam Herodiani de θάλεια testimonium disertum deficere dicit, tamen accentum antiquo usu probatum esse pertendit neque dubito, quin Herodianus huius vocabuli hoc loco mentionem iniecerit. cf. praeterea Ep. Cr. I 256, 8 (E. M. 565, 5): τὰ εἰς ᾱ θηλυκὰ ἀπὸ τῶν εἰς ῡς ἀρσενικῶν γινόμενα, εἰ μὲν βαρύνονται τὰ εἰς υς ἀρσενικά, προπερισπῶνται οἷον ταχύς ταχεῖα, ὀξύς ὀξεῖα. σεσημείωται τὸ ἐλαχύς ἐλάχεια καὶ λιγύς λίγεια. καὶ τὸ μὲν λίγεια βαρύνεται, ὅτι ἔχει ῥῆμα ἀντιπαρακείμενον λιγῶ τὸ ὑμνῶ, ἐξ οὗ καὶ λιγαίνω. τὰ γὰρ ἀπὸ ἐνεστώτων παρηγμένα διὰ τοῦ εια προπαροξύνεται ἅπαντα οἷον μήδω Μήδεια, θέρω θέρεια. τὸ δὲ ἐλαχύς ὤφειλεν προπαροξύνεσθαι τῷ λόγῳ τῶν εἰς ῡς ὑπὲρ δύο συλλαβὰς τὸ ῡ συστελλόντων, τὴν οὖν κεχρεωστημένην παροξύτονον τάσιν ἐν τῷ

«δαῖτα θάλειαν» (Η 475). τὸ δὲ θαμειαί Πάμφιλος λέγει ὡς ὀξεῖαι, Ἀρίσταρχος δὲ ὡς πυκιναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί.

Τὰ εἰς νᾰ συνεσταλμένον ἔχοντα τὸ ᾰ ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ σχηματιζόμενα προπαροξύνεται, μέλανος μέλαινα· τὸ δὲ Μελαιναί πόλις Ἀρκαδίας ὀξύνεται· ἀπὸ Μελανέως τοῦ Λυκάονος, ὡς Παυσανίας (8, 26, 8). Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ «Γόρτυν' Ἡραιάν τε πολυδρύμους τε Μελαινάς». εἰσὶ δὲ καὶ Λυκίας Μελαιναί πόλις, ὡς Ἀλέξανδρος Λυκιακοῖς. καὶ Καλλίμαχος Μελαινάς φησι Μελαινεῖς τὸν δῆμον τῆς Ἀντιοχίδος φυλῆς ἐν Ἑκάλῃ. τάλανος τάλαινα, Λάκων Λάκαινα, δράκων δράκαινα, θεράπαινα, θέαινα, λέαινα.

Ἔτι τὰ εἰς ρᾰ βραχὺ παρεσχηματισμένα, σωτήρ σώτειρα. ἔστι καὶ πόλις Ἀριηνῶν Ἀντιόχου κτίσμα τοῦ Σελεύκου. μάκαρ μάκαιρα, πρέσβειρα, δότειρα, ὀλέτειρα, γενέτειρα, εὐπάτειρα, ἀντιάνειρα, κυδιάνειρα, κτεάνειρα, οὕτως καὶ Κάρ Κάειρα. καὶ ἔδει μὲν διὰ τοῦ ῑ μακροῦ γράφεσθαι· Καῖρα καὶ ἐν διαλύσει Κάϊρα, ὡς Ἀπολλώνιος ἐν τῷ ε΄ περὶ παθῶν καὶ ἐν τῷ περὶ γενῶν. ἡ δὲ ἔκτασις ἀναγκαία διὰ τὴν παραλήγουσαν. τὰ γὰρ εἰς ᾰ βραχὺ λήγοντα παρασχηματιζόμενα ἐκτείνει τὴν παραλήγουσαν φύσει ἢ θέσει. καὶ ἔστιν ὅτε μετὰ τὴν διαίρεσιν ἔκτασις γίνεται, ὀΐομαι, ὄϊγον, ὄϊδα παρ' Αἰολεῦσιν ἀπὸ τοῦ οἶδα. ἡ χρῆσις δὲ τὴν ει δίφθογγον ἔχει πρὸς τὸν χαρακτῆρα τῶν διὰ τοῦ ειρᾰ. τούτοις δὲ ἠκολούθησε καὶ τὸ πέπειρος πέπειρα.

Τὰ εἰς σᾰ ὑπερδισύλλαβα παρεσχηματισμένα προπαροξύνεται, εἰ μὴ κατὰ συναλοιφὴν εἴη ἀπὸ ὀξυτόνων εἰς ης, δαφνήεσσα, φωνήεσσα, τιμήεσσα, ἐρώεσσα, χαρίεσσα. Μάγνης Μάγνησσα παρὰ Καλλιμάχῳ, Μακέτης Μάκεσσα ἐπιθετικῶς, ὡς Ἡρακλείδης, καὶ Μάκεττα διὰ δύο ττ καὶ δι' ἑνὸς τ. τὸ δὲ τεχνῆσσα ἀπὸ τοῦ τεχνήεσσα. καὶ τὰ ἀπὸ ὀξυτόνων καὶ περισπωμένων εἰς ης, χερνής χερνῆσσα, ἀργῆς ἀργῆσσα καὶ Κρής Κρητός Κρῆσσα, θής θῆσσα. οὕτω καὶ Θρᾷξ Θρᾷσσα καὶ Θρᾷττα Ἀττικῶς καὶ ἀπὸ Θρᾴκης δούλη καὶ εἶδος ἰχθύος καὶ ὀρνέου.

Τὰ εἰς ᾰ βραχὺ ἀπαρασχημάτιστα διὰ διπλοῦ ἐκφερόμενα, εἰ μὲν δισύλλαβα εἴη καὶ μακρᾷ παραλήγει, προπερισπᾶται, μᾶζα μόνον ἐκτεῖνον τὸ πρὸ διπλοῦ ᾱ, ψῶζα, εἰ δὲ βραχείᾳ παραλήγει, παροξύνε-

---

θηλυκῷ ἀνεδέξατο. — Adnotamentum de θαμειαί recepi ex Il. Pr. A 52 coll. I 355.
l. 4 Μελαιναί recepi ex St. B., θεράπαινα, θέαινα ex Theogn. 99, 17; λέαινα ex canone orthographico in An. Ox. II 325, 24. l. 12 πόλις Σώτειρα ex St. B. recepta est; πρέσβειρα accessit ex Theogn. 101, 26, δότειρα — εὐπάτειρα ex E. M. 318, 50; ἀντιάνειρα — κτεάνειρα ex Theogn. 99, 29; Κάειρα ex St. B. Καρία: τὸ θηλυκὸν (τοῦ Κάρ sc.) κατὰ τέχνην Καῖρα καὶ ἐν διαλύσει Κάϊρα, ἡ χρῆσις δὲ τὴν ει δίφθογγον ἔχει. — Ἡρωδιανὸς ἐν μὲν τῇ ὀρθογραφίᾳ ἀμφιβολεῖ, ἐν δὲ τῇ καθόλου χρήσει ἑπόμενος διὰ διφθόγγου φησί κτλ. Verba πρὸς τὸν χαρακτῆρα τῶν διὰ τοῦ ειρα sunt ex E. M. 692, 33. πέπειρα recepi ex Dichr. 290, 27, ad q. l. Lehrsius indicat etiam hoc loco πέπειρα memoratum fuisse. l. 24 τιμήεσσα — χαρίεσσα sunt ex Theogn. 99, 24, Μάγνησσα Μάκεσσα ex St. B. l. 27 καὶ περισπωμένων addidi propter ἀργῆς ἀργῆσσα. — Θρᾷξ Θρᾷσσα adieci ex St. B. 316, 12 et Theogn. l. c. l 30 Arcadius habet: εἰ μὲν δισύλλαβα εἴη καὶ μακρᾷ παραλήγει, παροξύνεται, ῥίζα, πέζα κτλ. Canonem emendavit Lob. Parall. 405, quem secutus μᾶζα et ψῶζα recepi, sed κνῦζα inter vocabula brevi vocali praefinita

ται, ῥίζα, πέζα, φύζα, σχίζα, σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σοφοκλῆς ἐν Ναυπλίῳ πυρκαεῖ «κάτω κρέμανται, σπίζα τέτατ' ἐν ἕρκεσι». ἄζα, γάζα καὶ Γάζα πόλις Φοινίκης, νῦν δὲ Παλαιστίνης πρὸ τῆς Αἰγύπτου. ἐκλήθη καὶ Ἄζα. καὶ μέχρι νῦν Σύροι Ἄζαν αὐτὴν καλοῦσιν ἀπὸ Ἄζωνος τοῦ παιδὸς Ἡρακλέους. μυθολογοῦσι δέ τινες ὑπὸ Διὸς κτισθῆναι καὶ ἐν αὐτῇ ἀπολιπεῖν τὴν ἰδίαν γάζαν, οὕτω τῶν Περσῶν τὰ χρήματα καλούντων. μύζα, κνύζα, ὃ εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, συγκοπή ἐστιν οἷον «χαμαιζήλοιο κονύζης», εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω, ἀφ' οὗ κνύος ἡ φθορά οἷον «κατὰ κνύος ἔχευεν, ψίλωτο δὲ κάρηνα», γίνεται κνύζα ὡς παρὰ Ἀνακρέοντι «κνύζη τις ἤδη καὶ πέπειρα γίνομαι σὴν διὰ μαργοσύνην» (fr. 87 Bergk). δόξα, Φρίξα πόλις Τριφυλίας ἀπὸ Φρίξου, ἐπ' ὄρους ὑψηλοῦ πρὸς ἕω τῆς Λεπρεατικῆς. Φερεκύδης δὲ Ἀρκαδίας αὐτὴν γράφει. Λίξα πόλις Λιβύης ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λιβυκῶν, ἀπὸ Λίξου ποταμοῦ. δίψα, Κάψα πόλις Χαλκιδικῆς χώρας κατὰ Παλλήνην ὁμοροῦσα τῷ Θερμαίῳ κόλπῳ. Σάμψα κώμη τῆς Ἀραβίας. σάμψα δὲ παρὰ τοῖς Ἄραψι ὁ ἥλιος. Σκέμψα πόλις Θρᾴκης. Στρέψα πόλις Μακεδονίας. Τὰ δὲ ὑπερδισύλλαβα προπαροξύνεται, ὄρυζα, τράπεζα· ἔστι καὶ πόλις Ἀρκαδίας ἐγγὺς Τρικολώνων. ἀργυρόπεζα, τετράπεζα, χάλαζα, Δούριζα λίμνη παρὰ τὸν Λίζαν ποταμόν. Ἑκαταῖος περιηγήσει Ἀσίας, «τῇ δὲ λίμνῃ Δούριζα οὔνομα». Βόρυζα πόλις Περσική, ὡς Ἑκαταῖος περιηγήσει Εὐρώπης· «μετὰ δὲ Βόρυζα πόλις Περσέων· μετὰ δὲ Θυνιάς». Ἀράβυζα τῆς Καυκωνίδος πόλις. Βάδιζα πόλις Βρεττίας. Πολύβιος τρισκαιδεκάτῳ. Βαρύγαζα ἐμπόριον Γεδρωσίας τῶν σφόδρα ἐπισήμων. Μίεζα θυγάτηρ Βέρητος τοῦ Μακεδόνος καὶ πόλις Μακεδονίας. Κάττουζα πόλις Θρᾴκης, ἐν ᾗ κατῴκουν οἱ Πυγμαῖοι. Θελάμουζα φρούριον τῆς παρ' Εὐφράτην Ἀραβίας. Τίριζα πόλις Παφλαγονίας. Τυρόδιζα πόλις Θρᾴκης μετὰ Σέρριον. Ἑλλάνικος δὲ Τυρόριζαν αὐτήν φησιν ἐν Περσικῶν δευτέρῳ. ἅμαξα. Ἄμαξα χωρίον Βιθυνίας, ὡς Ἐρατοσθένης. Ἄραξα πόλις Λυκίας, ὡς Ἀλέξανδρος ἐν δευτέρῳ τῶν Λυκιακῶν. Δάραψα πόλις Βακτρίας, ὡς Στράβων (XI p. 516). Βαίσαμψα πόλις ἐν τῷ Ἀραβικῷ κόλπῳ περὶ τὴν Ἐρυθρὰν θάλασσαν, ὅ ἐστιν οἶκος ἡλίου.

---

retuli, quum Herod. Mon. 31, 19 et Dichr. 288, 20 diserte μᾶζα unicum in ζα longa ancipite praecedente esse perhibeat. Verba inde a σχίζα usque ad μύζα ex Dichr. et Mon. l. c. recepi, urbe Γάζα ex St. B. addita, κνύζα ex E. Gud. 330, 59 ubi: τοῦτο (sc. κνύζα) ὡς λέγει Ἡρωδιανὸς ἐν τῇ καθόλου, collato E. M. 331, 15 et Eustath. 1766, 34. Φρίξα adieci ex Theogn. 100, 14 et St. B., ὄρυζα ex Dichr., τράπεζα urbe ex St. B. apposita, τετράπεζα ex Theogn., χάλαζα — Ἀράβυζα ex Mon. (caeterum St. B. de Ἀράβυζα eadem iisdem verbis profert), item Βόρυζα, quod etiam ap. St. B. exstat; reliqua omnia ex St. B., Τυρόδιζα ὄνομα πόλεως habet etiam Theogn. Contra regulam ap. St. B. Θελάμουζα properispomenos scriptum est.

* Τὰ εἰς βα βαρύνεται, Ἄβα πόλις Καρίας. Ἄλβα πόλις Ἰταλίας, ἣν ἔκτισαν οἱ ἀπὸ τοῦ Λαυινίου Λατῖνοι, Τρῶες ὄντες. ἔστι δὲ ἡ Ἄλβα καθ' Ἑλλάδα λευκή. κλίνεται δὲ Ἄλβας, ὡς Χάραξ. λέγεται καὶ Ἄλβη. Ὄλβα πόλις τῆς τῶν Σολύμων γῆς, ἣν Φίλων Ὀλβίαν Παμφυλίας φησίν. Ῥάβα πόλις πρὸς τῷ Ἰονίῳ κόλπῳ. Νόμβα πόλις τῆς Ἰουδαίας. Ἰώσηπος ἕκτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας (12, 1 et 4). Κύρβα πόλις Κρήτης ἡ ὕστερον Ἱεράπυτνα, Ὕβα δῆμος τῆς Λεοντίδος φυλῆς. τινὲς δὲ τὸν δῆμον Ὑβάδαι λέγουσι. Δόλβα πόλις τῆς Ἀδιαβηνῆς. Ἀρριανὸς γ' Παρθικῶν. Γάβα πόλις Γαλιλαίας. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 2). Γάββα πόλις Συρίας. Θίβα μία τῶν Ἀμαζόνων ὑφ' Ἡρακλέους ἀναιρεθεισῶν, ὅθεν ἐκλήθη Θιβαῖς τόπος πρὸς τῷ Πόντῳ. Ἄρυββα. Ἀνάζαρβα πόλις Κιλικίας. Σίσυρβα Ἀμαζὼν καὶ ἀπ' αὐτῆς μέρος Ἐφέσου.

* Τὰ εἰς γα βαρύνεται, Σάλγα πόλις Μαυριτανίας. Ῥάγα πόλις ἐν Μηδίᾳ κτισθεῖσα ὑπὸ Σελεύκου τοῦ Νικάτορος. Φάλγα κώμη μέση Σελευκείας τῆς Πιερίας καὶ τῆς ἐν Μεσοποταμίᾳ. Ἀρριανὸς ἐν ι' Παρθικῶν. ἡ δὲ φάλγα τῇ γλώσσῃ τῇ ἐπιχωρίῳ τὸ μέσον δηλοῖ. Σίγγα πόλις Λιβύης, ὡς Πολύβιος δεκάτῳ. ὀξύνεται δὲ τὸ Αἰγά τῆς Αἰολίδος ἄκρα, ὡς Στράβων (XIII p. 615) «οὕτω γὰρ καὶ τὸ ὄρος ὅλον ὠνομάζετο, ὃ νῦν Κάνην καὶ Κάνας λέγουσι· «λέγεται δὲ παρὰ Αἰγᾶν ποταμὸν φερόμενον ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους. Ἀρτεμίδωρος δὲ Αἴξ εἶπε τὴν εὐθεῖαν, οὐκ ἀναλόγως. ἔστι δὲ καὶ πόλις Φοινίκων, ὡς Ἑκαταῖος. Αἰγαί δέ εἰσιν πόλεις πολλαί, Κιλικίας, Μακεδονίας, ἥτις καὶ μηλοβότειρα ἐλέγετο, καὶ ἡ ἐν Μυρίνῃ ἐν τῇ Αἰολίδι, καὶ Λυδίας καὶ Λοκρίδος καὶ Αἰτωλίας καὶ Εὐβοίας, ἃς Ὅμηρος ἐν τῷ Ν (v. 21) μνημονεύει.

* Τὰ εἰς δα βαρύνεται, Σίνδα πόλις πρὸς τῷ μεγάλῳ κόλπῳ τῆς Ἰνδικῆς, Πέδα πόλις Αὐσονική, Σίβδα πόλις Καρίας, Γάδδα χωρίον Ἀραβίας. Γλαῦκος ἐν τετάρτῃ. λέγεται καὶ οὐδετέρως. Γίλδα πόλις Λιβύης. Τίνδα πόλις Λιβύης, ἣ καὶ Τίνδιον. Φράδα πόλις ἐν Δράγγαις, ἣν Ἀλέξανδρος Προφθασίαν μετωνόμασεν, ὡς Χάραξ ἐν ἕκτῳ χρονικῶν. Φοῦνδα πόλις Ἰταλίας. Λήδα Δωρικῶς λεγόμενον ἀντὶ

---

l. 1 hunc canonem composui ex nominibus a St. B. relatis, de Ἄβα St. B. s. Ἄβαι· ἔστι καὶ ἄλλη Ἄβα πόλις Καρίας, ὡς Ἡρωδιανὸς ἐν ἑνδεκάτῳ βιβλίῳ; alia Phocidis urbs Ἄβα vel Ἄβη infra proponitur. Θίβα legitur ap. St. B. 314, 4; alter nominativus Θίβη memoratur a St. B. s. Θιβαῖς: ὁ τοπίτης Θίβιος ὡς ἀπὸ τῆς Θίβης εὐθείας, sed Mein. Θῖβις scribendum suspicatur; et a Choer. 324, 30 τὸ β τῷ η χαίρει οἷον Θίβη, Ἀρίσβη, sed ibi scribendum videtur Θίσβη, quum non verisimile sit Choeroboscum pro documento vocem attulisse, quae vulgo in α exit. l. 14 etiam hunc canonem ex St. B. composui. Verbis οὐκ ἀναλόγως significatur monente Meinekio: nominativum Αἴξ non legitimum esse, quum casus obliqui Αἰγᾶς Αἰγᾷ Αἰγάν sint. Strab. l. c.: δεῖ μακρῶς τὴν δευτέραν συλλαβὴν ἐκφέρειν Αἰγάν ὡς ἀκτάν καὶ ἀρχάν. l. 27 hunc canonem finxi ex St. B., omisi omnia in δα, quae utrum feminini an neutrius generis sint, dubitari potest; videntur autem nomina urbium orientalium esse neutra, sed tamen ut Καρύανδα, de quo testatur St. B., interdum in genus femininum transiisse. Λήδα recepi ex

τοῦ Λήδη. δύναται δὲ καὶ προπεριϲπᾶϲθαι κατὰ τὸ Μοῦϲα. Καρύανδα πόλιϲ καὶ λιμὴν ὁμώνυμοϲ πληϲίον Μίνδου καὶ Κῶ, ὡϲ Ἑκαταῖοϲ. ἔϲτι δὲ καὶ οὐδέτερον. Ἴλερδα πόλιϲ πρὸϲ τῇ Πυρήνῃ Ἰβηρίαϲ. καὶ Ἀνδρομέδα Δώριον τροπῇ τοῦ η̄ εἰϲ ᾱ πεποιημένον παροξυνόμενον.

Τὰ εἰϲ θα̅ ἔχοντα τὸ ᾰ βραχὺ βαρύνεται, μίνθα τὸ ἡδύοϲμον, Ἔρθα πόλιϲ Παρθίαϲ ἐπὶ τῷ Εὐφράτῃ, ὡϲ Γλαῦκοϲ ἐν Ἀραβικῶν δευτέρῳ. ἄκανθα, κολόκυνθα ἡ Ἀττικῶϲ κολοκύντη. Λύκαιθα πόλιϲ Ἀρκαδίαϲ παρὰ Μενελάῳ, ἣν Θεόπομποϲ Λύκαιάν φηϲι. Κύπαιθα πόλιϲ Λιβύηϲ, Κύναιθα πόλιϲ Ἀρκαδίαϲ· ἔϲτι καὶ Κύναιθα πόλιϲ Ἰθάκηϲ ὑπὸ τῷ Νηρίτῳ ὄρει. Ϲύμαιθα πόλιϲ Θετταλίαϲ. Ζάκανθα πόλιϲ Ἰβηρίαϲ, ἣν καθεῖλεν Ἀννίβαϲ, ὡϲ Ἀπολλόδωροϲ ἐν χρονικῶν τρίτῳ. Ϲάργανθα πόλιϲ Ἰβηρίαϲ.

* Τὰ εἰϲ κα̅ βαρύνεται, Ὄγκα ἡ Ἀθηνᾶ κατὰ Φοίνικαϲ. Ϲάλμυκα πόλιϲ πρὸϲ τὰϲ Ἡρακλείαϲ ϲτήλαϲ. λέγεται καὶ Ϲαλμύκη. Ταύακα πόλιϲ Ϲικελίαϲ. Φίλιϲτοϲ ὀγδόῳ. Ὄλοκα πόλιϲ Μακεδονίαϲ. Θεόπομποϲ πέμπτῳ Φιλιππικῶν. τὸ δὲ Ναυϲικᾶ κατὰ πάθοϲ ἐγένετο.

Τὰ εἰϲ λα̅ θηλυκὰ βαρύνεται, ψύλλα· ἔϲτι καὶ χωρίον μεταξὺ Ἡρακλείαϲ καὶ τοῦ Πόντου. Μένιπποϲ ἐν περίπλῳ τοῦ Πόντου «ἀπὸ Κρηνίδων εἰϲ Ψύλλαν χωρίον ϲτάδια κʹ, ἀπὸ Ψύλληϲ χωρίου εἰϲ Τίον πόλιν καὶ ποταμὸν Βιλλαῖον ϲτάδια πʹ». Ϲκύλλα. Ϲίβυλλα. ἅμιλλα. ἄελλα. παῦλα καὶ ἀνάπαυλα. Βάλα πόλιϲ τῆϲ Γαλιλαίαϲ. Ἰώϲηποϲ (Ant. Iud. 6, 6). Γέλα πόλιϲ Ϲικελίαϲ. καλεῖται δὲ ἀπὸ ποταμοῦ Γέλα, ὁ δὲ ποταμὸϲ ὅτι πολλὴν πάχνην γεννᾷ. ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Ϲικελῶν γέλαν λέγεϲθαι. Πρόξενοϲ δ' ἐν πρώτῃ τῶν περὶ πόρων Ϲικελικῶν καὶ Ἑλλάνικοϲ ἀπὸ Γέλωνοϲ τοῦ Αἴτνηϲ καὶ Ἱμέρου. Ἀριϲταίνετοϲ δ' ἐν πρώτῃ τῶν περὶ Φαϲήλιδα, ὅτι Λάκιοϲ καὶ Ἀντίφημοϲ ἀδελφοὶ ἐλθόντεϲ εἰϲ Δελφοὺϲ ἐμαντεύϲαντο, τὴν δὲ Πυθίαν οὐδὲν περὶ

Herod. ap. Eustath. 1687, 18, item Ἀνδρομέδα: ἰϲτέον ὅτι τὸ Λήδη Λῆδα λέγεται κατὰ Ἡρωδιανὸν Δωρικῶϲ. Δώρια δέ φηϲι καὶ ἡ Φιλομήλα καὶ ἡ Ἀνδρομέδα τροπῇ τοῦ η̄ εἰϲ ᾱ πεποιημένον. καὶ λέγει ἐκεῖνοϲ καί τινα αἰτίαν εἰϲ τοῦτο περιϲπῶν τὸ Λῆδα κατὰ τὸ Μοῦϲα. ἴϲωϲ δὲ Δώριον καὶ ἡ τόλμα, ὃ ἀναλογώτερον τοῦ τόλμη φηϲὶν Ἡρωδιανόϲ, cum quo loco cf. Choerob. Dict. 325, 1: Λήδη ἀναλογώτερόν ἐϲτι τοῦ Λήδα καὶ Ἀνδρομέδη τοῦ Ἀνδρομέδα· ἀλλὰ λέγομεν ὅτι Λήδη καὶ Ἀνδρομέδη ἦϲαν καὶ ἔτρεψαν Δωρικῶϲ τὸ η̄ εἰϲ ᾱ, δηλονότι μακρὸν καὶ ἐγένετο Λήδα καὶ Ἀνδρομέδα. l. 6 Ἔρθα accessit ex St. B., item Λύκαιθα usque ad finem; verba Arcadii μεθ' ὧν καὶ δίαιτα omisi, quia infra vocabulum in canone de nominibus in τα̅ proferam. Abhorret Θεβηθά φρούριον Μεϲοποταμίαϲ Ἀρριανὸϲ ἐν ἑνδεκάτῃ. l. 13 canonem ex Stephani nominibus finxi. Ϲάλμυκα reperitur apud St. B. s. v. et s. Τρίτη, Ϲαλμύκη s. Ἀκκαβικὸν τεῖχοϲ. Meinek. praefert posteriorem formam, quia Ϲάλμυξ Ϲαλμύκη melius congruat cum Ἔρυξ Ἐρύκη, sed ipse variationem specierum in η̄ et ᾰ breve p. 440, 8 explicavit. Omisi Πετροϲάκα χωρίον Ἀρκαδίαϲ propter accentum diversum. Ναυϲικᾶ recepi ex E. M. 24, 43: Ἀθήνη Ἀθηναία ὡϲ δίκη δικαία καὶ ὥϲπερ Ναυϲικάα κατὰ κρᾶϲιν τῶν δύο ᾱᾱ εἰϲ ᾱ μακρὸν γίνεται Ναυϲικᾶ, οὕτω καὶ ἀπὸ τοῦ Ἀθηναία ἀποβολῇ τοῦ ῑ γίνεται Ἀθηνάα καὶ κράϲει τῶν δύο ᾱᾱ εἰϲ ᾱ μακρὸν Ἀθηνᾶ. collato Arcadio 96, 23. l. 17 post θηλυκὰ verba ϲπάνια ὄντα cum A omisi, Ψύλλα proprium accessit ex St. B. — Ϲίβυλλα falso in Endlicheri Anall. p. 529 traditur paroxytonon esse, quoniam longa sit ultima, neque recte comparatur cum Καϲϲάνδρα. — Βάλα, Γέλα, Φίλα sunt ex St. B.

ἐκείνων λέγουσαν προστάσσειν τὸν Λάκιον πρὸς ἀνατολὰς ἡλίου πλεῖν. τοῦ δ' Ἀντιφήμου γελάσαντος τὴν Πυθίαν εἰπεῖν πάλιν «ἐφ' ἡλίου δυσμῶν» καὶ Γέλαν πόλιν οἰκίσαι. Φίλα πόλις Μακεδονίας, κτίσμα Δημητρίου τοῦ Ἀντιγόνου παιδός, τοῦ Γονατᾶ καλουμένου, ὃς ἀπὸ τῆς τούτου μητρὸς Φίλας ἐπὶ τοῦ Πηνειοῦ ἔκτισε πόλιν Φίλαν. ἔστι καὶ νῆσος ἐν Αἰγύπτῳ. Ἡρόδοτος τετάρτῃ (c. 178) «ἐπὶ ποταμὸν τὸν μέγαν, ᾧ ὄνομα Τρίτων ἐστίν, ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα. ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φίλα». Σμίλα πόλις Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Σμίλα πόλις». Πόλα πόλις Ἰλλυρίας. Βῶλα πόλις Ἰταλίας. Νῶλα πόλις Αὐσόνων. Ἑκαταῖος Εὐρώπῃ. Νώλην δὲ αὐτὴν Πολύβιός φησι. Βάλλα πόλις Μακεδονίας. Τράλλα καὶ Πάλλα Ἀμαζόνες. πάλλα ἡ σφαῖρα. Ἕλλα χωρίον Ἀσίας, Ἀττάλου βασιλέως ἐμπόριον. Πολύβιος ιϛ'. Πέλλα πόλις Μακεδονίας, Θεσσαλίας, Ἀχαΐας, κοίλης Συρίας ἡ Βοῦτις λεγομένη. ἡ δὲ Μακεδονίας πρότερον ἐκαλεῖτο καὶ Βουνόμεια . . . ἐκλήθη δὲ ἀπὸ Πέλλα τοῦ κτίσαντος. ἔστι καὶ Πέλλα ὄρος Αἰθιοπίας. βδέλλα. Κίλλα ἡ πόλις. κόλλα. Νέγλα πολίχνιον Ἀραβίας. Γλαῦκος δευτέρῳ Ἀραβικῆς ἀρχαιολογίας. Ἀμφίμαλα πόλις Κρήτης, Ὑλλούαλα δῆμος Καρίας. Ἀπολλώνιος ε' Καρικῶν «Κᾶρες δὲ τὸν τόπον ἐκεῖνον, ἔνθα Ὕλλος ἀπώλετο, Ὑλλούαλαν ὠνόμασαν καὶ ἕδος ἐνταῦθα ἐδείμαντο Ἀπόλλωνος. καὶ νῦν ἔτι παρὰ τὸν θεὸν δῆμός ἐστι Ὑλλούαλα λεγόμενος». ἄλα γὰρ οἱ Κᾶρες τὸν ἵππον ἔλεγον. Σκάβαλα χώρα Ἐρετριέων. Θεόπομπος εἰκοστῷ τετάρτῳ Φιλιππικῶν. Ῥέσαλα πόλις Ὀμβρικῶν. Μίσπιλα πόλις Μήδων. Ξενοφῶν τρίτῳ ἀναβάσεως (c. 4, 10). Ὀκρίκολα πόλις Τυρρηνῶν. Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Σατίκολα πόλις Ἰταλίας. Ἀπίολα πόλις Ἰταλίας. Κρόταλλα πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. Μάκαλλα πόλις Ἰταλίας. ἄμαλλα. Βίτελλα πόλις Ἰταλίας. Ἄτελλα πόλις Ὀπικῶν Ἰταλίας μεταξὺ Καπύης καὶ Νεαπόλεως. Ἔντελλα πόλις Σικελίας. Ἔφορος ιϛ'. Στύελλα φρούριον τῆς ἐν Σικελίᾳ Μεγαρίδος. Φίλιστος τετάρτῳ Σικελικῶν. Φρέγελλα πόλις Ἰταλίας. Σίκελλα κώμη Παλαιστίνης, ὡς Ἰώσηπος (A. I. I 6, 13, 9). θύελλα, δίκελλα, Μύριλλα, Πράξιλλα, Τελέσιλλα, Κύδιλλα, Κόριλλα πόλις Λατίνων. Διονύσιος τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Ἄκριλλα πόλις Σικελίας οὐ πόρρω Συρακουσῶν. Κορίολλα πόλις Ἰταλίας. Ἄβολλα πόλις Σικελίας. Ἄχολλα πόλις Λιβύης οὐ πόρρω τῶν Σύρτεων ἄποικος Μελιταίων. Ἄγυλλα πόλις Τυρρηνίας. Λυκόφρων (v. 1355) «Ἄγυλλαν Αὐσονῖτιν

---

1. 8 Σμίλα — Πέλλα ex St. B., βδέλλα, Κίλλα ex Theogn. 100, 21; κόλλα ex Eust. 1934, 22. — Νέγλα — Μάκαλλα ex St. B., ἄμαλλα ex Eust. l. c., Βίτελλα — Σίκελλα ex St. B., omisi nomina Latina πάτελλα ap. Theogn. Πρίσκελλα, Φαλκώνιλλα in E. M. 19, 50, Ep. Cr. I 14, 31: τὰ εἰς λα ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς λ̄ καταλήγουσαν πάντα προπαροξύνεται οἷον δίκελλα, μάκελλα, Σίβυλλα, Πρίσκιλλα, Φαλκώνιλλα καὶ ἄελλαι φωναὶ παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ. — θύελλα — Κύδιλλα ex Theogn. — Κόριλλα —

εἰςεκώμαςεν». Ἄνθυλλα ἀδελφὴ Μέμνονος, ἀφ' ἧς ἐν τῷ Νείλῳ πόλις ὁμώνυμος. Ἡρόδοτος δευτέρᾳ (c. 98) «Τουτέων δὲ ἡ μὲν Ἄνθυλλα ἐοῦςα λογίμη πόλις ἐς ὑποδήματα ἐξαίρετος». Ἴβυλλα πόλις Ταρτηςςίας. Ἀρίςτυλλα, φθίνυλλα. Ἔχετλα πόλις Σικελίας. ταῦτα μὲν οὖν προπαροξύνονται, παροξύνεται δὲ τὸ Μεςόλα πόλις Μεςςήνης, μία τῶν πέντε Νικόλαος τετάρτῳ. καὶ Ἱππόλα πόλις ἀρχαία Λακωνική. Παυςανίας τρίτῳ (c. 25, 9). καὶ Θυέλα πόλις Οἰνωτρίας, ἐν ᾗ μοῖρα Φωκαέων ᾤκηςεν, ὡς Ἡρόδοτος πρώτῳ (c. 167). Βοῖλλαι πόλις Λατίνων. καὶ Βουκεφάλα πόλις Ἰνδικῆς, ἣν ἔκτιςεν Ἀλέξανδρος «ἐπ' ἀμφοτέραις ταῖς ὄχθαις τοῦ Ὑδάςπου ποταμοῦ πόλεις ᾤκιςε, Νίκαιαν — Βουκεφάλαν δὲ ἔνθα διαβάντος καὶ μαχομένου ἀπέθανεν αὐτοῦ ὁ ἵππος Βουκεφάλας λεγόμενος». καὶ Αἶλα κόλπος κατά τινας. Γλαῦκος δὲ κώμην αὐτὴν λέγει ἐν Ἀραβικῶν τρίτῳ «τὰ πρὸς ἕω τῆς Αἴλας κώμης». ὡςαύτως καὶ Φιλομήλα Δώριον τροπῇ τοῦ η̄ εἰς ᾱ πεποιημένον.

Τὰ εἰς μα θηλυκὰ ςπάνια ὄντα βαρύνεται, τόλμα, θέρμα, Ἀττικῶς δὲ τόλμη καὶ θέρμη. ἔςτι δὲ καὶ πόλις Θέρμα, ἡ ὕςτερον Θεςςαλονίκη ἐκαλεῖτο. Μέςμα πόλις Ἰταλίας. Ἀπολλόδωρος ἐν τρίτῳ χρονικῶν.

Ἴβυλλα ex St. B., Ἄνθυλλα explevi ex Eustath. 117, 44, reperitur etiam in Ep. Cr. I 60, 28: τὰ διὰ δύο λ̄λ̄ ὀνόματα παραλήξεις ἔχει τῶν φωνηέντων χωρὶς τοῦ η̄ καὶ ω̄. ἄμαλλα (pro αὔμαλλος), πάλλα ἡ ςφαῖρα (sic Lob. emend. in Proll. 137, in Parall. 464 ἀνάβαλλα)· τὸ ε̄ δίκελλα θύελλα· τὸ ῑ Πράξιλλα, Τελέςιλλα, τὸ ō κόλλα· τὸ ῡ Σκύλλα, ψύλλα, Ἄνθυλλα· τὸ ω̄ καὶ τὸ η̄ παρῃτήςατο, ἐπεὶ μακρά ἐςτι· παρῃτήςατο δὲ ἡ διὰ δύο λ̄λ̄ ςυλλαβὴ τὰ φύςει μακρὰ ὑπὲρ τοῦ μὴ μακρὰ ἐπὶ μακροῖς γενέςθαι. — Ἀρίςτυλλα scripsi pro Ἐρέτυλλα ap. Theogn. et φθίνυλλα pro δίφυλλα. — Ἔχετλα cum Meinekio exhibui pro librorum scriptura Ἐχέτλα. Omnia inde ab hoc nomine usque ad Αἶλα sunt ex St. B., qui diserte de accentu s. Ἄβολλα adnotat: ὁ τόνος βαρὺς ὡς Ἄγυλλα et s. Βάλλα ὡς Πέλλα. Φιλομήλα accessit ex Eust. 1687, 18. — Parum accurate Eust. Herodiani sententiam retulisse videtur, quum sumendum sit eum non omnia omnino nomina in λα per duplex λ̄ scribenda esse, sed maximam partem docuisse. Eustathii adnotamenta sunt haec: 117, 44: ἰςτέον ὅτι καθάπερ ὁμίχλη διὰ τοῦ η̄, οὕτω καὶ κίχλη καὶ ζεύγλη καὶ τρίγλη, ὡς ἀρέςκον ἐςτὶ τῷ Ἡρωδιανῷ. τὰ μέντοι εἰς ᾱ, φηςί, τοιαῦτα ὀνόματα ὑπὲρ τὸ λ̄ καὶ ἕτερον ἔχει λ̄, ἤγουν διὰ δύο λ̄λ̄ ἐκφέρονται οἷον Σίβυλλα, Ἄνθυλλα ἀδελφὴ Μέμνονος, ἀφ' ἧς ἐν τῷ Νείλῳ πόλις ὁμώνυμος. ὅθεν φηςί, τὸ ςτρέβλα παραλόγως γραφὲν ὑπό τινων διορθωτέον· ἀναλογώτερον γὰρ τὸ ςτρέβλη. — p. 1934, 22: τὰ εἰς λ̄ᾱ λήγοντα θηλυκὰ πρὸ τοῦ λ̄ ἕτερον λ̄ ἔχει, ςκύλλα, κίλλα, κόλλα, βδέλλα, ἅμιλλα, ἄμαλλα, Τελέςιλλα· τὰ δὲ εἰς λ̄η οὐκέτι, ὁμίχλη, χύτλη, γενέθλη· οὕτω καὶ κίχλη ἥ τε ὄρνις καὶ ἰχθῦς. ἀρέςκεται τῷ τοιούτῳ κανόνι καὶ Ἡρωδιανός cf. Choer. Dict. 325, 10: ἰςτέον, ὅτι ἐὰν εὑρεθῶςι δύο λ̄λ̄, τῷ ᾱ χαίρουςιν οἷον θύελλα, ἄελλα, ἅμιλλα, Σκύλλα, πλὴν τοῦ Ἕλλη καὶ Πέλλη. ἰδοὺ ταῦτα δύο λ̄λ̄ ἔχοντα εἰς η̄ καταλήγουςιν· ἐὰν δὲ εὑρεθῇ ἓν λ̄ μὴ ἔχον προηγούμενον ςύμφωνον, τῷ η̄ χαίρει οἷον Ἐριφύλη, Σεμέλη, πύλη, αὐλή, φυλή, χηλή ὄνυξ πλὴν τοῦ παῦλα καὶ τοῦ ἀνάπαυλα, τὸ γὰρ Φιλομήλα Δωρικῶς ἔτρεψε τὸ η̄ εἰς τὸ ᾱ μακρόν, Φιλομήλη γὰρ ἦν. ὁμοίως δὲ καὶ τὰ ἔχοντα τὸ λ̄ ἐν ἐπιπλοκῇ ςυμφώνου τῷ η̄ χαίρουςιν — οἷον — ζεύγλη, τρίγλη, κίχλη, ὁμίχλη (τὸ γὰρ ζεῦγλα εὑρεθὲν παρὰ τοῖς ἀρχαίοις κατὰ ποιητικὴν ἐξουςίαν ςυνέςτειλε τὸ η̄ εἰς ᾱ). l. 15 hic canon ap. Arcadium praecedenti praepositus est. De τόλμα Herod. ap. Eust. 1687, 18: ἴςως δὲ Δώριον καὶ τόλμα, ὃ ἀναλογώτερον τοῦ τόλμη φηςὶν Ἡρωδιανός. Θέρμα ex St. B. s. Θεςςαλονίκη collato Strab. p. 330 adieci (cf. Meinek. ad St. B.), Μέςμα item ex St. B. — de θέρμα et θέρμη cf. Lob. ad Phrynich. 331 et Meinek. phil. exercitt. in Athen. II p. 28.

Τὰ εἰς να μονογενῆ βαρύνεται, Κύννα ἡ πόρνη, ἔστι καὶ Κύννα πολίχνιον πλησίον Ἡρακλείας ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ἢ Κύννου τοῦ ἀδελφοῦ Κοίου. Ἄννα πόλις Ἰουδαίας ὑπὲρ Ἱεριχοῦντα, γέννα, χλαῖνα· εἰ δέ τι ἄλλο εὑρεθείη, κατὰ διάλεκτον ἢ πάθος ἐγένετο ὡς τὸ Ἑλένα Ἑλένη, Ἀθηνάα Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ παρ' Ἑκαταίῳ.

* Τὰ εἰς να δισύλλαβα βαρύνεται, πῖνα ἐπὶ τοῦ ὀστρέου, πεῖνα, Σπῖνα πόλις Ἰταλίας ὡς Εὔδοξος καὶ Ἀρτεμίδωρος. Κρῶμνα πόλις Παφλαγονίας «Κρῶμναν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους» (Β 855) ἡ ὕστερον Ἄμαστρις, ἀπὸ Κρώμνου τοῦ Λυκάονος. ἔστι καὶ Πελοποννήσου πόλις ἀρσενικῶς καὶ θηλυκῶς καὶ ἑνικῶς καὶ πληθυντικῶς. Οἶνα πόλις Τυρρηνίας ἐχυρὰ λίαν. Φάνα πόλις Αἰτωλίας καὶ Φάναι πληθυντικῶς ἀκρωτήριον τῆς Χίου ἀπὸ τοῦ ἐκεῖθεν ἀναφανῆναι τῇ Λητοῖ τὴν Δῆλον. Μάγνα νῆσος Λιβυκή. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν, ἣ κατὰ τὴν τῶν Λιβύων φωνὴν Σαμαθώ, ὅ ἐστι μεγάλη. Πύδνα πόλις Μακεδονίας. Θάμνα πόλις Παλαιστίνης. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἱστορίας (c. 10). Τάμνα πόλις Ἀραβική, ὡς Ἀλέξανδρος ὁ πολυΐστωρ. Σμύρνα πόλις Ἰωνίας ἀπὸ Σμύρνης Ἀμαζόνος κατεχούσης τὴν Ἔφεσον, ἣ καὶ Σμύρνα ἐκαλεῖτο ἀπ' αὐτῆς. Σύρνα πόλις Καρίας. Ἄρνα πόλις Λυκίας. οὕτω γὰρ ἡ Ξάνθος ἐκαλεῖτο ἀπὸ Ἄρνου τοῦ καταπολεμήσαντος Πρωτόγονον. Πύτνα πόλις Κρήτης ἡ ὕστερον Ἱεράπυτνα. Ἔννα πόλις Σικελίας. Βέννα πόλις Θρᾴκης δι' ἑνὸς ν καὶ διὰ δύο. καὶ ἡ γραφὴ διάφορος καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ε, ὅπερ κρεῖττον. ἔστι δὲ καὶ Βέννα μία φυλὴ τῶν ἐν Ἐφέσῳ πέντε.

* Τὰ εἰς να ὑπερδισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου προπαροξύνεται, μάραγνα ἡ μάστιξ, Ἄφιδνα δῆμος Ἀττικῆς καὶ Λεοντίδος φυλῆς ἀπὸ Ἀφίδνου αὐτόχθονος· ἔστι καὶ πληθυντικὸν Ἀφίδναι. ἔστι καὶ τῆς Λακωνικῆς, ὅθεν ἦσαν αἱ Λευκιππίδες Φοίβη καὶ Ἐλάειρα. Δάριδνα κώμη Παφλαγονίας, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ αὐτῆς. Κάλυδνα νῆσος καὶ πόλις Θήβης ἀπὸ Καλύδνου παιδὸς Οὐρανοῦ. λέγεται καὶ Κάλυδνος. Σώλιμνα πόλις Ἰνδίας. Ἄντεμνα πόλις Σαβίνων, μία τῶν ἀνθεστηκυιῶν Ῥωμύλῳ. Μήθυμνα ἡ Μάκαρος θυγάτηρ καὶ γυνὴ Λεπετύμνου καὶ πόλις ἐν Λέσβῳ τῇ νήσῳ ὁμωνύμως. Νώνυμνα πόλις Σικελίας. Κάλυμνα νῆσος, ἣν ὁ Σκήψιος πληθυντικῶς Καλύμνας φησί. Πρόσυμνα μοῖρα τοῦ Ἄργους. Πολύδαμνα. Ἀγάθυρνα πόλις Σικε-

---

l. 1 Κύννα oppidulum accessit ex St. B., Ἄννα ex eodem expletum est. — Pro Arcadii verbis hoc loco positis: εἰ μὴ κατὰ πάθος γένοιτο, Ἀθηνᾶ, μνᾶ dedi verba Arcadii in alienum locum translata p. 101, 1 Δανᾶ adiecto ex Mon. 73, 5 et Dichr. 288 cf. Lob. El. II 51. — Canonem de Italicis nominibus, qui cum hoc ap. Arcadium coniunctus est, infra canoni de nominibus in να vocali praecedente adnectam. l. 6 hunc canonem finxi ex nominibus a St. B. relatis additis πῖνα ex Theogn. 101, 1 et πεῖνα ex Choer. Orth. 171, 8. l. 24 canon ex Stephani nominibus compositus est, μάραγνα receptum ex Schol. ad Eurip. Rhes. 817 vol. V p. 597 ed. Matthiae: μάραγνα, οὕτως (προ)παροξύνει ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου. δηλοῖ δὲ τὴν μάστιγα ἤτοι μαστίγων πλήγμασιν ἢ τῷ καρατομηθῆναι. cf. Lob. Parall. p. 81 not. 19, Schmidt. ad Hesych. s. v. De Σώλιμνα St. B. disertis verbis: Σώλιμνα πόλις Ἰνδίας, ὡς Ἡρωδιανὸς ἐν ἑνδεκάτῳ. — Πολύδαμνα inserui ex Schol.

λίας, ὡς Πολύβιος ἐνάτῃ. Ἀλίκυρνα κώμη Ἀκαρνανίας. Στράβων (X p. 459). Ἀλίσαρνα πόλις τῆς Τρῳάδος χώρα. Θεόπομπος. Ἄταρνα πόλις μεταξὺ Μυσίας καὶ Λυδίας πλησίον Λέσβου. Μηκύβερνα πόλις Παλλήνης τῆς ἐν Θρᾴκῃ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ. Ἐλεύθερνα πόλις Κρήτης ἀφ' ἑνὸς τῶν Κουρήτων. Κάλαρνα πόλις Μακεδονίας, ὡς Λούκιος ὁ Ταρραῖος. Σάμορνα· οὕτως ἡ Ἔφεσος ἐκαλεῖτο. Φαλάσαρνα πόλις Κρήτης. Μέντυρνα πόλις ἐν Ἰταλίᾳ Σαυνιτῶν. Διονύσιος ἑκκαιδεκάτῳ. Ἱεράπυτνα πόλις Κρήτης.

* Τὰ εἰς ννα προπαροξύνεται, Φάλαννα πόλις Περραιβίας ἀπὸ Φαλάννης τῆς Τυροῦς θυγατρός. Λυκόφρων (v. 906) «Γόννον Φάλανναν ἠδ' Ὀλοσσόνων γύας». Ἑκαταῖος ἱστοριῶν α' Ἱππίαν αὐτὴν καλεῖ καὶ Ἔφορος Φάλαννον αὐτὴν καλεῖ ἐν τῷ θ'. ἔστι καὶ ἑτέρα Κρήτης. Ἔραννα πόλις Τριφυλίας, ἥτις Κυπαρισσία καλεῖται. Ῥάβεννα πόλις Ἰταλίας. Ἕρμιππος ὁ Βηρύτιος Ῥούενναν αὐτὴν καλεῖ. Διονύσιος δ' ἐν ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας καὶ πληθυντικῶς καὶ διὰ τοῦ η καὶ δι' ἑνὸς ν «ἀμφότεροι ἀπήντησαν Οὐολουμνίῳ περὶ τοὺς καλουμένους Ῥαβηνούς». Ὕτεννα πόλις Λυκίας. Φίλιννα, Ἤριννα, Κόριννα, Βίτιννα. Βούκιννα πόλις Σικελίας. Πέλιννα πόλις Θεσσαλίας ἐν τῇ Φθιώτιδι. κέκληται ἀπὸ Πελίννου τοῦ Οἰχαλέως. Ὤλιννα πόλις πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. τὸ δὲ Καπίννα Τυρρηνικὴ πόλις παροξύνεται. λέγεται καὶ πληθυντικῶς. Τόροννα πόλις Σικελίας. Φόρουννα πόλις Θρᾴκης. Πολύβιος ἐνάτῳ. Δίκτυννα. Ἕρκυννα.

* Τὰ εἰς να ὑπερδισύλλαβα φωνήεντι παραληγόμενα προπαροξύνεται, Ἴχανα πολίχνιον τῆς Σικελίας, διὰ τὸ τῇ αὐτοῦ ἁλώσει πολλὰ προσλιπαρῆσαι τοὺς Συρακοσίους. ἰχανᾶν δὲ τὸ ἐπιθυμεῖν. Κάρανα πόλις Γαλατίας ὑπὸ Ῥωμαίων συνοικισθεῖσα. Κάρμανα νῆσος τῆς Ἰνδικῆς. Κάρνανα πόλις Μιναίων ἔθνους πλησίον Ἐρυθρᾶς θαλάσσης. Ἄμμανα πόλις Συρίας ἡ ὕστερον Ἀστάρτη. Μάργανα πόλις τῆς Ἰνδικῆς. ἔστι καὶ Μαργάναι πληθυντικῶς. τρίαινα, μύραινα εἶδος θαλασσίου θηρίου. Ζύγαινα νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Μάζαινα πόλις Παλαιστίνης ἀπὸ Μαζαίνου. Δρύαινα πόλις Κιλικίας κτίσμα Δρυαίνου ὡς Σκύθαινα, Κηρύκαινα, Δύμαινα. Εὐφορίων «δαίμων ἀντιάσαιτο φιλοπλοκάμοισι Δυμαίναις». Φιδήνα καὶ Φιδήνη πόλις Ἀλβανῶν. Σάλωνα πόλις Ἐρετρίας. Μόργυνα πόλις Σικελῶν. Φίλιστος δευτέρῳ. Τάμυνα πόλις Ἐρετρίας. Στράβων δεκάτῃ (p. 447). καὶ πληθυντικῶς «εἰς τὰς Ταμύνας» (Demosth. c. Boeot. p. 999, 8). ἄμυγα, εὔθυνα, χέλυνα, Κίκυνα, σίγυνα. Αἴγινα νῆσος μία τῶν Κυκλάδων, ἥτις Οἰνώνη ἐκαλεῖτο, ὕστερον δὲ Αἴγινα ἀπὸ τῆς Ἀσωποῦ

ad Od. IV 228 Πολύδαμνα ὡς Μήθυμνα. l. 9 canon ex Stephani nominibus compositus est et ex Theognosto, ex quo sumpta sunt Φίλιννα — Βίτιννα et Δίκτυννα, Ἕρκυννα, quod Lob. Proll. 228 not. 5 pro corrupto ἔρυνα ponendum suadet. l. 23 canonem finxi ex Stephani nominibus additis ex canone orthographico in An. Ox. II 325, 22 τρίαινα, μύραινα et l. 37 ἄμυνα — σίγυνα, quod

μὲν θυγατρὸς Αἰγίνης, Αἰακοῦ δὲ μητρός. Βέλβινα πόλις Λακωνική. Παυσανίας ὀγδόῳ (c. 35, 4). ἔστι καὶ νῆσος, ὡς Ἀρτεμίδωρος. Βέμβινα κώμη τῆς Νεμέας. Ἑλλάνικος δὲ Βέμβινον καὶ πόλιν φησίν. Βίλβινα πόλις Περσική. Μέλινα πόλις Ἄργους, ἀφ' ἧς Ἀφροδίτη Μελιναία τιμᾶται. Λυκόφρων «τὴν Καστνίαν δὲ καὶ Μελιναίαν θεόν» (v. 403). Μύρινα πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ τῆς Αἰολίδος ἄλλη. ἀπὸ Μυρίνης ἀμφότεραι ἢ Μυρίνου. Σάνινα πόλις ἐπὶ τῆς Ἐρυθρᾶς θαλάσσης. Κάρμινα νῆσος Ἰνδική. Ἄλινα νῆσος Λυκίας. Ἀρτεμίδωρος ἐν ἐπιτομῆς πρώτῳ. Κύτινα πόλις Θεσσαλίας, ὡς Θέων ἐν ὑπομνήματι Λυκόφρονος. Λάγινα πολίχνιον Καρίας. Ἀπολλώνιος Καρικῶν ἑκκαιδεκάτῳ. Ῥέσινα πόλις περὶ τὸν Ἄβορον ποταμόν. Ἀγύρινα πόλις Σικελίας. Διονύσιος δὲ τὸ Ἀγύριον ἔφη. Γαλάρινα πόλις Σικελίας κτίσμα Μόργου Σικελοῦ. Λάρινα πόλις Δαυνίων. Καμάρινα πόλις Σικελίας. καὶ λίμνη, ἀφ' ἧς ἡ παροιμία «μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων». Μαμάρκινα πόλις Αὐσονική. Ἄρπινα πόλις Ἤλιδος ἀπὸ Ἁρπίνης τῆς Ἀσωποῦ, ἀφ' ἧς καὶ Ἄρεος Οἰνόμαος. λέγεται καὶ Ὀλυμπία. Νικάνωρ. Σάλπινα ὄνομα κύριον. Μυκέρινα ὄνομα πόλεως. τὰ δὲ Ἰταλικὰ προπερισπῶνται, Σαβῖνα, Φαυστῖνα, Ἰουστῖνα, Κωνσταντῖνα, ἡμῖνα, Πλωτῖνα. Τερῖνα πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων. τινὲς δὲ νῆσον αὐτήν, εἰς ἣν ἐξεβράσθη Λίγεια ἡ Σειρήν, ὡς Λυκόφρων (v. 726) «Λίγεια δ' εἰς Τερῖναν ἐκναυσθλώσεται». Ἀκυλῖνα πόλις Ἰλλυρική. Θεόπομπος. Ταρρακῖνα πόλις Ἰταλίας. Διονύσιος ιε' Ῥωμαϊκῆς ἀρχαιολογίας. Τυρακῖναι πόλις Σικελίας μικρὰ μὲν εὐδαίμων δ' ὅμως. Τυράκην δὲ αὐτὴν Ἀλέξανδρος ἐν Εὐρώπῃ καλεῖ.

* Τὰ εἰς πα σπάνια ὄντα βαρύνεται, Βόρσιππα πόλις Χαλδαίων. λέγεται καὶ οὐδετέρως. Μέταπα πόλις Ἀκαρνανίας. Πολύβιος πέμπτῳ. Ζαρίασπα καὶ Ζαριάσπη πόλις Βακτριανή. Στράβων ἑνδεκάτῃ (p. 514). Χάραξ δὲ οὐδετέρως τὰ Ζαρίασπα.

Τὰ εἰς ρα μακρὸν μακρᾷ παραληγόμενα παροξύνεται ἀπὸ συμφώνου ἀρχόμενα, πήρα καὶ Πήρα πόλις Πισιδίας. χώρα. Ξήρα πόλις περὶ τὰς Ἡρακλείας στήλας. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ. θήρα. Θήρα νῆσος τῶν Σποράδων κτίσμα Μεμβλιάρου ἑνὸς τῶν μετὰ Κά-

---

tamen σίγυννα scriptum est, ex Theogn. 101, 6 et Σάλπινα et Μυκέρινα ex eodem p. 100, 32 et 33. De Ῥέσινα St. B.: Ῥέσινα: εἰ μὲν ὡς Αἴγινα τονωθείη, τὸ ἐθνικὸν Ῥεσινάτης, εἰ δὲ ὡς Τερῖνα, Ῥεσιναῖος. Ῥεσινάτης δὲ ἄμεινον. Λάρινα, Καμάρινα, Μαμάρκινα ap. Steph. proparoxytona sunt et Καμάρινα hoc accentu etiam ap. Theognostum notatum est, quare non cum Lobeckio Proll. 224 accentum mutandum, sed canonem de nominibus Italicis exceptiones suas habere existimo. — Inde a l. 18 τὰ δὲ Ἰταλικὰ canon Arcadii est, quem amplificavi nominibus ἡμῖνα Πλωτῖνα ex Theogn. 101, 4, reliquis ex Stephano B. adiectis. l. 27 canonem finxi ex nominibus a Stephano relatis, omisi Φράασπα, quod neutrum esse potest; Ἰάθριππα est neutrum. l. 31 canonem Arcadii p. 100, 24: τὰ εἰς ᾱ μακρὸν μὴ ἀπὸ συμφώνου ἀρχόμενα πλὴν τοῦ ρ̄ παροξύνεται, Ἥρα, ὀπώρα, χώρα nequiter mutilatum restitui ex Lobeckii coniectura El. I 9 not. 7, πήρα, θήρα,

δμου. ἔϲτι καὶ Ῥόδου πόλιϲ ταπεινή. καὶ Καρίαϲ ἄλλη. καὶ Cογδιανῆϲ ἄλλη. χήρα. πλὴν τοῦ φ̅ διὰ τὸ Φηρά «Φηράϲ τε Ζαθέαϲ ἠδ' Ἄνθειαν βαθύλειμον» (Il. I 151). τὰ δὲ ἀπὸ φωνήεντοϲ ἀρχόμενα παροξύνεται, Ἥρα, ὥρα, ὀπώρα.

Τὰ εἰϲ ρ̅α̅ διϲύλλαβα ϲυνεϲταλμένον ἔχοντα τὸ α̅ βαρύνεται, ϲφαῖρα, μοῖρα, πεῖρα, ϲφῦρα. Βοῦρα πόλιϲ Ἀχαΐαϲ ἀπὸ Βούραϲ θυγατρὸϲ Ἴωνοϲ τοῦ Ξούθου καὶ Ἑλίκηϲ. Νῶρα πόλιϲ ἐν Cαρδοῖ τῇ νήϲῳ. Cῶρα πόλιϲ Ἰταλίαϲ. Cοῦρα μαντεῖον Λυκίαϲ. τὰ δὲ μὴ ϲυνεϲταλμένον τὸ α̅ ἔχοντα ὀξύνεται, ἱρά ἡ ἐκκληϲία. τοῦτο δὲ διφορεῖται καὶ κατὰ τὴν ἐτυμολογίαν καὶ κατὰ τὴν γραφήν. εἰ μὲν γὰρ παρὰ τὸ εἴρω τὸ λέγω, διὰ διφθόγγου, εἰ δὲ ἀπὸ τοῦ ἱερὰν εἶναι διὰ τοῦ ι̅. ϲειρά, πυρά, οὐρά, φρουρά, πλευρά. Φαραί πόλιϲ Μεϲϲήνηϲ, ὅθεν ἦϲαν οἱ Ἀφαρητιάδαι· ἔϲτι καὶ Ἀχαΐαϲ. εἰϲὶ καὶ Φαραί Βοιωτίαϲ. ἔϲτι δὲ ἄλλη Κρήτηϲ ἄποικοϲ τῆϲ ἐν Μεϲϲήνῃ, ὡϲ Φίλων. ἀρά καὶ Ἀρά Ἀθάμαντοϲ θυγάτηρ καὶ Ἀραί νῆϲοι τρεῖϲ οὕτω λεγόμεναι διὰ τὰϲ ἀράϲ, ἃϲ Δωριεῖϲ ἐποιήϲαντο πρὸϲ τοῦ Πενταπολίταϲ, ὡϲ Ἀριϲτείδηϲ.

Τὰ εἰϲ ρ̅α̅ ὑπὲρ δύο ϲυλλαβὰϲ τὸ α̅ βραχὺ ἔχοντα προπαροξύνεται, μάχαιρα, χίμαιρα, Δηϊάνειρα, ϲκολόπενδρα.

* Τὰ εἰϲ α̅ρ̅α̅ ὑπὲρ δύο ϲυλλαβὰϲ παροξύνεται, Κυπάρα κρήνη Cικελίαϲ, ἣ καὶ Ἀρέθουϲα ἐλέγετο, Βατεράρα πόλιϲ Λιγύων. Ἰνδάρα Cικανῶν πόλιϲ. Θεόπομποϲ. Καμάρα πόλιϲ Κρήτηϲ, ἥτιϲ Λατώ ἐλέγετο. Λιπάρα νῆϲοϲ μεγίϲτη τῶν ἑπτὰ τοῦ Αἰόλου, ἡ Μελιγουνὶϲ ἐλέγετο, πληϲίον Cικελίαϲ, ἀπὸ Λιπάρου τοῦ Αὔϲονοϲ υἱοῦ. λέγεται καὶ πληθυντικῶϲ. Μακκάραι χώρα ὑπὲρ Φάρϲαλον. Θεόπομποϲ πέμπτῳ Φιλιππικῶν.

* Τὰ εἰϲ ε̅ρ̅α̅ διϲύλλαβα μακροκατάληκτα βαρύνεται, ἔρα, Δέρα ὄνομα τόπου Λακωνικῆϲ, Μέρα ὄνομα πόλεωϲ, δέρα, τοῦτο δὲ παρὰ τῷ ποιητῇ διὰ τῆϲ ε̅ι̅ διφθόγγου γράφεται καὶ ὀξύνεται. τὸ δὲ Φεραί

χήρα additis ex Mon. 38, 10 (cf. E. M. 791, 45): Φηρά: τὰ εἰϲ ρ̅α̅ λήγοντα διϲύλλαβα μονογενῆ θηλυκά, εἰ παραλήγοιτο τῷ η̅, βαρύνεϲθαι θέλει, πήρα, χήρα, θήρα. ϲημειῶδεϲ ἄρα τὸ Φηρά, et Πήρα Ξήρα Θήρα ex St. B., unde etiam Φηρά explevi. Omisi Δηρά πόλιϲ τῆϲ Ἰβηρίαϲ, propter quod praeter φ̅ etiam δ̅ eximi debebat. Verba Arcadii εἰ δέ τι εὑρεθῇ κτλ. adieci canoni de nominibus in ν̅α̅ supra p. 256, 4. l. 6 ex St. B. adieci Βοῦρα Νῶρα Cῶρα Cοῦρα, de quo: περὶ οὗ Πολύχαρμόϲ φηϲιν ἐν Λυκιακοῖϲ «ὅπου νῦν φρέαρ θαλάϲϲηϲ τόποϲ Cούριοϲ καλούμενοϲ». Adnotationem de scriptura vocis ἱρά apposui ex E. M. 303, 38 coll. Eustath. 1060, 36. l. 12 Φαραί et Ἀρά propter quod ἀρά inserui, sunt ex St. B. l. 19 canonem ex nominibus a St. B. prolatis composui, vocabula aliter scripta velut Βοϲίραρα πόλιϲ Αἰγύπτου pro neutris habenda sunt. Pro Μανδαραί (μέροϲ τῆϲ Μακεδονικῆϲ Κύρρου) in libris Μανδάραι scriptum est, Δουϲαρά Δουϲαρή (ϲκόπελοϲ καὶ κορυφὴ ὑψηλοτάτη Ἀραβίαϲ) item paroxytonos proferendum iudico. Etiam Βαίταρρα πόλιϲ Κελτική, quam Plinius Beterram dicit, Βαιτάρρα pronunciandum videtur. Hic commemoratum fuit etiam ἀντιφάρα ἡ ζήλη παρὰ τοῖϲ Cυρακουϲίοιϲ παρὰ τὸ φέρω, ὃ Δωριεῖϲ φάρω λέγουϲιν ὡϲ τὸ τέμνω τάμνω καὶ τὸ τρέπω τράπω· φάρω οὖν φάρα καὶ ἀντιφάρα ἡ ἐναντίωϲ φερομένη. Ep. Cr. I 83, 22, E. M. 114, 20 cf. Hesych. s. v. l. 26 hunc canonem sumpsi ex Theogn. 101, 10; pro Πέρα scripsi Δέρα ex St. B. addens Λακωνικῆϲ; item δέρα pro πέρα. Φεραί explevi ex St. B.

πόλις Θεσσαλίας ὀξύνεται «οἵ τε Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην» (Β 711). ἀπὸ Φέρητος τοῦ Κρηθέως ἢ Φερᾶς τῆς Αἰόλου θυγατρός. εἰσὶ καὶ ἄλλαι Φεραί ἀρχαῖαι τῶν νῦν Φερῶν ἀπέχουσαι στάδια ὀκτώ. εἰσὶ καὶ ἄλλαι Ἰαπυγίας καὶ Αἰτωλίας καὶ Παρθυαίων.

Τὰ εἰς ρα μακροκατάληκτα τρισύλλαβα παραληγόμενα τῷ ε μονογενῆ βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη, ἡμέρα, ἀσκέρα εἶδος ὑποδήματος, διφθέρα, λακέρα, χολέρα, ἑσπέρα, ὑπέρα, ἀλέρα, Τερμέρα Ὠγύγου μήτηρ, κυσέρα, Θεσκέρα ἡ τιθηνὸς Διονύσου. Ἱμέρα πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ Λιβύης, μεθ᾽ ὧν καὶ Φιλωτέρα πόλις περὶ τὴν Τρωγλοδυτικήν, Σατύρου κτίσμα. Ἀπολλόδωρος δὲ Φιλωτερίδα καλεῖ. ἔστι καὶ κοίλης Συρίας Φιλωτέρα, ὡς Χάραξ ἐν ὀγδόῳ χρονικῶν. τινὲς δὲ καὶ Φιλωτερίαν αὐτὴν εἰρήκασιν. τὸ δὲ Γλυκερά ὀξύνεται, εἴτε κύριον εἴτε ἐπιθετικὸν εἴη ὡς καὶ Ἱερά· οὕτως γὰρ ἐκλήθη ἡ Τάρσος πόλις. καὶ τὸ περιστερὰ τετρασύλλαβον καὶ τὸ Ἐλευθεραί πληθυντικῶς λεγόμενον. ἔστι δὲ πόλις Βοιωτίας ἀπὸ Ἐλευθῆρος τοῦ Ἀπόλλωνος· ἔστι καὶ Κρήτης ἀπὸ Ἐλευθῆρος ἑνὸς τῶν Κουρήτων, ἥτις καὶ Σάωρος ἐκαλεῖτο ἀπὸ Σαώρης νύμφης. ἔστι καὶ ἄλλη ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ἐν τῷ Πόντῳ διὰ τὸ φυγόντας Αἰήτην τοὺς περὶ Ἰάσονα ἐκεῖ τοῦ φόβου ἐλευθερωθῆναι. ἔστι καὶ πόλις Λυκίας ἀπό τινος νύμφης.

* Τὰ εἰς ηρα ὑπερδισύλλαβα μονογενῆ παροξύνεται, μερμήρα, Ὀτρήρα, Δασλήρα· ἔστι δὲ ὄνομα λίμνης, μενδήρα. τὸ δὲ Αἱμηρά καὶ Λιμηρά ἐπιθετικά ἐστιν· οὕτως γὰρ ἐκαλεῖτο Ἐπίδαυρος, Αἱμηρά μὲν διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν τοῦ Ἀσκληπιοῦ ὑπὸ τῶν θυσιῶν, Λιμηρά δὲ οἱονεὶ λιμενηρά τις οὖσα. τινὲς δὲ Λιμηρὰν Λακωνικὴν λέγουσι μίαν τῶν ἑκατὸν διὰ τὸ πολλοὺς ἔχειν λιμένας.

* Τὰ εἰς ρα δισύλλαβα μονογενῆ τῷ ο παραληγόμενα ὀξύνεται, σπορά, φθορά, δορά, φορά, Θορά δῆμος Ἀττικὸς τῆς Ἀκαμαντίδος φυλῆς, μεθ᾽ ὧν καὶ ἀγορά τρισύλλαβον. ἔστι δὲ καὶ πόλις ἐν Χερρονήσῳ.

* Τὰ εἰς ρα δισύλλαβα τῷ υ παραληγόμενα βαρύνεται· καὶ τὸ μὲν σφῦρα ἐκτεῖνον τὸ ῡ καὶ συστέλλον τὸ ᾰ προπερισπᾶται, τὸ δὲ λύρα

l. 5 canonem ex Arcad. 101, 3 huc transtuli. λακέρα Lobeckio Proll. 262 pariter ignotum est atque ἀκέρα ἔνδυμά τι πολυτελές ap. Hesych. — χολέρα — Θεσκέρα sunt ex Theogn. 101, 16 et 106, 30, Τερμέρα, quod ex St. B. explevi, pro Τρομέρα et κυσέρα pro κυδέρα proposuit Lob. Proll. 262 not. 20. Ἱμέρα, Φιλωτέρα recepi ex St. B., Ἱερά ex eodem. Ἐλευθεραί explicavi ex St. B. Exstat canon etiam ap. Choer. Ep. in Psalm. 39, 12: τὰ εἰς ρα θηλυκὰ τρισύλλαβα μακροκατάληκτα παραληγόμενα τῷ ε, μονογενῆ ὄντα, ὀξύνονται· καὶ τὸ περιστερά, ὅτι ὑπὲρ τρεῖς συλλαβάς. l. 21 canonem finxi ex Theogn. 107, 16 cf. Lob. Proll. 264. Δασλήρα explevi ex E. M. 249, 15, qui locus sumptus est ex libro περὶ συντάξεως στοιχείων. Αἱμηρά et Λιμηρά ex St. B. adieci. l. 27 canonem ex Theogn. 107, 20 finxi; Θορά explevi ex St. B., ubi Θοραί oxytonos profertur, quum in E. M. 453, 21 et ap. Harpocrat. paroxytonos scriptum sit. Verba μεθ᾽ ὧν καὶ ἀγορά τρισύλλαβον ipse addidi urbem ex St. B. apponens.
l. 31 hunc canonem ipse composui ex Dichr. 288, 4 et Mon. 17, 24, ubi: λέγεται

καὶ θύρα ἐκτείνοντα τὸ ᾱ καὶ ϲυϲτέλλοντα τὸ ῡ παροξύνεται, ὡϲαύτωϲ καὶ Μύρα πόλιϲ Λυκίαϲ ἀπὸ μύρων ἢ ἀπὸ Μύρωνοϲ ἢ ἀπὸ Μύρου ποταμοῦ παραρρέοντοϲ· ἄμεινον δὲ τὸ πρῶτον. λέγεται καὶ οὐδετέρωϲ.' ὡϲαύτωϲ καὶ Ψύρα νῆϲοϲ μικρὰ πληϲίον Χίου, ἣν ὁ ποιητὴϲ Ψυρίαν καλεῖ «νήϲου ἐπὶ Ψυρίηϲ» (Od. γ 171). τὸ δὲ Κῦρα ἡ κρήνη ἐκτεῖνον τὸ ῡ καὶ τὸ ᾱ διὰ τοῦ η̄ ἐξηνέχθη Κύρη. ϲεϲημείωται τὸ πυρά ὀξυνόμενον. τὸ δὲ (Od. δ 500)

Γυρῇϲίν μιν πρῶτα Ποϲειδάων ἐπέλαϲϲεν,
πέτρῃϲιν μεγάλῃϲι

εἰ καὶ ἰδίωϲ λέγεται, ἀλλ' ὅμωϲ ἔχει τάξιν ἐπιθετικήν.

Τὰ εἰϲ ρᾰ ὑπὲρ δύο ϲυλλαβὰϲ τῷ ῡ παραληγόμενα βαρύνεται. ἀλλ' εἰ μὲν ἔχωϲι τὸ ᾱ μακρόν, παροξύνεται, πορφύρα. Ἐφύρα πόλιϲ Ἠπείρου ἀπὸ Ἐφύρου τοῦ Ἄμβρακοϲ τοῦ Θεϲπρωτοῦ τοῦ Πελαϲγοῦ τοῦ γηγενοῦϲ τοῦ Ἀρκάδοϲ. δευτέρα περὶ Ἦλιν. ἦν δὲ αὕτη μεταξὺ Πύλου καὶ Ἤλιδοϲ, ὡϲ Παρμενίϲκοϲ φηϲίν. Ὅμηροϲ δὲ τὸ Ἐφύρη ἐπὶ τῆϲ Κορίνθου ἔφη. οὕτωϲ δὲ ἐκαλεῖτο ἀπὸ Ἐφύραϲ τῆϲ Μύρμηκοϲ τῆϲ Ἐπιμηθέωϲ γυναικόϲ. ἔϲτι καὶ ἄλλη Ἐφύρη Κράννουν λεγομένη, ὥϲ φηϲι Κινέαϲ ὁ ῥήτωρ καὶ Ἐπαφρόδιτοϲ. καὶ νῆϲοϲ οὐ μακρὰν ἀπέχουϲα Μήλου. ἔϲτι καὶ Ἰταλίαϲ κατὰ Καμπανίαν. ἔϲτι καὶ κώμη Αἰτωλίαϲ Ἐφύρα. κολλύρα, Ζεφύρα, Φιλύρα, Κιβύρα πόλιϲ πρὸϲ νότον Μαιάνδρου. Ἀντικύρα πόλειϲ δύο ἡ μία Φωκίδοϲ, ὡϲ Δημήτριοϲ ὁ Καλλατιανόϲ, ἡ δὲ ἐν Μαλιεῦϲιν, ὡϲ Ἀπολλόδωροϲ. Τεγύρα πόλιϲ Βοιωτίαϲ, Ϲῆμοϲ ὁ Δήλιοϲ «τὴν Ἀπόλλωνοϲ γένεϲιν οἱ μὲν ἐν Λυκίᾳ, οἱ δ' ἐν Δήλῳ, οἱ δ' ἐν Ζωϲτῆρι τῆϲ Ἀττικῆϲ, οἱ δὲ ἐν Τεγύρᾳ τῆϲ Βοιωτίαϲ φαϲίν». Καλλιϲθένηϲ ἐν τρίτῳ τῶν Ἑλληνικῶν «ἔϲτι μαντεῖα τὸ μὲν Ἰϲμήνιον ἐν Θήβαιϲ, τὸ δὲ Τροφωνίου ἐν Λεβαδείᾳ, τὸ δὲ ἐν Ἄβαιϲ λεγόμενον ἐν Φωκεῦϲιν, τὸ δὲ κυριώτερον ἐν Δελφοῖϲ, ὃ καὶ μάλιϲτά-φαϲι μεμαρτυρηκέναι τὴν ἐν Τεγύρᾳ». ϲιϲύρα· εἰ δὲ βραχύ, προπαροξύνεται, Κέρκυρα νῆϲοϲ. ἀμφιβόλωϲ ἔχει ἡ τῆϲ νήϲου γραφή. λέγεται γὰρ καὶ διὰ τοῦ ο̄ Κόρκυρα, ἑτέρα δὲ Κέρκυρα ἐντὸϲ τοῦ Ἰονίου διὰ τοῦ ο̄ μάλιϲτα λεγομένη Κόρκυρα ἡ καὶ Μέλαινα καλουμένη. ἄγκυρα. ἔϲτι καὶ πόλιϲ Γαλατίαϲ. Ἀπολλώνιοϲ ἐν ἑπτακαιδεκάτῃ Καρικῶν ἱϲτορεῖ Μιθριδάτῃ καὶ Ἀριοβαρζάνῃ νεήλυδαϲ τοὺϲ Γαλάταϲ ϲυμμαχήϲανταϲ διῶξαι τοὺϲ ὑπὸ Πτολεμαίου ϲταλένταϲ Αἰγυπτίουϲ ἄχρι θαλάϲϲηϲ καὶ λαβεῖν τὰϲ ἀγκύραϲ τῶν νεῶν αὐτῶν, καὶ μιϲθὸν τῆϲ νίκηϲ εἰϲ πολιϲμὸν λαβόνταϲ χώραν κτίϲαι καὶ ὀνομάϲαι οὕτωϲ. γέφυρα.

δὲ καὶ περὶ τούτων μοι πάντων ἐν τοῖϲ περὶ καθολικῆϲ προϲῳδίαϲ. Μύρα accessit ex Theogn. 101, 19, Ψύρα ex St. B.; Κύρα ἡ κρήνη habet Theogn., ipse adieci ἐκτεῖνον τὸ ῡ καὶ τὸ ᾱ, nam Herodianus in Dichr. l. c., ubi id in unum κολλύρα cadere dicit, hanc vocem praetermisisse videtur propterea quod est κατὰ διάλεκτον, et Choeroboscus Dict. 515, 4 parum accurate Herodiani sententiam retulit dicens: ϲημειοῦταί τινα ὁ Ἡρωδιανὸϲ ἐν τῇ καθόλου μὴ ἐξενεχθέντα διὰ τοῦ ᾱ, ἀλλὰ διὰ τοῦ η̄. l. 11 canonem ex Arcad. 101, 10 huc transtuli. Ἐφύρα explevi ex St. B., κολλύρα, Ζεφύρα ex Mon. l. c. addidi, Φιλύρα — Τεγύρα ex St. B., ϲιϲύρα ex Theogn., Κέρκυρα explevi ex Eust. ad Dion. 492; ex St. B. ἄγκυρα et γέφυρα;

ἔϲτι καὶ πόλιϲ Βοιωτίαϲ, τινὲϲ δὲ τοὺϲ αὐτοὺϲ εἶναι καὶ Ταναγραίουϲ φαϲίν, ὡϲ Ἑκαταῖοϲ καὶ Cτράβων (XI p. 404). Τέντυρα, πόλιϲ Αἰγύπτου, ὡϲ Ἀλέξανδροϲ ἐν τρίτῳ Αἰγυπτιακῶν. λέγεται καὶ Τέντυριϲ. Τίμυρα πόλιϲ περὶ Ἰϲαυρίαν. ὄλυρα. γόργυρα καὶ Γόργυρα τόποϲ ἐν Cάμῳ, ὡϲ ἱϲτορεῖ Δοῦριϲ, Θεμίϲκυρα πόλιϲ, ἥ ἐϲτιν ἀντίον Θερμώδοντοϲ, καὶ ἡ χώρα. Ἵμυρα πόλιϲ Φοινίκηϲ. Κόϲϲυρα Λιβύηϲ νῆϲοϲ, Λάμυρα πόλιϲ Λυκίαϲ. Λίμυρα πόλιϲ Λυκίαϲ ἀπὸ Λιμύρου ποταμοῦ. Πάλμυρα φρούριον Cυρίαϲ. τὸ δὲ Γλαφυρά ὀξύνεται, εἴτε ὄνομα πόλεωϲ εἴη εἴτε ἐπιθετικόν. ἔϲτι δὲ πόλιϲ Θεϲϲαλίαϲ. Ὅμηροϲ «Βοίβην καὶ Γλαφυράϲ» (Il. B 712). ἔϲτι δὲ καὶ κώμη Κιλικίαϲ Γλαφυραί.

Τὰ εἰϲ ρα μακρὸν τῷ ω παραληγόμενα βαρύνεται, χώρα, ψώρα, ὥρα, ὤρα, μεθ' ὧν καὶ πρῷρα, εἰ καὶ ϲυϲτέλλει τὸ ᾱ.

Τὰ εἰϲ ρα ἁπλᾶ μονογενῆ τριϲύλλαβα παραληγόμενα τῷ ω ἀπὸ φύϲει μακρᾶϲ ἢ βραχείαϲ ἀρχόμενα βαρύνεται, Φαλώρα ὄνομα πόλεωϲ, πληθώρα, ληθώρα, ὀπώρα, αἰώρα, ψοθώρα. Ἀώρα ἢ Cαώρα νύμφη, ἀφ' ἧϲ Ἄωροϲ ἢ Cάωροϲ πόλιϲ Κρήτηϲ μετονομαϲθεῖϲα Ἐλευθεραί. εἰ δὲ ἀπὸ θέϲει μακρᾶϲ, ὀξύνεται, θαλπωρά, ἐλπωρά. τὸ δὲ πανδώρα ϲύνθετον ὂν παροξύνεται ὡϲ καὶ τὸ Πολυδώρα τετραϲύλλαβον· ἔϲτι δὲ νῆϲοϲ ἐν τῇ Κυζίκῳ.

* Τὰ διὰ τοῦ αιρα διϲύλλαβα βραχυκατάληκτα προπεριϲπᾶται, ϲφαῖρα, αἶρα, Δαῖρα. τὸ δὲ Αἱραί ὀξύνεται· ἔϲτι δὲ πόλιϲ Μακεδονίαϲ καὶ ἄλλη Ἰωνίαϲ. ἔϲτι καὶ παρὰ Ἑλληϲπόντῳ.

* Τὰ διὰ τοῦ αιρα ὑπερδιϲύλλαβα προπαροξύνεται, μάχαιρα, χίμαιρα, Ἄπαιρα ὄνομα τόπου.

* Τὰ διὰ τοῦ αυρα διϲύλλαβα μακροκατάληκτα παροξύνεται, ϲαύρα, αὔρα, λαύρα. τὸ δὲ Cαῦρα πόλιϲ Cαυνιτῶν βραχυκατάληκτον προπεριϲπᾶται.

* Τὰ διὰ τοῦ ειρα διϲύλλαβα βραχυκατάληκτα προπεριϲπᾶται, πεῖρα,

---

reliqua inde a Γόργυρα, cui ex Mon. et Hesych. appellativum γόργυρα, quod Alcmanem γέργυρα scripsisse testatur E. M. s. v., praemisi (ex St. B. et E. M. simul accentum γεργύρα ap. Hesych. falsum esse evincitur cf. Lehrs ad Mon. et Lob. Proll. 274 not.) usque ad Πάλμυρα ex St. B. apposui. Γλαφυραί explevi ex St. B., ubi quod scriptum est Γλαφυραί, Meinekius mutavit in Γλαφύραι propter Eustath. ad Il. 327, 35: τὰϲ Γλαφύραϲ βαρύνουϲιν οἱ ἀκριβέϲτεροι πρὸϲ ἀντιδιαϲτολὴν τοῦ ἐπιθέτου, κληθείϲαϲ ἀπὸ τοῦ μνημονευθέντοϲ Γλαφύρα, ὡϲ ὁ αὐτὸϲ ἐθνογράφοϲ, sed praetermissum in hoc loco est Herodianum ab his accuratioribus dissensisse. Ineptit E. M. 10, 30 Ἄγκυρα ἡ μὲν πόλιϲ προπαροξύνεται, ἡ δὲ τοῦ πλοίου παροξύνεται. de πλήμμυρα, quod ap. Eustath. ad Dion. 198 scriptum est πλημμύρα, cf. Buttm. Gramm. I 39, Lob. Proll. 273. l. 11 etiam hunc canonem ex Arc. 101, 16 transposui. ὥρα addidi ex Theogn. 107, 28, ubi ὥρα τό τε ψιλούμενον καὶ τὸ δαϲυνόμενον. l. 13 ex Arc. 101, 19. Φαλώρα explevi ex Theogn. 107, 32, ap. St. B. urbs Φαλώρη dicitur, ὀπώρα — ψοθώρα accesserunt ex Theogn., apud quem νοβῶρα pro ψοθώρα scriptum est, Ἄωρα ἢ Cάωρα ex St. B. s. Ἄωροϲ et Ἐλευθεραί. In fine Πολυδώρα ex St. B. appositum est. l. 20 canon ex Theogn. 101, 8 receptus est. l. 21 Αἱραί est ex St. B. l. 23 canon est ex Theogn. 101, 17. l. 25 canonem de nominibus in αυρα, qui in fontibus Herodianeis excidit, ope Draconis Stratonicensis p. 81, 20 restitui, Cαῦρα ex St. B. adieci. Hyperdisyllaba non reperiuntur; nam quod Goettling. ex St. B. profert Μάϲταυρα, neutrum esse inde concluditur, quod gentile Μαϲταυρεύϲ a Steph. comparatur cum Πηγαϲεύϲ et de Πήγαϲα diserte Steph. οὐδετέρωϲ pronunciat. l. 28 canon est ex Theogn. 101, 20.

σπεῖρα, στεῖρα ἡ μὴ τίκτουσα καὶ τὸ μέρος τῆς νεώς, ζεῖρα εἶδος χιτῶνος, οἱ δὲ ζώνης.

* Τὰ εἰς ρ̅α̅ τῇ ε̅ι̅ διφθόγγῳ ἢ ῑ μακρῷ παραληγόμενα δισύλλαβα ὀξύνεται, εἰρά ἢ ἱρά ἡ ἐκκλησία ὡσαύτως καὶ Ἱρά ὄρος Μεσσήνης. Ῥιανὸς ἐν Μεσσηνιακῶν πρώτῳ. ἔστι καὶ πόλις Μαλιέων καὶ Λέσβου. καὶ ἡ παρ' Ὁμήρῳ «Καρδαμύλην τ' Ἐνόπην τε καὶ Ἱρήν» (Ι 150). εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα ὡς ἐπὶ τοῦ «Ῥίπην τε Στρατίην τε» (Il. B 606), «Ὄρθην» (ibid. 739). ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει καὶ ἐπὶ τῶν εἰς ο̅ς̅. καὶ πάλιν ὡς ἐπ' ἐκείνων ἐλέγομέν τινα ὁμοτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων· καί ἐστιν ὁρίσασθαι τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐ γὰρ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων Πινυτή «μήτηρ πινυτή» (Od. υ 131). Ἀγαυή. οὕτως καὶ Ἱρή. σειρά, δειρά, πειρά.

Τὰ διὰ τοῦ ει̅ρ̅ᾱ ὑπὲρ δύο συλλαβὰς προπαροξύνονται, ἀγρώτειρα, Δηϊάνειρα, Θυάτειρα, Σᾰπφειρα, ἔθειρα, Σάμψειρα πόλις Αἰγύπτου, Ταύχειρα πόλις Λιβύης ἀπὸ Ταυχείρας τῆς Ἀντάνδρου θυγατρός. θηλυκῶς καὶ οὐδετέρως ὡς Στάγειρα. Αἴγειρα πόλις Ἀχαΐας, ἣν Ὅμηρος Ὑπερησίην φησίν. τὸ δὲ ὄνομα τὸ νῦν, ὥς φησιν Παυσανίας ἑβδόμῳ (c. 2, 6), ἐγένετο ἐπ' αἰτίᾳ τοιᾷδε. Σικυωνίων στρατὸς ἀφίξεσθαι ἔμελλεν αὐτοῖς· οἱ δὲ ἀθροίζουσιν αἶγας καὶ πρὸς τοῖς κέρασιν ἔδησαν δᾷδας καὶ ἐξάπτουσι διὰ τῆς νυκτός· νομίσαντες οὖν τὴν φλόγα τοῦ ἐπικουρικοῦ πυρὸς ἔφυγον, Ὑπερησιεῖς δὲ Αἴγειραν τὴν πόλιν ὠνόμασαν. ἔνιοι δὲ ἀπὸ Αἰγιαλέως τὴν χώραν Αἰγιαλόν φασι τό τε Αἴγιον καὶ ἔτι Αἴγειραν. Ἀγρόειρα ἢ Ἀλλόειρα ἡ ὕστερον Ἀττάλεια καλουμένη πόλις Λυδίας.

Τὰ εἰς ρ̅ᾰ ὑπὲρ δύο συλλαβὰς βραχὺ ἔχοντα τὸ ᾰ καὶ πρὸ τέλους ἔχοντα ο̅υ̅ προπαροξύνεται, ἄρουρα, Ἄργουρα πόλις Θεσσαλίας ἡ πρότερον Ἄργισσα. ἔστι καὶ τόπος τῆς Εὐβοίας Ἄργουρα, ὅπου δοκεῖ τὸν Πανόπτην Ἑρμῆς πεφονευκέναι. μέμνηται Δημοσθένης λέγων «ἐξ Ἀργούρας τῆς Εὐβοίας». Κυνόσουρα ἐπὶ τῆς ἄρκτου

οἳ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσιν (Arat. Phaen. 36).

καὶ ἐπὶ τῇ Λακωνικῇ φυλακῇ καὶ ἄκρα Μαραθῶνος οὕτως καλεῖται. ἔστι δὲ καὶ ἄκρα Ἀρκαδίας. Κόλουρα· ἔστι δὲ πόλεως ὄνομα ὡς Ἑκαταίῳ «δοκέω δὲ μάλιστα παρὰ Κόλουραν, ἵνα Πριηνέες ἕζοντο». Ἴουρα·

---

l. 3 hunc canonem ex Theogn. 101, 23 finxi, ἱρά ex Arcad. 97, 1 addidi, Ἱρά proprium ex St. B. s. v. et Il. Pr. I 292, ubi Ἱρήν ὀξυτόνως, ὡς ἐν τῇ καθόλου, et ibid. 150. πειρά posui pro σχειρά ap. Theogn., potui etiam Πειρά sive Πειραί ex Pausan. VII 18, 1. l. 15 apud Arcadium hic canon continetur latiore de hyperdisyllabis in ᾰ breve exeuntibus, canon specialis exstat ap. Theogn. 101, 25, ex quo iam supra p. 250, 11 σώτειρα, πρέσβειρα, ὀλέτειρα, γενέτειρα proposui, ita ut huic loco reservarem Θυάτειρα, Σάπφειρα; ἀγρώτειρα est ex St. B. 22, 4, Δηϊάνειρα ex Arc. 97, 5, ἔθειρα ex E. M. 318, 15; reliqua ex St. B. Huc pertinet etiam Ἐλάειρα ἡ Λευκιππίς ap. St. s. Ἄφιδνα. l. 28 Ἄργουρα explevi ex St. B. et Mon. 13, 20, item Κυνόσουρα, Κόλουρα et Ἴουρα ex Mon. et St. B.,

μέμνηται Μναϲέαϲ. Ὄλουρα· μέμνηται Ἐρατοϲθένηϲ. Αἴβουρα πόλιϲ Ἰβηρίαϲ ὡϲ Στράβων (3 p. 140). Παναίουρα πόλιϲ Ἰνδικὴ περὶ τὸν Ἰνδὸν ποταμόν. Χέρρουρα πόλιϲ Λιβύηϲ, ὡϲ Ἀλέξανδροϲ ἐν Λιβυκῶν τρίτῳ «ἔχεται χερρόνηϲοϲ ὄνομα Χέρρουρα». Κύνουρα πόλιϲ Ἄργουϲ ἀπὸ Κινούρου παιδὸϲ Περϲέωϲ. Παυϲανίαϲ τρίτῳ (c. 2, 2). Λυκόϲουρα πόλιϲ Ἀρκαδίαϲ ἐπὶ τῷ Λυκείῳ ὄρει. Ῥινοκόρουρα πόλιϲ Αἰγύπτου «ἀπὸ τῶν εἰϲῳκιϲμένων ἐκεῖ τὸ παλαιὸν ἀνθρώπων τὰϲ ῥῖναϲ ἀκρωτηριαϲμένων οὕτω καλουμένη». Βαλβέρουρα· οὕτωϲ τινὲϲ Ἰνδικὴν πόλιν Ἰβηρίαϲ φαϲίν, μεθ' ὧν καὶ δίφουρα ἡ γέφυρα.

Τὰ εἰϲ ρ̅α̅ μονογενῆ μετ' ἐπιπλοκῆϲ ϲυμφώνου παροξύνεται καὶ μακρὸν ἔχει τὸ ᾱ, ὕδρα· ἔϲτι καὶ νῆϲοϲ Λιβύηϲ περὶ Καρχηδόνα, ὡϲ Ἔφοροϲ πέμπτῳ. πέτρα· ἔϲτι καὶ πόλιϲ Παλαιϲτίνηϲ. λέπρα, ῥήτρα ἡ ϲυνθήκη «ἀλλά γε νῦν ῥήτρην ποιηϲόμεθα» (ξ 393). φαρέτρα, γάϲτρα, μήτρα, φρήτρα, φράτρα καὶ φάτρα, μίτρα ἡ ζώνη· Ὅμηροϲ «μίτρηϲ θ' ἣν ἐφόρειν» (Δ 137), λίτρα, χύτρα, αἴθρα, ξύϲτρα, μύϲτρα, ποτίϲτρα, κολυμβήθρα, Ἠλέκτρα, καλύπτρα, χαράδρα· ἔϲτι καὶ πόλιϲ Φωκίδοϲ οὐ πόρρω Λιλαίαϲ. Ἄρρα πόλιϲ Ἰλλυρική. Ἄτραι πόλιϲ μεταξὺ Εὐφράτου καὶ Τίγρητοϲ. Ἀρριανὸϲ ἑπτακαιδεκάτῳ Παρθικῶν. Ἔγρα πόλιϲ Ἀραβίαϲ πρὸϲ Ἀϊλανίτῃ κόλπῳ. Βόϲτρα πόλιϲ Ἀραβίαϲ. λέγεται καὶ οὐδετέρωϲ. Θύμβρα πόλιϲ Τρῳάδοϲ Δαρδάνου κτίϲμα ἀπὸ Θύμβρου φίλου αὐτοῦ. Γάγγρα πόλιϲ Παφλαγονίαϲ. Ἀλέξανδροϲ ἐν τῷ περὶ Παφλαγονίαϲ «Νικόϲτρατόϲ φηϲιν αἰπόλον νέμειν περὶ τοὺϲ τόπουϲ αἶγαϲ. μίαν δὲ χωριζομένην ἰδών, ἀπορῶν ὁ αἰπόλοϲ, ὅτι ἐν μὲν τῷ οἴκῳ ἐνδεᾶ εὕριϲκεν, ἐπὶ τῆϲ νομῆϲ δὲ πλήρη, ὡμολόγηϲε τῷ δεϲπότῃ. ὁ δ' ἔφη ἐπιτηρῆϲαι τὴν χωριζομένην. ἐπιτηρήϲαϲ οὖν εἶδεν ἐπί τινα ὑψηλὸν ὄχθον ἀναβαίνουϲαν καὶ πρόϲ τινα ἀπρόϲβατον πέτραν πορευομένην, καὶ κάτωθεν ἐρίφων βληχὴν ἤκουϲεν· ἐκεῖ ϲυμβέβηκεν ἐντετοκέναι τὴν αἶγα. ἰδὼν οὖν ἐπιτήδειον τόπον πόλιν ἔκτιϲε καὶ Γάγγραν ὠνόμαϲεν, ὅτι τοῦτο ἦν ὄνομα τῇ αἰγί». Ἐρατοϲθένηϲ δὲ οὐδετέρωϲ τὰ Γάγγρα φηϲίν. ἔϲτι καὶ Ἀραβίαϲ τῆϲ εὐδαίμονοϲ Γάγγρα. Γάδρα πόλιϲ Παλαιϲτίνηϲ. πάτρα ἓν τῶν τριῶν παρ' Ἕλληϲι κοινωνίαϲ εἰδῶν, ὡϲ Δικαίαρχοϲ. Πάτραι πόλιϲ Ἀχαΐαϲ ἀπό τινοϲ Πατρέωϲ. ἕδρα. Γέρρα πόλιϲ Χαλδαίων.

Ὄλουρα ex Mon., Αἴβουρα — Βαλβέρουρα ex St. B. addidi; pro κέρκυρα γέφυρα Schmidtius optime ex Hesych. δίφουρα ἡ γέφυρα restituit. l. 10 canonem ex Arcad. 101, 24 huc transtuli; Ὕδρα proprium apposui ex St. B., item Πέτρα, λέπρα ex Choer. Epim. in Psalm. 27, 7: τὰ εἰϲ ρ̅α̅ μετ' ἐπιπλοκῆϲ ϲυμφώνου παροξύνεϲθαι θέλει καὶ μακρὸν ἔχειν τὸ ᾱ καὶ τῷ ε̅ ἢ διχρόνῳ παραλήγεϲθαι, οἷον Φλέγρα, πέτρα, λέπρα· οὕτωϲ οὖν καὶ καθέδρα. τὸ Ἐρυθρά ἡ πόλιϲ πληθυντικῶϲ λεγόμενον ὁμοῖα τῷ ἐπιθετικῷ ἐτονήθη. ϲεϲημείωται τὸ Τάναγρα καὶ ϲκολόπενδρα προπαροξυνόμενα καὶ ϲυϲτέλλοντα τὸ α. — ῥήτρα explicavi ex An. Ox. II 330, 5; unde etiam φρήτρα addidi ex St. B. φράτρα καὶ φάτρα apponens; μίτρα ex An. Ox. l. c. χύτρα — μύϲτρα ex Theogn. 108, 3, ποτίϲτρα — καλύπτρα ex Dichr. 288, 18, χαράδρα ex Il. Pr. Π 390: χαράδραι: πρὸ τέλουϲ ἡ ὀξεῖα ὡϲ φαρέτραι. προείρηται δὲ τὰ τῆϲ ἀναλογίαϲ, οὕτωϲ δὲ καὶ Ἀρίϲταρχοϲ.

Ἄγρα καὶ Ἄγραι χωρίον, ἑνικῶς καὶ πληθυντικῶς. ἔστι δὲ τῆς Ἀττικῆς πρὸ τῆς πόλεως, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἐπιτελεῖται, μίμημα τῶν περὶ τὸν Διόνυσον, ἐν ᾧ λέγουσι καὶ τὸν Ἡρακλέα μεμυῆσθαι. ἄκρα· ἔστι καὶ Ἄκρα Ἰαπυγίας πόλις κατά τινας Ὑδροῦς λεγομένη. β′ ἔστι καὶ ἑτέρα ἐν αὐτῇ ἔχουσα λιμένα Βρεντέσιον. ἔστι δὲ Ἰταλίας. γ′ Σικελίας. ἔστι Συρακοσίων κτίσμα. δ′ Εὐβοίας. ϛ′ Σκυθίας. ζ′ Κύπρου. η′ Ἀκαρνανίας. ἔστι καὶ πέραν Τίγρητος Ἄκρα. Ἀρριανὸς ἑκκαιδεκάτῃ. Φλέγρα πόλις Θρᾴκης, ἣν Εὔδοξος μετὰ ταῦτα Παλλήνην φησὶ κληθῆναι. Σέρρα ἀκρωτήριον Θρᾴκης, ὃ καὶ Σέρρειον λέγεται, Κάρραι πόλις Μεσοποταμίας ἀπὸ Καρρᾶ ποταμοῦ Συρίας. ἔστι καὶ πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Σίρρα πόλις Θρᾴκης. Θεόπομπος ἐν Φιλιππικῶν εἰκοστῷ. Σκύδρα Μακεδονικὴ πόλις. Τάρρα Λυδίας πόλις. ἑτέρα Κρήτης, ἐν ᾗ Ταρραῖος Ἀπόλλων τιμᾶται. ἔστι καὶ ἄλλη πόλις Τάρρα παρὰ τὸν Καύκασον, Κρητῶν ἄποικος. Ἀχέρραι πόλις μεταξὺ τοῦ Πάδου καὶ τῶν Ἄλπεων. Ἀντίφρα πολίχνιον Ἀλεξανδρείας ἐγγύς. Γαλάδραι πόλις Μακεδονίας ἐν Πιερίᾳ. Λυκόφρων (v. 1444) «σῆναι Γαλάδρας τὸν στρατήλατον λύκον» ἀπὸ Γαλάδρου τοῦ Ἠμαθίου παιδός. οἱ δὲ ὅτι ὁ Γαλάδρας ἔκτισε τὴν πόλιν. Γεράνθραι πόλις Λακωνικῆς. Παυσανίας τρίτῳ (c. 2, 6). Ἐχέτρα πόλις Ἰταλίας. Κελαίθρα πόλις Βοιωτίας. Φαλάκραι ἄκρα τῆς Ἴδης, ἥτις οὐκ ἔχει ζῶν φυτὸν διὰ τὴν χιόνα καὶ τὸν κρύσταλλον, ἀλλ᾽ ἐψίλωται. καὶ πάντα τὰ ἐψιλωμένα ὄρη ἐλέγετο Φαλάκραι. Ἱππουάκρα πόλις Λιβύης. Σωσάνδρα νῆσος περὶ Κρήτην. ἐκλήθη δέ, ἐπειδή ποτε καὶ Λυττίων νύκτωρ ἐπελθόντων τῇ πόλει διασῶσαι λέγεται τοὺς εἰς αὐτὴν φυγόντας. Χαλάστρα πόλις Θρᾴκης περὶ τὸν Θερμαῖον κόλπον. Ἑκαταῖος Εὐρώπῃ «ἐν δ᾽ αὐτῷ Θέρμη πόλις Ἑλλήνων, ἐν δὲ Χαλάστρῃ πόλις Θρηΐκων». ὠνόμασται δὲ ἀπὸ Χαλάστρης. ἔστι καὶ λίμνη τῇ πόλει ὁμώνυμος. Στράβων δ᾽ ἐν ἑβδόμῃ (p. 330) Μακεδονίας αὐτὴν καλεῖ. σεσημείωται τὸ Τάναγρα πόλις Βοιωτίας, ἣν Ὅμηρος Γραῖαν καλεῖ διὰ τὸ πλησίον εἶναι (Β 498) καὶ σκολόπενδρα προπαροξυνόμενα καὶ συστέλλοντα τὸ ᾱ. τὸ δὲ Ἐρυθρά ἡ θάλασσά ἐστιν ἐπιθετικόν. ἔστι δὲ καὶ ἄκρα Ἐρυθρά τῆς Λιβύης. ὡς Ἀρτεμίδωρος ἑβδόμῃ γεωγραφουμένων. καὶ Ἐρυθραί πόλις Ἰώνων. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ Λιβύης ἄλλη καὶ ἄλλη Λοκρίδος. ἔστι καὶ Βοιωτίας καὶ Κύπρου ἄλλη ἡ νῦν Πάφος. τὸ δὲ Φαίδρα κύριον συνεξωμοιώθη τῷ Φαῖδρος ἀρσενικῷ· ὡσαύτως καὶ

Χαράδρα ex St. B., unde etiam reliqua usque ad Χαλάστρα. — Σάτρα πόλις Κρήτης ἡ μετονομασθεῖσα Ἐλεύθερνα omisi, quod ex Σαώρα corruptum videtur.
l. 30 σεσημειωμένοις ab Arcadio et Herod. Dichr. prolatis Τάναγρα, quod ex St. B. explevi, et σκολόπενδρα non ausus sum addere ex St. B. Ὀλόβαγρα πόλις Μακεδονίας. Θεαγένης ἐν Μακεδονικοῖς vocabulo Τάναγρα simillimum neque Ἄκαρρα πόλις Ἀχαΐας. Βέλιτρα πόλις Ἰταλίας οὐ Ῥώμης ἀπωτέρω, ὥς φησι Φλέγων ὀλυμπιάδι ροδ′, Ἀλάβαστρα autem πόλις Φρυγίας (imo Αἰγύπτου) Ἡρόδοτος (i. e. Ἡρωδιανός), ut Meinekius recte monet, est neutrum et in libro XIII locum habuit. Ἐρυθρά et Ἐρυθραί recepi ex St. B., cum quo concinit Eustath. 267, 1 Ἀπίων καὶ Ἡρόδωρος (i. e. Herodianus) ὀξύνουσι τὴν λέξιν λέγοντες Ἐρυθράς ὡς καλάς, et Choer. Epim. l. c. — Φαίδρα recepi ex Theogn. 108, 4, et

Πύρρα πόλις ἐν Λέϲβῳ· ἔϲτι καὶ κώμη Λιγυϲτικῆϲ. βαρύνεται δὲ καὶ Κύδραι πόλις Βρυγῶν. Cτράβων ἑβδόμῃ (p. 327), καὶ Μάκρα νῆϲοϲ Λυκίαϲ, ὡϲ Ἀλέξανδροϲ ἐν περίπλῳ αὐτῆϲ.

Τὰ εἰϲ ϲα δισύλλαβα βαρύνεται, αἶϲα· ἔϲτι καὶ Αἶϲα πόλις Θρᾴκηϲ προϲεχὴϲ τῇ Παλλήνῃ. μοῦϲα μόνον διϲύλλαβον τῇ ου διφθόγγῳ παραληγόμενον ὁμοίωϲ ἐν χρήϲει τῇ τῶν παλαιῶν καὶ τῇ κοινῇ ϲυνηθείᾳ. τὸ γὰρ Δοῦϲα κύριον καθ' ἱϲτορίαν ἐϲτὶ λεγόμενον ἥ τε Χοῦϲα πόλις Αἰγυπτίων. πεῖϲα ἡ πειθώ, μεθ' ὧν γλῶϲϲα, πίϲϲα, νύϲϲα ὁ καμπτήρ. Φαῖϲα, δεῖϲα ἡ ὑγραϲία. Τῖϲα, Κρῖϲα πόλις Φωκίδοϲ. Ἑκαταῖοϲ Εὐρώπῃ ἀπὸ Κρίϲου Φώκου υἱοῦ. Ὅμηροϲ «Κρῖϲάν τε ζαθέην» (B 520). ἔϲτι δὲ ἡ αὐτὴ τῇ Κίρρᾳ. γίνεται γὰρ ὑπερθέϲει Κίρϲα καὶ ἀντιθέϲει τοῦ ϲ εἰϲ ρ Κίρρα ὡϲ χερϲόνηϲοϲ χερρόνηϲοϲ. εἰϲὶ καὶ ἄλλαι Κρῖϲαι. ἔϲτι καὶ Αἰολίδοϲ Κρῖϲα. κνῖϲα. γίνεται δὲ ἀπὸ μέλλοντοϲ τοῦ κνίζω κνίϲω· ὥϲπερ γὰρ παρὰ τὸ πρῶ πρίζω, τρῶ τρίζω, οὕτω καὶ κνῶ κνίζω τὸ ἐπιπολῆϲ καὶ ἰϲχνῶϲ καταξύω· διὸ καὶ δι' ἑνόϲ τε γράφεται ϲ καὶ ἔκταϲιν ἔλαβε τοῦ ι. δηλοῖ δὲ ἡ κνῖϲα τὴν κατ' ὀλίγον ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀϲφρήϲει προϲίζουϲαν. προϲαγορεύεται δὲ καὶ ἐπίπλουϲ εὖ μάλα καὶ αὐτὸϲ εὐανάδοτοϲ ὢν πρὸϲ ὄϲφρηϲιν, οὐκ αὐτοτελὴϲ δὲ περιτεθειμένοϲ τοῖϲ μηρίοιϲ. Πῖϲα πόλις καὶ κρήνη τῆϲ Ὀλυμπίαϲ. ἔϲτι καὶ χωρίον, ἐν ᾧ τοῦ Διὸϲ ναὸϲ ἵδρυται καὶ ὁ Ὀλυμπιακὸϲ ἀγὼν ἐπιτελεῖται. παρὰ τὸν πίϲω μέλλοντα, οὗ ἡ χρῆϲιϲ παρὰ Πινδάρῳ. Πίνδαροϲ δὲ κατὰ ϲυϲτολὴν τὴν πόλιν εἶπε Πίϲαν. Βῖϲα πόλις Θρᾴκηϲ. Βρῖϲα ἄκρα Λέϲβου, ἐν ᾗ ἵδρυται Διόνυϲοϲ Βριϲαῖοϲ. Νῖϲα ἡ πόλις. Νῦϲα πόλειϲ πολλαί, ἐν Ἑλικῶνι, ἐν Θρᾴκῃ, ἐν Καρίᾳ, ἐν Ἀραβίᾳ, ἐν Αἰγύπτῳ, ἐν Νάξῳ, ἐν Ἰνδοῖϲ, ἐπὶ τοῦ Καυκάϲου ὄρουϲ, ἐν Εὐβοίᾳ. φῦϲα, βῆϲϲα καὶ Βῆϲα πόλις Λοκρῶν δι' ἑνὸϲ ϲ, Ἀπολλόδωροϲ δὲ καὶ Ἐπαφρόδιτοϲ καὶ Ἡρακλέων διὰ δύο «Βῆϲϲάν τε Cκάρφην τε καὶ Αὐγειὰϲ ἐρατεινάϲ» (B 532). ὠνομάϲθη δὲ ἀπὸ τῆϲ τοῦ τόπου φύϲεωϲ ναπώδουϲ οὔϲηϲ. Κρῆϲϲα πόλις Παφλαγονίαϲ, ἣν

---

explevi secutus Arcadium 73, 21, ubi Φαῖδροϲ τὸ κύριον, φαιδρόϲ δὲ ὁ λαμπρόϲ ὀξύνεται cf. Lehrs Arist. p. 280 (ed. II). Πύρρα, Κύδραι, Μάκρα ex St. B. accesserunt. l. 4 hunc canonem sequenti anteposui. Αἶϲα addidi ex St. B., μοῦϲα explevi ex Mon. 12, 25, ubi Προῦϲα ut nomen barbarum praetermissum est. νύϲϲα explevi ex Theogn. Φαῖϲα, quae videtur forma principalis nominis Φαιϲύλη cf. Lob. Proll. 124, δεῖϲα sunt ex Theogn. 102, 2, Τῖϲα ex Dichr. 289, 25. Κρῖϲα indidem expletum ex St. B. et ex libro περὶ παθῶν E. M. 515, 19; κνῖϲα ex Dichr. expletum ex Eustath. 1766, 29 et 1819, 39, ubi diserte κατὰ Ἡρωδιανὸν et Ἡρωδιανὸϲ θέλει. — Πῖϲα ex St. B., ubi Πῖϲα τὸ πρῶτον καὶ τὸ δεύτερον τῆϲ Πίϲηϲ μακρόν, collato Eustath. ad Dionys. 409. Πῖϲα δι' ἑνὸϲ γράφεται ϲ· αὐτὴ δὲ ἡ κρήνη λέγεται παρὰ τὸν πίϲω μέλλοντα, οὗ ἡ χρῆϲιϲ παρὰ Πινδάρῳ. — Βῖϲα Βρῖϲα ex St. B., Νῖϲα ex Theogn., item Νῦϲα, quod explevi ex St. B., et φῦϲα; βῆϲϲα ex Theogn., Βῆϲα ex St. B., ubi Ἡρωδιανὸϲ δι' ἑνὸϲ ϲ γράφει, secutus Zenodotum, quem Aristonicus ad B 532 notat, quod proprium Βῆϲα ab appellativo scriptura distinxerit cf. Lehrs Arist. p. 266 (ed. II), qui monet Eustathium ad P 276 non accurate Herodiani sententiam retulisse dicentem: Herodianum Βῆϲϲα per duplex ϲϲ scripsisse, quum ex St. B. appareat hoc de appellativo tantum valere. Κρῆϲϲα ex Theogn. et St. B.

Μηριόνης μετὰ Τροίαν ἔκτισε, Ζήϊλας δὲ εἷλεν ὁ Νικομήδους υἱός. Δημοσθένης. Ἴσσα πόλις ἐν Λέσβῳ ἀπὸ Ἴσσης τῆς Μάκαρος, ἔστι καὶ νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ Δαλματίαν καὶ Ἰλλυρίαν. Τίσσα χωρίον Σικελίας. Φίλιστος ἐνάτῳ. κίσσα, λύσσα, ὄσσα, κρόσσα· ἔστι καὶ πόλις πρὸς τῷ Πόντῳ. Ἑκαταῖος Ἀσίᾳ. Κόσσα πόλις Οἰνωτρῶν ἐν τῷ μεσογείῳ. Ἑκαταῖος Εὐρώπῃ. Πάσσα πόλις Θρᾴκης. Ἄσσα πόλις πρὸς τῷ Ἄθῳ. Ἡρόδοτος ἑβδόμῃ (c. 122). ἔστι καὶ κώμη Σκυθίας. Προῦσα πόλις μικρὰ Βιθυνίας κτίσμα Προυσίου τοῦ πρὸς Κῦρον πολεμήσαντος. Μοῦρσα πόλις Παιονίας κτίσμα Ἀδριανοῦ. λέγεται καὶ Μούρσιον. Πέρσα πόλις παρὰ τῷ Εὐφράτῃ καὶ Σαμοσάτοις. Τάρσα κώμη ἐπὶ τῷ Εὐφράτῃ. Ἄρσα πόλις Ἱσπανίας, ὡς Χάραξ ἐν δεκάτῃ χρονικῶν. Τίρσαι πόλις Μυγδονίας τῆς ἐν Μακεδονίᾳ ἀπὸ Τίρσης μιᾶς τῶν θυγατέρων Γραστοῦ παιδὸς Μυγδόνος.

* Τὰ εἰς σα̅ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Ἄγρισα πόλις Καρμανίας. Λάρισα πόλις Θεσσαλίας ἡ πρὸς τῷ Πηνειῷ, ἣν Ἀκρίσιος ἔκτισε. δευτέρα ἡ Κρεμαστή, ὑπό τινων δὲ Πελασγία. τρίτη ἐν τῇ Ὄσσῃ χωρίον. τετάρτη τῆς Τρῳάδος, ἥν φησιν Ὅμηρος «τῶν οἳ Λάρισαν ἐριβώλακα» (B 841). πέμπτη Αἰολίδος περὶ Κύμην τὴν Φρικωνίδα. ἕκτη Συρίας, ἣν Σύροι Σίζαρα καλοῦσιν. ἑβδόμη Λυδίας. ὀγδόη Θεσσαλίας πρὸς τῇ Μακεδονίᾳ, ἐνάτη Κρήτης. δεκάτη Ἀττικῆς ἐστι Λάρισα. καὶ ἡ ἀκρόπολις τοῦ Ἄργους Λάρισα. Ἔμισα πόλις Φοινίκης Λιβανουσίας. Κρίμισα πόλις Ἰταλίας πλησίον Κρότωνος καὶ Θουρίου. Λυκόφρων (v. 913). ἀπὸ Κριμίσης νύμφης. σάρισα εἶδος ἀκοντίου μικροῦ. Ἄμισα πόλις Γερμανίας. Ὄδρυσα πόλις Ὀδρυσῶν, ἣ καὶ Ὀδρυσία λέγεται.

Τὰ εἰς σσα̅ ὑπερδισύλλαβα ἀπαρασχημάτιστα προπαροξύνεται, εἰ μὴ παραλήγοι ο̅υ̅, θάλασσα, Ἰφιάνασσα, θέρμασσα ἡ κάμινος, ἄνασσα, ἀμφιέλισσα. Ἑρμώνασσα πόλις ἐν τῷ Κιμμερίῳ Βοσπόρῳ Ἰώνων ἄποικος ἀπὸ τοῦ ἡγησαμένου Ἕρμωνος. Ἀρριανὸς δὲ οὕτω φησίν· «Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μιτυληναίου τινός, οὗ τινας τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ ἡ γυνὴ τῆς πόλεως ἐγκρατὴς ἐγένετο καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο». ταύτην ὁ Σκύμνος καὶ Ἑρμώνειαν καλεῖ (Peripl. p. XVI). Στράβων δὲ ἑβδόμῃ (p. 306) Ἑρμώνακτος κώμην

---

l. 2 Ἴσσα Τίσσα ex St. B., κίσσα — κρόσσα ex Theogn., Κρόσσα proprium usque ad finem ex St. B. l. 14 hunc canonem ex St. B. nominibus et Choer. Orth. finxi. — Magna est in vocabulis in ισα̅ scripturae inconstantia, de qua cf. Lob. Proll. 415 et St. B. Λάρισα. Choer. Orth. 236 duo tantum affert ut per simplex σ̅ scripta Λάρισα et σάρισα, quibus p. 199 Ἔμισα additur; his ex St. B. apposui Ἄγρισα, Κρίμισα, Ἄμισα et unum in υσα Ὄδρυσα. Μονόγισα ap. St. B. omisi, quia ut Τόμισα neutrum esse potest. Huc pertinet etiam Λάπερσα θηλυκῶς ὄρος Λακωνικῆς, οὗ μέμνηται Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ St. B., ubi tamen paroxytonos scriptum est. l. 26 ἄνασσα ἀμφιέλισσα apposui ex E. M. 100, 41 ἄνασσα: οὐκ ἀπὸ τοῦ ἄναξ γέγονε· τὰ γὰρ ἀπὸ τῶν εἰς ξ̅ εἰς α̅ παραγόμενα ἐθνικά ἐστι, Φοῖνιξ Φοίνισσα, Κίλιξ Κίλισσα. τοῦτο δὲ μὴ ὂν ἐθνικὸν ὁμοίως οὐ λέγεται· ἔστιν οὖν ἀπὸ τοῦ ἀνάσσω ὡς ἑλίσσω ἕλισσα καὶ ἀμφιέλισσα καὶ νύσσω νύσσα; de ἀμφιέλισσα cf. Lob. Parall. 472. Nomina inde ab Ἑρμώνασσα usque ad Βέβρυσσα

φηcί. Μένιππος δὲ χωρίον Τραπεζοῦντος ἐν περίπλῳ τῶν δύο πόντων. Ἑκαταῖος δὲ καὶ Θεόπομπος πόλιν αὐτήν φασιν. μέτασσα παρὰ τὸ μετά «χωρὶς δὲ μέτασσαι» (Od. ι 221). Ἔδεσσα πόλις Συρίας ἀποικία τῆς ἐν Μακεδονίᾳ. Ποιήεσσα πόλις τῆς Κέω. Σύεσσα καλύβη τις ἐν Λυκίᾳ ἀπὸ Συέσσης γραός τινος ὑποδεξαμένης τὴν Λητὼ καὶ Σύεσσα πόλις Τυρρηνῶν. Σινόεσσα πόλις Σικελίας. Τειχιόεσσα πόλις Μιλησίας. Ὑδρόεσσα· οὕτως ἡ Τῆνος ἐκαλεῖτο διὰ τὸ κατάρρυτον εἶναι. Ἀκριόεσσα πόλις ἐν Πόντῳ, Ἡρακλείας ὑποτελής. Δομίτιος Καλλίστρατος ἐν τετάρτῃ περὶ Ἡρακλείας. Πύργησσα πολίχνιον Ἰταλίας. Μάρπησσα ὄρος Πάρου. Τρίνησσα τόπος Φρυγίας. Θεόπομπος Ἑλληνικῶν τετάρτῳ. Πέτροσσα νῆσος Κιλικίας. Τίλφωσσα, Βοιωτίας κρήνη καὶ ὄρος ἀπὸ Τιλφώσσης νύμφης. γράφεται καὶ δι' ἑνὸς σ̄. μέλισσα καὶ Μέλισσα θυγάτηρ Ἐπιδάμνου, ἧς καὶ τοῦ Ποσειδῶνος ὁ Δυρράχιος. ἀφ' ἧς ἔστιν ἐν Ἐπιδάμνῳ τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν, ὡς Φίλων. ἔστι καὶ Μέλισσα πόλις Λιβύων. Ἑκαταῖος Ἀσίᾳ. - καὶ ἐν Κυζίκῳ κώμη Μέλισσα. Ἄμφισσα πόλις Ὀζολῶν Λοκρῶν. ἔστι δὲ παραγωγὴ ἐκ τῆς ἀμφί ὡς ἐκ τῆς ἀντί Ἄντισσα· ἔστι δὲ πόλις Λέσβου ἐφεξῆς τῷ Σιγρίῳ ἀπὸ τῆς Ἀντίσσης τῆς Μάκαρος θυγατρός, ἐν τοῖς Φίλωνος. ἔστι καὶ νῆσος μία τῶν Κυκλάδων καὶ τρίτη Ἰνδικῆς, ἣν ἀναγράφει Φίλων καὶ Δημοδάμας ὁ Μιλήσιος — καὶ ἐκ τῆς ἐπί ἔπισσα παρ' Ἑκαταίῳ. «Μνημοσύνης ἣ Λητογενοῦς χαρίεντος ἔπισσα». Ἄργισσα πόλις ἡ ὕστερον Ἄργουρα. Πίτνισσα πόλις Λυκαονίας. ὡσαύτως δὲ καὶ τὰ παρεσχηματισμένα, Μάκεσσα, Θρέϊσσα, Ἀράβισσα, Αἰθιόπισσα, Καπαδόκισσα, πανδόκισσα, Φοίνισσα, Κίλισσα, βασίλισσα, Ἀρκάδισσα, Καβάλισσα ἡ Καβαλίς, ὁ πολυΐστωρ Ἀλέξανδρος, Μολύκρισσα, Κούρισσα, Λίβυσσα. ἔστι δὲ καὶ φρούριον Βιθυνίας ἐπιθαλάσσιον, ὡς πολυΐστωρ Ἀλέξανδρος. Βέβρυσσα. τὰ δὲ παραλήγοντα τῇ ου, εἰ μὲν ἔχοιεν ἓν σ̄, προπαροξύνεται· Φαέθουσα θυγάτηρ Ἡλίου, Ἀρέθουσα, κρήνη Σικελίας. αὕτη Κυπάρα ἐλέγετο. ἔστι καὶ Ἰθάκης «πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ». Ὅμηρος (Od. ν 408). Δίδυμος ὑπομνηματίζων τὴν ν̄ τῆς Ὀδυσσείας

---

praeter pauca, quorum fontes indicavi, recepi ex St. B. μέτασσα ex Ep. Cr. I 280, E. M. 596, 35: ὥσπερ παρὰ τὴν ἐπί γίνεται ἔπισσα οἷον «Μνημοσύνης ἡ δωδεγόνου χαρίεντος ἔπισσα», οὕτω καὶ παρὰ τὴν μετά μέτασσα «χωρὶς δὲ μέτασσαι». παραιτητέον γὰρ τοὺς ἡγουμένους, ὅτι ἐστὶ μέσσαται· ἐλέγχονται γὰρ ὅτι ἣν παρὰ τὴν μετά, ἐπεὶ παρὰ τὴν ἐπί τὸ ἔπισσα (παρ' Ἑκαταίῳ addit E. M.), ex quo loco etiam ἔπισσα, quod exstat praeterea ap. St. B. 90, 21 explevi pro ἡ δωδεγόνου scribens ἣ Λητογενοῦς. De Τίλφωσσα St. B. 614, 1: ἔστι Βοιωτίας Τίλφωσα κρήνη καὶ ὄρος, Ἡρωδιανὸς δὲ Τίλφωσσα φησί, ubi Meinck. contra Arcadii praeceptum Τιλφῶσσα scribit; μέλισσα et βασίλισσα sunt ex Theogn. 99, 32. — l. 23 ipse adieci verba ὡσαύτως δὲ καὶ τὰ παρεσχηματισμένα, nam quod Schmidtius sumit ἀπαρασχημάτιστα in principio canonis propter ἡρῷσσα additum esse falsum est, quum ἡρώϊσσα proparoxytonos primigenia forma sit, quae post contractionem circumflectitur, et Θρέϊσσα reliqua item ut nomina substantiva proparoxytonos proferantur. Φαέθουσα explevi ex Mon. 12, 34, Ἀρέθουσα ex St. B. et Mon. l. c., qui loci mire congruunt.

φηϲίν «Ἀρέθουϲαι δέ εἰϲιν ὀκτώ». Ἡρακλέων δὲ ὁ Γλαύκου τὴν αὐτὴν ὑπομνηματίζων φηϲίν, ἄρω ἐϲτὶ τὸ ποτίζω, ἀφ᾿ οὗ ἄρδω παράγωγον, ἐκ τούτου ἀρέθω ὡϲ φλέγω φλεγέθω, ἀφ᾿ οὗ πᾶϲα κρήνη ἐπιθετικῶϲ οὕτω λέγεται. ὁ γοῦν Χοιρίλοϲ ἐν α΄ Περϲικῶν

παρὰ δὲ κρήναϲ ἀρεθούϲαϲ
μυρία φῦλ᾿ ἐδονεῖτο πολυϲμήνοιϲι μελίϲϲαιϲ.

ἔϲτι καὶ πόλιϲ Ϲυρίαϲ καὶ Θρᾴκηϲ καὶ Εὐβοίαϲ. Αἴθουϲα τὸ κύριον ἐπὶ τῆϲ θυγατρὸϲ Ποϲειδῶνοϲ καὶ Ἀλκυόνηϲ, ὅπερ κατά τιναϲ ἓν ϲ̄ ἔχει, Φέρουϲα, καὶ τοῦτο ἐπὶ μιᾶϲ τῶν Νηρηΐδων «Φέρουϲά τε Δυναμένη τε» (Ϲ 43). Ἴωνοϲ δὲ τοῦ Ξούθου ἀναγράφεται μήτηρ Κρέουϲα, ὁμωνύμωϲ δὲ ταύτῃ καὶ Αἰνείου γυνή. Μέδουϲα μία τῶν Γοργόνων.

Ϲτεινώ τ᾿ Εὐρυάλη τε Μέδουϲά τε λυγρὰ παθοῦϲα

(Hesiod. Theog. 276). Θάλπουϲα πόλιϲ τῆϲ Ἀρκαδίαϲ τοῦ Ὀρχομενοῦ. Ϲώζουϲαι πόλειϲ τρεῖϲ Φοινίκηϲ Πιϲιδίαϲ καὶ Αἰθιοπίαϲ. Μύρτουϲα ὄροϲ Λιβύηϲ. Καλάθουϲα πόλιϲ τοῦ Πόντου καὶ πόλιϲ οὐ πόρρω τῶν Ἡρακλείων ϲτηλῶν, Ἑκαταῖοϲ δὲ Εὐρώπῃ Καλάθην αὐτὴν καλεῖ. Οἴνουϲα· οὕτωϲ ἐκαλεῖτο ἡ Καρχηδών. Κοχλίουϲα νῆϲοϲ πρὸϲ τῇ Λυκίᾳ. Ἀλέξανδροϲ δευτέρῳ περὶ Λυκίαϲ διὰ τὸ κοχλοὺϲ ἐν αὐτῇ εὑρίϲκεϲθαι. Κράμβουϲα νῆϲοϲ περὶ Ϲελεύκειαν τῆϲ Ἰϲαυρίαϲ. Ϲτράβων ιδ΄ (p. 670). Πιτύουϲα ἡ ὕϲτερον Φάϲηλιϲ. οὕτωϲ καὶ ἡ Λάμψακοϲ πάλαι ἐκαλεῖτο, ὡϲ Δηΐοχοϲ ὁ Κυζικηνόϲ. Κρομύουϲα νῆϲοϲ Ἰβηρίαϲ. Ἑκαταῖοϲ Εὐρώπῃ. Πολυπόδουϲα νῆϲοϲ τῆϲ Κνιδίαϲ. Πορφύρουϲα ἐκαλεῖτο νῆϲοϲ Κύθηρα διὰ τὸ κάλλοϲ τῶν περὶ αὐτὴν πορφυρῶν, ὡϲ Ἀριϲτοτέληϲ. Ὀφίουϲα ἐκαλεῖτο ἡ Κύθνοϲ νῆϲοϲ. Λάγουϲα νῆϲοϲ περὶ Κρήτην. Ϲτράβων δεκάτῃ (p. 484). Δρύουϲα καὶ Ἀνθέμουϲα ἐκαλεῖτο πρότερον Ϲάμοϲ. Ϲειρήνουϲαι «νῆϲοι ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ᾿ αὐτῆϲ τῆϲ ἄκραϲ κείμεναι προπεπτωκότοϲ τόπου καὶ διαλαμβάνοντοϲ τοὺϲ κόλπουϲ, τόν τε περιέχοντα Κύμην καὶ τὸν διειληφότα τὴν καλουμένην Ποϲειδωνίαν, ἐν ᾧ καὶ νεὼϲ αὐτῶν ἵδρυται καὶ τιμῶνται καθ᾿ ὑπερβολήν. ὧν καὶ τὰ ὀνόματα ταῦτα, Παρθενόπη καὶ Λευκωϲία καὶ Λίγεια» (Aristot. Ausc. mir. c. 110). Ϲίδουϲα πόλιϲ Ἰωνίαϲ. Ἑκαταῖοϲ Ἀϲίᾳ «ἐν δὲ Ϲίδουϲα πόλιϲ». Ϲκότουϲα πόλιϲ καὶ χωρίον τῆϲ ἐν Θεϲϲαλίᾳ Πελαϲγίαϲ, καὶ πληθυντικῶϲ Ϲκότουϲαι. Μαράθουϲα νῆϲοϲ πρὸϲ Κλαζομεναῖϲ. Μελίτουϲα πόλιϲ Ἰλλυρίαϲ. Πολύβιοϲ τριϲκαιδεκάτῳ. Μήλουϲα νῆϲοϲ κατὰ Ἴβηραϲ. Ἑκαταῖοϲ Εὐρώπῃ. Τέλφουϲα πόλιϲ Ἀρκαδίαϲ ἀπὸ νύμφηϲ λεγομένηϲ Τελφούϲηϲ, θυγατρὸϲ Λάδωνοϲ. Τεύτλουϲα νῆϲοϲ Ἰωνίαϲ. Θουκυδίδηϲ η΄ (c. 42). Φάκουϲα κώμη μεταξὺ Αἰγύπτου καὶ τῆϲ Ἐρυθρᾶϲ θαλάϲϲηϲ. Ϲτράβων ιζ΄ (p. 805). Ἑκαταῖοϲ δὲ Φακόεϲϲαι καὶ Φακοέϲϲαιϲ φηϲί. καὶ Φάκουϲαι νῆϲοι καὶ Φάκαιοι. Δάφνουϲα. οὕτωϲ Δαφνοῦντα πόλιν Φωκικὴν φηϲιν Εὐφορίων. Βάρχουϲα πόλιϲ μικρὰ Φοινίκηϲ. Αἴγουϲα νῆϲοϲ Λιβύηϲ, κατὰ Λίβυαϲ λεγομένη Κατρία.

---

l. 7 **Αἴθουϲα explevi ex Mon., Φέρουϲα, Κρέουϲα, Μέδουϲα ex eodem loco**

Αἰγείρουσα πόλις τῆς Μεγαρίδος, ὡς Στράβων (9 p. 394). λέγεται καὶ Αἴγειρος, ὡς Θεόπομπος πεντηκοστῇ ἕκτῃ. Ἀργέννουσα νῆσος πρὸς τῇ ἠπείρῳ τῆς Τρῳάδος παρὰ τὸ Ἀργεννὸν ἀκρωτήριον, ἀφ' οὗ ἀργεννόεις καὶ κατὰ συναίρεσιν ἀργεννοῦς καὶ Ἀργέννουσα. Ἀνδροτίων δὲ ἐν τῷ τετάρτῳ τῆς Ἀτθίδος διὰ τοῦ ῑ. εἰ δὲ δύο ἔχοιεν, προπερισπῶνται. Πιτυοῦσσαι νῆσοι διάφοροι, ἃς Πιτυώδεις καλεῖ Ἀλκμάν, Ῥοδοῦσσα πόλις τῆς Ἀργείας. Ἐρικοῦσσα μία τῶν Αἰόλου νήσων, ἀπὸ τοῦ φυτοῦ καλουμένη. Φοινικοῦσσα δύο νῆσοι ἐν τῷ Λιβυκῷ κόλπῳ πρὸς τῇ Καρχηδόνι, ὡς Ἑκαταῖος περιηγήσει Λιβύης. ἔστι καὶ πόλις Φοινίκων ἐν Συρίᾳ Φοινικοῦσσαι, ὡς αὐτὸς ἐν Ἀσίᾳ. Φυκοῦσσαι νῆσοι Λιβύης· ὀνομάζονται δὲ διὰ τὸ φύκων εἶναι πλήρεις. Οἰνοῦσσαι νῆσοι τῇ Χίῳ προσεχεῖς. Ἑκαταῖος Εὐρώπῃ. Ἐλαιοῦσσα νῆσος Κιλικίας κατὰ τὴν ἤπειρον πρὸς τῇ Κωρύκῳ. εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι ἑπτά. Σχινοῦσσα Φωκικὴ νῆσος. Δρυμοῦσσα νῆσος Ἰωνίας. Θουκυδίδης ὀγδόῃ (c. 31). Φαρμακοῦσσαι δύο νῆσοι πλησίον Σαλαμῖνος. καὶ ἄλλη ὑπὲρ Μίλητον, ἐν ᾗ Ἄτταλος ἀνῃρέθη. Ὀφιοῦσσα· οὕτως ἐκαλεῖτο ἡ Λιβύη, ὡς Πολυίστωρ, καὶ ἡ Ῥόδος καὶ ἡ Τῆνος καὶ ἡ Τύρα πόλις. Ταφιοῦσσα πόλις Κεφαλληνίας ἡ πρότερον Τάφος. Πιθηκοῦσσαι νῆσοι περὶ Τυρρηνίαν. Ἰχνοῦσσα· οὕτως ἐκαλεῖτο ἡ Σαρδὼ νῆσος διότι ἐοικυῖα ἦν ἀνθρώπου ἴχνει. Λοπαδοῦσσα νῆσος κατὰ Θάψον τῆς Λιβύης, ὡς Ἀπολλόδωρος ἑβδόμῳ γεωγραφουμένων. Ναγιδοῦσσα νῆσος. Ἑκαταῖος Ἀσίᾳ. Ἀγαθοῦσσα· οὕτως ἐκαλεῖτο ἡ Τῆλος νῆσος, ὡς Ἰάσων. Φασηλοῦσσαι δύο νῆσοι Λιβύης πλησίον Σίριος ποταμοῦ. Ἑκαταῖος περιηγήσει Λιβύης. Δελφοῦσσα κρήνη τῶν Δελφῶν. Γηθοῦσσα πόλις Λιβύης. Γονοῦσσα πόλις Περραιβίας. Ἐλαφοῦσσα· οὕτως Ἕλληνες Βρεττίαν νῆσον ἐν τῷ Ἀδρίᾳ καλοῦσιν. Αἰγειροῦσσα πόλις Αἰολίδος, ὡς Ἡρόδοτος (I 148). Ἀνητοῦσσα πόλις Λιβύης. πλὴν τοῦ αἴθουσα, ὅπερ ἔχει δισσὸν τὸ σ̄ ἐπὶ τοῦ προσηγορικοῦ, Ἔμπουσα καὶ Συράκουσσαι πόλις μεγίστη, ὡς Ἑκαταῖος Εὐρώπῃ, κτίσμα μὲν Ἀρχίου, Κορίνθου δ' ἄποικος, τοῖς ἐν Σικελίᾳ Μεγάροις καὶ Νάξῳ ὁμόχρονος. τὸ δὲ ἡρῷσσα προπερισπᾶται ἐκ συναλοιφῆς τοῦ ἡρώϊσσα.

* Τὰ εἰς τ̄ᾱ δισύλλαβα σπάνια ὄντα βαρύνεται, Γέντα πόλις Ἰν-

addidi, reliqua usque ad Ἀργέννουσα accesserunt ex St. B. — Πιτυοῦσσαι explevi ex St. B., item Ῥοδοῦσσα, reliqua usque ad Ἀνητοῦσσα ex St. B. recepi. l. 29 ante Ἔμπουσσα Συράκουσσαι ab Arcadio prolata apposui αἴθουσα ὅπερ — προσηγορικοῦ ex Mon. l. c., nam iure Arcadii et Monadicorum locis collatis Lehrs sumit in Ep. Hom. 278, 21 εἰς σ̄ᾱ τρία ἔχομεν τῇ ο̄ῡ διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς καὶ μετὰ δισσοῦ σ̄· δισύλλαβα δὲ οὐκ ἔχομεν ὅμοιον τῷ μοῦσα ὑπάρχον significari haec tria vocabula. Caeterum hic Epimerism. locus est Herodianeus atque eum recepi inter fragmenta libri περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν. — De Συράκουσσαι cf. E. M. 80, 35, Theogn. 56 Συρακόσσιος, οὕτω γὰρ Ἡρωδιανὸς διὰ δύο σ̄σ̄ γράφει. Lob. Proll. 434. De ἡρῷσσα Schol. ad Apoll. IV 1309: ἡρῷσσαι προπερισπωμένως Ἡρωδιανὸς ἐν τῷ ια' φησὶν ἐκ συναλοιφῆς τοῦ ἡρώϊσσα. Unum Ἐλοῦσα πόλις τῆς νῦν μὲν Παλαιστίνης τρίτης, πάλαι δ' Ἀραβίας ap. St. B. a canone Herodianeo aberrat. l. 33 canonem finxi ex nominibus a St. B. prolatis.

δικὴ τῆς ἐκτὸς Γάγγου. Γίττα πόλις Παλαιστίνης. Πολύβιος ἑκκαιδεκάτῳ.

* Τὰ εἰς τ̅α̅ ὑπὲρ δύο συλλαβὰς μακροκατάληκτα παροξύνεται, Ἀρτεμίτα νῆσος Τυρρηνικὴ παρὰ τὴν Αἰθάλειαν νῆσον, ὡς Φίλων. ὡς δὲ Στράβων (16 p. 744) πόλις Παρθυαίων. ὁ δὲ Ἀρτεμίδωρός φησιν, ὅτι χερρόνησος περὶ τὴν ἐκβολὴν τοῦ Ἀχελῴου ποταμοῦ λεγομένη Ἀρτεμίτα. ἔστι καὶ πλησίον τῶν Ὀξειῶν νήσων νῆσος Ἀρτεμίτα. Ῥιανὸς η' Θεσσαλικῶν «νήσοις Ὀξείῃσι καὶ Ἀρτεμίτῃ ἐπέβαλλον». Φουρνίτα πόλις Λιβύης. Κοτύρτα χωρίον Λακωνικόν. Θουκυδίδης (4, 56). τὰ δὲ βραχυκατάληκτα προπαροξύνεται, δίαιτα, Ἔρβιτα πόλις Σικελίας. Ἔφορος κη'. Ἔγεστα πόλις Σικελίας, ἔνθα θερμὰ ὕδατα ὡς Φίλων. ἀπὸ Ἐγέστου τοῦ Τρωός. Λάδεστα μία τῶν Λιβυρνίδων νήσων. λέγεται καὶ Λάδεστον. Θεόπομπος κα' Φιλιππικῶν. Αὔγουσται πόλεις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. Εὔφραντα πόλις Λιβυκή, Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν.

Τὰ διὰ τοῦ α̅ι̅α̅ καὶ υ̅ι̅α̅ δισύλλαβα προπερισπᾶται, μαῖα· ἔστι καὶ πόλις Ἑλλησποντία, γαῖα ἀπὸ τοῦ γῆ, αἶα, ὅπερ ἀπὸ τοῦ γαῖα γέγονε κατὰ ἀφαίρεσιν τοῦ γ̅, ἔστι δὲ καὶ Αἶα πόλις Κόλχων· ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ἧς μέμνηται Σοφοκλῆς, τῆς προτέρας λέγων «εἰς Αἶαν πλέων», τῆς δὲ δευτέρας οὕτως «ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία». ἔστιν Αἶα καὶ Μακεδονίας πηγή, ὡς Ἀντίμαχος ἐν Θηβαΐδι. γραῖα. ἔστι καὶ πόλις Ἐρετρίας. τινὲς δὲ τῇ Τανάγρῃ τὴν αὐτήν φασιν ἀφαιρέσει τῆς ἀρχῆς, ὧν εἷς ἐστι καὶ Καλλίμαχος, Ἀριστοτέλης δὲ Γραῖαν τὴν νῦν Ὠρωπόν «ἡ δὲ Γραῖα τόπος τῆς Ὠρωπίας πρὸς τῇ θαλάσσῃ κατ' Ἐρέτριαν τῆς Εὐβοίας κειμένη». Φαῖα. Ζαῖα πόλις Βοιωτίας ἀρχαιοτάτη καὶ διὰ τοῦ ε̅ καὶ διὰ τῆς α̅ι̅ διφθόγγου. Θυῖα. μυῖα.

Τὰ εἰς ᾱ συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα

---

l. 3 hunc canonem ex nominibus a St. B. relatis composui, de Ἀρτεμίτα cf. Mein. Anall. Alex. 189 not. De Αὔγουσται Choer. 326, 9: Αὐγούστα ὄνομα κύριον Δωρικῶς τραπέντος τοῦ η εἰς ᾱ, Αὐγοῦστα δὲ ἐπὶ τῆς βασιλίδος Ἰταλικῶς τοῦ η̅ εἰς ᾱ συσταλέντος. Omisi Ἀσβύστα πόλις Λιβύης, ὁ πολίτης Ἀσβύστης, de quo Meinek.: «si Ἄσβυστα nomen urbis fuit, gentile Libyco more esset Ἀσβυστίτης, est vero constanter Ἀσβύσται. itaque urbi quoque nomen Ἀσβύσται fuisse coniicio». l. 17 proprium Μαῖα addidi ex St. B., γαῖα explevi ex St. B., ubi ἀπὸ τοῦ γῆ γαῖα· καὶ τοῦ γαῖα καὶ τοῦ γραῖα βραχὺ τὸ ᾱ, ὅτι δισύλλαβα ὡς Μαῖα, Φαῖα. — αἶα addidi ex Theogn. 102, 19 collato St. B., γραῖα ex Theogn., Γραῖα ex St. B. s. Γραῖα et Τάναγρα; Φαῖα ex Theogn. et St. B., item Ζαῖα, de quo St. B.: Ζαῖα πόλις Βοιωτίας ἀρχαιοτάτη· Ἡρωδιανός. Disyllabis in υἷα addit Theogn. υἷα, quod idem videtur atque θυῖα cf. Lob. El. I 103 et II 27. Differt ab hac norma accentus vocabulorum Βαία ὄρος Κεφαλληνίας ἀπὸ Βαίου κυβερνήτου Ὀδυσσέως et Ῥαία πόλις μεταξὺ Σκυθίας καὶ Ὑρκανίας ap. St. B. s. vv. cf. de hoc canone Dichr. 288, 25 cum Lehrsii adnotatione. l. 28 Arcadii canonem nomina in α̅ι̅α̅, ε̅ι̅α̅, ο̅ι̅α̅, υ̅ι̅α̅ complectentem in quattuor partes distribui, ita ut de una quaque quattuor diphthongorum praecipuum praeceptum constituerem. Arcadius unum tantum in α̅ι̅α̅ nomen proponit Πλάταια; equidem recepi vocabula

τῇ αῑ διφθόγγῳ προπαροξύνεται, Νίκαια πόλις, νικαία δὲ τὸ θηλυκὸν τοῦ νικαῖος. ἔστι δὲ Νίκαια πόλις Βιθυνίας, Βοττιαίων ἄποικος. ἐκαλεῖτο δὲ πρότερον Ἀγκώρη, εἶτα Ἀντιγόνεια, ὕστερον δὲ ἀπὸ τῆς Λυσιμάχου γυναικὸς Νίκαια μετεκλήθη. δευτέρα τῶν Ἐπικνημιδίων Λοκρῶν. τρίτη ἐν Ἰλλυρίδι. τετάρτη ἐν Ἰνδοῖς. πέμπτη ἐν Κύρνῳ τῇ νήσῳ. ἕκτη ἐν Λεύκτροις τῆς Βοιωτίας. ἑβδόμη Κελτικῆς, Μασσαλιωτῶν ἄποικος. ὀγδόη Θρᾴκης. εἰσὶ δὲ καὶ ἄλλαι. Δίπαια πόλις Ἀρκαδίας ἣ καὶ Διπαιεύς. Δίκαια πόλις Θρᾴκης ἀπὸ Δικαίου τοῦ Ποσειδῶνος· ἔστι καὶ ἑτέρα ἐν τῷ Τυρρηνικῷ κόλπῳ Ἰώνων ἄποικος. Λίλαια πόλις Φωκίδος. Λυκόφρων (v. 1073) «πάτραν Λίλαιαν κἀνεμωρείας πέδον». Κάρθαια μία τῆς ἐν Κέῳ τετραπόλεως ἀπὸ Καρθαίου τελευτήσαντος ἐκεῖ. Ἱστίαια πόλις Εὐβοίας. Ὅμηρος «πολυστάφυλον θ' Ἱστίαιαν» (B 537). ἡ δὲ διὰ τοῦ ῑ Ἰωνικὴ γραφή ἐστιν. ἔστι δὲ καὶ Θετταλίας. τῆς δὲ Εὐβοίας ἀδιάφορος κατὰ τὴν γραφὴν καὶ διὰ τοῦ ῑ καὶ διὰ τοῦ ε̄ ψιλοῦ. Εὔταια πόλις Ἀρκαδίας. Ξενοφῶν Ἑλληνικῶν ἕκτῳ (c. 5, 12, 20 et 21). Ποτίδαια πόλις Θρᾴκης. Βάρκαια πόλις Λιβύης, ἣ καὶ Βάρκη λέγεται, Ἄφθαια πόλις Αἰγύπτου, Ἀφθαία δὲ ἡ Ἑκάτη, Φάσταια πόλις ἐν Σάκαις, Δέραια πόλις Ἀρκαδίας. Ἥραια ἄκρα καταντικρὺ Καλχηδόνος· ταύτην δ' ἐν συνηθείᾳ Ἡερίαν φασί τινες, κακῶς. ἄλλοι δὲ Ἥριον, μυθοποιοῦντες ὡς ἐκεῖ ὀρύξαντες τάφους χύτρας εὗρον καὶ ὀστᾶ. πειστέον δὲ μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ δ' βιβλίῳ

ἔστι δέ τις προπάροιθε κλυτῆς Καλχηδόνος ἄκρη
Ἥραια, τρήχουσα, πολυσπιλάς. ἔνδοθι δ' αὐτῆς
λαΐνεον περὶ τεῖχος ἰὼν κοιλαίνεται εἴσω
κόλπος ἁλός· φαίης κεν ἰδὼν βαθυδινέα πάντῃ
ἔμμεναι, εἰαμενὴ δὲ καὶ οὐ βυθός ἐστι θαλάσσης.
ἔνθα τε νῆας ἦγον, ὀϊόμενοι σκέπας εἶναι
αὐτοφυοῦς ὅρμοιο, κακῷ δ' ἐνέκυρσαν ἑτοίμῳ.

καὶ ἄλλοι οὕτως. ἔστι καὶ πόλις Ἀρκαδίας, ἣ ἐλέγετο Σολογοργός. Ἡραία δὲ καλεῖται ἡ ἐλάττων τῶν τριῶν πόλεων Σικελίας, αἳ Ὕβλαι λέγονται. Κάθαια πόλις Ἰνδική. Κυναίθαια πόλις Ἀρκαδίας, ἣ καὶ Κύναιθα λέγεται. Λύκαια πόλις Ἀρκαδίας. Θεόπομπος πεντηκοστῷ ἕκτῳ. παρὰ δὲ Μενελάῳ Λύκαιθα μετὰ τοῦ θ̄. Μάργαια πόλις Ἠλείας. Μελίταια πόλις Θεσσαλίας. Ἀλέξανδρος Ἀσίᾳ. Θεόπομπος δὲ Μελίτειαν αὐτήν φησιν. καὶ Μελίτεια Φίλων γράφει. Νίναια πόλις Οἰνωτρῶν. Ἑκαταῖος Εὐρώπῃ. Νίσαια ἐπίνειον Μεγαρίδος. καὶ αὐτὴ ἡ Μεγαρίς. ἀπὸ Νίσου τοῦ Πανδίονος. Ἑλλάνικος ἐν Ἱερειῶν πρώτῃ .... καὶ ἐν τῇ δευτέρᾳ «καὶ Νίσαιάν τε εἷλε καὶ Νῖσον τὸν Πανδίονος καὶ Μεγαρέα τὸν Ὀγχήστιον ἀπέκτεινεν». Φαλάνναια πόλις Κρήτης. Φώκαια πόλις

---

ex St. B. et Theogn. 102, 33, qui habet Νίκαια, Ποτίδαια, Κάρθαια, Δίλαια, Δίκαια, Βάρκαια, Ἱστίαια, Ὄσταια (?), Ἄφαια (Ἄφθαια St. B.), Πλάταια et de

Ἰωνίας. Ἡρόδοτος πρώτῃ (c. 142). λέγεται καὶ Φωκαίη διὰ τοῦ η̄. ἐκλήθη δὲ διὰ τὸ πολλὰς ἀκολουθῆσαι φώκας τοῖς κτίσασιν. ἔστι καὶ ἄλλη πόλις τῆς Καρίας ἐν Μυκάλῃ. Αἴθαια πόλις Λακωνικῆς, μία τῶν ἑκατόν. Φιλόχορος ἐν Ἀτθίδος τρίτῳ. Σήταια, ἀφ' ἧς Σηταῖον χωρίον παρὰ Σύβαριν. ἦν δὲ μία τῶν αἰχμαλώτων, ἣν πείσασαν τὰς ἄλλας τῶν Ἑλλήνων ἐμπρῆσαι τὰς ναῦς αὐτοὶ ἐσταύρωσαν. Ἄστραια πόλις Ἰλλυρίας. Ἀρριανὸς Ἀλεξανδριάδος α' «οἵ δ' ἔχον Ἄστραιάν τε Δόβηρά τε». Ἀμφίκαια πόλις Φωκίδος. Παυσανίας δεκάτῃ (23, 9). ὁ αὐτὸς Ἀμφίκλειαν εἶπεν. Ἀστυπάλαια μία τῶν Κυκλάδων. ἐκαλεῖτο δὲ Πύρρα Καρῶν κατεχόντων, εἶτα Πύλαια, εἶτα Θεῶν τράπεζα διὰ τὸ ἀνθηρὸν αὐτῆς. ἐκλήθη δὲ ἀπὸ Ἀστυπαλαίας τῆς Ἀγκαίου μητρός. δευτέρα πόλις ἐν Κῷ. τρίτη νῆσος πόλιν ἔχουσα μεταξὺ Ῥόδου καὶ Κρήτης. τετάρτη πόλις ἐν Σάμῳ. πέμπτη ἄκρα πλησίον Ἀττικῆς. Πλάταια πόλις Βοιωτίας. Ὅμηρος ἑνικῶς «οἵ τε Πλάταιαν ἔχον» (B̄ 504). Εὔδοξος δὲ ε' γῆς περιόδου πληθυντικῶς Πλαταιάς.... δὲ διὰ τὸ τάφους καὶ τρόπαια ἀνδρῶν ἀγαθῶν ἔχειν, τῶν τὴν Ἑλλάδα ἐλευθερωσάντων καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων. κέκληται δὲ ἀπὸ τῆς πλάτης καθὰ Κῶπαι τῆς κώπης, ὡς Ἀπολλόδωρος πρώτῳ τοῦ καταλόγου «ἐκλιμνωθείσης τῆς Βοιωτίας τοὺς παροικοῦντας ταῖς λίμναις Βοιωτοὺς πλῷ πορεύεσθαι πρὸς ἀλλήλους. ὅθεν παρὰ τὴν πλάτην καὶ τὴν κώπην τὰς πόλεις κληθῆναι». δεῖ δὲ τὸ πρωτότυπον ἑνικὸν προπαροξύνειν Πλάταιαν, ὡς Λίλαιαν, Ἱστίαιαν, Δίκαιαν. εἰ μέντοι μεταβάλλει τὸν ἀριθμόν, καὶ τὸν τόνον μεταβάλλει.

Τὰ εἰς ᾱ συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ει̅ διφθόγγῳ προπαροξύνεται, εὐλάβεια, ἀλήθεια, εὐγένεια, ἐπιφάνεια, ἀπέχθεια, ἀσφάλεια, ἀδράνεια, ἀμέλεια, ἀκρίβεια, εὐέπεια, εὔκλεια, ἄδεια, ἔνδεια κατὰ κρᾶσιν ἐκ τοῦ εὐκλέεια, ἀδέεια, ἐνδέεια, ἀπώλεια, ἐξώλεια, προώλεια, ἐνέργεια, ὠφέλεια, Θάλεια, Μήδεια, βοήθεια, εὐέρεια, ἐντερόνεια, πέλεια, Μάλεια ἄκρα πρὸς τῇ Πελοποννήσῳ καὶ Μαλέα. Ἀμάλθεια· ἔστι δὲ αἲξ ἡ θρεψαμένη τὸν Δία. ὑπώρεια. Ἀλεξάν-

Πλάταια idem refert atque St. B. s. v., ubi diserte Ἡρωδιανὸς διὰ τὴν τοῦ ἀριθμοῦ μεταβολὴν ἐπικρίνει, item Herodianus significatus est s. v. Ἄφθαια nomine ὁ τεχνικός. l. 24 Arcadius ex omnibus ab Herodiano prolatis nominibus in ει̅ᾱ tantum Ἀλεξάνδρεια, Θέσπεια (Θεσπιαί δὲ τὸ πληθυντικόν) commemorat; reliqua recepi ex Theogn., Choerob. Orth. et St. B. εὐλάβεια ἀλήθεια habet Theogn. 99, 5. ἐπιφάνεια — ἀδράνεια Choer. 178, 12; ἀμέλεια 179, 3, ἀκρίβεια 178, 15, εὐέπεια An. Ox. II 367, 32: εὐέπεια προπαροξυτόνως, εὐεπία παροξυτόνως. l. 27 εὔκλεια — ἔνδεια ex Choer. 178, 12 collato loco ex libro περὶ παθῶν in E. M. 392, 15: εὔκλεια: ὡς εὐγενής εὐγένεια, οὕτως εὐκλεὴς εὐκλέεια καὶ ἐνδέεια καὶ κράσει εὔκλεια καὶ ἔνδεια; ἀπώλεια — ἐνέργεια Choer. 180, 17, ὠφέλεια Theogn., Θάλεια et Μήδεια Choer. 180, 17, βοήθεια Theogn. et Choer. 171, 12, εὐέρεια Choer. l. c., ἐντερόνεια Schol. ad Aristoph. Eqq. 1185: ἐντερονεία: ταῦτα δὲ ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ λόγῳ ὤφειλε συστέλλειν τὸ ᾱ καὶ προπαροξύνειν. — πέλεια Μάλεια ex Il. Pr. Φ 493: πέλεια ὡς Μάλεια καὶ Θάλεια· τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. Μάλεια explevi ex Steph. Byz., Ἀμάλθεια, ὑπώρεια ex Epim. Cr. I 143, 2 reliqua omnia sumpta sunt ex St. B.

δρεια. πόλεις ὀκτωκαίδεκα. πρώτη ἡ Αἰγυπτία ἤτοι Λίβυσσα, ὡς οἱ πολλοί, ἀπ' Ἀλεξάνδρου τοῦ Φιλίππου. Ἰάσων δὲ ὁ τὸν βίον τῆς Ἑλλάδος γράψας ἐν δ' βιβλίῳ φησί «τὸν μὲν οὖν τόπον τῆς πόλεως ὄναρ ἐχρησμοδοτήθη οὕτως

νῆσος ἔπειτά τίς ἐστι πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν.

ἐκέλευσε δὲ διαγράφειν τὸ σχῆμα τοὺς ἀρχιτέκτονας· οὐκ ἔχοντες δὲ λευκὴν γῆν ἀλφίτοις διέγραφον, ὄρνιθες δὲ καταπτάντες τὰ ἄλφιτα αἴφνης διήρπασαν. ταραχθεὶς οὖν Ἀλέξανδρος, οἱ μάντεις θαρρεῖν ἔλεγον· πάντων γὰρ τὴν πόλιν τροφὸν γενήσεσθαι». ταῦτα καὶ Ἀρριανὸς (Exp. Alex. 3, 2, 19). δευτέρα ἐστὶ πόλις Τροίας, περὶ ἧς Δημοσθένης ἐν τετάρτῳ Βιθυνιακῶν. τρίτη Θρᾴκης πρὸς τῇ Μακεδονίᾳ, ἣν ἔκτισε πρὸ τῆς μεγάλης Ἀλεξανδρείας ἑπτακαίδεκα ὢν ἐτῶν. τετάρτη πόλις Ὠριτῶν, ἔθνους Ἰχθυοφάγων, κατὰ τὸν περίπλουν τῆς Ἰνδικῆς. πέμπτη ἐν τῇ Ὠπιανῇ, κατὰ τὴν Ἰνδικήν. ἕκτη πάλιν Ἰνδικῆς. ἑβδόμη ἐν Ἀρίοις, ἔθνει Παρθυαίων κατὰ τὴν Ἰνδικήν. ὀγδόη τῆς Κιλικίας. ἐνάτη ἐν Κύπρῳ. δεκάτη πρὸς τῷ Λάτμῳ τῆς Καρίας. ἑνδεκάτη κατὰ Βάκτρα. δωδεκάτη ἐν Ἀραχώτοις. τρισκαιδεκάτη ἐν Μακαρήνῃ, ἣν παραρρεῖ ποταμὸς Μαξάτης. τεσσαρεσκαιδεκάτη παρὰ Σωριανοῖς, Ἰνδικῷ ἔθνει. πεντεκαιδεκάτη παρὰ τοῖς Ἀραχώτοις, ὁμοροῦσα τῇ Ἰνδικῇ. ἑκκαιδεκάτη κατὰ τὸν Μέλανα κόλπον. ἑπτακαιδεκάτη ἐν τῇ Σογδιανῇ παρὰ Παροπαμισάδαις. ὀκτωκαιδεκάτη ἐπὶ τοῦ Τανάϊδος αὐτοῦ κτίσμα, ὡς ἐν τῷ τρίτῳ Πτολεμαῖος ἀποφαίνεται· ἔστι καὶ τόπος ἐν τῇ Ἴδῃ τῇ Τρωϊκῇ Ἀλεξάνδρεια λεγόμενος, ἐν ᾧ φασι τὸν Πάριν διακρῖναι τὰς θεάς, ὡς Τιμοσθένης. Καυκώνεια χώρα τῶν Καυκώνων ἀπὸ τῆς Καύκωνος γενικῆς ὡς Μαρώνεια πόλις Κικονίας κατὰ τὴν ἐν Θρᾴκῃ χερρόνησον. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ λιμὴν Ἰσμαρίς, ἐν δὲ Μαρώνεια πόλις». Χαιρώνεια πόλις πρὸς τοῖς ὅροις Φωκίδος. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Χαιρώνεια πόλις τὰ πρῶτα»....... «Ἀθηναῖοι καὶ οἱ μετ' αὐτῶν ἐπὶ τοὺς Ὀρχομενίζοντας τῶν Βοιωτῶν ἐπερχόμενοι καὶ Χαιρώνειαν πόλιν Ὀρχομενίων εἷλον». ἐκλήθη ἀπὸ Χαίρωνος. Ἀριστοφάνης ἐν Βοιωτικῶν δευτέρῳ «λέγεται δ' οἰκιστὴν γενέσθαι τοῦ πολίσματος Χαίρωνα». ἐκαλεῖτο δὲ ἡ πόλις καὶ Ἄρνη τὸ ἀρχαῖον. ὅθεν καὶ Ὅμηρος τῇ ἀρχαιοτέρᾳ ἐχρήσατο ὀνομασίᾳ, καθότι Αἴγυπτον τὸν ποταμὸν εἶπεν, οὐ Νεῖλον. καὶ πανταχοῦ τοῖς ἀρχαιοτέροις ὀνόμασι χρῆται. Κωστάντεια ἡ νῦν ἐν Κύπρῳ Σαλαμίς· ἔστι καὶ Βρεττίας ἄλλη, ὡς Διονύσιος ἐννεακαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. εὕρηται καὶ διὰ τοῦ ν̄. Βυζάντεια ἡ χώρα. Αἴνεια τόπος Θρᾴκης ἀπὸ Αἰνείου. Θέων δ' Αἰνειάδας ταύτην καλεῖ, ὑπομνηματίζων τὸν Λυκόφρονα (v. 1263) «Αἰνείας δὲ μετὰ τὴν Ἰλίου πόρθησιν εἰς Θρᾴκην παρεγένετο καὶ ἔκτισε πόλιν Αἰνειάδας, ὅπου τὸν πατέρα ἔθαψε». Αἰνία δὲ διὰ τοῦ ῑ πόλις Περραιβῶν. Αἴπεια πόλις Λακωνικῆς «καλήν τ' Αἴπειαν καὶ Πήδασον» (Il. I 152). ἔστι καὶ ἑτέρα Κύπρου. τρίτη Κρήτης ὡς Ἑλλάνικος. Ἀγάμμεια ἄκρα καὶ λιμὴν περὶ τὴν Τροίαν, ὡς Ἑλ-

λάνικος ἐν δευτέρῳ. ἐκλήθη δὲ ἀπὸ τοῦ ἄγαμον τὴν Ἡσιόνην ὑπὸ τοῦ πατρὸς παραδοθῆναι τῷ κήτει. λέγεται δὲ καὶ Ἀγάμμη ὡς πρέσβεια πρέσβη καὶ τὸ βασίλεια κατὰ συναλοιφὴν βασίλη. δύναται δὲ καὶ τὸ Ἀγάμμεια ἐκ τοῦ Ἀγάμμη ὡς τὸ Πηνελόπεια ἐκ τοῦ Πηνελόπη. Ἐρύθεια νῆσος Γηρυόνου ἐν τῷ ὠκεανῷ ἀπὸ Ἐρυθείας τῆς Γηρυόνου. λέγεται δὲ καὶ Ἐρύθη κατὰ συναλοιφήν. ὡσαύτως καὶ Ζέλεια πόλις Τρωάδος Ζέλη λέγεται. Ὅμηρος «οἱ δὲ Ζέλειαν ἔναιον» (Β 824). παρὰ Ποσειδίππῳ δ' εὕρηται διὰ τοῦ ῑ Ζελίη. καὶ Μαντίνεια πόλις Ἀρκαδίας Μαντίνη. Ὅμηρος δὲ «οἳ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν» (Β 607). Ψυττάλεια νῆσος περὶ Σαλαμῖνα. Ἡρόδοτος (8, 76) «εἰς τὴν νησῖδα τὴν Ψυττάλειαν, τὴν μεταξὺ Σαλαμῖνος κειμένην καὶ τῆς ἠπείρου». λέγεται δὲ καὶ Ψυττάλη. ἔοικε δὲ τὸ Ψυττάλεια πρωτότυπον εἶναι, κέκληται δὲ ἀπὸ Ψυττάλου. Ἀγάθεια πόλις Φωκίδος ὡς Ἑλλάνικος πρώτῳ Δευκαλιωνείας. ἔστι δὲ καὶ Ἀγάθεια πόλις Λιγύων ἢ Κελτῶν, παραγωγὴ τῆς Ἀγάθης ὡς Βερενίκεια καὶ Θεσσαλονίκεια. Ἰόπεια πόλις Φοινίκης, ἣ καὶ Ἰόπη. λέγεται καὶ Ἰοπία διὰ τοῦ ῑ καὶ ἴσως ἐκ τοῦ Αἰθιοπία. Λαοδίκεια πόλις τῆς Συρίας ἡ πρότερον Λευκὴ ἀκτὴ λεγομένη καὶ πρὸ τούτου Ῥάμιθα, ὡς Φίλων. ἔστι καὶ ἑτέρα Λυδίας· ἔστι δὲ καὶ ἄλλη Λυκαονίας. καὶ Μηδίας ἑτέρα. λέγεται δὲ κατὰ παραγωγὴν ἐκ τῆς Λαοδίκης ὡς Ἀπάμη Ἀπάμεια Συρίας πόλις ἀπὸ Ἀπάμας τῆς Σελεύκου μητρός. ἔστι καὶ ἄλλη ἐν τῇ Μεσηνῶν γῇ «τῷ Πίγρητι περιεχομένη, ἐν ᾗ σχίζεται ὁ Πίγρης ποταμός, καὶ ἐν μὲν τῇ δεξιᾷ μοίρᾳ περιέρχεται ποταμὸς Σέλλας, ἐν δὲ τῇ ἀριστερᾷ Πίγρης, ὁμώνυμος τῷ μεγάλῳ». ἔστι καὶ τῆς μικρᾶς Φρυγίας, ἥτις ἐκαλεῖτο Κελαιναί. ἔστι καὶ Βιθυνίας, κτίσμα Νικομήδους τοῦ Ἐπιφανοῦς, ἐκαλεῖτο δὲ πρῶτον Μύρλεια. ἔστι καὶ τῆς Περσαίας, Ἐδέσσης πρὸς ἄρκτους. Εὐρώπη Εὐρώπεια. Σκάρφεια πόλις Λοκρίδος τῶν Θερμοπυλῶν ἐγγύς. κέκληται δὲ ἀπὸ Σκαρφείας. καὶ Σκάρφην τὴν αὐτὴν λέγει Στράβων (1 p. 60 et 9 p. 426). Γεράνεια πόλις Φρυγίας ἀπὸ πρωτοτύπου Γεράνη. ἔστι καὶ ὄρος μεταξὺ Μεγάρων καὶ Κορίνθου, ἀφ' οὗ ἥλατο Ἰνὼ φεύγουσα τὸν Ἀθάμαντα. Αἰθάλεια νῆσος Τυρσηνῶν. Φίλιστος ἐν ε' Σικελικῶν, λέγεται Αἰθάλη. Ἑκαταῖος Εὐρώπῃ. Πολύβιος δ' ἐν τριακοστῇ τετάρτῃ λέγει Αἰθάλειαν τὴν Λῆμνον καλεῖσθαι. ἐκαλεῖτο δὲ οὕτως ἡ πόλις ἴσως ἐκ τῶν ἀναδιδομένων τοῦ Ἡφαίστου κρατήρων. Γοργίππεια πόλις Σινδικῆς. λέγεται καὶ Γοργίππη. Αἰγώνεια πόλις Μηλιέων. Λυκόφρων (v. 903) «ὧν οἱ μὲν Αἰγώνειαν ἄθλιοι πάτραν». καὶ Ἑκαταῖος. Ῥιανὸς ἑκκαιδεκάτῃ Αἰγώνην αὐτὴν καλεῖ. Κωρύκεια· οὕτως ἔνιοι Κώρυκον πόλιν Κιλικίας φασίν. Λυκόζεια πόλις Θρακῶν, ἣ καὶ Λύκοζος. Τηλάνδρεια πόλις Καρίας, ἣ καὶ Τήλανδρος. Φανότεια πόλις Φωκίδος. λέγεται

l. 10 de Ψυττάλεια St. B. Ἡρωδιανὸς μέντοι Ψυττάλην αὐτὴν καλεῖ, quod sic intelligendum est, ut Herodianus prolato formae Ψυττάλεια exemplo ipse Ψυττάλη speciem se praeferre dixerit. Item se habent, quae de Αἰθάλεια refert St. B. s. Αἰθάλη νῆσος Τυρσηνῶν· Φίλιστος δ' ἐν ε' Σικελικῶν Αἰθάλειαν αὐτὴν καλεῖ καὶ Ἡρωδιανὸς καὶ Ὦρος.

δὲ καὶ Φανότη καὶ Φανοτεύς. Θουκυδίδης τετάρτῳ (c. 89). τινὲς Πανόπειάν φασιν. Τρινέμεια· οὕτως Καλλίμαχος Ἑκάλῃ τὸν δῆμον τῆς Κεκροπίδος φυλῆς, ὃν Διόδωρος καὶ Δίδυμος Τρινεμεῖς ἀναγράφουσιν. Βουνόμεια καὶ Βούνομος ἐκαλεῖτο ἡ Μακεδονίας Πέλλα. Οἰάνθεια πόλις Λοκρῶν, Ἑλλάνικος, ἣν Ἑκαταῖος Εὐρώπῃ Οἰάνθην καλεῖ. Ἀφύτεια πόλις Θρᾴκης, ἣ καὶ Ἀφύτη καὶ Ἄφυτις καὶ Ἄφυτος. Δέλβεια· οὕτως λέγουσί τινες Δέρβην φρούριον Ἰσαυρίας καὶ λιμένα. ἔστι δὲ τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθος. Ἀντιγόνεια πόλις Χαονίας ἐν Ἠπείρῳ. ἔστι καὶ πόλις Ἀρκαδίας ἡ πρότερον Μαντίνεια. τρίτη Μακεδονίας, Ἀντιγόνου κτίσμα τοῦ Γονατοῦ. τετάρτη Βιθυνίας πρὸς τῷ Δασκυλίῳ. πέμπτη ἐν τῇ Συρίᾳ πλησίον Ἀντιοχείας. ἔστι καὶ φρούριον Κυζικηνῆς ἀπέχον τῆς προσεσπέρου θαλάσσης ὡς σταδίους ν΄. Ἀττάλεια πόλις Λυδίας πρότερον Ἀγρόειρα ἢ Ἀλλόειρα καλουμένη. οἱ δὲ τὴν Κιλικίας Κώρυκον οὕτω φασὶ λέγεσθαι, ὡς Δημήτριος, ἀπὸ Ἀττάλου Φιλαδέλφου κτίσαντος. Ἀδράστεια μεταξὺ Πριάπου καὶ Παρίου ἀπὸ Ἀδράστου βασιλέως, ὃς καὶ πρῶτος ἱδρύσατο τὸ Νεμέσεως ἱερόν. ἐκαλεῖτο δὲ καὶ ἡ χώρα Ἀδράστεια καὶ Ἀδραστείας πεδίον καὶ ἡ πόλις οὕτως. ἔστι καὶ Τρωάδος Ἀδράστεια τόπος ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου, τοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ, ὡς Χάραξ Ἑλληνικῶν δευτέρᾳ. Ἀκούτεια πόλις Ἰβηρίας καθὰ Στράβων ἐν τῷ τρίτῳ (p. 15). Ἀμφιγένεια πόλις Μεσσηνιακή. Στράβων ὀγδόῃ (p. 349). ἔστι δὲ κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ Ἀντίμαχον τῆς Μεσσηνίας. Μενέλαος δέ φησι καὶ Ἀμφιγένειον εἰρῆσθαι. Ἀνεμώρεια πόλις Φωκίδος. Ὅμηρος «οἵ τ' Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο» (B 521) καὶ Λυκόφρων «πάτραν Λίλαιαν κἀνεμωρείας πέδον» (v. 1073). ὠνόμασται ἀπὸ τοῦ συμβαίνοντος. ὑποκείμενον γὰρ αὐτῆς τὸ καλούμενον Κατοπτήριον χωρίον, ἐξ οὗ δι' ἡμέρας καὶ νύκτας καταιγίζεται πανταχόθεν. Ἄνθεια πόλις Πελοποννήσου, πλησίον Ἄργους, ὡς Φίλων. ἔστι δὲ Ἄνθεια καὶ τοῦ Πόντου πόλις πρὸς τῇ Θρᾴκῃ, Μιλησίων καὶ Φωκαέων ἄποικος, ἧς μέμνηνται πολλοὶ καὶ Φιλέας. ἔστι καὶ κώμη Λιβύης. Παυσανίας δὲ Ἄνθειαν Θουρίαν πόλιν Μεσσηνίας φησίν. Ἄντεια πόλις Ἰταλίας ὑπήκοος Ῥωμαίων. ἐκλήθη δὲ ἀπὸ Κίρκης παιδός. «Ὀδυσσέως γὰρ καὶ Κίρκης υἱοὺς γενέσθαι τρεῖς, Ῥῶμον, Ἀντείαν, Ἀρδείαν». μετωνομάσθη δὲ καὶ Ἄντιον. Ἀράφεια νῆσος Καρίας. Παρθένιος ἐν Ἰφίκλῳ «καὶ εἰναλίην Ἀράφειαν». Γρώνεια πόλις Φωκίδος, Γρύνεια τῆς Τρωάδος. Ἀριαράθεια πόλις πλησίον Καππαδοκίας ἀπὸ Ἀριαράθου Καππαδοκίας βασιλεύσαντος, γαμβροῦ Ἀντιόχου. Αἰγιάλεια· οὕτως ἐκέκλητο Ἄργος. Ὑπέρεια Ἄργος ἡ Φαιάκων πόλις ἐκέκλητο, ἔστι καὶ Ὑπέρεια πηγὴ Μεσηΐδος. Ἀπεράντεια πόλις Θεσσαλίας. Πολύβιος εἰκοστῷ. Ἀντινόεια πόλις Αἰγύπτου ἀπ' Ἀντινόου παιδός. Ἀντιόχεια πολλαὶ πόλεις· πρώτη Σύρων. ἡ δευτέρα ἐκλήθη ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, Λυδίας. τρίτη Μεσοποταμίας, Μυγδονία καλουμένη, ἥτις πρὸς τῶν ἐπιχωρίων Νάσιβις καλεῖται. τετάρτη Πισιδίας. πέμπτη

μεταξὺ κοίλης Συρίας καὶ Ἀραβίας, Σεμιράμιδος. ἕκτη Κιλικίας ἐπὶ τοῦ Πυράμου. ἑβδόμη Πιερίας, ἣν Ἄραδον οἱ Σύροι καλοῦσιν. ὀγδόη ἡ ἐπὶ τῆς Καλλιρρόης λίμνης. ἐνάτη ἐπὶ τῷ Ταύρῳ ἐν Κομμαγηνῇ, δεκάτη ἐν Σκυθίᾳ. ἑνδεκάτη Καρίας, ἥτις καὶ Πυθόπολις ἐκαλεῖτο. «Ἀντιόχῳ γὰρ τῷ Σελεύκου τρεῖς γυναῖκες ἐπέστησαν ὄναρ, κτίσαι πόλιν ἐν Καρίᾳ ἑκάστη λέγουσα. ὁ δὲ ὑπολαβὼν τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὴν ἀδελφήν, κτίζει τρεῖς πόλεις ἀπὸ μὲν τῆς ἀδελφῆς Λαοδίκης Λαοδίκειαν, ἀπὸ δὲ τῆς γυναικὸς Νύσης Νῦσαν, ἀπὸ δὲ τῆς μητρὸς Ἀντιοχίδος Ἀντιόχειαν». δωδεκάτη ἐν τῇ Μαργιανῇ Παρθυαίων. Στράβων ἑνδεκάτῃ (p. 516). τρισκαιδεκάτη ἡ Ταρσός. τεσσαρεσκαιδεκάτη Ἰσαυρίας ἡ Λαμπωτὶς λεγομένη. Ἀσπαλάθεια πόλις Ταφίων. Νίκανδρος ἑτεροιουμένων πρώτῃ «Ἀσπαλάθεια βοήροτος». Ἀττάλεια πόλις Λυδίας. Ἁγνώνεια πόλις Θρᾴκης πλησίον Ἀμφιπόλεως, Ἅγνωνος κτίσμα τοῦ στρατηγοῦ τῶν Ἀθηναίων. Αἰξώνεια πόλις Μαγνησίας. Ἀκαδήμεια γυμνάσιον Ἀθήνησιν ἀπὸ Ἀκαδήμου. γράφεται καὶ διὰ τοῦ ε̄ Ἐκαδήμεια· οἱ δ' ὅτι Ἔχεμος ὁ Ἀρκὰς συστρατεύσας τοῖς Διοσκούροις ὑποχείριον ἔσχε τὴν Ἀττικήν, ἐξ οὗ Ἐχεδήμειάν φασιν. μὴ βουλόμενοι δὲ σώζεσθαι τὸ ὄνομα Ἀκαδήμειαν ἔφασαν. ἀκρώρεια ἄκρον ὄρους. Ἀλύζεια πόλις Ἀκαρνανίας ἀπὸ τοῦ παιδὸς Ἰκαρίου κληθεῖσα Ἀλύζου. Ἀμάσεια πόλις Ποντική. Ἄμφεια πόλις Μεσσήνης. Παυσανίας τετάρτῳ (5, 8). Ἁρπαλύκεια πόλις Φρυγίας κτίσμα Γορδιοτειχιτῶν. Βάλκεια πόλις περὶ τὴν Προποντίδα. Βατίεια τόπος τῆς Τρωάδος ὑψηλὸς ἀπὸ Βατείας τινός, ὡς Ἑλλάνικος ἐν πρώτῃ Τρωϊκῶν ἤ, ὡς Ἐπαφρόδιτός φησιν, ἀπὸ τοῦ πάτου τῶν ἵππων ἤγουν τῆς ἀναστροφῆς τροπῇ τοῦ π̄ εἰς β̄ ἢ ἀπὸ τῶν βάτων. Ὅμηρος (Β 813) «τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν». Βοαύλεια πόλις Σκυθίας. Πείσανδρος εἰκοστῇ ἕκτῃ. Βούδεια πόλις ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην. Ὅμηρος (Π 572) Βούδειον ἔφη «ὅς ῥ' ἐν Βουδείῳ εὐναιομένῳ». ἀπὸ τοῦ οἰκίσαντος Βουδείου. οὕτω τιμᾶται Βούδεια ἡ Ἀθηνᾶ ἐν Θετταλίᾳ. Λυκόφρων (v. 359)

ἡ πολλὰ δὴ Βούδειαν αἴθυιαν κόρην
ἀρωγὸν αὐδάξασα τάρροθον γάμων.

ἔστι καὶ Βούδεια πόλις Φρυγίας. Βουκεφάλεια πόλις ἐπὶ τῷ Βουκεφάλῳ ἵππῳ, ἣν ἔκτισεν Ἀλέξανδρος ἐν Ἰνδίᾳ παρὰ τὸν Ὑδάσπην ποταμόν. Γερμανίκεια πόλις Εὐφρατησίας. Γήρεια πόλις Ἰνδική. Γυλάκεια· οὕτως ἐκαλεῖτο ἡ τῆς Ἰλλυρίας Ἀπολλωνία ἀπὸ Γύλακος Κορινθίου. Δαιδάλεια πόλις Ἰταλίας Δαιδάλου κτίσμα. Δεκέλεια δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς ἀπὸ Δεκέλου τοῦ ἡγησαμένου τοῖς Διοσκούροις εἰς Ἀφίδνας, ὡς Ἡρόδοτος ἐνάτῳ (c. 73). λέγεται καὶ Δεκελιά, ὅθεν τὸ τοπικὸν Δεκελιᾶθεν. Δικαιάρχεια πόλις Ἰταλίας, ἣ ἐκέκλητο Ποτίολοι. πότια δὲ τὰ φρέατα καλοῦσι Ῥωμαῖοι, ὀλῆρε

l. 25 de Βατίεια cf. Il. Pr. Β 813: οὕτως προπαροξυτόνως Βατίειαν ὡς Ἀλεξάνδρειαν. l. 36 de Δεκέλεια et Δεκελιά recte Meinekium iudicasse comprobat simile Πλώθεια et Πλωθιά, quod ipse Stephanus affert s. Ἀζηνιά.

δὲ τὸ ὄζειν. δυςώδη γὰρ τὰ φρέατα εἶχε. Διομήδεια πόλις Δαυνίων κτίςμα Διομήδους. καὶ νῆςος ἡ Διομήδεια. ἔςτι καὶ τόπος Διομήδεια πληςίον Ἀργυρίππων. Ἐλάτεια πόλις Φωκίδος ἀπὸ Ἐλάτου. ἔςτι καὶ Θετταλίας. ἔςτι καὶ Θεςπρωτίας, ἣν καὶ Ἐλατρίαν φαςὶ διὰ τοῦ ρ̄. Ἐλέγεια χωρίον πέραν Εὐφράτου. Ἀρριανὸς ἐν Παρθικῶν η'. Ἔμεια τόπος πληςίον Μυκηνῶν. Ἔμεια δὲ λέγεται, ἐπειδὴ ἐκεῖ ἤμεςεν ὁ Κέρβερος ἀνελθὼν ἐκ τοῦ Ἅιδου ἢ ἐπειδὴ ὁ Θυέςτης φαγὼν τὰ τέκνα αὐτοῦ ἐκεῖ ἤμεςεν. Ἐπιφάνεια πόλις Συρίας κατὰ Ῥαφανέας ἐν μεθορίοις Ἀράδου. δευτέρα Κιλικίας. τρίτη Βιθυνίας. τετάρτη κατὰ Τίγριν. Ἐρίκεια δῆμος Ἀθήνηςι τῆς Αἰγηΐδος φυλῆς. Ἐρύςθεια πόλις Κύπρου. Εὔγεια χωρίον Ἀρκαδίας. Θεόπομπος εἰκοςτῷ ἕκτῳ. Εὐέλγεια πόλις. Ἑκαταῖος περιηγήςει. Εὐκάρπεια δῆμος τῆς μικρᾶς Φρυγίας. Εὐμένεια πόλις Φρυγίας Ἀττάλου καλέςαντος ἀπὸ Εὐμενοῦς τοῦ Φιλαδέλφου. ἢ Ὕλλος καλῶς μείνας ὠνόμαςεν οὕτως. δευτέρα Καρίας, τρίτη ἐπὶ Ὑρκανίᾳ. Εὐωνύμεια πόλις Καρίας. ἔςτι καὶ δῆμος Ἀθηναίων ἀπὸ Εὐωνύμου τοῦ Γῆς καὶ Οὐρανοῦ ἢ Κηφιςοῦ. λέγεται καὶ ὁ δῆμος Εὐώνυμος. Ἠετιώνεια, οὕτως ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα ἀπὸ Ἠετίωνος. Ἡράκλεια πόλις Θρᾴκης ἐν τῷ Πόντῳ διάςημος. β' Σικελίας. γ' Λυδίας. δ' Λιβύης. ε' Σαρδοῦς. ϛ' Ἰταλίας. ζ' Κελτικῆς. η' Θεςςαλίας. θ' Καρίας. ι' ἐν τῷ Λυδίῳ Ταύρῳ. ια' μεταξὺ Σκυθίας καὶ Ἰνδικῆς. ιβ' νῆςος ἐν τῷ Καρπαθίῳ πελάγει. ιγ' Συρίας. ιδ' Φοινίκης. ιε' Πιερίας. ιϛ' πόλις καὶ νῆςος.... ιζ' Κρήτης. ιη' Πιςαϊκή. ιθ' Καρίας, ἡ λεγομένη Ἀλβάκιος, μεςόγειος. κ' πόλις πρὸς τῇ Κυμαίᾳ τῆς Αἰολίδος. κα' Ἀκαρνανίας πόλις. κβ' νῆςος ἐν τῷ Ἀτλαντικῷ. κγ' Μακεδονίας, Ἀμύντου τοῦ Φιλίππου κτίςμα. Ἰςοκράτεια μία τῶν Ἀμαζόνων. Θώκνεια πόλις Ἀρκαδίας ἀπὸ Θώκνου. Παυςανίας ὀγδόῳ (c. 3, 2). Ἰλούργεια πόλις Ἰβηρίας. Πολύβιος ἑνδεκάτῃ. Καιςάρεια μητρόπολις τῆς Καππαδοκίας ἡ πρὶν Εὐςέβεια καὶ Μάζακα ὡς Στράβων (12 p. 537). εἰςὶ καὶ ἄλλαι τούτῳ τῷ ὀνόματι προςαγορευόμεναι. Καλαύρεια νηςίδιον πρὸς τῇ Κρήτῃ ἀπὸ Καλαύρου τοῦ Ποςειδῶνος. Κάρπεια· οὕτως τινὲς τὴν Κάλπην πόλιν φαςί. Καςάνδρεια πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ἥ ποτε Ποτίδαια λεγομένη, ἀπὸ Καςάνδρου τοῦ Ἀντιπάτρου. Κεκρυφάλεια ἄκρα τις, περὶ ἣν ἐνίκηςαν Αἰγινήτας Ἀθηναῖοι. τινὲς δὲ νῆςον αὐτήν φαςι Πελοποννήςου. Κορώνεια πόλις Βοιωτίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κορώνου τοῦ Θερςάνδρου. δευτέρα πόλις Πελοποννήςου μεταξὺ Σικυῶνος καὶ Κορίνθου. τρίτη τῆς Φθιώτιδος. ἔςτι καὶ φρούριον τῆς Ἀμβρακίας. τετάρτη πόλις Κύπρου. ἔςτι καὶ χερρόνηςος πρὸς τὴν Ἀττικήν. Κράνεια χωρίον Ἀμβρακιωτῶν. Θεόπομπος πεντηκοςτῷ πρώτῳ. Κυβέλεια πόλις Ἰωνίας. Ἑκαταῖος Ἀςίᾳ. Κυνέτεια πόλις Ἄργους. Καλλίμαχος δευτέρῳ. Λαγίνεια πολίχνιον Βιθυνίας. Λάεια πόλις Καρίας. Ἑκαταῖος Ἀςίᾳ. Λακέρεια πόλις Μαγνηςίας. Ἑλλάνικος

---

l. 5 Ἔμεια est ex Choer. Orth. 206, 20, unde transiit in E. M. 334, 19.

Δευκαλιωνείας πρώτῳ. ἔστι καὶ τῆς Ἰταλίας. καὶ ἄλλη Ἀργολίδος ἡ καὶ Ἑρμιόνη. Λάμπεια ὄρος Ἀρκαδίας. Παρθένιος Ἀνθίππῃ. Λαμπέτεια πόλις Βρεττίας. Πολύβιος τρισκαιδεκάτῳ. Λύζεια πόλις Ἀκαρνανίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Λυζέως τινός. Λαμπώνεια πόλις Τρῳάδος. Ἑκαταῖος Ἀσίᾳ. Ἑλλάνικος δὲ Λαμπώνιον αὐτήν φησι. Πιτύεια· οὕτως Ἐπαφρόδιτος ὑφ' Ὁμήρου (Β 829) Λάμψακον κληθῆναι διὰ τὸ πιτύων πλῆθος, Λαομεδόντειαν καλουμένην. Λαοδαμάντεια νῆσος ἐν Λιβύῃ. Ἀρτεμίδωρος. ἐκαλεῖτο δὲ Λαομεδόντεια ἴσως ἀπὸ Λαομέδοντος τοῦ Τρωός. Λιρνύτεια πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. Λυκώρεια κώμη ἐν Δελφοῖς. Καλλίμαχος ἐν τρίτῳ. ἀπὸ Λυκωρέως τοῦ βασιλέως. Λυσιμάχεια πόλις τῆς Θρᾴκης χερρονήσου ἡ πρότερον Καρδία. Μακύνεια πόλις Αἰτωλίας. Στράβων δεκάτῃ (p. 451. 460). Μάρεια πόλις καὶ λίμνη τῇ Ἀλεξανδρείᾳ παρακειμένη, ἣ καὶ Μαρεῶτις λέγεται. Μελάμπεια πόλις Λυδίας ἀπὸ Μελάμπου, ὡς Ξάνθος ἐν Λυδιακοῖς. Μίδεια πόλις ἐν Ἄργει ἀπὸ Μιδείας τῆς Ἀλωέος θυγατρός. λέγεται καὶ χωρὶς τοῦ ῑ Μιδέα. ἔστι καὶ ἑτέρα πόλις Βοιωτίας. Ὅμηρος «οἵ τε πολυστάφυλον Ἄρνην ἔχον οἵ τε Μίδειαν» (Β 507). ἔστι καὶ Λυκίας ἄλλη. Μολύνδεια πόλις Λυκίας ἀπὸ Μολυνδέως. Ἀλέξανδρος ἐν τῷ περὶ Λυκίας πρώτῳ. Μύρλεια πόλις Βιθυνίας ἀπὸ Μύρλου τοῦ Κολοφωνίων ἡγεμόνος· οἱ δὲ ἀπὸ Μυρλείας Ἀμαζόνος. Νακόλεια πόλις Φρυγίας. Στράβων δωδεκάτῃ (p. 576). διὰ τῆς ει διφθόγγου παρὰ τὸν Νάκολον τὸν Δασκύλου παῖδα. ἔστι καὶ οὐδέτερον Νακόλαιον ἀπὸ Νακόλης νύμφης ὥσπερ ἀπὸ τοῦ νύμφη νύμφαιον καὶ Ἥρα Ἥραιον. Νεάνδρεια πόλις Τρῳάδος ἐν Ἑλλησπόντῳ, ὡς Χάραξ. λέγεται καὶ Νεάνδρειον οὐδετέρως ὡς Θεόπομπος. Νεοκαισάρεια Ποντικὴ πόλις. ἔστι καὶ Βιθυνίας. Νικομήδεια πόλις Βιθυνίας ἀπὸ Νικομήδους τοῦ Ζήϊλα παιδὸς ἐπισημοτάτου βασιλέως ἣ καὶ Ὀλβία ἐκλήθη. Παρώρεια πόλις Ἀρκαδίας. λέγεται δὲ καὶ Παρωραία. Πελόπεια πόλις Λυδίας ἡ ὕστερον Θυάτειρα. Πήρεια Θεσσαλίας χωρίον. Πιάλεια πόλις Θεσσαλικὴ ὑπὸ τὸ Κερκετικὸν ὄρος. Πλειστάρχεια πόλις Καρίας, ἣ καὶ πρότερον καὶ ὕστερον Ἡράκλεια ὠνομάσθη. Πλώθεια δῆμος Αἰγηΐδος φυλῆς, ἣ καὶ Πλωθιά. Ποδάλεια πόλις Λυκίας πλησίον Λιμύρων. Πολίτεια πόλις Ἀχαΐας. Προγάσεια πόλις Λυδίας. Ῥαφάνεια πολίχνιον Συρίας, Ῥάφεια πόλις Συρίας. Ῥόβεια Πιερίης. Σαλώνεια πόλις Βιθυνίας. Σαμάρεια πόλις τῆς Ἰουδαίας. Σάνεια πόλις Ἰνδική. Ἀρριανὸς Ἀλεξανδρειάδος ἑβδόμῳ. Σελεύκεια πόλις ἐπὶ Κιλικίᾳ τραχεῖα λεγομένη. ὠνόμασε δὲ Σελεύκειαν αὐτὴν Σέλευκος ὁ Νικάτωρ, ὡς Ἀλέξανδρός φησι. πρότερον δὲ Ὀλβία ἐκαλεῖτο καὶ Ὑρία. Σκάνδεια ἐπίνειον Κυθήρων, ὡς Παυσανίας τρίτῳ (c. 23, 1). Σολύγεια κώμη Κορίνθου, ὡς Θουκυδίδης τετάρτῃ (c. 42). Στρατονίκεια πόλις Μακεδόνων πλησίον Καρίας, κέκληται δὲ ἀπὸ Στρατονίκης τῆς Ἀντιόχου γυναικός. ἔστι καὶ ἕτερον πολίχνιον πρὸς τῷ Ταύρῳ. Στρούθεια πόλις Φρυγίας ἐν τοῖς ὅροις Λυκαονίας. Σφήκεια πόλις Εὐβοίας. Λυκόφρων (v. 447) «οἱ πέντε που Σφήκειαν εἰς Κεραστίδα». οὕτω δὲ καὶ ἡ Κύπρος

ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων ἐκεῖ ἀνδρῶν, οἳ ἐκαλοῦντο Cφῆκες. Τεμένεια. πόλις Φρυγίας πρὸς τῇ Λυκαονίᾳ. Πολυάνθεια πρότερον ἐκαλεῖτο Τράλλις πόλις Λυδίας διὰ τὸ πολλὰ ἄνθη ἐκεῖ πεφυκέναι. Τράφεια πόλις Βοιωτίας πολλὰ θρέμματα ἔχουσα. Τρίτεια πόλις Τρωϊκὴ Ἀρισβαίων κτίσμα. ἔστι καὶ ἄλλη μεταξὺ Φωκίδος καὶ Λοκρῶν τῶν Ὀζολῶν. Ὑάμεια πόλις Μεσσήνης τῶν πέντε μία. Ὑάπεια πόλις Φωκίδος ἀπὸ Ὑάπου. Φιδάλεια ἡ Βύζαντος γυνή. Φαρνάκεια χώρα καὶ πόλις Ποντική, προσεχὴς τῇ Τραπεζοῦντι. Φαναγόρεια πόλις, ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος Ἀσίᾳ. ἡ νῆσος Φαναγόρη καὶ Φαναγόρεια. Φήγεια πόλις Ἀρκαδίας ἀπὸ Φηγέως βασιλέως, ὡς Χάραξ Ἑλληνικῶν δ'. Φιγάλεια πόλις Ἀρκαδίας. Ῥιανὸς ἐν ε' Μεσσηνιακῶν «τὴν μὲν ἀνήγετ' ἄκοιτιν ἐπὶ κραναὴν Φιγάλειαν». μετωνομάσθη δὲ Φιάλεια δίχα τοῦ γ̄ ἀπὸ Φιάλου τινός. ἔστι καὶ Φιάλεια Βιθυνίας. Φορίεια κώμη Ἀρκαδίας. Φιλαδέλφεια πόλις Λυδίας, Ἀττάλου κτίσμα τοῦ φιλαδέλφου. ἔστι δὲ τῆς Κεκαυμένης ὑπὸ Μυσῶν καὶ Λυδῶν κατεχομένης· Στράβων ιβ' (p. 579). ἔστι καὶ ἑτέρα τῆς Αἰγύπτου, καὶ τρίτη τῆς Συρίας ἐπιφανὴς πόλις ἀπὸ Πτολεμαίου τοῦ φιλαδέλφου. Ἀράντεια· οὕτως ἐκαλεῖτο Φλιοῦς πόλις Πελοποννήσου. Θέσπεια πόλις Βοιωτίας, Θεσπιάδου κτίσμα, κατὰ δέ τινας Θεσπίου τοῦ Τεύθραντος τοῦ Πανδίονος· Ὅμηρος «Θέσπειαν Γραῖάν τε» (B 498). γράφεται καὶ διὰ τοῦ ῑ καὶ ἐκτείνεται καὶ συστέλλεται παρὰ Κορίννῃ «Θέσπια, καλλιγένεθλε, φιλόξενε, μουσοφίλητε». καὶ ἐπίγραμμα τῶν ἀναιρεθέντων ὑπὸ τῶν Περσῶν. ἦν δὲ Φιλιάδου Μεγαρέως,

ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

πληθυντικῶς δὲ Θεσπιαί ὀξυτόνως. ὀξύνεται δὲ καὶ διὰ τὸ πληθυντικῶς λέγεσθαι Ὀρνειαί, κώμη Ἀργείας· ἔστι καὶ ἑτέρα πόλις μεταξὺ Κορίνθου καὶ Σικυῶνος. Ὅμηρος (B 571) «Ὀρνειάς τ' ἐνέμοντο». γράφονται δὲ διὰ διφθόγγου αἱ Ὀρνειαί καὶ Βρυσειαί πόλις Ἤλιδος καὶ Αὐγειαί πόλις Λοκρίδος. Ὅμηρος (B 532) «καὶ Αὐγειὰς ἐρατεινάς». ἔστι καὶ Λακωνικὴ πόλις Αὔγεια. τὸ δὲ ἐγχεία καὶ ἐλεγχεία,

---

l. 18 Θέσπεια explevi ex St. B. s. v., quem ex Pros. Catholica hausisse demonstrat Iliaca Prosod. B 498: Θέσπειαν: ἐκτετάσθαι φασὶ διὰ τὸ μέτρον. τὸ γὰρ τῆς ἱστορίας ἐν συστολῇ τέ ἐστι πληθυντικῶς τε λεγόμενον. ἴσως οὖν ὅλον ποιητικόν ἐστιν· σύνηθες γὰρ αὐτῷ πολλάκις τὰ πληθυντικῶς λεγόμενα καὶ ἑνικῶς προφέρεσθαι «καὶ εὐρυάγυιαν Ἀθήνην» (Od. η 80), «πολυχρύσοιο Μυκήνης» (Il. H 180). καὶ ἐκ τοῦ ἐναντίου τὰ ἑνικὰ πληθυντικῶς «ἐκ μὲν Κρητάων γένος εὔχομαι» (Od. ξ 199). ταῦτα ἐν τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός (Ep. Cr. I 370 ὁ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ λέγει ὅτι διὰ τοῦ ῑ γράφεται). ἐν μέντοι τῷ ια' τῆς καθολικῆς προσῳδίας ἐν τοῖς προπαροξυτόνοις καὶ ἔχουσι πρὸ τέλους τὴν ει δίφθογγον αὐτὸ καταριθμεῖ καὶ τοῦτο αὐτὸ τὸ Ὁμηρικὸν παρατίθησι, καὶ ἀλλαχοῦ λέγει τὴν ει ἔχειν αὐτὸ φανερῶς καὶ ἐπιφέρει ὅτι καὶ Θεσπιά ὀξυτόνως λέγεται. Versum Corinnae addidi ex An. Paris. III 351, 9. — Ὀρνειαί, Βρυσειαί apposui ex St. B. s. v. collato Eustath. ad Hom. 291, 6 (addidi versum Homericum ex St. B. s. Ἀρνεαί) et St. B. s. Βρυσιαί πόλις Ἤλιδος ὡς Αὐγειαί ὀξυτόνως διὰ τὸ πληθυντικῶς λέγεσθαι. Αὐγειαί ex St. B. s. Αὔγεια. — In fine ἐγχεία ἐλεγχεία addidi ex E. M. 313, 20 et Ep. Cr. I 143, 1 cf. Lob. Parall. 322.

ἃ ὤφειλε προπαροξύνεσθαι, οἱ Ἀττικοὶ ἐκτείνοντες τὸ ᾱ ὡς ἐν τῷ ἱέρεια ἱερεία παροξύνουσιν.

Τὰ εἰς ᾰ συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῇ οι διφθόγγῳ προπαροξύνεται, εὔνοια, πρόνοια, ἄνοια, εὔχροια, δύσχροια, εὔπλοια, δύσπλοια, παλίρροια, ἀπόρροια, ὀρθόπνοια, δύσπνοια. Εὔβοια νῆσος, ἀπὸ Εὐβοίας. Ἡρόδοτος (5, 31). ἔστι καὶ τόπος ἐν Ἄργει. ἔστι καὶ πόλις ἐν Μακεδονίᾳ, εἰς ἣν οἱ ἀπὸ τῆς νήσου εἰς Ἰλλυριοὺς ἀποβάντες Ἄβαντες ἐκλήθησαν. Μελίβοια πόλις Θεσσαλίας. Στράβων ἐνάτῳ (p. 436). Περίβοια, Στενόβοια, Ἀλίνδοια πόλις Μακεδονίας. Βέροια πόλις Μακεδονίας, ἣν Φέρωνα κτίσαι φασίν, αὐτοὺς δὲ τὸ φ εἰς β μεταποιεῖν, ὡς Φάλακρον Βάλακρον καὶ Βίλιππον καὶ Κεβαλῖνον. ἄλλοι ἀπὸ Βεροίας τοῦ Βέρητος τοῦ Μακεδόνος. ἔστι καὶ πόλις Συρίας. Ἐλίξοια νῆσος Ὑπερβορέων οὐκ ἐλάσσων Σικελίας ὑπὲρ ποταμοῦ Καραμβύκα. οἷς ἀκόλουθον τὸ ἔσσοια, τρίττοια ἡ θυσία, ἥτις ἐκ τριῶν ζώων ἐθύετο ἢ ὅτι τριγενῆ ἦν τὰ θυόμενα. τὸ δὲ νεοία μακρὸν ἔχον τὸ ᾱ παροξύνεται.

Τὰ εἰς ᾰ συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῇ υι διφθόγγῳ προπαροξύνεται, ἅρπυια παρὰ τὸ ἅρπω, οὗ παράγωγον ἁρπάζω. ἔστι καὶ πόλις ἐν Ἰλλυρίᾳ παρ' Ἐγχελέαις, εἰς ἣν Βάτων ὁ Ἀμφιαράου ἡνίοχος μετὰ τὸν ἀφανισμὸν αὐτοῦ ἀπῴκησε. Πολύβιος. Εἰλείθυια καὶ Εἰλήθυια· ἔστι καὶ Εἰληθυίας πόλις Αἰγυπτιακή. Ὠρείθυια, αἴθυια, ἄγυια· Ἡρακλέων ὁ Γλαύκου παρὰ τὸ ἄγω φησίν· ἔστι δὲ ὡς παρὰ τὸ ἅρπω ἅρπυια, ὀρέγω ὄργυια, ἃ πληθυντικῶς ὀξύνεται. «μέσην ἐς ἄγυιαν» (Il. Υ 254), «ἐϋκτιμένας» δὲ «κατ' ἀγυιάς» (Ζ 391). Ἴδυια. τὸ δὲ μητρυιά μακρὸν ἔχον τὸ ᾱ ὀξύνεται.

Τὰ διὰ τοῦ αια μονογενῆ μακρὸν ἔχοντα τὸ ᾱ παροξύνεται, σεληναία, ἁμαξαία, Γενηταία ἄκρα ὡς Ἀπολλώνιος (Argonaut. II

---

l. 3 Arcadius habet tantum duo prima vocabula, explevi canonem ex Theogn. 103, 5 seqq., ita ut Εὔβοια, Μελίβοια explerem ex St. B., Ἀλίνδοια, Βέροια, Ἐλίξοια ex eodem adderem. cf. Dichr. 289, 5. l. 15 ἔσσοια idem videtur atque ἐσσία i. e. οὐσία esse cf. Plato Cratyl. p. 401, 10. de τρίττοια cf. Lob. El. II 25 not. 5, de νεοία Il. Pr. Ψ 604: νεοίη ὡς ὁμοίη [λέγει δὲ τὴν νεότητα Lehrsius inserit]· οἱ δὲ μετ' αὐτὸν ὡς ἐπὶ πλεῖστον νεοείαν (Lehrs τὴν ἄνοιαν) λέγουσι· περὶ δὲ τῆς λέξεως εἰ ὑγιῶς ἐσχημάτισται, ἐν τῷ προτατικῷ ἐζήτησα. ἅπαξ δὲ ἐχρήσατο τῇ λέξει. l. 19 ἅρπυια explevi ex Et. Orion. 28, 17, ubi additum est οὕτως Ἡρωδιανός, Ἅρπυια πόλις ex St. B. adieci, Εἰλείθυια ex Ep. Cr. I 1, 12, Εἰλήθυια ex Theogn. 102, 28, Εἰληθυίας πόλις ex St. B., Ὠρείθυια ex Ep. l. c. cf. E. M. 14, 21, unde patet Arcadii verba ἃ πληθυντικῶς ὀξύνεται pertinere tantum ad ἄγυια et ὄργυια. — l. 23 verba Ἡρακλέων — ὀρέγω ex St. B. 22, 10. Verba Homerica usum vocis ἄγυια comprobantia adieci ex Il. Pr. Ζ 422, ubi traditur Aristarchum hunc accentus catabibasmum statuisse. Ἴδυια est ex canone orthographico in An. Ox. II 323, 13: εὐρυάγυια: τὰ διὰ τοῦ υια θηλυκὰ ὀνόματα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα τὸ ῑ θέλουσι παραλήγεσθαι οἷον ἴδυια (scr. Ἴδυια, in Hesiod. theog. 325 et 960 Ἰδυῖα scriptum est), Εἰλήθυια (pro Ἰλ.), Ὠρείθυια (pro ὀρόθυια), ἀμάθυια (scr. ἀγυιά). l. 29 ἁμαξαία Γενηταία sunt ex

378), Ἀθηναία ἡ θεὸς μονογενῶς. λέγεται δὲ καὶ ἐπὶ γυναικός, ὡς ἄλλοι μὲν πολλοί, Φιλήμων δὲ οὕτως ἐν Πτερυγίῳ

νυνὶ δ' ὅταν λάβῃ τις εἰς τὴν οἰκίαν
τὰς Ἱππονίκας τάσδε καὶ Ναυσιστράτας
καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω.

Δίδυμος δέ φησιν, ὅτι Ἀθηναίας λέγουσιν ἀντὶ τοῦ Ἀττικάς. ἀστὰς δὲ τὰς γυναῖκας ἔλεγον οὐ διὰ τὸ μὴ δύνασθαι λέγειν Ἀθηναίας, ἀλλ' ἐπειδὴ καὶ τοὺς ἄνδρας ἀστοὺς ἐκάλουν. ἀναγκαία, ἀρχαία, θυραία ἐπὶ τῆς διεξόδου, εὐναία τραγικῶς ἡ ἄγκυρα· ἔστι καὶ πόλις Ἄργους Εὐναία. γαληναία, σφενδοναία, δραχμαία, ὀπαία, κεραμὶς τὴν ὀπὴν ἐπικλείουσα, περικεφαλαία, πυκναία παρ' Ἴωνι ἡ πνύξ. Δίδυμος δέ φησιν ὅτι «τὴν πύκνα ἂν εἴη λέγων. τὸ δὲ πυκναία ἀπὸ τοῦ πυκνή παρῆκται, ὅπερ οὐκ εἴρηται. οὐδεὶς γὰρ εἶπε προσηγορικῶς ἢ κυρίως τὸ πυκνή. τὰ γὰρ τοιαῦτα ὡς ἐπίπαν ἀπὸ μακροπαραλήκτων παράγεται, εὐνή εὐναία, Γυρή Γυραία, ἀνάγκη ἀναγκαία. τὸ ὡς ἐπίπαν εἴρηται διὰ τὸ ἅμαξα ἁμαξαία καὶ κέρας κεραία». Ἰουδαία Ἀλέξανδρος ὁ πολυΐστωρ ἀπὸ τῶν παίδων Σεμιράμιδος Ἰούδα καὶ Ἰδουμαία, ὡς δὲ Κλαύδιος Ἰούλιος ἀπὸ Οὐδαίου Σπάρτων ἑνὸς ἐκ Θήβης μετὰ Διονύσου ἐστρατευκότος. Ἀλθαία πόλις Ὀλκάδων. Αἰγαία· οὕτως ἐκαλεῖτο ἡ Κάρυστος ἀπὸ Αἰγαίωνος τοῦ δυναστεύοντος. Ἀναία πόλις Καρίας «ἀντικρὺ Σάμοιο» κέκληται ἀπὸ Ἀναίας Ἀμαζόνος ἐκεῖ ταφείσης, ὡς Ἔφορος. Ἀμφαναία πόλις Δωρική. Θεόπομπος ἐν πέμπτῳ Φιλιππικῶν. Ἀμφανὰς δὲ καλεῖ αὐτὴν Ἑκαταῖος ἐν πρώτῃ γενεαλογιῶν. Ἀνακαία δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. Ἀρταία Περσικὴ χώρα, ἣν ἐπόλισε Πέρσης ὁ Περσέως καὶ Ἀνδρομέδας. Ἑλλάνικος ἐν Περσικῶν πρώτῃ. Ἀταία πόλις Λακωνική. Βελγαία ἡ χώρα. Βουραία πόλις Ἰταλίας ὑπὸ Βουραίου κτισθεῖσα. Γορδυαία χώρα Περσικὴ ἀπὸ Γόρδυος Τριπτολέμου παιδός, τοῦ κατὰ ζήτησιν Ἰοῦς ἐξ Ἄργους ἐλθόντος εἰς Συρίαν. ἔστι δὲ ἡ πόλις παρὰ τὰς ἐκβολὰς τοῦ Τίγριδος. Ἐλαία πόλις τῆς Ἀσίας Αἰολική, Περγαμηνῶν ἐπίνειον ἣ Κυδαινίς ὠνομάζετο, Μενεσθέως κτίσμα. ἔστι καὶ πόλις Φοινίκης Ἐλαία μεταξὺ Τύρου καὶ Σιδῶνος, ὡς Φίλων. καὶ Ἐλαία Βιθυνίας ἐπίνειον πλησίον Μυσίας. ἔστι καὶ λιμὴν Αἰθιοπίας καὶ νῆσοι τρεῖς. Ἐλυμαία χώρα Ἀσσυρίων πρὸς τῇ Περσικῇ τῆς Σουσίδος ἐγγύς. Ἐορδαία δύο χῶραι, Μυγδονίας καὶ Μακεδονίας· εἰσὶ δὲ ἄλλαι δύο, ἡ μὲν Ἰβηρίας, ἡ δὲ Θρᾴκης ἀπὸ Ἐορδοῦ τινος. Ἡλιαία δικα-

St. B., ubi Γενήτης λιμὴν καὶ ποταμὸς Καππαδοκίας. Σοφοκλῆς ποταμὸν Γένετά φησιν. ἔστιν οὖν ἐκ τῆς Γένητος γενικῆς Γενηταῖος καὶ Γενηταία ἄκρα. Ἡρωδιανὸς δὲ «ὡς τὸ σεληναία, ἁμαξαία» φησί. cf. Lob. Proll. 315. — Ἀθηναία explevi ex St. B., ἀναγκαία ἀρχαία addidi ex Diehr. 288, 24, θυραία ex Theogn. 103, 15, ex quo vocabulo ap. Arcadium θηροαία corruptum videtur, εὐναία ex Theogn. et Eustath. 474, 44, Εὐναία πόλις ex St. B., γαληναία — ὀπαία ex Theogn., πυκναία ex St. B. s. πνύξ. Ἰουδαία explevi ex St. B., reliqua omnia sunt ex St. B., qui de Ἀναία diserte: παροξυτόνως, οὐχ ὡς Λίλαια, Ἱστίαια, Κάρ-

cτήριον Ἀθηναίων παρὰ τὸ «ἀλέες δεῦτε» παράγωγον ἁλία καὶ ἡλιαία. Ἡραία· οὕτως ἐκαλεῖτο ἡ ἐλάττων Ὕβλα. Κασταναία πόλις Θεσσαλίας. Εὔδοξος δὲ διὰ τοῦ θ̄ φησί. Λυκόφρων (v. 907) «καὶ Κασταναίαν ἀκτέριστον ἐν πέτραις». Κοσσαία μέρος Περσίδος· Στράβων ις′ (p. 744). ἔστι καὶ Θρᾴκης πολίχνιον. Καρταία πόλις Ἰβηρίας, περὶ ἧς Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων. Κυρταία πόλις ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, εἰς ἣν ὑπερώρισεν Ἀρταξέρξης Μεγάβυζον. Κτησίας τρίτῳ Περσικῶν. Κυτταία πόλις Κολχική, ἣ καὶ Κύτα. Λυκόφρων (v. 1312) «ὃς εἰς Κυταίαν τὴν Λιβυστίνην μολών». Λιβυσσαία ἀπὸ τοῦ Λίβυσσα. Λιμναία κώμη τοῦ Ἄργους. Θουκυδίδης (2, 80). Νυμφαία ἡ νῆσος Καλυψοῦς παρὰ τῷ Ἀδρίᾳ. Ὀρδαία πόλις Μακεδονίας. Παρθυαία ἡ χώρα. Παροιταία χώρα τῆς Ἐρυθρᾶς θαλάσσης πλησίον. Παρωραία Ἀρκαδίας πόλις ἡ καὶ Παρώρεια. ἔστι καὶ Μακεδονίας πόλις. Περαία πολίχνιον Συρίας. ἔστι καὶ χώρα Κορίνθου Περαία λεγομένη. Πυλαία τόπος Ἀρκαδίας, ὃς καὶ Πύλαι. Πυραία μοῖρα Θεσσαλίας ὠνομασμένη ἀπὸ Πύρας. Πυρηναία πόλις Λοκρίδος. Πυρωναία πόλις Λοκρίδος ἀπὸ Πύρωνος «Λοκρῶν ἀγυιαὶ καὶ Πυρωναῖαι νάπαι» (Lycophr. v. 1149). Ῥηναία μικρὰ νῆσος πλησίον Δήλου, ἣ καὶ Ῥήνη καὶ Ῥηνίς. Αἰθραία· οὕτως ἐκαλεῖτο ἡ Ῥόδος. Ῥοξονοκαία πόλις. Τιθοραία πόλις Βοιωτίας ἀπὸ νύμφης Τιθοραίας, ὡς Παυσανίας ι′ (32, 8). Τριταία πόλις Ἀχαΐας. Στράβων ὀγδόῃ (p. 341). Ἰδαία ἡ ὕστερον Τροία. οὕτως ἐκαλεῖτο καὶ ἡ Κρήτη. Τυμφαία πόλις. Ὑλαία χώρα Ποντική, Ἀβικὴ λεγομένη τουτέστιν ὑλαία. Ἀλέξανδρος ἐν τῷ περὶ Πόντου. Φηγαία δῆμος τῆς Αἰγηΐδος φυλῆς.

Τὰ εἰς ᾱ καθαρὸν μονογενῆ παραληγόμενα ε̄ βαρύνεται, εἰ μὴ πληθυντικὰ ἢ περιεκτικὰ εἴη, Ῥέα, θέα, ὅπερ Συρακόσσιοι θάα λέγουσιν, τὸ δὲ θεά ὀξύνεται· ἔστι δὲ καὶ Θέα πόλις Λακωνικῆς. Φιλόχορος τρίτῳ. Βρέα πόλις Θρᾴκης, εἰς ἣν ἀποικίαν ἐστείλαντο Ἀθηναῖοι. γέα, ἐξ οὗ γῆ συνῃρέθη· ἔστι καὶ Γέα πόλις πλησίον Πετρῶν ἐν Ἀραβίᾳ, ὡς Γλαῦκος ἐν Ἀραβικῇ ἀρχαιολογίᾳ. πτελέα. ἰτέα «ὂν πτελέαι τε καὶ ἰτέαι» (Φ 350) καὶ «ὁ δὲ πτελέην ἕλε χερσίν» (Φ 242). ἐπὶ μὲν οὖν τούτου κατὰ τὴν αἰτιατικὴν πτῶσίν τινες ὀξύνουσι· — διὸ καὶ τὴν εὐθεῖάν τινες ὤξυνον· — καὶ δῆλον ὅτι κατὰ μεταβολὴν

θαια. l. 19 Τιθοραία in suspicionem vocat Meinek. unice Τιθορέα probans, idem Ὑαία — πόλις Λοκρῶν τῶν Ὀζολῶν. τὸ ἐθνικὸν Ὑαῖος. Θουκυδίδης τρίτῃ (c. 101), ubi Ὑαῖοι commemoratur, ex hoc Ὑαῖοι fictum esse iudicat. Eustath. refert praeter ea, quae proposui, μελισσαία, οὐραία, λιμναία p. 1758 et καλαμαία, περαία, ἀλκαία ἐπὶ λέοντος, προνομαΐα, ἀκταία παρὰ Καλλιμάχῳ p. 474, 44 et αὐλαία p. 84, 5. de omnibus cf. Lob. Parall. dissert. IV. — Φηγαία in libris Stephani paroxytonos scriptum est, Meinek. exhibuit Φηγαιά non recte. l. 25 pro εἰ μὴ προσηγορικὰ scripsi εἰ μὴ πληθυντικά, nam nomina urbium pluraliter dicta tantum praeter comprehensiva acuuntur, fortasse scriptum fuit: προσηγορικὰ καὶ κύρια, εἰ μὴ πληθυντικὰ ἐπὶ πόλεων. — θέα explevi ex Theogn. 102, 20, Θέα urbs addita est ex St. B., Βρέα ex Theogn. et St. B., item γέα. — πτελέα ἰτέα explevi ex Schol. A ad Il. Φ 242: πτελέην: ταῦτα Ἡρωδιανὸς ἐν τῇ ια′

τόνου, ὥσπερ καὶ ἐπὶ τοῦ «ἦλθε κατ' ἰγνύην βεβλημένος» (Ν 212) τὴν μεταβολὴν τῆς τάσεως ἐποιήσατο. ἔστι καὶ Πτελέα δῆμος Οἰνηΐδος φυλῆς καὶ πόλις. οὕτω γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο, καὶ Ἰτέα δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. συκέα, ἀμυγδαλέα, μηλέα, λεοντέα, γαλέα, Νεμέα χώρα τῆς Ἀργολίδος, Τενέα κώμη Κορίνθου ἀπὸ Τένου τοῦ Κύκνου, τινὲς δὲ Γενέα γράφουσι. Μαντινέα, ἡ καὶ Μαντίνεια καὶ Μαντίνη. Ὠκαλέα πόλις Βοιωτίας «Ὠκαλέην Μεδεῶνά τ' ἐϋκτίμενον πτολίεθρον» Ὅμηρος (Β 501). ἐκαλεῖτο δὲ καὶ Ὠκάλεια, ὡς Ἀπολλόδωρος. ἐκλήθη δὲ οὕτω διὰ τὸ ὦκα καὶ συντόμως ἐκεῖθεν εἰς Θήβας πορεύεσθαι ἢ ἀπὸ ποταμοῦ παραρρέοντος. ἀλέα ἐπὶ τῆς θερμασίας καὶ ὁπότε δηλοῖ τὴν φυγὴν βαρύνεται, ἐπὶ δὲ τῆς Ἀθηνᾶς ὀξύνεται. ἐχρῆν δὲ καὶ τοῦτο βαρύνειν. καὶ τὸ Ἀλέα πόλις Ἀρκαδίας Θεόπομπος πεντηκοστῇ ἕκτῃ. — ἔστι καὶ Θετταλίας καὶ ἄλλη Καρπητανῶν ἔθνους Κελτικοῦ — βαρύνεται. Ἀρδέα κατοικία τῆς Ἰταλίας. Στράβων πέμπτῃ (p. 228). ἐκλήθη δὲ ἀπὸ ἑνὸς τῶν παίδων Ὀδυσσέως καὶ Κίρκης. Ἀσέα κώμη τῆς Ἀρκαδίας, ἀφ' ἧς ὁ Ἀλφειὸς ῥέει, ὃς καὶ Ἀσεάτης λέγεται. Τεγέα πόλις Ἀρκαδίας «καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν». Ὅμηρος (Β 607) καὶ Παυσανίας η′ (c. 3, 4) «Μαντινεὺς καὶ Τεγεάτης καὶ Μαίναλος Τεγέαν κτίζουσι καὶ Μαντίνειαν». ἔστι καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. Θυρέα, περὶ ἧς Ἀργεῖοι καὶ Λακεδαιμόνιοι ἐπολέμησαν. ἔστι δὲ τῆς Κυνουρίας γῆς, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς. λέγεται καὶ πληθυντικῶς καὶ κατὰ συναίρεσιν Θυρῆ. Ἐλέα πόλις Ἰταλίας. ἐκαλεῖτο δὲ Ὑέλη. ὠνομάσθη δὲ Ἐλέα ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. Μαλέα ἄκρα πρὸς τῇ Πελοποννήσῳ καὶ Μάλεια διὰ διφθόγγου. Ὑδρέα νῆσος πρὸς τῇ Τροιζῆνι. Ἑκαταῖος Εὐρώπῃ. Ἀραιθυρέα· οὕτως ἡ Φλιοῦς πάλαι. Ὅμηρος (Β 571) «Ἀραιθυρέην τ' ἐρατεινήν». Παυσανίας δευτέρῳ περιηγήσεως Ἑλλάδος (c. 12, 5) φησὶν ὅτι «Ἄραντος υἱὸς Ἄορις ἐγένετο καὶ θυγάτηρ Ἀραιθυρέα. τούτους Φλιάσιοί φασι θήρας ἐμπείρους γενέσθαι καὶ τὰ εἰς πόλεμον ἀνδρείους· προαποθανούσης δὲ τῆς ἀδελφῆς Ἄορις εἰς μνήμην τῆς ἀδελφῆς τὴν χώραν οὕτως ἔφη». Μανθυρέα κώμη Ἀρκαδίας. τὸ δὲ Κεγχρεαί πόλις Τρωάδος — δευτέρα πόλις καὶ ἐπίνειον Κορίνθου. τρίτη Ἰταλίας — Γαθεαί πόλις Ἀρκαδίας, Κεδρεαί πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Κορσεαί νῆσος τῆς Ἰωνίας καταντικρὺ Σάμου. Ἑκα-

τῆς καθόλου πτελέα ἰτέα· καὶ «ὃν πτελέαι κτλ.», Πτελέα δῆμος et Ἰτέα δῆμος sunt ex St. B, ἀμυγδαλέα — γαλέα ex Theogn. 103, 20, Νεμέα ex eodem et St. B., Γενέα ex St. B., hinc corruptum videtur Μενέα ap. Theogn. ad Ὠκαλέα adhibui praeter St. B. Eust. ad Hom. l. c. — omisi σηπέα ap. Theogn., quod ex συκέα iteratum videtur, nisi forte Σήπεια urbs ap. Herodotum VI 77 etiam Σηπέα dicta est, Μαντινέα Ὠκαλέα sunt ex Theogn. et St. B., ἀλέα ex St. B., ubi diserte: Ἡρωδιανός φησι; reliqua omnia usque ad Ὀρνεαί ex St. B. sumpta sunt. l. 34 s. Κορσεαί Steph. tradit: Ἡρωδιανὸς Κορσία διὰ τοῦ ῑ, quod sic intellegendum est, ut posui. Secundum accentum nominum Κεγχρεαί Γαθεαί reliquorum etiam haec, quae ap. St. B. paroxytona sunt pluralia, acuenda

ταῖος Εὐρώπῃ. λέγεται δὲ καὶ Κορσία διὰ τοῦ ῑ. Κροκεαί πόλις Λακωνική, τῶν ἑκατὸν πόλεων μία. λέγεται καὶ ἑνικῶς. Ὀρνεαί κώμη Ἀργείας, ἣ καὶ Ὀρνειαί — ἔστι δὲ καὶ ἑτέρα πόλις μεταξὺ Κορίνθου καὶ Σικυῶνος· καλεῖται δὲ οὕτως ἢ ἀπὸ Ὀρνέως τοῦ Ἐρεχθέως ἢ ἀπὸ Ὀρνέας νύμφης ἢ ὅτι ἐφ' ὕψους κεῖται ἢ ὁμωνύμως Ὀρνέᾳ τῷ ποταμῷ — ὀξύνεται ὡς πληθυντικά. τὸ δὲ γενεά, δωρεά, ὀχεά περιεκτικά ἐστιν.

Τὰ εἰς ᾱ μακρὸν μονογενῆ τῇ ει ἢ τῷ ῑ μακρῷ παραληγόμενα ἐπὶ οὐσίας τιθέμενα ὀξύνεται, χειά, ζειά εἶδος κριθῆς, Φειά πόλις Ἠλείας. Ὅμηρος «Φειᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα» (Η 135). λέγεται καὶ Φεά. φλιά, θριά· θριαί δὲ αἱ μαντικαὶ ψῆφοι, ἃς εὗρεν Ἀθηνᾶ. ἀχθόμενος δὲ τοὺς τοῦ Ἀπόλλωνος .... ἄπιστον ὁ Ζεὺς ἐποίησε τὴν διὰ τῶν θριῶν μαντικὴν εὐδοκιμοῦσαν. διὸ καὶ Ἀπόλλων ἔφη «πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες». τὸ δὲ Θρῖα δῆμος τῆς Οἰνηῗδος φυλῆς προπερισπᾶται, πληθυντικῶς δὲ λεγόμενον ὀξύνεται Θριαί. λέγεται καὶ Θριώ καὶ Θριώς. στιά, οἷς ἠκολούθησε καὶ τὸ σκιά ῑ βραχεῖ παραληγόμενον. ἔστι δὲ καὶ Σκιά πολίχνιον Εὐβοίας. τὸ δὲ μνεία, χρεία βαρύνονται, οὐ γὰρ ἐπὶ οὐσίας λαμβάνεται, καὶ τὸ λεία δὲ καὶ Φθία — πόλις καὶ μοῖρα Θετταλίας· Παρμενίσκος δὲ χώραν αὐτήν φησι οὐ πόλιν, οὐκ ὀρθῶς. ἐκλήθη δὲ ἀπὸ Φθίας γυναικὸς ἢ Φθίου Ποσειδῶνος καὶ Λαρίσης — βαρύνονται καὶ τὸ δεία ἢ ἔνδεια. τὸ δὲ θεία τριγενές ἐστι ὡς καὶ τὸ δῖα βραχυκατάληκτον μετὰ τοῦ ἴα καὶ πλεονασμῷ τοῦ μ̄ μία. ἔστι δὲ καὶ Δῖα πόλις

---

videntur et in numerum a me propositorum recipienda: Ταριχέαι πόλεις πολλαί, αἱ μὲν Μενδήσιαι, αἱ δὲ Σηνικαί, αἱ δὲ Κανωβικαί. παρὰ τὸ ταριχεύω καὶ ὤφειλε διὰ διφθόγγου. ἔστι καὶ Ταριχέα καὶ ἑνικῶς καὶ πληθυντικῶς λεγομένη πόλις τῆς Ἰουδαίας, ὡς Ἰώσηπος. — Βαλανέαι πόλις Φοινίκης. Δασέαι πόλις Ἀρκαδική. Παυσανίας ὀγδόῳ. Βατανέαι συνοικία Συρίας ἢ καὶ Βατανέα ἑνικῶς. Μεσσαπέαι χωρίον Λακωνικῆς. Πλυνέαι νῆσος ἐν τῷ Νείλῳ. Τυπανέαι πόλις Τριφυλίας et bisyllabum Νέαι νῆσος πλησίον Λήμνου (de νεά i. q. νειός cf. Lob. Parall. 355). Μακαρέαι πόλις Ἀρκαδίας ἀπὸ Μακαρέως τοῦ Λυκάονος Meinek. iure Μακάρεια scribendum iudicat. — Comprehensiva ex Theogn. 102, 30 adieci. l. 9 Φειά inserui ex Theogn. 105, 25, ubi propter diphthongum ε̄ῑ cum χειά, ζειά diserte comparatur, quare non dubitavi hanc scripturam recipere, praesertim quum etiam ap. Stephanum ab Eustathio 671, 18 Φειά lectum esse appareat: φέρεται ἐν τῇ κατὰ στοιχεῖον ἀναγραφῇ τῶν ἐθνικῶν τοιαῦτά τινα. Φεά πόλις Ἠλείας, ἣν Ὅμηρος μετὰ τοῦ ῑ γράφει «Φειᾶς πὰρ τείχεσσι», παρακατιὼν δὲ ταῦτα ὁ ἐκεῖ γράψας καὶ οἷον ἐκλαθόμενος φησὶ τὸ αὐτὸ ἄλλως· Φιά πόλις τῶν περιμάχων Μεσσηνίοις καὶ Λάκωσι, quorum locorum congruentiam Meinekius ita effecit, ut priore loco, ubi pro μετὰ legitur διά, Φιᾶς cum codice R scriberet. Sed verisimilius est Herodianum, ex quo Stephanus hausit, praeter scripturam per ε̄ Φεά etiam commemorasse scripturam per ε̄ῑ et per ῑ, ita ut ε̄ῑ praeoptaret, unde Φειά apud Theognostum legimus et in Cr. Ep. I 181, 13 ζειά διὰ διφθόγγου ὥσπερ καὶ τὸ Φειά (cf. E. M. 410, 11). θριά explevi ex St. B. στιά addidi ex Theogn., ubi pariter atque φλιά et θριά barytonos scriptum est, quare nihil ex eo de accentu concludendum atque potius cum Hesychio στιά scribendum iudico. σκιά apposui ex Theogn., Σκιά ex St. B., Φθία explevi ex St. B. θεία addidi ex Theogn., δῖα et ἴα μία ex Dichr. 290, 24 et Theogn. 105, 14 ἴα καὶ πλεονασμῷ τοῦ μ̄ μία· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. Hoc autem loco abnormem accentum femininorum δῖα ἴα μία memoratum fuisse ex iis, quae Lehrsius p. 358 attulit, coniectari licet. Δῖα proprium ex St. B. apposui.

Θεccαλίαc, Αἰακοῦ κτίcμα· β′ Θρᾴκηc κατὰ τὸν Ἄθω. γ′ Εὐβοίαc. δ′ νῆcoc καὶ πόλιc Πελοποννήcου περὶ τὸ Cκύλλαιον. ε′ Λυcιτανίαc περὶ τὸν Ὠκεανόν. ϛ′ Ἰταλίαc πρὸc ταῖc Ἄλπεcιν. ζ′ Cκυθίαc παρὰ τῷ Φάcιδι. η′ Καρίαc. θ′ Βιθυνίαc πρὸc τῷ Πόντῳ· εἰcὶ καὶ δ′ νῆcοι Δῖαι λεγόμεναι. α′ ἡ Νάξοc. β′ ἡ πρὸc Μήλῳ. γ′ ἡ πρὸc Ἀμοργῷ. δ′ κατὰ Κνωccὸν Κρήτηc.

Τὰ διὰ τοῦ $\overline{\text{ια}}$ ἐπὶ χωρῶν καὶ πόλεων κείμενα παροξύνεται, Λυκία, Ἀcία, Κιλικία, Παφλαγονία, Ἰτουρία, Ἰταλία ἡ χώρα ἀπὸ Ἰταλοῦ, Cικελία ἡ νῆcoc Cικανία πρότερον ὠνομάζετο, εἶτα Cικελία ἐκλήθη, ὥc φηcιν Ἑλλάνικοc Ἱερειῶν τῆc Ἥραc β′ «ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Αὔcονεc ὑπὸ τῶν Ἰαπύγων ἐξ Ἰταλίαc ἀνέcτηcαν, ὧν ἦρχε Cικελόc. καὶ διαβάντεc εἰc τὴν νῆcον τὴν τότε Cικανίαν καλουμένην περὶ τὴν Αἴτνην καθιζόμενοι ᾤκουν αὐτοί τε καὶ ὁ βαcιλεὺc αὐτῶν Cικελὸc βαcιλείην ἐγκαταcτηcάμενοc καὶ ἐντεῦθεν ὁρμώμενοc ὁ Cικελὸc οὗτοc πάcηc ἤδη τῆc νήcου τότε ταύτηc Cικελίαc καλουμένηc ἀπὸ τοῦ Cικελοῦ τούτου, ὃc καὶ ἐν αὐτῇ ἐβαcίλευcε». καὶ Μένιπποc δὲ ταῦτά φηcιν. Θουκυδίδηc δὲ οὕτωc (6, 2) «ἐλθόντεc εἰc Cικελίαν cτρατὸc πολὺc ἐξ Ἰταλίαc τούc τε Cικανοὺc κρατήcαντεc μάχῃ ἀπέcτειλαν εἰc τὰ μεcημβρινὰ καὶ τὰ ἑcπέρια μέρη αὐτῆc καὶ ἀντὶ Cικανίαc Cικελίαν τὴν νῆcον ἐποίηcαν καλεῖcθαι, καὶ τὰ κράτιcτα τῆc γῆc ᾤκηcαν ἔχοντεc». μεγίcτη δὲ αὕτη μαρτυρεῖται τῶν ἑπτά, καθά φηcιν Ἄλεξιc ὁ κωμικόc

τῶν ἑπτὰ νήcων, ἃc δέδειχεν ἡ φύcιc
θνητοῖc μεγίcταc, Cικελία μέν, ὡc λόγοc,
ἐcτὶν μεγίcτη, δευτέρα Cαρδώ, τρίτη
Κύρνοc. τετάρτη δ’ ἡ Διὸc Κρήτη τροφόc,
Εὔβοια πέμπτη cτενοφυήc, ἕκτη Κύπροc,
Λέcβοc δὲ τάξιν ἑβδόμην λαχοῦc’ ἔχει.

ἔcτι καὶ ἄλλη Cικελία κατὰ τὴν Πελοπόννηcον. Καππαδοκία, Ἀρμενία, Τιcία πόλιc Ἰταλίαc. Ἀγκαρία πόλιc Ἰταλίαc. Αἰολία νῆcoc Αἰόλου. Ὅμηροc «Αἰολίην δ’ ἐc νῆcον ἀφικόμεθα» (Od. κ 1). Αἰτωλία χώρα ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνοc, ὃc ἐκπεcὼν ἀπὸ Πίcηc ὑπὸ Cαλμωνέωc cυνῴκιcε τὴν ἀπ’ αὐτοῦ κληθεῖcαν Αἰτωλίαν. πρότερον δὲ Ὑαντίc ἐκαλεῖτο. ἔcτι καὶ Αἰτωλία πόλιc Πελοποννήcου, ἣν cυγκαταλέγει ταῖc Λακωνικαῖc πόλεcιν Ἀνδροτίων ἕκτῳ (?) Ἀτθίδοc. Ἀμαντία

---

l. 7 καὶ πόλεων addidi propter nomina a Stephano relata, nomina inde a Παφλαγονία usque ad Ἀρμενία sunt ex Theogn. 104, 1 et Ἰταλία quidem et Cικελία expleta ex St. B. l. 29 nomina inde a Τιcία omnia sumpta sunt ex St. B. ita, ut ex iis, quae in $\overline{\text{λια}}$, $\overline{\text{νια}}$, $\overline{\text{ρια}}$, $\overline{\text{cια}}$, $\overline{\text{κια}}$ ἀπὸ τῶν εἰc $\overline{\text{ξ}}$ exeunt, et praecipuis canonibus subiiciuntur, pauca tantum hic afferrem. De Τιcία St. B.: Τιcία ὡc Ἀcία, de Ἀγκαρία: ὡc Ἀντία Ἀδρία, unde patet recte Meinekium monuisse pro Ἄντεια scribendum esse id, quod etiam literarum ordo postulat. Pro Ζάρητα κρήνη ὑπὲρ τῆc Καλχηδονίαc θαλάccηc μικροὺc τρέφουcα κροκοδείλουc, οἳ καλοῦνται Ζαρήτιοι Meinek. Ζαρητία et pro Τάρcητα πόλιc Cαυνιτῶν Ταρcητία suadet.

Ἰλλυριῶν μοῖρα πλησίον Ὠρικοῦ καὶ Κερκύρας, ἐξ Ἀβάντων τῶν ἀπὸ Τροίας νοστησάντων ᾠκισμένη, κατὰ βαρβαρικὴν τροπὴν τοῦ β εἰς μ ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει. Καλλίμαχος Ἀμαντίγην αὐτήν φησι ὡς Λεοντίνην «καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην». Ἀετία· οὕτως ἐκλήθη ἡ Αἴγυπτος ἀπό τινος Ἰνδοῦ Ἀετοῦ. ἀλλὰ καὶ Ὠγυγία ἐκαλεῖτο καὶ Ἡφαιστία. Αἰλία πόλις Παλαιστίνης ἡ πάλαι Ἱεροσόλυμα ἀπὸ Αἰλίου Ἀδριανοῦ. Ἀκραιφία πόλις Βοιωτίας. οἱ δὲ Ἀκραίφιον, Παυσανίας δὲ (9, 23, 5 et 9) Ἀκραίφνιον καὶ οὐδετέρως. ἦν δὲ ὑπὸ Ἀθάμαντος κτισθεῖσα ἢ ὑπὸ Ἀκραιφέως τοῦ Ἀπόλλωνος. Θεόπομπος δὲ τὰ Ἀκραίφνια φησίν. Ἀλμωπία χώρα τῆς Μακεδονίας, ἣν ᾤκουν Ἄλμωπες. Λυκόφρων (v. 1238) «ἐκ δ' Ἀλμωπίας παλιμπλανήτην δέξεται Τυρσηνία» περὶ Αἰνείου λέγων. ἐκλήθη δὲ ἀπὸ Ἄλμωπος τοῦ Ποσειδῶνος καὶ Ἕλλης τῆς Ἀθάμαντος. Ἀλωπεκία νῆσος. Στράβων ἑνδεκάτῃ (p. 493). Ἀξία πόλις Λοκρῶν τῶν Ὀζολῶν, ἀπὸ Ἀξίας τῆς θυγατρὸς Κλυμένου ἢ τοῦ παιδὸς τοῦ Ἀξίου. ἔστι καὶ πόλις Ἰταλίας. Ἀπία· οὕτως οἱ νεώτεροι τὸ Ἄργος. Αἰθιοπία. Εὐριπίδης Ἐρεχθεῖ «Αἰθιοπίαν νιν ἐξέσωσ' ἐπὶ χθόνα». Ἀρδία πόλις Ἰλλυρίας, Βαντία πόλις Ἰταλίας. Ἀντία πόλις Ἰταλίας. Ἀνδρία πόλις Ἠλείας καὶ ἑτέρα Μακεδονίας, ὡς Φιλέας ἐν περίπλοις. Ἀλβία ἡ χώρα διὰ τοῦ β. τὰ δὲ ὄρη Ἄλπεια καὶ Ἄλβια. Ἀμαξία πόλις τῆς τραχείας Κιλικίας. Στράβων ιδ' (p. 669). Ἀδρία πόλις καὶ παρ' αὐτὴν κόλπος Ἀδρίας καὶ ποταμὸς ὁμοίως, ὡς Ἑκαταῖος. Ἀτρία πόλις Τυρρηνίας, Διομήδους κτίσμα, χειμῶνος πλεύσαντος καὶ μετὰ τὸ διασωθῆναι καλέσαντος Αἰθρία. καὶ παρεφθάρη παρὰ τοῖς βαρβάροις τὸ ὄνομα. ἔστι καὶ ἄλλη πόλις Βοιῶν, ἔθνους Κελτικοῦ. Ἀραβία ἡ χώρα. Ἀρικία πόλις Λατίνων. Διονύσιος. Ἀρκαδία ἀπὸ τοῦ Ἀρκάς Ἀρκάδος ὡς Τέμμιξ Τέμμικος Τεμμικία. Ἀτροπατία ἡ τῆς Μηδίας δευτέρα μερὶς ἀπὸ τοῦ ἡγεμόνος Ἀτροπάτου. Ἀρρεντία πόλις Ἰταλίας. Ἀρσακία πόλις Μηδίας. Ἀφροδιτία χωρίον Λακωνικῆς. Θουκυδίδης δ' (c. 56). Ἀχαιΐα παρὰ τὸ Ἀχαιός κύριον. ἔστι καὶ λόφος ἐν Καρύστῳ καὶ τόποι διάφοροι. Βερεκυντία χώρα ἀπὸ Βερεκύντου τινός. Βεσκία πόλις Αὐσόνων. Βιθυνία πρὸς τῷ Πόντῳ χώρα ἀπὸ Βιθυνοῦ τοῦ Διὸς καὶ Θρᾴκης τῆς Τιτανίδος, ἢ ἐκ μὲν Διὸς ἔσχε Βιθυνόν, ἐκ δὲ Κρόνου Δόλογκον. Βισαλτία πόλις καὶ χώρα Μακεδονίας ἀπὸ Βισάλτου τοῦ Ἡλίου καὶ Γῆς. Βοιωτία ἀπὸ Βοιωτοῦ Ἰτώνου τοῦ Ἀμφικτύονος. Κάστωρ δὲ ἀπὸ τῆς καθηγησαμένης Κάδμῳ βοὸς λεχθῆναι τὴν χώραν οὕτως. τινὲς δὲ ὡς οὐκ ὄντας ταῖς διανοίαις τοὺς Βοιωτοὺς ἄγαν εὐκινήτους. ἐκαλεῖτο δὲ καὶ Ἀονία καὶ Μεσσαπία καὶ Ὠγυγία. Βουθία πόλις Ἰωνίας. Θεόπομπος δὲ χωρίον φησί. Βουφία κώμη τῆς Σικυωνίας. Ἔφορος εἰκοστῷ τρίτῳ. Βραχία· οὕτως ἡ Ἀραβικὴ θάλασσα ἐκαλεῖτο. ἐκλήθη δὲ διὰ τὸ ἐν αὐτῇ εἶναι βράχη πλεῖστα. Βρεττία νῆσος ἐν τῷ Ἀδρίᾳ ποταμὸν ἔχουσα Βρέττιον. ἔστι δὲ καὶ Βρεττία χώρα τῶν Βρεττίων. Ἀντίοχος δὲ τὴν Ἰταλίαν πρῶτόν φησι

κληθῆναι Βρεττίαν, εἶτα Οἰνωτρίαν. Βρικιννίαι πόλις Σικελίας. Βρουτοβρία πόλις μεταξὺ Βαίτιος ποταμοῦ καὶ Τουρδιτανῶν. δηλοῖ δὲ Βρουτούπολιν. τὸ γὰρ βρία τοῦτο σημαίνει ὡς Πολτυμβρία, Σηλυμβρία. Βρουττία μοῖρα Σικελίας. Βρυστακία πόλις Οἰνωτρῶν. Γαιτουλία χώρα Λιβύης. Γαλατία ἡ χώρα. Γαλλία ἐντὸς Ἄλπεων χώρα. Γεδρωσία χώρα Ἰνδική. Γετία ἡ χώρα τῶν Γετῶν. Γλαυκία πολίχνιον Ἰωνίας. Γουνία χώρα Περραιβίας. γράφεται δὲ καὶ χωρὶς τοῦ ῡ. Δακία χώρα πλησίον Βορυσθένους. Δαρδανία ἡ χώρα ἣ καὶ Δαρδανική. Δελματία Ἰταλίας χώρα. Δηλία πόλις Καρίας. Δολοπία χώρα. Δρυμία πόλις Φωκίδος. Δρυοπία τῶν Δρυόπων περὶ Τραχῖνα. Ἐλιμία πόλις Μακεδονίας. Στράβων ἑβδόμῳ (p. 326). ἀπὸ Ἐλύμου τοῦ ἥρωος ἢ ἀπὸ Ἑλένου ἢ ἀπὸ Ἐλύμα τοῦ Τυρρηνῶν βασιλέως. Ἀλέξανδρος δ' ἐν Εὐρώπῃ Ἐλίμειον φησὶ διὰ μακροῦ τὴν μει συλλαβήν, τὴν δὲ λι διὰ βραχέος ῐ. Ἐλλοπία χωρίον Εὐβοίας καὶ αὐτὴ ἡ νῆσος ἀπὸ Ἔλλοπος τοῦ Ἴωνος. ἐλέγετο καὶ ἡ περὶ Δωδώνην χώρα Ἐλλοπία, ἧς οἱ οἰκήτορες Ἑλλοί καὶ Σελλοί. ἔστι καὶ πόλις περὶ Δολοπίαν καὶ χώρα περὶ Θεσπιάς. Εἰλωτία ἡ χώρα. Ἐλπία πόλις ἐν Δαυνίοις, κτίσμα Ῥοδίων. Ἐπουΐα πόλις ἡ νῦν Ἀμβρακία ἡ πρότερον Παραλία. Εὐκρατιδία πόλις Βάκτρων παρὰ τὸν Εὐκρατίδαν. Στράβων ἑνδεκάτῳ (p. 516). Εὐπαλία πόλις Λοκρίδος, ἣν Εὐπάλιον Ἀρτεμίδωρός φησι. Εὐπατρία πόλις Λυδῶν. Ἠλιδία. Ψωφιδία. Ἠμαθία πόλις καὶ χώρα ἡ νῦν Μακεδονία. Θαμία πόλις Θεσσαλίας. Ῥιανὸς ιδ' Θεσσαλικῶν καὶ Θαμίεια. Θαυμακία πόλις Μαγνησίας. Ὅμηρος (Β 716) «οἱ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο» ἀπὸ Θαυμάκου τοῦ Ποίαντος πατρός. δευτέρα πόλις κατὰ τὸν Μαλιακὸν κόλπον ἡ καὶ Θαυμακοί. Θεσπρωτία πόλις καὶ χώρα ἔξω τοῦ Ἀμβρακικοῦ κόλπου. Ἰαιτία πόλις Σικελίας. Φίλιστος Σικελικῶν δευτέρῳ. Ἰβηρία χώρα ἡ μὲν πρὸς ταῖς Ἡρακλείας στήλαις ἀπὸ Ἴβηρος ποταμοῦ. Ἀρτεμίδωρος ἐν τῇ β' τῶν γεωγραφουμένων «ἀπὸ δὲ τῶν Πυρηναίων ὀρῶν ἕως τῶν κατὰ Γάδειρα τόπων καὶ ἐνδοτέρω Ἰβηρία τε καὶ Ἱσπανία καλεῖται. διῄρηται δὲ ὑπὸ Ῥωμαίων εἰς δύο ἐπαρχίας.... διατείνουσα ἀπὸ τῶν Πυρηναίων ὀρῶν ἅπασα μέχρι τῆς Καινῆς Καρχηδονίας καὶ τῶν τοῦ Βαίτιος πηγῶν, τῆς δὲ δευτέρας ἐπαρχίας τὰ μέχρι Γαδείρων καὶ Λουσιτανίας». ἡ δὲ πρὸς Πέρσας. Ἰλαττία πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτῳ. Ἰναχία ἡ Πελοπόννησος, οὐ μόνον τὸ Ἄργος, ἀπὸ Ἰνάχου τοῦ ποταμοῦ. Ἰξίαι πληθυντικῶς χωρίον τῆς Ῥόδου ἀπὸ Ἴξου λιμένος. Ἰσινδία χωρίον Ἰωνίας, λέγεται καὶ Ἴσινδα καὶ Ἴσινδος. Κανθηλία πόλις περὶ Καρχηδόνα. λέγεται καὶ Κανθήλη. Ἑκαταῖος Ἀσίᾳ. Κανταβρία χώρα. Στράβων τρίτῃ (p. 157). Καρπηΐα· οὕτως τινὲς Κάλπην πόλιν Βιθυνίας φασίν. Κεκροπία χώρα. Κορησσία πολίχνιον τῆς Κέω καὶ ἐπίνειον. Κωρυκία ἀκρωτήριον Κρήτης καὶ λιμὴν Αἰθιοπίας. Λυδία ἡ χώρα. Ξάνθος ἐν Λυδιακῶν πρώτῳ. Λυκία ἡ χώρα ἀπὸ Λύκου τοῦ Πανδίονος· ἔστι καὶ Λυκία ἡ πρὸς Κιλικίαν, ἧς ἦρχε Σαρπηδών. Λυρ-

νατία χερρόνηcoc καὶ χωρίον Λυκίας. Ἀλέξανδρος ἐν δευτέρῳ περὶ Λυκίας. Μαγία. πόλις Ἰλλυρίας. Μαριαμμία πόλις Φοινίκων. Μακετία μοῖρα Μακεδονίας ὡς Μαρσύας ἐν πρώτῳ Μακεδονικῶν «καὶ τὴν Ὀρεστείαν δὲ Μακετίαν λέγουσιν ἀπὸ τοῦ Μακεδόνος», ἀλλὰ καὶ τὴν ὅλην Μακεδονίαν Μακετίαν οἶδεν ὀνομαζομένην Κλείδημος ἐν πρώτῳ Ἀτθίδος «καὶ ἐξῳκίσθησαν ὑπὲρ τὸν Αἰγιαλὸν ἄνω τῆς καλουμένης Μακετίας». Μαστία πόλις πρὸς ταῖς Ἡρακλείαις στήλαις. Μεδυλλία πόλις, Ἀλβανῶν κτίσις, Ῥωμαίων ἄποικος. Διονύσιος γʹ Ῥωμαϊκῆς ἀρχαιολογίας. Μελία πόλις Καρίας. Ἑκαταῖος γενεαλογιῶν δʹ. Ναυπλία, πόλις Ἄργους. Στράβων ὀγδόῃ (p. 368) «ἀπὸ τοῦ ταῖς ναυσὶ προσπλεῖσθαι». Ξιλία πόλις Λιβύης. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. Ὀρεστία τὸ ἥμισυ μέρος Μεγάλης Πόλεως ἀπὸ τῆς τοῦ Ὀρέστου παρουσίας. ἔστι καὶ πόλις ἐν Ὀρέσταις, ἐν ὄρει ὑπερκειμένῳ τῆς Μακεδονικῆς γῆς. καὶ ἄλλη ἐν Ἀρκαδίᾳ. Μελανδία χώρα Σιθωνίας. Θεόπομπος τριακοστῷ τρίτῳ Φιλιππικῶν. Μεσσαπία χώρα Ἰαπυγίας προσεχὴς Τάραντι. Μηδία χώρα ταῖς Κασπίαις παρακεκλιμένη πύλαις. Ἑκαταῖος Ἀσίᾳ. ἀπὸ Μήδου υἱοῦ Μηδείας. Μολορχία πόλις Νεμέας ἀπὸ Μολόρχου τοῦ ξενίσαντος Ἡρακλέα ἀπιόντα ἐπὶ τὸν ἀγῶνα. Μουνυχία λιμὴν Ἀττικῆς ἀπὸ Μονύχου. λέγεται καὶ Μωνυχία. Μοψοπία ἡ Ἀττικὴ ἀπὸ Μόψοπος, Καλλίμαχος. Μυλαντία ἄκρα ἐν Καμίρῳ τῆς Ῥόδου ἀπὸ Μύλαντος τοῦ πρώτου εὑρόντος ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν. Μασαισυλία χώρα Λιβύης προσεχὴς τῇ τῶν Μαυρουσίων. Μυστία πόλις Σαυνιτῶν. Φίλιστος ἐνδεκάτῳ. Ναξία πόλις Καρίας. Ἀλέξανδρος ἐν πρώτῳ περὶ Καρίας. Νομαντία πόλις Ἰβηρίας. Ἰόβας ἐν δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. λέγεται δὲ καὶ διὰ τῆς ου̅. Νοστία κώμη Ἀρκαδίας. Θεόπομπος τριακοστῷ δευτέρῳ Φιλιππικῶν. Ξουθία πόλις Σικελίας. Φίλιστος τρίτῳ Σικελικῶν. Ὀλβία πόλις Λιγυστική. δευτέρα πόλις ἐν Πόντῳ. τρίτη Βιθυνίας ἀπὸ Ὀλβίας νύμφης. τετάρτη Παμφυλίας, ὡς Φίλων. πέμπτη Ἰβηρίας. ἕκτη Σαρδοῦς. ἑβδόμη Ἰλλυρίας. ὀγδόη Ἑλλησπόντου. ἐνάτη Κιλικίας. Ὀλυμπία ἡ πρότερον Πῖσα λεγομένη. Ὀρτυγία. οὕτως ἐκαλεῖτο ἡ Ἔφεσος. Παμφυλία χώρα προσεχὴς τῇ Ἰσαυρίᾳ. Παλλαντία πόλις Ἰβηρίας. Παραποταμία πόλις Φωκίδος. Πελασγία χώρα τοῦ Ἄργους. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀρκαδία, ὡς Νικόλαος πέμπτῃ. Πετηλία πόλις Ἰταλική. Πικεντία πόλις Τυρρηνίας. Φλέγων δὲ Πικεντόν αὐτὴν καλεῖ. Περαντία πόλις Αἰτωλίας. Πισιδία χώρα. Πλακεντία πόλις Λιγύρων. Πορθμία καὶ Πόρθμιον κώμη ἐν τῷ στόματι τῆς Μαιώτιδος λίμνης. Πραιτετία χωρίον ἐπὶ τοῦ Ἀδρίου. Πτυχία νῆσος παρὰ τῇ Κερκύρᾳ. Ῥοδία πόλις Λυκίας. Ῥοδουντία χωρίον πλησίον Οἴτης. Ῥοιτία πόλις Βάκτρων. Ῥωμυλία τῶν ἐν Ἰταλίᾳ Σαυνιτῶν πόλις. Σαββατία κώμη Κελτική. Σαγαρτία χερρόνησος παρὰ τῇ Κασπίᾳ θαλάσσῃ. Σαλλεντία πόλις Μεσσαπίων. Σαρματία ἡ χώρα. Σαμυλία πόλις Καρίας Μοτύλου κτίσμα τοῦ τὴν Ἑλένην καὶ Πάριν ὑποδεξαμένου. Σερμυλία πόλις παρὰ τὸν Ἄθω, ὡς Ἑκαταῖος. Σητία πόλις Ἰταλίας

Σινδία πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ. Σιντία πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ὡς Εὔδοξος ἐν τετάρτῳ γῆς περιόδου. Σκυθία. Σκυφία πολίχνιον Κλαζομενίων, ὡς Ἔφορος ἐν τρίτῳ «ἐν Σκυφίᾳ κατῴκει». τινὲς δὲ διὰ τοῦ π̄. Σουματία πόλις Ἀρκαδίας. γράφεται δὲ καὶ διὰ διφθόγγου Σουμήτεια. Στρυβία νῆσος τῶν Σποράδων. Συΐα πόλις μικρὰ Κρήτης. Ταρχία πόλις Σικελική. Φίλιστος ἑβδόμῳ Σικελικῶν. Τερβητία πόλις Σικελίας. Τορρηβία Καρίου μήτηρ. Τραγία νῆσος πρὸς ταῖς Κυκλάσιν. ἔστι καὶ πόλις ἐν Νάξῳ. Εὔπολις διὰ τοῦ ε̄ γράφει καὶ πληθυντικῶς Τραγεαί. Τραλλία μοῖρα τῆς Ἰλλυρίας. λέγεται καὶ Τραλλική καὶ Τράλλα. Τριφυλία ἡ Ἦλις. Τρωγιλία τῆς Μυκάλης, ἣ λέγεται καὶ Τρωγίλιον. Ὑαντία πόλις Λοκρῶν. Ὑδραμία πόλις Κρήτης ὡς Ξενίων ὁ τὰ Κρητικὰ γράψας. Φαβία πόλις Κελτογαλατῶν κτίσμα Φαβίου στρατηγοῦ Ῥωμαίων. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. Φαβεντία πόλις Ἰταλίας. Φημίαι πόλις τῆς Ἀρναίας ἀπὸ Φημίου τοῦ Ἄμπυκος. Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. Φοιβία πόλισμα Σικυωνίων. Φοιτίαι πόλις Ἀκαρνανίας ἀπὸ Φοιτίου τοῦ Ἀλκμέωνος τοῦ Ἀμφιαράου. Πολύβιος τετάρτῳ. λέγεται καὶ Φοίτιον. Φυσκία πόλις Λυκίας ἐφ' ὑψηλοῦ ὄρους κειμένη. Χαλδία χώρα τῆς Ἀρμενίας. Μένιππος ἐν περίπλῳ τῶν δύο Πόντων «τὴν.... μέχρι τούτων τῶν βαρβάρων ἐστὶν ἡ Ποντικὴ βασιλεία». καὶ Ἑκαταῖος «Τιβαρηνίην καὶ Χαλδίην καὶ Σαννικήν». Χηνοβοσκία πόλις Αἰγύπτου. Ἀλέξανδρος ἐν πρώτῳ Αἰγυπτιακῶν Χηνοβόσκιον «ἀντικρὺ δὲ τοῦ Διοσπολίτου νομοῦ Χηνοβόσκιον, μηδὲν εἰς τὴν προσηγορίαν ἐμφέρουσα· νομὰς γὰρ χηνῶν οὐκ ἂν ἴδοι τις, ὑπερβάλλουσαν δὲ τὴν περὶ κροκοδείλους σπουδήν». Χλαμυδία· οὕτως ἐκαλεῖτο Δῆλος. Χορασμία πόλις πρὸς ἕω Πάρθων. Ἑκαταῖος Ἀσίας περιηγήσει «ἐν αὐτοῖσι πόλις Χορασμίη». Ὠγυγία νῆσος ἀρχαία, ἔνθα Ὀδυσσεὺς ἐκ τοῦ ναυαγίου ἐξερρίφη. λέγεται καὶ ἡ Βοιωτία καὶ ἡ Θήβη Ὠγυγία ἀπὸ Ὠγύγου υἱοῦ Τερμέρας. ἐλέγετο καὶ ἡ Ἀττικὴ πᾶσα Ὠγυγία, ὡς Χάραξ φησὶν ἐν τοῖς χρονικοῖς. Ὠστία πόλις Ἰταλίας. Ἰόβας ἐν πρώτῳ Ῥωμαϊκῆς ἱστορίας «ἀπὸ μὲν τῶν βορείων μερῶν ὁ Τίβερις, Ὠστία πόλις πλησίον». καὶ Πολύβιος ἕκτῳ «ἔκτισε δὲ καὶ πόλιν Ὠστίαν ἐπὶ τοῦ Τιβέριδος». ἐκτίσθη δ' ὑπὸ Μαρκίου βασιλέως, τοῦ ἀπὸ Νουμᾶ τρίτου, ὡς Διονύσιός φησιν ἐν Ῥωμαϊκῇ ἀρχαιολογίᾳ. Στράβων δὲ ἐν τῷ ε′ (p. 219) οὕτω φησὶν οὐδετέρως «τὰ Ὤστια τῆς Ῥώμης ἐπίνειον». Οὕτω καὶ Στρατία Ἀρκαδικὴ πόλις ἀπὸ τῆς θυγατρὸς Φενεοῦ ὀνομασθεῖσα βαρύνεται. Ὅμηρος (Β 606) «Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην» εἰς ἰδιότητα. τὸ γὰρ δηλωτικὸν τοῦ συστήματος τοῦ στρατοῦ μετὰ τῆς αὐτῆς γραφῆς ὀξύνεται. τὸ δὲ ἀξίωμα ἡ στρατεία καὶ διὰ διφθόγγου καὶ βαρύνεται. τὸ δὲ Πλωθιά δῆμος Αἰγηΐδος φυλῆς, Ἀμαξαντιά δῆμος

l. 40 nomina demorum apposui ex St. B. collato Arcad. p. 99, 100. Ut Κωπιαί sic etiam Καλλίαι πόλις μία τῆς ἐν Ἀρκαδίᾳ τριπόλεως· ἔστι καὶ χωρίον πλησίον Τάραντος oxytonos scribendum iudicat Meinek., ita enim est ap. Pausan.

τῆς Ἱπποθοωντίδος φυλῆς, Ἑρχιά δῆμος τῆς Αἰγηΐδος φυλῆς ἀπὸ Ἑρχίου τοῦ ξενίσαντος Δήμητραν, Κρωπιά δῆμος τῆς Λεοντίδος φυλῆς, Ἀνδροτίων δὲ Κρῶπάς φησι τὸν δῆμον, Λακιά δῆμος τῆς Οἰνηΐδος φυλῆς, Αἰγιλιά δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ὀνόματα δήμων ὀξύνεται, μεθ' ὧν καὶ Κωπιαί, ὡς ὕστερον Θούριοι πόλις Ἰταλίας ἐκαλεῖτο. ὡσαύτως δὲ ὀξύνονται καὶ τὸ πυρκαϊά καὶ ἐσχατιά περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῦντα.

Τὰ διὰ τοῦ εια γινόμενα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων παροξύνεται, ἑρμηνεία, βασιλεία, δουλεία, κολακεία, ῥητορεία, ἱκετεία, περισσεία, μοιχεία, πορνεία, ἀλαζονεία, εἰρωνεία, πραγματεία, προφητεία, ξενιτεία, ἀλητεία, ἀριστεία, βουλεία, γοητεία, δυναστεία, λαγνεία, νηστεία, λῃστεία, θεραπεία, ξυλεία, τοξεία, ὁπλιτεία, στρατοπεδεία, πολιτεία, τερατεία, πρεσβεία, δεσποτεία, ὑδρεία, ἡνιοχεία, μαστροπεία, παιδεία ἡ παίδευσις, παιδιά δὲ τὸ παίγνιον, τὸ δὲ παρειά καὶ φορβειά καὶ φορειά ὁ βόρβορος καὶ στελειά ὀξύνονται· οὐ γὰρ ἀπὸ τῶν διὰ τοῦ ευω καὶ ἐπὶ οὐσίας τίθενται. τὸ δὲ ἀρειά ἡ ἀπειλή παράλογόν ἐστι καὶ κατὰ τὸν τόνον καὶ κατὰ τὸν χρόνον· οὔτε γὰρ ὀξύνεσθαι ὤφειλεν οὔτε ἐκτείνειν τὸ ᾱ· τὰ γὰρ διὰ τοῦ εια ὀξυνόμενα ἐκτείνοντα τὸ ᾱ ἐπὶ οὐσιῶν λαμβάνεται οἷον παρειά «παρειάων ἀπαλάων» (C 123), φορβειά· σημαίνει δὲ τὸ περιστόμιον. εἰ οὖν τὸ ἀρειά οὐ τίθεται ἐπὶ οὐσίας, ἀλλ' ἐπὶ πράγματος, τὴν γὰρ ἀπειλὴν σημαίνει, δηλονότι οὔτε ὀξύνεσθαι ὤφειλεν οὔτε ἐκτείνειν τὸ ᾱ, ἀλλ' ἡμάρτηται, ὡς εἴρηται· ἐπὶ δὲ τοῦ φυτοῦ ἀρία διὰ τοῦ ῑ καὶ παροξύνεται «χήτει τοι πρινῆς ἀρίας ποιούμεθα γόμφους» ὡς παρ' Εὐπόλιδι.

VIII 27, 7. l. 6 πυρκαϊά addidi ex Eustath. ad Dionys. 504: Ἡρωδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ Χελιδονιαί ὡς πυρκαϊαί, et ἐσχατιά ex Dichr. 289, 12. Conferri potest Suidas ἐσχατιάν: τὰ ἀθροίσματος σημαντικὰ καὶ οὐσίας (Küster. περιουσίας) πάντα ὀξύνονται. ἀχυρμιά, φυταλιά, πυρκαϊά, ἀνθρακιά, ἐσχατιά. οὕτω καὶ τρασιά· ἔστι δὲ τόπος, ὅπου ἐστὶ πλῆθος σύκων ξηραινομένων ἢ τυρῶν ἢ ὁποιουδήποτε· καὶ τὸ αἱμασιά οὕτως ἔχει ἀπὸ τοῦ συμβεβηκότος τὸ ὄνομα, quod petitum est ex Ep. Cr. I 366, 29 cf. E. M. 555, 42 λαλιά παρὰ τὸ λῶ τὸ λαλῶ ὀξύνεται· τὰ σημαίνοντα ἄθροισιν ἢ περιεκτικά τινων προσηγορικῶν ὀξύνεται οἷον ἀχυρμιά, πυρκαϊά. Choer. in Epim. in Psalm. 131, 3, ubi περιεκτικὰ τιμῶν προσηγορικὰ ὄντα ex E. M. emendandum est. l. 7 τὰ διὰ τοῦ εια γινόμενα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων scripsi pro Arcadii verbis τὰ γινόμενα ἀπὸ τοῦ ευω. — ῥητορεία usque ad μοιχεία sunt ex Theogn. 104 et 105; πορνεία ἀλαζονεία ex Choer. Orthogr. 169, 1, reliqua usque ad μαστροπεία ex eodem 181, 1. — urbem Ἡνιοχεία ap. Stephan. iure Mein. Ἡνιοχία scribendum censet. de παιδιά E. M. 657, 50 παιδιά τὸ σημαῖνον τὸ παίγνιον διὰ τοῦ ῑ γράφεται· καὶ παρ' ἡμῖν μὲν ὀξύνεται οἷον παιδιά. παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνεται οἷον παιδία. τὰ δὲ σημαίνοντα ἄθροισιν ἢ περιεκτικά τινων προσηγορικὰ ὀξύνεται, λαλιά, παιδιά, πυρκαϊά. De φορβειά teste Schol. ad Aristoph. Av. 861 dixerat Herodianus etiam in Odyssiaca Prosodia: Ἡρωδιανὸς ἐν τῇ βιβλίῳ φησὶ τῆς Ὀδυσσειακῆς προσῳδίας τὸ φορβειά διὰ τῆς ει διφθόγγου γράφεσθαι καὶ ὀξυτόνως. — στελειά addidi ex Theogn. 105, 18, ubi falso στηλειά, quod ex hoc loco sumptum, non ut Schmidtius opinatur ex Στειριά corruptum est. l. 16 καὶ ἐπὶ οὐσίας τίθενται ex E. M. 139, 29 addidi, ubi: λέγει ἐν τῷ καθόλου ὁ Ἡρωδιανός, ὅτι τὸ ἀρειή παράλογον κτλ., unde ἀρειά, quod ap. Arcadium cum reliquis componitur, separavi Herodiani accuratam annotationem addens. Versum ad vocis ἀρία usum probandum appositum Eupolidis esse cod. Va testatur, pro πρίνης scripsi πρινῆς ex πρινέας contractum ut συκῆ ex συκέα, quamquam teste caret.

Τὰ διὰ τοῦ ῑᾱ μακρὸν τὸ ᾱ ἔχοντα παροξύνεται, ἀνία ἡ λύπη ἡ ἄνευ ἰάσεως, φιλία, πενία, ξενία, κακία, κοπία, μανία, γωνία, ἀγλαΐα, σοφία, ὑπερηφανία, εὐκαιρία, ἀεργία, προεδρία, συνεδρία, φιλανθρωπία, ἀσωτία, ἐμπορία, παρθενία, συνοδία, φιλοπτωχία, εὐχαριστία, ἡγεμονία, κηδεμονία, ἁρμονία, εὐωδία, δυσωδία, εὐφυΐα, ἀφυΐα, εὐτυχία, τριετία, εὐσεβία, ὃ καὶ εὐσέβεια, ἀμελία καὶ ἀμέλεια, συνηθία καὶ συνήθεια, κακοηθία καὶ κακοήθεια, αὐθαδία καὶ αὐθάδεια, τὸ δὲ ἀμαθία διὰ βραχέος ῐ γράφεται, τὸ δὲ ἀνδρεία διὰ τῆς ει διφθόγγου γράφει ἡ παράδοσις.

* Τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ῑᾱ γινόμενα παροξύνεται, κόνις κόνιος κονία, ᾗ ἔγκειται ἡ κόνις, Κύπρις Κύπριος Κυπρία.

Τὰ διὰ τοῦ ῑᾱ παρὰ μελλόντων γινόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, δώσω δοσία, προδώσω προδοσία, πανδοσία· ἔστι δὲ καὶ Πανδοσία φρούριον Βρεττίων ἐρυμνὸν τρικόρυφον, περὶ ὃ ἐφθάρη Ἀλέξανδρος ὁ Μολοττός, ἀπατηθεὶς ὑπὸ χρησμοῦ τοιούτου «Πανδοσίη τρικόλωνε, πολύν ποτε λαὸν ὀλέσσεις». ἔδοξε γὰρ πολεμίων, οὐκ οἰκείων φθορὰν δηλοῦσθαι (Strab. 6 p. 256). ἔστι δὲ καὶ πόλις Θεσπρωτίας. θεοδοσία καὶ Θεοδοσία Ταυρικὴ πόλις παραλία. Στράβων ζ′ (p. 309). θύσω θυσία, ἄξω ἀξία, θήσω θεσία «πῇ δὴ συνθεσίαι τε» (Il. B 339), ἥσω ἑσία καὶ ἐξεσία «τῶν ἕνεκ᾽ ἐξεσίην» (Od. φ 20), λούσω λουσία ἀλουσία, ἕξω ἑξία εὐεξία, τὸ δὲ «πᾶσά τοι ἔσθ᾽ ὑποδεξίη» (I 73) ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ῑ. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τοῦ ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ τῶν ἀντιγράφων.

Τὰ εἰς σια τὸ ᾱ μακρὸν ἔχοντα βαρύνεται, ἀθανασία, διχοστασία, προστασία, ἱκεσία, Ἀρσυσία χώρα τῶν Ψύρων καὶ Χίου τρα-

l. 1 ἀνία explevi ex Herod. Ep. Cr. I 83 ἀνία ἡ λύπη — Ἡρωδιανὸς ἡ ἄνευ ἰάσεως cf. Choer. Orth. 169, 1, κακία κοπία addidi ex Diehr. 289, 12, μανία γωνία ex Choer. l. c., ἀγλαΐα Choer. p. 180, 28, σοφία — ἀεργία ex eodem 171, 2, προεδρία — συνοδία ex p. 181, 1, φιλοπτωχία — εὐχαριστία ex Theogn. 104, 20, ἡγεμονία κηδεμονία Theogn. 104, 26 et Choer. l. c., ἁρμονία Choer. 180, 25; εὐωδία — τριετία Theogn. 105, 3, εὐσεβία — συνηθία ex ipso Arcad. 195, 18; κακοηθία — αὐτάδεια ex Choer. 182, 10, ἀμαθία ex Arc. l. c., ἀνδρεία ex Choer. 174, 7 collato E. M. 461, 51. Accuratiora de scriptura per εια et ῑᾱ in Orthographia Herodiani traduntur. l. 11 hunc canonem ex Theogn. 105, 8 sumpsi collato Herod. in E. Or. 88, 23 et 89, 29: κονία: παρὰ τὸ κνῶ τὸ διακόπτω γίνεται κνίς καί, ἐπειδὴ οὐκ ἠδύνατο μονοσύλλαβον ὄνομα βραχυκαταληκτεῖν, πλεονασμῷ τοῦ ο κόνις, ἀφ᾽ οὗ κόνιος κονία κτλ. Quae sequuntur ap. Theogn. ῥῆσις παρρησία, κλῆσις κλησία καὶ ἐκκλησία — δόσις δοσία καὶ προδοσία non Herodiani sunt, ut apparet ex canone sequente. l. 14 δώσω δοσία ex Il. Pr. Ω 235 addidi, Πανδοσία, Θεοδοσία, propter quae appellativa apposui, sunt ex St. B., θύσω — ἐξεσίην (Od.) sumpta sunt ex Il. Pr. l. c., λούσω — εὐεξία ex Theogn. 105, 17. — Adnotamentum de ὑποδεξίη est ex Il. Pr. I 73, ubi: ὑποδεξείη ὡς Ἀργείη. τὸ δὲ ἀκόλουθον ὤφειλεν εἶναι κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως κτλ. — τῶν ἀντιγράφων Lehrsius pro τοῦ Ἀντιφάνους suspicatus est. l. 27 προστασία propter προστασιά infra propositum recepi ex Choer. Orth. 181. Nomina inde ab Ἀρσυσία usque ad

χεῖα καὶ ἀλίμενος ὅσον σταδίων τριάκοντα, οἶνον ἄριστον ἔχοντα καλούμενον Ἀρσυηνόν, οὗ μέμνηται Στράβων ιδ′ (p. 645). Ἀστερουσία ὄρος Κρήτης πρὸς τὸ νότιον μέρος ἀποβλέπον εἰς θάλασσαν, ἀφ᾽ οὗ καὶ πόλις περὶ τὸν Καύκασον Σινδικὴ Ἀστερουσία κέκληται, Κρητῶν ἀποικίας ἐκεῖ σταλείσης. Γυμνησίαι δύο νῆσοι περὶ τὴν Τυρσηνίδα. Λυκόφρων (v. 633)

οἱ δ᾽ ἀμφικλύστους χοιράδας Γυμνησίας
σισυρνοδῦται καρκίνοι πεπλωκότες
ἄχλαινον ἀμπρεύσουσι νήλιποι βίον.

Κορησσία πολίχνιον τῆς Κέω. Κραβασία πόλις Ἰβήρων. Ἑκαταῖος Εὐρώπῃ. Δελφουσία πόλις Ἀρκαδίας ὡς Ἀνδροτίων ἐν β′ Ἀτθίδος. Διονυσία πόλις Ἰταλίας. Δονουσία νῆσος μικρὰ Ῥόδου, εἰς ἣν Διόνυσος ἐξ Νάξου τὴν Ἀριάδνην μετεκόμισε τοῦ πατρὸς Μίνω διώκοντος αὐτήν. ἔοικε οὖν Διονυσία εἶναι καὶ κατὰ παραφθορὰν Δονουσία. Μασσία χώρα παρακειμένη τοῖς Ταρτησσίοις. Ἑκατησία· οὕτως ἡ Ἰδριὰς πόλις ἐκαλεῖτο Καρίας. Μολοσσία ἡ χώρα τῆς Ἠπείρου. Μυσία ἡ χώρα καὶ πόλις. Λυδοὶ δὲ τὴν ὀξύην μυσόν φασι. Νικασία νησίδιον μικρὸν πλησίον Νάξου. Παρρασία πόλις Ἀρκαδίας. Ὅμηρος (B 608) «Στύμφηλόν τ᾽ εἶχον καὶ Παρρασίην ἐνέμοντο» ἀπὸ Παρράσου ἑνὸς τῶν Λυκάονος παίδων. Χάραξ δὲ κτίσμα Πελασγοῦ ἐν πρώτῳ χρονικῶν οὕτως «Πελασγὸς Ἀκέστορος παῖς τοῦ Ἐκβάσου τοῦ Ἄργου μετοικήσας εἰς Ἄργους εἰς τὴν ἀπ᾽ ἐκείνου μὲν τότε Πελασγίαν, ὕστερον δὲ Ἀρκαδίαν ἐβασίλευσεν ἔτη εἰκοσιπέντε καὶ πόλιν Παρρασίαν ἔκτισε». Νικάνωρ δὲ Παρβασίαν φησὶν αὐτὴν κεκλῆσθαι διὰ τὴν Λυκάονος εἰς τὸν Δία παρανομίαν. Πειρασία πόλις Μαγνησίας. λέγεται καὶ Πειρεσία. Περουσία πόλις Τυρρηνῶν. γράφεται δὲ διχῶς καὶ διὰ τοῦ ō καὶ δίχα αὐτοῦ. Πρυμνησία πόλις Καρίας, ἣν ἔκτισε Μίμαιθος. Ῥαδανουσία πόλις Μασσαλίας. Ῥοδανουσία πόλις ἐν Μασσαλίᾳ. Ταυρασία πόλις Ἰταλίας. Χαδισία πόλις Λευκοσύρων. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ «ἡ δὲ Θεμισκύρη πεδίον ἐστὶν ἀπὸ Χαδισίης μέχρι Θερμώδοντος». Μένιππος δὲ Χαδίσιον κώμην καὶ ποταμὸν ἐν περίπλῳ τῶν δύο Πόντων φησίν «ἀπὸ τοῦ Λυκάστου εἰς κώμην καὶ ποταμὸν Χαδίσιον στάδια ἑκατὸν πεντήκοντα, ἀπὸ Χαδισίου ἐπὶ τὸν Ἶριν ποταμὸν στάδια ἑκατόν». Χαλισία πόλις Λιβύης. Ἔφορος ἐν τῷ ε′ «ἀναχθέντι δ᾽ ἀπὸ τούτων πόλις ὀνομαζομένη Χαλισία». Χαρισίαι πόλις Ἀρκαδίας ἀπὸ Χαρισίου παιδὸς Λυκάονος. Παυσανίας ὀγδόῳ (3, 4) «ὠνομάσθησαν δὲ καὶ ἀπὸ Κρώμου Κρῶμοι καὶ Χαρισίαι Χαρίσιον ἔχουσαι οἰκιστήν». Χορσία πόλις Βοιωτίας. Παυσανίας ἐνάτῳ (24, 5) «ἐκ δὲ Κυρτώνων ὑπερβάλλοντι τὸ ὄρος πόλισμά ἐστι Χορσίας». Ὠρισία πόλις

Ἀσία sunt ex St. B. De Δονουσία cf. Lob. Proll. p. 417 not. l. 25 de Πειρασία cf. Lob. Proll. 426 et 430, apud Apollon. I 37, 584 pluraliter invenitur oxytonos Πειρεσιαί, Schol. ad priorem locum: Πειρεσιάς ὄνομα πόλεως· ὡς Ἐρύθρας, καὶ Πειρεσίας.

Ἰβηρίας. Λαμουςία ἡ παρὰ Λάμον ποταμὸν Κιλικίας χώρα, ὡς Ἀλέξανδρος ὁ πολυίςτωρ ἐν πρώτῳ Λυκιακῶν. Λευκωςία νῆςος μία τῶν Ϲειρηνουςῶν. Ϲελλαςία πόλις Λακωνική. Θεόπομπος ἐν τετάρτῳ Ἑλληνικῶν. Ἀμαθουςία. οὕτως ἐκαλεῖτο ἡ Κύπρος. Κυπαριςςία πόλις τῆς Τριφυλίας. Θηραςία νῆςος ἐν τῷ μεταξὺ πόρῳ Κρήτης καὶ Κυρηναίας, τὸ ᾱ μακρὸν «μεταξὺ τῆς Θήρας τε καὶ Θηραςίας». Ἀραχωςία πόλις οὐκ ἄπωθεν Μαςςαγετῶν Cτράβων ἑνδεκάτῃ (p. 513) ἥτις καὶ Κωφήν ἐκαλεῖτο. Δρεςία πόλις Φρυγίας. Καληςία πόλις Αὐςονική. Διονύςιος τριςκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Καρπαςία πόλις Κύπρου, ἣν Πυγμαλίων ἔκτιςεν, ὡς Ἑλλάνικος ἐν τοῖς Κυπριακοῖς. ἔςτι καὶ νῆςος Καρπαςία κατὰ τὴν ἄκραν τὴν Ϲαρπηδονίαν. Ξεναγόρας δὲ Κάρπαθον αὐτήν φηςι. Δημήτριος δ' ὁ Ϲαλαμίνιος Καρβαςίαν φηςίν, ὅτι πρὸς τὸν καλούμενον κάρβαν ἄνεμον κεῖςθαι δοκεῖ. Μαγνηςία πόλις παρὰ τῷ Μαιάνδρῳ καὶ χώρα ἀπὸ Μάγνητος. Ὑπεραςία πόλις Ἀχαΐας. «οἵ θ' Ὑπερηςίην τε καὶ αἰπεινὴν Γονόεςςαν». Ὅμηρος (Β 573). κακῶς δὲ Θέων Ὑπέρειαν αὐτὴν καλεῖ. Ὑπέρεια γὰρ πηγὴ Μεςςηΐδος. καὶ πόλις Ϲικελική. ὠνομάςθη δὲ ἀπὸ Ὑπέρητος τοῦ Λυκάονος υἱοῦ. Ῥυςία πόλις Βοιωτίας. Φαλαιςίαι πόλις Ἀρκαδίας. Παυςανίας ὀγδόῳ (35, 3). Ἀςία πόλις Λυδίας παρὰ τῷ Τμώλῳ, ἐν ᾗ τρίχορδος εὑρέθη κιθάρα, διὸ καὶ Ἀςιὰς ἐκλήθη. καὶ Ἀςία ἡ ἤπειρος· οἱ μὲν ἀπὸ πόλεως Λυδίας, οἱ δὲ ἀπὸ Ἀςίου τοῦ Λυδοῦ ἢ ἐκ τῆς Προμηθέως γυναικὸς ἢ ἀπὸ τοῦ πολλὴν ἄςιν ἔχειν τουτέςτιν ἰλύν. ἔςτι καὶ Ἀςία νῆςος Αἰθιοπίας. εἴ τι δὲ ὀξυνθῇ, ὄνομα δήμου ἐςτὶν ἢ περιεκτικὸν ὑπάρχει. τὸ μὲν προςταςιά καὶ πραςιά καὶ τραςιά ὁ τόπος ὅπου ξηραίνονται τὰ cῦκα, καὶ αἱμαςιά ὡς ἔννοιαν περιεκτικῶν ἔχοντα ὀξύνεται. τὸ δὲ Κηφιςιά καὶ Ἐπικηφιςιά δῆμος τῆς Οἰνηΐδος φυλῆς καὶ Ὑςιά καὶ Λουςιά δῆμος τῆς Οἰνηΐδος φυλῆς ἀπὸ Λουςίας μιᾶς τῶν Ὑακίνθου θυγατέρων, καὶ Πραςιαί δῆμος Πανδιονίδος φυλῆς — ἔςτι καὶ Λακωνικὸν πολίχνιον — ὀνόματα δήμων, μεθ' ὧν καὶ Βραςιαί πόλις Λακωνική — Παυςανίας τρίτῳ (21, 7 et 24, 3) καὶ Βρυςιαί πόλις Ἤλιδος.

Τὰ διὰ τοῦ $\overline{\text{νια}}$ μακρὸν ἔχοντα τὸ α βαρύνεται, κονία, πενία, γειτονία, μανία, γωνία, ξενία, ἀνία, ἁρμονία, ταινία, ἀκρωνία

---

l. 23 pro ἔχει scripsi ἐςτίν, potui etiam pro ὄνομα ponere ἔννοιαν. πραςιά mutavit in τραςιά Nauck. Philol. II 146, sed τραςιά potius excidit, ut apparet ex Ep. Cr. I 366, 29. Ἐπικηφιςιά ex St. B. adieci, Λουςιά ex eodem explevi et Πραςιαί addidi. De demo Ὑςιά cf. Herod. V 74, ubi οἱ Βοιωτοὶ ἀπὸ ςυνθήματος Οἰνόην αἱρέουςι καὶ Ὑςιὰς δήμους τοὺς ἐςχάτους τῆς Ἀττικῆς, quem locum hic Herodianus respexisse videtur. Ap. St. B. Ὑςία πόλις Βοιωτίας καὶ ἑνικῶς καὶ πληθυντικῶς, περὶ ἧς Θουκυδίδης τρίτῃ (c. 24) ἄποικος Ὑριέων, κτίςμα Νυκτέως τοῦ Ἀντιόπης πατρός· ἔςτι καὶ ἄλλη Παρθυαίων βαςίλειον, Ἀρτεμίδωρος ἐνάτῳ γεωγραφουμένων. ἔςτι καὶ Ἀργείας κώμη Ὑςία, ὡς Θουκυδίδης. Χάραξ δ' αὐτὴν πόλιν λέγει ἐν ἐνάτῳ Ἑλληνικῶν. ἔςτι καὶ Ἀρκαδίας πόλις, ὡς Φερεκύδης πρώτῳ, s. Ὑρία scribitur Ὑςιαί oxytonos τῆς Παραςωπίας ὑπ' αὐτὸν τὸν Κιθαιρῶνα κεῖμεναι. — Βραςιαί et Βρυςιαί ex St. B. accesserunt. l. 33 μανία, γωνία, ταινία sunt ex Theogn. 105, 31, ξενία ἀνία ἁρμονία ex libro περὶ

τὸ σύστημα καὶ ἄθροισμα ὡς Αἰσχύλος «ἠδ' ἀκρωνία κακοῦ — λευσμόν τε» (Eum. 187). Χιτωνία· οὕτως ἡ Ἄρτεμις ἐλέγετο, ὡς Παρμένων ὁ Βυζάντιος καὶ Ἐπίχαρμος ἐν Σφιγγί «καὶ τὸ τᾶς Χιτωνίας αὐλησάτω τίς μοι μέλος». Ἀζανία μέρος τῆς Ἀρκαδίας. λέγεται καὶ Ἀζηνία. Εὔδοξος ἐν ἕκτῃ γῆς περιόδου φησίν· «ἔστι κρήνη τῆς Ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ οἴνου ἀνέχεσθαι, εἰς ἣν λέγουσι Μελάμποδα, ὅτε τὰς Προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ καθάρματα». ἔστι δὲ καὶ Μασσαλίας ἄλλη, ὡς Φίλων. Ἀθαμανία χώρα Ἰλλυρίας, οἱ δὲ Θεσσαλίας. Αἱμονία ἡ Θετταλία ἀπὸ Αἵμονος. εἰσὶ δὲ καὶ Αἱμονιαί πόλις Ἀρκαδίας ἀπὸ Αἵμονος τοῦ Λυκάονος παιδός, ὡς Παυσανίας ὀγδόῳ παριηγήσεως Ἑλλάδος (44, 1). Ἀκαρνανία χώρα κεχωρισμένη τῶν Κουρήτων πρὸς τῷ Ἀχελῴῳ. Ἀκμονία πόλις Φρυγίας ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τρίτῳ περὶ Φρυγίας. κτίσαι δὲ αὐτὴν Ἄκμονα τὸν Μάνεω. λέγεται καὶ Ἀκμόνεια. Ἀλβανία χώρα πρὸς τοῖς ἀνατολικοῖς Ἴβηρσιν. Ἀμαζονία πόλις Μεσσαπίας. Ἀμμωνία ἡ μεσόγειος Λιβύη. καὶ αὐτὴ δὲ πᾶσα ἡ Λιβύη οὕτως ἐκαλεῖτο ἀπὸ Ἄμμωνος. Ἀμυθαονία μοῖρα τῆς Ἤλιδος ἀπὸ Ἀμυθάονος τοῦ Κρηθέως, ὡς Ῥιανός. Ἀπολλωνία. α' πόλις Ἰλλυρίας, ἣν ᾤκουν Ἰλλυριοί, κατ' Ἐπίδαμνον. β' ἐν νήσῳ πρὸς τῇ Σαλμυδησσῷ, ἀποικία Μιλησίων καὶ Ῥοδίων. γ' Μακεδονίας. δ' πόλις Λιβύης. ε' ἐν νήσῳ τῆς Ἀκαρνανίας, μία τῶν Ἐχινάδων. ϛ' ἐν Κρήτῃ πρὸς τῇ Κνωσσῷ. ζ' πλησίον Ἀλοντίνων καὶ Καλῆς ἀκτῆς. η' Μυσίας. θ' πόλις Μυσίας ἐπὶ Ῥυνδάκῳ ποταμῷ. ι' κατὰ Θυάτειρα καὶ Ἔφεσον. ια' Φωκίδος, ἣν Ὅμηρος Κυπάρισσόν φησι διὰ τὸ πολλὰς ἔχειν κυπαρίσσους, ὡς Δίδυμος. ιβ' περὶ τὴν κοίλην Συρίαν. ιγ' κατὰ Ἰόπην· ιδ' τῆς Μεσοποταμίας. ιε' Λιβύης, ἣ Κυρήνη ἐκαλεῖτο. ιϛ' Λυδίας. ιζ' Πισιδίας ἡ πρότερον Μορδιάειον. ιη' Φρυγίας, ἡ πάλαι Μάργιον. ιθ' ἐν Σίφνῳ τῇ νήσῳ. κ' Συρίας κατ' Ἀπάμειαν. κα' νῆσος πρὸς τῇ Λυκίᾳ. κβ' τῶν ἐπὶ Θρᾴκης Ἰώνων, ἣν Δημοσθένης φησίν (Philipp. 3 p. 117). κγ' Κρήτης ἡ πάλαι Ἐλεύθερνα Λίνου πατρίς. κδ' ἐν Αἰγύπτῳ. κε' μεταξὺ Βαβυλῶνος καὶ Σούσων. Ἀρμενία χώρα πλησίον τῶν Περσῶν ἀπὸ Ἀρμένου τοῦ Ῥοδίου, ὡς Ἀντίπατρος ἐν τρίτῳ περὶ Ῥόδου. Ἀσκανία πόλις Τρωϊκή. Νικόλαος τετάρτῃ ἱστοριῶν «Σκαμάνδριος Ἕκτορος καὶ Ἀνδρομάχης ἐκ τῆς Ἴδης καὶ τοῦ Δασκυλείου καὶ τῆς Ἀσκανίας καλουμένης, ἣν ἔκτισεν ὁ Αἰνείου παῖς Ἀσκάνιος» . . . . οὐ μόνον δὲ ἡ λίμνη, ἀλλὰ καὶ ἡ χώρα δισσὴ καὶ ὁμώνυμος, ἡ μὲν Φρυγίας, ἡ δὲ Μυσίας, ἀμφοτέρων δὲ μνημονεύει ὁ ποιητής, τῆς Φρυγίας μὲν «Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς τῆλ' ἐξ Ἀσκανίης»

ποσότητος 304, 1, Choer. 169, 1, ἀκρωνία ex Schol. ad Aeschyl. Eum. 187: ἀκρωνία: κακῶν ἄθροισις ἢ λιθοβολίας. Ἡρωδιανὸς δὲ τὸ σύστημα καὶ ἄθροισμα.

l. 2 nomina inde a Χιτωνία usque ad Χωνία prompta sunt ex St. B. Ἰωνία habet etiam Theogn., Παιονία ex Theogn. petitum est.

(Β 862), τῆς δὲ Μυςίας «οἵ ῥ' ἐξ Ἀςκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί» (Il. Ν 793). Ἀχαιμενία ἡ Περςικὴ μοῖρα ἀπὸ Ἀχαιμένους υἱοῦ Περςέως. λέγεται καὶ Ἀχαιμένιον. Ἀνδανία πόλις Μεςςήνης ὁμώνυμος τῇ χώρᾳ. οὕτω γὰρ καὶ ἡ Μεςςήνη Ἀνδανία ἐκαλεῖτο, ἣν οἰκῆςαί φαςί τινας τῶν Κρεςφόντου καὶ οὕτως καλέςαι διὰ τὸ μὴ ἁνδάνειν αὐτοῖς. Ἀτιντανία μοῖρα Μακεδονίας ἀπὸ Ἀτιντᾶνος υἱοῦ Μακεδόνος. Αὐςονία ἡ χώρα. Ἰωνία. οὕτως ἡ Ἀττικὴ πρότερον ἀπὸ Ἴωνος τοῦ Ἀπόλλωνος καὶ Κρεούςης τῆς Ἐρεχθέως. «οὕτω μὲν οἱ Ἀθηναῖοι. ἐν μέντοι Δωριεῦςιν Αἰτωλοί, ἐν δὲ Αἰολεῦςι Βοιωτοί, ἐν δὲ τοῖς Ἴωςιν Ἀθηναῖοι». Βαγαδαονία μοῖρα Καππαδοκίας νοτιωτάτη. Βιςτονία πόλις Θρᾴκης ἀπὸ Βιςτόνος τοῦ Ἄρεος καὶ Καλλιρρόης τῆς Νέςτου. Γαςτρωνία χώρα Μακεδονίας. Θεόπομπος νδ'. Γερηνία πόλις Μεςςηνίας, ἔνθα, φαςί, Νέςτωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. ἀπὸ εὐθείας τῆς ἡ Γέρηνος. Γορδυνία πόλις Μακεδονίας. Ἡςιονία ἡ Cάρδεων χώρα ἡ καὶ Ἀςία. Μαιονία ἡ Λυδία ἀπὸ Μαίονος ποταμοῦ τοῦ περὶ τὴν Ἀχαΐδα ῥέοντος ἢ ἀπὸ Μαίονος τοῦ οἰκιςτοῦ. Καττα-βανία κατοικία τῆς εὐδαίμονος Ἀραβίας. Cτράβων ἑκκαιδεκάτῃ (p. 768) «φέρει δὲ λιβανωτὸν ἡ Κατταβανία, ςμύρναν δὲ ἡ Χατραμωτῖτις». Κυδωνία πόλις Κρήτης ἡ πρότερον Ἀπολλωνία ἀπὸ Κύδωνος τοῦ Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρός. δευτέρα Cικελίας. τρίτη Λιβύης. Λακινία ἡ χώρα. Μακεδονία ἡ χώρα ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος ὥς φηςιν Ἡςίοδος ὁ ποιητής

ἡ δ' ὑποκυςαμένη Διῒ γείνατο τερπικεραύνῳ
υἷε δύω, Μάγνητα Μακεδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον.

ἄλλοι δ' ἀπὸ Μακεδόνος τοῦ Αἰόλου, ὡς Ἑλλάνικος ἱερειῶν τρίτῃ τῶν ἐν Ἄργει «καὶ Μακεδόνος τοῦ Αἰόλου οὕτω νῦν Μακεδόνες καλοῦνται, μόνοι μετὰ Μυςῶν τότε οἰκοῦντες». Κεβρηνία χώρα τῆς Τρῳάδος ἀπὸ Κεβρῆνος ποταμοῦ, ἄλλοι δὲ ἀπὸ Κεβριόνου τοῦ Πριάμου. Μαραθωνία πόλις Θρᾴκης οὐκ ἄπωθεν Ἀβδήρων. Κρητινία τόπος Ῥόδου. Καυλωνία πόλις Ἰταλίας, ἣν Αὐλωνίαν Ἑκαταῖος καλεῖ διὰ τὸ μέςην αὐλῶνος εἶναι. ἀπὸ γὰρ τοῦ αὐλῶνος Αὐλωνία ὕςτερον μετωνομάςθη Καυλωνία ὡς ἀπὸ Μετάβου ἥρωος Μεταπόντιον καὶ Ἐπίδαυρος Ἐπίταυρος καὶ αἱ Κλαζομεναὶ Πλαζομεναί. ἔςτι δὲ καὶ ἄλλη Cικελίας. ἔςτι δὲ καὶ ἄλλη Λοκρῶν. Καταονία μοῖρα ἐςχάτη τοῦ Ταύρου. Cτράβων δὲ (12 p. 533) Καππαδοκίας ταύτην φηςίν. Κοινία μία τῶν Ἀμαζόνων. Ἰουερνία νῆςος Πρεττανική. Βονωνία πόλις Ἰταλίας. Ἱςπανία ἀπὸ Ἱςπάνου γίγαντος οὕτω λεγομένου δύο τῆς Ἰταλίας ἐπαρχίαι ἡ μὲν μεγάλη ἡ δὲ μικρά. ταύτης ἐμνήςθη Χάραξ ἐν ι' χρονικῶν «ἐν Ἱςπανίᾳ τῇ μικρᾷ τῇ ἔξω Λουςιτανῶν πάλιν ἀποςτάντων ἐπέμφθη ὑπὸ Ῥωμαίων ςτρατηγὸς ἐπ' αὐτοὺς Κῦιντος». ὁ αὐτὸς ὁμοῦ ὑπὲρ τῶν δύο «Κΰϊντος ὁ τῶν Ῥωμαίων πολέμαρχος ἐν ἀμφοτέραις

ταῖς Ἱσπανίαις, ἡσσώμενος δὲ ὑπὸ Οὐιριάθου σπονδὰς πρὸς αὐτὸν ἐποιήσατο». ταύτην κεκλῆσθαί φησιν Ἰβηρίαν ἐν Ἑλληνικῶν γ' «τὴν δὲ Ἱσπανίαν Ἕλληνες τὰ πρῶτα Ἰβηρίαν ἐκάλουν, οὔπω ξύμπαντος τοῦ ἔθνους τὴν προσηγορίαν μεμαθηκότος, ἀλλ' ἀπὸ μέρους τῆς γῆς, ὅ ἐστι πρὸς ποταμὸν Ἴβηρα, Ἰβηρίαν καὶ ἀπ' ἐκείνου ὀνομάζονται, τὴν πᾶσαν οὕτω καλοῦντες. ὕστερον δέ φασιν αὐτὴν μετακεκλῆσθαι Πανίαν». Καμμανία μοῖρα Θεσπρωτίας. μετωνομάσθη δὲ Κεστρινία. Γρηστωνία χώρα Θράκης πρὸς τῇ Μακεδονίᾳ. Θουκυδίδης δευτέρᾳ (99, 100). Δαρδανία· οὕτω πρότερον ἐκαλεῖτο ἡ Σαμοθρᾴκη· καὶ Δαρδανία χώρα Τρῳάδος, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο. Δαρσανία πόλις Ἰνδική. Διωνία πόλις, ἣν συγκαταλέγει ταῖς Κυπρίαις πόλεσι Θεόπομπος πεντεκαιδεκάτῃ Φιλιππικῶν. Ἐλινία χώρα Θεσπρωτίας. Ζειρηνία πόλις Θρᾴκης. Θεόπομπος Φιλιππικῶν γ'. Ζηρανία χώρα Θρᾴκης. Ἔφορος εἰκοστῷ ἑβδόμῳ. Καρμανία χώρα τῆς Ἰνδικῆς. Στράβων πεντεκαιδεκάτῃ (p. 724). Καρνία πόλις Ἰωνίας. Νικόλαος τετάρτῳ. Κρημνία· οὕτως πρότερον ἐκαλεῖτο Γόρτυν πόλις Κρήτης. Θυνία ἡ χώρα τῶν Θύνων. Καστανία πόλις πλησίον Τάραντος. Κηφηνία ..... Χθονία· οὕτως καλεῖται ἡ Κρήτη. Λουσιτανία ὅμορος τῆς Βαιτίκης. Λυκαονία χώρα Λυκίας τε καὶ Ἰσαυρίας. Μαριανδυνία χώρα τοῦ Πόντου. Εὔπολις Χρυσῷ γένει «ὁρῶ. θεῶ νῦν τήνδε Μαριανδυνίαν». ἀπὸ Μαριανδυνοῦ τινος Αἰολέως. Μαυριτανίαι δύο, ἡ μὲν Τιγγιτανή, ἡ δὲ Καισαρησία. Μιλωνία πόλις Σαυνιτῶν ἐπιφανεστάτη. Διονύσιος ιζ'. Μυγδονία μοῖρα Μακεδονίας καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης. ἀπὸ Μυγδόνος. ἐλέγετο καὶ Μυχθονία. Μυονία πόλις Φωκίδος. Παυσανίας ι' (c. 38, 8). λέγεται καὶ Μύων. Μυρμιδονία χώρα τῶν Μυρμιδόνων· οὕτω γὰρ ἡ Αἴγινα ἐκλήθη. Ναρνία πόλις Σαυνιτῶν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ Νάρνου, ὡς Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Νικωνία πόλις ἐν τῷ Πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἴστρου. Στράβων ἑβδόμῃ (p. 306). Ξιφωνία πόλις Σικελίας. Θεόπομπος Φιλιππικῶν τριακοστῷ ἐνάτῳ. Ξυνία πόλις Θεσσαλίας. Πολύβιος ἐνάτῳ. Παιονία. Πανία ἐπίνειον Κιλικίας περὶ τὸ Ἀλήϊον πεδίον. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀρκαδία. Παρθενία κώμη Πόντου πλησίον καὶ Σάμος πρότερον ἐκλήθη Παρθενία. Παφλαγονία ἀπὸ Παφλαγόνος τοῦ Φινέως παιδός. Πελαγονία χώρα Σικελίας. Πηλαγονία μοῖρα Μακεδονίας. Πολυρρηνία πόλις Κρήτης ἀπὸ τοῦ πολλὰς ῥῆνας τουτέστι πρόβατα ἔχειν. Ποσειδωνία πόλις Ἰταλίας. Ποτιδανία πόλις Αἰτωλίας. Ῥιζηνία πόλις Κρήτης. Ῥιθυμνία πόλις Κρήτης. Σατορνία ἡ Ἰταλία πρῶτον ἐκαλεῖτο. Σιγνία πόλις Ἰταλίας, ὡς Στράβων πέμπτῃ (p. 237). Σιδωνία πόλις Τρῳάδος. Σιθωνία μέρος Θρᾴκης. Σικανία ἡ περίχωρος Ἀκραγαντίνων. Τελχινία πρότερον ἡ Σικυὼν ἐκαλεῖτο καὶ ἡ Κρήτη. Σιωνία πόλις Ποντική. Ταρκυνία πόλις Τυρρηνίδος ἀπὸ Τάρκωνος. Κρανία· οὕτως ἐκαλεῖτο Ταρσὸς ἀπὸ κρανίου. Ὑττηνία πρότερον ἐκαλεῖτο τετράπολις τῆς

Ἀττικῆς. Τευθρανία Μυσίας πόλις ἀπὸ Τεύθραντος. Τιβαρηνία χώρα πρὸς τῷ Πόντῳ πρόσοικος Χάλυψι καὶ Μοσσυνοίκοις. Τουρδητανία χώρα τῆς Ἰβηρίας, ἣ καὶ Βαιτίκη καλεῖται παρὰ τὸν Βαῖτιν ποταμόν. Ἀρτεμίδωρος δὲ Τουρτυτανίαν αὐτὴν καλεῖ. Σαρωνία ἐκαλεῖτο Τροιζήν. Τυρρηνία χώρα πρὸς τῷ Ἀδρίᾳ. ἔστι καὶ Τυρρηνία πόλις, ἣ λέγεται καὶ Τυρρηνή. Ὑρκανία πόλις Θρᾴκης. Χαονία μέση τῆς Ἠπείρου. Χαττηνία χώρα τρίτη Γερραίων. Πολύβιος ιγ´ «ἔστι δ᾽ ἡ Χαττηνία τἆλλα μὲν λυπρά, κώμαις δὲ καὶ πύργοις διεσκεύασται διὰ τὴν εὐκαιρον τῶν Γερραίων. οὗτοι γὰρ αὐτὴν νέμονται». ἔστι δὲ τῆς Ἐρυθρᾶς θαλάσσης. Χωνία χώρα Οἰνωτρῶν. Λυκόφρων (v. 983) «ἄρδων βαθεῖαν Χωνίας παγκληρίαν». — τὸ δὲ ῥοδωνιά καὶ ἰωνιά περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῖ. καὶ τὸ Χελιδονιαί πέτραι — δύο δέ εἰσι κεκλημένη ἡ μὲν Κορύδελα, ἡ δὲ Μελανίππεια, ὡς Φαβωρῖνος ἐν τοῖς παντοδαποῖς — καὶ τὸ Ἀζηνιά δῆμος ἐν Ἀττικῇ τῆς Ἱπποθοωντίδος φυλῆς. καὶ ἔτι τὸ ἱμονιά τὸ ἀντλητήριον παρ᾽ Ἀττικοῖς ὀξύνεται. τὸ δὲ ἁρμονιῇσιν «γόμφοισιν δ᾽ ἄρα τήν γε καὶ ἁρμονιῇσιν ἄρασσεν» (ε 248) ἐστὶν Ἰώνων καταβιβασμός.

Τὰ εἰς ᾱ μακρὸν τῇ ρῑ παραληγόμενα παροξύνεται, αἰθρία, κοπρία, ὑδρία ἐπὶ τοῦ ἀγγείου, ἐπὶ δὲ τῆς ἱδρεύσεως ὑδρεία, φατρία καὶ φρατρία, ὅ ἐστιν τρίτον φυλῆς, ἥν τινες τριττὺν λέγουσιν. θεωρία. Ἀλλαρία πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτῃ. Ἀρία Περσικὴ χώρα ὡς Ἑλλάνικος. Ἀερία ἡ Αἴγυπτος παρὰ τὸν ἀέρα. καὶ γὰρ ἠερόεσσαν αὐτήν φασιν. ἔστι καὶ Κελτικὴ πόλις Ἀερία, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ. καὶ ἄλλη Κρήτης οὐκ ἄσημος, ἣ ἐλέγετο νῆσος Ἀερία καὶ Ἰδαία καὶ Δολίχη διὰ τὸ μῆκος. ὅτι δὲ καὶ οὕτως ἡ Θάσος, δῆλον ἐκ τοῦ χρησμοῦ τοῦ δοθέντος τῷ πατρὶ τοῦ Ἀρχιλόχου·

ἄγγειλον Παρίοις, Τελεσίκλεες, ὥς σε κελεύω,
νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

Ἀσσυρία χώρα περὶ Βαβυλῶνα. Ἀστερία πόλις Συρίας. λέγεται καὶ Ἀστερίς. ἔστι καὶ νησίον Ἀστερία μεταξὺ Κεφαλληνίας καὶ Ἰθάκης. Ὅμηρος Ἀστερίδα ταύτην φησίν (Od. δ 844). οὕτως ἐκαλεῖτο καὶ Δῆλος. Βαρβαρία χώρα παρὰ τὸν Ἀράβιον κόλπον. Μηλαρία πόλις ἐπὶ τοῖς πέρασι ἀπὸ τῶν μήλων, ἃ χρύσεα λέγεται Ἡρακλῆς ἐκ τῆς Λιβύης ἀγηοχέναι. Γαλαρία χώρα Σικελίας. Διακρία φυλὴ τῆς Ἀττικῆς, ἣν ᾤκει Πάλλας ὁ Πανδίονος υἱός. Εὐπορία πόλις Μακεδονίας,

---

l. 12 pro τὸ Χελιδονιά δῆμος scripsi ex St. B. τὸ Χελιδονιαί πέτραι — καὶ τὸ Ἀζηνιά ita ut ap. Arcadium πέτραι usque ad Ἀζηνιά excidisse arbitrer, quare Lobeckii ad Ai. p. 119 emendatione νῆσος pro δῆμος carere possumus. Ceterum hoc loco Herodianum Χελιδονιαί pluraliter protulisse apparet ex Eustath. ad Dionys. 504: Ἡρωδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ Χελιδονιαί ἀναγινώσκει ὡς πυρκαϊαί. Lobeckii emendationem probat Meinek. phil. exercitt. in Athen. II p. 40. — τὸ δὲ ἁρμονιῇσιν κτλ. recepi ex Schol. ad Odyss. ε 248. l. 19 ὑδρία explevi ex Choer. Orth. 181, 1, καὶ φρατρία addidi ex St. B., θεωρία ex Theogn. 105, 32, ubi κεωρία; nomina inde ab Ἀλλαρία usque ad Φιλωτερία ex St. B.

ἣν Ἀλέξανδροϲ ταχέωϲ νικήϲαϲ ἔκτιϲε καὶ ὠνόμαϲε διὰ τὸ εὔπορον. Θουρία πόλιϲ Ἰταλίαϲ, ἣ καὶ Θούριοι καὶ Θούριον. ἔϲτι δὲ καὶ Μεϲϲηνίαϲ πόλιϲ. Παυϲανίαϲ δὲ (4, 31, 1) Ἄνθειαν αὐτήν φηϲι. τινὲϲ δὲ Θουνίαν. Θυμιατηρία πόλιϲ Λιβύηϲ. Ἰκαρία δῆμοϲ τῆϲ Αἰγηΐδοϲ φυλῆϲ ἀπὸ Ἰκαρίου τοῦ πατρὸϲ Ἠριγόνηϲ. Ἰλλυρία χώρα πληϲίον τοῦ Παγγαίου ἀπὸ Ἰλλυρίου τοῦ Κάδμου παιδόϲ. Ἰϲαυρία μεταξὺ Λυκαονίαϲ καὶ Κιλικίαϲ πρὸϲ τῷ Ταύρῳ. Ἰϲτρία χώρα κατὰ τὸν Ἰόνιον κόλπον. ἑϲπερία ἡ δύϲιϲ καὶ τὸ δυτικὸν μέροϲ. Καβειρία πόλιϲ τῆϲ κάτω Ἀϲίαϲ ἡ καὶ Κάβειροϲ καὶ Καβείριον. Καλαβρία χωρίον πληϲίον τῆϲ Ἰταλίαϲ. Καμαρία πόλιϲ Ἰταλική. «Ἀλβανῶν ἀπόκτιϲιϲ», Διονύϲιοϲ δευτέρῳ Ῥωμαϊκῆϲ ἀρχαιολογίαϲ. Καπρία νῆϲοϲ Ἰταλίαϲ. Ἑκαταῖοϲ Εὐρώπῃ. λέγονται καὶ Καπριαί. Καρία ἡ χώρα. ἐκαλεῖτο δὲ καὶ ἡ Μεγάρων ἀκρόπολιϲ Καρία ἀπὸ Καρὸϲ τοῦ Φορωνέωϲ. Κρουϲτομερία πόλιϲ Ϲαβίνων ἀντιϲτᾶϲα Ῥωμύλῳ. Διονύϲιοϲ δευτέρῳ Ῥωμαϊκῆϲ ἀρχαιολογίαϲ. Κυθηρία νῆϲοϲ πρὸϲ τῇ Κρήτῃ, ἣ καὶ Κύθηρα. Λαγαρία φρούριον Ϲικελίαϲ πληϲίον Θουρίων, τοῦ Ἐπειοῦ καὶ Φωκέων κτίϲμα, ὡϲ Ϲτράβων (6 p. 263). Λουκερία πόλιϲ Ἰταλίαϲ. Πολύβιοϲ τρίτῳ. παρὰ δὲ Διονυϲίῳ διὰ τοῦ ᾱ γράφεται. Νουκερία πόλιϲ Ἰταλίαϲ. Μεϲημβρία πόλιϲ Ποντική. Νικόλαοϲ πέμπτῳ. ἐκλήθη ἀπὸ Μέλϲου. βρία γὰρ τὴν πόλιν φαϲὶ Θρᾷκεϲ. ὡϲ οὖν Ϲηλυμβρία ἡ τοῦ Ϲήλυοϲ πόλιϲ, Πολτυμβρία ἡ Πόλτυοϲ πόλιϲ, οὕτω Μελϲημβρία ἡ Μέλϲου πόλιϲ καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεϲημβρία. ἔϲτι καὶ Θρᾴκηϲ Μεϲημβρία πρὸϲ τῷ τέλει τῆϲ χερρονήϲου, ὡϲ Ἡρόδοτοϲ ἑβδόμῃ (c. 108). Μολυκρία πόλιϲ Αἰτωλίαϲ. Ϲτράβων δεκάτῃ (p. 460). Θουκυδίδηϲ δευτέρᾳ (c. 84) Μολύκρειον αὐτὴν καλεῖ, Εὐφορίων δὲ Μολυκρίαν αὐτήν φηϲι. Οἰνωτρία χώρα τῆϲ Ἰταλίαϲ. τινὲϲ δὲ αὐτὴν Ἰταλίαν οὕτω φαϲὶ κεκλῆϲθαι ἀπὸ Οἰνωτροῦ Ἀρκάδοϲ, ὡϲ Παυϲανίαϲ ὀγδόῳ (c. 3, 5). Πείϲανδροϲ τριϲκαιδεκάτῳ ἀπὸ τῆϲ τοῦ οἴνου χρήϲεωϲ κεκλῆϲθαι αὐτήν φηϲιν. Ζεφυρία. οὕτωϲ ἐκαλεῖτο Μῆλοϲ νῆϲοϲ. Ἀνακτορία. οὕτωϲ ὠνομάϲθη Μίλητὸϲ πόλιϲ ἀπὸ Ἄνακτοϲ τοῦ Γῆϲ καὶ Οὐρανοῦ. Νιτρίαι τόποϲ Αἰγύπτου. Ϲτράβων ἑπτακαιδεκάτῃ (p. 308). Πανδατερία νῆϲοϲ. Πιερία πόλιϲ ἐν ὁμωνύμῳ χωρίῳ. Πτερία πόλιϲ Ϲινώπηϲ καὶ Μήδων, ἣ καὶ Πτέριον λέγεται. Ϲκαμανδρία πόλιϲ Τροίαϲ. Ϲφακτηρία νῆϲοϲ, ἧϲ μνημονεύει Παυϲανίαϲ ἐν τρίτῳ περιηγήϲεωϲ Ἑλλάδοϲ (c. 5, 5). ἐκαλεῖτο καὶ Ϲφαγία, ὡϲ Φαβωρῖνοϲ. Ϲχερία ἡ Φαιακία. κέκληται, ὡϲ Ἀριϲτοτέληϲ φηϲίν, ἀπὸ τοῦ τὴν Δήμητραν φοβουμένην, μὴ οἱ ἐκ τῆϲ ἠπείρου ἐπιχεόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήϲωϲι, δεηθῆναι τοῦ Ποϲειδῶνοϲ ἀποϲτρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπιϲχεθέντων οὖν τούτων ἀντὶ Δρεπάνηϲ Ϲχερίαν αὐτὴν κεκλῆϲθαι. Ταλαρία πόλιϲ Ϲυρακουϲίων. Θεόπομποϲ ἐν Φιλιππικῶν μ΄. Ποιμανδρία· οὕτωϲ ἐκαλεῖτο πρότερον Τάναγρα.

l. 12 Καπριαί comparari potest cum Βραϲιαί et Βρυϲιαί.

Λυκόφρων (v. 326) «ἣν ἐς βαθεῖαν λαιμίσας Ποιμανδρίαν». Τενεβρία κώμη Ἰβηρίας. Σατρία πόλις Ἰταλίας. Νουκρία πόλις Τυρρηνίας. Φίλιστος ια΄. εὕρηται καὶ Νακρία διὰ τοῦ ᾱ. Ῥεμουρία πόλις πλησίον Ῥώμης. Τρινακρία ἡ Σικελία παρὰ τὸ τρεῖς ἔχειν ἄκρας. ἢ ὅτι θρίνακί ἐστιν ὁμοία. πολλὰ δὲ ἀπὸ τῆς ὁμοιότητος χωρία προσαγορεύεται, Λυρνησσός Βρεντέσιον Σαρδώ. Σίβυλλα δὲ διὰ τὸ Τρίνακον βούκολον τὸν Ποσειδῶνος Σικελίας ἄρξαι·

Τρινακίης νήσου, ἣν ἔκτισε Τρίνακος ἥρως,
υἱὸς ποντομέδοιο Ποσειδάωνος ἄνακτος.

Ὑρία χωρίον πλησίον Αὐλίδος. Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ' ἐν Ὑσιαῖς. ἔστι δὲ ἡ μὲν Ὑρία πρὸς τὸν Εὔριπον, αἱ δὲ Ὑσιαί τῆς Παρασωπίας ὑπ' αὐτὸν τὸν Κιθαιρῶνα. ἔστιν Ὑρία καὶ ἡ κατὰ Ἰσαυρίαν Σελεύκεια, ᾗ παραρρεῖ ὁ Καλύκαδνος, ὃν Κάλυδνόν τινες καλοῦσιν. ἔστιν Ὑρία πρὸς τῇ Ἰαπυγίᾳ, Κρητῶν κτίσμα. Ἡρόδοτος ἑβδόμῃ (c. 170). Φιλωτερία πόλις κοίλης Συρίας, ἣ καὶ Φιλωτέρα. Τὸ μέντοι Στειριά δῆμος Ἀττικὸς τῆς Πανδιονίδος φυλῆς, λέγεται δὲ καὶ οὐδετέρως.

Τὰ εἰς ᾱ μακρὸν παραληγόμενα τῇ λι, ἧς προηγεῖται ᾱ, βαρύνεται πρᾶγμα σημαῖνον, διδασκαλία, ἀτασθαλία, ἢ ὀνόματα χωρῶν, Οἰχαλία πόλις, ἣν Ὅμηρος ἐν τῷ Πελασγικῷ Ἄργει τάσσει λέγων «οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου» (B 730). οἱ δὲ νεώτεροι τεθείκασιν αὐτὴν ἐν Εὐβοίᾳ. ἔστι καὶ Μεσσηνὶς Οἰχαλία καὶ ἑτέρα ἐν Τραχῖνι. Θεσσαλία ἀπὸ Θεσσαλοῦ ἡ πρότερον Πελασγία. Παραλία τῆς Ἀττικῆς. Χαλία πόλις Βοιωτίας. Θεόπομπος με΄ «τὴν δὲ Χαλίαν καὶ τὴν καλουμένην Ὑρίαν, ἥ περ ἐστὶν ἐφεξῆς ἐκείνης, τῆς Βοιωτίας....» Μαιναλίᾳ πόλις Γαλατίας. Μασσαλία πόλις τῆς Λιγυστικῆς κατὰ τὴν Κελτικήν, ἄποικος Φωκαέων. Ἑκαταῖος Εὐρώπῃ. Τίμαιος δέ φησιν ὅτι προσπλέων ὁ κυβερνήτης καὶ ἰδὼν ἁλιέα ἐκέλευσε μάσσαι τὸ ἀπόγειον σχοινίον· μάσσαι γὰρ τὸ δῆσαί φασιν Αἰολεῖς· ἀπὸ γοῦν τοῦ ἁλιέως καὶ τοῦ μάσσαι ὠνόμασται. Κασταλία πόλις Κιλικίας. Ἀλλαλία πόλις ἐν Κύρνῳ τῇ νήσῳ κτίσμα Φωκαέων, ὡς Ἡρόδοτος (I 165). Πανταλία μοῖρα Θρᾴκης. εἰ δὲ μὴ οὕτως, ὀξύνεται, ἀμυγδαλιά, φυταλιά, λαλιά, καλιά. τὸ δὲ ἀσπαλία ἡ ἁλεία βαρύνεται.

Τὰ εἰς ᾱ μακρὸν τρισύλλαβα παραληγόμενα τῷ ῑ ἐπὶ οὐσίας λαμβανόμενα βαρύνεται χωρὶς τινων, καρδία· ἔστι Καρδία καὶ πόλις τῆς ἐν Θρᾴκῃ Χερρονήσου ἡ ὕστερον Λυσιμάχεια. Ἑρμοχάρου δὲ τοῦ κτιστοῦ θύοντος κόρακα τὴν καρδίαν ἁρπάσαντα καὶ ἀναπτάντα ἐς τόνδε τὸν χῶρον μεθεῖναι καὶ διὰ τοῦτο οὕτως ἐκλήθη. ἢ ὅτι Σκυθῶν γλώσσῃ οὕτω κεκλῆσθαι. σχεδία, ζημία, σηπία, οἰκία, φυλία, τηλία,

---

l. 16 Στειριά explevi ex St. B. l. 19 Οἰχαλία explevi ex St. B., item Θεσσαλία, Παραλία — Πανταλία ex eodem apposui. l. 33 λαλιά καλιά addidi ex Theogn. 105, 26 cf. E. M. 555, 42. l. 35 Καρδία proprium ex St. B. addidi, φυλία

ἀλία. τὸ μέντοι σκοπιά καὶ σποδιά ὀξύνονται ὡς ἔχοντα τὸ ō πρὸ τοῦ ῑ, ὥσπερ καὶ τὸ πολιά καὶ τροχιά καὶ ἁματροχιά καὶ ὁρμιά.

Τὰ παραληγόμενα τῷ ῑ ἀπὸ τῶν εἰς ξ̄ βαρύνεται, Φρυγία, δύο χῶραι. Στράβων (12 p. 517) «Φρυγία τε γὰρ ἡ μὲν καλεῖται μεγάλη, ἧς ὁ Μίδας ἐβασίλευε, καὶ τῆς ἄλλης μέρος οἱ Γαλάται κατέσχον· ἡ δὲ μικρὰ ἡ ἐφ' Ἑλλησπόντῳ καὶ ἡ περὶ τὸν Ὄλυμπον, ἡ καὶ ἐπίκτητος λεγομένη». ἔστι καὶ Φρυγία τόπος τῆς Οἴτης ἀπὸ τοῦ ἐκεῖ πεφρύχθαι τὸν Ἡρακλέα». Βεβρυκία, Ὀρτυγία, Αἰθικία. Θεόπομπος τριακοστῇ ἐνάτῃ Φιλιππικῶν. Κιλικία, Ἀμβρακία ἀπὸ Ἄμβρακος τοῦ παιδὸς Θεσπρωτοῦ τοῦ Λυκάονος ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέου θυγατρός, περὶ ἧς Φιλέας. εὕρηται καὶ διὰ τοῦ π̄ ἀντὶ τοῦ β̄. Τεμμικία παρὰ τῷ Λυκόφρονι (v. 786) «ὃν Βομβύλεια κλιτὺς ἡ Τεμμικία». Νεφελοκοκκυγγία πόλις κωμικῶς ἐπινοηθεῖσα παρὰ Ἀριστοφάνει, καὶ ἑνικῶς καὶ πληθυντικῶς λεγομένη. Κωρυκία ἀκρωτήριον Κρήτης, Ἰαπυγία δύο πόλεις, μία ἐν τῇ Ἰταλίᾳ καὶ ἑτέρα ἐν τῇ Ἰλλυρίδι, ὡς Ἑκαταῖος. Καππαδοκία χώρα τῇ Κιλικίᾳ πρόσχωρος, ὥς φησι Μένιππος, ἀπὸ Σινώπης εἰς Εὔαρχον ποταμόν, ὃς ὁρίζει Παφλαγονίαν καὶ Καππαδοκίαν. σεσημείωται τὸ ἀνθρακιά ὀξυνόμενον.

Τὰ διὰ τοῦ ο̅α̅ σπάνια καὶ κατὰ πάθος γενόμενα παρ' Ἀττικοῖς παροξύνεται, οἷα ὄα τὸ δέρμα· ἔστι καὶ δῆμος τῆς Ἀττικῆς τῆς Πανδιονίδος φυλῆς Ὄα. Διονύσιος δὲ ὁ Τρύφωνός φησι πληθυντικῶς Ὀεῖς λέγεσθαι ἀπὸ τοῦ Ὀεὺς ὡς ἄλλα πολλά. χροία χρόα. ποία πόα. Γενόα πόλις τῶν Λιγύρων τῆς Ἰταλίας, καλουμένη νῦν Ἰάνουα, ὡς Ἀρτεμίδωρος. Θεισόα πόλις Ἀρκαδίας. Λυκόα πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῃ (c. 36, 7). Μεσόα ἢ Μεσσόα τόπος Λακωνικῆς. Στράβων ὀγδόῃ (p. 364). ἔστι καὶ φυλὴ Λακωνική. Νόαι πόλις Σικελίας. Ἀπολλόδωρος δευτέρῳ χρονικῶν. τὰ δὲ ἐν ἐπενθέσει ὀξύνεται στοιά στοά, ῥοιά ῥοά.

— ἀλία addidi ex Theogn. 107, 11. De ἁματροχιά cf. Il. Prosod. Ψ 422: ἁματροχιάς: ὀξύνεται ὁμοίως τῷ φυταλιά. — ὁρμιά apposui ex Theogn. 105, 27. l. 3 τῷ ι inserui. Φρυγία ex St. B. explevi, nomina inde ab Αἰθικία usque ad Καππαδοκία ex St. B. petita sunt. E. M. 801, 19: τὰ ἀπὸ τῶν εἰς ξ̄ ἢ ρ̄ ληγόντων διὰ τοῦ ι̅α̅ παραγόμενα θηλυκὰ διὰ τοῦ ῑ γραφόμενα παροξύνεται πλὴν τοῦ ἀνθρακιά. l. 21 Ὄα δῆμος addidi ex Theogn. 106, 6 et St. B., in χροία accentum intactum reliqui cum Schmidtio, quamquam paullo post diserte χροιά acuendum esse praecipitur, propter E. M. 679, 35: λέγουσί τινες, ὅτι οὐ πάντως οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ῑ καὶ τὸν αὐτὸν τόνον φυλάσσουσιν· ἰδοὺ γὰρ τὸ χροιά ὀξυνόμενον παρ' αὐτοῖς κατὰ ἀποβολὴν τοῦ ῑ χρόα βαρύνεται· ἔστι δὲ εἰπεῖν, ὅτι οὐκ ἐγένετο ἀπὸ τοῦ χροιά ὀξυτόνου, ἀλλ' ἀπὸ τοῦ χροία βαρυτόνου· καὶ γὰρ τὸ χροιά χροία λέγεται βαρυτόνως ἢ ἀπὸ τοῦ χροῦς χροός γέγονε ἡ χρόα Ἀττικῶς καὶ ἐκεῖθεν ἡ χροιά ἐν ὀξείᾳ τάσει, in quibus Herodiani sententia inesse videtur. Apud Arcadium parum accurate de diverso accentu χροιά χροία χρόα actum est. ποία πόα recepi ex Theogn., Γενόα — Νόαι ex St. B. — Pro συνθέσει posui ἐπενθέσει. In his vocabulis magna et scripturae et accentus inconstantia est cf. Lob. El. II 345, Phrynich. p. 496. Herodiani haec sententia fuisse videtur: nomina in ο̅α̅ si ex vocabulis in ο̅ι̅α̅ ut οἷα ποία χροία ὄα πόα χρόα orta sunt, barytonesin flagitant; sin vero exitus ο̅α̅ primitivus et species in οια epenthesi propagata est, oxytona sunt velut στοιά στοά, ῥοιά ῥοά. Theognostus

Τὰ διὰ τοῦ οια μακρά, ὅcα ἀπὸ ψιλοῦ cυμφώνου ἄρχονται, βαρύνεται, ποία ἡ βοτάνη, Τροία ἀπὸ Τρωός κατὰ Βοιωτοὺς ἢ μᾶλλον ὡς Βοιωτιακόν. ἀπὸ γὰρ Τρώς Τρωός Τρώϊος καὶ Τρωΐα Τροία ὡς Ἀχελώϊος Ἀχελοῖος. εἰcὶ δὲ καὶ ἄλλαι Τροῖαι. ἐν Ἀττικῇ κώμη, ἥτις νῦν Ξυπετὴ δῆμος καλεῖται. ἔστι καὶ πόλις ἐν Κεστρίᾳ τῆς Χαονίας. ἔστι καὶ Αἰγύπτου πόλις. ἔστι καὶ Τροία πρὸς τῷ Ἀδρίᾳ τῆς Βενετίας, καὶ ἄλλη Λατίνων. κοία ἡ cφαῖρα, ἡ χρῆσις παρὰ Ἀντιμάχῳ «κοίας ἐκ χειρῶν σκόπελον μετὰ ῥιπτάζουσιν». ἔστι καὶ Κοία μία Ἀμαζόνων. οὕτω καὶ Οἶα ἡ κώμη. τὸ μέντοι χροιά, στοιά ὀξύνεται. τὸ δὲ Στοῖαι πόλις Λιβύης, ὡς Ἑκαταῖος περιηγήσει αὐτῆς, βαρύνεται.

* Τὰ εἰς οια ὑπερδισύλλαβα σπάνια ὄντα προπαροξύνεται, οἷον ἄγνοια, πρόνοια.

Τὰ εἰς α μακροκατάληκτα βαρύνεται παραλήγοντα τῷ υ, ὀξύα εἶδος ξύλου, καρύα· ἔστι καὶ χωρίον τῆς Λακωνικῆς Καρύα. Θεόπομπος νε΄. κωδύα ἡ τῆς μήκωνος κεφαλή. Δατύα πόλις. οἰσύα, ἰξύα, σιπύα, σικύα, μελανδρύα, ἀφύα. Μαρσύα πόλις Φοινί-

habet et χροιά χροά et στοιά στοά, quamquam Herodiani sententiam non accurate exprimit στοά ex στοιά ellipsi natum contendens. Nam si Arcadii locum cum Ep. Cr. I 367, 13 — τὸ στοά οὐχ ὑγιῶς ἔχει τὸ ι· ἢ γὰρ Δώριόν ἐστιν ἢ ἐλλείπει τὸ ι· καὶ δῆλον· τὸ γὰρ περίστοιον τὸ ι ἔχει — compares, haec eius de στοά et στοιά opinio fuisse videtur, ut arbitraretur, licet στοά ex στοιά per ellipsin ortum sit, tamen quum στοιά, si usum spectes, Doricum sit, illud στοά consuetum, στοιά ex στοά per pleonasmum natum putandum esse. Non ab omni parte Herodianeus est canon E. M. 704, 57, Ep. in Psalm. 93, 27 ῥοιά: τὰ εἰς α λήγοντα θηλυκά, εἰ μὲν τῷ ο παραλήγεται, παροξύνεται οἷον χρόα, ῥόα, πόα. εἰ δὲ τῇ οι διφθόγγῳ, ὀξύνεται οἷον χροιά, ῥοιά, ποιά. — Optime Herodiani praeceptum servavit E. M. 770, 8: τὰ διὰ τοῦ οια θηλυκὰ δισύλλαβα μακροκατάληκτα διὰ τῆς οι διφθόγγου γράφεται καὶ βαρύνεται καὶ ὀξύνεται, ποία, κοία, στοιά (sic pro ποιά scribendum est) ῥοιά χροιά. l. 2 Τροία explevi ex St. B. 638, 13, ubi Τροία ἀπὸ Τρωός κατὰ Βοιωτοὺς ἢ μᾶλλον ὡς Βοιωτιακόν, ὡς Ἡρωδιανός. Meinek. ad h. l. annotat: «Troiae nomen ad Τρώς revocatum proprie esse debebat Τρῴα. Boeotium autem est οι dicere pro ῳ, ut in γελοῖος αἰδοῖος aliisque. hinc est quod Τροία Βοιωτικὸν ὄνομα dicitur etiam ab E. M. 770, 14. Herodiano contra Τροία Ionicum fuisse videtur: ἢ μᾶλλον, ὡς κλοιός, Ἰακόν, ita enim fere corruptissima verba ὡς Βοιωτιακόν, quae V omittit, corrigenda videntur, quamquam pro κλοιός, quod Dorienses et Attici Κλῳός dicebant, fortasse aliud nomen Herodianus posuerat». Hactenus vir praestantissimus. Sed verba mihi sana videntur atque ὡς Βοιωτιακὸν ipse Herodianus pronunciasse videtur, ut dictionem κατὰ Βοιωτοὺς non omnino rectam corrigeret. Sic enim eum docuisse opinor: mutatio diphthongi ῳ in οι Boeotica est, sed mutatio dissolutorum ωϊ in οι non proprie Boeotica dici potest, sed quasi vel Pseudoboeotica. Atque haec sententia etiam ex E. M. verbis, quae in textu adieci, elucet; ἐκ τοῦ Τρωΐα Τροία ὡς Ἀχελώϊος Ἀχελοῖος cf. Ep. Cr. I 407, 32: Τρώϊος Τρωΐα Ἰωνικῶς Τρωΐη καὶ συστολῇ ποιητικῇ τοῦ ω εἰς ο διὰ τὸ μέτρον καὶ συναιρέσει Τροίη καὶ Τροία. Ad κοία versum Antimachi adieci ex E. M. (Cr. Ep. I 401, 1, An. Ox. II 329, 9), Κοία proprium ex St. B. 314, 4; Στοῖαι ex St. B., ubi hoc accentu scriptum est. l. 11 hunc canonem ipse apposui v. supra p. 271, 28. Aelius Dionysius ap. Eustath. 1579, 27 Atticos antiquos haec syllaba extrema producta in paenultima acuere dicit: οἱ γὰρ παλαιοὶ Ἀττικοὶ κατὰ Αἴλιον Διονύσιον ἐξέτεινον τὰς τῶν τοιούτων ὀνομάτων ληγούσας, διὸ καὶ παρώξυναν αὐτά. ἡ ἀγνοία γάρ, φησίν, ἔλεγον καὶ ἡ εὐκλεία καὶ ἡ ἱερεία καὶ ἡ διανοία καὶ ἡ ἀναιδεία φησὶ καὶ ἡ παρανοία Ἀριστοφάνης ἐν Δαιταλεῦσιν «ὦ Παρανοία καὶ Ἀναιδεία». l. 14 Καρύα proprium accessit ex Steph. B., οἰσύα — μελανδρύα ex Theogn. 106, 19, ἀφύα ex E. M. 770, 14, An. Ox. II 329, 13, Μαρσύα — Μαντύα ex St. B.

κης ὡς Ἀλέξανδρος καὶ Φίλων, ἀπὸ Μάρσου. Μινύα πόλις Θεσσαλίας ἡ πρότερον Ἁλμωνία ἀπὸ Μινύου κληθεῖσα. ἔστι καὶ ἑτέρα ἐν τοῖς ὁρίοις Λυκίας. Κρύα πόλις Λυκίας. Ἀρτεμίδωρος. Ἁλικύαι πόλις Σικελίας. Θεόπομπος. μεταξὺ κειμένη Ἐντέλλης καὶ Λιλυβαίου. Καφύαι πόλις Ἀρκαδίας ἀπὸ Κάπυος τοῦ πατρὸς Ἀγχίσου ἢ ἀπὸ Κηφέως. Καπύα πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κάπυος τοῦ Τρωϊκοῦ. Τραμπύα πόλις τῆς Ἠπείρου πλησίον Βουνείμων. Φλεγύα πόλις Βοιωτίας ἀπὸ Φλεγύου τοῦ Ἄρεως καὶ Χρυσῆς παιδός. Σιγγύα πόλις Παμφυλίας. Μαντύα πόλις Ῥωμαίων. γράφεται δὲ καὶ Μάντουα τῷ τῶν Ῥωμαίων ἔθει. ἰγνύα, ὀρύα. Ἀρίσταρχος (?) συστέλλει τὸ ᾱ καὶ ἐκτείνει τὸ ῡ καὶ προπαροξύνει, ἐναλλαγὴν τόνου καὶ χρόνου πεποιηκώς.

Τὰ εἰς ᾱ μακρὸν καθαρὸν τῷ ω̄ παραληγόμενα βαρύνεται, ὤα ἡ μηλωτή, Κριῶα δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ψοθῶα ἡ ψώρα. ὡσαύτως καὶ Μινῴα πόλις ἐν Ἀμοργῷ τῇ νήσῳ μιᾷ τῶν Κυκλάδων. δευτέρα πόλις Σικελίας. τρίτη ἐν Σίφνῳ μιᾷ τῶν Κυκλάδων. ἔχει δὲ καὶ Μινῴαν κρήνην. ἐκαλεῖτο καὶ ἡ Γάζα Μινῴα, ὅτι Μίνως σὺν τοῖς ἀδελφοῖς Αἰακῷ καὶ Ῥαδαμάντυι ἰὼν ἐξ αὐτοῦ ταύτην ἐκάλεσεν. ἔστι καὶ Ἀραβίας. ἔστι καὶ Κρήτης. ἔστι καὶ ἄλλη νῆσος οὐ πόρρω Μεγάρων καὶ ἡ Πάρος Μινῴα. ἠῴα, προθυρῴα, ὑπερῴα τριγενῆ. ταῦτα δὲ οὐ παρὰ πᾶσιν ἔχει τὸ ι.

* Τὰ εἰς ᾱ διφθόγγῳ παραληγόμενα τῇ διὰ τοῦ ῡ δισύλλαβα προπερισπᾶται, Ταῦα πόλις Αἰγύπτου, Εὖα πόλις Ἀρκαδίας. Θεόπομπος ἐν ἕκτῳ, τὰ δὲ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται. Ἔρευα ἡ καὶ Ἐλευθερά, ἀφ' ἧς Ἐρευάτης πόλις Λυκίας.

---

l. 8 Σιγγύα et Μαντύα ap. St. B. proparoxytonos scripta sunt et Μαντύα etiam ap. Eustath. 302, 7 neque tamen cum Goettlingio de accent. p. 139 credam in hoc vocabulo accentum Latinum retentum esse, quum idem de Καπύα dici possit, quod ap. St. B. paroxytonon est. — ἰγνύα usque ad finem recepi ex Theogn. coll. Bekk. An. Indic. ἴγνύα, in cuius adnotamenti fine additum est ὥς φησιν Ἡρωδιανός. cf. praeterea Schol. ad Il. Ν 212 ἰγνύην Ἰωνικῶς μετέβαλε τὸν τόνον, ἐπεὶ τὸ ἀκόλουθον ἴγνυά ἐστιν, ὡς Ἡρωδιανὸς ἐν τῷ ια' τῆς καθόλου, ex quibus verbis suspiceris pro Ἀρίσταρχος scriptum fuisse ὁ τῆς ἀκολουθίας λόγος vel simile quid. cf. etiam Schol. Φ 242, Lehrs Arist. p. 302 ed. II, Lob. Phrynich. p. 302 et El. II 29, ubi suspicatur pro ὀρύα ponendum esse ὀξύα, quia non verisimile sit Aristarchum de nomine ignobili ὀρύα disseruisse, atque significatam esse etiam diversam scripturam ita ut ἰγνύα ὀξύα, sed ἴγνυια ὄξυια pronunciandum censuerit Aristarchus, idem de scriptura ὄρυια sentit Meinek. phil. exercitt. in Athen. II p. 10. l. 14 Κριῶα explevi ex St. B., Μινῴα ex eodem addidi, ubi falso accentu Μίνῳα scriptum est (cf. Lob. El. I 446 not. 19 et Krüger ad Thucyd. IV 67, 1), feminina adiectivorum ἠῴα usque ad finem ex Theogn. 106, 25 sumpta sunt. De ι subscripto cf. Lob. El. I 452 cum nota, unde apparet annotationem de ι ineffabili non ad extrema tantum adiectiva, sed ad omnia vocabula pertinere. l. 22 hunc canonem composui ex nominibus a St. B. relatis.

ΠΕΡΙ ΤΩΝ ΕΙϹ η̄ ΘΗΛΥΚΩΝ ΚΑΙ ΤΩΝ ΕΙϹ ω̄.

ΒΙΒΛΙΟΝ ιβ΄.

Τὰ εἰϲ η̄ λήγοντα θηλυκὰ παρὰ γενικῆϲ cχηματιcθέντα βαρύνεται, χιτῶνοϲ Χιτώνη, ἡγεμόνοϲ ἡγεμόνη, cώφρονοϲ Cωφρόνη, εὔφρονοϲ εὐφρόνη, ἀμύμονοϲ Ἀμυμώνη ἡ θυγάτηρ Δαναοῦ, πέρατοϲ περάτη, κάλυκοϲ καλύκη, χιόνοϲ Χιόνη ὄνομα ἡρωΐδοϲ. τὸ δὲ ἁρπαγή ὀξύνεται, διότι ἀπὸ ἁρπάζω. τὸ δὲ ἁρπάγη cιδήριόν τι βαρυνόμενον ἀπὸ τοῦ ἅρπαγοϲ. καὶ τὰ παρώνυμα ὁμοίωϲ, ἀμφίρυτοϲ ἀμφιρύτη, δορύκτητοϲ δορυκτήτη, ἀμφίλυκοϲ ἀμφιλύκη, ἄcβεcτοϲ ἀcβέcτη «τῆϲ δ᾽ αἶψα κατ᾽ ἀcβέcτη κέχυται φλόξ» (Π 123), εὐποίητοϲ εὐποιήτη «εὐποιήτῃcι πύλῃcι» (Il. Ε 466), πάγκαλοϲ παγκάλη· Παγκάλη δ᾽ ἐκαλεῖτο καὶ Ἀμοργὸϲ νῆcοϲ. πάναιθοϲ παναίθη, περίξεcτοϲ περιξέcτη, ἀρίγνωτοϲ ἀριγνώτη.

Τὰ εἰϲ η̄ cύνθετα καὶ παραcύνθετα βαρύνεται, Ὠκυπέτη, Ὑψιπύλη, Ἐριφύλη, Βερονίκη, Πολυκάcτη.

Τὰ εἰϲ η̄ προcηγορικὰ ἢ βαρύνεται ἢ ὀξύνεται cύνθετα ὄντα. ὅcα οὖν ἔχει τι ἄλλο μέροϲ λόγου καὶ ἄρχεται χωρὶϲ προθέcεωϲ βαρύνεται, κυνάγχη, βουκάπη ἡ τῶν βοῶν φάτνη, ποντοκύκη γυνή ἡ ταρα-

---

l. 1 pro titulo cod. C περὶ τῶν εἰϲ η̄ θηλυκῶν καὶ τῶν ω̄ μετὰ τῶν καθεξῆϲ et cod. A περὶ τόνου τῶν εἰϲ η̄ θηλυκῶν (in B inscriptio deest) posui quae dedi indicem librorum Arcadio praefixum secutus. l. 5 Ἀμυμώνη explevi et nomina usque ad Χιόνη addidi ex E. M. 87, 35, quem locum hoc Arcadii praeceptum Herodiani esse demonstrat: Ἀμυμώνη ἡ θυγάτηρ Δαναοῦ ἀπὸ τῆϲ ἀμύμονοϲ γενικῆϲ. πολλὰ γὰρ τῶν θηλυκῶν ὀνομάτων εἰϲ η λήγοντα γίνεται ἀπὸ τῶν εἰϲ ο̄ϲ̄ γενικῶν τῶν ἑνικῶν οἷον πέρατοϲ περάτη, κάλυκοϲ καλύκη, ἅρπαγοϲ ἁρπάγη (βαρύνεται ἐπὶ τοῦ ἐργαλείου) cώφρονοϲ Cωφρόνη, χιόνοϲ Χιόνη, ὄνομα ἡρωΐδοϲ. οὕτω καὶ ἀμύμονοϲ Ἀμυμόνη καὶ κατ᾽ ἔκταcιν Ἀμυμώνη. — ἀcβέcτη addidi ex Il. Pr. Π 123: Ἀρίcταρχοϲ κατὰ βαρεῖαν τάcιν ἀcβέcτη παρώνυμον ἐκδεχόμενοϲ τοῦ «ἄcβεcτοϲ δ᾽ ἄρ᾽ ἐνῶρτο γέλωϲ» ὑγιῶϲ πάνυ. οὕτωϲ γὰρ ἔχει τὸ ἀνάλογον ἤτε ἔμφαcιϲ τοῦ δηλουμένου, καὶ πολὺϲ ὁ τοιοῦτοϲ cχηματιcμόϲ Ὁμηρικόϲ. — εὐποιήτη ex Il. Pr. Π 636: τὸ εὖ οὐ θέλουcι κατ᾽ ἰδίαν προφέρεcθαι, ἀλλ᾽ ἓν ποιεῖν εὐποιητάων, ἐπεὶ καὶ ἐν ἑτέροιϲ φηcὶ τὴν δοτικὴν «εὐποιήτῃcι πύλῃcι» (Il. Ε 466) παρωνύμωϲ. κἀγὼ δὲ cυγκατατίθεμαι. — παγκάλη παναίθη sumpta sunt ex Il. Pr. Ξ 372: ὡϲ παρὰ τὸ καλόϲ ἐγένετο πάγκαλοϲ, παγκάλη, οὕτω καὶ παρὰ τὸ αἴθόϲ πάναιθοϲ, ᾧ ἀκόλουθον τὸ παναίθη, proprium Παγκάλη ex St. B. περιξέcτη ἀριγνώτη ex Il. Pr. Ι 343: δορυκτήτην: δορυκτήτη ὡϲ ἀριγνώτη, ἵνα τοῦ δορύκτητοϲ παρώνυμον ᾖ. οὕτωϲ γὰρ φιλεῖ cχηματίζειν ὁ ποιητήϲ, ἀμφιρύτη, περιξέcτη. De περιξέcτη cf. Schol. ad Od. μ 79: περιξέcτῃ: κρεῖττον βαρυτόνωϲ γράφειν περιξέcτῃ ὁμοίωϲ τῷ ἀcβέcτῃ. τὸ γὰρ περιcπᾶν ἔχει καί τι ἀντιλογίαϲ. Huc pertinet etiam Schol. ad Ζ 266: ἀνίπτοιcι: οὕτωϲ Ἀρίcταρχοϲ, ὁ δὲ Ἡρωδιανὸϲ διὰ τοῦ η̄ ἀνίπτῃcι. Choer. Dict. 522, 12: τὸ παγκακίcτη Ἀττικόν ἐcτιν· οἱ γὰρ Ἀθηναῖοι ἐπὶ μὲν τῶν εἰϲ ο̄ϲ̄ ἁπλῶν εἰώθαcι τὸ θηλυκὸν ὁμόφωνον ποιεῖν τῷ ἀρcενικῷ, ὁ cοφόϲ καὶ ἡ cοφόϲ, ὁ κλυτόϲ καὶ ἡ κλυτόϲ «κλυτὸϲ Ἀμφιτρίτη», «κλυτὸϲ Ἱπποδάμεια», ἐπὶ δὲ τῶν εἰϲ ο̄ϲ̄ cυνθέτων εἰϲ η̄ εἰώθαcι ποιεῖν τὸ θηλυκὸν οἷον ὁ ἀθάνατοϲ ἡ ἀθανάτη, ὁ ἀρίζηλοϲ ἡ ἀριζήλη. cf. Lehrs ad Il. Pr. Ξ 372. l. 18 ποντοκύκη γυνή scripsi pro παντογύνη, quod habet cod. A, et παντογκύνη BC, nam ex commixtis κύκη et γυνή, quod Herodianus ex Cratini loco apposuerat cf. Bergk. rell. com. Att. p. 255, Arcadii scriptura orta est, caeterum παντογύνη per se falsum est, quum hic sermo sit de nominibus, quo-

χώδης γυνή, ὀξάλμη, τολύπη ἡ ἐργασία, ἱστοδόκη, καπνοδόκη, λατύπη, οἰνοχόη. τὸ δὲ ἀστεροπή ὀξύνεται ὡς σύνθετον παρὰ τὸ ὄπα καὶ ἀστήρ. καὶ τὸ ὑδρορρόη οἱ παλαιοὶ ἐβάρυναν, οἱ δὲ μεταγενέστεροι ὀξύνουσιν οὐχ ὑγιῶς.

Τὰ εἰς η̄ θηλυκὰ προσηγορικὰ ἀπὸ προθέσεως συντεθειμένα τότε μὲν ὀξύνεται, ὅτε τὰ ἑαυτῶν ἁπλᾶ, καὶ τότε βαρύνεται, ὅταν τὰ ἑαυτῶν βαρύνηται, ἀνατολή, μεταβολή, ἀναβολή, ἐπιτολή, ἐπιτομή, ἀνοχή, παραψυχή τὸ προσηγορικόν, Παραψύχη δὲ τὸ κύριον. τὸ δὲ ἀναρρόη παροξύνεται, καίτοι ἀπὸ τοῦ ῥοή, καὶ τὸ ἀναδέσμη ἀπὸ τοῦ ἀνάδεσμος. τὰ δὲ βαρύτονα ταῦτα· συνθήκη, παρακαταθήκη, συγγνώμη, συνάγχη.

Τὰ εἰς η̄ συναληλιμμένα περισπᾶται, λεοντέα λεοντῆ, συκέα συκῆ, γαλέα γαλῆ, ἀμυγδαλέα ἀμυγδαλῆ, βοέα βοῆ, κυνέα κυνῆ, τραγέα τραγῆ.

Τὰ εἰς η̄ καθαρὸν μονογενῆ οὐ πολλὰ βαρύνεται, Δαύη πόλις Ἀραβίας. Δανάη. Ἀγαυή ὀξύνεται ἐπιθετικὸν ὄν, ὡσαύτως καὶ Κραναή νῆσος Λακωνική. Ὅμηρος «νήσῳ δ' ἐν Κραναῇ ἐμίγην» (Il. Γ 445). οὕτως δὲ ἐκαλεῖτο καὶ ἡ Ἀττικὴ ἀπὸ Κραναοῦ. ἐξειλήφασι γάρ τινες τὸ Ὁμηρικὸν τὸ Κραναῇ ἀντὶ τοῦ Ἀτθίδι. καὶ τὰ διὰ τοῦ ευη̄ παροξύνεται, χλεύη, Βεύη πόλις Μακεδονίας, Εὔη. τὸ δὲ σκευή ὀξύνεται, καὶ τὰ ἀπ' αὐτῆς κατασκευή, ἐπισκευή, ὑποσκευή.

Τὰ εἰς η̄ καθαρὸν δισύλλαβα τῷ ο̄ παραληγόμενα ὀξύνεται καὶ βαρύνεται. καὶ βαρύνεται τὰ ἀπὸ δύο συμφώνων προηγουμένου τοῦ δασέος, φθόη ἡ φθορά, χλόη, χνόη αἱ χοινικίδες τῶν ἁρμάτων, μεθ' ὧν καὶ Ὄη δῆμος τῆς Οἰνηΐδης φυλῆς. τὰ δὲ μὴ οὕτως ἔχοντα ὀξύνεται, χοή ἡ σπονδή, βοή, θοή τὸ ἐπίθετον, Θόη δὲ τὸ κύριον, πνοή. ἔτι καὶ τὰ ὑπερδισύλλαβα, Οἰνόη μία τῶν ἐν Ἰκάρῳ δύο πό-

---

rum pars posterior a verbo derivata est. Nomina inde ab ἱστοδόκη — οἰνοχόη ex consimili loco Il. Pr. Ξ 372 addita sunt: φιλεῖ τὰ εἰς η̄ λήγοντα θηλυκὰ δισύλλαβα ὀξυνόμενα συντιθέμενα καὶ μὴ γινόμενα κύρια τότε μὲν φυλάσσειν τὸν τόνον, ὅτε μετὰ προθέσεως συντίθεται, τότε δὲ ἀναβιβάζειν, ὅτε οὐ μετὰ προθέσεως, ἐπιτομή, ἀνοχή. ἱστοδόκη δὲ καὶ καπνοδόκη, λατύπη, οἰνοχόη. cf. Lob. Parall. p. 379 cum not. 95. Diversam sententiam de ἀστεροπή, quod cum λαλητός ἀλαλητός propter ᾱ pleonasticum comparat, proponit Herod. in Il. Pr. Θ 178, sed cum nostro concinit E. Orion. 17, 23: ἀστεροπή: ὄπτω ὀπτή ἀστεροπτή, κατ' ἀποβολὴν τοῦ τ̄ ἀστεροπή, οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν. l. 7 ἐπιτομή ἀνοχή recepi ex Il. Pr. Ξ 372. l. 13 βοῇ usque ad τραγῇ addita sunt ex Theogn. 108, 10. l. 15 Δαύη adieci ex St. B., ubi diserte additur βαρυτόνως. De Ἀγαυή cf. Lehrs Arist. 282 ed. II. Κραναή addidi ex St. B. s. v., ubi acuitur, neque fidem meretur Schol. D ad Il. Γ 445 παροξυτόνως, ἵνα ὄνομα κύριον γένηται. l. 20 Βεύη explevi ex St. B., Εὔη i. q. Εὖα. ὑποσκευή pro οἰκοσκευή Byzantinae graecitatis Lob. Parall. 379 not. 95. — Fortasse hic commemoratum fuit Βοίη i. q. Βοίβη, ut concludi potest ex St. B. Βοιόν ἣν Ὅμηρος ἔοικε Βοίβην λέγειν. ἔστι δὲ Δωρικὴ πόλις οὐδετέρως λεγομένη καὶ θηλυκῶς. ἔστι Βοιαί καὶ Κρήτης πόλις in quibus quod de Βοιόν traditur, falsum esse, sed Βοιαί eandem atque Βοίβη urbem Creticam esse veri non absimile dicit Meinek. — Hinc singulare Βοίη barytonon, sed plurale Βοιαί oxytonon esse coniicias. l. 25 Ὄη addidi ex St. B. et Theogn. 108, 11, ubi Ὀή scriptum est. - Οἰνόη explevi ex

λεων. οὕτως δὲ καὶ Cίκινος νῆσος περὶ τὴν Κρήτην πρότερον ἐκαλεῖτο. Χωλόη τὸ ὄρος τῆς Ἰταλίας, ἐν ᾧ φασι γεννηθῆναι τὸν Ἥφαιστον χωλόν. Ἀρόη πόλις Ἀχαΐας. Παυσανίας ἑβδόμῳ (c. 18, 2). ἐκλήθη δὲ ἀπὸ τῆς ἐργασίας τῆς γῆς. λέγεται καὶ Πάτραι. Βερόη πόλις Cυρίας ἣν οἱ ἐγχώριοι Βερόειαν. Βουθόη πόλις Ἰλλυρίδος ὥς Φίλων διὰ τὸ Κάδμον ἐπὶ ζεύγους βοῶν ὀχούμενον ταχέως ἀνύσαι τὴν ἐς Ἰλλυριοὺς ὁδόν. οἱ δὲ τὸν Κάδμον ἀπὸ τῆς Αἰγυπτίας Βουτοῦς ὀνομάσαι αὐτὴν καὶ παραφθαρεῖσαν καλεῖσθαι Βουθόην. Οὐδονόη λέγεται ὑπὸ τῶν Λιβύων Ἱστός νῆσος Λιβύης. Μερόη πόλις Αἰθιόπων. Ἡρόδοτος δευτέρᾳ (c. 29). ἀπὸ Μερόης. ἔστι καὶ Μερόη κατὰ ἀνατολὰς τῆς περὶ Δάφνην Ἀντιοχείας· ἔστι καὶ Μερόη πόλις Λυκίας. Ἀρσινόη πόλις Λιβύης ἀπὸ τῆς τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου ἀδελφῆς καὶ γυναικός. δευτέρα πόλις Παραιτονίου Λιβύης ἡ πρότερον Ταύχειρα. τρίτη πόλις Cυρίας ἐν Αὐλῶνι. τετάρτη τῆς κοίλης Cυρίας. πέμπτη Κιλικίας. ἕκτη τῆς Αἰγύπτου πόλις ἐπὶ τοῦ Δέλτα. ἑβδόμη Κύπρου ἡ πρότερον Μάριον λεγομένη. ὀγδόη Αἰτωλίας. ἐνάτη Λύκτου. δεκάτη τῆς Τρωγλοδυτικῆς ἡ πρότερον Ὀλβία καλουμένη. ἔστι καὶ ἄλλη Λυκίας. Νινόη ἡ ἐν Καρίᾳ Ἀφροδισιὰς κτισθεῖσα ὑπὸ τῶν Πελασγῶν Λελέγων. καὶ ἐκλήθη Λελέγων πόλις. εἶτα ἐκλήθη Μεγάλη πόλις. εἶτα ἀπὸ Νίνου Νινόη. Ὀγχόη πόλις Φωκίδος. Ῥοδόη πόλις Ἰνδική. Cεθρόη πόλις Αἰγύπτου. Φολόη πόλις Ἀρκαδίας ἀπὸ Φόλου τοῦ Κενταύρου. Κολόη. Καλλιρρόη Νέστου θυγάτηρ· ἔστι καὶ Μαιάνδρου θυγάτηρ. λέγεται δὲ καὶ οὕτως λίμνη Cυρίας. τὸ δὲ ἀκοή ἐκ τοῦ ἀκούω.

Τὰ εἰς $\bar{η}$ δισύλλαβα παραληγόμενα τῷ $\bar{υ}$, σπάνια ὄντα, τὰ μὲν βαρύνεται, λύη ἡ στάσις ἀπὸ τῆς διαλύσεως, δύη ἡ κακοπάθεια, γύη ἡ γῆ καὶ μέρος ἀρότρου, ψύη ἡ ψύα καὶ ψόαι. τὰ δὲ ὀξύνεται, φυή καὶ Φλυή δῆμος Ἀττικὸς τῆς Κεκροπίδος φυλῆς. λέγεται καὶ Φλυεῖς.

Τὰ εἰς $\bar{υη}$ ὑπερδισύλλαβα βαρύνεται, ἰγνύη «ἰγνύην βεβλημένος» (Ν 212), ὀρύη, νορύη εἶδος ὀσπρίου, Λιβύη χώρα πολυώνυμος, ὡς

St. B., Χωλόη ex Theogn. 108, 16. Ἀρόη — Φολόη adieci ex St. B., Κολόη ex Theogn. (cf. Strab. 13 p. 626), Καλλιρρόη ex St. B. — In Ep. Cr. I 94, 23, E. M. 202, 34, Choer. Epim. in Psalm. 113, 1 canon sic conceptus est: τὰ εἰς $\bar{η}$ καθαρὰ τῷ $\bar{ο}$ παραληγόμενα, ὧν προκατάρχῃ ῥῆμα τῷ $\bar{ε}$ παραληγόμενον πάντα ὀξύνεται, ζέω ζοή, πνέω πνοή, χέω χοή· τὰ δὲ μὴ οὕτως ἔχοντα βαρύνετα, φθόη, χνόη, χλόη. In Schol. ad Sophocl. Electr. v. 711: τὰ εἰς $\bar{η}$ καθαρὸν δισύλλαβα τῷ $\bar{ο}$ παραληγόμενα ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται, χνόη, φθόη, χλόη· τὸ δὲ πνοή οὐκ ἔχει δασύ. De scriptura vocabuli ἀκοή E. M. 50, 10 ἀκοή, οὐχὶ ἀκουή (quod ap. Homerum legitur, sed pleonasmo explicandum est)· τὰ γὰρ εἰς $\bar{ω}$ καθαρὰ λήγοντα βαρύτονα ῥήματα τὴν παραλήγουσαν ἐν τοῖς ῥηματικοῖς ὀνόμασι βραχεῖαν ἔχει, κονίω κονία, φύω φυή, ἀκούω ἀκοή. l. 25 ad λύη ἡ στάσις addidi ἀπὸ τῆς διαλύσεως ex Il. Pros. Θ 240, ubi hoc vocabulum contrarium esse τῷ δῆμος a δέω nato esse dicitur. — τῆς Κεκροπίδος — Φλυεῖς ex St. B. Eundem canonem habent Ep. Cr. I 427 et E. Gud. 558, 47. Ad φυή fortasse annotatum fuit: τὸ δὲ Φύη κύριον βαρύνεται cf. Herodot. I 60.
l. 28 ἰγνύη pro θιγύη emend. Thesaur. ex Schol. ad N 212, quem locum supra, ubi de nominibus in $\bar{υα}$ agitur, p. 303, 10 proposui; ex eodem loco verba Homerica apposui. νορύη monente Goettlingio post ὀρύη interposui. Λιβύη explevi ex

πολυίστωρ «γῆ Ὀλυμπία, Ὠκεανία, Ἐσχατιά, Κορυφή, Ἑσπερία, Ὀρτυγία, Ἀμμωνίς, Αἰθιοπία, Κυρήνη, Ὀφιοῦσσα, Λιβύη, Κηφηνία, Ἀερία». Βιζύη πόλις Θρᾴκης τὸ τῶν Ἀστῶν βασίλειον, Μιλύη ἡ γυνὴ Σολύμου, ἀφ' ἧς Μιλύαι. Μοτύη πόλις Σικελίας ἀπὸ Μοτύης γυναικὸς μηνυσάσης Ἡρακλεῖ τοὺς ἐλάσαντας τοὺς αὐτοῦ βοῦς. Ἑκαταῖος Εὐρώπῃ. Φίλιστος δὲ φρούριον αὐτήν φησι Σικελίας παραθαλάσσιον. Πισύη πόλις Καρίας. λέγεται καὶ Πιτύη. Μαντύη πόλις Ῥωμαίων, ἣ καὶ Μαντύα.

Τὰ διὰ τοῦ ω̅η̅ ὀξύνεται, ζωή, θωή ἡ ζημία, τοῦτο δὲ καὶ σὺν τῷ ι̅, ἐξ οὗ καὶ τὸ ἀθῷος, δμῳή, ἐρωή, ἰωή, ἀλῳή· τοῦτο δὲ ἀπὸ τοῦ ἀλοιῶ ῥήματος γεγονὸς σὺν τῷ ι̅ γράφεται. τὸ δὲ Στρώη πόλις Λιβύης, ὡς Ἑκαταῖος Ἀσίας περιηγήσει. καὶ Οἰνώη πόλις τῆς Ἀργείας, ὅθεν Οἰνωᾶτις Ἄρτεμις, βαρύνεται ὡς κύρια.

Τὰ εἰς β̅η̅ ἔχοντα πρὸ τοῦ β̅ σύμφωνον κατ' ἐπιπλοκὴν ἢ κατὰ διάστασιν βαρύνεται, εἰ μὴ ῥηματικὰ εἴη προσηγορικὰ καὶ παραλήγοι τῷ ο̅, τύρβη, Κόμβη ἡ Χαλκίς καλουμένη, θυγάτηρ Ἀσωποῦ, ἀφ' ἧς Χαλκίς πόλις Εὐβοίας, κύμβη νηὸς εἶδος. Θίσβη πόλις Βοιωτίας. Ὅμηρος «πολυτρήρωνά τε Θίσβην» (Β 502) ἀπὸ Θίσβης τοῦ Ἀσωποῦ. λέγεται καὶ πληθυντικῶς. καὶ ὁ λιμὴν δὲ τῶν Θισβαίων, ὥς φησιν Ἐπαφρόδιτος, καὶ τὸ ἐπίνειον περιστερῶν πλῆρες. κράμβη, Ἄλβη πόλις Ἰταλίας, ἣ καὶ Ἄλβα λέγεται. ἔστι καὶ Ἄλβη πόλις Κρήτης. Βόλβη πόλις καὶ λίμνη. ἔστι καὶ Βόλβαι πόλις Καρίας. Δέρβη φρούριον Ἰσαυρίας καὶ λιμήν. Κύρβη πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. Στράμβαι πόλις Θρᾴκης. Ὕσβη πόλις Λυδίας. τὸ δὲ φορβή ἐστι ῥηματικὸν προσηγορικὸν καὶ ἔχει τὸ ο̅. τὰ γὰρ εἰς η̅ λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο̅ παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε̅ παραληγομένων μόνῳ, οἷον τρέπω τροπή, τρέφω τροφή,

---

St. B., reliqua ex St. B. accesserunt. Hic ex Meinekii coniectura etiam Κοσσύη πόλις Ὀμβρική, Κτησίας τρίτῃ περιηγήσεως adiici potuit. l. 9 ἡ ζημία — ἀθῷος apposui ex Theogn. 108, 12, δμῳή ex Schol. ad Od. η 225 δμῶας: διχῶς δμῳάς καὶ δμῶας; ἰωή ἀλῳή ex Theogn.; Στρώη ex St. B., ubi barytonos scriptum est, Οἰνώη ex St. B. 486, 3 coll. 291, 1 recepi, utrumque autem propterea, quod propria essent, excepta fuisse suspicatus id in canone significavi. Οἰνώη vero Herodianus aut ex Οἰνόη (sic ap. St. B. 291, 1 vocatur) per ectasin ortum aut ex Οἴνη, ut 486, 3 ab Hecataeo appellatur, per parenthesin vocalis ω̅ propagatum iudicaverit. Quod autem p. 291, 1 traditur Orum urbem Οἴνη dixisse Οἰνώη, non excludit etiam Herodianum huius nominis mentionem iniecisse, imo ex Hesych. Οἰνωᾶτις Ἄρτεμις coniectari potest Herodianum hanc per ω̅ scripturam diserte commemorasse. Canon transiit in Ep. Cr. I 208, 27: τὰ τῷ ω̅ παραληγόμενα ὀξύνεται, ἐρωή, ἰωή. l. 16 pro Κόμβη κύριον Arcadii, qui Herodiani explicationem in brevius contrahere solet, posui quae sunt ap. St. B. s. Χαλκίς. — Θίσβη, quod pro Θήσβη librorum scriptura emendavit Unger Parad. Theb. p. 60 et Schmidtius recepit, explevi ex St. B., Ἄλβη, ut recte Schmidt. pro Ἄλμη scripsit, ex eodem. Βόλβη — Ὕσβη accesserunt ex St. B. Post φορβή interposui verba ἔστι ῥηματικὸν προσηγορικὸν καί, quia Herodianus e. g. Βόλβη proprium attulerat. — Pro Arcadii verbis τὰ γὰρ ῥηματικὰ ὀξύνεται, τρέπω τροπή, τρέφω τροφή, νέμω νομή posui accuratius adnotamentum in Il. Pr. Ε 202 ob ipsius φορβή accentum prolatum receptis exemplis, quae Arcadius praebet; ex his in Il. Pr. τροφή abest.

νέμω νομή, στρέφω στροφή, ῥοπή, σπονδή, ὁλκή, πλοκή. οὕτως καὶ φορβή. προσέθηκα τῷ ε̄ παραληγόμενα μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη. τοῦτο γὰρ ἀπὸ τοῦ πείρω.

Τὰ εἰς β̄η̄ ὑπερδισύλλαβα μὴ παραληγόμενα τῇ ο̄ῑ διφθόγγῳ βαρύνεται, Ἀλύβη «τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη» (B 857). Ἑλλάνικος δέ φησιν λίμνην εἶναι Ποντικήν. καλύβη. ἔστι καὶ Καλύβη πόλις Θρᾴκης, ἄποικος Μακεδόνων, Νιόβη, ἀστράβη εἶδος ἁμάξης. οὕτως δὲ ἐκαλεῖτο Κάσος μία τῶν Κυκλάδων. Ἑκάβη. Ἀρίσβη· πόλις τῆς Τρῳάδος Μυτιληναίων ἄποικος, ἧς οἰκισταὶ Σκαμάνδριος καὶ Ἀσκάνιος υἱὸς Αἰνείου. Κεφάλων δέ φησιν, ὅτι Δάρδανος ἀπὸ Σαμοθρᾴκης ἐλθὼν εἰς τὴν Τρῳάδα τὴν Τεύκρου τοῦ Κρητὸς θυγατέρα γαμεῖ Ἀρίσβην. Ἑλλάνικος δὲ Βάτειαν αὐτήν φησιν. ἔστι ἑτέρα ἐν Λέσβῳ ἀπὸ Ἀρίσβης τῆς Μάκαρος θυγατρός. Ἔφορος δὲ Μέροπος αὐτὴν γενεαλογεῖ καὶ πρώτην Ἀλεξάνδρῳ τῷ Πριάμου γαμηθῆναι. Ἡρόδοτος δὲ καὶ ἰάζων Ἀρίσβαν καλεῖ ἐν πρώτῃ (c. 151). Ἀστελέβη πόλις Λυδίας. Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν. Κακκάβη. οὕτως ἐκαλεῖτο Καρχηδών. τούτῳ δὲ κατὰ τὴν οἰκείαν αὐτῶν λέξιν ἵππου κεφαλὴ δηλοῦται. Ὑποθῆβαι· τινὲς οὕτως φασὶ τὰς Ποντίας τῆς Βοιωτίας κεκλῆσθαι. οἱ δὲ πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὠνομασμένον, ὡς τὴν Ὑποχαλκίδα καλοῦσι διὰ τὸ ὑπὸ τὸ ὄρος τὴν Χαλκίδα κεῖσθαι. πολλοὶ δὲ μετὰ προθέσεως τόποι, Ἐπικνημίδιοι, Ὑπερβόρεοι, Παραποτάμιοι, Προποντίς, Παρωκεανῖται. κολόβη. Ἀττικοὶ δὲ ὀξύνουσιν. τὸ δὲ ἀμοιβὴ ὀξύνεται ὡς ἔχον τὴν ο̄ῑ δίφθογγον.

Τὰ εἰς β̄η̄ ἰαμβικὰ κύρια ἢ παρώνυμα βαρύνεται, Ἄβη πόλις Φωκική, ἣ καὶ Ἄβα καὶ πληθυντικῶς Ἄβαι ὡς Ἀμύκλα Ἀμύκλαι. Λυκόφρων (v. 1074) «ποθοῦντες Ἄμφισσάν τε καὶ κλεινὰς Ἄβας». κέκληται δὲ ἀπὸ ἥρωος Ἄβα. Τάβαι πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας «ἄστυ Ταβῶν ἐρικυδὲς ἐλεύθερον οἰκίζεσθαι». καὶ Ἀπολλώνιος ἐνάτῳ «ἐδεήθησαν ὅπως αὐτοὺς εἰς Τάβας καταγάγωσι». ἐκλήθη δὲ ἀπὸ Τάβου ἥρωος. οἱ δέ φασι τὸν Κιβύραν καὶ Μαρσύαν ἀδελφοὺς τὸν μὲν κτίσαι Κιβύραν πόλιν, τὸν δὲ Τάβας, καὶ καλέσαι ἀπὸ τοῦ ἐπὶ πέτρας οἰκεῖσθαι· τάβαν γὰρ τὴν πέτραν Ἕλληνες ἑρμηνεύουσιν. ἔνιοι ἀπὸ Ταβηνοῦ Ἀργείου. ἔστι καὶ ἄλλη πόλις Καρίας Τάβαι. καὶ τρίτη τῆς Περαίας, ἣν Ἀλέξανδρος ἐν τῷ περὶ Συρίας ἑρμηνεύει ἀγαθήν. Σάβαι πόλις μεγάλη πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης. Λάβαι· πόλις Χαττηνίας. Πολύβιος τρισκαιδεκάτῳ. βλάβη. ὀξύνεται δὲ ταῦτα, λαβή, τριβή ῥηματικὰ ὄντα.

l. 5 Ἀλύβη explevi ex St. B., Καλύβη urbs ex eodem addita est ut Ἀστράβη insula. Ex eodem accesserunt Ἀρίσβη (ap. Herodot. Ἄρισβαν scribendum esse censet Meinek.), Ἀστελέβη, Κακκάβη, Ὑποθῆβαι. — κολόβη addidi ex Choer. Orth. 227, 11. Ex hoc canone etiam accentus nominis Μοναβαί πόλις Ἰσαυρίας ap. St. B. corrigendus est. l. 24 pro κύριον addidi ad Ἄβη ex St. B. Ἄβαι — ἀπὸ εὐθείας ἑνικῆς τῆς Ἄβη verba πόλις Φωκική; ex eodem adieci Τάβαι, de quo: βαρύνεται ὡς Σάβαι κύριον καὶ ἰαμβικόν, unde apparet ap. St. B. s. v. pro Σαβαί scribendum esse Σάβαι, quod recepi aeque atque Λάβαι ex St. B.

Τὰ εἰς οιβη κύρια μὲν ὄντα βαρύνεται, Φοίβη, Βοίβη πόλις Θεσσαλίας. Ὅμηρος «Βοίβην καὶ Γλαφυρὰς καὶ ἐϋκτιμένην Ἰαωλκόν» (Β 712) ἀπὸ Βοίβου τοῦ Γλαφύρου τοῦ τὰς Γλαφυρὰς κτίσαντος. ἔστι καὶ ἐν Κρήτῃ Βοίβη τῆς Γορτυνίδος. προσηγορικὰ δὲ ὀξύνεται, λοιβή, στοιβή, ἀμοιβή.

Τὰ εἰς βη δισύλλαβα φύσει μακρᾷ παραληγόμενα μὴ προσηγορικὰ τῇ οῖ παραληγόμενα βαρύνεται, ἥβη, Θήβη πόλις Βοιωτίας διάσημος ἀπὸ Θήβης τῆς Προμηθέως. ἔστι καὶ ἄλλη Αἰγυπτία, περὶ ἧς Καλλίμαχός φησιν ὅτι «κατὰ τὰς Αἰγυπτίας Θήβας ἐστὶ σπήλαιον ὃ ταῖς μὲν ἄλλαις ἡμέραις πληροῦται ἀνέμου, κατὰ δὲ τὰς τριακάδας οὐ πνεῖ παντελῶς». τρίτη Θεσσαλίας τῆς Φθιώτιδος. τετάρτη ἐν Κιλικίᾳ, Ὑποπλακία, πλησίον τῆς Τροίας. πέμπτη Ἰωνίας κατὰ Μίλητον. ἕκτη ἐν τῇ Ἀττικῇ. ἑβδόμη τῆς Καταονίας. ὀγδόη Ἰταλίας. ἐνάτη Συρίας. Βαῖβαι πολίχνιον τῆς Καρίας. στίβη ἡ ψύχρα. «μή μ' ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση» (Od. ε 467). λώβη ἐκ τοῦ λαβή, ὃ σημαίνει τὸ ξίφος, λάβη γίνεται καὶ τροπῇ τοῦ ᾱ εἰς ω̄ λώβη ὡς φᾶρος φωριαμός.

Τὰ εἰς γη δισύλλαβα ἔχοντα τὴν πρώτην εἰς σύμφωνον λήγουσαν, προσηγορικὰ ὄντα, ὀξύνεται, φθογγή, κλαγγή, ὀργή, στοργή. τὰ δὲ κύρια βαρύνεται, Βέργη πόλις Θρᾴκης πρὸς τῇ Χερρονήσῳ. Στράβων δὲ (2 p. 102. 104) κώμην αὐτὴν λέγει. Σέλγη πόλις Πισιδίας ἄποικος Λακεδαιμονίων. Πέργη πόλις Παμφυλίας. Βάργη ἡ μήτηρ Βαργάσου, ἀφ' οὗ Βάργασα πόλις Καρίας. Γάργη πόλις Λιβύης ὡς πολυίστωρ ἐν τρίτῃ Λιβυκῶν. Βέλγη, ἀφ' οὗ Βελγίκη ἡ χώρα ὡς Ἀκτὴ Ἀττική. Θίγγη πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει. Γάγαι πόλις Λυκίας, ἣν καὶ Παλαιὸν τεῖχος καὶ χώραν φησὶν Ἀλέξανδρος ἐν πρώτῃ Λυκιακῶν.

Τὰ εἰς γη ἰαμβικὰ ῥηματικὰ ὄντα ὀξύνεται, ταγή ἀπὸ τοῦ τάσσω, φυγή, σφαγή. παρώνυμα δὲ βαρύνεται, πάγη, τρύγη, στέγη. τὸ μέντοι σαγή τὸ πλῆθος ὡς σφαγή ὀξύνεται, τινὲς δὲ βαρύνουσι. καὶ τὸ

l. 1 Βοίβη explevi ex St. B. l. 6 pro καὶ μὴ τῇ οῖ scripsi cum Schmidt., quae exhibui. Θήβη explevi ex St. B., Βαῖβαι ex eodem addidi; ἡ ψύχρα posui pro ἡ ψυχρά cum Lob. Parall. 350 not. 50, qui non ψυχρία substituere vult, sed ἡ ψύχρα i. e. ἡ ψυχρία. λώβη explevi ex Ep. Cr. I 257, 13, E. M. 570, 43, ubi: ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι κτλ. — tum sequuntur: τὰ εἰς βη λήγοντα δισύλλαβα βαρύτονα μακρᾷ θέλουσι παραλήγεσθαι οἷον ἥβη, Θήβη, στίβη. Hinc etiam verba Homerica ad στίβη adieci. l. 19 Βέργη, Σέλγη, Πέργη ex St. B. explevi, reliqua ex eodem apposui. Canon in Choer. Epim. in Psalm. 81, 12 sic statuitur: τὰ εἰς γη δισύλλαβα προσηγορικὰ ὄντα καὶ ῥηματικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλῆγον ὀξύνεται οἷον φθογγή, κλαγγή ὀργή καὶ εἴ τι ὅμοιον. l. 28 Lobeck. Rhem. 265 pronunciat: πάγη certissime non e πάγος, cuius longe alia potestas, sed a πήγνυμι derivatum est ut synonymum πηκτός, et fortasse non sic scripsit Arcadius sed ἄγη, et p. 266 dicit nullam causam esse, cur στέγη potius ad στέγος quam ad στέγω referatur, atque omnino verbalium quoque multa gravari, si ab actione referantur ad substantiam ut πάγη, κρόκη, φόβη, ἀμόργη, στέγη, σκέπη etc. Sed licet haec verissima sint, tamen sumendum est Herodianum sic ut ap. Arcadium factum est, barytonesin et vocis πάγη, quam a πάγος, quod ipsum a πήγνυμι derivatum est, mutata significatione repetit, et vocabuli στέγη explicavisse. De σαγή Schol. ad Eurip. Rhes. 207: σώματος σαγή ὡς

ἄγη ἡ ἔκπληξις «ἄγη μ' ἔχει ὄρχαμε λαῶν» (Φ 221) ἀπὸ φωνήεντος ἀρχόμενον βαρύνεται.

Τὰ εἰς γη δισύλλαβα ἀσυνάλειπτα φύσει μακρᾷ παραληγόμενα, εἰ μὴ διαστολή τις εἴη ἢ ἀπὸ τοῦ γ ἄρχοιτο, ὀξύνεται, πληγή, σιγή, Σίγη δὲ πόλις Τρῳάδος, ὡς Ἑκαταῖος Ἀσίᾳ, κραυγή, Κραύγη δὲ τὸ κύριον. ἀγή ἡ ἀπόκλασις τοῦ κύματος, αὐγή, Αὔγη δὲ ἡ γυνὴ τοῦ Τεύθραντος, ῥωγή, Ῥώγη δὲ νῆσος ἐν τῇ Λυκίᾳ, πηγή καὶ Πηγαί παροικία Μεγαρέων. ἔστι δὲ καὶ πόλις ἐν Κερυνείᾳ τῆς Κύπρου. πυγή. τὸ δὲ Γύγη ἡ πόλις ἀπὸ τοῦ γ ἄρχεται. τὸ δὲ αἰγῆ ἀπὸ τοῦ αἰγέα συναλειφθὲν περισπᾶται.

Τὰ εἰς γη ὑπερδισύλλαβα προσηγορικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν ὀξύνεται, μαρμαρυγή, κορκορυγή ὁ θόρυβος, ὀλολυγή, βορβορυγή, ὠρυγή ἡ κραυγή, οἰμωγή, ἀρωγή, ἀνωγή, ὑπιωγή, ἁρμογή, πλαταγή, λαλαγή. Λαλάγη δὲ κύριον, ὥσπερ τὸ ἠλύγη ἡ σκιά καὶ πανάγη ἡ ἁγνὴ ἱέρεια. καὶ Φαρύγαι πόλις Λοκρίδος, ἣν Ὅμηρος Τάρφην καλεῖ (Il. B 533). τὸ δὲ πατάγη βαρύνεται, οὐ γὰρ ἐκ τοῦ πατάσσω γίνεται, ὠξύνετο γὰρ ἂν ὡς τὸ ἀλαλαγή, ἀλλ' ἀπὸ τοῦ πάταγος, οὗ τὸ θηλυκὸν πατάγη.

Τὰ εἰς γη ὑπερδισύλλαβα, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, βαρύνεται, ὀλίγγη ἡ ἀνάπαυσις, Ἐλιβύργη πόλις Ταρτησσοῦ. Ἑκαταῖος Εὐρώπῃ. ἀμόργη ἡ τοῦ ἐλαίου τρύξ. σεσημείωται τὸ ἀμολγή ὀξυνόμενον.

Τὰ εἰς δη ἔχοντα πρὸ τοῦ τέλους τὸ ο εἰς σύμφωνον καταλῆγον

σφαγή ὀξυτόνως· Ἡρώδης (i. e. Ἡρωδιανός). ἄγη ἡ ἔκπληξις recepi ex Choer. Dict. 329, 27: ἄξιόν ἐστι ζητῆσαι, διὰ τί τὸ ἄγη ἄκλιτόν ἐστι καὶ ἔστι θηλυκὸν ὄνομα «ἄγη μ' ἔχει ὄρχαμε λαῶν» (Φ 221) καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰς γη ἰαμβικὰ οὐδέποτε ἀπὸ φωνήεντος ἄρχονται οἷον στέγη, σφαγή, ταγή. πρόσκειται «ἰαμβικά» διὰ τὸ ἀγή (σημαίνει δὲ τὴν ἀπόκλασιν τοῦ κύματος). τοῦτο γὰρ ἀπὸ φωνήεντος ἄρχεται, ἀλλ' οὐκ ἔστιν ἰαμβικόν, ἀλλὰ σπονδειακόν, τὸ γὰρ α μηκυνόμενον ἔχει. l. 5 Σίγη proprium addidi ex St. B., ἀγή ex Choer. l. c., αὐγή ipse apposui propter Stephani Αὔγη, item ῥώγη propter Ῥώγη ap. St., πηγή propter Πηγαί ap. eundem, πυγή accessit ex Theogn. Ex Γύγη ap. Theogn. Ὕγη πόλις corruptum esse probabiliter Schmidt. coniectat; fortasse idem locus est, quem Strabo 590 extr. Γύγας ἀκρωτήριόν ἐστι πρὸς Δαρδάνῳ vocat. Idem canon exstat in An. Ox. II 412, 4. l. 13 βορβορυγή, ὠρυγή, ἀρωγή — ἁρμογή sunt ex Theogn. 108, 34 et 109, 1; de ὑπιωγή cf. Schol. ad Od. ξ 533 Βορέω ὑπιωγῇ: σύνθετόν ἐστι τὸ ὄνομα ἀντὶ τοῦ σκέποντι καὶ ἀπείργοντι τὸν βορρᾶν τόπῳ cf. Lob. Proll. 307. πλαταγή addidi ex Schol. ad Apoll. Rhod. B 1055: πλαταγήν: ὀξυτόνως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου, ubi male ἕκτῳ pro ιβ΄. λαλαγή ipse propter Λαλάγη apposui. Φαρύγαι accessit ex St. B. Pro Arcadii verbis καὶ τὸ πατάγη δέ τινες βαρύνουσιν posui, quae dedi, ex Eustath. ad Dionys. 566: τὸ παταγή κοινότερον μὲν ὀξύνεται ὡς τὸ ἀλαλαγή, ὁ δὲ Ἡρωδιανὸς βαρύνει αὐτό, λέγων, ὅτι οὐκ ἐκ τοῦ κτλ. et deinde post θηλυκόν inseritur φησί sc. Herodianus cf. Lob. Proll. 15, Rhem. 266. — De ἁρπαγή et ἁρπάγη supra p. 304, 6 dictum est. l. 20 ὀλίγγη Schmidt. ad Hesych.: ὀλίγη δέ τ' ἀνάπαυσις πολέμοιο vocem ὀλίγγη errori deberi suspicatur, sed cf. Lob. El. I 365, Rhem. 280, 15. Ἐλιβύργη explevi ex St. B., de ἀμόργη cf. Eustath. ad Dionys. 525.

προσηγορικὰ ὄντα ὀξύνεται, χορδή, σπονδή. τὸ μέντοι Χόνδη κύριον βαρύνεται καὶ τὸ Μένδη πόλις Θρᾴκης ἀπὸ Μένδης γυναικός. Ἀπολλόδωρος Μένδαν αὐτήν φησι, καὶ τὸ Τίνδη Θρᾴκης Χαλκιδικὴ πόλις καὶ τὸ ἄλδη.

Τὰ εἰς δη προσηγορικὰ μακρᾷ παραληγόμενα ὀξύνεται, ᾠδή, ἀοιδή, σπουδή, ἐδωδή, αὐδή. τὸ μέντοι Λήδη κύριον, καὶ Ἴδη Τροίας ὄρος. Ὅμηρος (Il. Γ 276) «Ἴδηθεν μεδέων» ἀπὸ Ἴδης τινὸς βασιλίσσης, ὡς Χάραξ. καὶ Μήδη καὶ Λύδη.

Τὰ εἰς δη λήγοντα ἔχοντα πρὸ τέλους συλλαβὴν βραχεῖαν μὴ εἰς σύμφωνον καταλήγουσαν, εἰ μὲν κύρια ὦσιν ἢ οὐσίαν σημαίνει, βαρύνεται, πέδη, κνίδη, σίδη. ἔστι καὶ Σίδη πόλις Παμφυλίας ὡς Ἑκαταῖος Ἀσίᾳ. κέκληται δὲ ἀπὸ Σίδης τῆς θυγατρὸς μὲν Ταύρου, γυναικὸς δὲ Κιμώλου. Νέδη πόλις Ἀρκαδίας ἀπὸ νύμφης Νέδης. Εὐφορίων δὲ Νεδέην αὐτήν φησι. Ὕδη πόλις Λυδίας, ἐν ᾗ ᾤκει Ὀμφάλη δυναστεύουσα Λυδῶν, Ἰαρδάνου θυγάτηρ, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. Ὅμηρος δὲ διὰ τοῦ λ (Il. H 221). «σκυτοτόμων ὄχ' ἄριστος Ὕλῃ ἐνὶ οἰκία ναίων». Μαιάνδριος δ', ὃν Νικάνωρ παρατίθησι ἐν μετονομασίαις, τὴν αὐτὴν Ὕδην καὶ Σάρδεις φησίν. κράδη καὶ Κράδη πόλις Καρίας. Ἑκαταῖος Ἀσίς περιηγήσει. Λάδη νῆσος Αἰολίδος. Ἑκαταῖος Ἀσίᾳ. Ῥόδη πόλις Ἰβηρίας καὶ πληθυντικῶς πόλις Ἰταλίας. εἰ δὲ κατὰ πράγματος τάσσοιτο, ὀξύνεται, κομιδή ἡ ἐπιμέλεια,* ἁδή ἡ ἡδονή, φραδή ἡ βουλή, χλιδή ὁ κόσμος.

* Τὰ εἰς δη ὑπερδισύλλαβα κύρια βαρύνεται, Χαρμάνδη πόλις πέραν τοῦ Εὐφράτου. Σοφαίνετος ἐν Κύρου ἀναβάσει «ἐπὶ δὲ ταῖς Βαβυλωνίαις πύλαις πέραν τοῦ Εὐφράτου ποταμοῦ πόλις ᾤκιστο ὄνομα Χαρμάνδη». Ἀγαμήδη τόπος περὶ Πύρραν τῆς Λέσβου ἀπὸ Ἀγαμήδης τῆς Μάκαρος, τῆς καὶ Πύρρας ἐπίκλησιν. ἔστι καὶ κρήνη Ἀγαμήδη, ὡς Νικόλαος ε'.

Τὰ εἰς θη δισύλλαβα βαρύνεται, εἰ μὴ ἰαμβικὰ εἴη τῷ ο παραληγόμενα, μάλθη ὁ κηρός, τήθη, τίτθη, Ξάνθη οὕτως ἡ Τρῳάς ἑκα-

---

l. 1 de verbalibus velut σπονδή cf. Il. Pros. Ε 202. Pro Arcadii Μένδη κύριον Stephani explicationem recepi Meinekii coniecturam Μένδαν pro Μένδιν amplexus. Τίνδη ex St. B. adieci. l. 5 μακρᾷ παραληγόμενα ipse adieci. Ἴδη explevi ex St. B., de Μήδη pro Μήδεια cf. Lob. Parall. 321 et Mein. An. Alex. p. 46. Λύδη accessit ex Theogn., apud quem Πύδη scriptum est, et St. B. s. Δώτιον, ubi: Ἀντίμαχος ἐν β' Λύδης. l. 11 de κνίδη Lob. Rhem. 266 not. 22: id nisi putavit licentia poetica produci, sed natura iota breve habere ut κνίζω et κνίδα, scribendum est κράδη; sed κνίδη habet etiam Theogn. 109, 7. Σίδη proprium ex Theogn. et St. B. addidi, Νέδη ex St. B. explevi, κράδη propter proprium Κράδη ap. St. B. ipse adieci, ex St. B. accesserunt Λάδη et Ῥόδη; urbs Italica Ῥοδαί ap. St. B. falso oxytonos scriptum est. De ἁδή cf. Lob. Rhem. 259. l. 23 hunc canonem ipse ex Stephani nominibus composui. l. 30 pro τίθη scripsi τήθη et addidi τίτθη ex canone in Hort. Adon. p. 95a (Favorin. 278, 24), quem Lob. Phryn. p. 134 profert: τὰ εἰς θη βαρύνονται (πλὴν τοῦ κριθή, ποθή), σάθη, πόσθη, τίτθη ἡ τροφός, τήθη ἡ μάμμη. Hinc etiam addidi σάθη et πόσθη, quod explevi ex E. M. 684, 56, ubi πόσθη τὸ αἰδοῖον πλεονασμῷ τοῦ σ οἷον πόθη — Ὧρος· ὁ δὲ Ἡρωδιανός· πρόσθη περὶ παθῶν. In Choer. Orth. 226, 32 τίτθη et τήθη (τηθή) confusa sunt. Ξάνθη ex St. B. explevi, ubi hoc

λεῖτο. ϲπάθη, ϲάθη, πόϲθη τὸ αἰδοῖον ἐκ τοῦ πρόϲθη γεγονόϲ, μέθη, Αἴθη ὄνομα κύριον, λήθη ἐπί τε τοῦ προϲηγορικοῦ καὶ τῆϲ πόλεωϲ. Βρένθη πόλιϲ Ἀρκαδίαϲ. Σμίνθη πόλιϲ Τροίαϲ. Σκίθαι πόλιϲ Θρᾴκηϲ πληϲίον Ποτιδαίαϲ. Σίθη ὄνομα κύριον. τὸ δὲ Ὀρθή πόλιϲ Περραιβίαϲ ἢ Θετταλίαϲ, καλουμένη καὶ Κορϲέα (Β 739), ἐπιθετικῶϲ τεταγμένον ὀξύνεται. εἰϲὶ δὲ οἳ βαρύνουϲιν εἰϲ ἰδιότητα. ϲεϲημείωται τὸ κριθή ὀξυνόμενον καὶ τὸ ποθή ἔχον τὸ ο̄. Ἀρίϲταρχοϲ Ἰλιάδοϲ Α (240) ὀξύνει. ὥϲπερ γὰρ χόλοϲ τὸ πάθοϲ, χολὴ δὲ ἀφ' οὗ τὸ πάθοϲ, οὕτω καὶ πόθοϲ τὸ πάθοϲ, ποθή δὲ ἡ ἐπιπόθηϲιϲ καὶ ἐπιθυμία. ἔϲτι δὲ κανὼν ὁ λέγων, ὅτι τὰ εἰϲ οϲ διϲύλλαβα τῷ ο̄ παραληγόμενα, ποιοῦντα θηλυκὰ ὀξύτονα αὐτὰ ποιοῦϲιν οἷον ϲτρόφοϲ ϲτροφή, νόμοϲ νομή, ῥόοϲ ῥοή. ὁ δὲ Φιλόξενοϲ ἐν τῷ ῥηματικῷ λέγει, ἀπὸ τοῦ πεύθω πευθή καὶ ποθή.

Τὰ εἰϲ θη μονογενῆ ὑπερδιϲύλλαβα βαρύνεται, καλάθη καὶ Καλάθη πόλιϲ οὐ πόρρω τῶν Ἡρακλείων ϲτηλῶν. Ἑκαταῖοϲ Εὐρώπῃ. Ἔφοροϲ δὲ Καλάθουϲαν αὐτήν φηϲι. Βιϲάνθη πόλιϲ Μακεδονίαϲ κατὰ Θρᾴκην Ἑλληνίϲ, ἄποικοϲ Σαμίων. Ἰάνθη, λυκάνθη, Οἰάνθη πόλιϲ Λοκρῶν. Ἑκαταῖοϲ Εὐρώπῃ. Ἑλλάνικοϲ δὲ Οἰάνθειαν αὐτήν φηϲι. Ἀμάθη πόλιϲ Φοινίκηϲ. ἔϲτι καὶ Σικελίαϲ Ἀμαθαί πληθυντικῶϲ. Ἀριάνθη πόλιϲ Οἰνωτρῶν. Ἀρίνθη πόλιϲ Οἰνωτρῶν ἐν μεϲογείᾳ. Ἑκαταῖοϲ Εὐρώπῃ. Γαβάθη πόλιϲ Γαλιλαίαϲ ὡϲ Ἰώϲηποϲ ἕκτῳ Ἰουδαϊκῆϲ ἀρχαιολογίαϲ (c. 5). Καλαμένθη πόλιϲ Λιβύηϲ. Ἑκαταῖοϲ περιηγήϲει. Καλαμίνθη δὲ διὰ τοῦ ῑ πόλιϲ Φοινίκων. Ἀρκεύθη· οὕτωϲ ἐκαλεῖτο πόλιϲ Ἰϲαυρίαϲ Δέλβεια, ὅ ἐϲτι τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθοϲ. Λεκίθη ἡ πόλιϲ. Λυκέθη ὄνομα κύριον. Ῥαββώθη· οὕτωϲ ἐκαλεῖτο πρότερον ἡ Φοινίκη. Λαπίθη πόλιϲ Θεϲϲαλίαϲ, ὡϲ Ἐπαφρόδιτοϲ ἐν τοῖϲ Ὁμηρικοῖϲ, ἀπὸ Λαπίθου τοῦ Περίφαντοϲ. Ἀγάθη πόλιϲ Λιγύων

accentu praeditum est, ap. Hesych. exstat Ξανθή. μέθη, Αἴθη, λήθη ex Theogn. apposui, ϲήθη, quod apud eundem est, ex τήθη corruptum videtur et πλήθη ex λήθη repetitum, Σίθη ὄνομα κύριον βαρύνεται ap. eundem 109, 18 fortasse idem est vocabulum atque Σκίθαι ap. St. B., sed utrumque recepi: Βρένθη Σμίνθη sunt ex St. B. De Ὀρθή Herod. in Il. Pr. Β 739: Ὀρθήν, οὕτωϲ ὀξυτόνωϲ· ἐπιθετικῶϲ γὰρ τέτακται et Ι 150: Ἱρήν: Ἀρίϲταρχοϲ ὀξύνει ὁμοίωϲ τῷ ἐπιθετικῷ Ἱρήν· εἰϲὶ δὲ οἳ βαρύνουϲιν εἰϲ ἰδιότητα, ὥϲπερ ἐδηλώϲαμεν ἐπὶ τοῦ «Ῥίπην τε Στρατίην τε» (Il. Β 606), «Ὀρθήν» (ib. 739), unde regulam composui. St. B. s. v. parum accurate: βαρύνεται ὡϲ Σπάρτη et Eust. ad Hom. 338, 38: πρὸϲ ἀντιδιαϲτολὴν τοῦ ἐπιθέτου. De ποθή addidi Herodiani adnotamentum in E. M. 678, 3, ubi subscriptum est ταῦτα δὲ Ἡρωδιανόϲ, quae excipiunt, ut videtur, ex ipso Herodiano deprompta ὁ δὲ Φιλόξενοϲ — ποθή. — pro ἢ ὅτι scripsi ἔϲτι δὲ κανών, ὅτι. Verba ὀξύτονα αὐτὰ ποιοῦϲι pro ὀξύνονται αὐτὰ exhibui ex Eust. 91, 31 cum Lob. Proll. 12 not. 11 cf. Lob. El. II 287. Adi praeterea Il. Pr. Α 240 et Ζ 362.
l. 14 καλάθη appellativum ipse addidi, Καλάθη et Βιϲάνθη explevi ex St. B., Οἰάνθη — Ἀρκεύθη sunt ex St. B. De Ἀριάνθη diserte pronunciatur: Ἡρωδιανὸϲ ιβ'; de Καλαμένθη: Καλαμένθη ἥτιϲ καὶ Καλαμίνθη — κρεῖττον οὖν ὡϲ Ἡρόδοτοϲ διὰ τοῦ ῑ πόλιϲ Φοινίκων, ubi Meinek. pro Ἡρόδοτοϲ scribendum esse Ἡρωδιανόϲ suspicatur, quam probabilissimam coniecturam sic recepi, ut Herodianum ipsum loquentem facerem. Λεκίθη, quod Lob. Proll. 367 pro corrupto Ληκύθη restituit, et Λυκέθη ex Theogn. 109, 22, κακιθή quod idem affert, est femininum adiectivi κακηθόϲ ab Arcadio 49, 25 allati, quare cum ἀγαθόϲ ἀγαθή composui. Ῥαββώθη, Λαπίθη, Ἀγάθη sunt ex St. B.

ἢ Κελτῶν. Ϲκύμνος δὲ Φωκαέων αὐτήν φηϲιν ἐν τῇ Εὐρώπῃ. Τιμοϲθένης δὲ ἐν τῷ ϲταδιαϲμῷ Ἀγαθὴν τύχην αὐτήν φηϲι. εἰ δὲ οὕτωϲ λέγοιτο, καὶ ὀξύνοιτ' ἂν ὡϲ ἐπιθετικόν, ὡϲ τὸ Ἡραῖον τεῖχοϲ καὶ Ἥραιον καὶ Ἑρμαῖοϲ λόφοϲ καὶ Ἕρμαιοϲ. ἔϲτι δὲ καὶ ἄλλη πόλιϲ, ὡϲ Φίλων, Λιγυϲτίων ἐπὶ λίμνηϲ Λιγυϲτίαϲ. τάχα δ' ἡ αὐτή ἐϲτι τῇ πρώτῃ, ὡϲ Εὔδοξοϲ. βαρύνεται δέ. τὸ δὲ ἀγαθόϲ ἀγαθή τριγενὲϲ ὡϲ καὶ τὸ κακηθόϲ κακηθή.

Τὰ εἰϲ $\overline{\text{κη}}$ διϲύλλαβα φύϲει μακρᾷ παραληγόμενα ἀϲυνάλειπτα βαρύνεται, ἀρχόμενα ἀπὸ ϲυμφώνου ἢ ϲυμφώνων, μὴ ποιότητα φωνῆϲ ἀλόγου ζώου ϲημαίνοντα, Γλαύκη τὸ κύριον, γλαυκή δὲ τὸ ἐπιθετικόν «γλαυκὴ δέ ϲ' ἔτικτε θάλαϲϲα» (Il. Π 34). λεύκη τὸ προϲηγορικὸν καὶ Λεύκη κύριον, λευκή δὲ τὸ ἐπίθετον καὶ Λευκή νῆϲοϲ ἐπιθετικώτερον τεταγμένη. πεύκη. ἔϲτι καὶ νῆϲοϲ ἐν τῷ Ἴϲτρῳ, νίκη, φρίκη, βήκη, θήκη, φώκη· ἔϲτι καὶ Φώκη Ἰωνικὴ πόλιϲ, ἢ καὶ Φώκαια. Θρᾴκη χώρα ἀπὸ Θρᾳκὸϲ βαϲιλέωϲ τοῦ πάλαι ἐν αὐτοῖϲ τελευτήϲαντοϲ ἢ ἀπὸ Θρᾴκηϲ νύμφηϲ Τιτανίδοϲ, μεθ' ἧϲ καὶ Ϲαμοθρᾴκη νῆϲοϲ πρὸϲ τῇ Θρᾴκῃ ϲυνθέτωϲ ἐκ τοῦ Θρᾳκία Ϲάμοϲ. τὸ δὲ μυκή ὀξύνεται ϲημαῖνον φωνὴν λέοντοϲ. τὸ δὲ ἠκή ἄρχεται ἀπὸ φωνήεντοϲ. τὸ δὲ ϲυκῆ ἀπὸ τοῦ ϲυκέα ϲυναλειφθὲν περιϲπᾶται. ἔϲτι καὶ Ϲυκῆ πόλιϲ ἀντικρὺ Βυζαντίου. Ϲτράβων (7 p. 319) ἑνικῶϲ λέγει Ϲυκῆν. οἰκειότερον δέ, ὡϲ λέγονται, Ϲυκαῖ λέγοιντ' ἄν. ἔϲτι καὶ ἄλλη Ϲυκῆ πληϲίον Ϲυρακουϲῶν. καὶ Κιλικίαϲ. ἔϲτι καὶ ἑτέρα Ἀλεξανδρείαϲ.

Τὰ εἰϲ $\overline{\text{κη}}$ ἰαμβικὰ ἀϲυνάλειπτα, εἰ μὲν τῷ $\overline{\text{ο}}$ παραλήγοιτο, ὀξύνεται ῥηματικὰ ὄντα, πλέκω πλοκή, δέκω δοκή ἡ ὑπόνοια, πέκω ποκή τὸ ἔριον. τὸ μέντοι κρόκη ἀπὸ τοῦ κροκόϲ. εἰ δὲ ἄλλῳ φωνήεντι, βαρύνεται, δίκη. ἔϲτι δὲ τοῦτο ϲημειῶδεϲ. τὰ γὰρ εἰϲ $\overline{\text{κη}}$ λήγοντα θηλυκὰ διϲύλλαβα μονογενῆ βαρύτονα, ὅτε ἔχει πρὸ τέλουϲ τὸ $\overline{\text{ι}}$, ἢ ϲυνεϲταλμένον ἔχει αὐτὸ ἢ ἐκτεταμένον. καὶ τότε μὲν ϲυνεϲταλμένον ὁπότε ϲύμφωνον ὁρᾶται πρὸ τοῦ $\overline{\text{κ}}$ καταλῆγον, τότε δὲ ἐκτεταμένον, ὁπότε οὐχ οὕτωϲ ἔχει οἷον Κίρκη, Δίρκη, Τρίκκη. ϲυνέϲταλται δὲ τούτων τὸ $\overline{\text{ι}}$, ἐπεὶ ϲύμφωνον ἦν πρὸ τοῦ $\overline{\text{κ}}$. τοῦ δὲ ἑτέρου νίκη, φρίκη. λείπει ἄρα ἡ δίκη ἢ χρόνῳ ἢ ϲυμφώνῳ. Λύκη κύριον, κάκη ἡ κάκωϲιϲ.

l. 9 γλαυκή δὲ — θάλαϲϲα addidi ex Il. Pr. Ϲ 39, ubi ἐνθάδε ἐβάρυνεν ὁ Ἀρίϲταρχοϲ τὸ Γλαύκη εἰϲ ἀποφυγὴν τοῦ ἐπιθετικοῦ τοῦ κτλ. cf. Lehrs Arist. 264 et 146 ed. II, λεύκη τὸ προϲηγορικὸν et λευκή τὸ ἐπίθετον adieci ex Il. Pr. Ε 292 πρυμνήν: πρυμνήν ὡϲ πυκνήν, ἐπίθετον γάρ· ὅταν δὲ ἰδίωϲ ἐπὶ τοῦ πλοίου, βαρύνομεν ὡϲ λευκή καὶ λεύκη. Λευκή νῆϲοϲ ἐπιθετικώτερον τεταγμένη ipse apposui propter Stephani accentum Λευκαί νῆϲοϲ p. 107, 14 et 152, 10 Λευκή νῆϲοϲ. Πεύκη insula adiecta est ex St. B., βήκη — φώκη ex Theogn. 109, 28, Φώκη i. q. Φώκαια ex Eustath. ad Dionys. 437, Θρᾴκη ex St. B., Ϲαμοθρᾴκη ex Eust. ad Dionys. 520, ἠκή pro ὠκή emendavit Lob. Rhem. 267. τὸ δὲ ϲυκῆ — περιϲπᾶται ipso canone indicante addidi et Ϲυκῆ πόλιϲ ex St. B. mutato accentu (nam Ϲυκή Ϲυκαί scriptum est) collato Ahrensio de dial. Doric. p. 64, 7 et Lob. Parall. 316 cum not. 12. l. 23 pro δέκω δοκή ἡ ὑπόνοια Hermannus ad Aeschyl. Agamem. v. 403 proponit δέκω δοκή ἡ δοχή, δόκη δὲ ἡ ὑπόνοια. — κροκόϲ pro librorum scriptura κρόκοϲ emendavit Lob. Proll. 12 not Pro εἰ δὲ ἄλλῳ ϲυμφώνῳ posui φωνήεντι. Quae ad δίκη addita sunt, sumpta ex Mon. 14, 1.

τὸ μέντοι ἀκή ἡ ἡcυχία ὀξύνεται πρὸc ἀντιδιαcτολὴν κυρίου. ἔcτι δὲ Ἄκη πόλιc Φοινίκηc ἡ ὕcτερον Πτολεμαΐc. ἐκαλεῖτο δὲ Ἄκη ἀπὸ τῆc ἰάcεωc τοῦ γενομένου δήγματοc Ἡρακλεῖ ὑπὸ ὄφεωc. τὰ δὲ εἰc $\overline{κη}$ λήγοντα· διcύλλαβα ἐπὶ πόλεων ἢ χωρῶν βαρύνεται, Πλάκη πόλιc Ἑλληcποντία. τὸ δὲ φακῆ περιcπᾶται ἐκ cυναιρέcεωc.

Τὰ εἰc $\overline{κη}$ διcύλλαβα πρὸ τοῦ $\overline{κ}$ cύμφωνον ἔχοντα μὴ τὸ $\overline{λ}$ βαρύνεται, κάκκη κόπροc, κάκη δὲ ἡ δειλία, λόκκη ἡ χλαμύc, κρόκκη ἡ παράλιοc ψηφίc. Τρίκκη πόλιc Θεccαλίαc ἀπὸ Τρίκκηc τῆc Πηνειοῦ θυγατρόc. Δίρκη, Κίρκη, νάρκη, Βάρκη πόλιc Λιβύηc ἥτιc καὶ Πτολεμαΐc. λέγεται καὶ Βάρκαια. ἄcκη ἡ ἄcκηcιc. πέρκη εἶδοc ἰχθύοc, ἣ καὶ Θρᾷττα ἐκαλεῖτο. Ἄρκη πόλιc Φοινίκηc. Ἰώcηποc ἐν πέμπτῳ τῆc Ἰουδαϊκῆc ἀρχαιολογίαc (1, 22). Θρίγκη πόλιc περὶ τὰc cτήλαc. Ἑκαταῖοc Ἀcίᾳ. τὸ δὲ ὁλκή καὶ ἀλκή ὀξύνονται, ὡc ἔχοντα τὸ λάμβδα. τὸ δὲ Χάλκη πρὸc ἀντιδιαcτολὴν τοῦ χαλκῇ βαρύνεται. ἔcτι δὲ πόλιc Λιβύηc «μετὰ δ' αὐτὴν πόλιc Φοινίκων Χάλκη». ἔcτι καὶ νῆcοc. Θουκυδίδηc ὀγδόῃ (c. 44) «ἀπέπλευcαν εἰc Χάλκην, ἐντεῦθεν δ' εἰc Cάμον». Θεόφραcτοc δὲ Χαλκίαν αὐτὴν καλεῖ. ἔcτι καὶ ἄλλη Χάλκη Λαριcαίαc πόλιc. λέγεται καὶ πληθυντικῶc Χάλκαι. Θεόπομποc πρώτῳ Φιλιππικῶν...... καὶ τρίτῳ «ἔτι cυνεπολέμηcεν ὁρμημένοc ἐκ Χαλκῶν τῆc Λαριcαίαc».

Τὰ εἰc $\overline{κη}$ ὑπερδιcύλλαβα τῷ $\overline{α}$ παραληγόμενα εἴτε κύρια εἴτε προcηγορικὰ βαρύνεται, εἰ μὴ εἴη ῥηματικά, Ἰθάκη νῆcοc πρὸc τῇ Κεφαλληνίᾳ ἀπὸ Ἰθάκου ἥρωοc. ἔcτι καὶ Cυρίαc ὑπὸ τὸν Εὐφράτην. Ἀρτάκη πόλιc Φρυγίαc ἄποικοc Μιληcίων. Δημήτριοc δὲ νηcίον εἶναί φηcι κατὰ Τιμοcθένην λέγων «Ἀρτάκη, τοῦτο μὲν ὄροc ἐcτὶ τῆc Κυζι-

---

Ἄκη πόλιc — βαρύνεται ex St. B. 59, 11 et 538, 7, quo posteriore loco falso Ἀκή scriptum est ut in E. M. 47, 25. Priore Stephani loco longa de nominis origine expositio ex Claudio Iulio scriptore incertae aetatis adiecta est, quam hic subscribo: Κλαύδιοc ὁ Ἰούλιοc ἐν πρώτῃ Φοινικικῶν φηcιν ὅτι ἐκλήθη ἀπὸ Ἡρακλέουc «χαλεπωτάτῳ γὰρ ὑπὸ Εὐρυcθέωc ἐπιταγεὶc ἄθλῳ, περιcχεθεὶc τῷ τῆc Λερναίαc ὕδραc ἰῷ, τοῖc τῶν δηγμάτων ἐπονεῖτο ἕλκεcιν. ἀνεῖλε δὲ τὸ Δελφικὸν μαντεῖον ἐπ' ἀνατολὰc ἰτέον μέχριc ἂν ἐντύχῃ ποταμῷ φύοντι πόαν τῇ Ὕδρᾳ παραπλήcιον· ἐκείνηc γὰρ καταπαcάμενον τῶν ἑλκῶν ἀπαλλαγήcεcθαι. εὗρε δὲ τὸν ποταμὸν καὶ τὴν πυθόχρηcτον πόαν, ἧc ὁ καυλὸc ἥ τε ῥίζα πάντωc ἐcτὶν ὀφιώδηc τῷ ποικίλῳ ταῖc κεφαλαῖc. ὁπόcαc γὰρ ἄν τιc ἀποκείρῃ, φύονται αὖθιc ἕτεραι. κολοκάcιον μέντοι καλοῦcι τὴν ῥίζαν, τὸ δὲ ὑπερφυκὸc κιβώριον, ὄψιν ἡδεῖαν ἐδωδίμουc τε φλέβαc παρέχον Αἰγυπτίοιc». περὶ δὲ τὸν Νεῖλον φύεται πολλή. ἡ δὲ περὶ τὸν Βῆλον ἕλκη θεραπεύει δυcίατα· τριβομένη γὰρ κατὰ τὴν ῥίζαν λευκὸν ἀναδίδωcιν ὀπόν. τούτῳ, φηcί, καὶ Ἡρακλῆc ἰάθη. καὶ καλέcαι τὴν πόλιν Ἄκην. — Πλάκη accessit ex St. B., Μάκη Κελτικὴ πόλιc omisi, quia extra literarum seriem positum ex Μαινάκη depravatum videtur Meinekio. Canon exstat in brevius contractus in Ep. Cr. I 294, 22. l. 7 κάκκη κόπροc, κάκη δὲ ἡ δειλία cum Schmidtio pro librorum scriptura κάκη ἡ δειλία exhibui, nisi quod pro τὸ κακέμφατον Hesychii interpretationem κόπροc exhibui, κρόκη Lob. Rhem. 267 not. 27 ex superioribus huc furtim illatum esse iudicat, sed recte Schmidt. κρόκκη dedit ex Hesych., ubi ordo duplex $\overline{κκ}$ requirit. Τρίκκη adieci ex St. B., habet etiam Herod. Mon. l. c., Βάρκη ex St. B. explevi, πέρκη apposui ex St. B. 316, 13, Θρίγκη ex eodem, Χάλκη explevi ex St. B., ubi 682, 7 diserte: βαρύνεται, ὡc Ἡρωδιανόc φηcι. l. 22 Ἰθάκη explevi ex St. B. l. 24 Ἀρτάκη

κηνῆς, τοῦτο δὲ νησίον ἐστὶν ἀπὸ γῆς ἀπέχον στάδιον· κατὰ τοῦτο λιμὴν ὑπάρχει βαθὺς ναυσὶν ὀκτὼ ὑπὸ τῷ ἀγκῶνι ὃν ποιεῖ τὸ ὄρος ἔχεσθαι τοῦ αἰγιαλοῦ». Σκυλάκη πόλις περὶ Κύζικον. Ἑκαταῖος Ἀσίᾳ. Ἀνάκη πόλις Ἀχαΐας. Ἀναριάκη πόλις πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. Στράβων (11 p. 507 seqq. 514). Ἀρβάκη πόλις ἐν Κελτιβηρίᾳ ὡς Ἰόβας. Ἀρσάκη. οὕτως μετωνομάσθη Ῥάγα πόλις ἐν Μηδίᾳ ἀπὸ Ἀρσάκου βασιλέως Περσῶν. Ἀφάκη πόλις Λιβύης, ὡς πολυίστωρ ἐν Λιβυκῶν τρίτῃ. Μαινάκη Κελτικὴ πόλις. Μαλάκη πόλις Ἰβηρίας. Ἀρτεμίδωρος. Λαμψάκη ἐπιχωρία τις κόρη, ἀφ' ἧς Λάμψακος πόλις. Βαβυτάκη πόλις Περσική. Ὀμφάκη πόλις Σικελίας. Φίλιστος Σικελικῶν τετάρτῳ. Σιδάκη πόλις Λυκίας ἀπὸ Σιδάκης τῆς Ἀμισωδάρου. Τυριτάκη πόλις Πόντου. Σιττάκη πόλις Περσική, ὡς Ἑκαταῖος Ἀσίᾳ. Ψευδαρτάκη λόφος ἐν τῇ Σκυθίᾳ μετὰ τὸ λεγόμενον Ἅγιον ὄρος. Βαιάκη πόλις Χαονίας. Ἑκαταῖος. Βαράκη νῆσος τῆς Γεδρωσίας. Σαμυδάκη πόλις Καρμανίας. Χανδανάκη πόλις Περσική. Ἑκαταῖος Ἀσίας περιηγήσει. Ψιττάκη πόλις πρὸς τῷ Τίγριδι, ἐν ᾗ τὸ φυτὸν τῶν ψιττακίων, ὡς Δαμόφιλος. Τυράκη. οὕτως Τυρακίνας πόλιν Σικελίας Ἀλέξανδρος ἐν Εὐρώπῃ καλεῖ. Φυλάκη πόλις Θεσσαλίας «οἳ δ' εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα» (B 695) ἀπὸ Φυλάκου τοῦ Δηϊόνος. ἡ δὲ φυλακή ἀπὸ τοῦ φυλάσσω καὶ ἰακή ἀπὸ τοῦ ἰάζω καὶ ὑλακή ἀπὸ τοῦ ὑλάσσω. τὸ δὲ ἀνάγκη εἰ ἦν ἀπὸ ῥήματος τοῦ ἀνάσσω ὀξύνοιτο ἂν ὡς στενάχω στεναχή.

Τὰ εἰς $\overline{\text{κη}}$ ὑπερδισύλλαβα τῷ $\overline{\text{ε}}$ ἢ τῷ $\overline{\text{ο}}$ παραληγόμενα σπάνιά εἰσιν. Ζεβέκη πόλις τῆς Γαλιλαίας. Ἰώσηπος Ἰουδαϊκῆς ἀρχαιολογίας πέμπτῳ (5, 2). σημαίνει δὲ τὸ ὄνομα κύριος. τὸ Ἀλωπεκή δῆμος τῆς Ἀντιοχίδος φυλῆς ὀξύνεται. τὸ δὲ βορβορόκη βαρύνεται, καὶ τὸ ψοθόκη ἡ ἀκαθαρσία.

— Σκυλάκη explevi ex Steph. Byz., reliqua usque ad Φυλάκη ex eodem addidi, unum Τυράκη ap. St. B. oxytonos scriptum est, accentum tangit hoc adnotamentum Stephani: Ἀνάκη ὡς Ἀνάφη. De Φυλάκη cf. Il. Pr. B 695 (E. M. 802, 1) Φυλάκην: βαρυτονητέον τὸ Φυλάκην πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου. Pro αἰακή ἀπὸ τοῦ αἰάζω scribi non potest, quod Schmidtius posuit, ἀϊκή ἀπὸ τοῦ ἀΐσσω, quia hoc non quadrat ad canonem de nominibus in $\overline{\text{ακη}}$ agentem; sed pertinet ad paullo post sequentem de nominibus in $\overline{\text{ικη}}$, quo loco etiam Theogn. profert. Quare nihil reliquum est nisi ut ἰακή ἀπὸ τοῦ ἰάζω scribamus, quamquam huius vocis fidem tantum esse penes grammaticos perhibet Lob. Proll. 312, ὑλακή ἀπὸ τοῦ ὑλάσσω addidi ex Il. Pros. O 709, quem locum statim proponam; τὸ δὲ ἀνάγκη ex E. M. 95, 50, quod ex Herodiani schola manasse inde recte concludit Lobeck. Rhem. 266, quod πατάγη gravari iubet Herodianus, quia non verbale sit ut ἀλαλαγή, sed paronymon a πάταγος cf. Proll. p. 15. Unde autem Herodianus ἀνάγκη derivaverit, non claret. E. M. pergit παρὰ τὸ ἄγω οὖν ἄγη καὶ πλεονασμῷ τοῦ $\overline{\text{κ}}$ ἀνάγκη ἡ πάντα κρατοῦσα. ἢ ἀγκάς, ἄγκη καὶ ἀνάγκη, ἐπειδὴ τὸ ταῖς ἀγκάλαις κρατούμενον κατὰ δύναμιν ἀφυκτότερον γίνεται. ἢ παρὰ τὸ ἄκος, πρὸς ἣν ἄκος οὐκ ἔστιν εὑρεῖν. Secundum trium etymorum, si conferas E. M. 106, 23 ἀνήγκακα: ἰστέον ὅτι βάρβαρόν ἐστιν οὐχ εὑρισκόμενον παρ' Ἕλλησιν ἐν χρήσει, ὡς λέγει Ἡρωδιανός — δύναται καὶ σύνθετον εἶναι ἀπὸ τοῦ ἀγκάζω τὸ ἐν ἀγκάλαις λαμβάνω καὶ ἐκ τούτου ἀγκάσω ἤγκακα καὶ μετὰ τῆς ἀνά προθέσεως ἀνήγκακα, Herodianeam originem sapit. l. 24 Ζεβέκη addidi ex St. B., Ἀλωπεκή ex eodem explevi. βορβορόκη, pro quo Lob. Proll. 330 βορβορο-

Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ῐ συνεσταλμένῳ παροξύνεται, Ἑλίκη πόλις Πελοποννήσου. Ὅμηρος «οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς» (Il. Θ 203) ἀπὸ Ἑλίκα τοῦ Λυκάονος ἢ ἀπὸ Ἑλίκης τῆς Ἴωνος μὲν γυναικός, Σελινοῦντος δὲ τοῦ Ποσειδῶνος θυγατρός. ἔστι καὶ ἄλλη Θετταλική. μυρίκη. ἔστι καὶ νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, οὕτως δὲ κέκληται καὶ Ἀμφίπολις πόλις. Βαιτίκη χώρα, οὕτως δὲ παρὰ τὸν Βαῖτιν ποταμὸν καλεῖται ἡ Τουρδητανία. μηδίκη. Στράβων (12 p. 525) «καὶ τὴν βοτάνην μὲν μάλιστα τρέφουσαν τοὺς ἵππους, ἣν μηδίκην καλοῦμεν». Βελγίκη ἡ χώρα. Ἰταλίκη πόλις Ἰβηρίας. Λαοδίκη, Κυζίκη. τὰ δὲ ἔχοντα ἔννοιάν τινος προσυπακουομένου ὀξύνονται, μουσική, ἰατρική, γραμματική. Περσική εἶδος εὐτελοῦς ὑποδήματος· ἔοικε δὲ γυναικεῖον εἶναι. Σκυθική εἶδος ὑποδήματος. Λακωνική εἶδος ὑποδήματος. Ἀβική χώρα Ποντική. Ἐλμαντική πόλις Ἰβηρίας τῆς ἐκτὸς Ἴβηρος ποταμοῦ. Πολύβιος γ΄. Ἰνδική πόλις Ἰβηρίας πλησίον Πυρήνης. Κυρρεστική χώρα Συρίας. Στράβων ἑκκαιδεκάτῃ (p. 751). Κωλική χώρα πρὸς τῷ Καυκάσῳ. Αἰζική Θρᾴκης μέρος. Ἑκαταῖος Εὐρώπῃ. Ἁλική χώρα τῆς Κιλικίας. Κορπιλική χώρα Θρᾴκης «ἡ γὰρ Αἶνος κεῖται κατὰ τὴν πρότερον Ἀψυνθίδα, νῦν δὲ Κορπιλικὴν λεγομένην». Πρετανική νῆσος παρὰ τῇ Κελτικῇ. Χαλδαϊκή χώρα. Κορσική ἡ νῆσος Κορσίς. Ταυρική νῆσος μεγάλη καὶ λίαν ἐπίσημος καὶ πολλὰ ἔχουσα ἔθνη καὶ περικλείουσα τῇ θέσει τὴν Μαιῶτιν λίμνην. λέγεται δὲ Ὄσιριν ἐκεῖ ζεύξαντα βοῦς ἀρόσαι τὴν γῆν. διὰ οὖν τὸ ζεῦγος τοῦ ταύρου τὸ ἔθνος κληθῆναι. Μαγιστρική χώρα τῶν Ταυρίσκων πρὸς τὰ Ἄλπεια ὄρη. Κροβυζική ἡ γῆ τῶν Κροβύζων. Τραλλική ἡ Τραλλία μοῖρα τῆς Ἰλλυρίας. Λαζική παλαιὰ χωρίον, ὡς Ἀρριανός (Peripl. P. E. p. 19).

Ἔτι τὰ ἔχοντα τὸ ῑ ἐκτεταμένον κύρια ἢ προσηγορικὰ βαρύνεται, Φοινίκη ἡ χώρα ἀπὸ τῆς Φοίνικος γενικῆς ὡς Κρής Κρητός Κρήτη. Λίβυς Λίβυος Λιβύη. Βερενίκη πόλεις ἕξ. πρώτη Ἠπείρου ἡ ὑπὸ Πύρρου τοῦ νεωτέρου κτισθεῖσα. δευτέρα..... ἡ ὑπὸ Φιλαδέλφου Πτολεμαίου. τρίτη ἐν τῇ Τρωγλοδυτικῇ. τετάρτη ἡ πρότερον Χίος. πέμπτη ἐν Κιλικίᾳ. ἕκτη Λιβύης ἡ πρότερον Ἑσπερίς, ἐκλήθη δὲ Βερενίκη ἀπὸ τῆς Πτολεμαίου γυναικὸς Βερενίκης. Θεσσαλονίκη πόλις Μακεδονίας. Φίλιππος τοῦ Ἀμύντου ἐκεῖ Θετταλοὺς νικήσας οὕτως ἐκάλεσε. Λού-

---

δόκη proponit, intactum reliqui; cf. Schmidt. ad Hesych. s. βορβορωπόν et Bergk poet. lyr. p. 611, qui idem vocabulum esse iudicat atque Hipponactis βορβορόπη ap. Eustath. 1329, 32. Fortasse latet in eo vocabulo nomen urbis Asiaticae velut Ταλαβρόκη vel Ταόκη. Etiam ψοθόκη teste caret. l. 2 Ἑλίκη explevi ex St. B., Μυρίκη νῆσος ex eodem addidi, μηδίκη explevi ex St. B. 449, 14 cf. Eustath. 1967, 27. Βαιτίκη, quod ap. St. B. acuitur, ex hoc explevi. Βελγίκη ex St. B. adieci, ubi ὡς Βαιτίκη propter accentum additur; Λαοδίκη est ex eodem 411, 11, Κυζίκη ex Theogn. 109, 32. Περσική ex St. B. 519, 2, Σκυθική 578, 14. Reliqua omnia usque ad finem ex St. B. Apparet difficile esse intellectu, cur Βαιτίκη Βελγίκη paroxytonos, Πρεταννική Ταυρική similia oxytonos scripta sint. l. 28 Φοινίκη explevi ex St. B. et Choer. Orth. Cr. II 272, Βερενίκη accessit ex St. B., item Θεσσα-

κιος δὲ ὁ Ταρραῖος περὶ Θεσσαλονίκης βιβλίον ἔγραψεν, ὅς φησιν ὅτι Φίλιππος θεασάμενος κόρην εὐπρεπῆ καὶ εὐγενῆ (Ἰάσονος γὰρ ἦν ἀδελφιδῆ) ἔγημε καὶ τεκοῦσα τῇ εἰκοστῇ ἡμέρᾳ τῆς λοχείας τέθνηκεν. ἀναλαβὼν οὖν ὁ Φίλιππος τὸ παιδίον ἔδωκε Νίκῃ τρέφειν καὶ ἐκάλεσε Θεσσαλονίκην· ἡ γὰρ μήτηρ τοῦ παιδίου Νικασίπολις ἐκέκλητο. Στράβων δὲ Θεσσαλονίκειαν αὐτήν φησι (7 p. 323). ἐρίκη εἶδος φυτοῦ. φερίκη εἶδος δένδρου, ἃ διὰ τοῦ ῑ ἐκτεταμένου γράφονται, τὸ δὲ Εὐνείκη ὄνομα μιᾶς τῶν Νηρηΐδων διὰ τῆς ει καὶ τὸ νείκη ἡ φιλονεικία ἐκ τοῦ νεῖκος. τὸ δὲ Παλική πόλις Σικελίας ὡς κτητικὸν ὀξύνεται. τὸ μέντοι ἀϊκή ὠξυτονήθη, ἴσως ὅτι ῥηματικὸν ὑπῆρχε ἀπὸ τοῦ ἀΐσσω ὡς φυλάσσω φυλακή, ὑλάσσω ὑλακή. καὶ τὰ ἔχοντα σ πρὸ τοῦ κ παροξύνεται, λεκανίσκη, παρθενίσκη, θυΐσκη, παιδίσκη, στεφανίσκη. Τριποδίσκη κώμη τῆς Μεγαρίδος. λέγεται καὶ Τριποδίσκος.

Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ῡ βαρύνεται, Καλύκη κύριον ἀπὸ τῆς κάλυκος γενικῆς, σαμβύκη εἶδος ὀργάνου, Ἰτύκη πόλις Λιβύης. Ἐρύκη Σικελικὴ πόλις. Φίλιστος Σικελικῶν δευτέρᾳ. Ναρύκη πόλις Λοκρίδος, ἣ καὶ Νᾶρυξ, Βεβρύκη, ἀφ' ἧς κατά τινας Βέβρυξ τὸ ἔθνος ἐν Ἀσίᾳ. Ζαμβύκη, ἰαμβύκη, καρύκκη εἶδος βρώματος ἐκ πολλῶν ἐδεσμάτων συνεστὸς διὰ δισσοῦ τοῦ κ.

Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ω ὀξύνεται, ἀκωκή, ἰωκή ἡ δίωξις. τὸ δὲ Ἐώκη βαρύνεται. ἔστι δὲ ὄνομα πόλεως.

Τὰ εἰς λη μετ' ἐπιπλοκῆς συμφώνου, εἰ μὴ παραλήγοιτο ο ἐν προσηγορικοῖς, βαρύνεται. Ζάγκλη πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. οἱ μὲν ἀπὸ Ζάγκλου τοῦ γηγενοῦς ἢ ἀπὸ κρήνης Ζάγκλης. οἱ δὲ διὰ τὸ ἐκεῖ Κρόνον τὸ δρέπανον ἀποκρύψαι, ᾧ τὰ τοῦ πατρὸς ἀπέκοψεν

λονίκη, φερίκη ex Choer. l. c.: τὰ διὰ τοῦ ικη ἀποστρέφονται τὴν ει δίφθογγον οἷον δίκη, νίκη χωρὶς τοῦ Εὐνείκη, ἔστι δὲ ὄνομα μιᾶς τῶν Νηρηΐδων καὶ χωρὶς τοῦ φερείκη, ἔστι δὲ εἶδος δένδρου, ὅπερ ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου διὰ τοῦ ι ἐκτεταμένου γράφει. Hinc et quod Theogn. 109, 33 ἐρείκη διὰ τῆς ει διφθόγγου et E. M. 276, 1 τὰ εἰς κη θηλυκὰ ἐνὶ φωνήεντι παραλήγεται πλὴν τοῦ ἐρείκη εἶδος φυτοῦ, Εὐνείκη ὄνομα κύριον, νείκη ἡ φιλονεικία ἐκ τοῦ νεῖκος, concludi potest Herodianum tradidisse alios scribere per ει ἐρείκη φερείκη, se vero praeferre ι. Εὐνείκη et νείκη adieci ex locis c. Παλική apposui ex St. B. s. v. consulto Theogn. 110, 1, ἀϊκή ex Theogn. et Il. Pr. Ο 709, ubi canon sic profertur: τὰ εἰς κη λήγοντα ὑπὲρ δύο συλλαβὰς τῷ ι παραληγόμενα φιλεῖ βαρύνεσθαι, ὡς ἔχει τὸ ἑλίκη, ἐρίκη, φοινίκη· τὸ μέντοι ἀϊκή — ὑπῆρχε, quibus addidi ex superioribus παρὰ τὸ ἀΐσσω — ὑλακή. cf. E. M. 42, 47. — παιδίσκη, στεφανίσκη ex Theogn. 110, 4, Τριποδίσκη ex St. B., ubi: Τριποδίσκος — λέγεται καὶ Τριποδίσκη. Ἡρωδιανὸς δωδεκάτῃ. l. 15 Καλύκη, Ἰτύκη, Ἐρύκη explevi ex St. B., Ναρύκη, Βεβρύκη ex eodem addidi, Ζαμβύκη usque ad finem ex Theogn. 110, 10.
l. 22 τὸ δὲ Ἐώκη usque ad finem addidi ex Theogn. 110, 14; in E. M. 55, 29 urbs Σεώκη scripta est: τὰ διὰ τοῦ ωκη ὑπὲρ δύο συλλαβὰς τῷ ω παραληγόμενα σπάνια· ὀξύτονα μέν εἰσι δύο ἀκωκή, ἰωκή. καὶ τὸ Σεώκη ὄνομα πόλεως βαρύνεται. l. 23 Lob. El. I 398 not. 17 in canone ἔν τε κυρίοις inserendum suspicatus est, sed canon se recte habet, si post ἐν προσηγορικοῖς interpungas. Nam id vult: appellativa et propria omnia praegravanda esse, e vocabulis ο praefinitis appellativa tantum acuenda. Propterea Μόκλη Πρόκλη ex St. B. in fine posui et post ὀπλή addidi προσηγορικά εἰσι καί. — Ζάγκλη explevi ex St. B.,

αἰδοῖα. Νίκανδρος ἐν τῷ η' Σικελίας «καί τις καὶ Ζάγκλης ἐδάη Δρεπανηΐδος ἄστυ». τὸ γὰρ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσι. αἴγλη· οὕτως δὲ πρότερον ἐκαλεῖτο Σύμη νῆσος Καρική. σίγλη τὸ ἐνώτιον, ζεύγλη, ὅπερ παρὰ τοῖς ἀρχαίοις κατὰ ποιητικὴν ἐξουσίαν συνέστειλε τὸ η̄ εἰς ᾱ ζεῦγλα. φύτλη, τρώγλη. Ὕβλη πόλις ἐν Σικελίᾳ ἡ ὕστερον Μέγαρα ἀπὸ Ὕβλωνος βασιλέως. εἰσὶ δὲ τρεῖς πόλεις Σικελίας Ὕβλαι. ἔστι καὶ πόλις Ἰταλίας. κίχλη, χύτλη, τρίγλη, στρέβλη, ὃ παραλόγως στρέβλα γραφὲν ὑπό τινων διορθωτέον, ὀμίχλη, γενέθλη. Ἀμύκλαι πόλις Λακωνικὴ τῶν ἑκατὸν πόλεων, ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισεν. Μόκλη κώμη Φρυγίας. Πρόκλη πόλις Λυδίας. τὸ μέντοι ὁμοκλή καὶ ὀπλή προσηγορικά εἰσι καὶ παραλήγουσιν ο̄, καὶ τὸ κεβλή ἀπὸ τοῦ κεφαλή γέγονε.

Τὰ εἰς λη μονογενῆ δισύλλαβα ἑτέρῳ λ̄ παραληγόμενα βαρύνεται, Ἕλλη, πέλλη, Ὕλλη πόλις. τὸ δὲ κυλλή τριγενές.

Τὰ εἰς λη μονογενῆ δισύλλαβα παραληγόμενα τῷ ᾱ ἢ ε̄ βαρύνεται, ἀσυνάλειπτα ὄντα, πάλη, σάλη ἡ φροντίς, ὅθεν ἀσαλής ὁ ἀμέριμνος. Αἰσχύλος «ἀσαλὴς μανία» καὶ ἀσαλίαν Σώφρων τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. ζάλη, ἄλη ἡ πλάνη, ἕλη, Ζέλη πόλις Τρῳάδος ἡ καὶ Ζέλεια. Πέλη πόλις Θεσσαλικὴ διττή, μία μὲν ὑπὸ Εὐρυπύλῳ, ἑτέρα δὲ ὑπὸ Ἀχιλλεῖ, καὶ ἀπὸ τοῦ Πέλη Πέλεια. Ἁλή δὲ πόλις πρόσχωρος τῇ Ἀργείᾳ καὶ Ἁλαί Ἀραφηνίδες καὶ Ἁλαί Αἰξωνίδες, δῆμοι τῆς Ἀττικῆς ὀξυτόνως. ἔστι δὲ καὶ λίμνη ἐκ θαλάσσης. εἰσὶ δὲ καὶ Ἁλαί πόλισμα Βοιωτίας. Παυσανίας ἐνάτῳ (24, 5). καὶ τῆς Κιλικίας δὲ πόλις. τὸ δὲ γαλῆ περισπᾶται ἀπὸ συναιρέσεως.

Τὰ διὰ τοῦ ηλη δισύλλαβα βαρύνεται, εἰ μὴ ἀπὸ δασέος ἄρχοιτο συμφώνου, στήλη· ἔστι καὶ Στῆλαι πόλις Κρήτης πλησίον Παραισοῦ καὶ Ῥιθύμνης. μήλη, κήλη, Πήλη μικρὰ νῆσος, μεθ' ὧν καὶ ἴλη ἄθροισις, τὸ δὲ χηλή καὶ θηλή ὀξύνεται ὡς ἀπὸ δασέος ἀρχόμενα.

---

proprium Αἴγλη addidi ex eodem s. Σύμη. ζεύγλη explevi ex Choer. Dict. 325, 12. Ὕβλη addidi ex St. B. 439, 10; p. 645, 2 Ὕβλα Dorice vocatur. κίχλη — γενέθλη sunt ex Eustath. 117, 44 et 1934, 22, quos locos supra p. 255, ubi de nominibus in λα agitur, proposui. In libro περὶ ποσότητος Cr. II 302, 18: κίχλη, τρίγλη, ὀμίχλη κατὰ τροπὴν Ἰωνικὴν ex τρίγλα, κίχλα, ὀμίχλα nata dicuntur. l. 14 Ὕλλη addidi ex St. B. l. 16 ad σάλη addidi verba ὅθεν — καλεῖ ex E. M. 151, 48: ἀσαλὴς ἡ ἄφροντις ἡ μηδενὸς φροντίζουσα· σάλη γὰρ — μανία. οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλόδωρος· καὶ γὰρ — καλεῖ. Videtur vocabuli interpretatio locum habuisse ἐν τοῖς περὶ Σώφρονος Apollodori. Schol. ad Il. Ε 576. — ἕλη accessit ex canone orthographico in An. Ox. II 326, 3. Ζέλη et Πέλη ex St. B. De Ἁλή Arcadius haec tantum habet Ἁλή δὲ δῆμος τῆς Ἀττικῆς ὀξυνόμενον; ipse explevi ex St. B. 68, 5 ubi diserte: λέγεται ὀξυτόνως et Ἁλαί adieci ex p. 67, 10. l. 26 Στῆλαι addidi ex St. B., Πήλη ex Theogn. 110, 20 et St. B. s. v., ubi adiicitur: βαρύνεται δέ· «τὰ γὰρ διὰ τοῦ ηλη δισύλλαβα βαρύνεσθαι θέλει, εἰ μὴ ἀπὸ δασέος ἄρχεται συμφώνου οἷον μήλη, στήλη». — ἴλη pro ἥλη scripsi cum Schmidt ex libro περὶ ποσότητος Cr. An. Ox. II 303, 18. Herodianus hoc loco posuit ἴλη (sic enim vocabulum ἄθροισιν significans Herodianus scripsit teste Hesychio), ut separaret ab εἴλη postea prolato ἡ θερμασία, quod eodem Hesychio teste per diphthongum exhibuit. Goettling. p. 151 ἥλη pro ἀλία accipit.

Τὰ εἰς λη δισύλλαβα μὴ κύρια παραληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ ῡ ὀξύνεται, βουλή, εὐλή ὁ σκώληξ, αὐλή ἡ ἔπαυλις «χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον» (Il. Ε 138). λέγεται καὶ αὖλις. εἰσὶ καὶ Αὐλαί ἐπίνειον Κιλίκων μεταξὺ Ταρσοῦ καὶ Ἀγχιάλης. εἰσὶν Αὐλαί καὶ Λυκίας χωρίον. οὐλή τὸ μονογενές «οὐλὴν μὲν πρῶτον» (Od. ω 331). τὸ γὰρ οὖλος οὖλη βαρύνεται ὁ ὀλέθριος καὶ ὁ οὐλότριχος· καὶ τὸ «ἑτέρῃ δ' ἔχεν οὔλας» (Od. γ 441), λέγω δὲ ἐπὶ τῶν κριθῶν ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. τὸ δὲ Θούλη νῆσος μεγάλη ἐν τῷ ὠκεανῷ ὑπὸ τὰ Ὑπερβόρεια μέρη, ἔνθα τὴν θερινὴν ἡμέραν ὡρῶν εἴκοσιν ὁ ἥλιος ἰσημερινῶν ποιεῖ, τὴν δὲ νύκτα τεσσάρων, τὰς δὲ χειμερινὰς τοὐναντίον — κύριον, καὶ τὸ δούλη τριγενές.

Τὰ εἰς λη δισύλλαβα παραληγόμενα τῇ ει ἢ τῷ ῑ βαρύνεται, εἵλη ἡ θερμασία κατὰ πλεονασμὸν τοῦ ῑ παρὰ τὸ ἕλη, δείλη, ὃ ἐτυμολογεῖται παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη. τὸ δὲ δειλή τριγενές. σεσημείωται τὸ σμιλή τὸ σμιλίον ὀξυνόμενον.

* Τὰ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ τῷ ῡ παραληγόμενα βαρύνεσθαι θέλει· τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνης Ἀμφιάρεῳ

καὶ νὴ Δι' ἐκ τοῦ δωματίου γε νῷν φέρε
κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

ὠνομάσθη δὲ ἀπὸ τοῦ κνάφου, ἥτις σημαίνει ἀκανθώδη ὕλην, ᾗ περιπεταννύντες τὰς ἐσθῆτας ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐσθῆτας χνοῦ, ᾧ καὶ πρὸς τὰς τύλας ἐχρῶντο, ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ

ὥσπερ κνεφάλλων ἢ πτίλων σεσαγμένος.

ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄· ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ ῡ γράφουσιν. ἔν τισιν ἐν Μαλθακοῖς Κρατίνου παρεφύλαξε Σύμμαχος.

---

l. 2 αὐλή apposui ex Il. Pr. Τ 26: εὐλάς: ὡς αὐλάς. εὐλή γὰρ ὡς αὐλή. τὰ γὰρ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ, διφθόγγῳ παραληγόμενα, ὀξύνεσθαι θέλει, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως· «οὐλὴν μὲν πρῶτον» (Od. ω 331), αὐλή, ἀπειλή, ὠτειλή. οὕτως καὶ εὐλή. τὸ μέντοι «ἑτέρῃ δ' ἔχεν οὔλας» (Od. γ 441), λέγω δὲ ἐπὶ τῶν κριθῶν, ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. προσέθηκα δὲ «εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως» διὰ τὸ δείλη βαρυνόμενον· ἐτυμολογεῖται γὰρ παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη. Hinc addidi ad οὖλη verba τὸ δὲ «ἑτέρῃ — ὀξυνόμενον τὸ οὐλή. cf. Ep. Cr. I 317, 7 et Cr. II 461, 16: «οὔλη δ' ἐπενήνοθε λάχνη» (Κ 134) Νικίας ὀξύνει ὁμοίως τῷ «οὐλὴν μὲν πρῶτον τήνδ' ἐφράσατο ὀφθαλμοῖσιν» (Od. ω 331), οἱ δ' ἄλλοι βαρύνουσιν ὡς κούρη. οὕτως γὰρ κτλ., quae exstant in Il. Pr. Κ 134. cf. E. M. 392, 48, Choer. Epim. in Psalm. 16, 7. — Caeterum αὐλή explevi ex St. B. et Αὐλαί ex eodem apposui. Θούλη explevi ex St. B. l. 14 addidi κατὰ πλεονασμὸν τοῦ ῑ παρὰ τὸ ἕλη ex Cr. II 303; hinc factum est, ut huius nominis ut affecti in Il. Pr. l. c. mentionem non iniecerit, δείλη explevi ex Il. Pr. l. c., cum quo congruunt Cr. An. l. c. σμιλή pro σμειλή scripsi ex Theogn. 110, 33, qui diserte σμιλή διὰ τοῦ ῑ, et Choer. Orth. 259, 28. l. 17 canonem de nominibus in ῡλη

Ἀναδράμωμεν ἐπὶ τὸ προκείμενον, παραθέμενοι τὸ τύλη, ὅπερ οὐκ ἦν παρ' Ἀττικοῖς. ἀλλὰ μέμνηται Σαπφὼ ἐν δευτέρῳ

ἐγὼ δ' ἐπὶ μαλθάκαν
τύλαν κασπολέω μέλεα

καὶ

ἀσάμενον
τύλᾳ κασπολέῳ.

οὐ γὰρ ὁ τέ σύνδεσμος. μύλη καὶ Μύλαι πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. καὶ Θετταλίας. πύλη. ἔστι καὶ τόπος Ἀρκαδίας Πύλαι, ὃς καὶ Πυλαία. σύλη ἐν Σαμίων ὥροις. «καὶ οὐδένα κατέδησεν ὧν τῆς σύλης μετασχεῖν». Λύλη πόλις Ἀρκαδίας, ὕλη καὶ Ὕλη πόλις Βοιωτίας. Ὅμηρος (Β 500) «οἵ τ' Ἐλεῶν' εἶχον ἠδ' Ὕλην καὶ Πετεῶνα». εἴρηται ἀπὸ Ὕλης τῆς Θεσπιέως ἢ ὅτι ὑλώδης ἐστίν. ἔστι δὲ καὶ πόλις Κύπρου καὶ Ὕλη χωρίον μεταξὺ τῆς Σαβίνων καὶ Ῥωμαίων πόλεως. μονήρες ἄρα τὸ φυλή ὀξυνόμενον. ἔστι δὲ τὸ τρίτον εἶδος τῶν παρ' Ἕλλησι κοινωνιῶν καὶ δῆμος Οἰνηΐδος φυλῆς. Ἀριστοφάνης Ἀχαρνεῦσι (1023) «πόθεν; ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι». καὶ ἐν Πλούτῳ (1146) «μὴ μνησικακήσῃς εἰ σὺ Φυλὴν κατέλαβες».

* Τὰ διὰ τοῦ $\overline{\text{ολη}}$ ῥηματικὰ ὄντα ὀξύνεται, στέλλω στολή, βάλλω βολή, χέω χολή.

* Δισύλλαβον εἰς $\overline{\text{ωλη}}$ ἀσυνάλειπτον οὐχ εὕρηται, τὸ δὲ πωλῆ περισπᾶται ἀπὸ συναιρέσεως.

Τὰ διὰ τοῦ $\overline{\text{αλη}}$ ὑπερδισύλλαβα μονογενῆ ἀσυνάλειπτα βαρύνεται· Ἑκάλη δῆμος τῆς Λεοντίδος φυλῆς, μασχάλη, αἰθάλη καὶ Αἰθάλη νῆσος Τυρρηνῶν. Ἑκαταῖος Εὐρώπῃ. ἔοικε δὲ κεκλῆσθαι διὰ τὸ σίδηρον ἔχειν τὸ ἐν αἰθάλῃ τὴν ἐργασίαν ἔχοντα. Φίλιστος δ' ἐν ε' Σικελικῶν Αἰθάλειαν αὐτὴν καλεῖ. δαμάλη, ἀγκάλη, φιάλη, ξυάλη, Ἀγχιάλη πόλις Κιλικίας παραθαλασσία πρὸς τῇ Ταρσῷ καὶ Ζεφυρίῳ. ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρός, ὡς Ἀθηνόδωρος περὶ τοῦ αὐτοῦ πατρίδος γράφων καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ «γίνεται δ' Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ κτίζει πόλιν Ἀγχιάλην, Ἀγχιαλέα τε τὸν παρακείμενον ποταμόν. γεννᾷ δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν Ταρσῷ, ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία. μεταπεσόν-

---

recepi ex Mon. 39, 11 insertis ex St. B. Μύλαι, quod ibi falso oxytonos scriptum est, et Πύλαι, praeterea Λύλη, ὕλη καὶ Ὕλη et in fine ἔστι δὲ δῆμος — κατέλαβες ex eodem adiectis. Theogn. habet ὕλη, πύλη, μύλη, τύλη, φυλή.
l. 19 hunc canonem ex Theogn. 110, 22 composui. l. 21 canonem statui ex Theogn. 110, 25 collato Eustath. ad Dionys. 591. l. 24 Ἑκάλη explevi ex St. B. Meinekius Ἑκαλή demum oxytonos scribi vult ut etiam contra libros exhibuit Σφενδαλή; sed non omnis terminationis demi acuuntur neque Herodianus in Mon. 39, 1, ubi accuratissime de vocabulis in $\overline{\text{αλη}}$ agit, huiuscemodi exceptionis meminit. Αἰθάλη proprium ex St. B. apposui; δαμάλη pro δειμάλη emendavit Lob. Proll. 91 not. 15 et Schmidt recepit. ἀγκάλη — ξυάλη sunt ex Mon. l. c., Ἀγχιάλη

τος δὲ τοῦ ὀνόματος Ταρσὸς ἐκλήθη». Αἰγιάλη μία τῶν τριῶν πόλεων ἐν Ἀμοργῷ τῇ νήσῳ. Ψυττάλη νῆσος περὶ Σαλαμῖνα. λέγεται καὶ Ψυττάλεια. ἔοικε δὲ Ψυττάλεια πρωτότυπον εἶναι ὡς Ἀγάμμεια, Μαντίνεια, Ἐρύθεια, Ζέλεια, ἀφ' οὗ κατὰ συναλοιφὴν ἐγένετο ὡς Ἀγάμμη, Μαντίνη, Ζέλη, Ἐρύθη. Μυκάλη πόλις Καρίας. Ἡρόδοτος πρώτῃ (c. 148). Δίδυμος δ' ὄρος τὴν Μυκάλην φησίν. ἐκλήθη δὲ ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπ' οἴκτῳ μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ Μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μέσῳ κεῖται τῆς Καρικῆς ἁλός. Πατάλη πόλις Ἰνδική, ἣ καὶ Πάταλα λέγεται, Πετάλη, Μυρτάλη. Ἀρβουκάλη πόλις μεγίστη τῶν ἐντὸς Ἴβηρος ποταμοῦ, ἣν μόλις εἷλεν Ἀννίβας, ὡς Πολύβιος τρίτῃ. Σφενδάλη δῆμος Ἱπποθοωντίδος φυλῆς. Μεγάλη νῆσος ἐγγὺς Λυκίας καὶ Θεττάλη δρᾶμα Μενάνδρου βαρύνεται παρὰ Ἀττικοῖς εἰς ἰδιότητα τεθέν. σεσημείωται ἄρα τὸ κεφαλή ὀξυνόμενον ἐπὶ τοῦ μερικοῦ εἴτε ἐπὶ τοῦ κυρίου. ἔστι δὲ δῆμος. εἰσὶ δὲ καὶ Βοὸς κεφαλαί τόπος καθ' ὃν ἐπολέμησε Προυσίας πρὸς Ἄτταλον, ὡς Ἐρατοσθένης ἐν ἑβδόμῃ Γαλατικῶν. τὸ γὰρ ἀλαλή ὁ θόρυβος παρὰ τὸ λαλῶ οὐ φύσει τρισύλλαβον «κλῦθ' ἀλαλά, πολέμου θυγάτηρ». τὸ δὲ μυγαλῆ περισπᾶται, ἐπεὶ παρὰ τὸ γαλῆ συντέθειται συναληλιμμένον καὶ περισπώμενον. κέχρηται δὲ τῷ ὀνόματι Κηφισόδωρος ἐν Ὑΐ

. ὦ καὶ λέων καὶ μυγαλῆ καὶ σκορπίος.

τὸ δὲ ἀμυγδαλῆ ἐκ συναιρέσεως. ἐκλήθη δὲ ἀμυγδαλῆ παρὰ τὸ ἐν τῷ μετὰ τὸ χλωρὸν ὡσπερεὶ ἀμυχὰς ἔχειν πολλάς. καὶ οὐδετέρως ἀμύγδαλον λέγεται. Δίφιλος «τρωγάλια, μυρτίδες, πλακοῦς, ἀμύγδαλα». Περὶ δὲ τῆς προφορᾶς τοῦ τόνου τῆς ἀμυγδαλῆς Πάμφιλος μὲν ἀξιοῖ ἐπὶ τοῦ καρποῦ βαρύνειν ὁμοίως τῷ ἀμυγδάλῳ, τὸ μέντοι δένδρον θέλει περισπᾶν, ἀμυγδαλῆ καὶ ῥοδῆ. καὶ Ἀρχίλοχος «ῥοδῆς τε καλὸν ἄνθος». Ἀρίσταρχος δὲ καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίως προφέρεται κατ' ὀξεῖαν τάσιν. Φιλόξενος δ' ἀμφότερον περισπᾷ. Εὔπολις «ἀπολεῖς με, ναὶ μὰ τὴν ἀμυγδαλῆν».

Ἀριστοφάνης· ἄγε νῦν, τὰς ἀμυγδαλᾶς λαβὼν
τασδί, κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ.
Φρύνιχος· ἀμυγδαλῆ, τῆς βηχὸς ἀγαθὸν φάρμακον.

Αἰγιάλη Ψυττάλη ex St. B., Μυκάλη ex St. B. et Mon., Πατάλη ex St. B., Πετάλη et Μυρτάλη meretricum nomina ex Mon., Ἀρβουκάλη — Θεττάλη ex St. B. — Extrema canonis verba ap. Arcad. haec sunt: τὸ δὲ κεφαλή ὀξύνεται· τὸ ἀλαλή ὁ θόρυβος παρὰ τὸ λαλῶ. τὸ δὲ ἀμυγδαλῆ ἀπὸ συναιρέσεως. Pro his ex Mon. posui σεσημείωται ἄρα usque ad σκορπίος inserto ex St. B. proprio Κεφαλή. Verba inde ab ἐκλήθη δὲ-ἀμυγδαλῆ usque ad finem sumpsi ex Athenaeo p. 53, ubi κληθῆναι δὲ ἀμυγδάλας φησὶν Ἡρωδιανὸς ὁ Ἀλεξανδρεὺς παρὰ τὸ κτλ., quae originatio in E. M. 87, 19 Oro assignatur. Sed non hanc tantum etymologiam Herodiano deberi, sed totum locum doctissima rei tractatio ostendit. cf. Lehrs Arist. 302 ed. II, Lob. Proll. 326 not. 19. — Herodianus quum in Mon. unum κεφαλή oxytonon esse traderet, synonymum γαβαλή ap. Hesych. praetermisit, ut annotat Lob. Proll. 91 not. 15. Idem Lobeckius quum verbis τὸ γὰρ ἀλαλή οὐ φύσει τρισύλλαβον significari existimaret apocopen τοῦ ἀλαλαγή, non meminit loci Arcadii, unde ἀλαλή per ᾱ pleonasticum ex λαλή ortum indicasse Herodianum patet. Retractat suam sententiam ipse Lob. El. I 18.

ἄλλοι δὲ ἀμυγδαλάς ὡς καλάς. Τρύφων δὲ ἐν Ἀττικῇ προςῳδίᾳ ἀμυγδάλην μὲν καρπὸν βαρέως, ἀμυγδαλῆ δὲ τὰ δένδρα, κτητικοῦ παρὰ τὸν καρπὸν ὄντος τοῦ χαρακτῆρος καὶ διὰ τούτου περισπωμένου.

Τὰ διὰ τοῦ ελη μονογενῆ ὑπερδισύλλαβα παροξύνεται, Σεμέλη, ἀγέλη, κυψέλη ὁ ῥύπος τῶν ὤτων καὶ τὸ ἀγγεῖον τῶν κηρίων. θυμέλη, ἀγέλη, μακέλη. Κυβέλη πόλις Φοινίκης. λέγεται δὲ καὶ ἡ Ῥέα Κυβέλη ἀπὸ Κυβέλων ὄρους ἱεροῦ. Ὑβέλη πόλις περὶ Καρχηδόνα. Ἑκαταῖος Ἀσίᾳ. Μαστραμέλη πόλις καὶ λίμνη τῆς Κελτικῆς. Ἀρτεμίδωρος. Ἀρβέλη πόλις Σικελίας. εἰ δέ τι ὀξύνεται, τὴν πρώτην συλλαβὴν φύσει ἢ θέσει μακρὰν ἔχει, πιμελή τὸ λίπος καὶ Ἀγγελή δῆμος τῆς Πανδιονίδος φυλῆς καὶ Πεντελή δῆμος Ἀντιοχίδος φυλῆς ὀξύνεται.

Τὰ διὰ τοῦ ηλη ὑπερδισύλλαβα βαρύνεται, ἀνθήλη καὶ Ἀνθήλη πόλις. Ἡρόδοτος ἑβδόμῃ (c. 200) «κώμη Ἀνθήλη». καὶ Ἀνθήνη ἐκλήθη. Γαβήλη πόλις Φοινίκης, κωβήλη ἡ συνουσία. Κανθήλη πόλις Λιβυοφοινίκων. Ἑκαταῖος Ἀσίᾳ. Σιδήλη πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ, καπήλη, ξυήλη, κιχήλη, Στυμφήλη, ὀπήλη, βαρβήλη. τὸ δὲ γαμφηλή ὀξύνεται καὶ τὸ θυηλή ἡ θυσία.

Τὰ εἰς ιλη ὑπερδισύλλαβα βαρύνεται, παστίλη ἡ τελευταία ἡμέρα τοῦ ἐνιαυτοῦ, σπατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων, μαρίλη ἡ κόνις, μυστίλη ὁ κοῖλος ἄρτος, πραδίλη, βασίλη ἡ βασιλίς· Ἀβίλη πόλις ἐπὶ τῷ Ἰορδάνῃ ποταμῷ. Πενθίλη πόλις Λέσβου ἀπὸ Πενθίλου, Τρεμίλη. οὕτως ἐκαλεῖτο ἡ Λυκία ἀπὸ Τρεμίλου. τὰ μέντοι ὠτειλή — γέγονε δὲ ἀπὸ τοῦ οὐτήσω οὐτηλή τροπῇ τῆς ου διφθόγγου εἰς ω καὶ τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτιακῶς ὡς πένης πένεις. λέγεται δὲ

l. 6 θυμέλη — μακέλη recepi ex Theogn. 111, 2, Κυβέλη et Ὑβέλη ex eodem et ex St. B., qui s. Κυβέλεια: Ἡρωδιανὸς δὲ Κυβέλην φησὶν πόλιν Φοινίκης. Μαστραμέλη Ἀρβέλη ex St. B. l. 10 φύσει ἢ θέσει addidi ex St. B., ex quo etiam Ἀγγελή et Πεντελή explevi. St. B. s. Ἀγγελή: ὀξύνεται δὲ κατὰ δύο τρόπους, ὅτι δήμου ὄνομα ὡς τὸ Περγασή καὶ Ἁλή, καὶ ὅτι τὰ διὰ τοῦ ελη μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, εἰ μὴ ἀπὸ φύσει μακρᾶς ἢ θέσει ἄρχοιτο (Σεμέλη ἀγέλη quae post βαρύνεται cum Meinekio inserenda sunt) διὰ τὸ Πεντελή καὶ Ἀγγελή. τὸ πιμελή σεσημείωται (quod sic scribendum videtur: καὶ πιμελή διὰ μακροῦ τοῦ ῑ, ut est ap. Theogn. 111, 3). l. 13 ἀνθήλη (libri ἀθήλη) exstat etiam in Il. Pr. I 220, ubi canon sic profertur: τὰ διὰ τοῦ ηλη μονογενῆ ὑπὲρ δύο συλλαβὰς καὶ ὀξύνεται, ὥσπερ γαμφηλή, θυηλή, καὶ βαρύνεται ὡς τὸ ἀνθήλη. Ex hoc ἀνθήλη Lob. Proll. 110 νυθήλη ap. Theogn. 111, 7 corruptum suspicatur. Ἀνθήλη recepi ex St. B., ubi Ἀνθήλη κώμη. Ἡρωδιανὸς δὲ πόλιν αὐτὴν φησὶ καὶ ἄλλοι. Γαβήλη explevi ex St. B., Κανθήλη ex eodem adieci secundum Meinekii emendationem, qui pro Ἡρόδοτος scribendum iudicat Ἡρωδιανός, et Theogn., ap. quem scriptum est Καθήλη ἡ πόλις. Σιδήλη accessit ex St. B., καπήλη — κιχήλη, de quo cf. Lob. El. I 434, ex Theogn. l. c., ex eodem Στυμφήλη et ὀπήλη, βαρβήλη Lobeckio l. c. ignota, qui cum postremo ἀρβάλη τήγανον Ταραντῖνοι Hesych. aliquid similitudinis habere dicit. l. 19 ἡ τελευταία — ἐνιαυτοῦ inserui ex E. M. 655, 48; σπατίλη ante τὸ ἀπόξυσμα κτλ. interposui ex Theogn. 111, 12. πραδίλη, de quo cf. Lob. Proll. 108, et βασίλη recepi ex Theogn., Ἀβίλη — Τρεμίλη ex St. B. ὠτειλή explevi ex Theogn. coll. Choer. Orth. 280, 30. Idem tradunt Cr. An. II 303, E. Gud. 379, 39 et 507, 3.

παρ᾽ Αἰολεῦςιν ὠτέλλη — καὶ ἀπειλή καὶ ὀφειλή ὀξύνεται, ὡς ἔχοντα τὸ ε̄ πρὸ τοῦ ῑ.

Τὰ διὰ τοῦ ολη ὑπερδιςύλλαβα βαρύνεται, εἰ μὴ ςύνθετα εἴη ἐκ προθέςεως, ἀςβόλη, θερςόλη, τριβόλη, ἀπαιόλη ἡ ἀπάτη. Ἰόλη, Ὁμόλη ὄρος Θετταλίας. Παυςανίας ἐνάτῳ (c. 8, 6). λέγεται καὶ Ὅμολος. Νακόλη νύμφη, ἀφ᾽ ἧς Νακόλαιον. τὸ δὲ ἐντολή, ἀνατολή, ἐμβολή, Ἐπιπολαί χωρίον ἀπόκρημνον προςεχὲς Συρακούςαις. Θουκυδίδης ἕκτῃ (c. 96). Προπολαί πόλις Σικελίας καὶ τἆλλα ἐκ προθέςεως ὀξύνονται.

Τὰ διὰ τοῦ υλη ὑπερδιςύλλαβα βαρύνονται· κορδύλη, κοτύλη, γογγύλη, κρωβύλη, ἀρβύλη, ἡδύλη, Κροκύλη, Βραχύλη πόλις Κερήτων, Βαβύλη πόλις ἐν Ὀδρύςαις. Καβύλη πόλις Θρᾴκης οὐ πόρρω τῆς τῶν Ἀςτῶν χώρας. Πολύβιος τριςκαιδεκάτῃ. Καρδαμύλη πόλις Μεςςηνίας. Ὅμηρος «Καρδαμύλην Ἐνόπην τε» (Il. I 150). Ἡρόδοτος (8, 73) δὲ Λακωνικὴν αὐτήν φηςιν. ἔοικε δ᾽ ἑτέρα εἶναι πληςίον Χίου. Μοτύλαι Σικελίας φρούριον. παρὰ τὴν Μοτύην. Φίλιςτος Σικελικῶν πέμπτῳ. Τριφύλη ἡ Κλυτίου μήτηρ. Παμφύλη θυγάτηρ Ῥακίου καὶ Μαντοῦς. Στρογγύλη μία τῶν ἑπτὰ Αἰόλου νήςων «ἀπὸ τοῦ ςχήματος καλουμένη, καὶ φλογὸς μὲν λειπομένη, φέγγους δὲ μετέχουςα». ἔςτι καὶ ἄλλη πρὸς τῇ Λυκίᾳ. Σκαπτηςύλη πόλις Θρᾴκης μικρὰ ἀντικρὺς Θάςου, ςταφύλη τὸ τεκτονικὸν ἐργαλεῖον, ςταφυλή δὲ ὁ καρπός. τὸ μέντοι Ἀγκυλή καὶ Ἀγρυλή ὀνόματα δήμων ὀξύ-

l. 4 τριβόλη — Ἰόλη sunt ex Theogn. 111, 19; de ἀπαιόλη Schol. Arist. Nubb. 1153 παρὰ τὸ ἀπαιολεῖν· Ἀρίςταρχος δὲ ὀξύνεςθαί φηςιν. Eustath. 352, 33 ἀπὸ τοῦ αἰόλλω ἀπαιόλη ἡ ἀπάτη. cf. Lob. Rhem. p. 256 not. 7. Ὁμόλη recepi ex Theogn. et St. B., Νακόλη ex St. B., ἐμβολή ex Theogn. 110, 24, Ἐπιπολαί ex St. B. et ex eodem Προπολαί, sic enim recte pro Πρόπαλαι ex comparatione gentilis Προπολαῖος cum Ἐπιπολαῖος scribendum esse indicat Meinekius. De his vocabulis cf. Lob. Proll. 131. l. 11 κρωβύλη — Κροκύλη sunt ex Theogn. 111, 23, Βραχύλη — Σκαπτηςύλη ex St. B. — De ςταφύλη et ςταφυλή explicatum adnotamentum habemus in E. M. 742, 44 depromptum ex Ammonio p. 124, quod hic subscribo, quia verisimile est Herodiano, qui in Il. Pros. saepius ad Ptolemaeum respicit, non ignotum fuisse: ςταφυλή ὀξύνεται καὶ βαρύνεται, ὥς φηςι Πτολεμαῖος· τὸ μὲν γὰρ βαρυνόμενον ὄνομα ἐπὶ τῆς καθιεμένης μολύβδου παρὰ τοῖς ἀρχιτέκτοςι τίθεται. τὸ δὲ ὀξυνόμενον ἐπὶ τῆς ὀπώρας. παρῆχθαι δὲ λέγουςι τὴν ὀπώραν ἀπὸ Σταφύλου τινός, ὃς ἐγένετο υἱὸς τοῦ Διονύςου. Ἡρακλείδης δὲ ἡμαρτῆςθαί (pro ἥμαρτε scripsi) φηςι λῆγον εἰς ὀξεῖαν. οὐδὲν γὰρ τῶν εἰς λη ληγόντων θηλυκῶν ὀνομάτων ἀμέτοχον γένους οὐδετέρου παραληγόμενον τῷ υ ὀξύνεται, κρωβύλη, Φαιςύλη, ἡδύλη, κορδύλη· οἱ οὖν ὀξύνοντές φαςιν, ὅτι ἀπὸ βαρυτόνου ἀρςενικοῦ γέγονε· τὰ γὰρ εἰς η θηλυκὰ ὀξύνεται, ἐὰν τὰ ἀρςενικὰ βαρύνηται οἷον πόθος ποθή, φόνος φονή, νόμος νομή, ὦνος ὠνή. καὶ τοὔμπαλιν Δαναός Δανάη. καὶ πῶς τὸ κόγχος κόγχη, φίλος φίλη, μύλος μύλη καὶ ἄλλα μυρία· καὶ ἐπὶ τῶν ὀξυτόνων καλός καλή ςυμβαρύνεται καὶ ὀξύνεται τοῖς ἀρςενικοῖς; καί τινες βοηθεῖν τῇ ςυνηθείᾳ βουλόμενοί φαςι, ὅςα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται ςημαινομένου, ὁμοτονεῖ. ὅςα δὲ διαλλάττει τῷ ςημαινομένῳ, καὶ τῷ τόνῳ διαλλάττεται. τὸ μὲν οὖν ξένος ξένη, φίλος φίλη καὶ τὰ ὅμοια ἀπαράλλακτά εἰςι· τὸ δὲ χόλος χολή, τρόπος τροπή, ςτρόφος ςτροφή, γόνος γονή, δόμος δομή διαφέρουςιν. εἰ οὖν τὸ ςτάφυλος ἀρςενικὸν διαφέρει τῷ ςημαινομένῳ, ἡ ςταφυλή τὸ θηλυκὸν ἐπὶ τῆς ὀπώρας ὀξύνεται [παρὰ τὸ ςτάζειν τὸν πηλόν ex alio adnotamento hic assuta seclusi].

νονται. τὸ δὲ Ἀγρυλή δῆμος Ἀθήνησι τῆς Ἐρεχθηΐδος φυλῆς γράφεται καὶ μετὰ τοῦ ᾱ Ἀγραυλή ἀπὸ Ἀγραύλου τῆς Κέκροπος θυγατρός. ἔστι δὲ καὶ πόλις Ἀθηναίων ἄποικος ἐν Σαρδοῖ ἀπὸ τοῦ δήμου κληθεῖσα Ἀγρυλή.

Τὰ εἰς ωλη ὑπερδισύλλαβα ὀξύνεται, παυσωλή, τερπωλή, εὐχωλή, ἀδμωλή ἡ ἄγνοια, θερμωλή, γαμφωλή, χαριτωλή, μεμφωλή, θεραπωλή. τὸ δὲ ἐριώλη ἡ μεγάλη πνοή ἀπὸ τοῦ ἐρί καὶ τοῦ ἄω τὸ πνέω βαρύνεται. ὡσαύτως καὶ Ῥακώλη χωρίον, ὅθεν αἱ γέρανοι ὁρμῶσι, οἱ δὲ Πυγμαῖοι κατῴκουν ἐν Καττούζᾳ, πόλει Θρᾴκης.

Τὰ εἰς μη λήγοντα προσηγορικὰ ἔχοντα κατ' ἐπιπλοκὴν σύμφωνον μὴ δασὺ ἔχον ἐν τῇ ἀρχῇ, ὀξύνεται, δεσμή, δυσμή, πυγμή, νυγμή, ξυσμή, αἰχμή, ὀχμή, δυθμή, μεθ' ὧν καὶ ἐφετμή καὶ ἀϋτμή, τὸ δὲ ἴθμη, στάθμη, λόχμη βαρύνεται. καὶ τὸ δόχμη Τρύφων ὡς ὄχθη καὶ στάθμη βαρύνει, Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ καὶ ὁ κωμικὸς ἐν τῷ «οὔτοι ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά». ἐν μέντοι, φησί, τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχθη, ὄχνη. τὸ δὲ Μέδμη κόρη τις, ἀφ' ἧς πόλις Ἰταλίας καὶ κρήνη ὁμώνυμος, Ἑκαταῖος Εὐρώπῃ, κύριόν ἐστι, μεθ' οὗ καὶ Ἀλύχμη τρισύλλαβον, ἐν ᾗ τιμᾶται Ἀλύχμιος Ἑρμῆς. τὸ μέντοι χάσμη βαρύνεται δασὺ ἔχον τὸ σύμφωνον.

Τὰ εἰς μη ἔχοντα σύμφωνον κατὰ διάστασιν βαρύνεται, τόλμη, ἅλμη, χάρμη, σκάλμη, θέρμη. ἔστι καὶ πόλις Θρᾴκης. Ἀπολλόδωρος δὲ Μακεδονίας φησὶ καὶ Θουκιδίδης (1, 61). Γέρμη πόλις Ἀσίας. Μάρμη πόλις Φοινίκης, Πάρμη πόλις Ἰταλίας. σεσημείωται τὸ ὁρμή καὶ τὸ γραμμή ὀξυνόμενα.

Τὰ διὰ τοῦ αμη εἴτε δισύλλαβα εἴτε ὑπερδισύλλαβα μονογενῆ βα-

---

l. 1 τὸ δὲ Ἀγρυλή δῆμος usque ad finem sunt ex St. B. l. 6 θερμωλή — θεραπωλή sumpsi ex Theogn. 111, 27. l. 7 ἐριώλη cf. Schol. ad Apollon. I 1132: ἐριώλας διαφόρως ἀνεγνώσθη, ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις. — Ῥακώλη addidi ex St. B. s. Κάττουζα. l. 11 verba ἔχον ἐν τῇ ἀρχῇ addidi cum Lob. Proll. 395, ubi accuratius de his vocabulis agitur. νυγμή — ξυσμή recepi ex Theogn. 111, 32; αἰχμή, ὀχμή pro corrupto λίχμη, δυθμή, ἀϋτμή ex Theogn. 112, 4, de ἀϋτμή E. Or. 30, 25: ἄω καὶ ἄσω ὄνομα ἀσμή καὶ τροπῇ τοῦ σ̄ εἰς τ̄ ἀτμή, πλεονασμῷ τοῦ ῡ ἀϋτμή. Ἡρωδιανὸς ἐν Ἐπιμηρισμοῖς. — ἴθμη et στάθμη ex Schol. ad Od. IV 264 τὸ εἰσίθμη βαρύνεται ὡς στάθμη, λόχμη ex Theogn. et Eustath. 1291, 46, unde quae de accentu vocabuli δοχμή posui, prompta sunt. cf. Velsen Tryph. p. 20. Μέδμη sumpsi ex Theogn. et St. B., Ἀλύχμη ex St. B.
l. 22 θέρμη addidi ex Theogn. 112, 5 et Θέρμη ex St. B., Γέρμη ex eodem, apud quem: Γέρμη πόλις Ἑλλησποντία πλησίον Κυζίκου, ἣν Ἡρωδιανὸς Ἀσίας φησί. — Μάρμη, Πάρμη ex eod. Ex his corrupta videntur ap. Theogn. σπέρμη et σέλμη. — De γραμμή E. M. 214, 13 ex Schol. ad Apoll. Rhod. IV 1677: τὰ εἰς μη λήγοντα καὶ ἑνὶ φωνήεντι παραληγόμενα βαρύνεται οἷον χρήμη, φήμη, κνήμη. τὰ δὲ ἔχοντα πρὸ τοῦ μ̄ ἕτερον μ̄ (sic Lob. Parall. 396 pro σύμφωνον scribendum recte indicat, nam ita regula in An. Ox. II 417, 19 concipitur: τόλμη βαρύνεται· τὰ εἰς μη λήγοντα ἔχοντα κατὰ διάστασιν σύμφωνον, ὁπότε μὴ τὸ αὐτὸ σύμφωνον εἴη, βαρύνεται· τὸ δὲ γραμμή ὀξύνεται, διότι τὸ αὐτὸ σύμφωνον παραλήγεται) ὀξύνεται οἷον γραμμή, cui normae Lob. ψάμμη repugnare negat, quia hoc per paraschematismum ex ψάμμος factum sit.

ρύνεται, εἰ μὴ εἴη ἐκ cυναιρέcεωc, Cάμη νῆcoc, καλάμη καὶ Καλάμαι πόλιc Πελοποννήcου. Παυcανίαc τετάρτῳ (c. 31, 3). παλάμη, Ζαδράμη βαcίλειον τῶν Κυναιδοκολπιτῶν. θαλάμη, Θαλάμαι πόλιc τῆc Μεccηνίαc. Θεόπομποc τριακοcτῷ δευτέρῳ Φιλιππικῶν. Κοροκονδάμη πληcίον Cινώπηc. Ἀρτεμίδωροc ἑνδεκάτῳ γεωγραφουμένων. Ὀργάμη πόλιc ἐν τῷ Ἴcτρῳ. Ἑκαταῖοc Εὐρώπῃ. τὸ δὲ cπιθαμή ὀξύνεται καὶ τὸ Ἱεραμαί· πόλιc Καρίαc. τὸ δὲ cηcαμῆ περιcπᾶται ὡc ἐκ cυναιρέcεωc.

* Τὰ εἰc μη παραληγόμενα τῷ ε cπάνια ὄντα βαρύνεται οἷον Κρέμη πόλιc Πόντου. Φλέγων ὀγδόῳ χρονικῶν.

Τὰ εἰc μη ἰαμβικὰ παραληγόμενα τῷ ο ἀπὸ ῥημάτων παραληγόντων ε ὀξύνεται, δρέμω δρομή, τέμνω τομή καὶ ἀνατομή, νέμω νομή καὶ προνομή, δέμω δομή, τὸ μέντοι κόμη βαρύνεται ἀπὸ τοῦ κόcμοc γεγονυῖα, κόcμη γάρ. ὡcαύτωc καὶ τὸ Εὐρυνόμη καὶ Ἀμφινόμη βαρύνονται.

Τὰ εἰc μη φύcει μακρᾷ παραληγόμενα βαρύνεται, μνήμη, κνήμη, φήμη, χήμη, νοcήμη, θελήμη, φιλήμη ἡ φιλία. ῥώμη καὶ Ῥώμη διαcημοτάτη πόλιc Ἰταλίαc, γνώμη, κώμη· εἴρηται ἀπὸ τοῦ ἐν αὐταῖc κοιμᾶcθαί τε καὶ αὐλίζεcθαι, ὡc Φιλόξενοc. βρώμη, τρώμη, Ἰθώμη πόλιc Θεccαλίαc τῆc Πελαcγιώτιδοc. Ὅμηροc «οἵ τ' εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεccαν (Β 729). ἔcτι καὶ Μεccήνηc. ἀπὸ Ἰθώμου βαcιλέωc. καλεῖται δὲ ὁ τόποc τῆc Θεccαλικῆc Θούμαιον ἀποβολῇ τοῦ ι καὶ τροπῇ τοῦ ω εἰc τὴν ου δίφθογγον Θούμαιον. κοίμη ἐπὶ τοῦ ὕπνου, οἴμη ἀπὸ τοῦ οἶμοc. ῥύμη ὁ cτενωπόc, τρύμη ἡ ταλαιπωρία, ζύμη, Cύμη νῆcoc Καρική, ὡc Cτράβων τεccαρεcκαιδεκάτῃ (p. 656). ὠνόμαcται δὲ ἀπὸ Cύμηc τῆc Ἰαλύcου. Cτρύμη πόλιc Θρᾴκηc, ὡc Ἀνδροτίων

---

l. 1 Καλάμαι addidi ex St. B., item Ζαδράμη; θαλάμη ipse addidi propter Θαλάμαι ap. St. B. De plurali θαλαμαί cf. Ammon. p. 68, quem exscripsit Eustath. 1541, 47: θαλαμὰc ὡc ἀγαθὰc καὶ Θαλάμαc ὡc μεγάλαc διαφέρειν φηcὶ Τρύφων παρὰ τοῖc Ἀττικοῖc, ἐν δευτέρῳ περὶ Ἀττικῆc προcῳδίαc. ἐὰν μὲν γὰρ ὀξυτονήcωμεν, δηλώcει τὸ τῶν Διοcκούρων ἱερόν· ἐὰν δὲ βαρυτονήcωμεν, τὰc καταδύcειc μηνύει. cf. Lob. Proll. p. 15 cum not. 3, Velsen Tryph. p. 12. Verisimile est Herodianum, qui saepe ad Tryphonem respiciat, aliquid huiusmodi tradidisse. Κοροκονδάμη Ὀργάμη sunt ex St. B., item Ἱεραμαί, quod Lob. l. c. comparat cum ἀγυιαί Πλαταιαί. De cηcαμῆ cf. Phot. cηcαμῆν: περιcπωμένωc καὶ Ἀρίcταρχοc καὶ Cέλευκοc. ἡ δὲ χρῆcιc ἑτέρωc. l. 9 canonem ipse finxi propter Κρέμη ap. St. B. l. 11 canon in An. Ox. II 394, 26 sic proponitur: τὰ εἰc μη καθαρὸν ἰαμβικὰ τὸ ο παραληγόμενα ὀξύνονται, ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε κατὰ τὴν παραλήγουcαν οἷον νομή, ἀνατομή, προνομή. τὸ μέντοι Εὐρυνόμη καὶ Ἀμφινόμη βαρύνονται. Hinc ἀνατομή et προνομή et Εὐρυνόμη Ἀμφινόμη inserui. — νέμω verbum nomini νομή anteposui ex Theogn. 112, 4, ex quo etiam δέμω δομή accessit. — Idem canon ad omnia in η consona praecedente ο praefinita verbalia extentus reperitur in Il. Pr. Ε 202. l. 17 χήμη — φιλήμη ἡ φιλία adieci ex Theogn. 112, 17; item ῥώμη ex 112, 23, Ῥώμη ex St. B., γνώμη κώμη ex Theogn., posterius explevi ex St. B., βρώμη recepi ex Theogn., τρώμη addidi ex Schol. H. ad Od. κ 379 βρώμηc ὡc ῥώμηc. ὅμοιον δὲ αὐτῷ ἐcτι καὶ τὸ τρώμη. καὶ Ἀρίcταρχοc παροξύνει cf. Prosod. Od. l. c. Ἰθώμη ex Theogn. et St. B., κοίμη οἴμη ex Theogn. l. 13; ῥύμη ex Theogn. et St. B., τρύμη Theogn., item ζύμη. Pro Cύμη τὸ κύριον ap. Arcad. posui, quae habet St. B., ex eodem reli-

ἑβδόμῳ. Κύμη πόλις Αἰολίδος πρὸ τῆς Λέσβου ἀπὸ Κύμης Ἀμαζόνος· ἔστι καὶ ἑτέρα Ἰταλίας. τρίτη τῆς Ἠλείας. τετάρτη Παμφυλίας. Δύμη πόλις Ἀχαΐας ἐσχάτη πρὸς δύσιν, ὅθεν καὶ Καλλίμαχος ἐν ἐπιγράμμασιν «εἰς Δύμην ἀπιόντα τὴν Ἀχαιῶν». λέγεται καὶ πληθυντικῶς ὡς Ἀπολλόδωρος «τούτων ἀπέχουσα σταδίους ρκʹ ἐσχάτη, κεῖται πρὸς δύσιν Δῦμαι». Δρύμη πόλις Λιβύης. Στράβων ιζʹ (p. 834). σεσημείωται τὸ τιμή προσηγορικὸν ὀξυνόμενον. Τίμη δὲ τὸ κύριον βαρύνεται.

* Τὰ εἰς μη̄ ὑπερδισύλλαβα ῡ παραληγόμενα βαρύνεται, Οἰσύμη πόλις Μακεδονίας. Θουκυδίδης τετάρτῃ (c. 107). ταύτην Αἰσύμην Ὅμηρος (Il. Θ 304) ἔφη «τόν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ». Ἡδύμη' πόλις Καρίας. Ἰδύμη πόλις Καρίας ἡ καὶ Ἴδυμα. Διδύμη μία τῶν Αἰόλου νήσων ἀπὸ τοῦ σχήματος ὀνομασθεῖσα. ἔστι καὶ πόλις Λίβυσσα. ἔστι καὶ κώμη Κιλικίας Διδυμαί, ὀξυτόνως. Δινδρύμη πόλις Μακεδονίας.

Τὰ εἰς νη̄ μονογενῆ μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται, πάχνη, λάχνη, ἄχνη καὶ Ἄχναι πόλις Θεσσαλίας. ἔστι καὶ Βοιωτίας, τέχνη, Αἴτνη πόλις Σικελίας ἀπὸ Κατάνης, Ἱέρωνος κτίσμα, ὡς..... φάτνη, δάφνη καὶ Δάφνη προάστιον ἐπισημότατον τῆς ἑῴας Ἀντιοχείας. ἔστι καὶ ἄλλη Δάφνη Λυκίας χωρίον. ἔστι καὶ ἄλλη πλησίον Πηλουσίου παρὰ τῶν ἐκεῖ πολλῶν φυομένων δαφνῶν. ὄρφνη ἡ νύξ. Ἴγνη πόλις πλησίον Πριάπου. Ἴχναι πόλις Μακεδονίας. Ἡρόδοτος ἑβδόμῃ (c. 123). Ἐρατοσθένης δὲ Ἄχνας αὐτήν φησι. Φιλητᾶς δὲ ἄλλην φησὶ διὰ τοῦ ᾱ. ἔστι καὶ ἑτέρα ἑῴα πόλις. λίμνη καὶ Λίμναι πόλις ἐν Ἑλλησπόντῳ, περὶ Σηστόν. Ἑκαταῖος Εὐρώπῃ. καὶ ἕτερος τόπος Ἀττικῆς Λίμναι καλούμενος, ἔνθα ὁ Διόνυσος ἐτιμᾶτο. Καλλίμαχος «Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς». Ὄννη ἐμπόριον τῆς εὐδαίμονος Ἀραβίας. ποίμνη. Βάτναι πόλις τῆς Ὀσροήνης. τὸ δὲ ψεδνός ψεδνή τριγενές. τὸ δὲ πρυμνή ἐπίθετον, ὅταν δὲ ἰδίως

---

qua addidi usque ad Δύμη. — In An. Ox. II 388, 4 canon sic statuitur: τὰ εἰς μη καθαρὸν δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται οἷον μνήμη, φήμη, κνήμη. ὁμοίως τὰ ἔχοντα πρὸ τοῦ μ̄ τὸ η̄, εἰ καὶ ὑπὲρ δύο συλλαβὰς διὰ τὸ νοσήμη, φιλήμη καὶ καθόλου ὁποῖα ὑπάρχει φύσει μακρᾷ παραληγόμενα οἷον Κύμη, λύμη. σεσημείωται τὸ τιμή ὡς προσηγορικόν. cf. Lob. Proll. 159, Parall. p. 397. l. 8 hunc canonem propter nomina a Stephano relata composui; cum praecedente coniungere nolui, quia quantitas varia aut incerta est. l. 16 Ἄχναι addidi ex St. B., Αἴτνη ex eo explevi; verisimile est Herodianum originem nominum explicuisse ut factum est in E. M. 40, 29 Αἴτνη ὄρος Σικελίας· παρὰ τὸ αἴθω τὸ καίω αἴτνη ὡς φάγω φάτνη, πήσσω πάχνη. — lacunam indicavit Meinek., quia nomen scriptoris velut Πίνδαρος excidisse videtur. Δάφνη apposui ex St. B., item Ἴγνη — Βάτναι. — τὸ δὲ πρυμνή usque ad finem apposui ex Il. Pr. Є 292 coll. Ξ 32. Arcadius, cum quo congruunt Ep. Cr. I 260, 15, e substantivis nullum exemit. In Ep. I 48 canon sic constituitur: τὰ εἰς νη̄ μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται οἷον ὄρφνη, λίμνη, τὸ ἀμνή ἀπὸ τοῦ ἄμενος (sic Lob. Proll. 241 not. 6 emendat pro ἀκμή ἐπὶ τοῦ ἄκμονος) ἀντιπίπτει καὶ στρωμνή καὶ Ἰχνή καὶ Ἰχνά πόλις ἐν Μακεδονίᾳ, ὥσπερ εἰ λέγοι πληθυντικῶς Ἰχναί· ἔχει δὲ ἀφορμήν, ὅτι τὰ ὀφειλόμενα βαρύνεσθαι ἑνικῶς, πληθυντικῶς ὁρᾶται ὀξύτονα, Πλάταια Πλαταιαί, Ὄρνεια Ὀρνεαί, Κλέωνα Κλεωναί. Sed quamquam ὁρᾶται Herodiani memoriam excitat, tamen quia ap. St. B. Ἴχναι paroxytonos exhibetur, hoc adnotamentum

ἐπὶ τοῦ πλοίου, βαρύνομεν ὡς λευκή καὶ λεύκη. ἀντιπίπτει δὲ τὸ στρωμνή.

* Ὡσαύτως καὶ τὰ ὑπερδισύλλαβα βαρύνεται, Πολίχνη Κρήτης πόλις. ἔστι καὶ Πολίχνα πόλις Τρῳάδος. Εὐδείπνη νῆσος Λιβυφοινίκων. Ἑκαταῖος περιηγήσει Λιβύης. Θεράπναι πόλις Λακωνική, ἥν τινες Σπάρτην φασίν, ἔστι δὲ τόπος ἔχων ναὸν τῶν Διοσκούρων διὰ τὸ ἐκεῖ τούτους τιμᾶσθαι. θεραπεύειν γὰρ τιμᾶν σημαίνει καὶ ὁ ναὸς τὴν οἰκίαν, ἔνθα θεοὶ θεραπεύονται. Καλύδναι νῆσοι, Ἀφίδναι δῆμος Ἀττικῆς, λέγεται δὲ καὶ Κάλυδνα, Ἄφιδνα. Ἀκάνναι ἐμπόριον περὶ τὴν Ἐρυθρὰν θάλασσαν. τὸ δὲ Ἐρυμναί πόλις Λυκίας — Ἀλέξανδρος ἐν πρώτῃ Λυκιακῶν — ὀξύνεται ἐπιθετικὸν ὄν.

Τὰ εἰς νη μονογενῆ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ̄ καταλήγουσαν βαρύνεται, πτέρνη, Λέρνη ἡ κρήνη, πέρνη καὶ Πέρνη πόλις Θρᾴκης ἀντικρὺ Θάσου, Τάρνη πόλις Ἀχαΐας, Ἄρνη πόλις Βοιωτίας. Ὅμηρος «οἵ τε πολυστάφυλον τ' Ἄρνην ἔχον» (Il. B 507) καὶ Λυκόφρων (v. 644) «Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι». δευτέρα πόλις Θεσσαλίας, ἄποικος τῆς Βοιωτίας, περὶ ἧς χρησμός «Ἄρνη χηρεύουσα μένει Βοιώτιον ἄνδρα». θυγατέρα δέ φασιν Αἰόλου τὴν Ἄρνην. τρίτη Μεσοποταμίας. τετάρτη τῆς Γρασινίων πρὸς τῇ Θρᾴκῃ. Θέρνη πόλις Θρᾴκης, Κάρνη πόλις Φοινίκης ἀπὸ Κάρνου τοῦ Φοίνικος, ὡς Ἴστρος φησίν. Ἀρτεμίδωρος δ' ἐν τῷ δεκάτῳ βιβλίῳ φησίν «ἔστι Κάρνος καὶ συνεχῶς Πάλτος, εἶτα Γάβαλα πόλις». ἔστι δὲ ἄλλη Αἰολίδος. Κέρνη πόλις καὶ λιμήν. τὸ δὲ φερνή ἡ προίξ παρὰ τὸ φέρω ὀξύνεται. Αἰολεῖς δὲ φέρεναν αὐτὴν λέγουσι ὁμοίως τῇ Ἕλεναν.

* Ἔτι καὶ τὰ εἰς ν̄η̄ μονογενῆ ὑπερδισύλλαβα ἔχοντα πρὸ τοῦ ν̄ ρ̄ βαρύνεται, Ἰέρνη νῆσος ἐν τῷ πέρατι πρὸς ταῖς δυσμαῖς, Ἰουέρνη πόλις ἐν τῷ πόντῳ τῷ Πρετανικῷ. Ἀχάρναι δῆμος τῆς Οἰνηΐδος φυλῆς.

---

in textum recipere dubitavi; sed στρωμνή in fine apposui, quum etiam Theogn. commemoret p. 115, 8 στρομόνη καὶ κατὰ συγκοπὴν στρομνή i. e. στρωμνή.
l. 2 hunc canonem finxi ex nominibus a St. B. relatis, de Καλύδναι Il. Pr. B 677: Καλύδνας: ὡς καλάθας ἀναγνωστέον. E. M. ὁ Ἀπολλόδωρός φησι λέγεσθαι Καλύδνας ὡς καλύβας. De Ἀφίδναι St. B. ἔστι καὶ πληθυντικὸν Ἀφίδναι, ita ut pluralia a singulari in ν̄η̄ paroxytono repetantur. Ἐρυμναί sic scriptum est ap. St. B., unde regulam composui. Huc pertinet etiam κυλίχνη φιάλη ἰατρική in libro περὶ ποσότητος Cr. II 302, 15. l. 13 Λέρνη explevi ex Theogn. 112, 27, πέρνη pro πάρνη scripsi ex Mon. 33, 29 et Πέρνη ex Theogn. et St. B. addidi, Τάρνη Ἄρνη ex Mon. et St. B., Θέρνη Κάρνη ex St. B., Κέρνη ex Mon. et Theogn. — Αἰολεῖς δὲ φέρεναν usque ad finem ex Mon. l. c. adieci: φερνή: τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ θηλυκὰ ἔχοντα πρὸ τοῦ ν ρ̄ βαρύνεσθαι θέλει, πέρνη, πτέρνη, Τάρνη πόλις, Κέρνη ὁμοίως, Ἄρνη, ἀλλὰ μόνον τὸ φερνή ὀξύνεται· Αἰολεῖς δὲ κτλ. Simillimum est fragmentum ex libro περὶ παθῶν in E. M. 790, 43: φέρενα· τοῦτο κατὰ διάλεκτον. οἱ γὰρ Αἰολεῖς λέγουσι τὴν φερνήν φέρεναν ἴσως προσφυέστερον παρὰ τὸ φέρειν. προίξ γάρ ἐστιν. ἦν γὰρ ἠλογημένον τὸ φερνή. τὰ γὰρ εἰς νη λήγοντα δισύλλαβα ἔχοντα πρὸ τέλους τὸ ρ̄ βαρύνεται, οἷον Τάρνη, πτέρνη. μόνον τὸ φερνή ὀξύνεται. ἐὰν δὲ δώσῃ τις τὸν τόνον μὴ πλεονασμὸν Αἰολικὸν εἶναι καὶ εἴπῃ φερένη καὶ μιμήσηται τὸ Ἑλένη, ἀπολέλυται τὸ ἠλογημένον. l. 25 hunc canonem finxi ex nominibus a St. B. prolatis. St. B. Ἀχαρναί δῆμος Οἰνηΐδος φυλῆς· Ἡρωδιανὸς Ἀχάρνης βαρύτονον, ubi Meinek.

Τὰ διὰ τοῦ ανη δισύλλαβα μονογενῆ βαρύνεται, ἄνη ἡ ἄνυσις, πλάνη, Κάνη καὶ Κάναι «πολίχνιον Λοκρῶν τῶν ἐκ Κύνου κατὰ τὰ ἄκρα τῆς Λέσβου». ἔστι καὶ ὄρος καὶ λιμήν. Στράβων ιγ' (p. 615). ἔστι καὶ πόλις Κάναι τοῦ Τίγρητος ποταμοῦ. εἰσὶ δὲ καὶ Κάνναι διὰ δύο νν. Σάνη πόλις Θρᾴκης μεταξὺ Ἄθω καὶ Παλλήνης. τὸ δὲ φανή παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον·

οἳ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον.

ὀξύνεται. τὸ μέντοι παρὰ Κορίννῃ βανά οὐ κοινὸν οὐδὲ εἰς νη λῆγον, ἀλλὰ ἴδιον θέμα Βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.

Τὰ διὰ τοῦ ανη μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, θηγάνη ἡ ἀκόνη, Ἐργάνη ἡ Ἀθηνᾶ, ὀρκάνη ἡ εἱρκτή, σαργάνη, πτισάνη, δαπάνη, λεκάνη, βοτάνη, δρεπάνη· Δρεπάνη δὲ ἐκαλεῖτο καὶ ἡ Φαιακία. ἔστι καὶ Λυκίας Δρεπάνη· ἔστι καὶ Δρεπάνη Βιθυνίας πρὸς τῷ Ἀστακηνῷ κόλπῳ, ἣν .... φησὶν ὠνομάσθαι, ὅτι «Δρεπάνην κλείουσιν ἀπὸ Κρονίδαο σιδήρου». ἔστι καὶ ὄρος Αἰθιοπίας. βρυκάνη, τρυπάνη. Λευκάνη ἡ τῶν Λευκῶν πόλις ἀπὸ Λευκίου τινός. Κατάνη πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Κατάνη πόλις, ὑπὲρ δὲ ὄρος Αἴτνη». κέκληται δὲ οὕτως, ἐπειδὴ κατέβη πρὸς τὸν Ἀμενανὸν ποταμὸν ἡ Θεοκλέους τοῦ Χαλκιδέως ναῦς, ἣν Δωριεῖς χωρὶς τοῦ υ νᾶν φασιν, ἢ ὅτι τῆς Αἴτνης κατατεθείσης τὸ ἄνω κάτω γέγονεν. Μασχάνη πόλις πρὸς τῶν Σκηνιτῶν Ἀράβων. Κορομάνη πόλις πρὸς τὸν Περσικὸν κόλπον. Μαλσάνη πόλις τῆς εὐδαίμονος Ἀραβίας. Πιτάνη πόλις Αἰολίδος. Σικάνη πόλις Ἰβηρίας, ὡς Ἑκαταῖος Εὐρώπῃ. Ῥωγάνη πόλις ἐν τῇ Ἰνδικῇ. Στεφάνη πόλις Φωκίδος. Ταπροβάνη νῆσος μεγίστη ἐν τῇ Ἰνδικῇ θαλάσσῃ. Ἀλέξανδρος ὁ καὶ Λύχνος

νῆσος τετράπλευρος, ἁλιστέφανος Ταπροβάνη
θηρονόμος πέπληθεν ἐϋρρίνων ἐλεφάντων.

ἣ πάλαι μὲν ἐκαλεῖτο Σιμούνδου, νῦν δὲ Σαλική, πλοῦ μῆκος οὖσα ἑπτάκις που χιλίων σταδίων, πλάτος δὲ πεντακοσίων. τὰ αὐτὰ δὲ καὶ Ἀρτεμίδωρος ἐνάτῳ γεωγραφουμένων. Τελάνη πόλις ἀρχαιοτάτη Συρίας, ἣν ᾤκει Νίνος πρὸ τῆς Νίνου κτίσεως. Χανδάνη πόλις Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Χανδάνη πόλις, μετὰ δὲ Πευκαῖοι». Ἀδράνη πόλις Θρᾴκης, ἣ μικρὸν ὑπὲρ τῆς Βερενίκης κεῖται, ὡς Θεόπομπος. Πολύβιος δὲ διὰ τοῦ η τὴν μέσην λέγει ἐν τρισκαιδεκάτῃ, Ἀδρήνη. Ἀφάναι χωρίον Σικελίας ἄσημον, ἀφ' οὗ ἡ «εἰς Ἀφάνας»

Ἀχάρνας sc. accusat. scribendum suspicatur, id quod amplexus sum. l. 2 pro Κάνη κύριον posui, quae habet St. B., caeterum iam ante Schmidtium pro corrupto Κυάνη emendaverant Κάνη Lob. Rhem. 265 et Meinek. ad St. B. Σάνη ex St. B. explevi. l. 5 τὸ δὲ φανή usque ad finem addidi ex Mon. 18, 22. l. 11 σαργάνη pro σωσάνη scripsi ex Mon. 18, 20; δρεπάνη addidi ex Mon., Δρεπάνη ex St. B., βρυκάνη, τρυπάνη ex Mon., Λευκάνη ex Eust. ad Dionys. 362, ubi diserte βαρυτόνως λέγεται appositum est, Κατάνη — Παρικάνη ex St. B.,

ἐπὶ τῶν ἀδήλων καὶ ἐκτετοπισμένων. Παρικάνη πόλις Περσική. Ἑκαταῖος Ἀσίᾳ «ἐν δ' αὐτοῖσι πόλις Παρικάνη οὔνομα». τὸ δὲ μηχανή ὀξύνεται. ὡσαύτως καὶ Ἀμφαναί πόλις Δωρική. Ἑκαταῖος ἐν πρώτῃ γενεαλογιῶν. Θεόπομπος Ἀμφαναίαν αὐτὴν καλεῖ ἐν πέμπτῳ Φιλιππικῶν. ἔστι καὶ χωρίον Θεσσαλίας ὡσαύτως. τὰ δὲ εἰς ανη ᾱ μακρῷ παραληγόμενα ἔχοντα ἔννοιάν τινος προσυπακουομένου ἐπὶ χωρῶν καὶ ἐπὶ πόλεων ὀξύνεται, Ματιανή μοῖρα τῆς Μηδίας. Στράβων ἑνδεκάτῃ (p. 509) «τοῦτο δὲ γίνεται καὶ τῆς Μηδίας ἐν τῇ Ματιανῇ». Ἀσιανή πόλις Ἠλείας. Ἀχριανή πόλις Ὑρκανίας. Πολύβιος δεκάτῳ. Σογδιανή χωρίον περὶ τὴν Βακτριανήν. Σουσιανή ἡ χώρα καὶ κώμη Σουσιανή. Συρβανή νῆσος ἐν τῷ Εὐφράτῳ.

Τὰ εἰς νη δισύλλαβα τῷ ε̄ παραληγόμενα καὶ βαρύνεται καὶ ὀξύνεται. βαρύνεται τὸ ἕνη, ὀξύνεται τὸ Θεναί πόλις Κρήτης, τινὲς δὲ Ἀρκαδίας. οἱ δ' ὄρος· καὶ τὸ Μεναί πόλις Σικελίας ἐγγὺς Παλικῶν. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. καὶ τὸ εὐνή μετὰ τοῦ ῡ. γέγονε γὰρ ἀπὸ τοῦ εἷς ἑνός ἑνή καὶ εὐνή, ψιλουμένης τῆς ευ διφθόγγου, ἐπεὶ τὸ ῡ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα, ἔκηλος εὔκηλος, ἕαδε εὔαδε. εἰσὶ δὲ καὶ Εὐναί πόλις Καρίας, ἐν ᾗ ποταμὸς Εὐναῖος.

Τὰ διὰ τοῦ ενη ὑπερδισύλλαβα μονογενῆ βαρύνεται, ὠλένη, Ἑλένη νῆσος τῆς Ἀττικῆς. Ἑκαταῖος Εὐρώπῃ. ἐκεῖ γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλωσιν Ἰλίου. ἔστι καὶ κρήνη Ἑλένη ἐν Χίῳ, ἐν ᾗ Ἑλένη ἐλούσατο. Κλυμένη. Κασμένη πόλις Σικελίας. Ἡρόδοτος ζ' (c. 155): Κτιμένη πόλις Θεσσαλίας, ὑπὸ Πηλέως Φοίνικι δωρηθεῖσα, ἧς τοὺς πολίτας Ὅμηρος Δόλοπάς φησιν, ὡς Σίντιας τῆς Λήμνου, καὶ Τρῶας τῆς Ἰλίου καὶ Ζελείας, καὶ Ἐπειοὺς τῆς Ἤλιδος, καὶ Φαίακας τῆς Σχερίας καὶ Ἄβαντας τοὺς Εὐβοέας. οὕτω καὶ «Κτιμένην Δολοπηΐδα» (Apollon. Rhod. I 68). Δυναμένη. Μελπομένη. Κατακεκαυμένη χώρα τῆς Ἐφεσίας. Στράβων τρισκαιδεκάτῳ (p. 628). Σταμένη πόλις Χαλύβων. Ἑκαταῖος Ἀσίᾳ. Ἀρμένη κώμη Παφλαγονίας. Μένιππος ἐν περίπλῳ, παρὰ δὲ Ξενοφῶντι ἐν ἀναβάσεως ς' (1, 9) Ἀρμήνη διὰ τοῦ η̄. Λυκοσθένη πόλις Λυδίας. Ξάνθος πρώτῃ Λυδιακῶν, ἣν καὶ Λυκο-

---

pro postremo Meinek. Παρικανή et pro Παρίκανοι Παρικανοί scribendum suspicatur. ὡσαύτως καὶ Ἀμφαναί ex St. B. adieci. Finem canonis τὰ εἰς ανη ᾱ μακρῷ ipse addidi collato Arcadio 107, 10 propter vocabula a St. B. prolata. omisi Δαριστάνη πόλις Περσική, quod fortasse Δαριστανή scribi debet. l. 13 pro Arcadii Θενή (cod. A) vel Θεναί (B) dedi quae praebet St. B., ex eodem adieci Μεναί. Verba γέγονε γὰρ — εὔαδε apposui ex Theogn. 112, 30, nam Herodianea esse docet locus ex libro περὶ παθῶν in E. Or. 57, 31: εὖνις: ὁ ἐστερημένος τινὸς παρὰ τὴν ἑνός γενικήν. ὁ γὰρ παρώνυμος χαρακτὴρ ἀπὸ γενικῆς γίνεται, οὕτω παρὰ τὴν ἑνός γενικὴν ἕνις καὶ κατὰ πλεονασμὸν τοῦ ῡ εὖνις et de spiritu cf. Il. Pr. A 554. Εὐναί sumpsi ex St. B. l. 20 Ἑλένη explevi ex St. B. Κασμένη ex St. B., ex quo Καυμένη, cui Mein. ad St. B. 370, 6 Κλυμένη substituere vult, ap. Theogn. 113, 2 corruptum videtur. Κτιμένη ex St. B., ex quo Κτημένη ap. Theogn. corruptum est. In Φυμένη ap. Theogn. continetur Κλυμένη. l. 27 Δυναμένη, Μελπομένη pro Ἐλπομένη ex Theogn. accesserunt, reliqua usque ad Λυκοσθένή sunt ex St. B., ex quo etiam Ἀκεσαμεναί usque ad

cθένειαν Νικόλαός φηcιν. τὸ δὲ Κλαζομεναί πόλιc ὀξύνεται ὡc καὶ Ἀκεcαμεναί πόλιc Μακεδονίαc, κτίcμα Ἀκεcαμενοῦ ἑνὸc τῶν ἐν Πιερίᾳ βαcιλευcάντων, Ἀλαλκομεναί πόλιc Βοιωτίαc, ἣ καὶ Ἀλαλκομένιον, καὶ πόλιc ἐν Ἰθάκῃ τῇ νήcῳ καὶ Ἰλλυρίαc καὶ Ἰδομεναί πόλιc Μακεδονίαc καὶ Εὐρυμεναί πόλιc Θεccαλίαc. Ἑκαταῖοc Εὐρώπῃ καὶ Μιcγομεναί πόλιc Θεccαλίαc. Ἑλλάνικοc πρώτῳ Δευκαλιωνείαc. καὶ Ὀργομεναί πόλιc Ἰλλυρίαc καὶ Δεξαμεναί μέροc τῆc Ἀμβρακίαc ἀπὸ Δεξαμενοῦ τοῦ Μεcόλου παιδὸc καὶ Ἀμβρακίαc τῆc θυγατρὸc Φόρβαντοc τοῦ Ἡλίου καὶ τὸ Εἰδομενή πόλιc Μακεδονίαc. Θουκυδίδηc β' (c. 100). καὶ τὸ δεξαμενή, εἰαμενή ὁ κάθυγροc τόποc τοπικὴν ἔννοιαν ἔχοντα.

Τὰ διὰ τοῦ ηνη μονογενῆ διcύλλαβα βαρύνεται, εἰ μὴ περιεκτικὰ εἴη, Ῥήνη νῆcοc μικρὰ πληcίον Δήλου. λέγεται καὶ Ῥηνίc καὶ Ῥηναία. Cήνη πόλιc Κελτική, φήνη τὸ ὄρνεον «φήνῃ ἐειδομένη» (γ 372), γλήνη ὁ ῥύποc, κρήνη, μήνη ἡ cελήνη. χήνη καὶ καταχήνη τὸ γέλαcμα. Λήνη, Βήνη πόλιc Κρήτηc ὑπὸ Γόρτυν τεταγμένη. τὸ μέντοι cκηνή ὀξύνεται ὡc προcηγορικὸν περιεκτικὴν ἔχον ἔννοιαν. ὡcαύτωc καὶ Cκηναί πόλιc ἀξιόλογοc Περcικὴ ὡc Cτράβων ιϛ' (p. 748).

Τὰ διὰ τοῦ ηνη τριcύλλαβα μονογενῆ βαρύνεται, Ἀρήνη πόλειc δύο, Μεccήνηc καὶ Τριφυλίαc. Ὅμηροc «καὶ Ἀρήνην ἐρατεινήν» (Β 591). Ἀθήνη πόλειc κατὰ Φίλωνα ἕξ. ἡ ἐν Ἀττικῇ, περὶ ἧc φηcι Χάραξ, ὅτι ὁ Θηcεὺc τὰc ἕνδεκα πόλειc τὰc ἐν τῇ Ἀττικῇ cυνοικίcαc εἰc Ἀθήναc cυνοίκια ἑορτὴν κατεcτήcατο. δευτέρα πόλιc Λακωνική, τρίτη Καρίαc, τετάρτη Λιγυcτίων, πέμπτη Ἰταλίαc, ἕκτη Εὐβοίαc, Δίαντοc κτίcμα, ὡc Ἔφοροc τρίτῃ «Ἄβαντοc δὲ γίγνονται παῖδεc Ἄλκων καὶ Δίαc καὶ Ἀρέθουcα, ὧν ὁ μὲν Δίαc κτίcαc πόλιν οὕτωc ἀπὸ τῆc πατρίδοc ὠνόμαcεν». αὗται δ' Ἀθῆναι Διάδεc λέγονται. ἑβδόμη Ἀκαρνανίαc, ὡc Δημήτριοc, Ἀθηναίουc ἐν τῇ Κουρήτιδι κτίcανταc πόλιν Ἀθήναc προcαγορεῦcαι. ὀγδόη Βοιωτίαc ἡ ἐκ τῆc λίμνηc ἀναφανεῖcα μετὰ τὸ πρότερον ἐπικλυcθῆναι τῆc Κωπαΐδοc, ὅτε Κράτηc αὐτὴν διετάφρευcεν. ἐκλήθη δὲ πόλιc, ὥc τινεc μέν φαcιν, Ἀθῆναι, ἄλλοι δὲ Ὀρχόμενόc, ὥc οἱ Βοιωτοί. ἔcτι δὲ καὶ ἐν τῷ Εὐξείνῳ πόντῳ χωρίον Ἀθῆναι, ὡc Ἀρριανόc (Peripl. P. Eux. p. 3). ἀνθρήνη εἶδοc μελίττηc, Μεccήνη καὶ χώρα καὶ πόλιc. Cτράβων ὀγδόῃ (p. 342). χώρα δὲ Μεccηνία καὶ Μέccη κατὰ ἀποκοπὴν ἢ Μέcη Μεcήνη, ὥc τινεc.

Εἰδομενή petita sunt. Diserte p. 59, 5 dicitur: Ἀκεcαμεναί ὡc Ἀλαλκομεναί, Κλαζομεναί. Sed urbium tantum nomina participiorum similia accentum in fine habere videntur, nam de Δεξαμένη nomine Nereidis traditur in Schol. B ad Il. C 44: Δεξαμένη· τινὲc ὀξυτόνωc διὰ τὸ Δεξαμενόc, ἀντιτάccεται δὲ αὐτοῖc τὸ Δαναόc Δανάη καὶ κολωνόc κολώνη. l. 13 Ῥήνη explevi ex St. B., Cήνη ex eodem, ad φήνη addidi verba Homerica ex Mon. 16, 30; κρήνη ex Mon. et Theogn. 113, 4, μήνη ex iisdem, χήνη — Λήνη ex Theogn., Βήνη ex St. B. cf. Lob. Proll. 199 not. 17, Cκηναί ex St. B. l. 19 Ἀρήνη explevi ex St. B., item Ἀθήνη et Μεccήνη.

ἔστι καὶ ἄλλη Μεσσήνη τῆς Σικελίας καὶ χώρα Περσίδος Μεσήνη δι' ἑνὸς σ ὑπὸ τῶν δύο ποταμῶν Εὐφράτου καὶ Τίγριδος μεσαζομένη ἢ καὶ Μέση τῶν ποταμῶν. γαλήνη, εἰρήνη· ἐκαλεῖτο δὲ καὶ Καλαύρεια νησίδιον πρὸς τῇ Κρήτῃ Εἰρήνη. σαγήνη, λευκήνη, τιθήνη, Πειρήνη ἡ πόλις, Κισθήνη ἡ πόλις, συβήνη, ἀπήνη, Χαλδήνη ὄνομα κύριον, Καβήνη ἡ Κρήνη Λυκίας, Σαρδήνη ἡ Ἀμαζών. σελήνη. ἔστι καὶ σελήνη πόπανόν τι τῷ ἄστρῳ παραπλήσιον. ὑπήνη. Παλλήνη πόλις Θρᾴκης ἀπὸ Παλλήνης τῆς Σίθωνος μὲν θυγατρὸς Κλείτου δὲ γυναικός, ὡς Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς «Παλλήνη δ' ἐστὶ χερρόνησος τρίγωνος, τὴν βάσιν ἔχουσα πρὸς μεσημβρίαν ἐστραμμένην. ἐκαλεῖτο δὲ Φλέγρα τὸ παλαιὸν καὶ ᾠκεῖτο ὑπὸ τῶν Γιγάντων. καὶ ἡ τῶν θεῶν καὶ τῶν Γιγάντων μάχη ἐνταῦθα μυθεύεται γενέσθαι». ἔστι δὲ καὶ δῆμος Ἀττικὸς τῆς Ἀντιοχίδος φυλῆς οὕτω λεγόμενος Παλλήνη. Κυλλήνη ὄρος Ἀρκαδίας, σταδίων Ὀλυμπιακῶν ἐννέα παρὰ πόδας ὀγδοήκοντα κατ' Ἀπολλόδωρον. ἀπὸ Κυλλήνης Ναΐδος νύμφης. ἔστι καὶ Ἠλείων ἐπίνειον Κυλλήνη. Κυρήνη πόλις Λιβύης ἀπὸ Κυρήνης τῆς Ὕψεως κατὰ τὸν Πίνδαρον ἢ Κύρης πηγῆς ἐγχωρίου. ἔστι καὶ Ἰβηρίας· καὶ Μασσαλίας ἄλλη. Κυδρήνη πόλις Ἀρμενίας. Ἰσμήνη ἡρωῒς καὶ κώμη Βοιωτίας, Ἀλμήνη πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ ὡς Ἀρριανός. Ἀνθήνη, οὕτως Χάραξ Ἀνθάναν φησί, πόλιν Λακωνικὴν μίαν τῶν ἑκατόν. κέκληται δέ, ὡς Φιλοστέφανος, παρὰ Ἄνθην τὸν Ποσειδῶνος, ... ὃν Κλεομένης ὁ Λεωνίδου ἀδελφὸς ἀνελὼν καὶ ἐκδείρας ἔγραψεν ἐν τῷ δέρματι τοὺς χρησμοὺς ὧδε τηρεῖσθαι. ἔστι καὶ Ἀρκαδίας πόλις. Ἀτήνη δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Διονύσιος Ἀτηνίαν. Ἀτρήνη πόλις .... Φιλοστέφανός φησιν ἀπὸ Δέσου καὶ Ἀτρῶνος καὶ Ἀτρήνης τῶν Ἄργητος τοῦ Κύκλωπος καὶ Φρυγίας νύμφης, προσηγορεῦσθαι. Ξιφήνη χώρα Παλαιστίνης. Σιδήνη πόλις Λυκίας ὡς Ξάνθος ἐν Λυδιακῶν τετάρτῳ. Βαρήνη πόλις Μηδίας ἐγγὺς Ἀγβατάνων. Συήνη πόλις μέση Αἰγύπτου καὶ Αἰθιοπίας ἐπὶ τῷ Νείλῳ, μεθ' ἣν ὠνόμασται Σῖρις ὁ ποταμός. μέμνηται δὲ πόλεως Παυσανίας (I 33, 4 e. g.), κέκληται δὲ ἀπὸ Συήνου Ἀετοῦ παιδός. Φιδήνη πόλις Ἀλβανῶν. ἔοικε καὶ Φίδηνα λέγεσθαι ὡς Ῥάβεννα. Μυκῆναι πόλις Πελοποννήσου. Ὅμηρος «οἳ δὲ Μυκήνας εἶχον (Β 569) ἀπὸ Μυκηνέως τοῦ Σπάρτωνος τοῦ Φορωνέως ἀδελφοῦ. ἢ ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει Περσεύς, ἔνθα κρατεῖ τις, οὗ πεσόντος ἐκ Περσέως κατὰ κέλευσιν Ἑρμοῦ τὴν πόλιν ἔκτισεν. ἢ ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰὼ βοῦν ἐκεῖ γενομένην. Πελλήνη πόλις Ἀχαΐας. λέγεται καὶ Πελλίνα ὡς Μιτυλίνα. Πριήνη πόλις Ἰωνίας. Πυλήνη πόλις Αἰτωλίας. Πυρήνη

εἰρήνη, cui Εἰρήνη ex St. B. apposui, usque ad Σαρδήνη (pro Σεδήνη cf. Lob. Proll. 195, 7) ex Theogn. 113, 11 ut huic priva inserui, σελήνη ex St. B., ὑπήνη ex canone orthographico in An. Ox. II 321, 24, reliqua ex St. B., cui quaedam cum Theognosto communia sunt. ad Μυκῆναι consului etiam Choer. Dict. 139, 32.

ὄρος Εὐρώπης. Χαζήνη σατραπεία πρὸς τῷ Εὐφράτῃ τῆς Μεσοποταμίας. Ἀρριανὸς ἐν τρισκαιδεκάτῳ Περσικῶν «ἐν ταύτῃ τῇ Ὀλβίᾳ καὶ τὰ πεδία τῆς Χαζήνης σατραπείου ἐπὶ μήκιστον ἀποτεταμένα». Καρήνη πόλις Μυσίας. Ἡρόδοτος ἑβδόμῃ (c. 42). Ξερξήνη ἀπὸ Ξέρξου Περσικὴ χώρα τῇ μικρᾷ Ἀρμενίᾳ ὅμορος. τὸ δὲ Εὐθηναί πόλις Καρίας ὀξύνεται ἐπιθετικὸν ὄν. τὸ δὲ Γερμηνή ἡ συνήθεια ὀξύνει· ὡσαύτως καὶ Τυρρηνή πόλις πρὸς τῷ Ἀδρίᾳ, ἣ λέγεται καὶ Τυρρηνία. Σωφηνή χώρα τῶν πρὸς Ἀρμενίαν, ὡς Στράβων ἐν ἑνδεκάτῃ (p. 527), παρὰ δὲ Ἀρριανῷ Σωφανηνή τετρασυλλάβως. Δραγγηνή χώρα Περσική. Ὠτηνή μοῖρα Ἀραβίας. Σαιδηνή ὄρος Κύμης.

Τὰ διὰ τοῦ ηνη ὑπερτρισύλλαβα ὀξύνεται, Κασαμηνή, Μελιτηνή πόλις Καππαδοκίας. Στράβων ἑνδεκάτῃ (p. 521) «τὸ δ' Ἄμανον ὄρος μέχρι τοῦ Εὐφράτου καὶ τῆς Μελιτηνῆς πρόεισι, καθ' ὃ ἡ Κομμαγηνὴ τῇ Καππαδοκίᾳ παράκειται». Παλαιστηνή. Ἀδραμυττηνή, Κομμαγηνή, Κοδομηνή, Παραιτακηνή, Σιπυληνή ἡ Δημήτηρ, Γοαρηνή χώρα Ἀραβίας πλησίον Δαμασκοῦ· λέγεται καὶ Γοάρεια. Γωγαρηνή χωρίον μεταξὺ Κόλχων καὶ Ἰβήρων τῶν ἀνατολικῶν. Καμβυσηνή ἀπὸ Καμβύσου Περσικὴ χώρα. Μοτιηνή χωρίον Ἰβηρίας. Ναβατηνή ἡ χώρα. Παρθυηνή ἡ χώρα. Πιμωλισηνή ἡ χώρα. Περπερηνή. οὕτως τινὲς Παρπάρωνα χωρίον ἐν Ἀσίᾳ Αἰολικὸν καλοῦσι. Ψιττακηνή χώρα παρὰ τῷ Τίγριδι, ἧς καὶ Ἀριστοτέλης μέμνηται ἐν τοῖς θαυμασίοις. Σαπφειρηνή νῆσος ἐν τῷ Ἀραβίῳ. Σιττακηνή ἡ χώρα. Ἀβρεττηνή χώρα Μυσίας ἀπὸ Βρεττίας νύμφης. Ἀδιαβηνή χώρα μέση τῶν ποταμῶν Εὐφράτου καὶ Τίγριδος, ἥτις καὶ Μεσήνη ὠνόμασται. Χολοβητηνή μοῖρα Ἀραβίας. Ἀρριανὸς ἕκτῳ Παρθικῶν «Τιγράνης ἀρχόμενος ἄρχεται σατράπης. ἡ δὲ χώρα ἧς ἐπῆρχε Χολοβητηνὴ ὀνομάζεται». Ἀραξηνή ἡ χώρα. τὸ δὲ Μιτυλήνη, βαρύνεται. ἔστι δὲ πόλις ἐν Λέσβῳ μεγίστη. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Μυτιλήνης τῆς Μάκαρος ἢ Πέλοπος θυγατρός. οἱ δὲ ὅτι Μυτίλης ἦν ὁ κτιστής. οἱ δὲ ἀπὸ Μύτωνος τοῦ Ποσειδῶνος καὶ Μυτιλήνης· ὅθεν Μυτωνίδα καλεῖ τὴν Λέσβον Καλλίμαχος ἐν τῷ τετάρτῳ, Παρθένιος δὲ Μυτωνίδας τὰς Λεσβικάς φησιν. λέγεται δὲ καὶ Μυτιλήνη. καὶ τὸ

---

l. 5 Εὐθηναί ex St. B. recepi et ex Herodiani mente explicavi. De Γερμηνή cf. Lob. Proll. 195; tuetur Arcadii scripturam etiam Theognostus, qui τὸ Γερμηνή τὴν αὐτὴν γραφὴν φυλάττον ὀξύνεται. Quae deinde posui, recepta sunt ex St. B. cum eo accentu, quo apud eum insignita sunt; atque fieri potest, ut Herodianus praeter Γερμηνή alia quaedam locorum nomina consueto acuto praedita enumeraverit, sed rem esse incertissimam ex Lobeckii expositione clarissime apparet. Quod idem p. 36 not. 37 dicit castaneorum speciem λευκηναί oxytonos scribendam esse a Leucis vico Troadis vocatam ut Ἀβυδηνός Δινδυμηνός etc. non habet Theognosti approbationem vocem inter barytonas referentis, atque propterea quod substantivum factum est, accentus mutatus videtur. Ξερξήνη p. 351, 11 ap. St. B. oxytonos, p. 480, 24 barytonos scriptum est. l. 11 Μελιτηνή explevi ex St. B., Ἀδραμυττηνή — Σιπυληνή addidi ex Theogn. 113, 20 Lobeckii emendationes Proll. 199 not. 17 recipiens; Γοαρηνή — Ἀραξηνή ex St. B. deprompsi. Μιτυλήνη explevi ex St. B. et Theogn.

Πακτυήνη καὶ Δινδυμήνη ἡ Ῥέα ἀπὸ Δινδύμων ὀρῶν τῆς Τρωάδος. καὶ Πορδοσελήνη νῆσος περὶ τὴν Λέσβον πόλιν ὁμώνυμον ἔχουσα. τινὲς δὲ ἐκκλίνοντες τὸ δύσφημον τοῦ ὀνόματος Ποροσελήνην ἐκάλεσαν. καὶ Ἀμφισσήνη χώρα τῆς μικρᾶς Ἀρμενίας, ὡς Στράβων ια' (p. 528). τὸ δὲ Παταληνή νῆσος Ἰνδική ὀξύνεται, τινὲς δὲ καὶ βαρυτόνως Παταλήνην ὡς Πριήνην ἀναγινώσκουσιν.

Τὰ εἰς νη δισύλλαβα μονογενῆ τῷ ι παραληγόμενα ἢ τῇ ει διφθόγγῳ βαρύνεται, κλίνη, δίνη ἡ συστροφή, Βίνη ἡ πόλις, πείνη, λέγεται δὲ καὶ πεῖνα, ῥίνη ὁ ἰχθῦς, τὸ δὲ ὄργανον ὀξύνεται.

Τὰ εἰς νη ὑπερδισύλλαβα μονογενῆ παραληγόμενα τῷ ι βαρύνεται, εἰλαπίνη, μυρσίνη, θριδακίνη, ἀξίνη, ὑσμίνη, σατίνη· ἔστι δὲ εἶδος ἅρματος. μυρσίνη καὶ Μυρρίνη διὰ δύο ρρ, δωτίνη, πυτίνη, Αἰητίνη, ἰατρίνη, ἡρωΐνη, Ὠκεανίνη, Μολυβδίνη πόλις Μαστιηνῶν. Ἑκαταῖος Εὐρώπῃ. Μαντίνη ἡ Μαντίνεια, κηρυκίνη, ὀρφίνη, Ἀρικίνη, Ἐρυκίνη, Ἀδρηστίνη, Εὐηνίνη, Μενεκίνη πόλις Οἰνωτρῶν ἐν μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ, μελίνη κέγχρος, χοιρίνη ἡ δικαστικὴ ψῆφος, Καρίνη ἡ πόλις, Ὑρμίνη πόλις τῆς Ἤλιδος «ὅσσον ἐφ' Ὑρμίνη καὶ Μύρσινος ἐσχατόωσα» (Β 616). Εὐκολίνη, Λογίνη, Ἀμαντίνη· οὕτως Καλλίμαχος καλεῖ Ἀμαντίαν μοῖραν Ἰλλυριῶν «καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην». Ἀρκεσίνη· μία τῶν τριῶν πόλεων τῶν ἐν Ἀμοργῷ τῇ νήσῳ. Πολύβιος δὲ ἀρσενικῶς τὸν Ἀρκεσίνην φησίν. Ἀχραδίνη νῆσος πόλιν ἔχουσα πρὸς ταῖς Συρακούσαις, ἣν ἐπολέμησε Μάκρος ὁ Ῥωμαίων στρατηγός, ἀλλὰ καὶ Ἀχραδίνη μοῖρα Συρακουσῶν. Χάραξ δὲ χώραν αὐτὴν καλεῖ καὶ νῆσον. Ἀσίνη πόλις Λακωνικὴ ἀπὸ Ἀσίνης θυγατρὸς Λακεδαίμονος, δευτέρα Μεσσήνης παρὰ τὴν Λακωνικήν, οἰκισθεῖσα ὑπὸ Ἀργείων. τρίτη Κύπρου. τετάρτη Κιλικίας. ἔστι δὲ καὶ πόλις πρὸς Ἑρμιόνῃ. Βιβλίνη χώρα Θρᾴκης. ἀπὸ ταύτης ὁ Βίβλινος οἶνος. οἱ δὲ ἀπὸ Βιβλίας ἀμπέλου. Σῆμος δ' ὁ Δήλιος τὸν Νάξιόν φησιν, ἐπειδὴ Νάξου ποταμὸς Βίβλος. Βολβιτίνη πόλις Αἰγύπτου. Ἑκαταῖος. Βολίνη πόλις Ἀχαΐας, ὡς Ῥιανὸς ἐν Ἀχαϊκῶν δευτέρῳ. Βουλίνη πόλις περὶ Ἰλλυρίαν, ὥς φησιν Ἀρτεμίδωρος, ἀφ' ἧς τὸ ἐθνικὸν Βουλῖνοι. Ἐλεφαντίνη πόλις Αἰγύπτου. Παρθένιος δὲ Ἐλεφαντίδα αὐτήν φησιν. Ἐχῖναι νῆσοι περὶ τὴν Αἰτωλίαν, αἷς Ἀχε-

---

l. 1 Δινδυμήνη explevi ex St. B. — Quamquam Arcadius et Theognostus tria tantum barytona afferunt, tamen Πορδοσελήνη et Ἀμφισσήνη propter traditum a St. B. accentum recepi. Παταληνή accessit ex Eust. ad Dionys. 1088, ubi ὀξυτόνως, ὡς οἱ ἀκριβεῖς λέγουσι i. e. Herodianus et Stephanus ex Herodiano exscriptus. l. 8 Βίνη recepi ex Theogn. 113, 27; ad πείνη adieci πεῖνα ex Theogn.; de ῥίνη cf. Lob. Proll. 66. Ex hoc Catholicae loco sua deprompsit Choer. Orth. 255, 5: ἰστέον ὅτι ἐστὶ ῥινή ὀξύτονον καὶ ῥίνη βαρύτονον. ἀλλὰ τὸ μὲν ὀξύτονον σημαίνει τὸ λεγόμενον ῥινίον, τὸ δὲ βαρύτονον εἶδος ἰχθύος.
l. 11 σατίνη — Μολυβδίνη inserui ex Dichr. 291, 23 addito Μυρρίνη ex St. B. s. Φάρσαλος et Μολυβδίνη ex St. B. expleto. Μαντίνη — Λογίνη debentur Theognosto, a Lobeckio Proll. 216 emendato, inter quae Μενεκίνη et Ὑρμίνη ex St. B. ampliata sunt. Ἀμαντίνη — Σιβερίνη sunt ex St. B., Ἀσίνη partim ex-

λῶος ὁ ποταμὸς προσβάλλει ἰλύν. λέγονται καὶ Ἐχινάδες διὰ τὸ τραχὺ καὶ ὀξὺ παρὰ τὸν ἐχῖνον ἢ διὰ τὸ πλῆθος ἔχειν ἐχίνων. Ἀπολλόδωρος δὲ ἀπὸ Ἐχίνου μάντεως. Καινίνη πόλις Σαβίνων ἡ ὑπὸ Ῥωμύλου ἁλοῦσα. Λιγυστίνη πόλις Λιγύων τῆς δυτικῆς Ἰβηρίας ἐγγὺς καὶ τῆς Ταρτησσοῦ πλησίον. Πλινθίνη πόλις τῆς Αἰγυπτίας ἐπὶ τῆς Μαρείας. Μοτίνη πόλις Ἰταλίας, ἄποικος Ῥωμαίων. Πολύβιος τρίτῳ (c. 40, 8)· Φλέγων δὲ Μουτίνην αὐτήν φησι. Σαβίνη ἐπὶ τῆς γυναικὸς καὶ ἐπὶ τῆς χώρας. Σιβερίνη πόλις Οἰνωτρῶν. τὸ δὲ ἐχινῆ ἡ τραχεῖα δορὰ ἀπὸ τοῦ ἐχινέα γέγονε, διὸ περισπᾶται. τὸ δὲ Φωτεινή κύριον διὰ τῆς ει διφθόγγου γραφόμενον ὀξύνεται. μετάγεται γὰρ ἀπὸ ἐπιθέτου.

Τὰ εἰς νη δισύλλαβα μονογενῆ παραληγόμενα μὲν τῇ οι διφθόγγῳ βαρύνονται, οἴνη ἡ ἄμπελος καὶ ὁ ἐν τοῖς βόλοις κενός· ἔστι καὶ Οἴνη πόλις Ἄργους. Ἑκαταῖος ἱστοριῶν πρώτῳ. θοίνη ἡ τροφή. τὸ δὲ ποινή ὀξύνεται. παραληγόμενα δὲ ο ὀξύνεται, μονή, γονή καὶ φονή ἡ ὀλεθρία.

* Τὰ διὰ τοῦ οινη ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ν τὴν οι δίφθογγον οὐκ εἰσὶ γνήσια. τὸ μὲν γὰρ ἀγκοίνη βαρυνόμενον παρὰ τὴν ἀγκῶνος γενικὴν πεποιημένον τροπὴν ἔσχε τοῦ ω εἰς τὴν οι δίφθογγον. τὸ δὲ μενοινή ὀξυνόμενον καὶ αὐτὸ τροπὴν ἔσχε τοῦ ω εἰς τὴν οι δίφθογγον. ὤφειλεν γὰρ εἶναι μενωνή. τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ ἀπὸ ῥημάτων γινόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς τὸ αὐτὸ σύμφωνον ἢ ἀντίστοιχον, τῷ ω μεγάλῳ παραλήγεται. ὁ δὲ λόγος ἐπὶ τρισυλλάβων οἷον ἀγωγή ἔδει εἶναι ἀγή καὶ γέγονεν ἀγωγή, ὁμοίως ἔδω ἐδή ἐδωδή, ὄζω ὀδή ὀδωδή, ὄπτω ὀπή ὀπωπή, ἔχω ὀχή ὀκωχή, ἄκω ἀκή ἀκωκή, οὕτω μένω τὸ προθυμοῦμαι μενή μενωνή, εἰ καὶ μὴ τὸ αὐτὸ σύμφωνον ἢ καὶ ἀντίστοιχον ἔχει ἐν τῇ τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς συλλαβῇ, καὶ ἴσως ὡς κατὰ τοῦτο γέγονεν τροπῇ τοῦ ω εἰς τὴν οι δίφθογγον μενοινή. παρατηρήσεις γὰρ τοῦτο, ὅτι τὰ οὕτω διπλασιασθέντα ἀπὸ φωνήεντος ἤρχετο οἷον ἀγωγή, ἀκωκή, ἐδωδή. τὸ δὲ μενοινή μόνον ἀπὸ συμφώνου· καὶ ἐπεὶ παρήλλαξεν κατὰ τὴν ἄρχουσαν πρὸς τὰ προκείμενα, παρήλλαξεν καὶ περὶ τὴν παραλήγουσαν.

* Τὸ Κελαιναί πόλις τῆς μικρᾶς Φρυγίας ἡ καὶ Ἀπάμεια μόνον εἰς αινη καταλῆγον ὀξύνεται ἐπιθετικὸν ὄν.

pletum ex Theogn. 113, 32, ubi Ἀσίνη ἡ Ἑρμιόνη. — τραχεῖα ante δορά inserui Lobeckio auctore Proll. 247 not. 21 cf. praeterea Choer. Orth. 170, 33 et E. M. 276, 16, unde Φωτεινή recepi, E. Gud. 146, 36 et p. 9, 6. l. 12 οἴνη explevi ex Theogn. 114, 6, Οἴνη ex St. B. addidi, θοίνη explevi ex Theogn. De ποινή habet Theogn. haec: γέγονε παρὰ τὸ φόνος φονή καὶ πλεονασμῷ τοῦ ι καὶ τροπῇ τοῦ φ εἰς π, quae explicatio Herodianea videtur, altera ἢ παρὰ τὸ πόνος πονή καὶ ποινή a Theognosto apposita. l. 16 adnotamentum de vocabulis in οινη depromptum est ex Theogn. 114, 12, ubi in fine additum est οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου, transiit maximam partem in E. M. 596, 38; quaedam leviora mutavi velut ἐδή ὀδή addidi et pro ἥκω ἀκή scripsi ἄκω cum Buttmanno ap. Lob. El. I 163 not. 21. l. 33 canonem propter Κελαιναί ap. St. B. finxi.

Τὰ διὰ τοῦ ονη ὑπερδισύλλαβα βαρύνονται καὶ ὀξύνονται. βαρύνεται μὲν τὰ παρώνυμα κύρια, Ἀντιγόνη, Ἠριγόνη θυγάτηρ Ἰκαρίου, Ἡγεμόνη ἀπὸ τῆς ἡγεμόνος γενικῆς, Ἑρμιόνη ἀπὸ τῆς Ἑρμιόνος γενικῆς, Χιόνη νύμφη, Νακόνη πόλις Σικελίας. Καλλιγόνη, Ἀλκυόνη, Πληϊόνη. ἔτι καὶ ταῦτα, σφενδόνη, ὀθόνη, ἀκόνη. ἔστι δὲ καὶ Ἀκόναι πολίχνιον πλησίον Ἡρακλείας. ἐπικέκληται δὲ διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πρὸς ἀκόνας πεποιημένων λίθων, βελόνη, περόνη, εὐφρόνη καὶ Εὐφρόνη, ἀμπεχόνη. ὀξύνεται δὲ ἡδονή, φλεγμονή, πλησμονή, αὐονή, καλλονή, χαρμονή.

Τὰ εἰς νη δισύλλαβα τῷ ῡ μακρῷ παραληγόμενα βαρύνεται, μύνη ἡ προτροπή, Βύνη, Φρύνη, Θύνη πόλις Λιβύης ὡς ὁ πολυίστωρ Ἀλέξανδρος. τὸ δὲ Κυνή πόλις Λυδίας. Ἑκαταῖος Εὐρώπῃ. καὶ γυνή ὀξύνεται τὸ ῠ βραχὺ ἔχοντα.

Τὰ εἰς νη ὑπερδισύλλαβα μονογενῆ παραληγόμενα τῷ ῡ βαρύνεται, αἰσχύνη, ὀδύνη, Δελφύνη, χελύνη, Κορύνη, Ταμύνη, τορύνη, σιγύνη, δουλοσύνη, ἀγνωμοσύνη, κερδοσύνη «ὥς φαμένη καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη» (Il. Χ 247), βριθοσύνη, ὑποθημοσύνη, ἁγιωσύνη, μεγαλωσύνη, χαρμοσύνη, δικαιοσύνη, εὐφροσύνη, ξεινοσύνη «ἀρχὴν ξεινοσύνης» (Od. φ 35) «πλαγκτοσύνης δ' οὐκ ἔστι κακόν» (Od. ο 343). «τὴν δ' ἤνης' ἥ οἱ πόρε μαχλοσύνην» (Il. Ω 30). «δρηστοσύνη οὐκ ἄν μοι» (Od. ο 321). «ταρβοσύνῃ, φὰν γάρ μιν» (Od. σ 342). «γηθοσύνῃ δὲ θάλασσα διίστατο» (Ν 29). ὁ δὲ Ἀρίσταρχος γηθοσύνη δὲ θάλασσα ἀντὶ τοῦ γηθόσυνος, χαίρουσα. ἀλλὰ τὰ διὰ τοῦ συνη θηλυκὰ εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος. οὐ γὰρ ἀγαθοφροσύνη γυνή. οὐκ ἄρα γένοιτο γηθοσύνη θάλασσα. εἰκός τινα φήσειν ὑπὲρ Ἀριστάρχου καὶ τῶν ἄλλων ὡς ὅτι αὐτὸς ἤδη ὁ ποιητὴς ἀρσενικῶς τοῦτο ἀπεφήνατο «γηθόσυνος δ' οὔρῳ» (Od. ε 269). οὕτως ἀκόλουθον θηλυκὸν γένοιτο ἂν τὸ γηθοσύνη. ὃν διδάξομεν ὡς ὅτι τὰ διὰ τοῦ συνος εἰ παράγοιτο ἐπιθετικῶς ἀρσενικὰ ὑπάρχοντα μηκέτι ποιεῖ κατὰ τὸ πλεῖον θηλυκοῦ γένους παρασχηματισμόν. τὸ οὖν δικαιόσυνος Ζεὺς οὐκ ἔχει τὸ δικαιοσύνη θηλυκὸν ἔτι ἐπιθετικῶς κατά τινος θεοῦ τασσόμενον.

---

l. 2 Ἠριγόνη explevi ex St. B., ex eodem addidi Ἡγεμόνη, Ἑρμιόνη, Χιόνη et Νακόνη, de quo Νακόνη ὡς ἀκόνη; Καλλιγόνη — Πληϊόνη ex Theogn. 115, 6, Ἀκόναι ex St. B., εὐφρόνη et Εὐφρόνη ex Ep. Cr. I 6, 28 et 180, 12 coll. 260, 14, ἀμπεχόνη ex An. Ox. II 348, 29; αὐονή — χαρμονή ex Theogn., apud quem falso barytonos scribi adnotat Lob. ad Buttm. p. 405. In E. M. 794, 47 canon sic conceptus est: τὰ διὰ τοῦ ονη, εἰ μὲν οὐσίαν σημαίνει, πάντα βαρύνονται οἷον βελόνη, περόνη, ἀγχόνη τὸ σχοινίον· ἐπὶ δὲ τοῦ πράγματος ὀξύνεται οἷον ἡδονή, καλλονή, ἀγχονή ἡ ἄγξις. Duplex accentus in ἀγχόνη et ἀγχονή statuitur etiam in An. Ox. II l. c. l. 11 Θύνη addidi ex St. B., item Κυνή.
l. 15 Δελφύνη — τορύνη accesserunt ex Dichr. 287, 23, σιγύνη ex Theogn. 115, 16 cf. Lob. Proll. 228; κερδοσύνη, ad quod verba Homerica ex Il. Pr. Ν 29 apposui, usque ad ὑποθημοσύνη ex Arc. 193, ἁγιωσύνη — εὐφροσύνη ex Theogn., ξεινοσύνη usque ad finem ex Il. Pr. l. c. adeas Lob. Proll. 232.

Τὰ εἰς ῶνη δισύλλαβα παροξύνεται, Ζώνη· ἔστι καὶ πόλις Κικόνων. Ἑκαταῖος Εὐρώπῃ. μνώνη, σμώνη ἡ πλῆξις τοῦ ἀνέμου, γρώνη, χώνη. ἔστι καὶ Χώνη πόλις Οἰνωτρῶν, ἧς Στράβων μέμνηται ἐν ἕκτῃ (p. 255) «καὶ τὴν γῆν ὀνομάσαι Χώνην». «καὶ Χώνη πόλις ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτῃ Χῶνες ἐκλήθησαν». τὸ δὲ φωνή ἀπὸ τοῦ φωνῶ καὶ τὸ ὠνή ἀπὸ τοῦ ὠνῶ ὀξύνεται.

Τὰ διὰ τοῦ ῶνη κύρια καὶ προσηγορικὰ ὑπερδισύλλαβα βαρύνεται, Δωδώνη πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ' ἣν Δωδωναῖος Ζεύς «Δωδώνης μεδέων δυσχειμέρου» (Il. Π 234). Φιλόξενος δὲ ὁ τὴν Ὀδύσσειαν ὑπομνηματίζων δύο φησί, Θετταλικὴν καὶ Θεσπρωτικήν, οὕτως «Δωδώνην νῦν φησι τὴν Θεσπρωτικὴν ἐν ᾗ τὸ μαντεῖον ἐκ τῆς δρυός, ἑτέρα δὲ ἡ Θετταλικὴ ἀφ' ἧς ὁ Ἀχιλλεὺς καλεῖ τὸν Δία.» ἔοικε δὲ οὗτος ἐπιλελῆσθαι τὸ «ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι» (Il. Π 234). πῶς γὰρ τούτων μέμνηται ἀπὸ τῆς Θεσσαλικῆς καλῶν αὐτόν; οὕτω δὲ καὶ Ἐπαφρόδιτος ἐν τῇ Π τῆς Ἰλιάδος «τιμᾷ τοὺς ἐν Δωδώνῃ ἔχοντας ἐπιφανὲς μαντεῖον, «τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι». ἐπικέκληκε δὲ Ἀχιλλεὺς τὸν ἐν τῇ Θετταλίᾳ γειτνιῶντα θεόν, ὡς καὶ ὁ Πάνδαρος εὔχεται τῷ Λυκηγενεῖ καὶ ὁ Χρύσης τῷ Σμινθεῖ. τὸν δὲ Δωδωναῖον ἔλεγον καὶ Νάϊον. Ζηνόδοτος δὲ γράφει Φηγωναῖε, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο». καὶ Σουίδας δέ φησι Δωδωναίου Διὸς ἱερὸν εἶναι ἐν Θεσσαλίᾳ καὶ τοῦτον ἐπικαλεῖσθαι. ἕτεροι δὲ γράφουσι Βωδωναῖε. πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. Κινέας δέ φησι πόλιν ἐν Θεσσαλίᾳ εἶναι καὶ φηγὸν καὶ τὸ τοῦ Διὸς μαντεῖον εἰς Ἤπειρον μετενεχθῆναι. ὠνόμασται δὲ κατὰ Θρασύβουλον, ὡς Ἐπαφρόδιτος ὑπομνηματίζων τὸ β' Αἰτίων «ἀπὸ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων νυμφῶν. Ἀκεστόδωρος δὲ ἀπὸ Δώδωνος τοῦ Διὸς καὶ Εὐρώπης». εἰκὸς δὲ ἀπὸ Δώδωνος ποταμοῦ Ἠπείρου. διτταὶ δ' εἰσὶ Δωδῶναι, ἡ ἐν Ἠπείρῳ καὶ ἡ ἐν Θετταλίᾳ, καθάπαρ ἄλλοι καὶ Μνασέας. ἡ δὲ Δωδῶνος γενικὴ μετὰ τῆς λοιπῆς κινήσεως ἠδύνατο κλίσις εἶναι τῆς Δωδών, εἴπερ ἦν ἐν χρήσει τῆς πόλεως ἡ εὐθεῖα. ἀλλ' οὐκ εἴρηται· διόπερ μεταπλασμὸς ἔοικε εἶναι. λήγεται δὲ καὶ εἰς ῶ. Σιμμίας ὁ Ῥόδιος «Ζηνὸς ἕδος Κρονίδαο μάκαιρ' ὑπεδέξατο Δωδώ». Βωδώνη πόλις Περραιβική, ὡς Ἀπολλόδωρος. οἱ δ' ὀρθῶς Θετταλίας ἀπὸ Βωδωνοῦ ἥρωος. Μεθώνη πόλις Θρᾴκης. Μαγνησίας, ἣν Ὅμηρος διὰ τοῦ η «οἱ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο» (Β 716). ἔστι δὲ καὶ Μακεδονίας. ἐκλήθη δὲ ἀπὸ τοῦ μέθυ. πολύοινος γάρ ἐστι.· καὶ τῆς Λακωνικῆς. δ' ἐν Περσίδι. ε' Εὐβοίας. Μοθώνη, εἰρεσιώνη, χελώνη,

l. 1 Ζώνη addidi ex St. B., γρώνη, χώνη ex Theogn. 115, 24, Χώνη ex St. B. — cf. E. M. 803, 55 τὰ εἰς νη δισύλλαβα τῷ ω παραληγόμενα βαρύνεται πλὴν τῶν ἀποτελούντων συζυγίαν πρώτην τῶν περισπωμένων (sic enim ex Choer. Ep. in Psalm. 100, 1 pro ἀπὸ τέλους scribendum est) ῥηματικῶν. l. 8 Δωδώνη explevi ex St. B., Βωδώνη ex eodem addidi, Μεθώνη ex St. B. explevi, Μοθώνη exstat ap. Theognostum, sed utrumque vocabulum etiam ap. Arcadium locum

κορώνη. ἔστι καὶ πόλις Μεσσηνίας, ὡς Ἀρτεμίδωρος ἑβδόμῳ τοῦ καταλόγου, καὶ μοῖρα τῆς Σαλαμῖνος τῆς ἐν Κύπρῳ. ἔστι δὲ καὶ Βιθυνίας. μελεδώνη. Ἰτώνη χώρα ὑπὸ τὸν Αἷμον, ὡς Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις Ἰτώνη ἐν Ἠπείρῳ καὶ Ἰταλίας καὶ Βοιωτίας καὶ Λυδίας καὶ ἡ Ἀθηνᾶ Ἰτώνη. ἐντεριώνη. Ἀτρυτώνη, Ἀκρισιώνη, Ἠλεκτρυώνη, Ἠϊώνη πόλις Βοιωτίας. Ἀμυμώνη; Ἠριώνη, Διώνη, Μηκώνη· οὕτως ἐκαλεῖτο ἡ Σικυών. Ἀργειώνη ὡς Ἀντίμαχος· οὕτως ἡ Ἑλένη. ῥᾳστώνη. Ἰώνη· οὕτως ἐκαλεῖτο ἡ Γάζα ἀπὸ Ἰοῦς προσπλευσάσης καὶ μεινάσης ἐκεῖ καὶ ἡ Ἀντιόχεια ἡ παρὰ Δάφνην, ἣν ᾤκησαν Ἀργεῖοι. Χιτώνη· οὕτως ἡ Ἄρτεμις ἐλέγετο καὶ Χιτωνία. Ἠλώνη πόλις Περραιβική. Ὅμηρος «Ὀρθὴν Ἠλώνην τε» (B 739), νῦν δὲ Λειμώνη διὰ τὸν ἐν αὐτῇ λειμῶνα. Κολώνη, γρονθώνη. Γυρτώνη πόλις τῆς Θεσσαλίας καὶ Περραιβίας. Ὅμηρος (B 738). λέγεται καὶ Γυρτών. Βιζώνη πόλις Ποντική. Βρυσώνη ἡ πηγή. Αἰγώνη· οὕτως Ῥιανὸς ἑκκαιδεκάτῃ Αἰγώνειαν πόλιν Μηλιέων λέγει. Ἁλώνη νῆσος πρὸς τῇ Κυζίκῳ, ἥτις καὶ Νεβρὶς καὶ Προχώνη ἐκαλεῖτο. ὠνομάσθη δὲ οὕτως, ὁπότε οἱ ἐποικοῦντες τὴν τῶν ἁλῶν ἐργασίαν ἐπενόησαν. τινὲς δὲ αὐτὴν εἶπον πόλιν Παφλαγονίας. Ἀργανθώνη· οὕτως λέγεται Ἀργανθὼν ὄρος Μυσίας καὶ ἡ Ῥήσου γυνή. Ἰστώνη ὄρος προσεχὲς τῇ Κερκύρᾳ. Θουκυδίδης τρίτῃ (c. 85). Λογγώνη Σικελίας πόλις. Κελαδώνη πόλις Λοκρίδος. Κρηστώνη πόλις Θρᾴκης. Λυκόφρων (v. 937) «ὁρμωκοτῆσαι τόν τε Κρηστώνης θεόν». ἔοικε δὲ εἶναι ἡ Κρηστὼν παρ᾽ Ἡσιόδῳ. Λυκώνη πόλις Θρᾴκης. Εὐφορίων Ἱππομέδοντι. Σαλμώνη πόλις τῆς Πισάτιδος καὶ κρήνη ὁμώνυμος ἀπὸ τοῦ Σαλμωνέως τοῦ βασιλέως. Σαλῶναι πόλις Δελματίας. Κυρτώνη ἀρχαῖον ὄνομα τοῦ Βοιωτίας πολίσματος ὃ λέγεται Κύρτωνες. Σκιώνη πόλις Θρᾴκης, ἔνθα λέγεται τὰς Τρῳάδας αἰχμαλώτους, διὰ τὸ μὴ ὑπὸ τῶν Ἑλλήνων εἰς δουλείαν ἀπενεχθῆναι τῶν αὐτῶν γυναικῶν, ἐμπρῆσαι τὰς ναῦς. οἱ δὲ πλοίων ἀποροῦντες ἐξ ἀνάγκης κατέμειναν αὐτοῦ πόλιν Σκιώνην οἰκίσαντες. Οἰνώνη νῆσος τῶν Αἰακιδῶν. Τορώνη πόλις Θρᾴκης ἀπὸ Τορώνης τῆς Πρωτέως ἢ Ποσειδῶνος καὶ Φοινίκης. ἔστι καὶ ἄλλη Τορώνη μετὰ Τροίαν κτισθεῖσα. τὸ δὲ Αἰξωνή δῆμος τῆς Κεκροπίδος φυλῆς ὀξύνεται, ὡς εἴθισται ἐπὶ πολλῶν τῶν δήμων, καὶ τὸ Κλεωναί καὶ Κολωναί πόλεις πληθυντικῶς λεγόμεναι.

---

habuit, quum cod. A Μοθώνη, BC Μεθώνη praebeant. Κορώνη proprium ex St. B. adieci, μελεδώνη — Βρυσώνη recepi ex Theogn. 115, 30 partim ex St. B. ampliata; pro Διώνη repetito posui Ἰώνη ex St. B., pro Ἰζώνη ex eodem Βιζώνη monente Lob. Proll. 229 not. 6 et pro Χρυσώνη Βρυσώνη eodem auctore; de γρονθώνη cf. Lob. Proll. 230 not. 8, certum est hoc non ex γρώνη corruptum esse, quum hoc γρώνη etiam a Theognosto inter disyllaba proferatur. Αἰγώνη usque ad Τορώνη sumpta sunt ex St. B. De accentu diserte Eustath. ad Hom. 333, 31: Ἠλώνη τῷ μὲν τόνῳ ὡς κορώνη, καθά φασιν οἱ παλαιοί, Il. Pr. O 548: ἐν Περκώτῃ ὁμοίως τῷ ἐν Οἰνώνῃ. l. 32 Αἰξωνή explevi ex St. B., Κολωναί cum L. Dindorfio scripsi pro Μολωναί cod. AB et Μοχωναί cod. C.

Τὰ εἰς ξη θηλυκὰ οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ μόνον τὸ αὐξή καὶ αὐτὸ ἀμφίβολον περὶ τόνον· οἱ μὲν γὰρ βαρύνουσι λέγοντες αὐτὸ ἀπὸ τῆς αὔξησις ἀποκεκόφθαι, ἐγὼ δὲ συγκατατίθεμαι τοῖς ὀξύνουσιν.

Τὰ εἰς πη δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν μὴ τὸ ο ἢ ι βαρύνεται, νάπη· ἔστι καὶ Νάπη πόλις Λέσβου, ἣν Λάπην ὀνομάζει Ἑλλάνικος ἐν δευτέρῳ Λεσβιακῶν. λύπη, σκέπη, κώπη· εἰσὶ καὶ Κῶπαι πόλις Βοιωτιακή. Ὅμηρος «Κώπας Εὔτρησίν τε» (B 502) ἀπὸ Κωπέως τοῦ Πλαταιέως τοῦ Ὀγχηστοῦ τοῦ Ποσειδῶνος. σήπη, λώπη, γύπη, κύπη εἶδος πλοίου· ἔστι καὶ Σικελίας φρούριον Κύπη. Φίλιστος Σικελικῶν ἐνάτῳ. Ῥύπαι πόλις Ἀχαϊκή. λέγεται καὶ Ῥιπαίη. Κάπαι πόλις Ἑλλησποντία. Ἀνδροτίων γ' Ἀτθίδος. τὸ δὲ τυπή ὀξύνεται καὶ τὸ ῥοπή καὶ τροπή καὶ ὀπή καὶ κλοπή. καὶ ῥιπή. τὸ δὲ Ῥίπη Ἀρκαδικὴ πόλις βαρύνεται εἰς ἰδιότητα «Ῥίπην τε Στρατίην τε» (B 606).

Τὰ εἰς πη δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους εἰς σύμφωνον καταλήγουσαν βαρύνεται, ἅρπη, λάμπη· ἔστι καὶ Λάμπη πόλις Κρήτης Ἀγαμέμνονος κτίσμα ἀπὸ Λάμπου τοῦ Ταρραίου. ἔστι καὶ δευτέρα τῆς Ἀκαρνανίας. καὶ τρίτη τῆς Ἀργολίδος, ὡς Φίλων. Ξενίων δὲ ἐν Κρητικοῖς διὰ δύο ππ γράφει τὴν πόλιν τὴν Κρητικήν. καὶ διὰ δύο αα καὶ διὰ τοῦ η. Κάλπη τὸ ὄρος. ἔστι καὶ πόλις Βιθυνῶν. Θεόπομπος ὀγδόῳ Ἑλληνικῶν. λέγεται καὶ Κάρπεια, σάλπη, κάμπη σκώληξ, καμπή δὲ ἡ κάμψις. Τράμπη πόλις Ἰωνίας, Ἄμπη πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Ἡρόδοτος ἕκτῃ (c. 20). Τάρπη πόλις Ἰταλίας. Ὄλπαι φρούριον κοινὸν Ἀκαρνάνων καὶ Ἀμφιλόχων δικαστήριον. Θουκυδίδης τρίτῃ (c. 105). Στίλπαι πόλις Σικελίας. πόρπη παρὰ τὸ πείρω. τὸ δὲ μολπή ἀπὸ τοῦ μέλπω καὶ πομπή παρὰ τὸ πέμπω ὀξύνεται. τὸ δὲ Πόμπη κύριον ὂν παροξύνεται.

Τὰ εἰς πη κύρια ὄντα ὑπερδισύλλαβα βαρύνεται, Καλλιόπη· ἔστι

---

l. 1 pro Arcadii verbis τὰ εἰς ξη· τὸ αὖξη εὕρηται βαρύτονον posui Theognosti verba p. 116, 4 ita ut pro Ἡρωδιανὸς δὲ συνηγορεῖ scriberem ἐγὼ δὲ συγκατατίθεμαι. Hic explicite Herodianum de utraque tonosi vocabuli disseruisse patet ex Theogn., qui addit κἂν ἡμεῖς τὰ τῆς συνηγορίας ἐκκλίνομεν διὰ τὸ σύντομον, οὐδὲ γὰρ περὶ τόνων γράφειν ὡρμήμεθα. Arcadius nimium brevitatis studiosus eum tantum accentum commemorat, quem Herodianus non ab omni quidem parte improbabilem, sed alteri postponendum pronunciaverat. Accurate de hac voce egit Lob. Rhem. p. 267 seqq. l. 5 pro τῷ ο scripsi τὸ ο et ἢ ι addidi ex Il. Pr. E 887: τυπῇσιν: ὡς πληγῇσιν. δοκεῖ δὲ ὡς πρὸς τὴν ἀναλογίαν σημειοῦσθαι. τὰ γὰρ εἰς πη (καθαρὰ) μονογενῆ δισύλλαβα φιλεῖ βαρύνεσθαι. εἰ δὲ ὀξύνεται, ἔχει πρὸ τέλους ἢ ι ἢ ο. πῶς οὖν τὸ τυπή μόνον ὀξυνόμενον τῷ υ παρελήχθη; cf. Lob. Rhem. 267 not. 24 et Proll. 13. — Νάπη proprium inserui ex St. B., item Κῶπαι, σήπη λώπη ex Theogn. 116, 30, γύπη κύπη ex eodem p. 116, 24, Κύπη ex St. B., item Ῥύπαι et Κάπαι, ὀπή et κλοπή ex Theogn. l. 12 et 13, ῥιπή et Ῥίπη ex Theogn. 117, 1 collat. St. B. s. v., ubi diserte additur βαρύτονον, et Il. Pr. B 606 et I 150, unde εἰς ἰδιότητα adieci. l. 15 Λάμπη, Κάλπη, Τράμπη — Στίλπαι addidi ex St. B., πόρπη ex Il. Pr. E 202: τὰ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε παραληγομένων μόνῳ οἷον στέφω στροφή, τροπή, ῥοπή, σπονδή, νομή, ὁλκή, πλοκή· οὕτως καὶ φορβή. προσέθηκα τῷ ε παραληγομένων μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη· τοῦτο γὰρ παρὰ τὸ πείρω.
l. 27 Καλλιόπη πόλις accessit ex St. B.

καὶ πόλις Παρθυαίων. Πολύβιος δεκάτῳ. Ἀντιόπη. Ϲτερόπη τὸ κύριον, στεροπή δὲ ἡ ἀστραπή, Μερόπη· οὕτως ἐκαλεῖτο Ϲίφνος νῆσος. Κασσιόπη. Κορόπη πόλις Θεσσαλίας. Ὀρόπη πόλις Εὐβοίας, ὅπου Ἀπόλλωνος διασημότατον ἱερόν. Ἰόπη πόλις Φοινίκης πλησίον Ἰαμνίας, ὡς Φίλων, ὡς δὲ Διονύσιος Παλαιστίνης. Φοινίκη γὰρ καὶ ἡ Παλαιστίνη. ἐκλήθη δὲ ἀπὸ Ἰόπης τῆς Αἰόλου θυγατρός, τῆς γυναικὸς Κηφέως τοῦ κτίσαντος καὶ βασιλεύσαντος. ἔστι καὶ Θεσσαλίας ἄλλη. Πηνελόπη. Ἐνόπη πόλις Μεσσηνίας. Ὅμηρος «Καρδαμύλην Ἐνόπην» (Il. I 150), μέμνηται αὐτῆς καὶ Παυσανίας τρίτῳ (c. 26, 8). Πελόπη κώμη Λυδίας πρὸς τῇ Φρυγίᾳ. Ἀλόπη πόλις Θεσσαλίας ἀπὸ Ἀλόπης τῆς Κερκυόνος, ὡς Φερεκύδης, ἢ τῆς Ἄκτορος, ὡς Φίλων. ἔστι δὲ μεταξὺ Κρεμαστῆς καὶ Ἐχίνου. δευτέρα ἐστὶ καὶ τῆς Ἀττικῆς. τρίτη Πόντου, ἀφ᾽ ἧς Πενθεσίλεια. τετάρτη περὶ Εὔβοιαν. πέμπτη περὶ Δελφούς. ἕκτη περὶ Λοκρίδα. Ὅμηρος τὴν μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας παράλιόν φησιν «ἐλθόντ᾽ ἐξ Ἀλόπης, ὅθ᾽ Ἀμαζονίδων γένος ἐστίν» (Β 857). Ῥοδόπη πόλις Ἰωνίας. Διόπη πόλις Ἀρκαδίας, ὡς Φερεκύδης. Πανόπη πόλις Φωκίδος ἡ καὶ Πανοπεύς. κέκληται δὲ ἀπὸ Πανοπέως τοῦ Φώκου παιδός. Παρθενόπη μία τῶν Ϲειρήνων καὶ πόλις ἐν Ὀπικοῖς τῆς Ἰταλίας κτίσμα Ῥοδίων. Δρυόπη ἡ Εὐρυπύλου θυγάτηρ καὶ πόλις περὶ τὴν Ἑρμιόνα. γράφεται καὶ Δρυόπα. Ἀρύπη πόλις, ἧς οἱ πολῖται Ἄρυπες. Ϲινώπη πόλις διαφανεστάτη τοῦ Πόντου, κτίσμα Κρητίνου καὶ Κῴου, ὥς φησι Φλέγων. Εὐρώπη ἡ χώρα ἐκ τῆς Φοίνικος θυγατρὸς ἢ τοῦ Ἀγήνορος. λέγεται καὶ Εὐρώπεια ὡς Ὑψιπύλη Ὑψιπύλεια, Ἀπάμη Ἀπάμεια, Πηνελόπη Πηνελόπεια, Λαοδίκη Λαοδίκεια, ἐρήμη ἐρήμεια, κολώνη κολώνεια. καὶ διὰ τοῦ ῑ Εὐρωπία παρὰ Ϲοφοκλεῖ Αἰχμαλώτισι «καὶ νησιώτας καὶ μακρᾶς Εὐρωπίας». καὶ Εὐριπίδης ἐν Θησεῖ «σχεδὸν παρ᾽ αὐτοῖς κρασπέδοις Εὐρωπίας». Κερκώπη. Μετώπη ὁ ποταμός. Κασώπη πόλις ἐν Μολοσσοῖς δι᾽ ἑνὸς σ̄. Κωνώπη πόλις Ἀκαρνανίας. Πολύβιος πέμπτῳ. Νησώπη πόλις Λέσβου ἡ τὸν Ϲίγριον λιμένα ποιοῦσα. Ἐπώπη ἡ Ἀκροκόρινθος διὰ τὸ Ϲίσυφον ἐντεῦθεν ἐπιδεῖν τὴν τῆς Αἰγίνης ὑπὸ Διὸς ἁρπαγήν. Ὑώπη πόλις Ματιηνῶν προσεχὴς τοῖς Γορδίοις. Ἑκαταῖος Ἀσίᾳ «ἐν δὲ πόλις Ὑώπη, οἱ δ᾽ ἄνθρωποι ἐσθῆτα φορέουσιν οἵηνπερ Παφλαγόνες». Ὀλύμπη πόλις Ἰλλυρίας ὡς Δομίτιος Καλλίστρατος ἑβδόμῳ περὶ Ἡρακλείας. Ζαριάσπη καὶ Ζαρίασπα πόλις Βα-

---

l. 2 Μερόπη ex Theogn. 116, 15 et St. B., Κασσιόπη ex Theogn., Κορόπη — Ἀλόπη ex St. B., de Ἀλόπη cf. Lehrs Arist. 238, qui Ephori mutationem versus Homerici «τηλόθεν ἐξ Ἀλύβης ὅθεν ἀργύρου ἐστὶ γενέθλη» meram coniecturam esse auctore Strabone XII p. 550 coarguit. l. 16 Ῥοδόπη — Δρυόπη sunt ex St. B., Ἀρύπη ex eo explevi, ubi additum est ὡς Ἡρωδιανός; item Ϲινώπη. Εὐρώπη additum est ex Theogn., St. B. et Eustath. ad Dionys. 152, ex quo adieci verba ὡς Ὑψιπύλη — κολώνεια, ad v. 270 accentus feminini Εὐρώπη repetitur ex masculino barytono Εὔρωπος. Κερκώπη Μετώπη inserui ex Theogn., item Κασώπη, de quo St. B. πάντες διὰ δύο σσ, Ἡρωδιανὸς δὲ μόνος δι᾽ ἑνὸς σ̄;

κτριανή. Στράβων ἑνδεκάτῃ (p. 514). Χάραξ δὲ οὐδετέρως τὰ Ζαρίαςπα. Ἐνίςπη πόλις Ἀρκαδίας «καὶ ἠνεμόεςςαν Ἐνίςπην» (Β 606). νῦν δ' οὐκ ἔςτι. φαςὶ δὲ ἢ τῆς Κλειτορίας γῆς εἶναι ἢ τῆς Ψωφῖδος. Εὐίππη δῆμος Καρίας. Κυδίππη Ὀχίμου θυγάτηρ. Γοργίππη πόλις Cινδική, ἢ καὶ Γοργίππεια. τὸ μέντοι ςιωπή ὀξύνεται καὶ ἐνωπή, ἐςωπή, περιωπή καὶ τὸ ἐνοπή καὶ ἀςτραπή καὶ ἀςτεροπή καὶ ἐνιπή ἡ ἐπίπληξις καὶ λατυπή, χαμαιτυπή. ςεςημείωται τολύπη βαρύτονον ἡ ἐργαςία καὶ Ἀμφιτροπή ὀξύτονον δῆμος τῆς Ἀντιοχίδος φυλῆς.

Τὰ εἰς ρ̄η̄ ἰωνικώτερα κατὰ τροπὴν τοῦ ᾱ εἰς η̄ βαρύνεται, κόρη, Ἄςκρη πόλις Βοιωτίας, Ὀλύκρη πόλις περὶ Ναύπακτον. Ἑκαταῖος περιηγήςει Εὐρώπης. Ἀντιςάρη καὶ αὕτη πόλις. τινὲς δὲ Τιςάρη γράφουςι, δέρη ὁ τράχηλος, τὸ δὲ δειρή πλεοναςμῷ τοῦ ῑ ὀξύνεται. ἀθάρη. ἔςτι δὲ ςιτῶδές τι ἑψητόν, ὅπερ ἐν τῇ ςυνηθείᾳ λάθυρον καλοῦςι. Ἐφύρη ὄνομα πόλεως, ὡς παρὰ τῷ ποιητῇ (Il. Ζ 152)

ἔςτι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο.

ἔςτι δὲ ἡ νῦν λεγομένη Κόρινθος. ἔςτι δὲ καὶ Ἐφύρη παρὰ τῷ Θουκυδίδῃ (I, 46, 2). Κύρη· ἔςτι δὲ ὄνομα πηγῆς, ἀφ' ἧς καὶ Κυρήνη πόλις. ἔςτι δὲ καὶ νῆςος ἐν τῷ Περςικῷ κόλπῳ. Ἑκαταῖος ἐν περιηγήςεως δευτέρῳ. Τερψιχόρη. Ἀττικοὶ δὲ διὰ τοῦ ᾱ φαςὶ Τερψιχόρα. ἐπὶ κόρρης, ςημαίνει δὲ τὸ ἐπὶ κεφαλῆς. κόρςη γὰρ ἡ κεφαλὴ καὶ ἀπὸ τοῦ κόρςη καὶ κόρρη ὡς ἄρςην καὶ ἄρρην. Κάτρη καὶ αὕτη πόλις Κρητικὴ ἀπὸ Κάτρεως. Ἄγρη πόλις Λυδίας. Τάφραι καὶ Τάφρη ἑνικῶς, χώρα ταφρευθεῖςα περὶ τὴν Μαιῶτιν λίμνην ὑπὸ δούλων ταῖς

---

reliqua omnia usque ad Γοργίππη apposita sunt ex St. B., tum ἐνωπή — περιωπή ex Theogn., item λατυπή, χαμαιτυπή et in fine Ἀμφιτροπή ὀξύτονον κτλ. ex St. B. Caeterum adnoto recto accentu scriptum esse in E. M. 344, 47 ἐνοπαῖς τοῖς ἐνωτίοις sic ut hoc ἐνοπή non ab altero ἐνοπῇ i. q. βοῇ distinguatur accentu. in Hesychii loco corrupto ἐνώταις ἐνωτίοις· τῇ προςῳδίᾳ ὡς φιλόπαις. Cοφοκλῆς Αἰχμαλώτιςιν scribendum est ἐνοπαῖς ἐνωτίοις· τῇ προςῳδίᾳ ὡς διοπαῖς, nam φιλόπαις iniuria tuetur Schmidtius; sed etiam διοπή in fine acuendum est, neque enim est femininum ab δίοπος, quod a Polluce explicatur ἐνόπτης τῆς νεώς, sed substantivum a praepositione διά et ὀπή pariter compositum atque ἐνοπή ex ἐν et ὀπή. De proprio Ἐνόπη cf. Lob. Proll. 67. l. 10 Ἄςκρη explevi ex Herod. Cathol. ap. Choer. 515, 4 (Bekk. Anecd. 1173), ubi καὶ ςημειοῦταί τινα ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου μὴ ἐξενεχθέντα διὰ τοῦ ᾱ, ἀλλὰ διὰ τοῦ η̄ (sc. ἔχοντα τὸ ρ̄)· εἰςὶ δὲ ταῦτα· quae suo loco inserui; Ὀλύκρη ampliavi ex eodem loco et St. B., qui s. Κάτρη: τὸν Ἰωνικὸν ἔχουςι τρόπον, ὡς Ἡρωδιανὸς περὶ Ὀλύκρης γράφων, Ἀντιςάρη ex Choer. et St. B., apud quem: Ἀντιςάρα ἐπίνειον Δατηνῶν· Ἡρωδιανὸς «Ἀντιςάρη, καὶ αὕτη πόλις». τὸ δὲ δειρή πλεοναςμῷ τοῦ ῑ ὀξύνεται addidi ex E. M. 262, 53 (nam idem tradit Theogn. 101, 10), sed dubitavi adiicere, quod E. M. apponit: Δείρη δὲ ἡ πόλις βαρυτόνως, quia ap. St. B. acuitur. Propter hanc accentus ambiguitatem urbis nomen in textum non recepi, sed hic Stephani Byz. explicationem subscribo: Δειρή ἄρα καὶ πόλις ὁμώνυμος πρὸς τῇ Αἰθιοπίᾳ. Στράβων ις'. ἔςτι καὶ πόλις .... Ἀθηναίων ςυμμαχική. Nomina inde ab ἀθάρη usque ad Ἄγρη sunt ex Choer. collato St. B., λάθυρον scripsi ex MS Bar. pro ἄρςανα, Cr. Ox. III 412, 9 ἀθαρόν. Ἐφύρη praeterea amplificavi ex An. Ox. I 159, 15 verbis ἔςτι δὲ καὶ Ἐφύρη παρὰ τῷ Θουκυδίδῃ. — Pro ἐπικόρρη scripsi ἐπὶ κόρρης (sc. πατάξαι), nam Herodianus significavit vocabulum maxime in hac verborum connexione inveniri. De Ἄγρη St. B.: πόλις Λυδίας. Ἡρωδιανὸς ἐν δωδεκάτῃ. Τάφραι καὶ Τάφρη — Ἀγκώρη addidi

δεϲποίναιϲ ϲυμμιγέντων κατὰ τὸν πολυχρόνιον πόλεμον τῶν Ϲκυθῶν, τῶν δεϲποτῶν πολεμούντων τοῖϲ Θρᾳξὶν ἢ τοῖϲ ἐντὸϲ Ἴϲτρου, ὡϲ Καλλίϲτρατοϲ ἐν τρίτῳ. Ϲπαλέθρη πόλιϲ Θεϲϲαλίαϲ. Ἑλλάνικοϲ δὲ Ϲπάλαθρον αὐτήν φηϲι. Μαζάρη φρούριον Ϲελινουντίων. Φαναγόρη καὶ Φαναγόρεια νῆϲοϲ τῇ Ταυρικῇ παρακειμένη. Φαλώρη πόλιϲ Θετταλίαϲ. ταύτην Ῥιανὸϲ Φαλώρειαν καλεῖ. Ἀγκώρη· οὕτωϲ ἐκαλεῖτο πρότερον Νίκαια πόλιϲ Βιθυνίαϲ. τὸ δὲ καρή ὀξύνεται. τὸ γὰρ κάρη τὸ βαρυτονούμενον οὐδέτερόν ἐϲτιν· ἀπὸ γὰρ τοῦ κάρηνον γενόμενον κατὰ ἀποκοπήν ἐϲτιν. καὶ τὸ Ἱρή παρὰ τῷ ποιητῇ — ἔϲτι δὲ ὄνομα πόλεωϲ οἷον

Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεϲϲαν (Il. I 150) —

Ἀρίϲταρχοϲ ὀξύνει ὁμοίωϲ τῷ ἐπιθετικῷ· εἰϲὶ δὲ οἳ βαρύνουϲιν εἰϲ ἰδιότητα ὥϲπερ ἐπὶ τοῦ «Ῥίπην τε Ϲτρατίην τε» (Β 606). ὀξύνονται δὲ καὶ Γυρή, ἀφ᾽ οὗ Γυραία. καὶ Καιρή· οὕτωϲ μετωνομάϲθη Ἄγυλλα πόλιϲ Τυρρηνίαϲ. καὶ Δουϲαρή ϲκόπελοϲ καὶ κορυφὴ ὑψηλοτάτη Ἀραβίαϲ ἀπὸ τοῦ Δουϲάρου θεοῦ παρὰ Ἄραψιν τιμωμένου. καὶ Περιϲτερή πόλιϲ Φοινίκων. τὸ δὲ Θυρῆ κατὰ ϲυναίρεϲιν ἐκ τοῦ Θυρέα.

Τὰ εἰϲ η̄ λήγοντα προηγουμένου τοῦ ϲ̄ βαρύνεται, ἄϲη ὁ ῥύποϲ, κόρϲη ὁ κρόταφοϲ καὶ Κόρϲη δούλη βουκόλοϲ, ἀφ᾽ ἧϲ Κορϲίϲ νῆϲοϲ. Μέϲϲη πόλιϲ κατ᾽ ἀποκοπὴν ἐκ τοῦ Μεϲϲήνη καὶ Μέϲη. Χρύϲη ἡ πόλιϲ τοῦ Ἀπόλλωνοϲ ἐγγὺϲ Λήμνου. Ϲοφοκλῆϲ Λημνίαιϲ «ὦ Λῆμνε Χρύϲηϲ τ᾽ ἀρχιτέρμονεϲ πάγοι»· καὶ ἐν Αἰχμαλώτιϲι «ταύτην ἐγὼ Κίλλαν καὶ Χρύϲην νέμω». εἰϲὶ καὶ ἄλλαι Χρῦϲαι ὁμώνυμοι πόλειϲ καὶ τόποι πολλοί. περὶ Ϲκῦρον. καὶ τῆϲ Λεϲβίαϲ τόποϲ. καὶ περὶ Ἡφαιϲτίαν τῆϲ Λήμνου ἀκρωτήριον πρὸϲ Τένεδον βλέπον. καὶ ἐν Βιθυνίᾳ περὶ Χαλκηδόνα. καὶ τῆϲ Καρίαϲ ἐν τῇ Ἁλικαρναϲϲίδι, Δώριον πεδίον· καὶ ἐν Ἑλληϲπόντῳ πόλιϲ μέϲη Ὀφρυνίου καὶ Ἀβύδου. ἔϲτι καὶ ἄλλη περιϲπωμένωϲ λεγομένη νῆϲοϲ Ὠνεανῖτιϲ. ἔϲτι καὶ ἄλλη χερρόνηϲοϲ τῆϲ Ἰνδικῆϲ Χρυϲῆ καλουμένη. Γενέϲη πόλιϲ Λακωνικῆϲ. Τεμέϲη πόλιϲ Ἰταλίαϲ καὶ ποταμόϲ. Ὅμηροϲ «ἐϲ Τεμέϲην μετὰ χαλκόν, ἄγω δ᾽ αἴθωνα ϲίδηρον» (Od. α 184). Πολύβιοϲ δὲ ἐν τῷ πρώτῳ Τεμέϲειαν τὴν πόλιν καλεῖ. Ἀγχίϲη πόλιϲ Ἰταλίαϲ ἀπὸ τοῦ προπάτοροϲ Ἀγχίϲου, ὡϲ Διονύϲιοϲ ἐν πρώτῃ περὶ Ῥωμαϊκῆϲ ἀρχαιολογίαϲ. τὸ λιϲϲή ὀξύνεται «ἔϲτι δέ τιϲ λιϲϲὴ αἰπεῖά

---

ex St. B. l. 7 verba τὸ γὰρ κάρη — κατ᾽ ἀποκοπήν ἐϲτι sunt ex Choer., item Ἱρή collata Il. Pr. I 150, unde Ἀρίϲταρχοϲ — Ϲτρατίην τε et 292, ubi οὕτωϲ Ἱρήν ὀξυτόνωϲ, ὡϲ ἐν τῇ καθόλου. Γυρή — Περιϲτερή ex St. B. adiecta sunt, item Θυρέα Θυρῆ. l. 19 Κόρϲη proprium adieci ex St. B., Μέϲϲη ex eodem explevi. Χρύϲη apposui ex St. B., item Γενέϲη Τεμέϲη, quae habet etiam Theogn. 117, 12, Ἀγχίϲη ex St. B., λιϲϲή explevi ex Schol. ad Od. γ 293 collato Eustath. 1468, 38, ubi: λιϲϲὴ δὲ πέτρα ἢ ἡ λεία ἢ ὀνοματικῶϲ οὕτω λεγομένη κατά τι κύριον ὄνομα. παρὰ δὲ τοῖϲ Κρηϲὶ βλιϲϲή ϲὺν τῷ β′ κατὰ τοὺϲ παλαιούϲ. ἔϲτι δὲ ἀκρωτήριον τῆϲ Γορτυνίαϲ. Κράτηϲ δέ φαϲι ϲὺν τῷ ν̄ γράφει βλιϲϲήν. καὶ δοκεῖ κατὰ εὐθεῖαν πτῶϲιν ἀρϲενικῶϲ προφέρειν ὁμοίωϲ τῷ ϲωλήν καὶ τοῖϲ τοιούτοιϲ. Formam Λιϲϲήϲ recepi ex St. B. s. Φαιϲτόϲ: ἔϲτι τῆϲ Φαιϲτιάδοϲ καὶ ὁ καλούμενοϲ Λιϲϲήϲ. Ὅμηροϲ κτλ. Caeterum apparet Herodianum huiuscemodi, quae ex Schol.

τε εἰς ἅλα πέτρῃ» (Od. γ 293). τινὲς μὲν ὄνομα κύριον τὴν νῦν Βλισσὴν καλουμένην. ὁ δὲ Κράτης σὺν τῷ ν̄ γράφει Λισσήν. καλεῖται δὲ καὶ Λισσής. ἔστι δὲ τῆς Φαιστιάδος. καὶ τὰ τῶν δήμων ὀνόματα Βησσή καὶ Περγασή δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς. ἔτι καὶ τὰ πληθυντικῶς λεγόμενα Ἀσαί κώμη Κορίνθου. Θεόπομπος λβ΄ Φιλιππικῶν «Ἀσαὶ καὶ Μαυσὸς κῶμαι μεγάλαι καὶ πολυάνθρωποι». ἔστι καὶ Θρᾴκης Ἀσαί. καὶ Τραγασαί χωρίον ἐν ἠπείρῳ ἀπὸ Τραγάσου, οὗ εἰς χάριν ὁ Ποσειδῶν ἁλὸς πῆξιν ἐποίησεν, ὅθεν Τραγασαῖοι ἅλες, ὡς Ἑλλάνικος ἐν πρώτῳ Λεσβιακῶν. ἀφ' οὗ καὶ τὸ πεδίον Ἁλήσιον καλεῖται. καὶ Ἀκεσαί πόλις Μακεδονίας καὶ Παγασαί.

Τὰ εἰς τη̄ παραληγόμενα τῷ ᾱ ἢ τῷ η̄ βαρύνεται, εἰ μὴ ἐπὶ δήμου τάττοιτο, πλάτη καὶ ὠμοπλάτη, μάτη, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ «οὔτι τοι μέτρον μάτας», ἄτη καὶ τρισυλλάβως ἐν συστολῇ τοῦ ᾰ ἀάτη, ὡς παρὰ τῷ Κυρηναίῳ·

εἴτε μιν Ἀργείων χρὴ καλέειν Ἀάτην

καὶ ἀπάτη, ἐλάτη, Ἑκάτη, Κρήτη ἡ μεγίστη νῆσος, ἣν Κρεήτην ἔφη Ἀρχίλοχος κατὰ πλεονασμόν. οἱ μέν φασιν ἀπὸ τοῦ Κουρῆς Κουρήτην καὶ Κρήτην κατὰ συγκοπήν, οἱ δὲ ἀπὸ Κρητὸς τοῦ Διός. οἱ δὲ ἀπὸ Κρήτης μιᾶς τῶν Ἑσπερίδων, οἱ δὲ ἀπό τινος γηγενοῦς Κρητός. ἄμεινον δὲ παρὰ τὸ Κρής Κρητός Κρήτη ὡς Θρᾴκη καὶ Χιτώνη καὶ εὐφρόνη. λέγεται καὶ ποιητικῶς Κρῆται (Od. ξ 99, π 61). Ἀρήτη, ἀρητή δὲ τὸ ἐπίθετον. ἀήτη. Λήτη πόλις Μακεδονίας ἀπὸ τοῦ πλησίον ἱδρυμένου Λητοῦς ἱεροῦ. Διαβήτη νῆσος δυσμικωτέρα Σαρδοῦς καὶ Κύρνου. εἰσὶ καὶ Διαβῆται νῆσοι περὶ Σύμην. Ὑπάτη πόλις Αἰνιάνων. λέγεται δὲ καὶ Ὕπατα. ἔστι καὶ χώρα πλησίον Σαγγάρου ποταμοῦ. Ἰωταπάτη πόλις Συρίας, ἣ καὶ Ἰωτάπατα. Ναπάται πόλις Λιβύης πρὸς τῇ Αἰθιοπίᾳ. τὸ δὲ Βατή ἐπὶ τοῦ δήμου τῆς Αἰγηΐδος φυλῆς ὀξύνεται, τὸ δὲ βάτη ἡ γῆ παρὰ Μεσσηνίοις βαρύνεται.

---

et St. B. in textu posui, tradidisse inde quod nisi hoc voluisset, λισσή merum adiectivum ne commemorasset quidem, nam de eo valet canon generalis, quo feminina masculinis aptari iubentur. Περγασή ex St. B. explevi, ἔτι καὶ τὰ πληθυντικῶς λεγόμενα adieci propter Ἀσαί Τραγασαί Ἀκεσαί Παγασαί hoc accentu a St. B. relata. l. 12 μάτη adieci ex Mon. 42, 22; ἄτη explevi indidem, ubi: τὸ δὲ αἴτιον τῆς ἐκτάσεως ἐν τῇ δισυλλάβῳ προφορᾷ ἐν ἑτέροις εἴπομεν, ut videtur, nostro loco cf. de ἄτη Lob. El. II 50. de ἐλάτη cf. E. Or. 64, 12: ἐλῶ ὁ μέλλων ἐλάσω· ὄνομα ῥηματικὸν ἔλατος καὶ εἰς ἰδιότητα ἐλέχθη ἐλάτη τὸ φυτόν. Κρήτη explevi ex St. B., ἀρητή δὲ τὸ ἐπίθετον inserui ex Il. Pr. I 150. ἀήτη adieci ex Theogn. 117, 15, ex eodem et St. B. Λήτη, ap. St. B. nunc Λητή scriptum legitur, sed cod. R praebet barytonon secundum nostrum canonem. Διαβήτη — Ναπάται sunt ex St. B. l. 27 pro Arcadii verbis τὸ δὲ Βατή τὸ τοῦ δήμου posui, quae praebent St. B. et E. M. 192, 13: βάτην τὴν γῆν Μεσσήνιοι, quo loco quamquam Herodiani nomen non additum est, tamen eum hic accentus discrimen tetigisse verisimile est. Differentia, quae a Tryphone ap. Ammon. p. 94 inter μισητή et μισήτη statuitur, ab Herodiano non accepta videtur: μισητή καὶ μισήτη διαφέρει παρὰ τοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας· ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσους (καθὰ καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ προφέρομεν)· ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν. τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ Δωριεῦσι

Τὰ εἰς $\overline{\text{τη}}$ παραληγόμενα τῷ $\bar{\text{ε}}$ ἢ $\bar{\text{ο}}$ κύρια ὄντα βαρύνεται, Βρεμέτη, Ὠκυπέτη, Δημαρέτη. Ταϋγέτη ἡ μήτηρ Εὐρώτα. καὶ Φανότη πόλις Φωκίδος ἣ καὶ Φανότεια καὶ Φανοτεύς. καὶ Θεοδότη. τὸ δὲ Ἀφεταί πόλις τῆς Μαγνησίας. Ἑκαταῖος· ὅτι ἐντεῦθεν δευτέραν ἄφεσιν ἡ Ἀργὼ ἐποιήσατο ἢ ὅτι ἐκεῖ οἱ Ἀργοναῦται τὸν Ἡρακλέα κατέλιπον. κεῖται δ' ἐν Παγασιτικῷ κόλπῳ. — καὶ Ἰεταί φρούριον Σικελίας. Φίλιστος ἕκτῃ — πληθυντικῶς λέγεται. καὶ τὸ Ξυπετή ἐπὶ δήμου τάττεται. ἔστι δὲ δῆμος Κεκροπίδος φυλῆς. τὰ δὲ προσηγορικὰ ὀξύνεται, ἀρετή, τελετή, βιοτή. τὸ δὲ μελέτη παροξύνεται σύνθετον ὂν παρὰ τὸ μέλειν καὶ ἐτεὸν τὸ ἀληθές.

Τὰ εἰς $\overline{\text{τη}}$ παραληγόμενα τῷ $\bar{\text{ι}}$ ὑπερδισύλλαβα κύρια ὄντα βαρύνεται, Μελίτη ἡ Αἰγαίου τοῦ ποταμοῦ καὶ νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας. ἔστι καὶ πόλις ἄποικος Καρχηδονίων καὶ δῆμος Οἰνηΐδος φυλῆς. Ἀμφιτρίτη, Ἀφροδίτη. τὸ δὲ λιτή δισύλλαβον ὀξύνεται ὡς καὶ Λιταί πόλις Λακωνική. τὸ δὲ Τρίτη πόλις περὶ τὰς Ἡρακλείας στήλας βαρύνεται ἐπιθετικὸν ὄν.

Τὰ εἰς $\overline{\text{τη}}$ πρὸ τέλους ἔχοντα τὸ $\bar{\text{υ}}$ ὀξύνεται, ἀϋτή ἡ βοή, πινυτή τὸ ἐπίθετον «μήτηρ πινυτή» (Od. υ 131), Πινυτή δὲ καὶ τὸ κύριον. τὸ δὲ προσηγορικὸν εἰσὶν οἳ παροξύνουσιν, Ἀρίσταρχος δὲ ὀξύνει καὶ ἐπεκράτησεν οὕτως ἡ παράδοσις. Λυταί χωρίον Θεσσαλίας διὰ τὸ λῦσαι τὰ Τέμπη Ποσειδῶνα καὶ σκεδάσαι τὸ ἀπὸ τοῦ κατακλυσμοῦ ὕδωρ. τὸ δὲ Ἀφύτη πόλις πρὸς τῇ Παλλήνῃ Θρᾴκης, ἣ καὶ Ἄφυτις καὶ Ἄφυτος ἀπὸ Ἀφύτου τινὸς ἐγχωρίου, καὶ Προχύτη νῆσος Σικελίας βαρύνεται.

Τὰ εἰς $\overline{\text{τη}}$ ὑπερδισύλλαβα τῷ $\bar{\text{ω}}$ παραληγόμενα βαρύνεται, Κριθώτη πόλις Ἑλλησπόντου· ἔστι καὶ ἄκρα Ἀκαρνανίας. Περκώτη καὶ Παλαιπερκώτη πόλις Τρωάδος. Γεφυρώτη πόλις Λιβύης, Γιγγλυμώτη Φοινίκης πόλις ὡς Ἑκαταῖος. τὸ μέντοι μηλωτή, κηρωτή ὀξύνεται καὶ τὸ οἰσπωτή ὁ ῥύπος. τὸ δὲ Πρωτή νῆσος παρὰ τῇ Σφακτηρίᾳ καὶ Πύλῳ δισύλλαβον ὀξύνεται.

φησι φυλάττεσθαι καὶ παρ' Ἴωσιν. cf. Eustath. 1650, 64, Velsen p. 13. l. 1 ἢ $\bar{\text{ο}}$ addidi propter Φανότη Θεοδότη βιοτή. l. 2 Ταϋγέτη, Φανότη recepi ex St. B., Θεοδότη ex Theogn. 118, 2. Ἀφεταί explevi ex St. B., Ἰεταί et Ξυπετή ex eodem apposui. De βιοτή cf. Favorin. 378, 35, ubi dicitur: ἐντάσσεται τῷ τοιούτῳ κανόνι (sc. quo στρόφος στροφή, νόμος νομή etc. comprehenduntur) καὶ ἡ βιοτή ἐκ τοῦ βίοτος, εἰ καὶ τρισυλλαβεῖ. l. 12 Μελίτη explevi ex St. B. Verba ὀξύνεται ὡς καὶ Λιταί apposui propter nomen proprium a St. B. relatum, τὸ δὲ Τρίτη propter Τρίτη ap. St. B. l. 18 verba Homerica adieci ex Il. Pr. I 150, Πινυτή — οἳ παροξύνουσι exhibui auctore Lehrsio ad h. l. (cod. AB praebent Πινύτη δὲ et C Πινυτή δέ) ut Arcadii praeceptum cum Herodianeo congruat; Ἀρίσταρχος — παράδοσις apposui ex Il. Pr. H 289 cf. Lob. Proll. 390. Λυταί usque ad finem addidi ex St. B., Κοσσύτη πόλις Ὀμβρική. Κτησίας τρίτῃ περιηγήσεως hic omisi, quia Meinek. iure Κοσσύη scribendum suspicatur. l. 24 Κριθώτη, Περκώτη, Γεφυρώτη explevi ex St. B., Γιγγλυμώτη addidi ex Theogn. 118, 1 et St. B. — Vocabuli οἰσπωτή accentum Schmidtius contra libros mutavit οἰσπώτη scribens, ut dicit, auctore Lobeckio Proll. 393. Sed hic dicit: si a πάτος compositum est cum trope vocalis ut E. M. 619, 10 censet, gravari debet, sin ab οἴσπη derivatum est ut μηλωτή, acui oportuit. Hanc posteriorem sententiam amplexum esse Herodianum ex nostro loco coniiciendum est. Πρωτή

Τὰ εἰς τ̅η̅ δισύλλαβα διφθόγγῳ παραληγόμενα βαρύνεται, βλαύτη εἶδος ὑποδήματος, Προίτη ἡ πόλις, κοίτη, δροίτη ἡ πύελος, λοίτη, Οἴτη ὄρος περὶ Τραχῖνα. ἔστι καὶ πόλις Μηλιέων. βαίτη ἡ διφθέρα. δαίτη ἡ εὐωχία. τὸ δὲ τελευτή τρισύλλαβον.

Τὰ εἰς τ̅η̅ δισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ τ̅ σύμφωνον ὀξύνεται, εἰ μὴ παραλήγοι φωνήεντι ῑ ἢ ε̅, βροντή, εἱρκτή, πηκτή ὄργανον μουσικόν. φυστή μᾶζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου. ἀκτή· οὕτως δὲ καὶ ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός. ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ καὶ ἀφ' ἑαυτοῦ οὕτως τὴν χώραν ὠνόμασε καὶ τοὺς λαούς. Ἀπολλόδωρος δὲ τἀναντία φησίν «οὕτω γὰρ ἐκλήθη διὰ τὸ πολὺ μέρος αὐτῆς καθικνεῖσθαι εἰς θάλασσαν. τριγώνου γὰρ οὔσης αἱ συννεύουσαι ἐπὶ τὸ Σούνιον ἑκατέρωθεν δύο πλευραὶ παράλιοι τυγχάνουσι, δι' ἃς τῶν ἐπὶ Κέκροπος φυλῶν τεττάρων οὐσῶν δύο προσηγόρευσαν Ἀκταίαν καὶ Παραλίαν». ἔστι καὶ Ἀκτή Μαγνησίας, ἀφ' ἧς Ἄκτιος καὶ Ἐπάκτιος Ἀπόλλων τιμᾶται. ἔστι καὶ ἑτέρα Ἀκαρνανίας, ἧς μέμνηται Δημάγητος. ἔστι καὶ Πελοποννήσου, ὡς Θουκυδίδης, καὶ ἄλλη ἐν Βοσπόρῳ καὶ ε' ἐν Ἰωνίᾳ. Δημήτριος δὲ τῆς σημαντικῆς τοῦ αἰγιαλοῦ καὶ τῆς περὶ τὸν Ἄθω χώρας μόνον ἐμνημόνευσεν. βλαστή. τοῦτό τινες βαρύνουσιν. τὸ μέντοι κίστη βαρύνεται καὶ τὸ πέλτη ἡ ἀσπίς. τὰ δὲ κύρια βαρύνεται, Δίκτη ὄρος Κρήτης. Καλλίμαχος . . . Σπάρτη Λακωνικὸν χωρίον ἀπὸ τῶν μετὰ Κάδμου Σπαρτῶν, περὶ ὧν Τιμαγόρας φησίν «ἐκπεσόντας δὲ αὐτοὺς εἰς τὴν Λακωνικὴν Σπάρτην ἀφ' ἑαυτῶν ὀνομάσαι» ἢ ἀπὸ Σπαρτοῦ τοῦ Ἀμύκλαντος τοῦ Λέλεγος τοῦ Σπαρτοῦ ἢ διὰ τὸ τοὺς πρώτους συνοικίσαντας τὴν πόλιν Λέλεγας. διεσπαρμένους γὰρ εἰς ταὐτὸν συνελθεῖν καὶ μίαν οἴκησιν ποιήσασθαι. ἔστι καὶ Σπάρτη κώμη πλησίον τοῦ Εὐξείνου πόντου. Σάρτη πόλις περὶ τὸν Ἄθων, Πέμπτη πόλις Αἰγύπτου.

Τὰ εἰς τ̅η̅ ὑπερδισύλλαβα ἔχοντα κατὰ σύλληψιν σύμφωνον ἢ πρὸ τέλους τὸ ρ̅ κύρια ὄντα βαρύνεται, Ἀδρήστη, Ἰοκάστη. Ὀρέστη πόλις Εὐβοίας. Ἑκαταῖος Εὐρώπης περιηγήσει. Ἀκέστη πόλις Σικελίας καὶ Ἄγεστα, παρὰ τὸν Ἀκέστην. Μεγίστη πόλις καὶ νῆσος τῆς Λυκίας, ὡς πολυίστωρ, ἀπὸ Μεγιστέως τινός. Δολιχίστη· οὕτως Ἀλέξανδρος

---

apposui ex St. B., ubi diserte: ὀξυτόνως. De Περκώτη Il. Pr. O 548: ἐν Περκώτῃ: ὁμοίως τῷ ἐν Οἰνώνῃ. Ex iis quae An. Ox. II 327, 29 praebent, πτερωτή est adiectivum et Κορσωτή in Xenoph. Anab. potius Κορσώτη scribendum est. l. 2 Προίτη explevi ex Theogn. 117, 28, λοίτη addidi ex Theogn. et Mon. 42, 33, ubi docetur βλαύτη τῇ α̅υ̅ διφθόγγῳ παραληγόμενον μονῆρες esse. Οἴτη ex Theogn. et St. B., de δαίτη cf. Schol. ad Od. β 139. Hic etiam de proprio Κλειτη sermo fuit, ut concludi potest ex E. M. 518, 3 Κλειτή μία τῶν Ἀμαζόνων — διχῶς ὁ τόνος, οἱ δὲ πλείους ὀξύνουσι καὶ σημαίνει τὴν ἔνδοξον. Sed si Lehrsii de masculino Κλειτος expositionem de Arist. p. 283 perpenderis, Herodianum Κλείτη potius quam Κλειτή pronunciasse credideris. l. 6 pro ῑ ἢ ᾱ ἢ λ̅ scripsi φωνήεντι ῑ ἢ ε̅. — φυστή apposui ex Schol. Aristoph. Vesp. 610 φυστὴν μᾶζαν· φυστὴ μᾶζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου. ὀξυτόνως δέ, ὥς φησιν Ἡρωδιανός. Δίκτη et Σπάρτη explevi ex St. B. Σάρτη ex eodem addidi, item Πέμπτη, pro quo Meinek. suspicatur Πέμπτις, sed conferri potest Τρίτη. l. 29 Ὀρέστη —

ἐν τῷ Λυκίας περίπλῳ Δολίχην νῆϲον πρὸϲ τῇ Λυκίᾳ καλεῖ. Ἀϲτάρτη νῆϲοϲ ἐν Αἰθιοπίᾳ. ἔϲτι καὶ πόλιϲ Ϲυρίαϲ ἡ ὕϲτερον Φιλαδέλφεια. τὸ μέντοι ἑορτή ὀξύνεται καὶ τὸ παλαιϲτή καὶ λεπαϲτή ἡ κύλιξ. τὸ δὲ Ϲεβαϲτή ἐπιθετικῶϲ τέτακται· ἔϲτι δὲ πόλιϲ Ἀρμενίαϲ ἡ νῦν Ϲεβάϲτεια καλουμένη, ὡϲ Ἀλέξανδροϲ ὁ Ἐφέϲιοϲ. ἔϲτι δὲ καὶ ἐν τῇ Ϲαμαρείτιδι πολίχνιον. λέγεται καὶ ἡ πρὸϲ τῇ Κωρύκῳ χερρόνηϲοϲ οὕτωϲ.

* Τὰ εἰϲ τ̅η̅ ὑπερδιϲύλλαβα ἔχοντα κατὰ διάϲταϲιν ϲύμφωνον βαρύνεται, Ἀλλάντη πόλιϲ Μακεδονίαϲ καὶ Ἀρκαδίαϲ. Θεόπομποϲ δ' ἐν πρώτῳ Φιλιππικῶν Ἀλλάντιον αὐτὴν εἶπε. Ἀργάντη πόλιϲ Ἰνδίαϲ, ὡϲ Ἑκαταῖοϲ. Ἀταλάντη, ἡ ὑπ' Ἀθηναίων κτιϲθεῖϲα παρὰ Λοκροῖϲ. Θουκυδίδηϲ δευτέρᾳ (c. 23). ἔϲτι δὲ νῆϲοϲ. καὶ ἄλλη πρὸϲ τῷ Πειραιεῖ.

Τὰ εἰϲ φ̅η̅ λήγοντα διϲύλλαβα προϲηγορικὰ παραληγόμενα ᾱ ὀξύνεται, ἁφή, βαφή, ῥαφή, γραφή, ταφή, ϲκαφή τὸ ϲκάμμα, ϲκάφη τὸ πλοῖον παρώνυμον ἀπὸ τοῦ ϲκάφοϲ ὡϲ κάρφη ἀπὸ τοῦ κάρφοϲ. Τὰ δὲ κύρια βαρύνεται, Τάρφη πόλιϲ Λοκρῶν. Ὅμηροϲ (Β 533) «Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα». λέγουϲι δ' αὐτὴν ἀπὸ τῆϲ περὶ Φαρύγαϲ κρήνηϲ. οἱ δὲ καὶ αὐτὴν καὶ τὸν τόπον διὰ τὴν τῆϲ ὕληϲ πυκνότητα· τὰ πυκνὰ γὰρ τάρφεα Ὅμηροϲ λέγει «βαθείηϲ τάρφεϲιν ὕληϲ» (Il. Ε 555). Ϲκάρφη πόλιϲ Εὐβοίαϲ, ἣ πρότερον Ἐτεωνόϲ ἐκαλεῖτο. Τράφη πόλιϲ πρὸϲ τῷ Πόντῳ. Ἄμφη· οὕτωϲ ἐκαλεῖτο Κάϲοϲ, μία τῶν Κυκλάδων, Ϲάμφη πόλιϲ Φοινίκηϲ καὶ τὰ τοιαῦτα.

* Τὰ εἰϲ φ̅η̅ διϲύλλαβα ἔχοντα πρὸ τοῦ φ̅ ϲύμφωνον, ὁπότε μὴ ἔχοι πρὸ τέλουϲ ο̅, βαρύνεται, νύμφη, ϲίλφη, ἣν τινεϲ τίλφην λέγουϲι, Ϲέμφη πόλιϲ τῆϲ κατὰ Εὐφράτην Ἀραβίαϲ. Τύμφη ὄροϲ Θεϲπρωτικόν. Ϲκίρφαι πόλιϲ Φωκική. τὸ δὲ ὀμφή, μορφή πρὸ τέλουϲ ἔχουϲιν ο̅.

Τὰ εἰϲ φ̅η̅ παραληγόμενα τῷ ο̅ ἢ τῷ ῡ ϲυνεϲταλμένῳ ὀξύνεται, ὀμφή, μομφή, μορφή, τροφή, ὀροφή, γλυφή, δρυφή, κορυφή.

Τὰ εἰϲ φ̅η̅ παραληγόμενα φύϲει μακρᾷ ἢ ἑνὶ φωνήεντι βαρύνεται, Ϲίφη ἐπίνειον τῆϲ Θεϲπιακῆϲ· λέγεται καὶ πληθυντικῶϲ. ἀγρίφη τὸ

Ἀϲτάρτη apposui ex St. B., de λεπαϲτή cf. Athen. 484: οἱ μὲν ὀξύνουϲι τὴν τελευταίαν ὡϲ καλή, οἱ δὲ παροξύνουϲιν ὡϲ μεγάλη. l. 7 hunc canonem ipse ex nominibus a St. B. relatis composui. l. 14 ταφή adieci ex Ep. Cr. I 307, 19; ad ϲκάφη verba παρώνυμον — κάρφοϲ ex Ep. Cr. I 291, 14. — Τάρφη explevi ex St. B. 606, 22 coll. 659, 22. Pro Κάρφη scripsi Ϲκάρφη ex St. B., unde explevi; Τράφη — Ϲάμφη sumpsi ex St. B. l. 23 hunc canonem ipse finxi adhibito praecepto in Ep. Cr. I 291, 12: τὰ εἰϲ φη λήγοντα θηλυκὰ πρὸ τέλουϲ ἔχοντα τὸ ῡ ὀξύνεται, δρυφή, κορυφή, γλυφή. τὸ νύμφη βαρύνεται, ὅτι ϲύμφωνον ἔχει τὸ μ̅ πρὸ τοῦ φ· ἢ τὰ εἰϲ φ̅η̅ διϲύλλαβα μὴ ἔχοντα πρὸ τέλουϲ ο̅ βαρύνεται, Τάρφη, κάρφη, ϲίλφη, ἣν τινεϲ τίλφην λέγουϲι· μὴ ἔχοντα πρὸ τέλουϲ ο̅ εἶπε διὰ τὸ ὀμφή, μορφή — et nominibus propriis a St. B. relatis, qui de accentu diserte: Ϲέμφη ὡϲ Τύμφη. l. 29 μορφή apposui ex Ep. Cr. l. c., de τροφή cf. Il. Pr. Ε 202, δρυφή adieci ex Theogn. 118, 6 cf. E. M. 531, 20, An. Ox. II 326, 23. l. 32 Ϲίφη explevi ex Steph. Byz., de ἀγρίφη cf. Lob. Proll. 295,

σκάφιον, κνήφη, ἀκαλήφη ἡ κνίδη. τὸ δὲ ἀλοιφή ὀξύνεται δύο φωνήεντα ἔχον.

Τὰ εἰς φη ὑπερδισύλλαβα κύρια ἢ παραληγόμενα ᾱ βαρύνεται, ἀράφη, Ἀνάφη νῆσος μία τῶν Σποράδων πλησίον Θήρας, ἥτις ἀπὸ Μεμβλιάρου τοῦ σὺν Κάδμῳ πλεύσαντος εἰς ἀναζήτησιν Εὐρώπης Μεμβλίαρος ἐκαλεῖτο· τοῖς δ' Ἀργοναύταις ὑπὸ χειμῶνος τρυχομένοις καὶ σκοτομήνης ἀναφανεῖσα Ἀνάφη ἐπικέκληται. σκιδάφη ἡ ἀλώπηξ, Ἱεράφη νῆσος Λιβύης. Ἑκαταῖος περιηγήσει. Ἐρίφη κύριον. Τηλέφη ἡ τῆς Εὐρώπης μήτηρ, ἣ καὶ Τηλεφάη καλεῖται.

Τὰ εἰς χη δισύλλαβα παραληγόμενα φωνήεντι προσηγορικὰ ὀξύνεται, ἠχή, βληχή, ψυχή, βρυχή ὁ κτύπος, βροχή, ὀχή, τὸ δὲ Ὄχη ὄρος τῆς Εὐβοίας βαρύνεται. ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς ἐκεῖ ὀχείας ἤτοι τῶν θεῶν μίξεως Διὸς καὶ Ἥρας ἢ διὰ τὸ τὰ πρόβατα κυΐσκεσθαι ὀχευόμενα ἐν τῷ τόπῳ. οἱ γὰρ Ἀχαιοὶ τὴν τροφὴν ὀχήν φασι. λέγεται καὶ ἀρσενικῶς ὁ Ὄχης. τὸ δὲ τύχη καὶ μάχη βαρύνεται· ἔστι δὲ καὶ Τύχη πόλις Σικελίας πλησίον Συρακουσῶν. Ἔφορος ἐν δωδεκάτῳ νῆσον Τυχίαν φησίν. βαρύνεται δὲ καὶ Τρῦχαι πόλις Εὐβοίας. Λυκόφρων δὲ (v. 374) μεταφράσας Τρύχαντα καλεῖ. τὸ δὲ Χωχή κώμη πρὸς τῷ Τίγριδι ποταμῷ ὀξύνεται. Ἀρριανὸς δεκάτῳ «καὶ βασιλεὺς δ' ἐξελαύνει ἐκ Σελευκείας, οὐ πρόσω τοῦ ποταμοῦ τοῦ Τίγριδος ἐς κώμην, ᾗτινι Χωχὴ ὄνομα».

Τὰ εἰς χη ἔχοντα ἄλλο σύμφωνον κατὰ σύλληψιν ἢ διάστασιν βαρύνεται, βάκχη, κόγχη, λέσχη, λόγχη, τὸ δὲ Λογχή κύριον, Ῥύγχαι χωρίον Εὐβοίας. τὸ δὲ ἀρχή ὀξύνεται.

Τὰ εἰς χη ὑπερδισύλλαβα εἰς ᾱ ἢ ῡ παραληγόμενα, εἰ μὴ κύρια εἴη, ὀξύνεται, στοναχή, ταραχή, ἰαχή, ἀλυχή, διδαχή, τὸ δὲ μαλάχη βαρύνεται. τὸ δὲ Μαράχη πόλις Ἰνδικὴ κύριόν ἐστιν.

Τὰ εἰς χη παραληγόμενα ῑ βαρύνεται, Δολίχη νῆσος πρὸς τῇ Λυκίᾳ, ὡς Καλλίμαχος. ἔστι καὶ Δολίχη πόλις τῆς Κομμαγηνῆς. δολιχή δὲ ἡ μακρά. μαστίχη, σαβαρίχη τὸ τῆς γυναικὸς αἰδοῖον, πυρρίχη, Μυστίχη. Ἐρυσίχη πόλις Ἀκαρνανίας, ἥτις ὕστερον Οἰνιάδαι ὠνομάσθη. καὶ τινὲς δὲ τὴν χώραν τῶν Οἰνιαδῶν πᾶσαν Ἐρυσίχην ὠνόμασαν ἀπὸ Ἐρυσίχης τῆς Ἀχελῴου θυγατρός.

* Τὰ εἰς χη ὑπερδισύλλαβα παραληγόμενα ō σπάνια ὄντα βαρύνεται, οἷον Ἀστυόχη ἡ μήτηρ Τληπολέμου.

κνήφη addidi ex Theogn. 118, 8. l. 4 Ἀνάφη explevi ex St. B., Ἱεράφη ex eodem addidi, qui diserte: Ἱεράφη ὡς Ἀνάφη, de Ἐρίφη cf. Lehrs Arist. 286 (ed. II); Τηλέφη sumpsi ex St. B. 316, 15 et 218, 14. l. 11 ὀχή ipse apposui propter Ὄχη proprium ap. St. B., Τύχη urbs et Τρῦχαι addita sunt ex St. B., item Χωχή. l. 23 promotum accentum proprii Λογχή Lehrsius Arist. p. 267 ed. II in insolubilibus numerat. Ῥύγχαι addidi ex St. B. l. 26 ἀλυχή emendavit pro ἀλωχή Lob. Proll. 339, etiam ἀμυχή proponens, quod Schmidtius recepit. Μαράχη ex St. B. addidi. l. 28 Δολίχη explevi ex St. B., σαβαρίχη emendavit Lob. Proll. 338 pro σαμβαρίχη Arcadii et σαμαρίχη Theogn., πυρρίχη, Μυστίχη, de quo cf. Lob. l. c., sunt ex Theogn., Ἐρυσίχη ex St. B. l. 34 hunc canonem finxi propter Ἀστυόχη ap. St. B. 290, 5.

Τὰ εἰς ψη̄ οὐχ εὕρηται πλὴν τοῦ Τεράψη νῆσος πρὸς Καρχηδόνα οὐ μεγάλη.

Τὰ εἰς ω̄ λήγοντα θηλυκὰ ὀξύνεται, Κλωθώ, Ἐρατώ, Θεανώ, Σαπφώ, Λητώ παρὰ τὸ λήθω τὸ λανθάνω λήθη καὶ Ληθώ καὶ Λητώ. τὸ γὰρ ἥμερον καὶ πραῦ ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμελημένων ἐμφαίνεται. ὁ δὲ Πλάτων φησὶν ἐλετώ· ἐλεήμων γὰρ ἡ θεὸς καὶ πραεῖα καὶ πάντας ἐλεοῦσα. ὁ δὲ Ἀρίσταρχος παρὰ τὸ λῶ τὸ θέλω, ἔνθεν τὸ λῇς ἀντὶ τοῦ θέλεις μετὰ τοῦ ι̅ Εὐριπίδης καὶ τὸ λῇ τὸ θέλει Δωρικῶς· ἐπειδὴ ὃ ἄν τις θέλῃ, παρ' αὐτῆς λαμβάνει. Λατώ δ' ἐλέγετο Καμάρα πόλις Κρήτης. πειθώ, φειδώ, χρειώ, βασιλώ. Κλειώ. Καλυψώ. Δηώ ἡ Δημήτηρ· καὶ διφορεῖται· οἶδε γὰρ ἡ παράδοσις τὸ η̅ μετὰ τοῦ ι̅ καὶ χωρίς. καὶ εἰ μὲν μὴ ἔχει τὸ ι̅, ἐστὶ παρὰ τὸ δήω τὸ σημαῖνον τὸ εὑρίσκω· καὶ γὰρ ἡνίκα περιήρχετο εἰς ζήτησιν τῆς θυγατρὸς αὐτῆς, κατ' εὐφημισμὸν ἔλεγον πάντες «δήεις» τουτέστιν εὑρήσεις· ἢ ἐπειδὴ αὕτη ἐφεῦρε τὸν σῖτον. εἰ δὲ ἔχει τὸ ι̅, γέγονε παρὰ τὸ δαίω τὸ κόπτω κατὰ τροπὴν Ἰωνικὴν τοῦ α̅ εἰς η̅· καὶ γὰρ ἡ Δημήτηρ γῆ ἐστιν. ἡ δὲ γῆ διακόπτεται ἐν τῷ ἀροτριᾶσθαι. ἢ παρὰ τὸ δαίω τὸ καίω, ὅτι μετὰ λαμπάδων ἐζήτει τὴν θυγατέρα. τινὲς δέ φασιν, ὅτι ὑποκοριστικόν ἐστιν ἀπὸ τοῦ Δημήτηρ Δηώ ἀγνοοῦντες τὸν σχηματισμὸν τῶν τοιούτων ὑποκοριστικῶν. τὰ γὰρ τοιαῦτα ὑποκοριστικὰ θέλει φυλάττειν τὸ σύμφωνον τῆς δευτέρας συλλαβῆς τῶν ἰδίων πρωτοτύπων οἷον Ὑψιπύλη Ὑψώ, Εἰδόθεα Εἰδώ παρ' Αἰσχύλῳ· εἰ οὖν Δημήτηρ, Δημώ ὤφειλεν εἶναι, ἀλλ' οὐκ ἔστιν ὑποκοριστικόν. Βουτώ κώμη Αἰγύπτου, ἀφ' ἧς καὶ Λητὼ Βουτώ, ἧς τινος χρηστήριον ἦν. ἐκαλεῖτο δὲ καὶ Βοῦτος. Δωδώ· οὕτως ἐλέγετο Δωδώνη. Σιμμίας ὁ Ῥόδιος «Ζηνὸς ἕδος Κρονίδαο μάκαιρ' ὑπεδέξατο Δωδώ». Ἐλβώ νῆσος. Ἡρόδοτος δευτέρᾳ (c. 140). Ἀμαζώ θυγάτηρ τῆς Ἐφέσου, ἀφ' ἧς αἱ Ἀμαζόνες. Ἡρώ πόλις Αἰγυπτία. Στράβων δὲ Ἡρώων πόλιν αὐτὴν καλεῖ (17 p. 836). Θριώ· οὕτως λέγεται Θρῖα δῆμος τῆς Οἰνηΐδος φυλῆς, ὅθεν Θριῶθεν Θριῶζε. Ἰώ ἤτοι σελήνη·

---

l. 1 πλὴν τοῦ Τεράψη usque ad finem ex St. B. apposui. Ut huic canoni repugnantem Lob. Rhem. p. 257 vocem ἀφεψή Aret. Cur. Acut. II 6, 274 nec sententiae satis aptam reprobat. l. 4 Λητώ recepi ex Theogn. 118, 20, apud quem legimus λήθη ληθώ et Λητώ. Hinc et ex Ep. Cr. I 261, 31, An. Paris. III 307, 22 collato E. M. 564, 17 ubi κατὰ δέ τινας Ληθώ, concludo Herodianum deae nomen a λήθω propagasse et reliquas originationes, quas ex Ep. Cr. addidi, suo more apposuisse. Λατώ ex St. B. s. Καμάρα accessit. πειθώ — βασιλώ inserui ex Theogn., quem non Herodiani sententiam referre dicentem καὶ πάντα ἐστὶν ὑποκοριστικὰ evincit adnotamentum ex Herodiano in E. M. illatum, quod de Δηώ agit. Κλειώ, quod etiam in An. Par. l. c. exstat, et Καλυψώ prompsi ex Choer. Dict. 330, 9, Δηώ ex E. M. 263, 48, ubi qui dicitur τεχνικός, Herodianum esse et res ipsa et disserendi ratio docet. Ad Εἰδώ addidi παρ' Αἰσχύλῳ ex E. M. 505, 34, cod. Paris. 2638, ubi: Κερδώ ἡ ἀλώπηξ ὑποκοριστικῶς ὡς παρ' Αἰσχύλῳ ἡ Εἰδώ καὶ Ὑψώ ἀντὶ τοῦ Εἰδοθέα καὶ Ὑψιπύλη καὶ τὸ κερδώ δὲ ἀντὶ τοῦ κερδαλέα ἡ ἀπατητική. Nomina inde a Βουτώ usque ad finem sumpta sunt ex St. B., Ἰώ ex Eust. ad Dionys. 94 expletum est.

ἰώ γὰρ ἡ σελήνη κατὰ τὴν τῶν Ἀργείων διάλεκτον. Μωθώ κώμη Ἀραβίας. Πυθώ ἡ τοῦ Ἀπόλλωνος πόλις «ὡς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων Πυθοῖ ἐν ἠγαθέῃ» (Od. θ 80). Σαβώ πόλις μεγάλη πέραν τῆς Ἐρυθρᾶς θαλάσσης. Σαρδώ νῆσος· τῇ Σαρδοῖ ἀναλόγως λέγεται καὶ Σαρδών ὡς τῇ Πυθοῖ παράκειται Πυθών. Σαμαθώ ὅ ἐστι μεγάλη κατὰ τὴν τῶν Λιβύων φωνήν, καλεῖται Μάγνα νῆσος Λιβυκή. Καβειρώ ἡ Πρωτέως καὶ Ἀγχινόης, ἀφ' ἧς καὶ Ἡφαίστου Καδμῖλος. Ῥοιώ ἡ Ζάρηκος θυγάτηρ. Συρακώ λίμνη. Ταχεμψώ νῆσος Αἰθιοπίας πρὸς τῇ Λιβύῃ, ὡς Ἡρόδοτος δευτέρᾳ (c. 29). Χομψώ νῆσος ἐν τῷ Νείλῳ, μέση Αἰθιοπίας καὶ Αἰγύπτου. Ὑρνηθώ ἡ Τημένου θυγάτηρ. Ψεβώ χώρα ἐνδοτάτη Αἰθιοπίας, περὶ ἧς Ἀρισταγόρας ἐν Αἰγυπτιακοῖς τάδε γράφει «οὗτοι δή φασιν εἶναι χώραν ἀπέχουσαν Αἰθιοπίας ἡμερῶν πέντε καλουμένην Ψεβώ». Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων λίμνην εἶναί φησι. Ψενακώ κώμη τῆς Ἀθριβίτου νομοῦ, ὡς Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων. Κυβώ, ἣ καὶ Κύβος, πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων. Ἑκαταῖος περιηγήσει αὐτῆς «καὶ λιμήν, Ἵππου ἄκρη καὶ Κυβώ». Χορτασώ πόλις Αἰγύπτου· ἀπὸ μέλλοντος ὁ σχηματισμός· ὡς γὰρ τοῦ καλύψω ἡ Καλυψώ, οὕτω καὶ τοῦ χορτάσω Χορτασώ. ἱστοροῦσι γὰρ Κλεοπάτραν εἰς πόλεμον μὴ ἔχειν σιτία· τοὺς δ' οἰκοῦντας τὸν τόπον τοσαύτην παρασχέσθαι τούτου τὴν ἀφθονίαν, ὥστε χορτάσαι πᾶσαν τὴν στρατιὰν καὶ ὄνομα τῇ πόλει παρ' αὐτῆς ἐντεῦθεν τεθῆναι.

ΠΕΡΙ ΤΟΝΟΥ ΟΥΔΕΤΕΡΩΝ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ ιγ'.

Πᾶν οὐδέτερον ὄνομα παρεσχηματισμένον ἀρσενικῷ ὁμοτονεῖ τῷ ἀρσενικῷ, φίλος φίλον, κοῦφος κοῦφον, καλός καλόν, χρυσοῦς χρυσοῦν, οὕτω καὶ ὁ πᾶς τὸ πᾶν. τὸ δὲ εἷς ἕν μονοσύλλαβον ἀντίκειται διὰ τὸ μὴ δύνασθαι περισπωμένην ἐπὶ βραχείας εἶναι.

l. 9 verba ὡς Ἡρόδοτος δευτέρᾳ, quae ap. St. B. ad Χομψώ apposita sunt, monente Meinekio ad Ταχεμψώ traxi. l. 25 verba ὑπὲρ μίαν συλλαβὴν Arcadii omisi, quia canon quadrat etiam ad monosyllaba velut πᾶν, et ἕν non propter monosyllabiam, sed propter vocalem correptam exemptum est. οὕτω καὶ ὁ πᾶς τὸ πᾶν addidi ex Choer. Ep. in Psalm. 52, 10: πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον τὸν αὐτὸν τόνον φυλάσσει τῆς τελευταίας τοῦ ἀρσενικοῦ οἷον ὁ καλός τὸ καλόν, ὁ χρυσοῦς τὸ χρυσοῦν. οὕτως οὖν καὶ ὁ πᾶς τὸ πᾶν, χωρὶς τοῦ εἷς ἕν. — Verba ἀντίκειται usque ad finem recepi ex Il. Pr. Σ 519: ὑπολίζονες: προπαροξυτονητέον. πρόδηλον κἀκ τοῦ παρακειμένου οὐδετέρου «οὐδὲν ὀλίζον ἕξομεν», εἴγε ὁμοτονεῖ τοῖς οὐδετέροις ἀεὶ τὰ ἀρσενικὰ κατὰ τὸ τέλος κατὰ τὴν ἡμετέραν διάλεκτον, ἑνὸς ἀντικειμένου τοῦ ἕν διὰ τὸ μὴ δύνασθαι περισπωμένην ἐπὶ βραχείας εἶναι. τὰ δὲ παραδείγματα ἄφθονα ἐπὶ πάσης καταλήξεως ἐχούσης παρασχηματισμὸν οὐδετέρου, μέλας μέλαν, τάλας τάλαν, πᾶς πᾶν, εὐμήκης εὔμηκες, ταχύς

Πᾶν οὐδέτερον κατὰ ἀποβολὴν τοῦ c̄ γενόμενον ἀπὸ ἀρcενικοῦ τὸν αὐτὸν τόνον φυλάττει τῷ ἀρcενικῷ, μέγας μέγα, λειπόπατρις λειπόπατρι, ἄπολις ἄπολι, ὀξύς ὀξύ, ταχύς ταχύ, ἥμιcυς ἥμιcυ, Λίβυς Λίβυ, οὗτος τοῦτο, ἐκεῖνος ἐκεῖνο, αὐτός αὐτό. αἱ γὰρ ἀντωνυμίαι εἰς ō περατοῦνται κατὰ τὸ τρίτον πρόcωπον κατὰ γένος οὐδέτερον. οἱ δὲ Ἀθηναῖοι μετὰ τοῦ ἄρθρου φαcὶ τὸ οὐδέτερον τῆς αὐτός ταὐτόν. ἀναλόγως· ἡ γὰρ ἐκεῖνος καὶ ἡ οὗτος ἀντωνυμίαι cτεροῦνται ἄρθρου. ἵν' οὖν διαcτῇ γένος ἀρcενικὸν καὶ οὐδέτερον, εἰς τὸ ō περατοῦνται κατὰ τὸ οὐδέτερον ἐκεῖνο, τοῦτο, ἵνα τὸ μὲν εἰς ō cημαίνῃ τὸ οὐδέτερον, τὸ δὲ εἰς ν̄ τὸ ἀρcενικὸν ἐκεῖνον, τοῦτον. ἡ δὲ αὐτός ἄρθρον λαμβάνει. οὐκέτι ἄρα ὀφείλει ἔχειν τὸ οὐδέτερον εἰς ō ὁμοίως τῇ χωρὶς ἄρθρου. ἔχει γὰρ διὰ τοῦ ἄρθρου cημαίνειν τὸ γένος. Ἀθηναῖοι τοίνυν τὸ ἄρθρον προcνέμοντες καὶ τὸ ν̄ διδοῦcι «ταὐτὸν θύμον φαγόντες» (Arist. Plut. 253). ταὐτὸ γὰρ ὤφειλεν εἶναι. ὅταν οὖν Ἀττικοὶ λέγουcι ταὐτόν, τὸ ὀφειλόμενον ἀποδιδόαcιν, οὐ πλεονάζουcιν. οὐδὲ ἐνθάδε πλεονάζουcι· τοcοῦτον, τηλικοῦτον. οὐ γὰρ ἔγκειται ἡ οὗτος ἀντωνυμία. ἀλλὰ μᾶλλον τὸ τοcοῦτο καὶ τοιοῦτο πέπονθεν ἔνδειαν τοῦ ν̄. ὡcαύτως καὶ ἄλλος ἄλλο, τοῦτο δὲ ἐπιλαμβάνει τὸ ν̄ ἐν τῷ ἀλλοπρόcαλλον καὶ ἐν τῷ ἔξαλλον καὶ ἄπαλλον.

Πᾶν εἰς ον̄ ἐπιθετικὸν οὐδέτερον παρεcχηματιcμένον τοῖς εἰς οc̄ λήγουcιν ἀρcενικοῖς τούτων φυλάττει τὸν τόνον, φιλόcοφος φιλόcοφον, ἀχρεῖος ἀχρεῖον καὶ Ἀττικῶς ἄχρειος ἄχρειον.

Τὰ εἰς ουc̄ λήγοντα τῶν ὀνομάτων ἔχοντα οὐδετέρου παραcχηματιcμὸν ὁμοτονοῦν ἔχουcι τὸ οὐδέτερον, χρυcοῦς χρυcοῦν, χαλκοῦς χαλκοῦν, εὔνους εὔνουν.

Τὰ εἰς ωc̄ λήγοντα ἔχοντα οὐδετέρου παραcχηματιcμὸν ὁμοτονοῦν ἔχουcι τὸ οὐδέτερον, ἀξιόχρεως ἀξιόχρεων, ἀνάπλεως ἀνάπλεων.

Τὰ εἰς ᾱc ἔχοντα οὐδετέρου παραcχηματιcμὸν ὁμοτονοῦν ἔχουcι

ταχύ, φίλος φίλον, cώφρων cῶφρον. ὅθεν εἰ οὕτως ἀνέγνωμεν «οὐδὲν ὄλιζον ἕξομεν» καὶ τὸ ὀλίζων βαρύνειν ὀφείλομεν. καὶ γὰρ οὐδέποτε τοῖς εἰς ων̄ ὀξυνομένοις ὀνόμαcι παράκειται οὐδετέρου παραcχηματιcμός, τοῖς μέντοι βαρυνομένοις cῶφρον, τλῆμον. εἰ δὴ παράκειται τὸ ὄλιζον, δῆλον ὅτι καὶ τὸ ἀρcενικὸν βαρύνεται. l. 3 ἄπολις ἄπολι, ὀξύς ὀξύ addidi ex Theogn. 119, 17, Λίβυς Λίβυ ex St. B. 415, 14, οὗτος τοῦτο — αὐτό recepi indicante Theognosto l. c. et 118, 17: πᾶν οὐδέτερον εἰς ον̄ λῆγον ἀπὸ ἀρcενικοῦ ἰcοcυλλάβως κλινομένου γεγενημένον ταὐτόν ἐcτιν κατὰ τὴν γραφὴν τῇ αἰτιατικῇ τοῦ ἀρcενικοῦ. — cεcημείωται τὸ αὐτό, ἄλλο, τοῦτο, ἐκεῖνο ὅτι τῶν ἀρcενικῶν εἰς ν̄ ἐχόντων τὴν αἰτιατικὴν ταῦτα χωρὶς τοῦ ν̄ εἰcὶν ἐν τῷ οὐδετέρῳ, quod accuratius expositum est in fragm. περὶ παθῶν in E. M. 748, 3, unde recepi verba inde ab αἱ γὰρ ἀντωνυμίαι — ἡ οὗτος ἀντωνυμία l. 16, quae tum sequuntur, sunt ex Eustath. 617, 44: εἰ καὶ οὐδέτερον αὐτοῦ (sc. τοῦ ἄλλος) ὀφεῖλον εἶναι μᾶλλον μετὰ τοῦ ν̄ ἀναλόγως. ὅμως πέπονθεν αὐτοῦ ἔνδειαν, ὡς καὶ τὸ τοcοῦτο καὶ τοιοῦτο, ἀλλ' ἐπιλαμβάνει αὐτὸ καθ' Ἡρωδιανὸν εἰπεῖν ἐν τῷ ἀλλοπρόcαλλον· οὕτω δὲ καὶ ἐν τῷ ἔξαλλον καὶ ἄπαλλον. l. 22 scripsi cum Iacobi propter Arcad. 87, 7 (cf. supra p. 136, 1) pro Ἀττικῶς ἄχρειως ἄχρειων, quae exhibui. l. 24 pro ὁμοτονοῦcι scripsi, quae sententia postulat, ὁμοτονοῦν ἔχουcι τὸ οὐδέτερον, idem vitium in duobus sequentibus praeceptis sustuli. l. 28 cf. Dichr. 290, 1.

τὸ οὐδέτερον, ἅπας ἅπαν, cύμπας cύμπαν, τάλας τάλαν, μέλας μέλαν.

Τὰ ἀπὸ τῶν εἰc εις ὑπὲρ μίαν cυλλαβὴν οὐδέτερα εἰc εν λήξαντα ἐν μὲν τῇ αὐτῇ cυλλαβῇ τὸν τόνον φυλάττουcι, οὐ μὴν δὲ ἀεὶ τὸν αὐτόν, φωνήεις φωνῆεν, αὐδήειc·αὐδῆεν, χαρίειc χαρίεν. τὸ γὰρ προπαροξύτονον ἐπίρρημά ἐcτιν. τυφθείc τυφθέν.

Τὰ εἰc εc οὐδέτερα τῶν εἰc ηc ὀξυτόνων ὁμοτονοῦcιν αὐτοῖc, εὐcεβήc εὐcεβέc, ἀληθήc ἀληθέc καὶ ἄληθεc παρ' Ἀττικοῖc τὸ ἐπίρρημα, ἑξαετήc ἑξαετέc, τριετήc τριετέc, αὐτοετήc αὐτοετέc, τὸ δὲ αὐτόετεc ἐπιρρηματικῶc προπαροξύνεται, ὡcαύτωc ἐπιτηδήc ἐπιτηδέc, ἐπίτηδεc δὲ ἐπίρρημα.

Τὰ βαρύτονα εἰc ηc ἔχοντα δὲ οὐδέτερα εἰc εc ἢ προπεριcπώμενα αὐτὰ ἔχει ἢ προπαροξύτονα.

Τὰ μὲν οὖν διὰ τοῦ ηρηc ἔχει προπεριcπώμενα, ὀλιγήρηc ὀλιγῆρεc, θυμήρηc θυμῆρεc, τὸ δὲ θυμαρέc ἀπὸ τοῦ θυμαρήc γέγονε, ξιφήρηc ξιφῆρεc, πλήρηc πλῆρεc.

Τὰ διὰ τοῦ ωδηc, εἰ ἔχει οὐδέτερα, προπεριcπώμενα αὐτὰ ἔχει, εὐώδηc εὐῶδεc, γεώδηc γεῶδεc.

Ἔτι τὰ διὰ τοῦ ωρηc, νεώρηc νεῶρεc, αὐτώρηc αὐτῶρεc καὶ τὰ παρὰ τὸ ὄλω cυντεθειμένα, ἐξώληc ἐξῶλεc, πανώληc πανῶλεc. τὰ δὲ ἄλλα προπαροξύνονται, ἐξαιρέτωc τὰ παρ' οὐδετέρων cυντεθέντα βαρύτονα, εὐμήκηc εὔμηκεc, κακοήθηc κακόηθεc, μεγακήτηc μεγάκητεc. καὶ τὰ παρὰ τὸ ηκηc, τανυήκηc τανύηκεc. καὶ τὰ παρὰ τὸ αδηc καὶ αρκηc, αὐθάδηc αὔθαδεc, αὐτάρκηc αὔταρκεc. τὸ μέντοι ποδάρκηc βαρύτονον ἔχει τὸ ποδαρκέc οὐδέτερον ὀξυνόμενον, ἡ δὲ κλητικὴ πόδαρκεc ὡc αὔταρκεc, τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρcενικοῦ.

Τὰ παρὰ τὸ αντηc οὐδέτερα προπαροξύνονται, κατάντηc κάταντεc, προcάντηc πρόcαντεc, ἀνάντηc ἄναντεc καὶ τὰ ὅμοια.

Τὰ εἰc ον μετοχῶν οὐδέτερα ὁμοτονοῦcι τοῖc ἀρcενικοῖc, ὁ λαβὼν τὸ λαβόν, ὁ φαγὼν τὸ φαγόν.

Τῶν εἰc ων βαρυτόνων τὰ οὐδέτερα ὁμοτονοῦcι ταῖc κλητικαῖc τῶν

---

l. 4 inserui ἀεί propter χαρίειc χαρίεν et τυφθείc τυφθέν, quae accentum masculini servant, a Theognosto 119, 12 relata. De χαρίεν cf. E. M. 807, 15. l. 9 τριετέc scripsi pro τριέτεc. Iacobi, qui vult τρίετεc, laudat praeter Lehrsium q. ep. p. 135 seqq. locum Pollucis a Lehrsio neglectum I 54, quem sic emendat: ἡμιετὲc καὶ ἡμιετὴc χρόνοc καὶ διετὴc καὶ τριετὴc (καὶ μέχρι δεκαετοῦc haec omitti vult) ἐπὶ μὲν χρόνου (h. e. adverbialiter Lehrs) προπαροξυνόντων (pro ὀξυνόντων Bekkeri), ἐπὶ δὲ παιδίου καὶ οἴνου καὶ φυτοῦ καὶ τῶν τοιούτων ὀξυνόντων (pro παροξυνόντων Bekkeri) ὡc ἐπὶ τοῦ διετήc (pro διέτηc Bekkeri) μέχρι τοῦ δεκαετήc (pro δεκέτηc Bekkeri). Verba inde ab αὐτοετήc usque ad finem apposui ex Io. Al. 30, 15. l. 15 de θυμήρηc et θυμαρήc cf. Il. Pros. Γ 316. Ι 336. l. 25 ἡ δὲ κλητικὴ πόδαρκεc usque ad finem accesserunt ex E. M. 678, 2 cf. Lehrs q. ep. 159. de τανυήκηc cf. Il. Pr. Ν 391, Π 769. de αὔταρκεc An. Ox. II 340, 31 τὸ οὐδέτερον αὔταρκεc προπαροξυτόνωc. l. 30 pro μετοχικὰ scripsi μετοχῶν οὐδέτερα.

ἀρϲενικῶν, ὁ ϲώφρων ὦ ϲῶφρον καὶ τὸ ϲῶφρον, ὁ ἀγνώμων ὦ ἄγνωμον καὶ τὸ ἄγνωμον, ὁ ἀμείνων ὦ ἄμεινον τὸ ἄμεινον, ὁ βελτίων ὦ βέλτιον τὸ βέλτιον, ὁ ἀρείων ὦ ἄρειον τὸ ἄρειον. τοῖϲ δὲ εἰϲ ων ὀξυνομένοιϲ ὀνόμαϲι οὐδέποτε παράκειται οὐδετέρου παραϲχηματιϲμόϲ.

Τὰ ἀπὸ τῶν εἰϲ ην ἀρϲενικῶν εἰϲ εν οὐδέτερα ὁμοτονοῦϲιν αὐτοῖϲ, ἄρϲην ἄρϲεν, τέρην τέρεν.

* Τὰ εἰϲ ων μετοχῶν δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων οὐδέτερα ὁμοτονοῦϲι τοῖϲ ἀρϲενικοῖϲ, ὁ βοῶν τὸ βοῶν, ὁ γελῶν τὸ γελῶν, ὁ ὁρῶν τὸ ὁρῶν, ὁ ἀγαπῶν τὸ ἀγαπῶν, ὁ μελετῶν τὸ μελετῶν. μονογενὲϲ δὲ οὐδέτερον εἰϲ ων λῆγον ὄνομα οὐκ ἔϲτιν εὑρεῖν.

* Αἱ εἰϲ ωϲ μετοχαὶ ἀπὸ περιϲπωμένων κατὰ πάθοϲ γενόμεναι καὶ φυλάττουϲαι τὸ ω ἐπὶ τῆϲ γενικῆϲ τοῦ ἀρϲενικοῦ ὁμοτονοῦντα ἔχουϲι τὰ οὐδέτερα, βεβώϲ βεβῶτοϲ τὸ βεβώϲ, γεγώϲ γεγῶτοϲ τὸ γεγώϲ, ἑϲτώϲ ἑϲτῶτοϲ τὸ ἑϲτώϲ, τεθνώϲ τεθνῶτοϲ τὸ τεθνώϲ. μονογενὲϲ δὲ οὐδέτερον εἰϲ ωϲ οὐκ ἔϲτιν εὑρεῖν πλὴν τοῦ φῶϲ καὶ τοῦ ὦϲ.

Τὰ εἰϲ α λήγοντα οὐδέτερα μονογενῆ βαρύνεται καὶ ϲυϲτέλλει τὸ α καὶ τὸ μ παραλήγεται καὶ διὰ τοῦ τοϲ θέλει κλίνεϲθαι. πρόϲκειται μονογενῆ διὰ τὸ μέγα. τοῦτο γὰρ λήγει εἰϲ α καὶ πρὸ τοῦ α οὐκ ἔχει τὸ μ διὰ τὸ μὴ εἶναι μονογενέϲ, ἀπὸ γὰρ τοῦ μέγαϲ. τὸ γὰρ Πάϲχα βάρβαρον, διὸ ὃ καὶ ἄκλιτον. τὸ φάβα καὶ αὐτὸ βάρβαρον, εἰ καὶ κλίνοιτο. καὶ τὰ τῶν ϲτοιχείων ὀνόματα, ἄλφα, βῆτα, γάμμα, δέλτα — ἔϲτι καὶ Δέλτα πόλιϲ πρὸϲ τῇ Cυρίᾳ καὶ νῆϲοϲ Αἰγύπτου, ὡϲ Ἔφοροϲ, κατ' Αἰγυπτίουϲ καλουμένη Πυραμὶϲ ἀπὸ τῆϲ τοῦ ϲχήματοϲ ὁμοιότητοϲ — βάρβαρα καὶ ἄκλιτά εἰϲιν. τὸ δὲ ἄλειφα ἐγένετο ἐκ τοῦ ἄλειφαρ ἢ ἄλειφαϲ ὑποϲτολῇ τοῦ ρ ἢ τοῦ ϲ, τὸ δὲ λίπα ἐκ τοῦ

---

l. 2 ὁ ἀμείνων usque ad ἄρειον adieci ex Theogn. 119, 1, τοῖϲ δὲ εἰϲ ων ὀξυνομένοιϲ ex Il. Pr. C 519. l. 5 ἀρϲενικῶν inserui monente Schmidtio in programmate Sedinensi (1864) p. 12. l. 7 hunc canonem ex Theogn. 119, 6 adieci. l. 11 apposui ex Theogn. 119, 21; de φῶϲ et ὦϲ cf. librum sequentem Catholicae. l. 16 Arcadius habet haec tantum de neutris in α: τὰ εἰϲ α λήγοντα οὐδέτερα βαρύνεται [τουτέϲτιν ἢ παροξύνεται inserui] ἢ προπεριϲπᾶται κατὰ τὸν κανόνα, ϲτόμα, αἷμα, βῆμα, ὄρυγμα, εὕρημα. καὶ τὰ ὑπὲρ δύο ϲυλλαβὰϲ προπαροξύνεται, ποίημα, in quibus ὄρυγμα et εὕρημα transponenda esse vidit Schmidtius. Pro his dedi ex Theogn. 120, 30 τὰ εἰϲ α λήγοντα — τὸ φάβα — εἰ καὶ κλίνοιτο insertis verbis καὶ διὰ τοῦ τοϲ θέλει κλίνεϲθαι ex Choer. Dict. 368, 2. de φάβα et Πάϲχα Theogn. 78, 15, ϲημειούμεθα μὴ τὸ μ παραληγόμενα τὸ φάβα καὶ Πάϲχα, ὧν τὸ μὲν ἀπὸ τῆϲ Ἰταλῶν, τὸ Πάϲχα δὲ ἀπὸ τῆϲ Ἑβραίων φωνῆϲ μετηγμένον εἰϲ τὴν Ἑλλάδα φωνήν. τὸ μὲν κλίνεται ἀκολούθωϲ τοῖϲ εἰϲ μα. τοῦ Πάϲχα δὲ αἱ καθεξῆϲ πτώϲειϲ ϲεϲίγηνται. l. 21 καὶ τὰ τῶν ϲτοιχείων ὀνόματα — l. 24 ἄκλιτά εἰϲιν posui ex Choer. 368, 31 insertis verbis βάρβαρα καὶ (nam ita explicata esse nomina literarum ex loci ipsius connexu claret et traditur et a Choer. 373, 31 et Bekk. An. 780, 32 ἰϲτέον ὅτι βαρβάρων μέν εἰϲι εὑρέματα τὰ ἑκκαίδεκα γράμματα ταῦτα κτλ.) et proprio Δέλτα ex St. B. Quae de ἄλειφα, λίπα et ὕφα traduntur, collato Choer. 366, 26 seqq. sumpta sunt ex Herodiano ap. Eustath. 1560, 26: Ἡρωδιανὸϲ ἄλλωϲ αὐτὸ (sc. λίπα) ϲχηματίζων φηϲίν, ὅτι τὸ ἄλειφα καὶ λίπα ἡ κατάληξιϲ οὐκ ἀήθηϲ. ἀλλὰ τὸ μὲν ἄλειφαρ ὡϲ θένω θέναρ καὶ κείρω κέραϲ, οὕτω καὶ αὐτὸ ἐκ τοῦ ἄλειφαρ ἢ ἄλειφαϲ καὶ ὑποϲτολῇ τοῦ ρ ἢ τοῦ ϲ ἄλειφα· τὸ δὲ λίπα ἐξ ἀναλόγου ἀντιπαραθέϲεωϲ ἐγένετο· ὡϲ γὰρ κῶοϲ κῶαϲ, ὕδοϲ ὕδαϲ, γῆροϲ γῆραϲ, οὕτω καὶ λίποϲ λίπαϲ, ἐξ οὗ λίπα, ἵν' ᾖ

λίπας καὶ τὸ ὕφα ἐκ τοῦ ὕφασμα κατὰ ἀποκοπήν. καὶ τὸ γάλα ἀπὸ τοῦ γάλαξ κατ' ἔνδειαν τοῦ ξ̄. ἡ γὰρ κλίσις αὐτοῦ ἀπὸ εὐθείας τῆς εἰς ξ̄ καταληγούσης ἐγένετο· γάλακος γὰρ ἡ γενικὴ καὶ κατὰ πλεονασμὸν τοῦ τ̄ γάλακτος ὥσπερ ἄναξ ἄνακος καὶ ἄνακτος. πᾶσα γὰρ γενικὴ διὰ τοῦ κος κλινομένη ἢ διὰ τοῦ κτος τὴν εὐθεῖαν ἔχει εἰς ξ̄ καταλήγουσαν, οἷον Φοῖνιξ Φοίνικος, θώραξ θώρακος, νύξ νυκτός, ἄναξ ἄνακτος· εἰ οὖν γάλακτος, δῆλον ὅτι εἰς ξ̄ γάλαξ. ἄλλως τε δὲ πᾶσα δοτικὴ πληθυντικῶν εἰς ῑ λήγουσα μετὰ διπλοῦ ἀποβολῇ τοῦ ῑ τὴν εὐθεῖαν τῶν ἑνικῶν ἀποτελεῖ, οἷον Φοίνιξι Φοῖνιξ, κήρυξι κῆρυξ, Πέλοψι Πέλοψ, Κύκλωψι Κύκλωψ. εἰ οὖν ἐστιν ἡ δοτικὴ τῶν πληθυντικῶν γάλαξι, δῆλον ὅτι ἀποβολῇ τοῦ ῑ γίνεται ἡ εὐθεῖα τῶν ἑνικῶν γάλαξ· ἀλλ' ἐπειδὴ τὸ ξ̄ οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων, τούτου χάριν ἀπεβλήθη καὶ ἐγένετο γάλα. Ἀμέλει συντιθέμενον τὸ γάλα καὶ γινόμενον εἰς ἀρσενικὸν γένος, ἀναδέχεται τὸ ὀφειλόμενον ξ̄ οἷον ὁ ἀρτιγάλαξ, ὁ νεογάλαξ. καὶ ἐκ τοῦ γάλαξ ὁ γαλαξίας γενέσθαι δοκεῖ. Περὶ δὲ τοῦ κρᾶτα οἷον «ἐς τὸ κείνου κρᾶτα ἐνήλαθ' ἡ τύχη» παρὰ Σοφοκλεῖ (Oed. Tyr. 263) μήποτέ ἐστιν εἰπεῖν ὅτι τοῦτο ἀπὸ ἀρσενικοῦ ἢ θηλυκοῦ γέγονεν. ἀπὸ ἀρσενικοῦ μὲν ἀπὸ τοῦ ὁ κράς τοῦ κρατός τῷ κρατί τὸν κρᾶτα, ἀπὸ θηλυκοῦ δὲ ἀπὸ τοῦ ἡ κράς τῆς κρατός τῇ κρατί τὴν κρᾶτα καὶ τὸ κρᾶτα. τὸ μὲν γὰρ κράς ἀρσενικῶς καὶ θηλυκῶς λέγεται οἷον ὁ κράς καὶ ἡ κράς.

Τὰ μὲν οὖν δισύλλαβα εἰς μα λήγοντα οὐδέτερα παροξύνεται ἢ προπερισπᾶται, στόμα, πλύμα, ῥύμα, φύμα, θύμα, λύμα, θέμα, δέμα, ἅρμα — ἔστι καὶ πόλις Βοιωτίας τῆς Ταναγρικῆς. Παυσανίας ἐνάτῳ (c. 19, 4). ἐκλήθη δὲ οὕτως ἢ διότι ἐκεῖ κατεάγη τὸ τοῦ Ἀδράστου ἅρμα ἢ ἀπὸ Ἀμφιαράου τοῦ ἅρματος· ἐνταῦθα γὰρ καταφυγεῖν φασι μετὰ τοῦ ἅρματος καὶ οὐκ ἐκδοθῆναι τοῖς διώκουσιν ὑπὸ τῶν κατοικούντων. ἔστι καὶ τῆς Ἀττικῆς Ἅρμα ἐν Πάρνηθι περὶ τὴν Φυλὴν καλουμένην. ἔστι καὶ Ἅρματα πόλις πληθυντικῶς Ἰνδικῆς — αἷμα, βῆμα, ῥῆμα, χρῆμα, σῆμα, ὅθεν Κυνόσσημα τόπος Λιβύης. Ἑκαταῖος περιηγήσει αὐτῆς. ἔστι καὶ ἄλλο χωρίον. λῦμα καὶ φῦμα καὶ θῦμα παρ' Ἀττικοῖς τὸ ῡ ἐκτείνουσιν, ζεῦγμα καὶ Ζεῦγμα πόλις Συρίας

γένος μὲν τὸ λίπα, εἶδος δὲ τὸ ἔλαιον et de ὕφα E. M. 785, 26 ὕφα: ὑφαίνω ὕφασμα· ἢ ὑφάζω ὕφασμα ὑφασία ὕφα. Ἡρωδιανὸς περὶ παθῶν cf. Herod. ἐν τῇ συντάξει τῶν στοιχείων ap. Theogn. p. 78. Quae tum l. 1 de γάλα dicta sunt, prompsi ex Choer. 367, 4 additis ex Eustath. 1627, 47 verbis καὶ ἐκ τοῦ γάλαξ ὁ γαλαξίας γενέσθαι δοκεῖ, qui testatur haec ab Herodiano profecta esse: ὅτι τὸ γάλα εἰς ξ̄ δοκεῖ λήγειν, ἐπιστώσατο Ἡρωδιανὸς καὶ ἀπὸ συνθέτου τοῦ ἀρτιγάλαξ καὶ ἀπὸ πληθυντικῆς δοτικῆς. l. 16 quae de κρᾶτα referuntur, sunt ex Choer. 367, 21, a quo Herodianum exscriptum esse praeter rem ipsam docet Eustath. 700, 56; τὸ δὲ κρανίον τῆς κεφαλῆς πολυωνυμίας τμῆμά ἐστιν, ἧς αἱ κατ' εὐθεῖαν προφοραὶ καὶ τὸ κεῖθεν δὲ κλίμα κατὰ Ἡρωδιανὸν εἰπεῖν διαφόρως ἔχουσιν et paullo post hoc ipsum κρᾶτα profertur. l. 23 πλύμα — λύμα accesserunt ex Dichr. 294, 4, θέμα δέμα ex Theogn. 120, 22, ἅρμα ex St. B.: Ῥῆγμα ὡς ἅρμα, indidem proprium, ῥῆμα χρῆμα ex Theogn., σῆμα et Κυνόσσημα ex St. B., λῦμα φῦμα ex Dichr. l. c., θῦμα ex Ep. Hom. 231, 23, ubi τὸ δὲ θῦμα ἱστορεῖ Ἀριστοκλῆς ἐν τῷ περὶ διαλέκτων ἐκτεινόμενον, ζεῦγμα et Ζεῦγμα ex St. B.,

ἐπὶ τῷ Εὐφράτῃ, ὃν Ἀλέξανδρος ζεύξας ἁλύσεσι διεβίβασε τὰ στρατόπεδα. ῥῆγμα καὶ Ῥῆγμα πόλις καὶ κόλπος περὶ τὸν Περσικὸν κόλπον. δῆγμα, δεῖγμα, λῆμμα, τύμμα, οἶμα, ὅπερ ἐστὶ μονῆρες. οὐδὲν γὰρ εἰς μα λῆγον καθαρὸν δισύλλαβον οὐδέτερον πρὸ τέλους ἔχει τὴν οι δίφθογγον, ἀλλὰ μόνον τὸ οἶμα, τὸ γὰρ οἶδμα οὐ καθαρεῦον. δύναται γὰρ καὶ ἀπὸ συμφώνου ἄρχεσθαί τινα ἢ ἀπὸ συμφώνων, ἵνα μή τις λέγῃ, ὅτι ἄλλο οἶμα ἐπιζητῶ. διὸ ἔθηκα πρὸ τέλους. — τὰ δὲ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ποίημα, ὄρυγμα, τέλεσμα, μελέτημα, βούλημα, εὕρημα. λέγεται καὶ εὕρεμα διὰ τοῦ ε· καί εἰσι μὲν καὶ ἀμφοτέρων χρήσεις, κρείττων δὲ ἡ διὰ τοῦ η ὡς ἀπὸ περισπωμένου τοῦ εὑρῶ, οὗ τὴν περίσπασιν ἐλέγχει ὁ εὑρήσω μέλλων, περιττεύων τοῦ ἐνεστῶτος μιᾷ συλλαβῇ. ὄνομα, ὅ ἐστι μονῆρες. οὐδὲν γὰρ εἰς μα λῆγον οὐδέτερον ἁπλοῦν ἐν ταῖς πρὸ τέλους δύο συλλαβαῖς δισσὸν ἔχει τὸ ο, ὡς δῆλον ἐκ τῶν τοιούτων, ποίημα, νόημα, δόνημα, φίλημα, ἀνάθημα, φώνημα, στεφάνωμα, χρύσωμα, κώλυμα, ἔλυμα, ἔρυμα καὶ ἄλλο μυρίον πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον ποιεῖ τὸν κανόνα. δῆλον ὡς τὸ ὄνομα μονῆρές ἐστι· καὶ γὰρ ἥ τε τρίτη ἀπὸ τέλους τὸ ο ἔχει καὶ ἡ πρὸ τέλους. Αἰολεῖς δὲ ὄνυμα λέγοντες αὐτὸ ἀπολύουσι τοῦ προκειμένου ἐλέγχου. πρόσκειται τῷ κανόνι ἁπλοῦν, ἵνα μή τις ταῦτα σύνθετα ὄντα ὡς ἀντιπίπτοντα παρατάξῃ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα, λέγω δὲ τὸ πρόδομα ἢ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται. τούτων οὖν οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι, διατί ἐν τῷ ὄνομα οἱ Αἰολεῖς τὸ ἐν τῇ παραληγούσῃ ο ἔτρεψαν εἰς τὸ υ οἷον ὄνυμα καὶ μὴ τὸ ἐν τῇ προπαραληγούσῃ οἷον ὕνομα. Ἔστιν οὖν εἰπεῖν τὰς αἰτίας ταύτας· πρῶτον μὲν ὅτι τὸ ἐν τῇ παραληγούσῃ ο γνήσιόν ἐστιν, ἀπὸ γὰρ τοῦ νέμω γέγονε νόμα καὶ κατὰ πλεονασμὸν τοῦ ο ὄνομα, τὸ δὲ ἐν τῇ ἀρχούσῃ ἀπὸ πλεονασμοῦ ἐστιν. ἄτοπον δέ ἐστι τὸ ἀπὸ πλεονασμοῦ τραπῆναι, ἵνα εὑρεθῶσι δύο πάθη, πλεονασμὸς καὶ τροπή. δεύτερον δὲ ὅτι καὶ ὁ χαρακτὴρ ἀπαιτεῖ τὸ ἐν τῇ παραληγούσῃ ο τραπῆναι. πολλὰ γάρ εἰσιν εἰς α οὐδέτερα διὰ τοῦ υμα ἐκφερόμενα οἷον κώλυμα, ἔρυμα, κῦμα, θῦμα. οὕτως οὖν καὶ ὄνομα. καὶ τούτου χάριν τὸ ἐν τῇ παραληγούσῃ ἐτράπη καὶ οὐ τὸ ἐν τῇ ἀρχούσῃ.

Εἰς α μακρὸν ἢ εἰς η ἐπὶ ἑνικῆς εὐθείας ὀνόματος οὐδετέρου οὐκ ἔστιν εὑρεῖν· τὸ γὰρ κάρα ἀπὸ τοῦ κάρανον καὶ τὸ κάρη ἀπὸ τοῦ κάρηνον ἀποκέκοπται. τὸ γὰρ καρή ὀξύτονον θηλυκόν ἐστιν.

---

item ῥῆγμα et Ῥῆγμα, δῆγμα — τύμμα ex Theogn. 77, 16, οἶμα ex Mon. 37, 24. l. 9 τέλεσμα — βούλημα inserui ex Theogn. 77, 23. εὕρημα explevi ex Eustath. 1809, 52, in quo loco pro ἐπικρίνει μᾶλλον Ἡρωδιανὸς τὴν διὰ τοῦ η scripsi κρείττων δὲ ἡ. — l. 12 ὄνομα — l. 22 πρόπωμα λέγεται apposui ex Mon. 29, 12, cum quo loco congruit Choer. 368, 7, quare addidi quae ap. Choerob. sequuntur: τούτων οὖν οὕτως ἐχόντων usque ad finem canonis. Haec habent etiam in brevius contracta Epim. Cr. I 327. l. 34 verba εἰς α μακρὸν usque ad κάρανον καί, quae absunt ab Arcadio, sumpsi ex Theogn. 120, 24 et 78, 28. Arcadius habet τὸ κάρη ἀπὸ τοῦ κάρα γέγονε, sed praetuli Theognosti scripturam ἀπὸ

Τὰ εἰς ῑ μονογενῆ ὑπὲρ μίαν cυλλαβὴν βαρύνεται, μέλι· δίχα δὲ τούτου καὶ τῶν παρ' αὐτοῦ cυντεθέντων ἀπόμελι, ὀξόμελι, εὐκρατόμελι, οἰνόμελι καὶ τοῦ μονοcυλλάβου τί οὐδέν ἐcτι ὄνομα οὐδέτερον Ἑλληνικὸν ἀπαθές. τὸ γὰρ κίκι εἶδος ἐλαίου παρ' Αἰγυπτίοις, κόμι τὸ κομίδιον, πέπερι, κιννάβαρι, ὅπερ Ἀττικοὶ τιγγάβαρυ, cίνηπι, κοῖφι, cτάχι cύνηθες Αἰγυπτίοις, ὅπερ cημαίνει εἶδος πυρροῦ, cτίμμι, ὅπερ γυναῖκες κατὰ τοὺς ὀφθαλμοὺς χρίονται, ὅπερ ἐν τῇ cυνηθείᾳ λαχᾶς καλεῖται, κόρι τὸ κορίανον, τάγυρι, χνάcμι, κάρι, cίcελι οὐχ Ἑλληνικά, ξένα δέ. τὸ δὲ τρόφι ἀπὸ τοῦ τρόφιμον γέγονε κατ' ἀποκοπὴν ὡς ἀπὸ τοῦ κρίμνου τὸ κρῖ, ὡcαύτως καὶ ἄλφι ἀπὸ τοῦ ἄλφιτον καὶ τὸ ἔρι ἀπὸ τοῦ ἔριον.

Τὰ δὲ εἰς ῑ ἐπιθετικὰ ὁμοτονεῖ τοῖς ἀρcενικοῖς, λειπόπατρις λειπόπατρι, φυγόπολις φυγόπολι, φιλόπατρις φιλόπατρι, εὔχαρις εὔχαρι.

Τὰ εἰς ῡ μονογενῆ ὑπὲρ μίαν cυλλαβὴν βαρύνεται, δόρυ, γόνυ, μέθυ, δάκρυ, πῶϋ, ἄcτυ — ἐκλήθη δὲ ἄcτυ, ὡς Φιλόχορος ἐν α' τῆς Ἀτθίδος «διὰ τὸ πρότερον νομάδας καὶ cποράδην ζῶντας τότε cυνελθεῖν καὶ cτῆναι ἐκ τῆς πλάνης εἰς τὰς κοινὰς οἰκήcεις, ὅθεν οὐ μετανεcτήκαcιν. Ἀθηναῖοι δὲ πρῶτοι τῶν ἄλλων ἄcτη καὶ πόλεις ᾤκηcαν». λέγεται ἄcτυ καὶ ὁ δῆμος, ὡς Ἐρατοcθένης ἐν Ἠριγόνῃ «ἢ δ' ὅτε δὴ Θορικοῦ καλὸν ἵκανεν ἕδος ....» ὅτι δὲ δῆμος Θορικός δῆλον. ἔcτι καὶ κώμη πληcίον Κανώβου παρὰ τὴν Ἀλεξάνδρειαν — νᾶπυ τὸ cίνηπι, κόνδυ, κάχρυ, φῖτυ τὸ φίτυμα, μῶλυ, τρῆνυ, ἄcχυ ἀπόρευμα δένδρου. τὸ δὲ Αἶπυ πόλις Μεccηνίας «καὶ Θρύον Ἀλφειοῖο πόρον καὶ ἐΰκτιτον Αἶπυ» (B 592) ἀπὸ τῆς ἐρυμνότητος καλουμένη, ἀμφίβολόν ἐcτιν. Ἀρίcταρχος γὰρ ὡς ὀξύ, cυγκατατίθεται δὲ αὐτῷ καὶ

τοῦ κάρηνον utroque loco servatam, quam comprobat etiam Choer. 515, 18.
l. 1 δίχα δὲ τούτου — l. 9 ξένα δέ prompsi ex Eustath. 846, 8 ἀποκοπὴν ἔχει τὸ τρόφι ἀντὶ τοῦ τρόφιμον ὡς ἀπὸ τοῦ κρίμνου τὸ κρῖ. ἄλλως γὰρ οὐδὲν ὄνομα οὐδέτερον Ἑλληνικὸν εἰς ῑ λήγει δίχα τοῦ μέλι καὶ τοῦ τί. πρόcκειται Ἑλληνικὸν διὰ τὸ πέπερι καὶ τὸ cίνηπι καὶ τὸ κόμμι καὶ τὸ κοῖφι· τοῦτο γὰρ οὐχ Ἑλληνικά, ξένα δέ, ὥς φαcιν οἱ παλαιοί, quo nomine hic significari Herodianum ostendit Priscian. VI 13 p. 205, 8: Herodianus gummi quoque et peperi barbara esse dicit; congruit Choer. 373 seqq., unde etiam composita a μέλι adieci. Arcadius praeter μέλι habet κίκι, cui παρ' Αἰγυπτίοις addidi ex Choer., κόμι, πέπερι, κιννάβαρι, quod explevi ex Theogn. 120, 29, cίνηπι. — κοῖφι apposui ex Eustath., cτάχι ex Theogn. et Choer. Schmidtius ad Hesych. παχήμρον in Theognosti p. 79, 5 verbis: ἔcτι δὲ ἐρυθρὸν ἀπὸ πλίνθου λελεπτυcμένης, ὃ μετὰ γύψου φυραθὲν καὶ χριcθὲν εὐθέως πήγνυται in πήγνυται ineptam Graeculorum etymologiam corrupti vocabuli contineri suspicatur atque πάχι scribendum esse putare videtur. — cτίμμι ex Choer., κόρι — cίcελι ex Theogn. (Lobeckius Parall. 200 pro χνάcμι, κάρι scribi vult θλάcπι et ἄκαρι). τρόφι explevi ex Eustath. l. c., ἄλφι et ἔρι ex Choer. 375, 4 adieci. cf. Cr. An. Ox. IV 338, 6: τῶν εἰς ῑ ἓν μόνον ἀπαραcχημάτιcτον τὸ μέλι· τὸ δὲ τρόφι κατ' ἀποκοπήν, τὸ κρῖ καὶ ἄλφι ἐκ πάθους, τὸ cίνηπι καὶ πέπερι οὐχ Ἑλληνικά. Lob. El. II 294. l. 13 φυγόπολις — εὔχαρι apposui ex Choer. p. 374. l. 16 ἄcτυ explevi ex St. B., κόνδυ — τρῆνυ, quod suspectum est, inserui ex Theogn. 120, 32, ἄcχυ ex eod. p. 79. — l. 24 Αἶπυ — καλουμένη ex St. B. s. v., l. 26 ἀμφίβολόν ἐcτι usque ad finem annexui ex Il. Pros. B 592, ubi postquam Ἀρίcταρχος γὰρ — βαρύνεται,

Ἀπολλόδωρος. Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τὸ δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. Λ 711) εἴρηκεν «ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη» ὃ νῦν εἴρηκε Αἰπύ καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι μὲν κύριον εἶναι τὸ Αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός· χρὴ μέντοι γινώσκειν ὅτι ἀναλογώτερον ἀνάγνωσις ἦν ἡ βαρεῖα. τὰ γὰρ εἰς υ μονογενῆ βαρύνεται.

* Εἰς ων οὐδέτερον μονογενὲς ἢ εἰς ην ἢ εἰς αν ἢ εἰς εν ἢ εἰς ιν ἢ εἰς υν οὐκ ἔστιν εὑρεῖν. τὸ γὰρ ἰθύτρην παρὰ Δημοκρίτῳ βεβίασται.

Τὰ εἰς λεον ὀξύνεται, Χαλεόν ἡ πόλις, ἐλεόν ἡ μαγειρικὴ τράπεζα. «βάλλον δ' εἰν ἐλεοῖσιν», στελεόν, ὃ καὶ στελειόν λέγεται ποιητικῶς, καὶ στελεός, κολεόν ἢ κουλεόν. Πτελεόν πόλις Ἰωνίας καὶ Τρῳάδος καὶ τῶν περὶ Θετταλίαν Ἀχαιῶν. καλεῖται δὲ ὅτι πολλὰς ἔχει πτελέας· ἔστι δὲ καὶ Μεσσηνίας, μία τῶν τριῶν, ὧν Ὅμηρος μνημονεύει «καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον» (Β 594). Δικαίαρχος δὲ τέτταρας ταύτας εἶναί φησι καὶ Πτελέας οὐ Πτελεόν κατὰ τὸ πρῶτον τοῦ βίου τῆς Ἑλλάδος βιβλίον. εἰ δὲ μὴ ἔχουσι τὸ λε, προπαροξύνονται, ὄστρεον, ὃ καὶ ὄστρειον λέγεται, ὄρνεον, δένδρεον, ὤεον, ὅπερ ἐν πλεονασμῷ τοῦ ε ἀπὸ τοῦ ὠόν, κάνεον. τὸ δὲ ὀστέον παροξύνεται ὡς δισύλλαβον· ἀπὸ γὰρ τοῦ ἵστημι στέον καὶ ὀστέον· οὐκ ἀγνοῶ δὲ ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ

«ἀλλ' οὐδὲ λάχανον οὐδὲν οὐδ' ὀστοῦν ἔτι
ὁρῶ».

τοῦτον τὸν τρόπον καὶ τὸ κάνεον κανοῦν.

Τὰ εἰς ον δισύλλαβα παραληγόμενα τῷ ι μόνῳ ἢ τῇ ει διφθόγγῳ βαρύνεται, μνίον, ῥίον. ἔστι καὶ πόλις Μεσσήνης ἢ Ἀχαΐας καὶ ἄλλη Αἰτωλίας. σίον λαχάνου εἶδος, ἴον, δρίον, ὅπερ τινὲς καὶ δρίος γράφουσι, Δῖον πόλις Εὐβοίας περὶ τὸ Κήναιον. Ὅμηρος «Κήρινθόν τ' ἔφαλον Δῖόν τ' αἰπὺ πτολίεθρον» (Β 538). ἔστι καὶ Μακεδονίας, ἔνθα τὸν Ὀλυμπικὸν ἀγῶνα ἐτέλουν· γ' ἔστι πρὸς τῷ Ἄθῳ, ὡς

---

quae huc transtuli, posita sunt, additur: ταῦτα ἐν τῇ προσῳδίᾳ· καὶ ἐν τῇ καθόλου δὲ ὁμοίως ἀμφίβολον αὐτὸ ἐᾷ. ἐν μέντοι τῇ Ζ (422) τῆς Ἰλιάδος διαλαμβάνων περὶ τοῦ ἰῷ «οἳ μὲν πάντες ἰῷ κίον ἤματι» φανερῶς λέγει, ὅτι Ἀρίσταρχος ὀξύνει τὸ Αἰπύ καὶ ἐπείσθη αὐτῷ ἡ πλείων χρῆσις. cf. Lehrs Arist. p. 292 ed. II. l. 10 hoc praeceptum adieci ex Theogn. p. 79, ubi diserte: οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου cf. Lob. Parall. 204. l. 12 ad Χαλεόν apposui ἡ πόλις ex Theogn. 121, 3. Iacobi laudat Rossium de inscr. p. 13, Ahrens de dial. Dor. p. 12, verba βάλλον δ' εἰν ἐλεοῖσιν ex Mon. 37, 30 addidi, στελεόν ex Theogn. et Mon. et Schol. ad Od. ε 236 στελειόν ὀξυτονητέον. κολεόν ex Theogn. et Mon., Πτελεόν ex St. B. l. 20 ὃ καὶ ὄστρειον λέγεται recepi ex Theogn., item ὤεον, κάνεον ex Mon., unde etiam verba οὐκ ἀγνοῶ usque ad finem. Caeterum cf. Il. Pr. Ω 793 τινὲς ὄστεα προπαροξυτόνως ὡς χάλκεα. ἄμεινον δὲ παροξύνειν. l. 28 Ῥίον proprium accessit ex St. B., ad δρίον verba ὅπερ — γράφουσι addidi ex Theogn. 121, 14 cf. E. M. 287, 43, Δῖον ex Theogn. et St. B.,

Θουκυδίδης (4, 109). δ' Θεσσαλίας. ε' Πισιδίας. ς' Ἰταλίας. ζ' κοίλης Συρίας, κτίσμα Ἀλεξάνδρου. κρεῖον ἀγγεῖον κρεῶν, εἶον, ὃ καὶ ἤϊον ἐν διαλύσει λέγεται, τὸ εἰς τὸ ἰέναι ἐπιτήδειον, νεῖον τῆς νηὸς τὸ πυθμενοειδὲς ξύλον.

Τὰ διὰ τοῦ ιον τριβράχεα ὑποκοριστικὰ προπαροξύνεται, κτένιον, πτύχιον, πόδιον, θρόνιον, ὡσαύτως καὶ Θρόνιον πόλις Λοκρῶν· Ὅμηρος «Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα» (Β 533), σχόλιον, χόριον, ῥάχιον, πτέριον, ζύγιον, σπόδιον, φλέβιον, τρίχιον, πέδιον ὁ δεσμός, τὸ δὲ πεδίον ἐπὶ τῆς γῆς παροξύνεται· εἰ μέντοι ἡ πρώτη τούτων μακρὰ ὑπάρχοι, ὑπεσταλμένων τῶν διὰ τοῦ διον παρηγμένων, παροξύνεται, κλειδίον, παιδίον, ῥᾳδίον· οὐ γὰρ διὰ τοῦ διον, ἀλλὰ διὰ τοῦ ιον. τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐστίν. ἔτι σφηκίον, χαρτίον, ὠτίον, μηρίον, θηρίον, κηρίον, ξηρίον, σφαιρίον, φορτίον, σταυρίον, σχοινίον, σπαρτίον, τιτθίον, στρουθίον, σαρκίον, βιβλίον, χρυσίον, καρφίον, χωρίον, κρουνίον, σιτίον, ψωμίον, νησίον. οὕτω καὶ τὸ κλισίον παρὰ τοῖς Ἀττικοῖς τὸ ῑ ἐκτεῖνον παροξύνεται ὡς τὸ θηρίον, παρὰ δὲ Ὁμήρῳ συστέλλει τὸ ῑ καὶ προπαροξύνεται οἷον «περὶ δὲ κλίσιον θέε πάντῃ» (Od. ω 208). τὸ δὲ φρούριον προπαροξύνεται· οὐ γὰρ ὑποκοριστικόν. ὡσαύτως καὶ τὸ ἴχνιον προπαροξυντέον ὁμο-

---

ad εἶον verba ὃ — λέγεται ex Theogn., νεῖον ex eodem. De κρεῖον cf. Il. Pr. I 206 κρεῖον ὡς θεῖον: γέγονε δὲ παρὰ τὸ κρέας. E. M. 537, 1 ἰστέον ὅτι ἡ κοινὴ δόξα ἔχει, ὅτί τὸ κρεῖον κρεωδόχον ἀγγεῖον σημαίνει. ὁ δὲ Εὐφορίων τὸ κρέας λέγει εἶναι. ὁ δὲ Ἡρωδιανὸς τὴν ἐκ τῶν ὠμῶν κρεάτων πεπληρωμένην τράπεζαν. ὁ δὲ Πτολεμαῖος τὸν ἀπὸ τοῦ στέατος πλακοῦντά φησι αὐτὸ σημαίνειν.

l. 5 Choer. Ep. in Psalm. 143, 23 canonem sic statuit: τὰ διὰ τοῦ ιον ὑποκοριστικὰ εἰ μὲν ἠ δακτυλικά, πρὸ μιᾶς ἔχει τὸν τόνον, εἰ δὲ τριβραχέα, προπαροξυτόνως οἷον φόνιον μόδιον (scr. θρόνιον πόδιον). — Θρόνιον addidi ex St. B. propter Il. Pros. Β 648: Ῥύτιον: προπαροξυτόνως ὡς στάδιον. οὐκ εὖ δὲ Τυραννίων παροξύνει ὡς τὸ πεδίον. οὔτε γὰρ ὑποκοριστικόν, οὔτε, εἰ ἦν ὑποκοριστικόν, παρωξύνετο, ὡς τρίβραχυ. τοῦτο δὲ εἴπομεν καὶ ἐπὶ τοῦ Θρόνιον. — σχόλιον — πέδιον ὁ δεσμός adiecta sunt ex Theogn., semiosis de πεδίον ex Il. Pr. l. c.; μηρίον — ψωμίον ex Theogn. 122, 11 recepi σφαιρίον pro σφηρίον scribens et σπαρτίον pro σπερτίον; quae ap. Theogn. sequuntur: τὸ Ῥηγίον, βίβλίον, κρώσίον (scr. κρωσσίον) ἐπὶ δυσὶ τόνοις δύο σημασίας ἐπήνεγκε ab Herodiani doctrina aliena sunt; νησίον ex St. B. — κλισίον addidi ex E. M. 520, 15 coll. Schol. ad Od. ω 208, ubi: ὁ Ἡρωδιανὸς διὰ τοῦ ῑ λέγει, ὅτι παρὰ τὸ κλείω ἐστίν, ὃ σημαίνει τὸ περιέχω et in fine: τὰ διὰ τοῦ ῑ παρώνυμα τριβράχεα προπαροξύνεται, στόμα στόμιον, θρόνος θρόνιον, πτύξ πτύχιον· οὕτως καὶ κλισιάς κλίσιον. τὰ δὲ δακτυλικὰ πρὸ μιᾶς ἔχει τὸν τόνον. Ut hic canon extenditur in omnia paronyma, non in deminutiva sola, sic de deminutiva significatione tacent etiam Ep. Cr. An. Ox. II 31 τὰ διὰ τοῦ ιον οὐδέτερα, εἰ μὲν ὦσι δακτυλικά, πρὸ μιᾶς ἔχουσι τὸν τόνον οἷον φορτίον, κλειδίον, τειχίον, ἑρκίον, θηρίον· εἰ δὲ τριβράχεα, προπαροξύνεται οἷον φλέβιον τόπιον. Sed in hoc Catholicae canone diserte de hypocoristicis traditum esse docet Arcadius. Cum Herodiano congruunt fere Schol. ad Dionys. p. 856, ubi τειχίον, ἑρκίον, μηρίον, θηρίον non deminutiva esse (sc. ap. Homerum) docetur neque omnino apud Homerum deminutiva reperiri quod tradit Herod. in Il. Pr. Ν 71. Annotationem de ἴχνιον sumpsi ex Il. Pr. Ν 71 (E. M. 480, 49) quamquam de hoc vocabulo etiam id Herodianum pronunciasse arbitror, quod in altero Schol. cod. A (Ep. Cr. I 204, 15) proponitur: ἴχνια ὁμοτόνως τῷ παίγνια· τὸ γὰρ παρὰ τὸν ἴξω μέλλοντα, τὸ δὲ παρὰ τὸ παίζω. τὰ γὰρ ἀπὸ μακρᾶς ἀρχόμενα ἔχει παροξυνόμενα τὰ ὑποκοριστικὰ οὐδέτερα, τυρός τυρίον, χρυσός χρυσίον, ἕρκος ἑρκίον,

τόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ᾽ ἀπὸ ῥήματος ἐσχημάτισται.

Τὰ διὰ τοῦ διον ἀπὸ παραγωγῆς ἔχοντα τὸ δ προπαροξύνεται, μύδιον, βοτρύδιον, ἰχθύδιον, σικύδιον, ὀφρύδιον, πιτύδιον, ὀσφύδιον. Βοιωτίδιον ἐκ Βοιώτιος. Ἀριστοφάνης Ἀχαρνεῦσιν (v. 872) «ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον. κῴδιον, βοΐδιον, βιβλίδιον, ὀΐδιον καὶ ἐν συναιρέσει οἴδιον, ζῴδιον, στῴδιον, καλῴδιον, φυσείδιον, λεξείδιον, γήδιον, κλινήδιον, πορνήδιον. τὸ δὲ παιδίον, κλειδίον, δᾳδίον τὸ δ οὐκ ἔχει ἐκ παραγωγῆς. τὸ δὲ δορκάδιον, ἀσπίδιον. Μένανδρος «ἀσπίδιον ἐπριάμην τι καὶ μαχαίριον» καὶ κροκύδιον ὑπερτρισύλλαβα προπαροξύνεται.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα ἔχοντα πρὸ τοῦ ι ρ ἢ λ, μὴ ὄντα ὑποκοριστικὰ μηδὲ ἔχοντα τὸ η ἐν τῇ προπαραληγούσῃ, προπαροξύνεται, ἴκριον τὸ σανίδωμα, ἴτριον, ὄσπριον, ἔριον, μείλιον τὸ δῶρον, τρύβλιον, λείριον τὸ ἄνθος, ῥάκτριον. ὄβριον τὸ τῶν λεόντων ἢ τῶν λύκων σκυλάκιον. φράτριον τόπος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνάγονται· τὸ δὲ θηρίον ἔχει τὸ η καὶ ὑποκοριστικόν ἐστιν. ἔτι τὸ βιβλίον καὶ σμιλίον.

* Τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους μακράν, διὰ τοῦ ι ἐκφερομένην, ἤτοι μόνου ἢ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, Ἴλιον, ποίμνιον, Σίγριον, λείριον, ἴτριον, μείλιον. σπάνια δὲ τὰ

τεῖχος τειχίον, χωρὶς τοῦ φρούριον. τὰ δὲ ἀπὸ βραχείας οὔ· φακός φάκιον, λαγώς λάγιον, ῥάκος ῥάκιον, νάκος νάκιον. τὸ δὲ ἴχνιον ὡς συμφώνῳ ὑγρῷ συνεζευγμένον οὐ ποιεῖ μακράν, cum quo canone in universum congruit is, quem statim proferam, sed rectius in hoc et ex Herodiani sententia pro ὑποκοριστικά dicitur προσηγορικά. Cur cum ἀράχνιον in E. M. l. c. compositum sit ἴχνιον, patet ex E. M. 135, 5: παρὰ τὸ ἀράσσω ἀράχνιον ὡς δέμω δέμνιον, παίζω παίγνιον cf. Schol. ad Dionys. 856, 24. Hic etiam accentus vocis ληδιον memoratus fuit, de cuius scriptura magna fuit dissensio cf. Lob. El. II 40, Didym. ap. Eustath. 1146, 58.

l. 3 hunc canonem ex Arcadio 120, 12 huc retraxi, quia cum praecedente arcte cohaeret. Quae Theognostus 121, 20 de μύδιον profert: ἀπὸ μῦς μυός μυΐδιον καὶ ἐν συγκοπῇ τοῦ ι μύδιον· τοῦ γὰρ υ καὶ ι εἰς τὴν υι δίφθογγον συναιρεθῆσαι μὴ δυναμένων διὰ τὸ μηδέποτε τὴν υι δίφθογγον ἐπὶ τέλους λέξεως μήτε μετὰ συμφώνου εὑρίσκεσθαι, ἐξέπεσεν τὸ ι καὶ ἔμεινεν μόνον τὸ υ ex male intellecto Herodiano fluxerunt cf. Lob. El. I 282, II 24, Proll. 358. — βοτρύδιον — ὀσφύδιον recepi ex Theogn., Βοιωτίδιον ex St. B., ὀΐδιον — πορνήδιον ex Theogn. 121 et 122, 124, de scriptura vocis γήδιον cf. Lob. El. II 41, I 281 et 463; l. 10 verba τὸ δ οὐκ ἔχει inserui. τὸ δὲ δορκάδιον usque ad finem composui ex Theogn. 126, 22 et 125, 9 et St. B. s. Ἀσπίς. l. 13 verba μηδὲ ἔχοντα τὸ η ἐν τῇ προπαραληγούσῃ addidi propter τὸ δὲ θηρίον ἔχει τὸ η, quo indicatur, hic etiam nomina in ηριον non deminutiva relata fuisse, inter quae fortasse μηρίον erat, quamquam sumi potest hoc propter externam vocabuli speciem etiam in hypocoristicis enumeratum fuisse, inter quae ipse retuli. De ἴκριον Herod. in Il. Pr. Ο 676 ἴκρια ὡς δέμνια· ἔστι γὰρ ῥηματικόν, ὡς ἐν ἑτέροις εἴρηται, unde concludas Herodianum vocabulum ita explicavisse ut factum est in E. M. 470, 32: ἴκρια τὰ σανιδώματα διὰ τὸ δι᾽ αὐτῶν ἱκνεῖσθαι. l. 19 hunc canonem addidi ex Il. Pr. Ι 147, ubi propter μείλιον propositum est, de quo Tryphon dubitabat: Τρύφων ζητεῖ περὶ τοῦ τόνου, πότερον ὡς ποίμνια ἢ ὡς παιδία. ἡμῖν δὲ δοκεῖ τὸ προπαροξυνόμενον πλέον εἶναι, σπάνιον δὲ τὸ παροξυνόμενον, εἰ οὕτως ὁρισαί-

παροξυνόμενα ὥσπερ τὸ ἰνίον. τὸ γὰρ τειχίον ὑποκοριστικὸν καὶ τὸ κλειδίον.

* Τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν παροξύνεσθαι θέλει, ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον οἷον ἱστίον, κυμβίον, ἰσχίον, ἑρκίον. τὸ μέντοι ὅρκιον προπαροξυνόμενον κτητικοῦ τύπου ἔχεται· ἐπεὶ δὲ ταὐτόσημόν ἐστι τῷ ὅρκῳ, παρωνύμῳ εἴδει ὑποπεπτωκέναι φαμὲν ὡς τὸ Αἰτώλιος, κάπριος, αἰζήϊος· εἶπον ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον, διὰ τὸ ἴκριον καὶ ἴχνιον.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα κύρια προπαροξύνονται, Ἴλιον πόλις Τρῳάδος ἀπὸ Ἴλου, ἣν οἱ Τρῶες Ἄτην ἐκάλουν καὶ Ἄτης λόφον. οὐδετέρως παρὰ πᾶσι, παρ' Ὁμήρῳ δὲ θηλυκῶς. τὸ γὰρ «Ἴλιον αἰπύ» (Il. Ο 71) νοθεύει Ἀρίσταρχος. δευτέρα ἐν τῇ Προποντίδι παρὰ Ῥυνδάκῳ ποταμῷ. τρίτη Μακεδονίας Ἑλένου κτίσμα. τετάρτη Θεσσαλίας. πέμπτη Θρᾴκης κατὰ Βιζύην. Δέρριον. Ῥήγιον πόλις Ἑλληνίς. Ἴσθμιον. Ῥύτιον πόλις Κρήτης (Il. Β 648), ὅπερ Τυραννίων οὐκ εὖ παροξύνει ὡς πεδίον· οὔτε γὰρ ὑποκοριστικόν, οὔτε εἰ ἦν ὑποκοριστικόν, παρωξύνετο, καθότι τρίβραχυ. Θρόνιον, Σπήλιον. Ὄβριον τὸ ὄρος. Κούριον πόλις Κύπρου ἀπὸ Κουρέως τοῦ Κινύρου παιδός. Ἡρόδοτος πέμπτῃ (c. 113). ἔστι καὶ πόλις Αἰτωλίας. Χώριον ἡ πόλις, ἐπὶ γὰρ ὑποκοριστικοῦ παροξύνεται. Δαύνιον πόλις Ἰταλίας. Λυκόφρων (v. 1254) «ὑπὲρ Λακίου Δαυνίου τ' ᾠκισμένην». Οἴνιον. Σέστιον πόλις ἐν μεσογείᾳ Οἰνωτρῶν. Αἴγιον πόλις Ἀχαΐας, ὡς Εὔδοξος ἐν ἕκτῃ. Σούνιον δῆμος Λεοντίδος φυλῆς. Ὅμηρος δὲ ἄκρον καλεῖ «ἀλλ' ὅτε Σούνιον ἄκρον» (Od. γ 278). Δώριον πόλις Μεσσηνίας μία τῶν τριῶν, ὧν Ὅμηρος μνημονεύει «καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον» (Β 594). Πύθιον τὸ πάλαι μεσαίτατον τῆς ἐν Κρήτῃ Γόρτυνος. καὶ Μακεδονίας Πύθιον, ἐν ᾧ καὶ τὰ Πύθια ἐπιτελεῖται. ἔστι καὶ Πύθιον πλησίον τοῦ Ἀστακηνοῦ κόλπου. Ἄκτιον πόλις Ἀκαρνάνων πρώτη ἀπὸ τοῦ Ἀμβρακικοῦ κόλπου ἀρξαμένοις. ὁμωνύμως δὲ λέγεται καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος καὶ ἡ ἄκρα ἡ ποιοῦσα τὸ στόμα τοῦ κόλπου καὶ ἡ πόλις.

μεθα κτλ. — Quod autem Herodianus hic τειχίον deminutivum esse pertendit, Ν 71 autem Homero deminutiva ignota esse dicit, in eo non sibi contradicit, nam negat tantum eiusmodi vocabula velut τειχίον apud Homerum deminutiva esse, non omnino neque in communi usu. l. 3 hunc canonem recepi ex Ep. Cr. I 308, 5, nam praeterquam quod αἰζήϊος sic ut hic factum est, explicatur ab Herod. apud Theogn. 57, 15, Herodiani est consuetudo unum idemque vocabulum diversae rationi subiicere. l. 10 Ἴλιον explevi ex St. B., Δέρριον cum Schmidtio scripsi collato Pausan. III 20, 7. Ῥήγιον explevi ex St. B., exstat vocabulum etiam ap. Theogn. 122, 31, Ῥύτιον adieci ex Il. Pros. Β 648 coll. St. B., Θρόνιον, quod iam supra ad θρόνιον appellativum apposui, ex eodem Il. Pr. loco repetivi, habet vocem etiam Theogn., Σπήλιον — Ὄβριον sunt ex Theogn., Κούριον ex Theogn. et St. B., Χώριον ex Theogn., Δαύνιον ex Theogn. et St. B., Οἴνιον ex Theogn. Σέστιον pro Σέστριον corrupto ex Theogn. et St. B., Αἴγιον — Ἄκτιον ex Theogn. et St. B., reliqua omnia ex St. B. accesserunt praeter extremum Μέντιον, quod est ap. Theogn. 125, 14.

Ἄγιον τόπος Σκυθίας, ἐν ᾧ Ἀσκληπιὸς ἐτιμᾶτο, ὡς Πολυΐστωρ. Πάριον πόλις ἐν Ἑλλησπόντῳ ἀπὸ Παρίου τοῦ Ἰασίωνος. Ὄριον τόπος Κρήτης. Πάνιον σπήλαιον Παλαιστίνης, ἀφ' οὗ ἐκρεῖ ὁ ποταμὸς Ἰορδάνης. Ὅλκιον πόλις Τυρρηνίας. Πολύβιος ἕκτῳ. Ὅλμιον πόλις Βοιωτίας, ὡς Ἐπαφρόδιτος ἐν τοῖς Ὁμηρικοῖς. Νότιον πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ. Ἄντιον πόλις μετὰ Λωρεντὸν τῆς Ἰταλίας ἢ καὶ Ἄντεια. Βάκτριον πόλις. Μόψιον πόλις τῆς Πελασγιώτιδος χώρας Θεσσαλίας. «ὠνόμασται οὐκ ἀπὸ Μόψου τοῦ Μαντοῦς τῆς Τειρεσίου, ἀλλ' ἀπὸ τοῦ Λαπίθου τοῦ συμπλεύσαντος τοῖς Ἀργοναύταις. ἄλλος δ' ἐστὶ Μόψος, ἀφ' οὗ ἡ Ἀττικὴ Μοψοπία» (Strab. p. 443). Μάσιον ὄρος ὑπὲρ τῆς Νισίβιος. Στράβων ἑνδεκάτῃ (p. 527). Κάστνιον ὄρος ἐν Ἀσπένδῳ τῆς Παμφυλίας. Κρήσιον πόλις Κύπρου. Θεόπομπος Φιλιππικῶν πεντεκαιδεκάτῳ. Καύδιον πόλις Ἰταλίας. Διονύσιος ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Κόριον τόπος ἐν Κρήτῃ ἀπὸ κόρης τινός. Κάσιον ὄρος καὶ πόλις Αἰγύπτου πρὸς τῷ Πηλουσίῳ. ἐκλήθη δὲ ἀπὸ τῆς Κυκλάδος νήσου ἢ ἀπὸ Κάσου τοῦ Κλεόχου, ἀφ' οὗ καὶ Κασίου Διὸς ἱερόν. Θύριον πόλις Ἀκαρνανίας. Μάριον πόλις Κύπρου ἡ μετονομασθεῖσα Ἀρσινόη ἀπὸ Μαριέως. Δήλιον πολίχνιον Βοιωτίας ἐν τῇ Τανάγρᾳ καὶ ἱερὸν Ἀπόλλωνος. Δαύνιον πόλις Ἰταλίας. Δάλμιον πόλις Δαλματίας. Γράμμιον πόλις ἐν Κρήτῃ. Γόλγιον πόλις Κύπρου, ἣ καὶ Γολγοί. Ἤπιον πόλις Τριφυλίας. Βρύλλιον πόλις ἐν τῇ Προποντίδι, Ἔφορος δὲ ἐν τῷ ε' Κίον αὐτήν φησιν εἶναι. Βρύγιον πόλις Μακεδονίας. Βαίτιον πόλις Μακεδονίας. Θεόπομπος εἰκοστῇ τετάρτῃ. Βούτριον τῆς Ἰταλίας πόλις. Βέργιον πόλις Θρᾴκης, ἣ καὶ Βέργη. Πλούτιον πόλις Τυρρηνῶν. Δώτιον πεδίον Θεσσαλίας, ὅπου μετῴκησαν οἱ Κνίδιοι, ὧν ἡ χώρα ἡ Κνιδία. Καλλίμαχος ἐν τοῖς ὕμνοις (in Cerer. 24) «οὔπω τὰν Κνιδίαν, ἔτι Δώτιον ἱρὸν ἔναιον». ἐκλήθη δὲ ἀπὸ Δωτίας τῆς Ἐλάτου. Φερεκύδης δὲ ἀπὸ Δώτιος τοῦ Ἀστερίου καὶ Ἀμφικτυόνης τῆς Φθίου. ὡς δὲ Ἀρχῖνος ἀπὸ Δώτου τοῦ Νεώνου τοῦ Ἕλληνος. Μνασέας δὲ ἀπὸ Δώτου τοῦ Πελασγοῦ. Πήλιον πόλις Θετταλίας. λέγεται καὶ Πηλία. καλεῖται δὲ καὶ Πηλεῖς πληθυντικῶς ἀπὸ τοῦ Πηλεύς ἑνικοῦ. τὸ δὲ ὄρος Πήλιον. Πόλιον ἐν Λέσβῳ τόπος. Πρόσχιον χώρα Αἰτωλίας. Πτέριον πόλις Μήδων. λέγεται καὶ θηλυκῶς ἡ Πτερία. Σάμνιον πόλις Πρετανίας. Σίγριον Λέσβου λιμήν. Σίρμιον πόλις Παιόνων. Σκίριον τόπος Ἀττικός. λέγεται καὶ Σκῖρον καὶ ὁ Σκῖρος. Σόλλιον Κορίνθου πολίχνιον. Θουκυδίδης δευτέρᾳ (c. 30). Σκύλλιον ὄρος Κρήτης. Σμίνθιον τόπος. Στράβων τρισκαιδεκάτῃ (p. 605). Σούτριον πόλις ἡ πρότερον Τυρρηνῶν, ὕστερον δὲ Ῥωμαίων. Στράτιον πόλις Ἀκαρνανίας. Θούριον πόλις Ἰταλίας πρότερον Σύβαρις ὀνομασθεῖσα ἡ καὶ Θούριοι, ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν,

Δωρίδος ἐκ πάτρης βλαστόν τ' ἄπο· τῶν γὰρ ἄτλητον
μῶμον ὑπεκπροφυγὼν Θούριον ἔςχε πάτρην.

Τείρια πόλις Λευκοσύρων. Ἑκαταῖος Ἀσίᾳ. Τέμβριον πόλις Φρυγίας. Χάραξ δὲ Τύμβριον αὐτήν φηςι. Ἀλέξανδρος δὲ Τεμβρίειόν φηςιν ὡς Γορδίειον. Τίνδιον πόλις Λιβύης. Τράλλιον πόλις Βιθυνίας, ἣ καθήκει πρὸς τὸν Ἀστακηνὸν κόλπον. Ὕπια ὄρη ὑπὸ τὴν Ποντικὴν Ἡράκλειαν, ὡς Νύμφις ἐν πρώτῳ περὶ Ἡρακλείας. Φάκιον πόλισμα Θεσσαλίας. Θουκυδίδης δ' (c. 78). Φοίτιον πόλις Ἀκαρνανίας. λέγεται καὶ Φοιτίαι. Φρίκιον ὄρος ὑπὲρ Θερμοπυλῶν Λοκρικόν, ἀφ' οὗ Φρικᾶνες καὶ Φρικανεῖς οἱ αὐτόθι οἰκήσαντες Αἰολεῖς, ὡς Ἑλλάνικος ἐν ἱερειῶν Ἥρας β'. ἐκλήθη δὲ ἀπὸ Φρικίου τοῦ Κενταύρου, ὃν ἀπέκτεινεν Ἡρακλῆς. καλεῖται καὶ Φρίκειον, ὃ καὶ Δρίος ὠνομάζετο. Φρύγια τόπος μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς. Χήσιον πολίχνιον Ἰωνίας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν πρώτῳ. Ψίλιον ποταμὸς μεταξὺ Θυνίας καὶ Βιθυνίας. Δομίτιος Κάλλίστρατος ἐν τρίτῳ περὶ Ἡρακλείας «ἐγκυριεύσαντος ἀπὸ τοῦ Σαγγάρου χωρίου ἐντὸς τοῦ Ψιλίου ποταμοῦ». Ψύχιον τόπος Κρήτης, ἐν ᾗ πόλις ἦν ὁμώνυμος. Πόρθμιον καὶ Πορθμία κώμη ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος λίμνης. Μέντιον τὸ ὄρος.

Τὰ διὰ τοῦ νιον ἔχοντα πρὸ τοῦ ν σύμφωνον προπαροξύνεται χωρὶς εἰ μὴ ἔχοι ἡ πρώτη τὸ α μὴ μεθ' ἑτέρου φωνήεντος μηδὲ μετὰ συμφώνων κατὰ σύλληψιν, ἄνευ τῶν ὑποκοριστικῶν, ποίμνιον, δέμνιον, παίγνιον, τὸ γὰρ α οὐκ ἔστι μόνον, σάννιον τὸ αἰδοῖον· τὰ γὰρ σύμφωνά ἐστι κατὰ διάστασιν. φέρνιον ἡ σπυρὶς τῶν ἰχθύων, ἴχνιον, κέρνιον. τὸ δὲ ἀμνίον παροξύνεται καὶ τὸ σκυμνίον.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα ἔχοντα δίφθογγον ἐν τῇ ἀρχούσῃ προπαροξύνεται, μὴ ὄντα ὑποκοριστικά, φρούριον, παίγνιον, ποίμνιον, Σούνιον, Αἴγιον, αὔλιον ἡ ἐν τοῖς ἀγροῖς οἴκησις, πλαίσιον ἡ τετραγωνοειδὴς τῶν στρατιωτῶν σύνταξις. γέγονε δὲ παρὰ τὸ πέλας πελάσιος καὶ συγκοπῇ πλάσιος καὶ πλεονασμῷ τοῦ ι πλαίσιος. τὸ δὲ σχοινίον, κρουνίον ὑποκοριστικά.

* Τὰ διὰ τοῦ νιον τρισύλλαβα ἔχοντα η ἐν τῇ ἀρχούσῃ παροξύνεται, ἡνίον, σπληνίον. τὸ δὲ ὤνιον προπαροξύνεται.

l. 21 μή ante μεθ' inserui cum Schmidt. et apposui verba μηδὲ μετὰ συμφώνων κατὰ σύλληψιν propter σάννιον ap. Theogn. 123, 7, ubi: τὰ διὰ τοῦ νιον τρισύλλαβα μονογενῆ προπαροξύτονα, ἔχοντα τὴν τρίτην ἀπὸ τέλους διὰ δύο συμφώνων διειργομένην κατὰ σύλληψιν ἢ κατὰ διάστασιν ὄντων διὰ τοῦ ι γράφεται οἷον δέμνιον, παίγνιον, ἴχνιον, φέρνιον ἡ σπυρίς, σάννιον τὸ αἰδοῖον, κέρνιον. Hinc praeter σάννιον sumpsi ἴχνιον, de quo supra, et κέρνιον. De φέρνιον cft. Iacobi Eustath. 742, 58 et Ammon. p. 144. — De ἀμνίον cf. Schol. ad Od. γ 444: ἀμνίον ὡς πηνίον, cum quo fere congruunt Ep. Cr. I 81, 24. l. 28 Σούνιον Αἴγιον apposui ex Theogn. 123, 13, αὔλιον ex St. B. s. αὐλή, πλαίσιον ex Theogn., ex E. M. 674, 44, ubi exstant verba συγκοπῇ πλάσιος καί, emendato, quo loco diserte dicitur οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. l. 32 priorem partem canonis usque ad σπληνίον supplevi ex Theogn. 123, 19, nam τὸ δὲ ὤνιον ap. Arcadium, quod priori canoni de vocabulis in antepaenultima diphthongum habentibus annexum est, ibi aptum locum non habet, sed bene ω opponitur vocali η.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, ὧν οὐδέτερον ἢ τὸ ἓν οὐκ ἔστιν ἀμετάβολον, παροξύνεται, ἰσχίον, ἱστίον, ὀγκίον, κυμβίον, ἀντίον τὸ τοῦ ἱστοῦ. τὸ σίλφιον καὶ ὅρκιον προπαροξύνεται.

Τὰ διὰ τοῦ ηϊον Ἰωνικὰ προπαροξύνεται, λήϊον, νήϊον· ἔστι καὶ Νήϊον ὄρος Ἰθάκης, ἀφ' οὗ κατὰ Κράτητα αἱ νηϊάδες, οἱ δὲ τὰς διατριβούσας περὶ τὰ νάματα. αἱ δὲ νηϊάδες ἀπὸ τοῦ νήϊος ἢ ἀπὸ τοῦ νηῖς. τὸ δὲ Ὑπονήϊον σύνθετον ὡς τὸ Ἐπικνημίδιοι. Λυκήϊον, Μιδήϊον πόλις Φρυγίας, ἣ Μιδάϊον καὶ Μιδάειον λέγεται. Ταρσήϊον πόλις πρὸς ταῖς Ἡρακλείαις στήλαις. Πολύβιος τρίτῳ (c. 24). ποσιδήϊον «ποσιδήϊον, ἀγλαὸν ὕδωρ» (Β 506), ἐκ τοῦ ποσίδειον παρὰ τὸ Ποσιδέης ὡς Ἡράκλειον παρὰ τὸ Ἡρακλέης. σημήϊον, μνημήϊον, βασιλήϊον, παρήϊον «τῆς τήκετο καλὰ παρήϊα» (Od. τ 208). λαισήϊον. λέγονται δὲ πάντα τὰ κατὰ μάχην σκεπαστήρια λαισήϊα διὰ τὸ ἐν τῇ λαιᾷ φέρεσθαι.

* Τὰ διὰ τοῦ ωϊον προπαροξύνεται. Ἀλώϊον πόλις Θεσσαλίας ἐπὶ τῶν Τέμπεων, ἣν ἔκτισαν οἱ Ἀλωάδαι καθελόντες τοὺς Θρᾷκας. ὡς εἶναι αὐτὴν ἀπὸ Ἀλωέος. Ὁμολώϊον τεμενικὸν κατὰ πλεονασμὸν τοῦ ω ἐκ τοῦ Ὁμόλιον.

Πᾶν εἰς ιον ὑπὲρ τρεῖς συλλαβὰς μονογενὲς κύριον ἢ προσηγορικὸν ἢ ὑποκοριστικὸν προπαροξύνεται, Περγάντιον πόλις Λιγύων, Αἰάντιον, Βυζάντιον, ἀρτοπώλιον, πλοιάριον, παρθένιον, Διωνύσιον, οἰνοπώλιον, κωδώνιον, αὐχένιον, διαβούλιον.

* Τὰ εἰς ιον ὑπὲρ τρεῖς συλλαβὰς β, γ, δ, ζ, θ παραληγόμενα προπαροξύνεται, ἱπποφόρβιον, συφόρβιον, Κανήβιον πόλις Καρίας ἡ ὕστερον Κύον, Λανούβιον πόλις περὶ τὴν Ῥώμην. κυνήγιον, ὀρροπύγιον, Σηράγγιον, φαλάγγιον. Ἀμύργιον πεδίον Σακῶν. Ἑλλάνικος Σκυθικοῖς. Ἁρπάγια τόπος περὶ Κύζικον, ὅθεν ἡρπάσθαι φασὶ Γανυμήδην. Στυλλάγιον πόλις Τριφυλίας. Σεσίνδιον πόλις Ἰνδική. Σιλίνδιον πόλισμα περὶ τὴν Ἴδην, ὡς Δημήτριος ὁ Σκήψιος

---

l. 2 οὐδέτερον ἢ propter vocabula ab Arcadio relata inserui; ὀγκίον κομβίον, ἀντίον adieci ex Theogn., a quo diserte paroxytona esse perhibentur; pro φόρκιον Schmidtius φόρμιον exhibuit, sed huic canoni, qualem constitui, non convenit; ipse posui ὅρκιον, quod iam in praecedentibus commemoratum est. Hic alicubi etiam βαῖον Theogn. 128, 27 (cf. Hesych. s. βαΐς et E. M. βάϊον κλάδος τοῦ φοίνικος) commemoratum fuit. l. 5 Ἰωνικὰ inserui ex Theogn. 123, 30, Νήϊον proprium ex St. B. l. 8 Ὑπονήϊον — Ταρσήϊον sunt ex St. B., ποσιδήϊον ex Mon. 11, 2, βασιλήϊον ex Theogn., παρήϊον ex Ep. Cr. I 343, 16, λαισήϊον ex Eustath. 570, 32, ubi: Ἡρωδιανός φησι καὶ λέγεσθαι πάντα κτλ. l. 16 hunc canonem propter nomina a St. B. relata composui. l. 21 Περγάντιον ex St. B. explevi, παρθένιον — αὐχένιον addidi ex An. Ox. II 356, 27, διαβούλιον ex E. M. 266, 51: διαβούλιον: οὐδέτερον ὑποκοριστικὸν παρὰ τὸ βουλή. προπαροξύνεται· πᾶν εἰς ον οὐδέτερον καθαρὸν μονογενὲς τῷ ι παραληγόμενον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται εἴτε κύριον εἴτε προσηγορικὸν εἴτε ὑποκοριστικόν.

l. 24 hinc usque ad nomina in αιον, unde Arcadii praecepta denuo initium capiunt, canones ex Theognosto collato St. B. composui; atque primum hunc ex Theogn. 126, 8 et 1, ubi pro σιράγγιον scripsi Σηράγγιον. — Κανήβιον et Λανούβιον, item Ἀμύργιον — usque ad finem ex St. B. recepi excepto τραπέζιον, quod

ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου. τραπέζιον. Ὑρνήθιον χωρίον ἐν Ἐπιδαύρῳ ἀπὸ Ὑρνηθοῦς τῆς Τημένου θυγατρός. Παυσανίας δευτέρῳ περιηγήσεως (c. 28, 30).

* Ἔτι τὰ εἰς ιον ὑπερτρισύλλαβα κ παραληγόμενα προπαροξύνεται, περδίκιον καὶ Περδίκια χώρα καὶ λιμὴν Λυκίας. πινάκιον, πιττάκιον, θρινάκιον, δελφάκιον, σκυλάκιον, Ναρύκιον πόλις Λοκρίδος, ἣ καὶ Νᾶρυξ λέγεται. Βρυσάκιον πόλις τῆς Παρθίνης. Στυράκιον ὄρος Κρήτης. Φαρνάκιον πόλις Φρυγίας, ὡς Ἀλέξανδρος περὶ Φρυγίας τρίτῳ.

* Τὰ διὰ τοῦ λιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Ὁμόλιον πόλις Μακεδονίας καὶ Μαγνησίας. Στράβων ἑβδόμῃ (p. 443). πηδάλιον, κειμήλιον, κανθήλιον τὸ ἐπὶ τῇ πρύμνῃ ἐπικαμπὲς ξύλον. ἑδώλιον τὸ βάθρον τῆς νεώς, ἐφ' ὃ καθέζονται οἱ ἐρέσσοντες. τραγάλιον, οἰνοπώλιον, ἀρτοπώλιον. Βαργύλια πόλις Καρίας, ἣν Ἄνδανον οἱ Κᾶρές φασιν, Ἀχιλλέως κτίσμα λέγοντες. ὠνομάσθη δὲ ἀπὸ Βαργύλου, ὃς πληγεὶς ὑπὸ Πηγάσου τελευτᾷ, Βελλεροφόντης δ' ἀνιαθεὶς ἐπὶ τῷ ἑταίρῳ ἔκτισε Βαργύλια. Ἰδάλιον πόλις Κύπρου. Ὀμφάλιον τόπος Κρήτης πλησίον Θενῶν καὶ Κνωσσοῦ. ἔστι καὶ Θετταλίας. Ἐπιτάλιον πόλις τῆς Τριφυλίας. Πολύβιος τετάρτῃ. Ἀμφιμάλιον πόλις Κρήτης ἀπὸ Ἀμφιμάλου. λέγεται καὶ Ἀμφίμαλα. Σανδάλιον Πισιδίας χωρίον. Ταυροπόλιον ἐν Ἰκαρίᾳ νήσῳ παρακειμένῃ τῇ Σάμῳ Ἀρτέμιδος ἱερόν. Στράβων ιδ' (p. 639). Διοβούλιον πολίχνιον πλησίον τοῦ Πόντου. Δασκύλιον πόλις Καρίας ἐπὶ τοῖς ὅροις τῆς Ἐφεσίας ἀπὸ Δασκύλου τοῦ υἱοῦ Περιαύδου. ἔστι καὶ ἑτέρα πόλις μετὰ τὰ Τρωϊκὰ κτισθεῖσα. τρίτη τῆς Ἰωνίας τὸ μέγα λεγόμενον ὡς μεῖζον τῶν ἄλλων. τετάρτη περὶ Βιθυνίαν. πέμπτη τῆς Αἰολίδος καὶ Φρυγίας.

* Ὡσαύτως καὶ τὰ εἰς υλλιον ὑποκοριστικά, παιδαρύλλιον, κρεύλλιον, μειρακύλλιον.

* Τὰ διὰ τοῦ μιον προπαροξύνεται, Μενεδήμιον πόλις Λυκίας. Ἀφόρμιον τόπος Θεσπιέων. Ἀφροδίσιος ἤτοι Εὐφήμιος ἐν τῷ περὶ τῆς πατρίδος. ὅθεν καὶ τὸν κυβερνήσαντα τὴν ναῦν τὴν Ἀργὼ Τῖφυν. «καὶ λόγος παρ' ἡμῖν τῆς νεὼς ἀφορμησάσης ἐντεῦθεν μετὰ τῶν ἀρι-

---

ex Eust. ad Dionys. 175 accessit: φασὶν οἱ παλαιοὶ ὅτι τὸ τραπέζιον σχῆμα κατὰ μετρικὴν ἀνάγκην ἐνταῦθα ἔχει ἐν παραληγούσῃ τὸ δίχρονον· ἄλλως γὰρ διὰ διφθόγγου, φασίν, ἐκφέρεται. οὐ γὰρ ὑποκορίζεται ἀπὸ τῆς τραπέζης, ἀλλ' ἀπὸ τοῦ τραπεζεύς γίνεται, ὡς τάχα τῶν πάλαι τραπεζέων τοιουτοσχήμασι χρωμένων τραπέζαις διὰ τὸ στερρὸν τῆς βάσεως, quod si conferas cum iis, quae Herodian. ap. Theogn. 45, 17 de τραπεζίτης et τραπεζείτης tradit, Herodianum de scriptura τραπέζιον et τραπέζειον disputasse verisimile est ita, ut τραπέζιον deminutivum, τραπέζειον autem proprie adiectivum esse, sed τραπέζιον praeferendum dixerit, nam sic vocabulum apud Hesiodum scriptum est. l. 4 canon compositus est ex Theogn. 126, 17 Περδίκια, Ναρύκιον usque ad Φαρνάκιον ex St. B. adiectis. l. 10 canonem sumpsi ex Theogn. 125, 29, unde nomina usque ad ἀρτοπώλιον petita sunt, Ὁμόλιον ex St. B. explevi, nomina Βαργύλια usque ad finem ex St. B. apposui. l. 27 canon ex Theogn. 126, 23 receptus est. l. 29 hunc canonem ex nominibus a St. B. relatis composui.

στέων, ἀφ' οὗπερ ἀπέπλευσεν ἡ ναῦς». Τορτόμιον πόλις μεταξὺ Συρίας καὶ Ἀρμενίας. Ὑάμιον πόλις Τρωϊκή.

* Τὰ διὰ τοῦ ῑον̄ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Μαλάνιον πόλις μία μεσογείας τῶν Οἰνωτρῶν τῶν ὑπὸ Ἑκαταίου καταλεχθεισῶν ἐν Εὐρώπῃ. ὀπτάνιον παρ' Ἀττικοῖς, γράφεται δὲ καὶ ὀπταν εῖον. βοτάνιον, λεκάνιον. Ἀρβάνιον πόλις πρὸς τῷ Πόντῳ. Βρυάνιον πόλις Θεσπρωτίας. Ἀζάνιον· οὕτω τινὲς Αἰζανούς, πόλιν Φρυγίας, φασίν, ἣν Στράβων δωδεκάτῃ (p. 576) Ἀζανούς λέγει «τῆς δ' Ἐπικτήτου Φρυγίας Ἀζανοί τέ εἰσι καὶ Νακόλεια». Μεδιολάνιον πόλις Ἀκυτανίας. Ὑρκάνιον πεδίον τῆς Λυδίας, ὡς Ἐρατοσθένης ἐν πέμπτῳ Γαλατικῶν. ἑλένιον, Ὁρμένιον, Παρθένιον πόλις Εὐβοίας. ἔστι δὲ καὶ Θρᾴκης. ἔστι δὲ καὶ ὄνομα ὄρους. αὐχένιον. τοῦτο δὲ διφορεῖται κατὰ τὴν παραλήγουσαν, ὡς καὶ διὰ τῆς ει̅ διφθόγγου γράφεται. Ἀχαιμένιον ἡ Περσικὴ μοῖρα ἀπὸ Ἀχαιμένους υἱοῦ Αἰγέως, ἢ καὶ Ἀχαιμενία. Ποιμένιον ὄρος ἐν Μακεδονίᾳ. Ταυρομένιον πόλις Σικελίας. Τημένιον χωρίον Μεσσήνης, ἐν ᾧ τέθαπται Τήμενος. Ἀλαλκομένιον πόλις Βοιωτίας ἀπὸ τοῦ Ἀλαλκομενέως, ὃς καὶ ἵδρυσε τὴν Ἀθηνᾶν Ἀλαλκομενηΐδα. λέγεται καὶ Ἀλαλκομεναί. Ἀπέννιον ὄρος διὰ μέσης Ἰταλίας τεταμένον. Ἐλευσίν Ἐλευσίνιον. σκηνή προσκήνιον, περισκήνιον, σελήνη σελήνιον. θίς θινός θίνιον καὶ ἀκροθίνιον. Δελφίνιον φρούριον Χίων, ὡς Θουκυδίδης ὀγδόῃ (c. 38). Κυτίνιον μία πόλις τῶν τριῶν τῶν Δωρικῶν. Αἰγίνιον πόλις Ἰλλυριῶν, ὡς Στράβων (7 p. 327). Λαβίνιον πόλις Ἰταλίας, Αἰνείου κτίσμα. Ἰόβας ἐν πρώτῳ. ἀπὸ τῆς τοῦ βασιλέως θυγατρὸς Λαβινίας. Λακίνιον ὄρος Κρότωνος. Λυκόφρων «καὶ Λακινίους μυχούς» (v. 856). δαιμόνιον, χελιδόνιον, ὀθόνιον, ἀκόνιον, εἰκόνιον. Ἰκόνιον πόλις Λυκαονίας πρὸς τοῖς ὅροις τοῦ Ταύρου· φασὶ δ' ὅτι ἦν τις Νανακός, ὃς ἔζησεν ὑπὲρ τὰ τριακόσια ἔτη. τοὺς δὲ πέριξ μαντεύσασθαι, ἕως τίνος βιώσεσθαι. ἐδόθη δὲ χρησμός, ὅτι τούτου τελευτήσαντος πάντες διαφθαρήσονται. οἱ δὲ Φρύγες ἀκούσαντες ἐθρήνουν σφοδρῶς. ὅθεν καὶ παροιμία «τὸ ἐπὶ Νανακοῦ κλαύσειν» ἐπὶ τῶν λίαν οἰκτιζομένων. γενομένου δὲ κατακλυσμοῦ ἐπὶ Δευκαλίωνος πάντες διεφθάρησαν. ἀναξηρανθείσης δὲ τῆς γῆς ὁ Ζεὺς ἐκέλευσε τῷ Προμηθεῖ καὶ τῇ Ἀθηνᾷ εἴδωλα ἀναπλάσαι ἐκ τοῦ πηλοῦ καὶ προσκαλεσάμενος τοὺς ἀνέμους ἐμφυσῆσαι πᾶσιν ἐκέλευσε καὶ ζῶντα ἀποτε-

---

l. 3 hic canon compositus est ex Theogn. 124, 30 (de nominibus in ᾱνιον̄), p. 124, 20 (ε̄νιον̄), 125, 18 (ηνιον̄ et ῑνιον̄ ubi diserte additur οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου), 124, 20 (ονιον), 124, 12 (ωνιον). — Μαλάνιον apud Theogn. 124, 32 in Μελάνιον corruptum explevi ex St. B., ubi in Μαλάνιος perversum est. ὀπτάνιον recepi ex E. M. 629, 7, ubi Ἡρωδιανὸς λέγει ἐν τῇ καθόλου, ὅτι παρ' Ἀττικοῖς διὰ τοῦ ῑ γράφεται καὶ προπαροξύνεται cf. Lob. ad Phrynich. p. 276, Ἀρβάνιον — Ὑρκάνιον sunt ex St. B., l. 11 Παρθένιον explevi ex St. B., Ἀχαιμένιον — Ἀπέννιον recepi ex St. B. — l. 20 σελήνη σελήνιον inserui ex Theogn. 126, 21, Δελφίνιον — Λακίνιον adieci ex St. B. — l. 27 Ἰκόνιον explevi ex St. B.,

λέcαι. διὰ οὖν τὰc εἰκόναc ἐκεῖ διαγραφῆναι Ἰκόνιον κληθῆναι. καὶ ἔδει διὰ διφθόγγου. Πελεθρόνιον ὄροc Θετταλίαc. Παραιτόνιον πόλιc πληcίον Ἀλεξανδρείαc, ἣν Ἀμμωνίαν καλοῦcι. Λινδόνιον πόλιc τῆc Βρεττανίαc. Φλυγόνιον πόλιc Φωκίδοc. λέγεται καὶ θηλυκῶc Φλυγονία. Ἀργύννιον. Ἀριcτοφάνηc δὲ Ἀργύνειον διὰ διφθόγγου. Βιθύνιον πόλιc Βιθυνίαc. Παυcανίαc ὀγδόῳ (9, 7). Ἑρκύνιον ὄροc Ἰταλίαc, ἀφ' οὗ Ἑρκυνίc ἡ χώρα καὶ Ἑρκύνιοc τὸ κτητικόν. Ἀλέξανδροc Εὐρώπῃ. Ἀρδύνιον πόλιc ἐν Θήβηc πεδίῳ, ὡc Ξάνθοc ἐν Λυδιακῶν δευτέρῳ. παιώνιον, κωδώνιον, χελώνιον, ὀψώνιον, χιτώνιον, τριβώνιον, πωγώνιον, Πλατῴνιον, Ἱππώνιον πόλιc Βρεττίων, ἀπὸ ἥρωοc. Ἀcκαλώνιον. καὶ οὕτωc λέγεται ἡ πόλιc Ἀcκάλων. Πανιώνιον τέμενοc καὶ πόλιc ἐν τῇ παραλίᾳ τῶν Ἐφεcίων καὶ Cαμίων. Μεταγώνιον πόλιc Λιβύηc. Ἑκαταῖοc Ἀcίᾳ. θηλυκῶc δὲ ταύτην φαcί. Θεμιcώνιον χωρίον Φρυγίαc. Ἀρτεμίδωροc. Λαμπώνιον πόλιc Τρῳάδοc. Ἑλλάνικοc, Ἑκαταῖοc δὲ Ἀcίᾳ Λαμπώνειαν αὐτήν φηcι. Θηγώνιον πόλιc Θεccαλίαc. Ἑλλάνικοc πρώτῃ Δευκαλιωνείαc. Κυτώνιον πόλιc μεταξὺ Μυcίαc καὶ Λυδίαc. Θεόπομποc Ἑλληνικῶν ὀγδόῳ. Πολεμώνιον ἐν Πόντῳ λιμὴν καὶ πόλιc. Ποπλώνιον πόλιc Τυρρηνῶν. Cκιρτώνιον πόλιc Ἀρκαδίαc, ὡc Παυcανίαc ὀγδόῳ (27, 4). Ταρχώνιον πόλιc Τυρρηνίαc, ἀπὸ Τηλέφου παιδὸc Τάρχωνοc. Τιθρώνιον Φωκικὴ πόλιc. Τιμώνιον πόλιc Παφλαγονίαc. Τριχώνιον πόλιc Αἰτωλίαc. Γερούνιον πόλιc Ἰταλίαc. Ἐλύμνιον νῆcοc Εὐβοίαc πόλιν ἔχουcα. λέγεται καὶ Ἐλυμνία.

* Τὰ εἰc $\overline{\text{ιον}}$ $\overline{\text{ξ}}$ ἢ $\overline{\text{π}}$ παραληγόμενα οὐδέτερα ὑπὲρ τρεῖc cυλλαβὰc προπαροξύνεται, Ἀμφάξιον πόλιc. δύο μέρη λόγου. Ὑπερδέξιον χωρίον Λέcβου, ἐν ᾧ Ζεὺc Ὑπερδέξιοc καὶ Ὑπερδεξία Ἀθηνᾶ. ἐρείπιον. καὶ λέγει ὁ Δίδυμοc, ὅτι τὸ ἐρίπω καὶ ἐρίπια διὰ τοῦ $\overline{\text{ι}}$ ὤφειλε γράφεcθαι, ἐπειδὴ παρὰ τὸ ἐρίπνη ἐcτίν, ὅπερ cημαίνει τὴν μεγάλωc περιπνεομένην. τὸ δὲ ἐρίπνη διὰ τοῦ $\overline{\text{ι}}$ παρὰ τὴν ἐρί ἐπίταcιν. ὁ δὲ Φιλόξενοc λέγει, ὅτι ἐρίπω διὰ τοῦ $\overline{\text{ι}}$ ὤφειλεν, ὡc καὶ Δίδυμοc. εἰπὼν δὲ «ὤφειλεν» ἐδήλωcεν οὐ διὰ τοῦ $\overline{\text{ι}}$ γράφεcθαι, ἀλλὰ διὰ τῆc $\overline{\text{ει}}$ διφθόγγου. οὕτωc γὰρ ἔχει ἡ παράδοcιc. ἔcτι δὲ καὶ ἀπὸ τοῦ ἔρα ἡ γῆ ἐρέπτω καὶ πλεοναcμῷ τοῦ $\overline{\text{ι}}$ καὶ ἀποβολῇ τοῦ $\overline{\text{τ}}$ ἐρείπω καὶ ἐρείπια. ἐνώπιον τὸ ἔνδον τῶν θυρῶν, προνώπιον τὸ ἔμπροcθεν τῶν θυρῶν ἔνθα αἱ εἰκόνεc τίθενται, ἀνθρώπιον, παρώπιον τὸ

Πελεθρόνιον — Ἀρδύνιον apposui ex St. B. — l. 9 ταγώνιον ap. Theogn. corruptum videtur ex Μεταγώνιον, quod postea ex St. B. protuli, pro πετώνιον scripsi πωγώνιον, nam πεπῴνιον ap. Arc. 14, 20 corruptum est. Ἱππώνιον ex St. B. explevi, reliqua omnia ex eodem addidi. l. 24 canonem de nominibus in ξιον composui ex nominibus a St. B. relatis, de exitu $\overline{\text{πιον}}$ ex Theogn. 126, 10. — Ἀμφάξιον. δύο μέρη λόγου sic intellegenda opinor, ut Herodianus dixerit proprie Ἀμφ' Ἄξιον duo verba esse, sed in unum coalescere. — ἐρείπιον explevi ex E. M. 372, 28, ubi ὁ μὲν Ἡρωδιανὸc διὰ τῆc $\overline{\text{ει}}$ διφθόγγου collato E. Gud. 205, 32, ubi ὥc φηcιν ὁ τεχνικόc.

ἐπιτιθέμενον τοῖς ἵπποις δέρμα ἀνὰ τὰς ὄψεις. εἰσώπιον, Μεσσάπιον ὄρος Εὐβοίας ἀπὸ Μεσσάπου τοῦ μετοικήσαντος εἰς Ἰταλίαν. Μελανίππιον πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ, τινὲς δὲ Λυκίας φασί. Ἐλλόπιον πόλις Αἰτωλίας. Πολύβιος ια΄. Τριόπιον πόλις Καρίας ἀπὸ Τριόπου τοῦ πατρὸς Ἐρυσίχθονος. λέγεται καὶ Τριοπία. Αἰθόπιον χωρίον Λυδίας παρὰ Ὕλλῳ ἢ πλησίον τοῦ Εὐρίπου, ἀφ' οὗ ἡ Ἄρτεμις Αἰθοπία. οἱ δὲ ὅτι παρὰ τοῖς Αἰθίοψι διάγουσαν Ἀπόλλων ἤγαγεν αὐτήν, οἱ δὲ τὴν αὐτὴν τῇ σελήνῃ παρὰ τὸ αἴθειν ὡς Καλλίμαχος, οἱ δὲ ὅτι ἡ αὐτή ἐστι τῇ Ἑκάτῃ, ἥτις ἀεὶ δᾷδας ἔχει, ὡς Ἐρατοσθένης. Κωνώπιον πόλις τῆς Μαιώτιδος λίμνης.

* Τὰ διὰ τοῦ ριον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, ὀψάριον, οἰνάριον, ἱππάριον, φυτάριον καὶ σουδάριον, κελλάριον ἀπὸ τῆς τῶν Ῥωμαίων διαλέκτου ἐκτεταμένου τοῦ ᾱ. Ὁμάριον πόλις Ἰταλίας. Θεόπομπος Φιλιππικῶν κα΄. Μαρμάριον πόλις Εὐβοίας. — περιστέριον, διφθέριον. Κυτέριον πόλις Οἰνωτρῶν ἐν τῇ μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ. Κιέριον· οὕτως Ἄρνη πόλις Θεσσαλίας καλεῖται. Κρασέριον Σικελίας φρούριον. Φίλιστος ὀγδόῳ. Ἀμέριον πόλις Ἰταλίας. Ἐλευθέριον πολίχνιον Μυσίας. ἀστέριον καὶ Ἀστέριον πόλις Θετταλίας. Ὅμηρος «οἵ τ' ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα» (Β 735). οὕτω δὲ καλεῖται διὰ τὸ λαμπρόν, ὅτι ἐφ' ὑψηλοῦ ὄρους κειμένη τοῖς πόρρωθεν ὡς ἀστὴρ φαίνεται. ἢ ἀπὸ Ἀστερίου τινὸς ἥρωος. Ἀτέριον πόλις Σικελίας. Τολέριον πόλις Ἰταλίας. Φαλέριον πόλις Τυρρηνίας. Χειμέριον ἄκρα Θεσπρωτίας. θυτήριον, μοναστήριον, ἱλαστήριον. Σφακτήρια μεθόριον Ἠλείων τῆς πρὸς Μεσσήνην χώρας. κέκληται δ' οὕτως, ὥς φησιν Ἐχεφυλλίδης, διὰ τὸ ἐν αὐτῷ σφαγιασαμένους τοὺς Ἡρακλείδας πρὸς Ὄξυλον ποιήσασθαι συνθήκας περὶ φιλίας καὶ ὁμονοίας. Καβείριον πόλις τῆς κάτω Ἀσίας ἢ καὶ Καβειρία καὶ Κάβειρος. ὀσχοφόριον, προσφόριον, θεσμοφόριον, ὠμοφόριον, ἐμπόριον. ἔστι δὲ καὶ Ἐμπόριον πόλις Κελτική, κτίσμα Μασσαλιωτῶν. δευτέρα Μακεδονίας. τρίτη Σικελίας. τετάρτη Καμπανίας. παλινδόριον τὸ εἰργασμένον δέρμα, κιχόριον εἶδος βοτάνης. Ἀνακτόριον Ἀκαρνανίας πόλις, Κορινθίων ἄποικος. Θουκυδίδης τετάρτῃ (c. 49). ἀρσενικῶς παρὰ Σοφοκλεῖ. Χαλκητόριον πόλις Κρήτης. Νικηφόριον. οὕτως ἡ Κωνσταντῖνα ἡ περὶ Ἔδεσσαν πόλις. Βοσπόριον τοῦ Βυζαντίου λιμήν, ὃς καὶ Βόσπορος λέγεται. Ἀμόριον πόλις τῆς μεγάλης Φρυγίας. Στράβων δωδεκάτῃ (p. 576). Φιληνόριον

---

l. 1 Μεσσάπιον — Κωνώπιον apposui ex St. B. l. 11 ὀψάριον οἰνάριον sunt ex Theogn. 124, 31, ἱππάριον — κελλάριον ex Dichr. 291, 19. Ὁμάριον — Μαρμάριον ex St. B., περιστέριον, διφθέριον ex Theogn. 125, 25, Κιέριον — Χειμέριον ex St. B. praeter ἀστέριον appellativum, quod exstat ap. Theogn. l. 23 θυτήριον — ἱλαστήριον ex Theogn. 124, 6, Σφαρκτήρια et Καβείριον ex St. B., ὀσχοφόριον — κιχόριον ex Theogn. 126, 4 inserto ex Steph. Byz. urbis nomine Ἐμπόριον, nomina inde ab Ἀνακτόριον usque ad finem ex Steph. Byz. praeter

πόλις ἐν Ἀρναίᾳ χώρᾳ τῆς Βοιωτίας ἀπὸ Φιλήνορος τοῦ Αἰτωλοῦ. Ἀλαβούριον πόλις Συρίας. Χάραξ ὀγδόῃ χρονικῶν. Ἀγκύριον πόλις Ἰταλίας. Ὀνθύριον πόλις Θεσσαλικὴ περὶ τὴν Ἄρνην. Μανδύριον πόλις Ἰαπυγίας. Ἀταβύριον ὄρος Σικελίας, ὡς Τίμαιος. κέκληται δὲ τὰ ὄρη ἀπό τινος Τελχῖνος Ἀταβυρίου. ἔστι καὶ Περσικὴ πόλις· ἔστι καὶ Φοινίκης. Ζεφύριον. ἡ Ἁλικαρνασσὸς τῆς Καρίας οὕτως ἐκαλεῖτο, ὡς Φίλων, καὶ πόλις Κιλικίας. ἔστι καὶ Σκυθίας χωρίον. ἔστι καὶ Ἰταλίας Ζεφύριον, ἀφ᾽ οὗ Λοκροὶ Ἐπιζεφύριοι. ἔστι καὶ ἄκρα τῆς Αἰγύπτου, ἀφ᾽ ἧς ἡ Ἀφροδίτη καὶ Ἀρσινόη Ζεφυρῖτις, ὡς Καλλίμαχος. Πλημμύριον φρούριον Συρακουσῶν. Σατύριον χωρίον πλησίον Τάραντος. νεώριον. Μακτώριον πόλις Σικελίας. Φίλιστος πρώτῳ. κασώριον τὸ πορνεῖον. Ἀριστοφάνης «ἐν κασωρίοισι λείχων» (Eq. 1285). Ἀσσώριον πόλις Σικελίας. ταύτην τρισυλλάβως Ἄσσωρον καλεῖ Ἀπολλόδωρος ἐν δ´ χρονικῶν. Ἰσσώριον ὄρος τῆς Λακωνικῆς, ἀφ᾽ οὗ ἡ Ἄρτεμις Ἰσσωρία. Πολιτώριον πόλις Λατίνων, ἣν ἑλὼν Μάρκιος ὁ βασιλεὺς μετήγαγεν εἰς Ῥώμην. Φαγρώριον πόλις, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν Αἰγυπτιακοῖς, ἐξ οὗ σύνθετον Φαγρωριόπολις. ἀνεμούριον, σισύμβριον ἡ βοτάνη. Τενέβριον ἀκρωτήριον Ἰβηρίας. ἀνδράγρια, ζωάγρια, μοιχάγρια. τρωγλύδριον, Πριαμιλλύδριον, νεανισκύδριον. Μεθύδριον πόλις Ἀρκαδίας. καὶ ἑτέρα πόλις Θεσσαλίας, ὡς Φίλων. Τελέθριον ὄρος τῆς ἐν Εὐβοίᾳ Ἐλλοπίας. Στράβων δεκάτῃ (p. 445). Παντομάτριον πόλις Κρήτης. Δημήτριον τόπος περὶ Θεσσαλίαν περὶ τὸ Κροκωτὸν πεδίον κείμενος παρὰ τὸν Ἄμφρυσον. ἔστι καὶ πόλις Αἰολίδος.

* Τὰ διὰ τοῦ σιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Βουπράσιον πόλις καὶ ποταμὸς καὶ χώρα τῆς Ἤλιδος «οἳ δ᾽ ἄρα Βουπράσιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον» (Β 615). γυμνάσιον, ἱππάσιον, κοράσιον. Ὀρεσθάσιον πόλις Ἀρκαδικὴ ἀπὸ Ὀρεσθέως τοῦ Λυκάονος. Παυσανίας ὀγδόῳ (27, 3). Κορυφάσιον χωρίον Λακωνικὸν πλησίον Πύλου. Θουκυδίδης τετάρτῃ (c. 3 et 118). Ψευδοκοράσιον αἰγιαλὸς μέγας μεταξὺ Κωρύκου καὶ τῆς Σελευκείας τῆς παρ᾽ Ἰσαύροις. Ἀρτεμίδωρος ἐνάτῳ τῶν γεωγραφουμένων «παραλλάξαντι δὲ ταύτην αἰγιαλὸς ἄλλος ἐκδέχεται σταδίων τριῶν, μηνοειδὴς καὶ ὕφορμος, καλούμενος Ψευδοκοράσιον». Θαυμάσιον ὄρος Ἀρκαδίας, ἐν ᾧ τὸν λίθον ὁ Κρόνος κατέπιεν. κυνηγέσιον. Βρεντέσιον πόλις παρὰ τὸν

νεώριον (l. 11), quod ex Theogn. 126, 5 et ἀνεμούριον (l. 17), quod item ex Theogn. l. 4, ubi ἀνεμοδούριον corruptum legitur, et σισύμβριον, quod item ex Theogn. 126, 7, et ἀνδράγρια — μοιχάγρια, quae ex E. M. 102, 32: ἀνδράγρια προπαροξύνεται ὡς τὸ ζωάγρια, μοιχάγρια, et τρωγλύδριον — νεανισκύδριον, quae sunt ex Theogn. 126, 27. l. 25 Βουπράσιον, quod ex St. B. explevi, usque ad κοράσιον sunt ex Theogn. 125, 27, de postremo, ut videtur de suo, addit Theogn.: τοῦτο οὐ δόκιμον τοῖς παλαιοῖς Ἕλλησιν, κόριον γὰρ λέγουσιν. — Ὀρεστάσιον — Θαυμάσιον sumpsi ex St. B., κυνηγέσιον ex Theogn. 125, 4, Βρεντέσιον —

Ἀδρίαν ἀπὸ Βρέντου Ἡρακλέους ἢ ὡς εὐλίμενος οὖσα· ἐνὶ γὰρ στόματι λιμένες πολλοὶ κατακλείονται. ὡς ἐοικυῖα τοίνυν κεφαλῇ ἐλάφου οὕτως ὠνομάσθη. βρέντον γὰρ παρὰ Μασσαπίοις ἡ τῆς ἐλάφου κεφαλή, ὡς Σέλευκος ἐν δευτέρῳ γλωσσῶν. Εἰλέσιον πόλις Βοιωτίας. Ὅμηρος «καὶ Εἰλέσιον καὶ Ἐρυθράς» (Β 499). Μαραθήσιον πόλις Καρίας. ἔστι καὶ πόλις Ἐφεσίων. Ἀκακήσιον πόλις Ἀρκαδίας, ἀπὸ Ἀκάκου παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῃ (3, 2). Ἀλήσιον τῆς Ἤλιδος «πέτρης τ' Ὠλενίης καὶ Ἀλησίου» (Il. Λ 757). ἀπὸ Ἀλησίου τοῦ Σκιλλοῦντος υἱοῦ. γράφεται καὶ Ἀλείσιον. ἔστι καὶ Ἀλήσιον πεδίον τῆς Ἠπείρου, ὡς πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. Μανήσιον πόλις Φρυγίας. Ἀλέξανδρος. ἀπὸ Μανοῦ σφόδρα εὐπόρου κτιστοῦ. Γαλλήσιον πόλις Ἐφέσου. Παρθένιος ἐν ἐπικηδείῳ τῷ εἰς Αὐξίθεμιν. Ἀρτεμίσιον πόλις Οἰνωτρῶν ἐν μεσογείῳ. Ἑκαταῖος Εὐρώπῃ. Φίλιστος δὲ Ἀρτεμίτιον αὐτὴν καλεῖ, ἴσως δωρικῶς. ἔστι καὶ πόλις Εὐβοίας. Ζευγίσιον. πόσις πόσιον καὶ συμπόσιον. βόσις ἡ τροφὴ ἱπποβόσιον. Διονύσιον, Κανύσιον μεγίστη τῶν Ἰταλιωτίδων πόλεων. Στράβων ἕκτῃ (p. 283). λέγεται καὶ Καινύσιον. Περραίσιον πόλις μία τῶν δώδεκα τῶν παρὰ τοῖς Τυρρηνοῖς ἀρχητίδων καλουμένων. Μερούσιον χωρίον Σικελίας, ὡς Θεόπομπος Φιλιππικῶν τριακοστῷ ἐνάτῳ. τινὲς δὲ ἀπὸ Μερόης τῆς Αἰθιοπίας. Πηλούσιον πόλις Αἰγύπτου, εἰς ἣν ἐκρεῖ τὸ πρῶτον στόμα τοῦ Νείλου. ἔστι καὶ Πηλούσιον λιμὴν Θετταλίας. Δαφνούσιον Αἰγύπτου κώμη. Τιλφούσιον πόλις Βοιωτίας. Στράβων ἐνάτῃ (p. 410).

* Τὰ διὰ τοῦ τιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, ἀλάτιον, ἀκάτιον, γονάτιον, δωμάτιον, κεράτιον, Παλάτιον. Ῥεάτιον πόλις Ἰταλίας. Φοροβρεντάτιον πόλις Λιβύης. Ἐργέτιον πόλις Σικελίας. Φίλιστος Σικελικῶν δευτέρᾳ. Ἀρρήτιον πόλις Τυρρηνίας. Κορυφήτιον τὸ ὄρος Ἀζανίας. Βαρήτιον χωρίον πρὸς τῷ Ἀδρίᾳ. Θεόπομπος πεντηκοστῷ δευτέρῳ. Σκυλλήτιον πόλις Σικελίας, ὡς Εὔδοξος ἕκτῃ. Παπίτιον πόλις Παφλαγονίας. Ζηνοδότιον πόλις Ὀσροηνῆς πλησίον Νικηφορίου. Ἀρριανὸς Παρθικῶν δευτέρῳ. Ζιποίτιον πόλις Βιθυνίας ἀπὸ Ζιποίτου βασιλέως. Αἰάντιον ἡ πόλις. βαλάντιον τὸ ἀκόντιον. Περγάντιον Λιγύων πόλις. Ἀκαμάντιον πόλις τῆς μεγάλης Φρυγίας, Ἀκάμαντος κτίσμα τοῦ Θησέως, ᾧ συμμαχήσαντι πρὸς τοὺς Σολύμους τὸν τόπον δέδωκεν Ἴσανδρος.

Ἀρτεμίσιον ex St. B. l. 9 γράφεται καὶ Ἀλείσιον ex Choer. in E. M. 61, 37. l. 14 Ζευγίσιον — Διονύσιον ex Theogn. 125, 2, suspectum ἄντικρυς ἀντικρύσιον omisi cf. Lob. Proll. 429, Κανύσιον — Τιλφούσιον ex St. B. l. 24 ἀλάτιον — Παλάτιον sunt ex Theogn. 122, 33, Ῥεάτιον — Ἐργέτιον ex St. B., Ἀρρήτιον, quod ap. Theogn. 125, 13 in Ἀργήτιον corruptum est, ex St. B., Κορυφήτιον ex Theogn., Βαρήτιον — Ζιποίτιον ex St. B., Αἰάντιον ex Theogn. 124, 8, Παλλάντιον ex Theogn. et St. B., βαλάντιον Theogn., Ἀκαμάντιον — Φερέντιον, quod a Meinek. pro Φερεντῖνος, quae est urbs Etruriae, restitutum est, ex St. B.

Βυζάντιον πόλιc διαcημοτάτη πρὸc τῇ Προποντίδι πρὸc τῷ μέρει τῆc Εὐρώπηc. ἐκλήθη δ' ἀπὸ Βύζαντοc τοῦ Κεροέccηc τῆc Ἰοῦc θυγατρὸc καὶ Ποcειδῶνοc. ἢ ὅτι τοῦ cτόλου Βύζηc ἦν ἡγεμών. ἔcτι καὶ Βυζάντιον ἕτερον ἐν τῇ Ἰνδικῇ. Βαβράντιον τόποc περὶ Χίον. Πολύβιοc ἑκκαιδεκάτῳ. ἔοικε δ' ὑποκοριcτικὸν τοῦ Βάβραc. Παλλάντιον πόλιc Ἀρκαδίαc ἀπὸ Πάλλαντοc, ἑνὸc τῶν Λυκάονοc παίδων ὡc Ἡcίοδοc. τινὲc δὲ Παλλαντιάδα καλοῦcιν. Παρέντιον πόλιc καὶ λιμὴν πληcίον Ἰcτρίαc. Μοργέντιον πόλιc Ἰταλίαc ἀπὸ Μοργήτων. λέγεται καὶ Μοργεντία. Πολλέντιον ἡ Πολλεντὸc πόλιc. Cυρρέντιον πόλιc Τυρρηνίαc καὶ Cυρρεντόν. Φερέντιον πόλιc Cαυνιτῶν ἐν Ἰταλίᾳ. λεόντιον, δρακόντιον, ἀκόντιον. ἔcτι καὶ Ἀκόντιον πόλιc Ἀρκαδίαc ἀπὸ Ἀκοντίου τοῦ Λυκάονοc. ἔcτι καὶ ἑτέρα Εὐβοίαc, ὡc Ξεναγόραc καὶ Ἀνδροτίων ὀγδόῃ. ὀδόντιον ἡ βοτάνη καὶ τὸ τοῦ cτόματοc. γερόντιον, Μεταπόντιον πόλιc Ἰταλίαc ἡ πρότερον Cῖριc ἀπὸ Μετάβου τοῦ Cιcύφου τοῦ Αἰόλου. τὸν γὰρ Μετάποντον οἱ βάρβαροι Μέταβον ἔλεγον. Ἱερόντιον ἡ πόλιc. Δυcπόντιον πόλιc Πιcαίαc, ἀπὸ Δυcπόντου τοῦ Πέλοποc, παρὰ τὴν ὁδὸν τὴν ἐξ Ἤλιδοc εἰc Ὀλυμπίαν. Μαμέρτιον πόλιc Ἰταλίαc. Λαφύcτιον.

* Τὰ διὰ τοῦ φιον οὐδέτερα μονογενῆ προπαροξύνεται, ζωΰφιον, δενδρύφιον, ὀρνύφιον, ὠΰφιον, χρυcάφιον, ἀργυράφιον' μοιράφιον.

* Τὰ διὰ τοῦ χιον ὑπὲρ τρεῖc cυλλαβὰc οὐδέτερα προπαροξύνεται, ὀνύχιον. ἔcτι καὶ Ὀνύχιον τόποc Κρήτηc, ἀπὸ ὄνυχοc ἀγκύραc ἐνcχεθείcηc ἐν αὐτῷ τῶν Ἀμυκλαίων ἀποικηcάντων. Δυρράχιον πόλιc Ἰλλυρικὴ καὶ Ἐπίδαμνοc κληθεῖcα ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλιccα, ἧc καὶ τοῦ Ποcειδῶνοc ὁ Δυρράχιοc. Cτράβων ἐν η′ (p. 316) φηcί «μετὰ δὲ τὸν Ῥιζονικὸν Λίccοc ἐcτὶ πόλιc καὶ Ἀκρόλιccοc καὶ Ἐπίδαμνοc Κερκυραίων κτίcμα, ἡ νῦν Δυρράχιον ὁμωνύμωc τῇ χερρονήcῳ λεγομένη, ἐφ' ἧc ἵδρυται». Ἐρατοcθένηc γ′ γεωγραφουμένων «ἐχόμενοι δ' οἰκοῦcι Ταυλάντιοι. πόλιc δὲ Ἑλληνὶc Ἐπίδαμνοc ἐπὶ χερρονήcου τῆc καλουμένηc Δυρραχίου. ποταμοὶ δὲ Δρίλων καὶ Ἀῷοc, περὶ οὓc οἱ Κάδμου καὶ Ἁρμονίαc τάφοι δείκνυνται». λέγει δὲ Παυcανίαc ϛ′ (c. 10, 8) περὶ τῆc ἀρχαίαc καὶ τῆc νῦν πόλεωc οὕτωc «Ἐπιδάμνιοι μὲν χώραν ἥνπερ καὶ ἐξ ἀρχῆc, πόλιν δὲ αὐτὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουcιν, ἐκείνηc δ' ἀφεcτηκυῖαν ὀλίγον. ὄνομα δὲ τῇ πόλει τῇ νῦν Δυρράχιον ἀπὸ τοῦ οἰκιcτοῦ». Ἀλέξανδροc δὲ ἐν Εὐρώπῃ μετὰ

---

l. 11 λεόντιον — γερόντιον ex Theogn. 123, 3 addito ex St. B. proprio Ἀκόντιον, Μεταπόντιον ex Theogn. et St. B., Ἱερόντιον Theogn., Δυcπόντιον — Μαμέρτιον St. B., Λαφύcτιον Theogn. 125, 14. l. 19 canon sumptus est ex Theogn. 126, 30. l. 23 ὀνύχιον ex Theogn. 126, 22, Ὀνύχιον ex St. B., Δυρράχιον ex St. B. et quae de mutatione vocis Δυcράχιον in Δυρράχιον proposita sunt, ex Eustath. ad Dionys. 389, reliqua omnia ex St. B.

τοῦ c̄ Δυςράχιον αὐτὴν καλεῖ «Δυςραχίου τ' Ἐπίδαμνος ἐπ' ἀγχιάλου χθονὸς ἀκτῆς». δυςράχιον γάρ ἐςτι, ὅ ἐςτι δυςέξοχον. τρέψαν δὲ τὸ c̄ εἰς ρ̄ εὐφωνότερον λαλεῖται Δυρράχιον, καθάπερ καὶ Τυρςηνός Τυρρηνός, ταρςός ταρρός, πυρςός πυρρός. Δουλίχιον μία τῶν Ἐχινάδων νήςων, ἡ καὶ Δολίχα καλουμένη ἀπὸ Δουλιχίου τοῦ Τριπτολέμου. Ὠρύχιον τόπος τῆς Ἀττικῆς.

Τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ δύο ςυλλαβὰς προπαροξύνεται, Ἥραιον τὸ τέμενος καὶ πόλις Θρᾴκης. Ἡρόδοτος τετάρτῃ (c. 90). τὸ δὲ Ἡραῖον τεῖχος. ἔλαιον, Δίρκαιον, Κίρκαιον τὸ ὄρος, τρόπαιον καὶ τροπαῖον Ἀττικῶς, νόμαιον τὸ μονογενές, οὔραιον, Cκύλλαιον ἄκρα, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ φηςίν. πρέμναιον. Κότταιον τὸ ὄρος, Ἕρμαιον, Φοίβαιον, Κύταιον πόλις Κρήτης, γύναιον, Λύκαιον τὸ ὄρος, κώπαιον, δέραιον, νύμφαιον καὶ Νύμφαιον πόλις Ταυρικὴ μεταξὺ Παντικαπαίου μητροπόλεως καὶ Θεοδοςίας, ὥς φηςι Cτράβων (7 p. 309), τὸ δὲ νυμφαῖον κτητικόν. Λέχαιον, Φύταιον πόλις Αἰτωλίας. Πολύβιος ἑνδεκάτῳ. Χάλαιον πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Λοκροί· ἐν δὲ Χάλαιον πόλις, ἐν δὲ Οἰάνθη πόλις». ςπήλαιον τὸ ἄντρον. Τύπαιον ὄρος Ἤλιδος. Παυςανίας Ἠλιακῶν α' (c. 6, 7). Cάρδαιον ὄρος περὶ Ἀςωπόν. Μάρκαιον ὄρος τῆς Τρῳάδος πρὸς τῇ Γέργιθι. Λήναια ἀγὼν Διονύςου ἐν ἀγροῖς. τὸ δὲ Τομαῖον ὄρος παρὰ τὸ Κορυφάςιον τῆς Πύλου καὶ Cηταῖον χωρίον παρὰ Cύβαριν καὶ Cυρμαῖον πεδίον μεταξὺ Νομάδων τε καὶ Ναβαταίων. Τυχαῖον ὄρος μεταξὺ Ἐρετρίας καὶ Βοιωτίας καὶ Θυραῖον πόλις Ἀρκάδων καὶ Πιςςαῖον πόλις Πελαγονίας. Μαζαῖον τόπος ἐν Βιθυνίᾳ κατὰ παραφθορὰν ἐκ τοῦ Ἀμαζόνειον, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. Ῥιπαῖα ὄρος Ὑπερβορέων — προπεριςπᾶται ἐπιθετικὰ ὄντα. τὸ ἀρχαῖον προπεριςπᾶται ὡς τριγενὲς καὶ τὸ χαῖον ὡς διςύλλαβον.

Τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ τρεῖς ςυλλαβὰς προπαροξύνεται, Ἀθήναιον τὸ τέμενος, Λιλύβαιον ἡ πρὸς δύςιν ἄκρα τῆς Cικελίας. Ἑκαταῖος Εὐρώπῃ. ἔςτι καὶ πόλις. κεφάλαιον, περιβόλαιον, Φω-

l. 8 Ἥραιον explevi ex St. B., Δίρκαιον pro Δίκαιον, quod libri Arcadii praebent, ex Theogn. 127, 9 iam restituit Schmidt., Κίρκαιον explevi ex Theogn. De τρόπαιον et τροπαῖον Schol. ad Dionys. 678, 19, ubi Herodiani definitio prosodiae explicatur; ἡμεῖς μὲν ἀναλόγως τρόπαιον λέγομεν ὡς ςπήλαιον, ςύλαιον· ὁ δὲ Θουκυδίδης τροπαῖον Ἀττικῶς et E. M. 769, 14 πᾶν κτητικὸν οὐδέτερον ἀπὸ θηλυκοῦ γεγονὸς τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν οἷον κεφαλή κεφάλαιον, γυνή γύναιον, ὅθεν καὶ τροπή τρόπαιον, οἱ δὲ παλαιοὶ Ἀττικοὶ προπεριςπῶςι. νόμαιον — δέραιον ex Theogn. nominibus Cκύλλαιον et Κύταιον ex St. B. expletis. — εὔαιον omisi ut vitiose repetitum ex ἔλαιον. — νύμφαιον petivi ex St. B. s. Νακόλεια, Νύμφαιον ex eodem s. v., Λέχαιον ex St. B. s. Κάναςτρον, Φύταιον — Λήναια (sic enim Meinek. pro Λήναιος emendat) ex St. B. — l. 21 τὸ δὲ Τομαῖον usque ad Ῥιπαῖα ex St. B. composui ipse traditum accentum secutus et ἐπιθετικὰ ὄντα ex more Herodianeo adiiciens. l. 27 καὶ τὸ χαῖον ex Theogn. 127, 4 apposui, quod propter etiam in ipso canone pro ὑπὲρ τρεῖς ςυλλαβὰς non τριςύλλαβα cum Schmidtio exhibui, sed τρεῖς in δύο mutavi. l. 30 Λιλύβαιον explevi ex St. B., Φωτίναιον accessit ex St. B., ubi diserte s. v. προπαροξυτό-

τίναιον πόλις Θεσσαλίας ὡς Ἑκαταῖος περιηγήσει Εὐρώπης. Νακόλαιον πόλις Φρυγίας, ἣ καὶ Νακόλεια, ἀπὸ Νακόλης νύμφης· ὥσπερ γὰρ ἀπὸ τοῦ νύμφη νύμφαιον καὶ Ἥρα Ἥραιον, οὕτω Νακόλη Νακόλαιον. Κοτύλαιον ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀρχέμαχος ἐν Εὐβοϊκῶν β΄. Κυδαθήναιον δῆμος τῆς Πανδιονίδος φυλῆς. Παντικάπαιον πόλις μεγίστη, τῶν κατὰ Βόσπορον μητρόπολις. ᾠκίσθη δὲ παρὰ Αἰήτου παιδός, λαβόντος τὸν τόπον παρὰ Ἀγαήτου τοῦ Σκυθῶν βασιλέως καὶ καλέσαντος τὴν πόλιν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ Παντικάπου. Λαπίθαιον ὄνομα ὄρους τῆς Λακωνικῆς. Φοινίκαιον ὄρος Κορίνθου. Ἔφορος ἐννεακαιδεκάτῳ. Προστρόπαια πόλις Σικελίας. Τυμέναιον ὄρος περὶ Φρυγίαν. χωρὶς τοῦ Χαλαστραῖον νίτρον καὶ Ἠλακαταῖον ὄρος Θεσσαλίας καὶ Καναστραῖον ἄκρον Θρᾴκης καὶ Μακεδονίας, ὃ καὶ Κάναστρον λέγεται, καὶ Ἀραχναῖον ὄρος Ἄργους. Καλλίμαχος Αἰτίων α΄. καὶ Ἀμυκλαῖον πόλις ἐν Κρήτῃ καὶ ὅρμος. τὰ γὰρ διὰ τοῦ $\overline{\text{αιον}}$ ἁπλᾶ ὑπὲρ τρεῖς συλλαβὰς ἔχοντα τὴν τετάρτην ἀπὸ τέλους διὰ τοῦ $\bar{\alpha}$ καὶ τὴν ἑξῆς διὰ τοῦ $\bar{\alpha}$ ἢ διὰ τοῦ $\bar{\upsilon}$ περισπᾶται. πρόσκειται δ' ἁπλᾶ διὰ τὸ κατάγαιον. ἔτι δὲ καὶ τὸ Στεφαναῖον πόλις Φωκίδος, ἣ καὶ Στεφάνη λέγεται, καὶ τὸ Κορυφαῖον, ὄρος ἐστὶ τῶν Ἐπιδαυρίων, ἐν ᾧ τιμᾶται Ἄρτεμις Κορυφαία. Παυσανίας δευτέρῳ (c. 28, 2). καὶ τὸ Τιλφωσσαῖον ὄρος ἐν Ἀλαλκομενίᾳ. Ἔφορος — προπερισπᾶται.

Τὰ διὰ τοῦ $\overline{\text{ειον}}$ τρισύλλαβα προπαροξύνεται κύρια ὄντα, Βούδειον. Ὅμηρος «ὃς ῥ' ἐν Βουδείῳ εὖ ναιομένῳ» (Il. Π 572). πόλις ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην ἀπὸ τοῦ οἰκίσαντος Βουδείου. λέγεται καὶ Βούδεια. Χλούνειον τόπος ἐν Αἰτωλίᾳ, ὅπου ἦν ὁ χλούνης.

νως, item sequentia usque ad Τυμέναιον. Inter excepta refert Arcadius Χαλαστραῖον νίτρον, Στεφαναῖον, Ἠλακαταῖον, Καστραῖον hoc ordine. Theognostus eadem praebet addens Ἀμυκλαῖον et Ἀραχναῖον, St. B. s. Ἀραχναῖον, ubi canonem τὰ διὰ τοῦ $\overline{\text{αιον}}$ — κατάγαιον, quem l. 15—18 proposui, profert, Ἠλακαταῖον omittit, quod tamen s. h. v. hoc accentu scriptum habet, et Στεφαναῖον, quae urbis Στεφάνη forma s. v. Στεφάνη intercidisse videtur; sed Κορυφαῖον et Τιλφωσσαῖον idem properispomenos profert. Hinc sequentia verba composui ita, ut Στεφαναῖον Arcadii in fine cum Κορυφαῖον et Τιλφωσσαῖον componerem, addere potui fortasse ex St. B. s. Πέλιννα Πελινναῖον ὄρος Χίου et ἐπιθετικώτερα ὄντα. Caeterum animadvertendum est, Ἀμυκλαῖον, quamquam in canone s. Ἀραχναῖον inter properispomena refertur, p. 88, 3 Ἀμύκλαιον scriptum esse. De Καναστραῖον libet exscribere, quae praebet St. B. s. Κάναστρον: τὸ ἐθνικὸν Καναστραῖος. Σοφοκλῆς δὲ ὑπομνηματίζων τὰ Ἀργοναυτικά «Καναστραῖον, φησί, ἀκρωτήριον τῆς Παλλήνης». ἀλλ' ἐναντιοῦται τὰ ἐθνικά, εἰ μὴ καὶ τοῦτο (sc. Καναστραῖον) ἐκλάβοιμεν παραπλησίως τῷ Λέχαιον καὶ Λεχαῖος καὶ Λύκειον τὸ γυμνάσιον καὶ Λυκεῖος Ἀπόλλων καὶ Νύμφαιον καὶ Νυμφαῖος, ubi Meinek. verissime adnotat: dicit posse quidem Καναστραῖον pro nomine substantivo accipi, sed hac lege ut Κανάστραιον scribatur. Herodianus vero unice probavit Καναστραῖον v. Arcad. h. l. l. 22 Βούδειον explevi ex St. B., Χλούνειον ex Theogn. 127, 3 et E. M. 533, 29 τὰ διὰ τοῦ $\overline{\text{ειον}}$ τρισύλλαβα ἰδιάζοντα διὰ τῆς $\overline{\text{ει}}$ διφθόγγου γράφεται καὶ προπαροξύνεται οἷον τὸ Λάγειον τὸ ἱπποδρόμιον Ἀλεξανδρείας ἀπὸ Λαγοῦ τινος· Χλούνειον τόπος ἐν Αἰτωλίᾳ, ὅπου ἦν ὁ χλούνης. Λαύρειον τόπος ἐν Ἀττικῇ ἔχων μέταλλα οὕτω καὶ κούρειον. οὕτω δὲ καλεῖται ἐν Ἀττικῇ τὸ ἱερεῖον τὸ θυόμενον, ἡνίκα ἐγράφοντο οἱ κοῦροι εἰς τοὺς φράτορας

Cίγειον πόλις Τρῳάδος, ὡς Στράβων τρισκαιδεκάτῳ (p. 595). Λάγειον τὸ ἱπποδρόμιον Ἀλεξανδρείας ἀπὸ Λάγου τινός. Λύκειον τὸ γυμνάσιον Ἀθήνησι. Γύθειον πόλις Λακωνική. Λυκόφρων «δισσὰς σαλάμβας κ' ἀπὸ Γυθείου πλακάς» (v. 98). τινές φασι, ὅτι Πύθιον ἐκαλεῖτο, κακῶς. Cέρρειον ἀκρωτήριον τῆς Θρᾴκης. ἔστι καὶ πόλις Σαμοθρᾴκης. λέγεται καὶ Cέρρα, ἧς ἡ γενικὴ κατ' Ἴωνας Cέρρης. Λαύρειον τόπος ἐν Ἀττικῇ ἔχων μέταλλα. Φίκειον ὄρος Βοιωτίας. τοῦτο δὲ εὕρηται καὶ διὰ βραχέος τοῦ ῑ. ἴσως δὲ συνεξέδραμεν τῷ Ῥύτιον, Αἴγιον, Cούνιον. Λέπρειον, Καυκώνων πόλις. Ῥοίτειον πόλις Τρῳάδος. Φύτειον πόλις Ἤλιδος τῆς κοίλης ἀπὸ Φυτέως λέγει αὐτὴν ὠνομάσθαι Ἴστρος δ' τῶν Ἠλιακῶν. Κράνειον γυμνάσιον ἐν Κορίνθῳ. Νάξειον τὸ ὄρος. Ἄσχειον πόλις Ἀχαΐας. Τήνειον πόλις Ἀχαΐας. Τίβειον τόπος Φρυγίας ἀπὸ Τιβίου τινός. Cύλειον πόλις Φρυγίας. ἐν δυσὶ λλ καὶ δι' ἑνός. γράφεται δὲ καὶ Cύλαιον. Φίνειον τόπος τοῦ Πόντου κτίσμα Φινέως. Χάλκεια πόλις Λιβύης. ὁ πολυίστωρ ἐν Λιβυκῶν τρίτῳ, ὡς Δημοσθένης, ᾧ μεμφόμενος Πολύβιος ἐν τῷ δωδεκάτῳ ὧδε γράφει «ἀγνοεῖ δὲ μεγάλως καὶ περὶ τῶν χαλκείων· οὐδὲ γὰρ πόλις ἐστίν, ἀλλὰ χαλκουργεῖα». ἔστι καὶ Καρίας Χάλκεια. Ὄγκειον χωρίον Ἀρκαδίας ἀπὸ Ὄγκου δυναστεύσαντος ὡς Παυσανίας δηλοῖ ὀγδόῳ (c. 25, 4). Μούσειον τόπος περὶ τὸν Ὄλυμπον τὸν ἐν Μακεδονίᾳ. Πολύβιος τριακοστῷ ἑβδόμῳ. Λύρκειον ὄρος Ἄργους. Καλλίμαχος Ἑκάλῃ. Ζοίτειον πόλις Ἀρκαδίας. Παυσανίας η' (27, 3 et 35, 27). λέγεται καὶ Ζοίτεια. ἀπὸ Ζοιτέως. Ἄφνειον πόλις Φρυγίας πλησίον Κυζίκου ἢ Μιλήτου πόλεως. ἢ ἀπὸ Ἀφνειοῦ ἢ ἀπὸ Ἀφνείας ναΐδος νύμφης. ἔστι καὶ Λυδίας πόλις. Γάμβρειον πόλις Ἰωνίας. γράφεται δὲ διὰ διφθόγγου ὡς δηλοῖ τὸ Γαμβρήϊον. Τίειον· οὕτως Στράβων ἐν τῷ δωδεκάτῳ (p. 542) Τίον πόλιν Παφλαγονίας τοῦ Πόντου φησί. τὸ δὲ Ἰσεῖον πόλις Αἰγύπτου προπερισπᾶται ὡς Ἱρεῖον καὶ Νεμεσεῖον καὶ ὅσα μὴ τῆς γενικῆς τὸ δ ἐφύλαξαν τεμενικῶν. τοιοῦτος γὰρ ὁ τύπος.

Τὰ διὰ τοῦ ειον τρισύλλαβα ν μόνῳ παραληγόμενα προπαροξύνονται, εἰ ἡ πρὸ τέλους συλλαβὴ εἰς φωνῆεν ἓν λήγοι, ὄνειον, κόνειον

(quorum postremum ad sequentem canonem reservavi) neque enim dubitare, quin hic locus Herodiani sit, comparatio Theognosti sinit. Cίγειον explevi ex St. B., Λάγειον sumpsi ex Theogn. et E. M., Λύκειον ex Theogn. et St. B., Γύθειον usque ad Νάξειον ex Theognosto prompta et ex St. B. expleta sunt Λαύρειον ex E. M. amplificato. Pro Φίττειον ap. Theogn. scripsi Φύτειον ex St. B., cum quo consentit E. M. 451, 45 Φύτειον πόλις ἀπὸ Φυτέως τοῦ κτίσαντος αὐτήν. — cum hoc Φύτειον ibidem componitur Θήσειον, quod huiuscemodi canoni subiicitur: τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα μονογενῆ προπερισπᾶται, βαλανεῖον, βαφεῖον πλὴν τοῦ Θησεύς Θήσειον καὶ τὸ Φύτειον — αὐτήν. πρόσκειται μονογενῆ διὰ τὸ βασιλεύς βασίλειον. ἔστι δὲ τριγενὲς οἷον βασίλειος οἶκος, βασιλεία χείρ, βασίλειον οἴκημα. Nomina inde ab Ἄσχειον (l. 12) usque ad finem sunt ex St. B., Cύλειον expletum est ex Eustath. ad Dionys. 815. l 31 ν, μόνῳ παραληγόμενα addidi propter canonis sententiam et Theogn. 128, 4. unde etiam ἓν post φωνῆεν inserui.

ἢ κώνειον, γένειον, δάνειον, κράνειον, κάνειον ὃ καὶ κάνεον, Φάνειον, Πάνειον, κτένειον, ὃ φοροῦϲιν αἱ γυναῖκεϲ ἐπὶ τοῦ ἀναδήματοϲ, κύνειον. τὸ δὲ κοινεῖον προπεριϲπᾶται οὐκ εἰϲ ἓν φωνῆεν λῆγον καὶ λυχνεῖον καὶ πορνεῖον, οὐ μόνον ἔχοντα τὸ ν̄.

* Τὰ διὰ τοῦ $\overline{\text{ειον}}$ μονογενῆ τριϲύλλαβα ἀπὸ ἑνὸϲ ϲυμφώνου ἀρχόμενα ἔχοντα τὸ η̄ ἢ τὸ ω̄, μὴ ἔχοντα τὸ μ̄ πρὸ τῆϲ ει̅ διφθόγγου, προπαροξύνεται, κώρειον, Ζήτρειον καὶ Ζώτειον, ὁ μύλοϲ ὅπου αἱ ζειαὶ ἐκόπτοντο ἢ τόπου ὄνομα ὅπου οἱ δοῦλοι ἐκολάζοντο, γήτειον, χήλειον ὃ καὶ χέλειον, γήρειον, βήχειον ἡ βοτάνη, κήτειον ἡ βοτάνη τῇ ἀνθέρικι παραπλήϲιον εἰϲ ἔμετον ἐπιτήδειοϲ, μεθ' ὧν καὶ βρένθειον εἶδοϲ πολυτελοῦϲ μύρου.

Τὰ διὰ τοῦ $\overline{\text{ειον}}$ μονογενῆ τριϲύλλαβα χωρὶϲ τῶν εἰρημένων προπεριϲπᾶται, πορθμεῖον, ϲτοιχεῖον, ἀγγεῖον, γραφεῖον, ᾠδεῖον, ϲημεῖον, μνημεῖον, πρωτεῖον, ϲφηκεῖον, ἠχεῖον, πορνεῖον, λυχνεῖον, ἀρχεῖον, φυλλεῖον τῶν λαχάνων τὸ ἔωλον καὶ φαῦλον, χυτρεῖον, χυρρεῖον τὸ ξύλινον δεϲμωτήριον. τοπεῖον τὸ ϲχοινίον τῆϲ νεώϲ. ϲκαφεῖον τὸ γεωργικὸν ἐργαλεῖον, κουρεῖον τὸ κοινῶϲ λεγόμενον. τὸ δὲ ἰδίωϲ παρ' Ἀθηναίοιϲ προπαροξύνεται· οὕτω γὰρ καλεῖται ἐν Ἀττικῇ τὸ ἱερεῖον θυόμενον, ἡνίκα ἐγράφοντο οἱ κοῦροι εἰϲ τοὺϲ φράτοραϲ. χαλκεῖον τόποϲ καὶ ἑορτή. τοῦτο γὰρ ἡ πλείων χρῆϲιϲ προπεριϲπᾷ. πρεϲβεῖον, λοφεῖον ἡ θήκη τῆϲ περικεφαλαίαϲ. μουϲεῖον, βραβεῖον, φορεῖον, πορεῖον ἀντὶ τοῦ ὀχήματοϲ. ποδεῖον εἴλημα τῶν ποδῶν. πομπεῖον ὁ τόποϲ. ὀχεῖον ἡ ἄγκυρα. τὸ δὲ παρειόν «ὦχροϲ δέ μιν εἷλε παρειά» (Γ 35) ὀξύνεται. τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰϲ οὐδέτερον γένοϲ τοῦ αὐτοῦ ϲημαινομένου μένοντοϲ τὸν αὐτὸν φυλάϲϲει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα. διάφορον

---

l. 1 ἢ κώνειον apposui propter Theognosti scripturam κώνειον, nomina κράνειον — κτένειον addidi ex Theogn., apud quem ξάνειον ex Πάνειον corruptum videtur; κύνειον ex eod. p. 128, 18, quamquam inter properispomena relatum est, verba οὐκ εἰϲ ἓν φωνῆεν λῆγον ipse adieci, propterea quod ad λυχνεῖον καὶ πορνεῖον exceptionis causa adiecta est. l. 5 hunc canonem ex Theogn. recepi; pro θώρειον scripsi κώρειον, quae fortasse est Dorica species vocis κούρειον cf. Lob. Proll. 42 not., pro βήτειον γήτειον, pro χείλειον χήλειον propter canonis verba η̄ ἢ ω̄ ἔχοντα, μεθ' ὧν καὶ βρένθειον ex E. M. 230, 65, ubi canon ex derivatione repetitur: τὰ ἀπὸ τῶν εἰϲ $\overline{\text{οϲ}}$ διϲυλλάβων οὐδετέρων διὰ τοῦ ειον γινόμενα οὐδέτερα μόνα διὰ τῆϲ ει̅ διφθόγγου γράφεται οἷον δάνοϲ δάνειον, γένοϲ γένειον, βρένθοϲ βρένθειον· ἔϲτι δὲ εἶδοϲ πολυτελοῦϲ μύρου· οὕτωϲ οὖν ἀπὸ τῆϲ γῆϲ γίνεται γῆτοϲ καὶ γήτειον. πρόϲκειται μονογενῆ διὰ τὸ ἄγοϲ ἅγιον. Ante Ζώτειον, de quo etiam E. M. 414, 40: Ζώτειον προπαροξυτόνωϲ ὁ μυλών, inserui Ζήτρειον ex Choer. Orthogr. 215, 27 et E. M. 411, 33, qui locus ex pleniore exemplari orthographiae fluxit. Hic addit Choer. τοῦτο δὲ ὁ μὲν Ὦροϲ προπαροξύνει ὡϲ τὸ γήτειον, ὁ δὲ Ὠριγένηϲ προπεριϲπᾷ; Orum autem, quamquam saepius Herodianum impugnat, Herodianum in multis sequi non pudet. l. 14 nomina inde ab μνημεῖον usque ad ὀχεῖον apposui ex Theogn. 128, 6, ἠλεῖον omisi ut male ex ἠχεῖον repetitum, pro χοιτρεῖον scripsi χυτρεῖον, ad κούρειον apposui οὕτω γὰρ καλεῖται — εἰϲ τοὺϲ φράτοραϲ ex E. M. 533, 29, χαλκεῖον explevi ex E. M. 805, 47, ubi ὁ Ἡρωδιανὸϲ λέγει, ὅτι ἡ πλείων χρῆϲιϲ προπεριϲπᾷ. — l. 21 τὸ

γὰρ τὸ cημαινόμενον· οὕτωc παρειαί παρειά. φαcὶ μέντοι Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν παρειάc cὺν τῷ c̄, ἐπειδὴ καὶ «παρειάων ἁπαλάων» (C 123) λέγει. ὁ δὲ Ἰξίων δυϊκῶc ἀναγινώcκει καὶ ἐκτάcει τοῦ ᾱ παρειά. λέγει δὲ ὁ Ἀcκαλωνίτηc «οὐκ ἔcτιν εὑρέcθαι ἐπὶ θηλυκῶν ὀνομάτων παρὰ τῷ ποιητῇ τοιοῦτο θηλυκόν» προcέθηκε δὲ ὀνομάτων διὰ τὸ «γηθήcει προφανεῖcα ἀνὰ πτολέμοιο γεφύραc» (Θ 378). τὸ δὲ θέειον ἐκ τοῦ θεῖον κατὰ πλεοναcμὸν τοῦ ε̄ γέγονεν ὡc εἶc ἕειc.

* Τὰ διὰ τοῦ εἰον ὑπὲρ τρεῖc cυλλαβὰc κύρια μονογενῆ προπαροξύνεται, Ἀδραμύτειον πόλιc τῆc κατὰ Κάϊκον Μυcίαc. ἡ γραφὴ διχῶc, διὰ τοῦ τ̄ καὶ διὰ τοῦ δ̄ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ καὶ δι' ἑνὸc τ̄ καὶ διὰ δύο. ἀλλὰ δι' ἑνὸc τ̄, ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο, ὅταν τὸ ῑ μόνωc. κέκληται ἀπὸ Ἀδραμύττου κτιcτοῦ, παιδὸc μὲν Ἀλυάττου Κροίcου δὲ ἀδελφοῦ, ὡc Ἀριcτοτέληc ἐν πολιτείαιc καὶ ἄλλοι. τινὲc δὲ ἀπὸ Ἕρμωνοc τοῦ Λυδῶν βαcιλέωc. τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦcι Φρυγιcτί. οὐ δύναται δὲ διὰ τὸ μὴ ἔχειν τὸ τ̄ τὸ Ἄδραμυc. λέγεται δὲ καὶ Ἀδραμύττιον, ὡc Κρατῖνοc. Κροκύλειον νῆcοc Ἰθάκηc. Θουκυδίδηc τρίτῃ (c. 96). Ἡρακλέων δὲ ὁ Γλαύκου τετραμερῆ φηcι τὴν Ἰθάκην, ἧc τὸ μὲν πρῶτον ἐπὶ μεcημβρίαν καὶ θάλατταν Νήριτον καὶ τὸ δεύτερον Νήϊον καὶ τὸ τρίτον Κροκύλειον, τὸ τέταρτον Αἰγίλιπα. Ὑπάτειον ὄνομα ὄρουc Καρίαc. Ἐφιάλτειον ὄνομα ὄρουc. Κηρύκειον ὄνομα λόφου, οὗ φαcιν τὸν Ἑρμῆν ἀναβάντα τὴν γένεcιν τῆc Ἀρτέμιδοc τοῖc θεοῖc ἀνακηρῦξαι, τοῦ Διὸc ταῦτα προcτάξαντοc. Ταντάλειον ὄνομα ὄρουc. Δαcκύλειον ἡ πόλιc, ἣ καὶ Δαcκύλιον γράφεται. Φορβάντειον ὄροc Τροιζῆνοc. Κυκλώπειον τὸ ὄροc. Μυρμήκειον πολίχνιον τῆc Ταυρικῆc, ἣν Cτράβων ἑνδεκάτῃ (p. 494) Μυρμήκιον, Ἀρτεμίδωροc δὲ Μυρμηκίαν φηcί. τὸ γὰρ ἕτερον προπεριcπᾶται. Κλεάδειον τὸ ὄροc. Γορδίειον πόλιc τῆc μεγάληc Φρυγίαc πρὸc τῇ Καππαδοκίᾳ ἀπὸ Γορδίου τοῦ πατρὸc Μίδου. Αἰόλειον τῆc Θράκηc χερρονήcου πόλιc. Θεόπομποc ἐν Φιλιππικῶν εἰκοcτῇ τρίτῃ «ἐπορεύθη εἰc πόλιν Αἰόλειον τῆc Ἀττικῆc μὲν οὖcαν, πολιτευομένην δὲ μετὰ τῶν Χαλκιδέων». Ἀχίλ-

---

δέ, παρειόν — l. 3 παρειάων ἁπαλάων λέγει recepi ex Il. Pros. Γ 35, quae tum sequuntur ὁ δὲ Ἰξίων — πτολέμοιο γεφύραc ex Ep. Cr. I 373, 18 cf. E. M. 623, 25. τὸ δὲ θέειον ex Schol. ad Od. μ 417, quamquam accentus obnititur regulae Herodianeae in E. M. 614, 40 Ἡρωδιανὸc λέγει ὅτι ὁ πλεοναcμὸc τὸν οἰκεῖον τόνον φυλάccει, ἡ δὲ διάλυcιc διαλλάccει cf. Lehrs Herod. p. 60, qui iure hunc canonem suas cautiones habuisse pertendit, et Lob. Rhemat. p. 188. l. 9 hunc canonem inserui ex Theogn. 129, 5, unde nomina Ἀδραμύτειον quod ex St. B. explevi, ubi diserte Herodiani mentio fit: οὐ δύναται δέ, ὡc Ἡρωδιανόc, διὰ τὸ μὴ ἔχειν κτλ. Κροκύλειον, quod corrupte Προικοίλειον scriptum est, etiam hoc ex St. B. amplificavi, porro Ὑπάτειον — Ταντάλειον. l. 24 Δαcκύλειον ex Theogn., ubi corruptum est in Δαcκάλειον, et St. B., Φορβάντειον ex Theogn., ubi ὄνομα ὄρουc, et St. B., ubi falso Φορβάντιον; Μυρμήκειον ex Theogn. ubi πόλιc· τὸ γὰρ ἕτερον προπεριcπᾶται (sc. μυρμηκεῖον), et St. B., ubi parum accurate Ἡρωδιανὸc διὰ διφθόγγου γράφει καὶ προπεριcπᾷ, Κλεάδειον Theogn., Γορδίειον ex Theogn. et St. B., reliqua omnia prompsi ex St. B.

λειον πόλις ἐν τῷ Σιγείῳ. ἔστι καὶ φρούριον Ἀχίλλειον πλησίον Σμύρνης καὶ τόπος ἐν Σικελίᾳ καὶ κώμη καὶ λιμὴν Μεσσήνης. Λαμπέτειον σῆμα ἐν Λέσβῳ ἀπὸ Λαμπέτου τοῦ Ἴρου. Ἀμαζόνειον πόλις ἐν τῇ Ἀττικῇ, ἔνθα Θησεὺς τῶν Ἀμαζόνων ἐκράτησεν. οὕτως ἐκαλεῖτο καὶ ἡ Κύμη, ἐν ᾗ αἱ Ἀμαζόνες ᾤκουν. Ἑκαταῖος δ' ἐν τοῖς Αἰολικοῖς διὰ τοῦ ῑ γράφει τὸ ὄνομα. Βοτιάειον πόλις Φρυγίας ἔχουσα λίμνην Ἄτταιαν λεγομένην, τρέφουσαν ἅλας. Δαρίειον πόλις τῆς Φρυγίας. Διόμεια δῆμος τῆς Αἰγηῖδος φυλῆς. Ἡρακλῆς γὰρ ἐπιξενωθεὶς παρὰ Κολλυτῷ ἠράσθη Διόμου τοῦ υἱοῦ αὐτοῦ. Δοκίμειον πόλις Φρυγίας. Δορίειον Φρυγίας πόλις. Δορυλάειον πόλις Φρυγίας, ὃ καὶ Δορύλαιον Δημοσθένης φησί. Μιδάειον πόλις Φρυγίας. Ἑλλάνικος ἐν δευτέρῳ Δευκαλιωνείας. καὶ Μιδάϊον λέγεται καὶ Μιδήϊον. Κοτιάειον πόλις τῆς ἐπικτήτου Φρυγίας. Στράβων ιβ' (p. 576). τινὲς δέ φασι Κοσιάειον ὀφείλει. δοκεῖ δὲ ἀπὸ τοῦ Κόσα Κοσάειον ὡς τοῦ Μίδα Μιδάειον καὶ προσθέσει τοῦ ῑ Κοσιάειον καὶ τροπῇ Κοτιάειον. Μενελάειον χωρίον Σπάρτης. Κορύλειον κώμη περίσημος ἐν Παφλαγονίᾳ ἀπὸ Κορύλου βασιλεύσαντος. Μολύκρειον· οὕτως Θουκυδίδης δευτέρᾳ (c. 84) Μολυκρίαν πόλιν Αἰτωλίας καλεῖ. Νεάνδρειον· οὕτως Θεόπομπος καλεῖ Νεάνδρειαν πόλιν Τρῳάδος ἐν Ἑλλησπόντῳ. Νικομήδειον ἐμπόριον Βιθυνίας. Ἀρριανὸς πέμπτῳ Βιθυνιακῶν. Πολίειον πόλις Ἰταλίας ἀπὸ τῆς ἐν Ἰλίῳ Πολιάδος Ἀθηνᾶς πρότερον Σῖρις καλουμένη. Ποσίδειον πόλις μεταξὺ Κιλικίας καὶ Συρίας. Φιλομήλειον πόλις τῆς μεγάλης Φρυγίας. Στράβων δωδεκάτῃ (p. 577). Φαναγόρεια ἐμπόριον. Τεμβρίειον· οὕτως Ἀλέξανδρός φησι Τέμβριον πόλιν Φρυγίας. Καπετωλίειον ἐν Ῥώμῃ λόφος Ταρπαῖος πάλαι λεγόμενος καὶ ἐν συναιρέσει Καπετώλειον. τὸ δὲ Καπετωλεῖα ἐπὶ τοῦ ἀγῶνος προπερισπᾶται.

* Τὰ ἐπὶ τεμενῶν καὶ ἑορτῶν διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται καὶ προπερισπᾶται. καὶ προπερισπᾶται μὲν ὅσα ἀπὸ τῶν εἰς ις παράγονται τῆς γενικῆς καθαρᾶς οὔσης, μὴ φυλαττούσης τὸ σύμφωνον τῆς γενικῆς, οἷον πρυτανεῖον, Νεμεσεῖον, Σεραπεῖον. οὐ γὰρ ἐφύλαξε τὸ δ τῆς γενικῆς τοῦ Σεράπιδος. τοιοῦτο καὶ τὸ Ὀσιρεῖον, Ἀνουβεῖον, Τεχοσεῖον. Βενδίδειόν δὲ προπαροξύνεται· ἐφύλαξε γὰρ τὸ δ τῆς Βενδῖδος γενικῆς·

---

l. 10 de Δορυλάειον cf. Eustath. ad Dionys. 815, ubi τέχνη ὀρθογραφικὴ (sc. Herodiani) memoratur et Choer. Orth. 197, 10 Δορυλάειον: δίφθογγος ει καὶ Κοτιάειον. Γορδίειον δὲ Δοκίμειον πόλις Φρυγίας τὸ ι παραλήγεται (sic pro Γορδίον καὶ Δοκίμιον scripsi, nam dicitur Δορυλάειον Κυτάειον habere α ante exitum ειον, haec vero ι, sed item per ει pronunciari). — l. 13 Κοτιάειον exhibui ex verissima Meinekii emendatione, eundem secutus sum l. 24 Τεμβρίειον pro Μένανδρος scribi iubentem Ἀλέξανδρος. De Καπετωλίειον St. B. diserte: Ἡρωδιανός Καπετωλίειον ἐν ἓξ συλλαβαῖς καὶ ἐν συναιρέσει Καπετώλειον, tum sequitur canon de temenicis, quem statim proponam. l. 28 hunc canonem recepi ex Theogn. 129, 15 (Bekk. An. 1343), cum cuius priore parte concinit St. B. s. Ἰσεῖον loco iam supra allato; l. 33 Τεχοσεῖον corruptum videtur, fortasse scri-

ὁμοίως καὶ Θετίδειον. ἔϲτι δὲ καὶ πόλιϲ Θεϲϲαλικὴ Θετίδειον. Ἑλλάνικοϲ. λέγεται δὲ καὶ Θεϲτίδειον. ἔϲτι καὶ λίμνη Θρᾴκηϲ, παρ᾽ ᾗ Νῦϲα χωρίον. προπεριϲπῶνται δ᾽ ὁμοίωϲ, ὅϲα ἔχει προϋπάρχοντα εἰϲ $\overline{\text{οϲ}}$ καθαρόν, παραληγόμενα ἢ μόνῳ τῷ $\bar{\text{ι}}$ ἢ προηγουμένου αὐτοῦ τοῦ $\bar{\text{α}}$ ὥϲτε εἶναι πρὸ τέλουϲ τὴν $\overline{\text{αι}}$ δίφθογγον ἢ ὅϲα κτητικά, Ἀϲκληπιεῖον· Ἀϲκληπιόϲ γάρ. Πτολεμαεῖον· Πτολεμαῖοϲ γάρ. Ὀλυμπιεῖα τὰ Ἀθήνηϲι, Ὀλύμπιοϲ γάρ· ἔϲτι καὶ Ὀλυμπιεῖον τόποϲ ἐν Δήλῳ, ὃν κτίϲαντεϲ οἱ Ἀθηναῖοι χρήμαϲιν Ἀδριανοῦ νέαϲ Ἀθήναϲ Ἀδριανὰϲ ἐκάλεϲαν ὡϲ Φλέγων ἐν Ὀλυμπιάδων ιε΄. Καπετωλιεῖα καὶ Καπετωλεῖα ἐν ϲυναιρέϲει· Καπετώλιοϲ γάρ. Ἀμμωνιεῖον· τὸ γὰρ κτητικὸν Ἀμμώνιοϲ διὰ τοῦ $\bar{\text{ι}}$. προπαροξύνεται δὲ τὰ κτητικὰ ὥϲπερ τὰ ἀρϲενικά, Ἡράκλειον, Αἰάκειον, Διοϲκούρειον, Πλουτώνειον, Ποϲειδώνειον, Χαρώνειον, Ἑλένειον, Κλεοπάτρειον, Τιμώνειον, Μαυϲώλειον, Καιϲάρειον, Ὁμήρειον, Λαμπέτειον. τὸ δὲ Ἡφαιϲτεῖον προπεριϲπᾶται καὶ τὸ Κορυβαντεῖον ναὸϲ τῶν Κορυβάντων.

Τὰ διὰ τοῦ $\overline{\text{ειον}}$ ὑπὲρ τρεῖϲ ϲυλλαβὰϲ μὴ ὄντα ἐπὶ τεμενῶν ἢ κύρια προπεριϲπῶνται, ἁπλᾶ ὄντα ἢ παραϲύνθετα θωρακεῖον, πανδοκεῖον, διδαϲκαλεῖον, βαλανεῖον, ἐλεγεῖον, ἐπιϲκοπεῖον, ἡμεροϲκοπεῖον. ἔϲτι καὶ πόλιϲ Κελτιβήρων Ἡμεροϲκοπεῖον Φωκαέων ἄποικοϲ. Ἀρτεμίδωροϲ δευτέρῳ λόγῳ γεωγραφουμένων. τεκτονεῖον, ἰαμβεῖον, ἀϲωτεῖον, δοκιμεῖον, ἑϲτιατορεῖον, προϲωπεῖον, μορμολυκεῖον, ἱερεῖον, μεγαλλεῖον ὄνομα μύρου ἀπὸ Μεγάλου Ϲικελιώτου εὑρόντοϲ αὐτό. ϲκευοφορεῖον, τὸ ἐπὶ τῶν ὤμων ἀμφίκοιλον ξύλον, ἀφ᾽ οὗ ἀπαρτῶϲι ξύλα. ϲκιραφεῖον, ὅπερ δηλοῖ τὸν τόπον, εἰϲ ὃν οἱ κυβευταὶ ϲυνίαϲι. ταμιεῖον, οἶκοϲ ἐν ᾧ τὰ ἀναγκαῖα ἀπετίθεϲαν ὡϲ Ἀριϲτοφάνηϲ καὶ Κρατῖνοϲ καὶ ἄλλοι. μαγειρεῖον, ἰατρεῖον, βυρϲοδεψεῖον, δευτερεῖον, ὀπτανεῖον· παρὰ δὲ τοῖϲ Ἀττικοῖϲ καὶ διὰ τοῦ $\bar{\text{ι}}$ γράφεται καὶ προπαροξύνεται οἷον ὀπτάνιον. κηρυκεῖον τὸ μονογενὲϲ καὶ προϲηγορικόν, ὅπερ ἐπίϲταται καὶ ἡ

---

bendum est Ταφοϲιρεῖον. Alteram partem inde a verbis προπεριϲπῶνται δ᾽ ὁμοίωϲ l. 3 sumpsi ex St. B. s. Καπετώλιον collato Theognosto; extremam partem inde a l. 11 προπαροξύνεται δὲ τὰ κτητικὰ ex Arcad. 121, 16 constitui additis ex Theognosto nominibus Πλουτώνειον — Ὁμήρειον et Λαμπέτειον ex St. B. — Cum Πλουτώνειον cf. etiam St. B.: Ἀμμώνειον διὰ διφθόγγου ὡϲ Δημήτρειον καὶ Ἀπολλώνειον. — De festorum nominibus cf. An. Ox. III 277 et Mein. Callim. p. 228, ipse in Orthographia ad haec recurram. — De omnibus nominibus videre licet Lob. ad Phrynich. p. 367 seqq. l. 17 pro ἐπὶ μηνῶν scribit Iacobi ἐπὶ τεμενῶν. de θωρακεῖον testatur Photius p. 99 θωρακείοιϲ: διὰ διφθόγγου· οὕτωϲ αὐτὸ Ἡρωδιανόϲ. Nomina inde ab ἐπιϲκοπεῖον usque ad ϲκευοφορεῖον recepi ex Theogn. 128, 30 inserto ex St. B. proprio Ἡμεροϲκοπεῖον; ϲκιραφεῖον, ταμιεῖον ex St. B., μαγειρεῖον — δευτερεῖον ex E. M. 187, 10 ubi qui canon orthographicus legitur, ex Herodiano petitus est, omisi nomina a Christiano epitomatore addita πατριαρχεῖον ὀρφανοτροφεῖον, ὀπτανεῖον ex E. M. 629, 7, quem locum iam supra s. nominibus in $\overline{\text{νιον}}$ proposui. De κηρυκεῖον Theogn. 128, 31: τὸ κηρυκεῖον τὸ μονογενὲϲ καὶ προϲηγορικόν, ὅπερ ἐπίϲταται καὶ ἡ ϲυνήθεια, τὸ γὰρ

συνήθεια, τὸ γὰρ ἐπιθετικὸν κηρύκειον τὸν τοῦ κηρύκειος τόνον ἐφύλαξε καὶ τὸ κύριον προπαροξύνεται. τὸ δὲ ὠκυτόκειον καὶ ἄλλα σύνθετα προπαροξύνεται.

* Τὰ εἰς ον καθαρὸν παραληγόμενα τῷ α σπάνια ὄντα βαρύνεται, Μέταον πόλις Λέσβου, ἣν Μέτας Τυρρηνὸς ᾤκισεν, ὡς Ἑλλάνικος.

* Τὰ εἰς ον παραληγόμενα τῇ αυ διφθόγγῳ σπάνια ὄντα βαρύνεται, Σαῦα κώμη τῆς εὐδαίμονος Ἀραβίας, Ἄναυα πόλις Φρυγίας, ὡς Ἡρόδοτος (7, 30).

Τὰ εἰς ον καθαρὸν παραληγόμενα τῷ υ βαρύνεται, πτύον, βρύον, πύον τὸ ἔμπυον τὸ καὶ πυός. θρύον· ἔστι καὶ πόλις τῆς Μεσσηνίας ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων ὁμωνύμως τῷ φυτῷ λεγομένη. λέγεται δὲ ἀπὸ φυτοῦ Θρυόεις καὶ Θρυόεσσα. θύον δ καὶ θύος λέγεται. Κύον πόλις Καρίας. Ἀπολλώνιος τετάρτῃ Καρικῶν, μεθ' ὧν καὶ γυῖον τῇ υι διφθόγγῳ παραληγόμενον καὶ οὐκ ἔχον ὁμοίου παράθεσιν. κάρυον, κρόμμυον, δίκτυον, ἔμβρυον, δάκρυον, κρήγυον, ἄρκυον, μήνυον εἶδος ἄνθους, γεράνδρυον, μεσόφρυον, ἔνδρυον, γήθυον τὸ ἀμπελόπρασον. Ἔγγυον πόλις Σικελίας.

Τὰ εἰς ον δισύλλαβα παραληγόμενα τῇ οι διφθόγγῳ ὀξύνεται, γλοιόν, τὸ τοῖς πώγωσι τῶν τράγων ἐπισυναγόμενον ἀπὸ τῆς ὕλης, Κροιόν ὄνομα ὄρους. βοιόν τῶν πεντήκοντα ἐτῶν ἀριθμός. ἔστι καὶ Βοιόν Δωρικὴ πόλις, ἣ καὶ θηλυκῶς λέγεται, μοιόν τὸ αἰδοῖον. τὸ δὲ πλοῖον προπερισπᾶται ὡς πάσχον διαίρεσιν αἰολικῶς. πλόϊον γὰρ λέγεται.

Τὰ εἰς ον δισύλλαβα μονογενῆ παραληγόμενα τῷ ω μετὰ τοῦ ι

ἐπιθετικὸν προπαροξύνεται, Arcadius τὸ δὲ κηρύκειον τὸν τοῦ κηρύκειος τόνον ἐφύλαξε, hinc composui, quae dedi adiiciens καὶ τὸ κύριον προπαροξύνεται ex Theogn. 129, 8. E. M. 511, 47 εἰσί τινα ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων διὰ τοῦ ε καὶ ι διφθόγγου γραφόμενα οἷον Κυκλώπειον Φοινίκειον. οὕτω καὶ κηρύκειον. ἰστέον ὅτι ἔστι καὶ κηρύκιον διὰ τοῦ ι, ὅπερ ἐπὶ μόνης τῆς ῥάβδου λέγεται τοῦ Ἑρμοῦ. cf. Hesych. s. v. l. 4 canonem finxi propter Μέταον a St. B. relatum.
l. 6 etiam hunc canonem composui propter nomina a St. B. tradita Σαῦα, de quo diserte οὐδετέρως, et Ἄναυα. l. 10 accentum in πύον non mutavi cum Schmidtio in circumflexum secutus Lob. Rhem. p. 309. — πυός pro πύος iam Schmidt. scripsit ex Schol. ad Arist. Pac. 1150: ὁ πυός ὀξυτόνως καὶ ἀρσενικῶς ἐν τῷ ιε' (scr. ε'), θρύον addidi ex Theogn. 130, 2, Θρύον urbem ex St. B., θύον ex Theogn., Κύον ex St. B., γυῖον ex Theogn., λέπυον ap. Arcadium suspectum omisi et ex Theogn. recepi κάρυον — ἔνδρυον, Ἔγγυον ex St. B., Ἕξγυον vero ap. eundem: πόλις Σικελίας γραφὴν Ἀττικῶς ἔχουσα ὡς τὸ ἔξκλινον· λέγεται δ' οὕτως διὰ τὸ ἒξ ἀγυιὰς ἔχειν propter Meinekii iustam suspicionem omisi. Choer. Epim. in Psalm. 44, 3 τὰ εἰς ον λήγοντα οὐδέτερα τῷ υ παραλήγοντα βαρύνεται πύον τὸ ἕλκος, βρύον, ξύλον καὶ τὰ ὅμοια, sed ξύλον referendum est ad canonem in quo de φύλλον agitur; p. 47, 15 rectius neque tamen accurate: τὰ εἰς ον οὐδέτερα, εἰ μὲν φύσει μακρᾷ παραλήγει, προπερισπῶνται, οἷον σκῶλον, κοῖλον, εἰ δὲ βραχύ, παροξύνεται οἷον ξύλον, σκύλον, φύλλον καὶ τὰ ὅμοια, sed cum Arcadio congruit canon in An. Ox. II 344, 15, unde ἄρκυον l. 15 apposui. l. 19 Arcadius habet Κλοιόν ὄρος, Theogn. 130, 9 Κροιόν ὄνομα ὄρους, unde Schmidtius suspicatur κλοιόν vel γλοιόν Κροιόν ὄρος scribendum esse; eum secutus sum pro κλοιόν exhibens γλοιόν, quod exstat ap. Theogn., et Κροιόν quod ap. Arcadium inter γλοιόν et ὄρος excidit, addens. Apponi potest ex Theogn. 20, 20 θοιόν ὀξυτόνως cf. Hesych. θοιά ζεῦγος ἡμιόνων.

ἀρχόμενα ἀπὸ cυμφώνου προπεριcπᾶται, Ζῷον, εὕρηται δὲ καὶ κατὰ διάcταcιν παρὰ τῷ Cιμωνίδῃ (fr. 13) οἷον

τόδ᾽ ἡμῖν ἑρπετὸν παρέπτατο,
τὸ ζωΐων κάκιcτον ἔκτηται βίον.

Πτῷον ὄροc, ὅπερ φαcὶ κληθῆναι ἀπὸ Πτῴου παιδὸc Ἀκραιφέωc καὶ Εὐξίππηc ἢ ὅτι Λητὼ ἐκεῖ βουλομένην τεκεῖν κάπροc ἐπιφανεὶc ἐπτόηcεν. τὸ μέντοι ᾠόν ὀξύνεται· ἀπὸ φωνήεντοc γὰρ ἄρχεται. λέγεται δὲ καὶ ἐν διαλύcει ὤϊον παρὰ τῇ Cαπφοῖ (fr. 56 Bergk),

φαῖcι δή ποτα Λήδαν ὑακίνθινον
πεπυκαδμένον ὤϊον
εὕρην.

καὶ ὤεον ἐν πλεοναcμῷ τοῦ ε̄.

Τὰ εἰc ο̄ν̄ ὑπερδιcύλλαβα μονογενῆ τῇ ο̄ῑ διφθόγγῳ παραληγόμενα ἢ τῇ ῳ̄ ταύτην ἔχουcι τὴν διαίρεcιν· προπαροξύνεται μέν, ὅcα cύνθετά ἐcτι, ὑπεcταλμένων τῶν ἀπὸ προθέcεωc, Ἀκρόθοιον, ᾧ ἠκολούθηcε καὶ τὸ Βάλοιον πόλιc Μακεδονίαc καὶ Μετάχοιον φρούριον Βοιωτίαc μεταξὺ Ὀρχομενοῦ καὶ Κορωνείαc. Ἔφοροc τριακοcτῷ. καὶ Cίντοιον φρούριον Ἀρμενίαc κτίcμα Γαλατῶν. ἑκατόμβοιον, εἰκοcάβοιον, πεντηκοcάβοιον, ἐννεάβοιον. τὸ δὲ μητρῷον, ἡρῷον, ὑπερῷον προπεριcπᾶται, ὥcπερ καὶ τὰ ἀρcενικά. τὸ δὲ περίcτῳον προπαροξύνεται· τὸ δὲ προcτῷον προπεριcπᾶται. καὶ ὤφειλεν ἢ τὰ δύο προπεριcπᾶcθαι ἢ τὰ δύο προπαροξύνεcθαι, ἐπειδὴ ἀπὸ τοῦ cτοιά ἀμφότερα γέγονεν. ἐνίοτε δὲ τὰ διὰ τοῦ ῳ̄ο̄ν̄ διὰ ποιητικὴν χρείαν διαλύονται, ὑπερῷον ὑπερώϊον, περίcτῳον περιcτώϊον, μητρῷον μητρώϊον.

Πᾶν οὐδέτερον εἰc ο̄ν̄ πρὸ τοῦ ο̄ cύμφωνον ἔχον εἴτε ἁπλοῦν εἴτε cύνθετον, εἰ μὲν διcύλλαβόν ἐcτιν, βαρύνεται ἤτοι παροξύνεται καὶ προπεριcπᾶται, εἰ δὲ ὑπὲρ δύο cυλλαβὰc ὑπάρχει, προπαροξύνεται,

---

l. 1 ad Ζῷον addidi εὕρηται δὲ reliqua ex E. M. 413, 23, qui locus ex Herodiano petitus est: γράφεται δὲ μετὰ τοῦ ῑ (sc. Ζῷον) ἐπειδὴ εὕρηται κτλ. — καὶ διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ῳ̄ο̄ν̄· τὰ γὰρ διὰ τοῦ ῳ̄ο̄ν̄ οὐδέτερα μονογενῆ θέλει ἔχειν τὸ ῑ οἷον Πτῷον ὄνομα ὄρουc. προcτῷον, περίcτῳον, ὑπερῷον· οὕτω καὶ Ζῷον cὺν τῷ ῑ. Πτῷον explevi ex St. B. — l. 7 λέγεται usque ad finem ex Theogn. 130, 18 recepi additis Sapphus verbis ex E. M. 822, 40, qui locus mire congruit et cum modo citato E. M. et cum nostro Arcadii loco: τὸ δὲ ᾠόν ὀξύνεται, ὅτι ἀπὸ φωνήεντοc ἄρχεται. τὰ δὲ λοιπὰ ἀπὸ cυμφώνου· καὶ ὡc διήλλαξε κατὰ τὴν ἀρχήν, παρήλλαξε καὶ κατὰ τάcιν. l. 15 verba ᾧ ἠκολούθηcε usque ad Cίντοιον — Γαλατῶν ipse apposui propter nomina a St. B. relata, πεντηκοcάβοιον ἐννεάβοιον ex Theogn. 130, 13; ὑπερῷον ex eodem. l. 21 καὶ ὤφειλεν ἢ usque ad γέγονε ex simillimo loco E. M. 665, 1 cf. Lob. El. I 443; verba ἐνίοτε δὲ usque ad finem ex Theogn. 130, 22 pro μηνῷον μηνώϊον cum Lob. p. 452 not. 29 μητρῷον μητρώϊον exhibens et pro ἀναλύονται scribens διαλύονται. l. 26 Choer. Ep. in Psalm. 58, 9 canon sic constituitur: πᾶν οὐδέτερον πρὸ τοῦ ον cύμφωνον (insere ἔχον) εἴτε ἁπλοῦν εἴτε cύνθετον, εἴτε ὑπὲρ δύο cυλλαβὰc ὑπάρχει, προπαροξύνεται οἷον cτρατόπεδον, ἔνεδρον, πρόcωπον καὶ τὰ ὅμοια ὑπεcταλμένων τῶν κατὰ μεταβολῆc γένουc εἰρημένων καὶ τῶν εἰc ρ̄ ἢ εἰc η̄ περατουμένων. In his excidisse arbitror εἰ μὲν διcύλλαβόν ἐcτιν, βαρύνεται ἤτοι παροξύνεται καὶ προπεριcπᾶται (nam de his etiam in canone sermonem fuisse

χέρνιβον, δάπεδον, cίττυβον τὸ μικρὸν δέρμα, cτρατόπεδον, ἔνεδρον, πρόcωπον, γήπεδον τὸ πρὸc τοῖc οἴκοιc ἐν πόλει κηπίον, ὅπερ οἱ τραγικοὶ διὰ τοῦ ᾱ φαcὶ δωρίζοντεc, cέλινον, ἔνδινον, ὃ παρὰ τὸ ἔνδον παρῆκται ὡc παρὰ τὸ ἔντοcθεν ἐντοcθίδια λέγεται. ναύμαχον «ναύμαχον ἐν παλάμηcιν» (Ο 677) εἶδοc δόρατοc παρὰ ῥῆμα cύνθετον ὡc χάρτομον, χειρόγραφον, ἀκρατόφορον· ὑπεcταλμένων τῶν κατὰ μεταβολῆc γένουc εἰρημένων καὶ τῶν εἰc ρ̄ καὶ τῶν εἰc τ̄ περατουμένων. παροξύνεται δὲ ταῦτα, ῥόδον, ἔργον, φύλλον, λίνον ὅτι ἂν cημαίνῃ, εἴτε τὴν λινῆν ἐcθῆτα εἴτε καὶ ἐπὶ χορδῆc τάccοιτο εἴτε καὶ αὐτὸ τὸ λεπτὸν νῆμα. ἔcτι δὲ καὶ Λίνον χωρίον τῆc Ἑλληcποντίαc. Cτράβων τριcκαιδεκάτῃ (p. 588) «μεταξὺ δὲ κεῖται τοῦ Παρίου καὶ τοῦ Πριάπου κατὰ Λίνον». Cπάδα κώμη Περcική, ἐν ᾗ πρώτῃ εὐνουχιcμὸc γέγονεν, ὅθεν cπάδοι λέγονται. Πέφνον πόλιc Λακωνική. Ἀπολλόδωροc δὲ νῆcον αὐτήν φηcι. λέγεται καὶ θηλυκῶc. Πράcον ἀκρωτήριον περὶ τὴν Ἐρυθρὰν θάλαccαν. Κύτα πόλιc Κολχική, πατρὶc Μηδείαc. ἔcτι καὶ ἄλλη Cκυθίαc. Θέρμα χωρίον Cικελίαc. Φίλιcτοc τρίτῳ. ἔcτι καὶ Βιθυνίαc Θέρμα τὰ μὲν Πύθια τὰ δὲ ἐν Προύcῃ βαcιλικὰ λεγόμενα, τὰ δὲ ἐν Καππαδοκίᾳ, τὰ δὲ ἐν Cυρίᾳ, τὰ δὲ Δορυλαείου. Νίψα πόλιc Θρᾴκηc. προπεριcπᾶται δὲ ταῦτα, cῦκον, φῦλον τὸ γένοc ἀπὸ τῆc φυλῆc ἢ ἀφ' οὗ ἡ φυλή, κῶλον, κῆλον, μῆλον, κῦλον. Ζῆλα τόποc Ἀρμενίαc. Cτράβων ια' (p. 512). ἔcτι καὶ Ποντικὴ Ζῆλα λεγομένη καὶ αὐτὴ οὐδετέρωc. Cοῦcα πόλιc ἐπίcημοc Περcική, Μέμνονοc κτίcμα. κέκληται δὲ ἀπὸ τῶν κρίνων, ἃ πολλὰ ἐν τῇ χώρᾳ πεφύκει ἐκείνῃ, cοῦcόν τε αὐτὸ καλοῦcιν οἱ βάρβαροι.

Τὰ δὲ μεταβολὴν γένουc πεπονθότα ὀξύτονα ὀξύνεται, χαλινόc χαλινόν, ζυγόc ζυγόν, ἐρετμόc ἐρετμόν, τὰ δὲ βαρύτονα βαρύνεται, θύρcοc θύρcον, λύχνοc λύχνον, κύκλοc κύκλον, κέλευθοc

---

patet ex Arcadio, ubi postquam traditum est: πᾶν οὐδέτερον εἰc ο̄ν̄ πρὸ τοῦ ο̄ cύμφωνον ἔχον, ὑπερδιcύλλαβον προπαροξύνεται —, sequuntur παροξύνεται ταῦτα, ῥόδον, ἔργον, φύλλον, προπεριcπᾶται δὲ ταῦτα· cῦκον, φῦλον τὸ γένοc, κῶλον, κῆλον, μῆλον, in quibus de bisyllabis agitur) et post pro εἰc η̄ εἰc τ̄ περατούμενον, nam Arcadius, quum nullae fere exceptiones in aliis terminationibus nisi in ρον et τ̄ο̄ν̄ reperiantur, de his tantum ab Herodiano propositos canones servavit. His emendatis recepi Choerobosci praeceptum cum nominibus cτρατόπεδον — πρόcωπον; γήπεδον apposui ex St. B., cέλινον ἔνδινον ex Il. Pr. Ψ 806, ναύμαχον — ἀκρατόφορον ex Il. Pr. Ο 389. — l. 9 λίνον addidi ex Il. Pr. C 570, Λίνον ex St. B., ex eodem Cπάδα, cui diserte οὐδετέρωc appositum est, porro Πέφνον — Νίψα, de quo p. 572, 8 ἐν τῷ περὶ Νίψων; φῦλον explevi ex St. B., κῦλον adieci ex Theogn. 130, 26, ubi diserte: διὰ ῡ μακροῦ, quocum congruit cognatio cum κοῖλον, quamquam E. M. 544, 44 κυλάδεc cυνεcταλμένου τοῦ ῡ dicit. Ζῆλα et Cοῦcα sunt ex St. B., de posteriore Ep. Cr. I 278, 23 διcύλλαβον οὐκ ἔχομεν ὅμοιον τῷ μοῦcα ὑπάρχον. τὸ γὰρ λεγόμενον Cοῦcα οὐδέτερον πληθυντικὸν ἐπὶ πόλεωc τεταγμένον. l. 26 ὀξύτονα inserui ex Ep. Cr. I 250, 14 ὁ τοιοῦτοc μεταπλαcμὸc τὸν αὐτὸν τόνον φυλάττει, θύρcουc θύρcα, λύχνουc λύχνα, ἐρετμούc ἐρετμά, unde addidi ἐρετμόc ἐρετμόν et τὰ δὲ βαρύτονα βαρύνεται cum exemplis θύρcα λύχνα, quibus κέλευθοc — ἄρκευθον apposui ex Ep.

κέλευθον, βάρβιτος βάρβιτον, Τάρταρος Τάρταρον, ἄρκευθος ἄρκευθον.

* Τὰ εἰς βον οὐδέτερα πληθυντικὰ κύρια ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Κάνδυβα πόλις Λυκίας ἀπὸ Κανδύβου παιδὸς Λευκαλίωνος. Μαρίαβα μητρόπολις Σαβαίων πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Στράβων ἑκκαιδεκάτῃ (p. 768). Μέσσαβα πόλις Καρῶν. Ἑκαταῖος Ἀσίᾳ. Μήδαβα πόλις τῶν Ναβαταίων. Τένδηβα πόλις Καρίας ἀρχαία. Ῥαβάθμωβα πόλις τρίτης Παλαιστίνης ἡ νῦν Ἀρεόπολις. Χαράκμωβα πόλις τῆς νῦν τρίτης Παλαιστίνης, ἣν ἀναγράφει Πτολεμαῖος γεωγραφικοῖς ἐν ε′ βιβλίῳ ἐν Ἀραβικαῖς τῆς εὐδαίμονος. Μώαβα μοῖρα τῆς Ἀραβίας. Ἀνάζαρβα πόλις Κιλικίας. κέκληται ἀπὸ τοῦ προκειμένου ὄρους ἢ ἀπὸ Ἀναζάρβα τοῦ κτίσαντος.

* Τὰ εἰς γον καὶ δον οὐδέτερα κύρια ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Βήσσυγα ἐμπόριον τῆς Ἰνδικῆς. Ἔγγαδα κώμη μεγάλη πλησίον Σοδόμων Ἀραβίας. Μασανώραδα πόλις Καρίας ἀπὸ Μασανωράδου τοῦ Κινδαψοῦ παιδός. Σύνναδα πόλις Φρυγίας. λέγουσι δὲ Ἀκάμαντα μετὰ τὰ Τρωϊκὰ ἀποπλανηθέντα ἐλθεῖν εἰς Φρυγίαν καὶ καταλαβεῖν πολιορκούμενον τὸν τῶν τόπων δυνάστην καὶ βοηθήσαντα αὐτῷ λαβεῖν χώραν καὶ κτίσαι πόλιν· συναθροίσαντα δὲ πολλοὺς οἰκήτορας τῶν ἀπὸ τῆς Ἑλλάδος Μακεδόνων κατὰ τὴν Ἀσίαν τὸ μὲν πρῶτον αὐτὴν ἀπὸ τῆς συναγωγῆς καὶ συνοικήσεως Σύνναια προσαγορεῦσαι, μετὰ δὲ ταῦτα παρεφθαρμένως ὑπὸ τῶν πλησιοχώρων Σύνναδα κληθῆναι. Ψίμαδα χωρίον Ἰσαυρίας. Ἄμβλαδα πόλις Πισιδίας. Στράβων δωδεκάτῃ (p. 517) «εἰσὶ δὲ τοῖς Φρυξὶν ὅμοροι καὶ τῇ Καρίᾳ Τάβαι καὶ Ἴσινδα καὶ Ἄμβλαδα». Γάλαδα χώρα Ἀραβίας. Σέβεδα λιμὴν Λυκίας, ὡς Ἀλέξανδρος ἐν περίπλῳ. Ζάβιδα κώμη τῆς εὐδαίμονος Ἀραβίας. Ὄβοδα χωρίον Ναβαταίων. Ἀττάλυδα πόλις Λυδίας, κτισθεῖσα ὑπὸ Ἄττυος καὶ μετὰ θάνατον αὐτοῦ ὑπὸ Λυδοῦ τοῦ παιδὸς αὐτοῦ. Ἄβυδον πόλις κατὰ τὴν Ἰαπυγίαν ἢ Ἰταλίαν. Φιλέας «ἔστι δὲ καὶ Ἰαπυγίας πολισμάτιον ἐν Πευκετίοις οὕτως κατ᾽ ὀρθὴν λεγόμενον Ἄβυδον». Αὔσιγδα πόλις Λιβύης, ὡς Καλλίμαχος, Ἑκαταῖος δὲ νῆσον οἶδε. Ἀλάβανδα πόλις Καρίας, ἥ ποτε Ἀντιόχεια. ἐκλήθη δὲ ἀπὸ Ἀλαβάνδου, τοῦ εὐΐππου, ὡς Χάραξ. ἔστι καὶ ἑτέρα πόλις Καρίας, ἀφ᾽ ἧς ἡ παροιμία «Ἀλάβανδα Καρῶν εὐτυχεστάτη πόλις». κτίσμα δὲ Καρὸς ἦν, ἀπὸ τοῦ παιδὸς αὐτοῦ κληθεῖσα τοῦ γεννηθέντος ἀπὸ Καλλιρρόης τῆς Μαιάνδρου,

---

Cr. I 222, 20 cf. p. 272, 1. De παρειά παρειόν iam supra dictum est. l. 3 canonem finxi ex nominibus a St. B. relatis, vocabulo Κάνδυβα diserte additum est οὐδετέρως, sed reliqua etiam, quum genus neutrum orientalibus nominibus urbium et terrarum maxime conveniat, huc trahere non dubitavi. l. 13 etiam hic canon ex St. Byzantii vocabulis a me fictus est; de Βήσυγγα et Αὔσιγδα diserte οὐδετέρως pronunciatur. Ἡμωδόν ex Eust. ad Dionys. 747 apposui, quum ex St. B. sumpsisse credendus sit. — Μαλλάδα πόλις Περσική omisi, quia paroxytonos scriptum est, quamquam Μάλλαδα scribendum esse et pro neutro habendum nomina in αδα a me proposita persuadent.

μετὰ νίκην ἱππομαχικήν, καὶ κληθέντος Ἀλαβάνδου, ὅ ἐστι κατὰ τὴν Καρῶν φωνὴν ἱππόνικος. ἄλα γὰρ τὸν ἵππον, βάνδα δὲ τὴν νίκην καλοῦσιν. Θρύανδα πόλις Λυκίας. Καρύανδα πόλις καὶ λιμὴν ὁμώνυμος πλησίον Μύνδου καὶ Κῶ. Ἑκαταῖος Καρύανδαν αὐτήν φησι. Λάβρανδα κώμη Καρίας. Στράβων ιδ' (p. 659). Λάρανδα πόλις Λυκαονίας. Οἰνόανδα πόλις Λυκίας. Ἀλέξανδρος ἐν πρώτῳ Λυκιακῶν. Πάσσανδα χωρίον παρὰ Ἀδραμύττιον πόλιν καὶ Κισθήνην. Λαλίσανδα πόλις Ἰσαυρική. Ἄλινδα πόλις Καρίας, ὡς Πολυίστωρ, Πίγινδα δῆμος Καρίας. Κάλυνδα πόλις Καρίας. Νάαρδα πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ, ὡς Ἀρριανὸς Παρθικῶν ἑνδεκάτῳ. Κύαρδα πόλις Καρίας ἀπὸ Κυάρδου βασιλέως Καρῶν, υἱοῦ Βαργάσου. τὸ δὲ Ἡμωδόν ὄρος Ἰνδικὸν ὀξύνεται, τινὲς δὲ προπαροξυτόνως Ἥμωδον λέγουσιν.

* Τὰ εἰς θον οὐδέτερα κύρια βαρύνεται, Τρικόρυνθον οὐδετέρως Δίδυμος καὶ Διόδωρος, Διονύσιος ἀρσενικῶς, Εὐφορίων θηλυκῶς. ἔστι δὲ δῆμος τῆς Αἰαντίδος φυλῆς. Δούμαθα πόλις Ἀραβίας. Κάναθα πόλις πρὸς τῇ Βόστρᾳ Ἀραβίας. Ὄραθα πόλις τῆς ἐν Τίγρητι Μεσήνης. Ἀρριανὸς Παρθικῶν ἑκκαιδεκάτῳ. Σίγαθα πόλις Λιβύης, ὡς Στράβων ἑπτακαιδεκάτῃ (p. 829). Ἄμαθα τῆς Ἀραβίας χωρίον. κέκληται δὲ ἀπὸ τῆς ἄμμου. φασὶ γὰρ τὸ πολὺ τῆς Ἀραβίας ὑπὸ τῆς Ἐρυθρᾶς πάλαι κατακλύζεσθαι.

* Τὰ εἰς κον κύρια βαρύνεται, Μάζακα πόλις Καππαδοκίας ἡ νῦν Καισάρεια, Μάσσακα πόλις Ἰνδῶν, Ἀρριανὸς ἐν Ἰνδικοῖς. Παραίτακα πόλις Μηδικὴ ἡ καὶ θηλυκῶς Παραιτάκη. Σάρακα χώρα Ἀραβίας μετὰ τοὺς Ναβαταίους.

* Τὰ δὲ κτητικὰ ὀξύνεται ὡς καὶ τὰ ἀρσενικά, Ἑλληνικόν καὶ Καρικόν τόποι ἐν Μέμφιδι, Κυνητικόν Ἰβηρίας τόπος πλησίον ὠκεανοῦ. Ἡρόδωρος δεκάτῳ τῶν καθ' Ἡρακλέα. Μεγαρικόν πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς πέμπτῳ «Ἀστακός καὶ Ἡραία καὶ τὸ Μεγαρικόν». Μολυκρικόν· οὕτως ἐκαλεῖτο Ῥίον πόλις Αἰτωλίας. Σαμικόν Τριφυλιακὴ πόλις. Σιτικόν πόλις Ἰταλίας. Ἁλικόν χωρίον πρὸς τῇ Αὐγούστᾳ καὶ ὄρος ὁμώνυμον. Ἀμαζονικόν τόπος ἐν Βοιωτίᾳ. Ἰταλικόν χωρίον Σικελίας. Χαλκιδικόν ὄρος Σικελίας, ὡς Πολύβιος πρώτῳ (c. 11, 8) «ἐκ τῶν Συρακουσῶν ἐποιεῖτο τὴν πορείαν καὶ καταστρατοπεδεύσας ἐκ θατέρου μέρους περὶ τὸ Χαλκιδικὸν ὄρος καλούμενον».

* Τὰ εἰς λον οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, γύαλον

l. 13 canonem composui ex St. B., apud quem de Ἄμαθα diserte οὐδετέρως dicitur. Fortasse hic commemoratum fuit velut exemptum oxytonon Θεβηθά φρούριον Μεσοποταμίας. Ἀρριανὸς ἑνδεκάτῃ, nam gentile Θεβηθηνός confert St. B. cum Ἀμαθηνός ab Ἄμαθα propagato. l. 21 ex St. B. finxi, a quo Μάζακα comparatur cum Τύανα et vicissim Μάσσακα cum Μάζακα, Παραίτακα autem cum Γέρασα Ζόαρα; hinc etiam Σάρακα inter neutra retuli, quamquam in Passov. lex. Σάρακα ἡ exhibetur. l. 25 hunc canonem ex St. B. composui. l. 36 γύαλον recepi ex Il. Pr. Ε 99 coll. Eustath. ad h. l., Lehrsius per lusum sic

τὸ προσηγορικόν, ὅταν δὲ ἐπίθετον ᾖ, ὀξύνεται «εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσασθαι». Μαίναλον τὸ ὄρος. Λάβδαλον ἄκρον τῶν Ἐπιπολῶν, Συρακουσῶν πλησίον. Θουκυδίδης ἕκτῃ (c. 97). Αἴκαλον φρούριον τῆς Ἰταλίας. Διονύσιος ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Γάμαλα κατοικία Συρίας. Γάβαλα πόλις Φοινίκης, ἣν θηλυκῶς Ἑκαταῖός φησιν, ὁ δὲ Στράβων (16 p. 753) Συρίας, πλησίον Λαοδικείας. ἔστι καὶ χώρα Ἀραβίας καὶ λέγεται ἡ πρώτη συλλαβὴ διὰ τοῦ ε̄ Γέβαλα. Ἰώσηπος (A. I. 2, 1). Δαίδαλα πόλις τῆς Ῥοδίας ἢ χωρίον. Στράβων ιδ' (p. 651. 664). ἔστι καὶ ὄρος Λυκίας τὰ Δαίδαλα. ἡ δὲ πόλις ἀπὸ Δαιδάλου τοῦ Ἰκάρου ἡ ἐν Λυκίᾳ. διά τινος γὰρ ἕλους ἐπορεύετο τοῦ Νίνου ποταμοῦ, καὶ ὑπὸ χερσύδρου δηχθέντα τελευτῆσαι καὶ ἐκεῖ ταφῆναι καὶ κτισθῆναι πόλιν φησὶν Ἀλέξανδρος ἐν Λυκιακοῖς. ἔστι καὶ Ἰνδικῆς. καὶ Κρήτης ἄλλη. Πάσσαλα Μυλασέων ἐπίνειον. Πάταλα πόλις Ἰνδική. λέγεται καὶ Πατάλη. Σάταλα πόλις Ἀρμενίας, ὡς Ἀλέξανδρος ἐν Ἀσίᾳ. Καστάβαλα Κιλικίας πόλις. Στράβων ιβ' (p. 535). Κορύδαλλα πόλις Ῥοδίων. Ἑκαταῖος Ἀσίᾳ. Σώβαλα πόλις Καρίας. Τρίκαλον καὶ Τρίκαλα πόλις Σικελῶν. Φίλιστος. Τραύαλα πόλις Λυκίας. Θεάγγελα πόλις Καρίας. Κύβελα πόλις Φρυγίας καὶ ὄρος ἱερόν, ἀφ' οὗ Κυβέλη ἡ Ῥέα λέγεται καὶ Κυβεληγενής καὶ Κυβελίς. Πείσανδρος δεκάτῳ. Κύψελα φρούριον τετειχισμένον ἐν Ἀρκαδίᾳ ὑπὸ Μαντινέων. Θουκυδίδης πέμπτῃ (c. 33). ἔστι καὶ Κύψελα πόλις Θρᾴκης πλησίον τοῦ Ἕβρου ποταμοῦ. Πύγελα πόλις Ἰωνίας. Σουάγγελα πόλις Καρίας, ἔνθα ὁ τάφος τοῦ Καρός, ὡς δηλοῖ καὶ τοὔνομα. καλοῦσι γὰρ οἱ Κᾶρες σοῦαν τὴν τάφον, γέλαν δὲ τὸν βασιλέα. Ἄρβηλα πόλις Περσικὴ ἀπὸ Ἀρβήλου τοῦ Ἀθμονέως. Στράβων ἑκκαιδεκάτῃ (p. 737). Ἀρίνδηλα πόλις τρίτης Παλαιστίνης. Γλαῦκος δὲ κώμην αὐτὴν καλεῖ. Γαυγάμηλα τόπος Περσίδος. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ. Ἰσμάηλα τῆς Ἀραβίας χωρίον. Ὕδρηλα πόλις Καρίας. Ἐρατοσθένης τριακοστῷ τρίτῳ Γαλατικῶν. Ἄβιλα πόλις Φοινίκης. Αἴγιλα νῆσος μεταξὺ Κρήτης καὶ Πελοποννήσου. Ἄργιλα πόλις Καρίας. Αὔγιλα πόλις Λιβύης. Ἀπολλόδωρος β' περὶ γῆς. Ζήϊλα πόλις Καππαδοκίας, ἣν ἔκτισεν ὁ Νικομήδους υἱὸς Ζηΐλας. Δρόγγιλον χωρίον Θρᾴκης. Θεόπομπος Φιλιππικῶν θ'. Τάξιλα πόλις Ἰνδική. Στράβων ιε' (p. 691. 698). Μόσυλον ἀκρωτήριον καὶ ἐμπόριον Αἰθιοπίας. Βαίκυλα πόλις Ἰβηρίας πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἴωλον ὄρος Περραιβίας. Ὄκωλον χωρίον Ἐρετριέων. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ τετάρτῳ. Στρόγγωλα πόλις Λυδίας. Ξάνθος ἐν Λυδιακῶν δευτέρῳ.

* Τὰ εἰς μ̄ο̄ν̄ κύρια ὑπερδισύλλαβα προπαροξύνεται, Σήσαμον

---

emendare conatur: αὐτὰρ ὁ παῖς ἀφέμεν γυαλὸν λίθον ἄγχι λιασθείς; reliqua omnia sunt ex St. B. — omisi Αὐτομάλακα χωρίον Λιβύης. ὁ πολυίστωρ ἐν τρίτῃ. Ἀπολλόδωρος δὲ Αὐτόμαλα φησί, quum Meinekius collato Ptolem. IV 4, 3 μετὰ τὴν Φιλαίνου κώμην Αὐτομάλαξ φρούριον. Αὐτομάλαξ veram formam esse probet.
l. 38 canon ex nominibus a St. B. relatis est compositus.

πόλις Παφλαγονίας, ἐν ᾗ ᾤκησεν ὁ παλαιὸς Φινεύς. Δίδυμος δὲ νῆσον αὐτήν φησιν. Κάδρεμα πόλις Λυκίας, ἄποικος Ὀλβίων. ἑρμηνεύεται δὲ σίτου φρυγμὸς ἡ πόλις. Βήθλεμα πόλις Παλαιστίνης πρὸς τοῖς Ἱεροσολύμοις. Ἰώσηπος δέ φησιν «ἐκ Βηθλεεμῶν» (A. I. 5, 11). Ἄριμα ὄρος. Ὅμηρος «εἰν Ἀρίμοις ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς» (Β 783). οἱ μὲν ἐν Κιλικίᾳ, οἱ δὲ ἐν Συρίᾳ, οἱ δὲ ἐν Πιθηκούσαις παρὰ Τυρρηνοῖς φασι γενέσθαι τὸν μῦθον. Σίκιμα πόλις Ἀραβίας, ἣ καὶ Σίκιμος. Ἔριμον πόλις Οἰνωτρῶν ἐν μεσογείῳ, ὡς Ἑκαταῖος. Ὑλλάριμα πολίχνιον Καρίας ὕπερθε Στρατονικείας. Γόραμα χώρα τῶν Σκηνιτῶν Ἀράβων. Σόδομα μητρόπολις ἦν τῶν δέκα πόλεων τῶν ἐπὶ τῇ Ἀσφαλτίτιδι λίμνῃ καταστραφεισῶν. Σίδυμα πόλις Λυκίας, ἧς Ἀλέξανδρος μέμνηται ἐν πρώτῳ Λυκιακῶν. ἐκλήθη δὲ ἀπὸ Σιδύμου. Λώρυμα πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ λιμὴν Ῥόδου, ὃς Λώρυμα λέγεται. Ἱεροσόλυμα ἡ μητρόπολις τῆς Ἰουδαίας, ἣ Σόλυμα ἐκαλεῖτο ἀπὸ τῶν Σολύμων ὀρῶν. Δίδυμα τόπος καὶ μαντεῖον Μιλήτου ἀφιερώμενον Διΐ καὶ Ἀπόλλωνι. εἰσὶ καὶ Κρήτης ποταμοί. εἰσὶ καὶ τῆς Θετταλίας. εἰσὶ καὶ δύο νησίδια πρὸς τῇ Σύρῳ, ὡς Ἀρτεμίδωρος. εἰσὶ καὶ ὄρη Λαοδικείας ἐγγύς. Δίνδυμα ὄρη τῆς Τρῳάδος, ἀφ' ὧν Δινδυμήνη ἡ Ῥέα. Ἴδυμα πόλις Καρίας. λέγεται καὶ Ἰδύμη. Βούνειμα πόλις Ἠπείρου, κτίσμα Ὀδυσσέως, ἣν ἔκτισε πλησίον Τραμπύας, λαβὼν χρησμὸν ἐλθεῖν πρὸς ἄνδρας «οἳ οὐκ ἴσασι θάλασσαν». βοῦν οὖν θύσας ἔκτισε.

* Τὰ εἰς νον ὑπερδισύλλαβα κύρια προπαροξύνεται, Ἀβάκαινον πόλις Σικελική. ἡ παραλήγουσα διὰ διφθόγγου. Τρικάρανον φρούριον τῆς Φλιασίας. Θεόπομπος πεντηκοστῷ πέμπτῳ. Λίβανα πόλις Συρίας ταῖς Ἄτραις γειτνιάζουσα. Ἀρριανὸς Παρθικῶν ἐνάτῳ. Κοσίανα φρούριον Παλαιστίνης ἐν τῇ παραλίᾳ τῆς Συρίας. Χάραξ δεκάτῳ. Ἵπανα πόλις περὶ Καρχηδόνα, ὡς Πολύβιος πρώτῃ. Ἀγβάτανα πολίχνιον Συρίας. Ἡρόδοτος τρίτῳ (c. 62 et 64). Δημήτριος δέ φησιν Ἀγβάτανα διττά, τὰ μὲν τῆς Μηδίας, τὰ δὲ τῆς Συρίας. Κτησίας δὲ πανταχοῦ τῶν Περσικῶν τὰ παρὰ Μήδοις Ἀγβάτανα διὰ τοῦ ᾱ γράφει. παρὰ δὲ τοῖς ἀρχαίοις διὰ τοῦ ε̄ τὸ Περσικόν. παρὰ δὲ Χάρακι καὶ αὔτη διὰ τοῦ ε̄, ἣν καὶ Ἐπιφάνειάν φασι κεκλῆσθαι. ἡ δὲ διὰ τοῦ κ̄ γραφὴ κρείττων ἐστί, παραιτοῦμαι δὲ τὴν διὰ τοῦ γ̄, διότι μήτι παρακινδυνεύει τὸ β ὑποτετάχθαι τῷ γ̄, ὡς ὑποτέτακται ἐν τῷ λάγβατα ὅρκια.

---

l. 23 etiam hic canon ex St. B. fictus est, qui s. Ἀβάκαινον testatur hoc vocabulum in hoc libro Catholicae commemoratum fuisse: Ἀβάκαινον πόλις Σικελίας, οὐδετέρως καὶ προπαροξυτόνως καὶ ἡ παραλήγουσα διὰ διφθόγγου, ὡς Ἡρωδιανὸς ἐν τρισκαιδεκάτῳ περὶ οὐδετέρων. λέγει δ' εἶναι πόλιν Καρικήν, ἣν εὑρεῖν οὐκ ἠδυνήθημεν. Σικελῶν δὲ μοῖρά τίς ἐστιν, ad q. l. Meinek. adnotat: videtur aut Stephanus aut Herodianus vitioso codice usus esse, in quo Καρική pro Σικελική scriptum fuit. Equidem posui Σικελική vitium non ab Herodiano, sed a librario eius profectum esse existimans. Etiam reliqua omnia nomina ex St. B. transscripta sunt. De scriptura voc. Ἀγβάτανα diserte laudatur Ἡρωδιανὸς ἐν τῷ περὶ συντάξεως στοιχείων.

Δρέπανα πόλις Σικελίας. ἔστι καὶ Δρέπανον πόλις Λιβύης. εἰσὶ καὶ νησία δύο παρὰ Λέβινθον. Ἔδδανα πόλις πρὸς τῷ Εὐφράτῃ, κατοικία Φοινίκων, ἀπὸ Ἐδδανοῦ ἡγεμόνος. Ἄδανα Κίλισσα πόλις. ταύτην ᾤκισεν Ἄδανος καὶ Σάρος, Ταρσεῦσι πολεμήσαντες καὶ ἡττηθέντες, ἀφ' ὧν ἡ πόλις ἀπὸ τοῦ ἡγεμόνος Ἄδανα. Ὄμανα πόλις τῆς εὐδαίμονος Ἀραβίας. Γλαῦκος δευτέρῳ Ἀραβικῆς ἀρχαιολογίας. Πρώανα πόλις Θεσσαλική. Ταξίανα νῆσος περὶ τὸν Πηλώδη κόλπον τῆς Σουσιανῆς. Τίτανα χωρίον τῆς Σικυωνίας. λέγεται καὶ ἑνικῶς «Τιτάνοιό τε λευκὰ κάρηνα» (Β 735). Τύανα πόλις μέση Κιλικίας καὶ Καππαδοκίας «ὑποπεπτωκυῖα τῷ Ταύρῳ τῷ κατὰ τὰς Κιλικίας πύλας». ἐκαλεῖτο δὲ Θόανα καὶ κατὰ παραγραμματισμὸν Τύανα, ὡς Ἀρριανός. ἔστι καὶ Τύανα πόλις Αἰγύπτου. Ὕπανα πόλις τῆς Τριφυλίας, ὡς Πολύβιος τετάρτῳ. Ὕσκανα πόλις Ἰλλυρίδος. Πολύβιος η'. Σίμανα πόλις Βιθυνίας μεταξὺ δύο ποταμῶν. Ἀΐλανον πόλις Ἀραβίας. λέγεται καὶ πληθυντικῶς Ἀΐλανα. Ἄμανον ὄρος πρὸς τῇ Κιλικίᾳ ἀπὸ τοῦ Ταύρου καθῆκον. ἱστοροῦσι δὲ τὸν Ὀρέστην ἀπὸ Ταύρων σὺν Ἰφιγενείᾳ τὴν Ἄρτεμιν κομίσαντα ἐν τούτῳ τῷ ὄρει τῆς μανίας λύσιν εὑρεῖν. ἔστι καὶ Ἄμμανα πόλις Συρίας ἡ ὕστερον Φιλαδέλφεια. Βαγίστανα πόλις τῆς Μηδίας καὶ ὄρος Βαγίστανον. Κάρβανα πόλις Λυκίας. Ῥαββατάμανα πόλις τῆς ὀρεινῆς Ἀραβίας. Σίμηνα πόλις Λυκίας, Τύμηνα κώμη Λυκίας. ἐκλήθη δὲ ἀπό τινος τράγου οὕτως ὀνομαζομένου, ὃς ἀπαλλασσόμενος ἀπὸ τοῦ αἰπολίου ἤρχετο τὸν πώγωνα βεβρεγμένος, ᾧ κατακολουθήσαντες εὗρον πηγὴν ἔν τινι λόχμῃ. καὶ ταύτην καὶ τὸ χωρίον οὕτω καλέσαι. Ἀρίμινον πόλις Ἰταλίας. ἔστι καὶ ποταμός. Βέμβινον πόλις τῆς Νεμέας, ὡς Ἑλλάνικος, ἄλλοι δὲ Βέμβιναν καὶ κώμην φασίν. Ἀβρότονον Λύκος ὁ Ῥηγῖνος χωρίον οἴεται εἶναι, Στράβων δὲ ἐν ἑπτακαιδεκάτῳ βιβλίῳ (p. 835) πόλιν φησὶ καὶ ἄλλοι. πόλις δὲ Λιβυφοινίκων. Ἅθμονον δῆμος τῆς Κεκροπίδος φυλῆς. τὸ μέντοι Ἀθμονῆζε καὶ Ἀθμονῆσι δοκεῖ ἀπὸ τῆς ἡ Ἀθμονή εἶναι. Δράκονον ὄρος νήσου τῆς Ἰκαρίας λεγομένης καὶ πόλις. Στράβων ιδ' (p. 639). Πρόαρνα πόλις Μηλιέων. τὸ δὲ Καικῖνον χωρίον Ἰταλικόν. Φίλιστος δευτέρῳ Σικελικῶν — προπερισπᾶται, ὀξύνεται δὲ τὸ Ἀδρανόν πόλις Σικελίας ἐν τῇ Αἴτνῃ ποταμὸν ὁμώνυμον ἔχουσα. λέγεται καὶ ἀρσενικῶς. καὶ Βοιανόν πόλις Σαυνιτῶν καὶ Τεανόν πόλις Ἰταλίας, ὡς Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. καὶ Τυκλανόν πόλις Ἰταλίας, ἣ καὶ Τύσκλος λέγεται, καὶ Φρεντανόν πόλις Ἰταλίας καὶ Ποιμανηνόν πόλις ἤτοι φρούριον ἢ χωρίον Κυζίκου καὶ Ἀργεννόν ἀκρωτήριον καὶ Ἐρυμνά· οὕτω γὰρ ἐκαλεῖτο Τράλλις πόλις Λυδίας.

* Τὰ εἰς πον οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, πρόσωπον καὶ Πρόσωπον νῆσος οὐ πόρρω Καρχηδόνος. Πράασπα πόλις τῆς Ἀτροπατηνῆς. Ὕπαιπα πόλις Λυδίας κτισθεῖσα ὑπὸ τὸ παρακείμενον

l. 39 etiam hic canon ex St. B. compositus est.

ὄρος τὸ Αἶπος. Χρύσιππα πόλις Κιλικίας ἀπὸ Χρυσίππου τοῦ κτίσαντος. Ἀργύριππα πόλις τῆς Δαυνίας κατὰ τὸν Ἰόνιον κόλπον. Λυκόφρων «ὁ δ' Ἀργύριππα Δαυνίων παγκληρίαν» (592). αὕτη Ἄρποι ἐκαλεῖτο. Διομήδης μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου ἐτείχισε καὶ μετωνόμασε Ἄργος Ἵππιον. Βόρσιππα πόλις Χαλδαίων, ἱερὰ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, λινουργεῖον μέγα. λέγεται καὶ θηλυκῶς. Ἰάθριππα πόλις Ἀραβίας πλησίον τῆς Ἔγρας.

Τὰ εἰς $\overline{\rho o \nu}$ δισύλλαβα προσηγορικὰ παραληγόμενα τῷ $\bar{\upsilon}$ καὶ μὴ ἀρχόμενα ἀπὸ ἀμεταβόλου ὀξύνεται, σφυρόν, πυρόν, ξυρόν. τὸ μέντοι μύρον βαρύνεται ἀπὸ ἀμεταβόλου ἀρχόμενον. τὸ δὲ Ψύρον. Στράβων ἐν τῷ ιδ' (p. 645) «τὰ Ψύρα ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας». λαμβάνεται δὲ ὄνομα ἐπὶ εὐτελείᾳ διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος «Ψύρα τὸν Διόνυσον ἄγοντες» καὶ ἐν Νεμέσει «Ψύρα τε τὴν Σπάρτην ἄγεις» καὶ Στύρον πλησίον Καρύστου, τῆς Εὐβοίας πόλις καὶ Μύρον πόλις Λυκίας, ἣ καὶ θηλυκῶς Μύρα λέγεται, κύρια ὄντα ὑγιῶς βαρύνεται.

Τὰ εἰς $\overline{\rho o \nu}$ λήγοντα καθαρὸν δισύλλαβα ἔχοντα πρὸ τέλους φύσει μακρὰν βαρύνεσθαι θέλει, εἰ μὴ κατὰ μεταπλασμὸν μεταβολὴν ποιήσεται γένους, δῶρον· ἔστι καὶ Δῶρα πόλις Φοινίκης, πρότερον Δῶρος καλουμένη. Ἑκαταῖος Ἀσίᾳ «μετὰ δὲ ἡ πάλαι Δῶρος, νῦν δὲ Δῶρα καλεῖται». καὶ οὕτως Ἰώσηπος αὐτὴν καλεῖ ἐν ε' τῆς Ἰουδαϊκῆς ἱστορίας (c. 1, 22) «ἀπὸ μὲν Ἰορδάνου μέχρι Δώρων πόλεως» καὶ πάλιν (c. 22) «Ἀζώτῳ καὶ Δώροις ὁριζόμενοι». καὶ Ἀρτεμίδωρος Δῶρα τὴν πόλιν οἶδεν ἐν ἐπιτομῇ τῶν ια' «συνεχῶς δ' ἐστὶ Στράτωνος πύργος, εἶτα ἔνι Δῶρα ἐπὶ χερσονησοειδοῦς τόπου κείμενον πολισμάτιον, ἀρχομένου τοῦ ὄρους τοῦ Καρμήλου» καὶ ἐν θ' γεωγραφουμένων τὸ αὐτό. ἔστι καὶ Δῶρα νῆσος ἐν τῷ Περσικῷ κόλπῳ, καθὰ Στράβων ις' (p. 767) «τὸν δὲ Μαζήνην ἐπάρχειν νήσου τινὸς τῶν ἐν τῷ Περσικῷ κόλπῳ, καλεῖσθαι δὲ τὴν νῆσον Δῶρα». Κῶρον πόλις τῆς Καππαδοκίας. μῶρον ὁ καρπὸς τῆς βάτου. Δοῦρα πόλις Μεσοποταμίας, ὡς Πολύβιος πέμπτῃ.

l. 8 canonem Arcadii explevi ex Mon. 38, 31 propria addens, quae ex St. B. explevi. l. 17 pro Arcadii canone: τὰ εἰς $\overline{\rho o \nu}$ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται, δῶρον, σπεῖρον τὸ ἱμάτιον, νεῦρον, φῆρον βρῶμα θεῶν, μηρόν καὶ μηρίον. σεσημείωται τὸ πλευρόν posui praeceptum St. B. s. Σκίρος cum emendatione Meinekii pro κατὰ πλεονασμὸν ἀποβολὴν scribentis κατὰ μεταπλασμὸν μεταβολήν, quae verba refert ad σεσημειωμένον πλευρόν.— Δῶρα addidi ex St. B. s. Δῶρα et Δώριον, ex testimoniis omisi Claudii Iulii utpote scriptoris incertae aetatis: καὶ Κλαύδιος Ἰούλιος ἐν γ' Φοινικικῶν «μετὰ Καισάρειαν Δῶρα κεῖται βραχεῖα πολίχνη, Φοινίκων αὐτὴν οἰκούντων, οἳ διὰ τὸ ὑπόπετρον τῶν τε αἰγιαλῶν καὶ τὸ πορφύρας γόνιμον συνελθόντες καλιὰς αὑτοῖς ᾠκοδομήσαντο καὶ περιβαλόμενοι χάρακας, ὡς ὑπήκουεν αὐτοῖς τὰ τῆς ἐργασίας, τεμνόμενοι τὰς πέτρας διὰ τῶν ἐξαιρουμένων λίθων τὰ τείχη κατεβάλοντο καὶ τὴν εὔορμον χηλὴν ὅπως οἷόν τε ἀσφαλῶς ἔθεντο, ἐπώνυμον αὐτὴν τῇ πατρίῳ γλώσσῃ Δὼρ καλοῦντες. οἱ δὲ Ἕλληνες χάριν τοῦ τῆς φωνῆς εὐπροφόρου καλεῖν ἀρκοῦνται Δῶρα τὴν πόλιν. καί τινες ἱστοροῦσι Δῶρον τὸν Ποσειδῶνος οἰκιστὴν αὐτῆς γεγονέναι.» l. 29 Κῶρον et μῶρον accesserunt ex Theogn. 131, 19, Δοῦρα ex St. B.

σπεῖρον τὸ ἱμάτιον, σκῖρον. ἔστι καὶ Σκίρον τόπος Ἀττικὸς ἀπὸ Σκίρου ἥρωος. Σκίρα δὲ ἡ ἑορτὴ καλεῖται κατά τινας μὲν ὅτι ἐπὶ Σκίρῳ Ἀθηνᾷ θύεται, κατ' ἄλλους δὲ ἀπὸ τῶν γινομένων ἱερῶν Δήμητρι καὶ Κόρῃ ἐν τῇ ἑορτῇ ταύτῃ ἐπὶ Σκίρῳ. λέγεται καὶ ὁ Σκῖρος καὶ τὸ Σκίριον, νεῦρον, φῆρον βρῶμα θεῶν, μῆρον «μῆρα δὲ κείαντες» (Od. ν 26). γέγονε δὲ ἐκ συγκοπῆς τοῦ μηρίον. ἐπεί τοι εὐθύνεται ὁ τόνος. τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς οὐδέτερον γένος τὸ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει· ὁ ζυγός τὸ ζυγόν — τὰ ζυγά, δίφρος δίφρον, δίφρα. ὅθεν εἰ καὶ μηρός, καὶ μηρόν καὶ μηρά. εἰ δὲ δοίημεν, ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τὸ περὶ τοῦ σημαινομένου καὶ τοῦ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει. τὸ δὲ πλευρόν ἀπὸ τοῦ πλευρά μεταπλασσόμενον τὸν αὐτὸν τόνον φυλάσσει ὡς καὶ πυρά ἀπὸ τοῦ πυραί. τὸ δὲ νεῦρα διάφορον τοῦ νευραί ἔχει σημαινόμενον.

Τὰ εἰς ρον ὑπερδισύλλαβα παραληγόμενα τῷ ᾱ ἢ τῷ ε̄ βαρύνεται, μέγαρον· ἔστι καὶ Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, μέση Πελοποννήσου καὶ Ἀττικῆς καὶ Βοιωτίας, ἧς ἐπίνειον ἡ Νίσαια. ἐκλήθη δὲ ἀπὸ Μεγαρέως τοῦ Ἀπόλλωνος ἢ τοῦ Αἰγέως τοῦ Πανδίονος τοῦ Ἐρεχθέως τοῦ Ἡφαίστου ἢ διὰ τὸ τραχὺ τῆς χώρας. ἔστι καὶ Μέγαρα ἐν Θετταλίᾳ. τρίτη ἐν Πόντῳ. τετάρτη ἐν Ἰλλυρίδι, πέμπτη ἐν Μολοσσίδι, ἕκτη ἐν Σικελίᾳ ἡ πρότερον Ὕβλη ἀπὸ Ὕβλωνος βασιλέως. βλέφαρον, γάργαρον· ἔστι καὶ Γάργαρα πόλις τῆς Τρῳάδος ἐπὶ τῇ ἄκρᾳ τῆς Ἴδης, Παλαιγάργαρος καλουμένη, ἣν Αἰολικὴν ὀνομάζει Στράβων (13 p. 583. 610) καὶ Ἑκαταῖος. Ἀλκμὰν δὲ θηλυκῶς τὴν Γάργαρόν φησιν. ἐν ᾗ κατῴκουν οἱ Λέλεγες. ὠνομάσθη δ' ἀπὸ Γαργάρου τοῦ Διὸς καὶ Λαρίσσης τῆς ἐν Θεσσαλίᾳ. καὶ Γάργαρα ἄκρα. Ἐπαφρόδιτος δέ φησιν, ὅτι ἡ μὲν πόλις θηλυκῶς λέγεται, τὸ δὲ ἀκρωτήριον οὐδετέρως. Ἑλλάνικος δὲ Γάργασον ἔφη τὴν πόλιν διὰ τοῦ σ̄, ἀλλ' οἴομαι σφάλμα εἶναι. ἔστι καὶ Λαμψάκου πολισμάτιον Γάργαρον. ἔστι καὶ ἑτέρα τῆς Ἰταλίας καὶ τῆς Ἠπείρου ἄλλη. Ταίναρον, οἴναρον. Αὔαρα πόλις Ἀραβίας. Γάδαρα πόλις κοίλης Συρίας, ἥτις καὶ Ἀντιόχεια καὶ Σελεύκεια ἐκλήθη. ἔστι καὶ Γάδαρα κώμη Μακεδονίας. Γίνδαρα κώμη πρὸς τῇ Ἀντιοχείᾳ. Δαύσαρα πόλις περὶ τὴν Ἔδεσσαν. Κύδαρα πόλις πρὸς τοὺς ὅρους τῶν Φρυγῶν καὶ Λυδῶν. Ἡρόδοτος ἑβδόμῃ (c. 30). Λάβαρα πόλις Καρίας. Ἀλέξανδρος δευτέρῳ περὶ Καρίας. Ζόαρα πόλις Περσική. ἔστι καὶ κώμη μεγάλη ἢ φρούριον ἐν Παλαιστίνῃ ἐπὶ τῇ Ἀσφαλτίτιδι θαλάσσῃ. Ὕκαρον φρούριον Σικελίας, ὡς Φίλιστος Σικελικῶν πρώτῳ. Ἀπολλόδωρος δ' ἐν δευτέρῳ χρονικῶν πόλιν λέγει αὐτὴν τὰ Ὕκαρα. μέμνηται

1. 1 σκῖρον et Σκίρον ex St. B. Pro μῆρον καὶ μηρίον, in quibus καί Meinek. interpretatur ἤτοι, posui, quae sunt in Il. Pros. A 464 coll. B 427 cf. Ep. Cr. I 250, 16. Pro σεσημείωται τὸ πλευρόν dedi verba ex Il. Pr. Γ 35 huic canoni adaptata. cf. Lob. Proll. p. 13. l. 15 Μέγαρα et Γάργαρα addidi ex St. B., Ταίναρον et οἴναρον ex Ep. Cr. I 277, 26, ubi: τὰ διὰ τοῦ αρον μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, βλέφαρον, Ταίναρον, Γάργαρον, οἴναρον. πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ σαρόν. Nomina propria Αὔαρα usque ad Τάρφαρα ex

τῆς λέξεως καὶ Θουκυδίδης (6, 21). Φάλαρα πόλις Θεσσαλίας πλησίον Λαμίας. Ἄδαρα κώμη μεγάλη τῆς Παλαιστίνης μεταξὺ Χαρακμώβων καὶ Ἀρεοπόλεως. Θύμβραρα πόλις Ἀσίας τῷ Πακτωλῷ συνεχής, ὡς Ξενοφῶν (Cyrop. 6, 2, 11). Κάνδαρα χωρίον Παφλαγονίας «ὡς ἀπὸ σχοίνων τριῶν Γάγγρων, καὶ Θάριβα κώμη». Πάταρα πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ. ἐκλήθη δὲ ἀπὸ Πατάρου τοῦ Ἀπόλλωνος καὶ Λυκίας τῆς Ξάνθου. Ἀλέξανδρος Σαλακίαν κόρην ἐξ Ὀφιονίδος φησὶ φέρειν ἱερὰ τῷ Ἀπόλλωνι ἐν πατάρᾳ· εἶναι δὲ ταῦτα πέμματα λύρας τε καὶ τόξα καὶ βέλη, οἷς παίζειν νηπίους ὄντας. θεῖσαν δὲ τὸ ἄγγος ἀναπαύεσθαι κατὰ τὴν ὁδόν. ἄνεμον δὲ ἐπιπνεύσαντα εἰς τὴν θάλασσαν βαλεῖν τὴν πατάραν, κλαίουσαν δὲ τὴν παῖδα εἰς τὸν οἶκον ἐλθεῖν, τὴν δὲ πατάραν τῇ Λυκίων χερρονήσῳ κατενεχθῆναι· περιτυχόντα δέ τινα τῶν ἐκ τῆς Σαλακίας φυγόντων τῇ πατάρᾳ τὰ ἐν αὐτῇ πέμματα πάντα κατακαῦσαι καὶ τὴν χερρόνησον ἱερὰν Ἀπόλλωνι ἀνεῖναι. ὠνομάσθαι δὲ τὴν χώραν ἀπὸ τοῦ ἄγγους, τῆς πατάρας, Πάταρα. μεθερμηνεύεσθαι δὲ τὴν πατάραν Ἑλληνιστὶ κίστην. Πίναρα πόλις μεγίστη, ὑπερκειμένη τῷ Κράγει ὄρει τῆς Λυκίας. Πολύαρα πόλις Καρίας. Σίγγαρα πόλις Ἀραβίας. Τάρφαρα πόλις τῆς εὐδαίμονος Ἀραβίας. ἔντερον, ἔλλερον τὸ κακόν, μέρμερον, κόλερον τὸ ἀκούρευτον πρόβατον, οἱ δὲ τραχὺ ἔριον. Μίσκερα πόλις Σικανίας. Θεόπομπος τεσσαρακοστῷ δευτέρῳ Φιλιππικῶν. Κασσίτερα νῆσος ἐν τῷ ὠκεανῷ, ἐξ ἧς ὁ κασσίτερος. Ἄπτερα πόλις Κρήτης, ἀπὸ τῆς τῶν Μουσῶν καὶ Σειρήνων ἔριδος, τῆς ἐν τῷ μουσείῳ πλησίον τῆς πόλεως καὶ τῆς θαλάσσης τόπῳ τοιῶσδε καλουμένῳ γενομένης, ἐν ᾧ μετὰ τὴν ἐν μουσικῇ νίκην τῶν Μουσῶν αἱ Σειρῆνες δυσφοροῦσαι τὰ πτερὰ τῶν ὤμων ἀπέβαλον καὶ λευκαὶ γενόμεναι εἰς τὴν θάλασσαν ἐνέβαλον ἑαυτάς. ὅθεν ἡ πόλις Ἄπτερα, αἱ δὲ πλησίον νῆσοι Λευκαί. οἱ δὲ ἀπὸ Γλαύκου τοῦ Κυρηναίου. ἔστι καὶ Λυκίας πόλις. Τέρμερα πόλις Λυκίας ἀπὸ Τερμέρου. τὸ μέντοι πτερόν — Πτερά δέ τινες τὴν ἀκρόπολιν Βαβυλῶνος — δισύλλαβον, τὸ δὲ γέρρον διὰ δύο ρ̅ρ̅ γράφεται, καὶ τὸ σαρόν τὸ μυλήκορον Ἀττικῶς.

Τὰ εἰς ρον παραλήγοντα ο̅ βαρύνεται, ἀνάκτορον, κίχορον. Βούδορον ἀκρωτήριον πρὸς τῇ Σαλαμῖνι. Θουκυδίδης τρίτῃ (c. 51). Ἔφορος δὲ φρούριον Βούδαρον εἶπε. Ἔβορα πόλις παρωκεανῖτις μετὰ τὰ Γάδειρα. Βολογεσίφορα πόλις Περσική. Νόσορα νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.

St. B. recepta sunt. l. 19 μέρμερον κόλερον, quod ap. Hesych. κολερά scriptum est, sumpsi ex Theogn. 131, 1, Μίσκερα — Τέρμερα ex St. B., Πτερά ex eodem, γέρρον ex Theogn. Pro σαυρόν τὸ μέλι ap. Arcadium scripsi cum Goettling. de accentu p. 230 coll. Lob. ad Phrynich. p. 83 σαρόν τὸ μυλήκορον, nam hoc diserte excipitur in Ep. l. c. et requiritur canone, qui agit de nominibus ᾱ vel ε̄ praefinitis. l. 32 pro ὀξύνεται scripsi βαρύνεται (Schmidt. προπαροξύνεται, quod eodem redit) et cum eodem pro σκιορόν κίχορον cf. Lob. Proll. 271. Propria accesserunt ex St. B.

Τὰ εἰς ρον ὑπὲρ δύο συλλαβὰς τῷ ῡ παραληγόμενα βαρύνεται, ἄχυρον, πίτυρον, ἐνέχυρον, πρόθυρον, βούτυρον, λέπυρον, ἄστυρον. ἔστι καὶ Ἄστυρον πόλις Μυσίας πρὸς τῇ Τρῳάδι, ἣ καὶ πληθυντικῶς λέγεται· ἔστι καὶ κώμη πλησίον τοῦ Ἀδραμυττίου, ὡς Στράβων (13 p. 606). ἔστι καὶ πόλις Φοινίκης κατ' Ἄραδον, ἐν ᾗ ἐτιμᾶτο ἡ Ἀθηνᾶ Ἀστυρίς. ἔστι καὶ Βοιωτίας πρὸς ταῖς Ποτνίαις, ὡς Χάραξ ἐν δευτέρᾳ. ἔστι καὶ χωρίον Ἰταλίας. Κίχυρον, Πάλμυρον, Σίμυρα· οὕτως οὐδετέρως Ἔφορος Σίμυρον πόλιν Σύρων φησί. Ἀτάβυρον ὄρος Ῥόδου. Ῥιανὸς ἕκτῳ Μεσσηνιακῶν. Ἄγγυρον ὄνομα ὄρους. Τίβυρα. οὕτως Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων Τίβυριν πόλιν Ἰταλίας καλεῖ.

Τὰ εἰς ρον κατ' ἐπιπλοκὴν συμφώνου δισύλλαβα βαρύνεται ῥεῖθρον, κλεῖθρον, φίλτρον, κέντρον, ἄρθρον, πλῆκτρον, νίτρον, ἄντρον τὸ σπήλαιον. βλῆτρον. Βάκτρα πόλις. Στράβων ια' (p. 517). Σύμβρα Φρυγίας φρούριον. σεῖστρον, δένδρον, δέρτρον «δέρτρον ἔσω δύνοντες» (λ 578), φέρτρον «κείμενον ἐν φέρτρῳ» (Σ 236), καὶ ἄλλο πλῆθος τῶν τοιούτων ὀνομάτων ἀδιάπτωτον. σεσημείωται τὸ λουτρόν ὀξυνόμενον, ὅπερ καὶ τρισύλλαβον λέγεται λοετρόν «εἰς ὅ κε θερμὰ λοετρά» (Ξ 6), ἐπεὶ καὶ τὸ ῥῆμα δισσόν, λοέω καὶ λούω «ἀλλ' ὅτε δή μιν ἐγὼ λόεον» (δ 252).

* Τὰ εἰς ρον οὐδέτερα μετ' ἐπιπλοκῆς συμφώνου, ὑπὲρ δύο συλλαβὰς ὄντα, προπαροξύνεται, πέλεθρον, τέρεθρον, βέρεθρον, φέλετρον καὶ τὰ φέλετρα, θύρετρον. Ἀλάβαστρα πόλις Φρυγίας. Σύαγρα χωρίον Κιλικίας πλησίον Ἄδου καὶ Λαέρτου. Θέρμυδρα

---

l. 1 verba εἴτε προπαροξύνεται post βαρύνεται cum Schmidtio omisi, certe pro εἴτε scribendum fuit ἤτοι. λέπυρον accessit ex Theogn. 131, 21, item ἄστυρον, quod pro ἄτυρον restituendum esse monuit Lob. Proll. 274 not. 46; Ἄστυρον ex St. B., Κίχυρον Πάλμυρον praebet Theognostus, videntur hae esse formae neutrales, quae usitatis Κίχυρα Πάλμυρα ita respondent ut Μύρον Στύρον Ψύρον femininis. Σίμυρα ex St. B. posui pro ἔνυρον ap. Theogn. corruptum, Ἀτάβυρον ex Theogn. et St. B., Ἄγγυρον ex Theogn., Τίβυρα ex St. B. l. 13 κλεῖθρον apposui ex Ep. Cr. I 351, 5, pro πλέκτρον cum Schmidt. scripsi πλῆκτρον, ἄντρον ex St. B., βλῆτρον ex Il. Pr. Ο 676 τὸ μὲν βλῆτρον βαρυτονητέον, ἐπεὶ πάντα τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα βαρύνεται, σεσημειωμένου τοῦ λουτρόν; cum βλῆτρον compositum fuit fortasse πλῆτρον τὸ πηδάλιον, ὃ ὑποκοριστικῶς εἶπεν Ἀλκμὰν πλήτριον Ep. Cr. I 343, 10. — Βάκτρα Σύμβρα sunt ex St. B. Nomina inde a σεῖστρον adieci ex Mon. 37, 15, ex quibus etiam annotationem de λουτρόν, de quo Arcadius habet tantum: σεσημείωται τὸ λουτρόν καὶ λοετρόν, praebui. Ex Herod. fluxit E. M. 568, 56: λουτρόν: δεῖ βαρύνεσθαι, ὥστε παραλόγως ὀξύνεται, non item p. 568, 47: λοῦτρον βαρύνεται· ἐπειδὴ πᾶν εἰς τρον λῆγον ἀπαρασχημάτιστον βαρύνεται, κέντρον, δένδρον, σεῖστρον. τὸ δὲ λουτρόν πρὸς διαφορὰν σημαινομένου· ἐπὶ μὲν γὰρ τοῦ τόπου βαρύνεται, ἐπὶ δὲ τοῦ ὕδατος, ᾧ λουόμεθα, ὀξύνεται. Ex hoc Catholicae loco derivavit etiam Choer. Orth. 255, 35 canonem suum orthographicum cum exempto λουτρόν. l. 21 hunc canonem ex orthographico in Ep. Cr. I 351, 1 addidi adiectis ex St. B. nominibus inde ab Ἀλάβαστρα. St. B. s. v. Ἀλάβαστρα πόλις Φρυγίας. Ἡρόδοτος refert. nihil de Alabastris Herodotus narret, suspicatur Meinek. recte Ἡρωδιανός. Idem annotat nomen esse plurale, non, ut quibusdam visum, ἡ Ἀλάβαστρα neque tamen Herodianus in libro XI ut Meinek. dicit, sed hoc loco libr. XIII de Ἀλάβαστρα egit.

λιμὴν τῆϲ μιᾶϲ τῶν ἐν Ῥόδῳ πόλεων. Ϲύεδρα πόλιϲ Ἰϲαυρίαϲ. βάραθρον τόποϲ κοῖλοϲ καὶ ὄρυγμα καλούμενοϲ. ἔϲτι καὶ Βάραθρα πληϲίον τοῦ Καϲίου. Τάβαθρα πόλιϲ Λιβύηϲ. Πολύβιοϲ δωδεκάτῳ. Κάναϲτρον ἄκρον Θρᾴκηϲ καὶ Μακεδονίαϲ. λέγεται καὶ Καναϲτραῖον. Ἄθυμβρα πόλιϲ Καρίαϲ παρὰ Μαιάνδρῳ, Ἀθύμβρου κτίϲμα, ἥτιϲ μετὰ ταῦτα Νύϲϲα ἐκλήθη. Παλίμβοθρα πόλιϲ Ἰνδική. Φάλακρον ἀκρωτήριον Κορκύραϲ, ὡϲ Ἀρτεμίδωροϲ ἐν πέμπτῳ γεωγραφουμένων φηϲί. Πάνακρον πόλιϲ Κύπρου. εἰϲὶ δὲ καὶ Πάνακρα ὄρη Κρήτηϲ. Καλλίμαχοϲ «Ἰδαίοιϲ ἐν ὄρεϲϲιν, ἅτε κλείουϲι Πάνακρα». Τέγεϲτρα πόλιϲ Ἰλλυρίαϲ πρὸϲ τῇ Ἀκυλίᾳ ἀπὸ Τεγέϲτρου. Ἀρτεμίδωροϲ δὲ Τέγεϲτρον αὐτὴν καὶ κώμην οἶδεν «ἀπὸ Τεγέϲτρου κώμηϲ καὶ τοῦ μυχοῦ ἐπὶ τὸν Ἀδρίαν ϲτάδια ͵εκε´».

Τὰ εἰϲ ρον ὑπερδιϲύλλαβα μακρᾷ παραληγόμενα προπαροξύνεται, Ἄμηρον ὄνομα ὄρουϲ, ἄνδηρον τῶν ποταμῶν τὸ χεῖλοϲ, Κύθηρα νῆϲοϲ πόλιν ὁμώνυμον ἔχουϲα πρὸϲ τῇ Κρήτῃ ἀπὸ Κυθήρου τοῦ Φοίνικοϲ. Φάληρον δῆμοϲ καὶ ἐπίνειον τῆϲ Ἀττικῆϲ. Παυϲανίαϲ πρώτῳ περιηγήϲεωϲ Ἑλλάδοϲ (c. 1, 2). καὶ πληθυντικῶϲ Φάληρα. ἔϲτι καὶ Θετταλίαϲ ἄλλη πρὸϲ τῇ Οἴτῃ, ἣν Ῥιανὸϲ διὰ τοῦ ᾱ γράφει, Φάλαρον λέγων καὶ Φάληρον διὰ τοῦ η̄. ἔϲτι καὶ πόλιϲ ἐν Ὀπικοῖϲ, εἰϲ ἣν ἐξεβράϲθη Παρθενόπη ἡ Ϲειρήν, ἣ καλεῖται Νεάπολιϲ. Ἄβδηρα πόλειϲ δύο· ἡ μὲν Θρᾴκηϲ ἀπὸ Ἀβδήρου τοῦ υἱοῦ Ἑρμοῦ Ἡρακλέουϲ ἐρωμένου, ὃν αἱ Διομήδουϲ ἵπποι διεϲπάϲαντο, ὡϲ Ἑλλάνικοϲ καὶ ἄλλοι φαϲίν. ἡ δὲ δευτέρα τῆϲ Ἰβηρίαϲ πρὸϲ τοῖϲ Γαδείροιϲ, ὡϲ Ἀρτεμίδωροϲ ἐν δευτέρῳ γεωγραφουμένων. Ἀλίφηρα πόλιϲ Ἀρκαδίαϲ, ἀπὸ Λυκάονοϲ παιδὸϲ Ἀλιφήρου. εὕρηται ἡ παραλήγουϲα διὰ διφθόγγου. Βάϲηρα πόλιϲ Φοινίκηϲ. ἄβληρον ἡ ἡνία, εὔληρον ἐπὶ ἱματίου καὶ ἐπὶ δεϲμοῦ. ἄλευρον, φθινόπωρον, μετόπωρον, πέλωρον, κνέωρον ἀκανθῶδεϲ φυτόν. Κύτωρον πόλιϲ Παφλαγονίαϲ, οἱ δὲ ἡ Κύτωρόϲ φαϲι. Κοτύωρα κώμη πρὸϲ τῷ Πόντῳ, ὡϲ Ἀρριανόϲ. Ἀνίχωρον. μέμνηται Ἀλκμάν. Μαινόβωρα πόλιϲ Μαϲτιηνῶν. Ἑκαταῖοϲ Εὐρώπῃ. Ἄϲϲωρον ὄροϲ Ϲάμου, ὅθεν ῥεῖ ὁ Ἀμφίλυϲοϲ. Εὐφορίων Ἀρτεμιδώρῳ «δαῖμον ὃϲ Ἀμφιλύϲοιο ῥόον ....» Ἴϲαυρα πόλιϲ, Χάραξ δὲ θηλυκῶϲ. Μάϲταυρα πόλιϲ Λυδίαϲ, ἀπὸ Μᾶϲ. Μᾶ δὲ τῇ Ῥέᾳ εἵπετο, ᾗ παρέδωκε Ζεὺϲ Διόνυϲον τρέφειν. καὶ ἡ Μᾶ παρὰ τῆϲ Ἥραϲ ἐρωτηθεῖϲα, τίνοϲ εἴη τὸ βρέφοϲ, Ἄρεοϲ ἔφη. καὶ παρὰ Καρϲὶν ὁ Διόνυϲοϲ Μάϲαριϲ ἔνθεν ἐκλήθη. ἐκαλεῖτο δὲ καὶ ἡ Ῥέα Μᾶ καὶ ταῦροϲ αὐτῇ ἐθύετο παρὰ Λυδοῖϲ, ἀφ' ἧϲ ἡ πόλιϲ. Ἄνδειρα πόλιϲ

---

l. 14 Ἄμηρον explevi ex Theogn., Κύθηρα ex Theogn. 131, 10 et St. B. addidi, Φάληρον — Βάϲηρα ex St. B., ἄβληρον ex Theogn., εὔληρον ex Schol. B ad Il. Ψ 481: εὔληρα· ὁ Ἡρωδιανὸϲ καὶ ἐπὶ ἱματίου καὶ ἐπὶ δεϲμοῦ τίθεϲθαί φηϲι τὴν λέξιν. ἔϲτι δὲ παρὰ τὸ εἰλῶ εἶληρα καὶ εὔληρα. — l. 27 μετόπωρον — κνέωρον ex Theogn. 131, 17. Κύτωρον ex Theogn. et St. B., Κοτύωρα usque ad finem ex St. B. Ἄϲϲωρον l. 31 ap. St. B. oxytonos scriptum est, equidem accentum huic canoni accomodavi.

Τρῳάδος. Στράβων ιγ′ (p. 610) καὶ Θεόπομπος ιγ′. Στάγειρα πόλις Μακεδονίας. λέγεται καὶ Στάγειρος. Γάδειρα πόλις καὶ νῆσος ἐν τῷ ὠκεανῷ στενὴ καὶ περιμήκης, ὡς οὖσα ταινία τῆς γῆς δειρά. Ἐρατοσθένης δὲ ἡ Γάδειρος φησὶ θηλυκῶς. Θυάτειρα πόλις Λυδίας, ἡ πρότερον Πελόπεια καὶ Σεμίραμις, ὑπὸ Σελεύκου τοῦ Νικάτορος Λυσιμάχῳ πολεμοῦντος καὶ ἀκούσαντος, ὅτι θυγάτηρ αὐτῷ γέγονε, τὴν πόλιν ἐκάλεσε Θυγάτειρα. καὶ ἔδει θηλυκῶς. νῦν δὲ οὐδετέρως φασίν. Κατάνειρα πόλις . . . . ὡς Θεόπομπος λε′ Φιλιππικῶν. Ἀπάτουρον τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν Φαναγορείᾳ. Στράβων ἑνδεκάτῃ (p. 495) «ἐτυμολογοῦσι δὲ οὕτως· ἐπιθεμένων ἐκεῖ τῶν Γιγάντων ἐπικαλεσαμένη τὸν Ἡρακλέα ἔκρυψεν ἐν κευθμῶνί τινι, καὶ τῶν Γιγάντων ἕκαστον δεχομένη καθ' ἕνα τῷ Ἡρακλεῖ παρεδίδου δολοφονεῖν ἐξ ἀπάτης». Ἑκαταῖος δὲ κόλπον οἶδε τὸν Ἀπάτουρον ἐν τῇ Ἀσίᾳ. Βάλβουρα πόλις Λυκίας. Τίβουρα. οὕτως Νικάνωρ ὁ Ἑρμείου Τίβυριν πόλιν Ἰταλίας καλεῖ.

* Τὰ εἰς σον οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, Δύνδασον πόλις Καρίας. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β′ «αὖθις δ' ἐπὶ Δύνδασον καὶ Κάλυνδα ὁρμῆσαι». Ἄμβασον μητρόπολις τῶν Φρυγῶν. Μέγασα πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει Ἀσίας «ἐξ αὐτῆς Σιτοφάγοι καὶ Ἀροτῆρες......» Μέδμασα πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Ἅρπασα πόλις Καρίας ἀπὸ Ἁρπάσου ποταμοῦ. Βάργασα πόλις Καρίας ἀπὸ Βαργάσου τοῦ υἱοῦ Βάργης καὶ Ἡρακλέους, ὃν ἐδίωξε Λάμος ὁ Ὀμφάλης καὶ Ἡρακλέους, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. Γέρασα πόλις τῆς κοίλης Συρίας, τῆς δεκαπόλεως. Μύλασα πόλις Καρίας ἀπὸ Μυλάσου τοῦ Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου. λέγεται καὶ Μύλασος, ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ. Πήγασα πόλις Καρίας. δεῖ δὲ οὐ διὰ τοῦ δ γράφειν Πήδασα, ἀλλὰ διὰ τοῦ γ Πήγασα. Κύρβασα πόλις Καρίας. Δέδμασα πόλις Καρίας. Ἱέρασα ἢ Ἴρασα τόπος Λιβύης, εἰς ὃν μετήγαγον Βάττον οἱ Λίβυες, ὡς Ἡρόδοτος τετάρτῃ (c. 158). Κάνδασα φρούριον Καρίας. Πολύβιος ἑκκαιδεκάτῳ. Πλάρασα πόλις Καρίας. Τόμισα χωρίον διορίζον Καππαδοκίαν ἀπὸ τοῦ Ταύρου. Πιμώλισα φρούριον τῆς ἐντὸς Ἅλυος Ποντικῆς. Μονόγισα πόλις Καρίας. ἵδρυμα Δαιδάλου μετρῶν . . . γίσσα γὰρ τῇ Καρῶν φωνῇ λίθος ἑρμηνεύεται. καὶ νῦν τοὺς πλακώδεις καὶ μαλακώδεις λίθους γίσσα λέγουσιν.

Τὰ εἰς τον διβράχεα ὀξύνεται, εἰ μὴ πρὸ τέλους ι ἔχοι μόνον, φυτόν, ῥυτόν εἶδος ποτηρίου, βοτόν ἡ βοτάνη. Χυτόν χωρίον ἠπείρου. Ἔφορος ἐννεακαιδεκάτῳ «οἱ δ' ἐκ Κλαζομενῶν κατῴκισαν τῆς ἠπείρου τὸ Χυτὸν καλούμενον». τὸ μέντοι βλίτον ἡ βοτάνη βαρύνεται. σεσημείωται Κύτα πόλις Κολχική. ἔστι καὶ Εὐρώπης. τὸ δὲ Δᾶτον πόλις Θρᾴκης «Ἡρόδοτος ἐνάτῃ (c. 75) μακρᾷ παραλήγεται.

l. 16 hunc canonem ex nominibus a St. B. prolatis composui. l. 37 Χυτόν addidi ex St. B., Κύτα et Δᾶτον ex eodem. De ῥυτόν confert Iacobi Athenaeum

Τὰ εἰϲ τον διϲύλλαβα ἔχοντα ϲύμφωνα κατὰ ϲύλληψιν ὀξύνεται, Λεκτόν, δρεπτόν. τὸ μέντοι Ῥάπτα ἡ μητρόπολιϲ τῶν ἐντὸϲ Αἰθιόπων βαρύνεται. τὰ δὲ ἔχοντα τὴν πρὸ τέλουϲ ϲυλλαβὴν εἰϲ ἀμετάβολον λήγουϲαν βαρύνεται, μύρτον ἡ μυρϲίνη, γέντον τὸ κρέαϲ, ϲπάρτον καὶ Ϲπάρτον ὄροϲ πληϲίον τοῦ Εὐξείνου πόντου. τὸ μέντοι παλτόν τὸ δόρυ ὀξύνεται.

Τὰ εἰϲ τον ὑπερδιϲύλλαβα βαρύνεται, πρόβατον, ἔγκατον, ἄλφιτον, γίγαρτον. Ἔμβατον τόποϲ τῆϲ Ἐρυθραίαϲ. Θεόπομποϲ Ἑλληνικῶν ὀγδόῃ. Μήκιϲτον πόλιϲ Τριφυλίαϲ. Ἑκαταῖοϲ Εὐρώπῃ. ἔϲτι καὶ ἄλλη τῆϲ Ἤλιδοϲ. Πρόϲπαλτα δῆμοϲ Ἀκαμαντίδοϲ φυλῆϲ. Ϲάραπτα πόλιϲ Φοινίκηϲ. Μαννάκαρτα πόλιϲ Ἀραβίαϲ. Ἀλύαττα χωρίον Βιθυνίαϲ ἀπὸ Ἀλυάττου κρατήϲαντοϲ τὸν τόπον. Ἀρτάξατα πόλιϲ Ἀρμενίαϲ. Ϲτράβων ἑνδεκάτῃ (p. 527). ἣν καὶ Ἀρταξιάϲατα καλοῦϲι. λέγεται τὴν πόλιν οἰκίϲαι Ἀρταξίαν Ἀρμενίαϲ βαϲιλεύϲαντα. Ἰωτάπατα πόλιϲ Ϲυρίαϲ. Ἰώϲηποϲ ἐν τρίτῳ (B. I. c. 6) καὶ θηλυκῶϲ Ἰωταπάτη. Ϲαμόϲατα πόλιϲ Κομμαγηνῆϲ ἐπὶ τῷ Εὐφράτῃ. Κυρέϲχατα πόλιϲ πρὸϲ τοῖϲ ἐϲχάτοιϲ Περϲίδοϲ, ἣ καὶ Κύρου πόλιϲ καλεῖται, Μόκατα πόλιϲ Βιθυνίαϲ, ὡϲ Δομέτιοϲ Καλλίϲτρατοϲ ἐν τῷ περὶ Ἡρακλείαϲ τετάρτῳ. Πάνακτον φρούριον Ἀττικῆϲ, ὡϲ Ἀνδροτίων ἐν τρίτῳ Ἀτθίδοϲ. Ταΰγετον ὄροϲ τῆϲ Λακωνικῆϲ. Ὅμηροϲ «ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον» (Od. Ζ 103). λέγεται καὶ ἀρϲενικῶϲ καὶ θηλυκῶϲ καὶ οὐδετέρωϲ. ἀπὸ Ταϋγέτηϲ τῆϲ μητρὸϲ Εὐρώτα. Τύδερτα πόλιϲ Τυρρηνική. Ἀρκεϲίκερτα, ὅ ἐϲτιν Ἀρκεϲίου κτίϲμα, ἐκλήθη Ἐπιφάνεια πόλιϲ κατὰ Τίγριν. Δαδόκερτα φρούριον μέγα τῆϲ Ἀρμενίαϲ μεταξὺ Μηδίαϲ. Τιγρανόκερτα πόλιϲ πρὸϲ Ἀρμενίαν, ἀπὸ Τιγράνου βαϲιλέωϲ Ἀρμενίαϲ. Λάδεϲτον ἢ Λάδεϲτα μία τῶν Λιβυρνίδων νήϲων. Θεόπομποϲ κα΄ Φιλιππικῶν. Δεκίητον πόλιϲ Ἰταλίαϲ. Νήριτον τὸ ὄροϲ. Ϲύβοτα νῆϲοϲ πρὸϲ τῷ Ἀμβρακικῷ κόλπῳ καὶ λιμήν. Ἄδροττα χωρίον ἐν Λυδίᾳ παραθαλάϲϲιον καὶ κατάκρημνον. Κόροντα πόλιϲ Ἀκαρνανίαϲ. Θουκυδίδηϲ δευτέρᾳ (c. 102). τὸ δὲ ἑρπετόν ὀξύνεται καὶ ἐνδυτόν καὶ δελτωτόν ὡϲ τριγενέϲ. ἔτι καὶ Ϲυρρεντόν πόλιϲ Τυρρηνίαϲ, ἣ καὶ Ϲυρρέντιον, καὶ Πικεντόν. οὕτω γὰρ Φλέγων Πικεντίαν πόλιν Τυρρηνίαϲ καλεῖ.

* Τὰ εἰϲ χον οὐδέτερα ὑπερδιϲύλλαβα προπαροξύνεται, Ναύλοχον· οὕτωϲ πρότερον Ϲμύρνα ἐκαλεῖτο. Ϲάριχα πόλιϲ Καππαδοκίαϲ.

496 f. ἔχει τὸ υ βραχὺ καὶ ὀξύνεται. Harpocrat. 164, 25 (Phot.). Canon sine exceptionibus bene procederet, si traditum foret verbalia acui, reliqua gravari. l. 2 in glossa corrupta Hesychii Λεκτόν ὡϲ ϲεμόν ἢ ἀκρωτήριον, quam Meinek. emendat λεκτόν ὡϲ ϲεμνόν, Λέκτον εἰ ἀκρωτήριον, discrimen accentus statuitur, quod, quantum nunc videre licet, Herodianus num agnoverit dubium est. Ῥάπτα ex St. B. apposui, de γέντον cf. Schmidt ad Hesych. s. v., ϲπάρτον accessit ex Ep. Cr. I 387, 20, Ϲπάρτον ex St. B. l. 8 nomina inde ab Ἔμβατον usque ad finem sumpta sunt ex St. B. praeter ἑρπετόν ἐνδυτόν δελτωτόν. l. 34 hunc canonem ex nominibus a St. B. prolatis composui.

Τὰ εἰς ρ̄ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, ἔαρ, κέαρ, κτέαρ, στέαρ, φρέαρ, ἃ καὶ στεῖαρ καὶ φρεῖαρ λέγεται «φρείατα μακρὰ νάουσι» (Φ 197) ὡς εἶδαρ γέγονε ἐκ τοῦ ἔδαρ ἐν πλεονασμῷ τοῦ ῑ, δέλεαρ, ὄνειαρ, ἄλειαρ, νόαρ, ὕπαρ, πύαρ, σῦφαρ, πῖαρ, ἶλαρ, τέκμαρ, ἔχθαρ, νέκταρ, πέπαρ, θέναρ, ὄναρ, ἧπαρ, ἦμαρ, νῶκαρ, μῶμαρ, βῶμαρ, οὖθαρ, πεῖραρ, ὅπερ μόνον ἐστὶ εἰς ρ̄ λῆγον οὐδέτερον πρὸ τοῦ ᾱ ἔχον ρ̄, ἄλκαρ, ἄλειφαρ, κάρηαρ. νίκωρ παρὰ Σώφρονι τῷ μιμογράφῳ, ὕδωρ, ἔλδωρ, ὅπερ κατὰ πλεονασμὸν τοῦ ε̄ γίνεται ἐέλδωρ τρισυλλάβως «τόδε μοι κρήηνον ἐέλδωρ» (Α 41). ὁ δὲ Ἴβυκος ἔσθ' ὅτε καὶ θηλυκῶς προφέρεται

οὔτι κατὰ σφετέραν ἐέλδω

καὶ

ἐσθλὰν ποτιδεγμένων ἐέλδω.

ἔλωρ, ἐξ οὗ τὸ «ἑλώρια τεῦχε κύνεσσιν» (Α 4)·

Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς (Ε 684).

τέκμωρ, τοῦτο δέ ἐστιν σημειῶδες, ὅτι μόνον εἰς ῶρ λῆγον οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἔχει ἐπιπλοκὴν δύο συμφώνων πρὸ τοῦ ω. ἢ ἴσως ἀναλογώτερον· ἐκδεκτέον τὸ τέκμαρ. ἴσον γὰρ ἐγένετο τῷ νέκταρ καὶ ἔχθαρ. οὐ φιλεῖ δὲ τὰ τοιαῦτα προϋπάρχειν τῶν εἰς ῶρ. τοῦ δὲ σημειοῦσθαι τὸ τέκμωρ αἴτιον ὁ πλεονασμὸς τοῦ μ̄. ἦτορ, ἄορ.

Τὰ εἰς ᾰς βαρύνεται, γῆρας, κρέας. τοῦτο μόνον οὐδέτερον εἰς ᾰς καθαρὸν τῷ ε̄ παραλῆγον κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων. παρὰ γὰρ Ἑκαταίῳ ἐστὶ «τὰ δέατα περιτεταμένοι». ἀλλ' οὐ σύνηθές ἐστι λέγειν δέας. ὅ τε Σοφοκλῆς ἐν Κηδαλίωνι σατυρικῷ φησι

καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων
ὑπὸ τοῦ δέατος.

ἀντὶ τοῦ δέους. ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅ τε Ξενοφάνης φησὶ

ἁγνὸν ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ.

ἀλλ' οὐ γὰρ λέγεται σπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοιούτων εὐθειῶν τὰς κλίσεις λαμβάνει, οὐκ οὐσῶν μέντοι ἐν χρήσει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ κτεάτεσσιν (α 218)

---

l. 1 κέαρ κτέαρ addidi ex Theogn. 79, 29 et Mon. 30, 12, στέαρ — μῶμαρ ex Theogn. 79, 27—80, 13. Arc. unum ex his ὕπαρ praebet. — «Pro Νόαρ (Hermann ad Suppl. 754) fortasse scribendum est Ζόαρ ex Suidae glossa Ζόαρ τόπος, qua urbs τὰ Ζόαρα significari videtur» dicit Lobeck El. II 291; ἶλαρ, quod vulgo εἶλαρ scribitur, praebet etiam Hesych., pro πέπαρ Lob. Parall. 205 σκέπαρ ponendum suspicatur, Schmidt. ex Hesychio πέαρ· Γλαυκίας λιπάρον — πέαρ. — βῶμαρ apposui ex Herod. μονοβίβλῳ περὶ τοῦ ὕδωρ ap. Choer. 283, 19, E. M. 491, 35, ubi etiam μῶμαρ et νῶκαρ proferuntur, οὖθαρ πεῖραρ ex Mon. l. c., ἄλκαρ — κάρηαρ ex Choer. Dict. 380, 24 et 27; 381, 9 (Bekk. An. 1386 κάρηαρ), νίκωρ usque ad ὁ πλεονασμὸς τοῦ recepi ex Mon. 32, 20 (cf. Theogn. 79, 30 τὰ εἰς αρ λήγοντα οὐδέτερα δισύλλαβα ἔχοντα ἐν ἐπιπλοκῇ δύο σύμφωνα σπάνιά ἐστιν· ἔστι γὰρ τὸ τέκμαρ, ἔχθαρ, νέκταρ) exceptis verbis ὅπερ κατὰ πλεονασμὸν — κρήηνον ἐέλδωρ (l. 8. 9) quae ex Choer. 382, 28 et ἔλωρ, ἐξ οὗ — κύνεσσιν (l. 14), quae ex eodem 383, 1 adieci. Arcadius habet tantum ὕδωρ et ἔλδωρ. l. 20 ἦτορ ἄορ sunt ex Theogn. 80, 20. l. 21 κρέας explevi ex Theogn. 80, 16 et Mon. 30, 18.

ἀνέροϲ, ὃν κτεάτεϲϲιν ἑοῖϲ ἔπι γῆραϲ ἔτετμε (α 218)

μεταπλαϲμοῦ ἔχεται ἐκ τῆϲ κτεάτοιϲ δοτικῆϲ. — δέμας. καὶ τοῦτο μονῆρέϲ ἐϲτι, οὐδὲν γὰρ εἰϲ ᾱϲ λῆγον οὐδέτερον «ϲτήτην ἐγγὺϲ ἰόντε, δέμαϲ δ' ἄνδρεϲϲιν ἐΐκτην» (Φ 285). οὖας, κέρας, δέπας, πέρας, τέρας, βρέτας, λέπας, ϲκέπας, κνέφας, ϲέβας, γέρας, ψέφας, οὖδας, κῶας.

Ἔτι τὰ εἰϲ ο̄ϲ̄ βαρύνεται, τεῖχος· ἔϲτι καὶ φρούριον Ἀχαΐαϲ. βέλος, πέλαγος, ὄνειδοϲ. φᾶροϲ, ὅπερ ἐϲτὶ ϲημειῶδεϲ. τὰ εἰϲ ο̄ϲ̄ λήγοντα οὐδέτερα, εἰ ἔχοι πρὸ τέλουϲ τὸ ᾱ, ϲυνεϲταλμένον πάντωϲ αὐτὸ ἔχει, εἰ μὴ κατὰ διάλεκτον εἴη, ὥϲπερ τὸ πᾶροϲ

ἐπὶ γὰρ πᾶροϲ ὀνιαρὸν ἱκνεῖται

Ἀλκαῖόϲ φηϲι. τοιοῦτο δέ ἐϲτι καὶ τὸ μᾶκοϲ, δᾶνοϲ. τὸ δὲ πρᾶγοϲ ἤδη καὶ τὸ ῥῆμα δοκεῖ ἔχειν μεταβολήν. ἔϲτω οὖν τῶν ϲυϲτελλόντων τὸ ᾱ παραδείγματα, πάθοϲ, τάφοϲ. ὅπερ καὶ ἀρϲενικόν ἐϲτι

ὣϲ οἵγ' ἀμφίεπον τάφον Ἕκτοροϲ ἱπποδάμοιο (Ω 804).

καὶ θηλυκὸν ἐπὶ τῆϲ νήϲου. ὁπότε δὲ ἐπὶ τῆϲ ἐκπλήξεωϲ παραλαμβάνεται, γένοϲ ἐπιδέχεται τὸ οὐδέτερον·

ἣ δ' ἄνεω δὴν ἧϲτο, τάφοϲ δέ οἱ ἦτορ ἵκανε (ψ 93).

ἀλλ' ἴϲωϲ τοῦτο ἀμφίβολον. ὁ μέντοι Ἴβυκοϲ διέϲτειλε τὸ γένοϲ ἐν τῷ πρώτῳ, ϲχεδὸν τὸν Ὁμηρικὸν μεταλαβών· φηϲὶ γὰρ

δαρὸν χρόνον ἧϲτο τάφει πεπηγώϲ.

οὕτω γὰρ ἔκλινεν ὡϲ βέλει. Ἀναδράμωμεν δὴ ἐπὶ τὰ παραδείγματα, θάλοϲ, δάοϲ «δάοϲ μετὰ χερϲὶν ἔχουϲα» (ψ 294), φάοϲ, πάθοϲ, μάθοϲ. Ἀλκαῖοϲ «ἀππατέρων μάθοϲ», νάποϲ, γάνοϲ, ϲάκοϲ, δάκοϲ, βάροϲ, χάοϲ, κράτοϲ, θράϲοϲ. ϲημειῶδεϲ ἄρα τὸ φᾶροϲ ἐκτεινόμενον τὸ ᾱ.

φᾶροϲ μέν οἱ πρῶτον ἐΰπλυνὲϲ ἠδὲ χιτῶνα (π 173)

οἱ μέντοι τραγικοὶ ἐπίϲηϲ ἐκτείνουϲι τοῦ προκειμένου ὀνόματοϲ τὸ ᾱ καὶ ϲυϲτέλλουϲι, ὡϲ παρ' Αἰϲχύλῳ ἐν Ϲαλαμινίαιϲ·

εἴ μοι γένοιτο φᾶροϲ ἴϲον ἐν οὐρανῷ.

ἀλλὰ κατὰ ϲυϲτολὴν παρὰ Ϲοφοκλεῖ ἐν Τηρεῖ

ϲπεύδουϲαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει

καὶ ἐν Κρίϲει ϲατυρικῇ

καὶ δὴ φάρει τῷδ' ὡϲ ἐμῷ καλύπτομαι.

παραφυλακτέον ὅτι τὸ φάροϲ τυχὸν ϲυϲτελλομένου τοῦ ᾱ ἀναδέχεται πάλιν ἐν διαφόρῳ ϲημαινομένῳ τὰ τρία γένη ὥϲπερ καὶ τὸ τάφοϲ. ἔϲτι γὰρ ἀρϲενικόν. οὕτω γὰρ ὁ Μενελάου ἐκαλεῖτο πρωρεύϲ. ἀλλὰ καὶ θηλυκὸν ἐπὶ τῆϲ νήϲου ἀπ' αὐτοῦ τὸ ὄνομα λαβούϲηϲ, ὥϲ φηϲιν Ἑκα-

---

l. 2 δέμαϲ ex Mon. 29, 25. l. 4 nomina inde a δέπαϲ usque ad ψέφαϲ sunt ex Theogn. 80, 15, οὖδαϲ κῶαϲ ex Herod. περὶ παθῶν, E. M. 38, 54, quem locum statim adhibebo. l. 7 Τεῖχοϲ proprium addidi ex St. B., φᾶροϲ cum explicato adnotamento ex Mon. 35, 32 adiectis ex Dichr. 295, 3 verbis Homericis ad δάοϲ (l. 23) et χάοϲ, κράτοϲ, θράϲοϲ (l. 25).

ταῖος. καὶ οὐδέτερον, ὁπότε σημαντικὸν τοῦ ἱματίου ἢ καὶ τοῦ ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρὰ Ἀντιμάχῳ «ἀεὶ φάρεος χατέουσιν ἑκόντες». οὕτως ἐν τοῖς ἀντιγράφοις εὕρηται. — κάλλος· καὶ τοῦτό ἐστι μονῆρες. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα δισσὸν τὸ λ οὐ θέλει εἶναι οὐδέτερα. Ὕλλος. Κύλλος τὸ κύριον. Σκύλλος, Ψύλλος, Τέλλος, Φέλλος τὸ κύριον, Βίλλος, σίλλος, Γρύλλος, Κόλλος, Γάλλος, Ἶλλος, Γίλλος. ἔστι δὲ καὶ ἄλλα πολλὰ τούτοις ἐμφερῆ, ἅπερ παραιτεῖται τὸ οὐδέτερον γένος. δῆλον οὖν ὡς τὸ κάλλος πεπλάνηται ἢ περὶ ποσότητα τοῦ λ ἢ περὶ τὸ γένος. ὅσα γὰρ οὐδέτερά ἐστιν εἰς ος λήγοντα, ταῦτα παραιτεῖται ἔχειν ἕτερον λ, ὡς τὸ ἕλος — ἔστι καὶ πόλις Λακωνικὴ καὶ Μεσσηνίς «καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον» (Β 594) παρὰ τὸ ἐν ἕλει εἶναι· ἔστι καὶ Ἕλος Αἰγύπτου. ἔστι δὲ καὶ τόπος μεταξὺ τοῦ Πειραιέως καὶ τοῦ τετρακώμου Ἡρακλείου, ἐν ᾧ τοὺς γυμνικοὺς ἀγῶνας ἐτίθεσαν τοῖς παναθηναίοις — θάλος «φίλου θάλος» (Χ 87). — σκέλος, βέλος, τέλος, μέλος δισύλλαβα· τὰ δὲ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς ὄντα οὐδέτερα οὐκ εἰσὶν οἷον ζάφελος, σκόπελος, πέμπελος πλὴν τοῦ ὄφελος, ὅπερ εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι, ἄκλιτον ἔμεινεν. ὕψος μόνον ὄνομα ἀρχόμενον ἀπὸ τοῦ υ ἔχον ἐπιφερόμενον διπλοῦν. αἴτιον δὲ τὸ πάθος. γέγονε γὰρ παρὰ τὸ ὄπτω τὸ βλέπω ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος. Αἰολεῖς δ' ἴψος λέγουσιν αὐτὸ οἰκειότερον· ἔστι γὰρ εὑρέσθαι τὸ ι πρὸ τοῦ διπλοῦ, ἴζω, ἰξός, «μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν» (Α 454). ὡσαύτως ἀπὸ μελλόντων τὸ ἄψος «λύθεν δέ οἱ ἄψεα πάντα» (δ 794) καὶ «πίσεα ποιήεντα» (Υ 9). στεῖνος τὸ οὐδέτερον — «στεῖνος ὁδοῦ κοίλης» (Ψ 419)· ἐπίσταται δὲ ὁ ποιητὴς καὶ τὴν δοτικὴν «στείνει ἐν αἰνοτάτῳ» (Il. Θ 476) — τὸ δὲ ἀρσενικὸν ὀξύνεται, ὡσαύτως καὶ μάκρος παρ' Ἀριστοφάνει «ὦ Πόσειδον τοῦ μάκρους» (Αν. 1131). καὶ μακρός — καὶ κλεῖτος παρ' Ἀλκμᾶνι «τῷ ἐν Θεσσαλίῳ κλείτει» καὶ κλειτός. — οὖδος, ὅπερ ἀπὸ τοῦ οὖδας γίνεται ὡς γῆρος παρὰ τὸ γῆρας καὶ κῶος παρὰ τὸ κῶας καὶ ὦος παρὰ τὸ ὦας. — κνύος ἡ φθορά παρὰ τὸ κνύω παρ' Ἡσιόδῳ ὡς παρὰ τὸ θύω θύος καὶ φλύω φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας. Αἶπος ὄρος Λυδίας. Ἄργος διασημοτάτη πόλις Πελοποννήσου. δευτέρα Ἄργος τὸ Ἀμφιλοχικόν. τρίτη Θεσσαλίας ἡ νῦν Λάρισσα. τετάρτη Κιλικίας ἡ νῦν Ἀργειόπολις πέμπτη ἐν Νισύρῳ μιᾷ τῶν Κυκλάδων. ἕκτη κατὰ Τροιζῆνα. ἑβδόμη κατὰ Μακεδονίαν. ὀγδόη Ἄργος Ὀρέστιον ἡ ἐν Σκυθίᾳ. ἐνάτη Καρίας.

---

l. 3 κάλλος adieci ex Mon. 11, 16 resectis testimoniis, quae iam protuli, ubi de nominibus in λλος tractatum est, et addito Ἕλος proprio ex St. B. — l. 15 σκέλος — l. 18 ἄκλιτον ἔμεινεν recepi ex Ep. Cr. I 305, 21, Choer. Dict. 391, 10. — ὕψος (l. 18) accessit ex Mon. 22, 2 adhibito fragmento Herodiani περὶ πνευμάτων ap. Theogn. 19, 20. — ἄψος — πίσεα (l. 23 et 24) ex Ep. Cr. I 63, 20; στεῖνος ex Il. Pr. Μ 66, Ψ 419 collatis Ep. Cr. I 305, 10 et 412, 1; indidem μάκρος et κλεῖτος. l. 29 οὖδος — ὦος ex Herod. περὶ παθῶν, E. M. 638, 54. — l. 30 κνύος — φλύος ex Herod. ap. Eustath. 1746, 9. l. 32 Αἶπος, Ἄργος,

δεκάτη τὸ Ἀργολικόν. ἑνδεκάτη ἡ Φαιάκων Ὑπέρεια. Ἄργος δὲ σχεδὸν πᾶν πεδίον κατὰ θάλασσαν. Βῖδος φρούριον ἐν Σικελίᾳ. εὕρηται δὲ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ. Ἕρμος ὡς ἕρκος οὐδετέρως δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. λέγεται καὶ Ἕρμοι. τέμενος· ἔστι καὶ Τέμενος τόπος Σικελίας ὑπὸ τὰς Ἐπιπολὰς πρὸς ταῖς Συρακούσαις. τὸ ἔλεγχος, τὸ σκότος, τὸ τάριχος γέγονε κατὰ μεταβολὴν τοῦ γένους ἐκ τοῦ ὁ ἔλεγχος, ὁ σκότος, ὁ τάριχος. αἱ δὲ μετοχαὶ ὀξύνονται, τὸ τετυφός, πεποιηκός.

Τὰ εἰς ες μονογενῆ προπαροξύνεται, Κυνόσαργες γυμνάσιον ἐν τῇ Ἀττικῇ καὶ δῆμος, ἀπὸ Διόμου, ἀφ' οὗ ὁ χῶρος Ἀθήνησι Διόμεια καλεῖται. Δίομος γὰρ Ἡρακλεῖ ὡς θεῷ θύων τὰ ξενώσιων (?) ἱερὰ Ἡρακλεῖ ἥρῳ ἔδειξε καὶ αὐτῷ κύων λευκὸς ἁρπάσας τὰ μηρία εἰς τοῦτο τὸ χωρίον ἤνεγκε. ὅμαρες τὸ συμφωνοῦν, πεύκαες τὸ πικρόν, ῥώπαες τὸ ἀλσῶδες, πάνακες, δονάκαες. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται ὥσπερ καὶ τὰ ἀρσενικά, εὐσεβές, εὐγενές.

ΠΕΡΙ ΜΟΝΟΣΥΛΛΑΒΩΝ ΟΝΟΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ ιδ'.

Πᾶν ὄνομα μονοσύλλαβον οὐδέτερον μακροκατάληκτον, εἴτε ἀπαθὲς εἴη εἴτε πεπονθός, περισπᾶται καὶ ἔστι τὰ μονοσύλλαβα τῶν στοιχείων ὀνόματα εἶ, μῦ, νῦ, ξῖ, οὖ, πῖ, ῥῶ, ταῦ, φῖ, χῖ, ψῖ, ὦ. — πᾶν ἀπὸ τοῦ πᾶς καὶ τὸ δῶ ἀπὸ τοῦ δῶμα καὶ τὸ φᾶρ τὸ ἱμάτιον ἀπὸ τοῦ φᾶρος καὶ κρῖ, σταῖς, στῆρ τὸ στέαρ, οὖς, ὦς, φῶς, πῦρ, σκῶρ· τοῦτο δέ φασι Δωριεῖς ὀξύνειν· τὰ δὲ ἔχοντα βραχεῖαν ὀξύνεται, ἕν, τίς τί.

Πᾶν ὄνομα μονοσύλλαβον εἰς ν λῆγον ἀρσενικὸν καὶ θηλυκὸν ὀξύνεται, Πάν ὁ δαίμων, Δάν· οὕτως εἴρηται ὑπὸ Βοιωτῶν ὁ Ζεύς, Ζάν· οὕτω γὰρ εἴρηται ὁ θεὸς ὑπὸ τῶν μεταγενεστέρων Αἰολῶν· καὶ ἔτι οἱ μεταγενέστεροι Ἴωνες διὰ τοῦ ᾱ Ζάν ὁμοίως τῷ Λυκᾶνι «κλῦθί μοι

Βῖδος, Ἕρμος — Τέμενος (l. 5) ex St. B. — l. 6 ἔλεγχος — τάριχος ex Choer. Dict. 264, 15 et 366, 1. l. 9 Κυνόσαργες explevi ex St. B., ὅμαρες pro ὅμαργες Arcadii et Theognosti posui collato Hesychio, πάνακες, ex quo ap. Theogn. 131, 29 πάγηες corruptum esse Lobeck. El. I 345 adnotavit, recepi pariter atque δονάκαες ex Theognosto. l. 18—24 composui ex Io. Alex. 7, 16 et Arcad. 124, 12—20. l. 25 Arcad. 124, 21. — Δάν pro Ἄν emendavit Lob. Parall. 71, pro κύριον posui οὕτως — ὁ Ζεύς ex Mon. 6, 17; nam licet Arcadius dialecticas formas maximam partem praetermiserit, tamen non omnes resecuit. Ζάν addidi ex Eustath. 1387, 27 et 1141, ubi diserte ὁ παλαιὸς τεχνικὸς pro teste profertur i. e. Herodianus, qui in Mon. l. c. similia habet, et ex An. Ox. III 237, 26, qui locus ex Herodianeis fontibus derivatus emendatus est ab Ahrensio de dial. Aeolic. p. 163, ipse in verbis διὰ τοῦ ᾱ inserui ᾱ.

Ζανός τε κούρη Ζανί τ' ἐλευθερίῳ». Ζήν ὁ Ζεύς καὶ Δήν, μήν, cπλήν, cφήν, ψήν ἀρcενικά, τὸ δὲ χήν κοινὸν τῷ γένει· θηλυκὸν γὰρ αὐτὸ οἶδεν ὁ ποιητής «ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ οἴκῳ» (Od. ο 174) καὶ «αἰετὸς ἀργὴν χῆνα φέρων» (ο 161), ἀρcενικὸν δὲ οὕτως «χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν — ἐξ ὕδατος» (Od. τ 536), εἶτα ἐπιφέρει

ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχένας ἦξε καὶ ἔκτανεν, οἱ δὲ κέχυντο.

λέγεται δὲ καὶ Χήν πόλις Λακωνικῆς θηλυκῶς. καὶ τὸ μὲν χήν ἐν κοινότητι. Ὧι ὅμοιον δύναιτο ἂν εἶναι καὶ τὸ ῥήν τὸ θρέμμα, εἴ τις βούλοιτο. ἐπὶ δὲ τῆς αἰτιατικῆς Νίκανδρος (Ther. 453) «αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν». τὸ δὲ φρήν μόνως θηλυκὸν πεπλάνηται περὶ τὸ γένος, διὸ καὶ ἐξηλλάγη αὐτοῦ ἡ κλίσις ὡς πρὸς τὰ ἄλλα μονοσύλλαβα, φρενός γάρ, τῶν ἄλλων φυλασσόντων τὸ η. οὐκ ἀντιθήσει τις ἡμῖν τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν Λεοντίου α' «δερκόμενος πρὸς κῦμα, μόνη δὲ οἱ ἐφλέγετο γλήν. οὐ γὰρ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη. Ῥών πόλις τῆς Γανδαρικῆς Σκυθίας, κλών, πρών, Χών ὄνομα ποταμοῦ, ἐξ οὗ καὶ ἡ ἤπειρος Χωνία, παρὰ Ἡροδότῳ (9, 93) καὶ Χών τὸ ἐθνικόν, οὗ μέμνηται Στράβων ἐν ἕκτῃ (p. 254) «καὶ Χώνη πόλις ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτῃ Χῶνες ἐκλήθησαν». χθών μόνον θηλυκὸν ἐκ τῶν εἰς ων μονοσυλλάβων καὶ διαλλάξαν κατὰ τὴν κλίσιν. γίνεται δὲ παρὰ τὸ χῶ ῥῆμα χών καὶ χθών. Θών, ἀφ' οὗ καὶ ἡ γενικὴ Θῶνος. τὸ δὲ Θῶν Θῶντος ἐκ πάντων τῶν μονοσυλλάβων μόνον περισπᾶται μιμησάμενον κατὰ τὴν κλίσιν τὴν σμῶντος, κλῶντος, δρῶντος μετοχήν.

Τὰ εἰς ιν μονοσύλλαβα δικατάληκτα ὀξύνεται, ἴν ἴς, ῥίν ῥίς, θίν θίς.

* Εἰς υν μονοσύλλαβον οὐκ ἔστιν εὑρεῖν· πάντα γὰρ ὑπὲρ μίαν συλλαβήν ἐστιν· διὸ τὴν κυνός γενικὴν ἀπὸ τῆς κύονος συνεκεκόφθαι φαμέν, ὡς καὶ ἡ κλητικὴ μαρτυρεῖ ὦ κύον.

Τὰ εἰς αξ μονοσύλλαβα ὀξύνεται, σπάξ· οὕτως ὁ κύων παρὰ Πέρσαις, πλάξ, γλάξ βοτάνη γαλακτοποιός, ῥάξ· ἔστι δὲ καὶ Ῥάξ νῆσος

---

l. 1 verba ὁ Ζεύς καὶ Δήν apposui ex Mon. l. c., σπλήν — ψήν ἀρσενικά addidi ex Mon., χήν l. 2—16 ex eodem loco explevi p. 15, 8 cf. Ep. Cr. I 425, 25, l. 9 Χήν πόλις inserui ex St. B. s. v. — Ῥών accessit ex St. B., κλών πρών ex Mon. 32, 4 et Theogn. 131, 22, Χών ex Theogn. et St. B.; l. 21 χθών ex Mon. 32, 4 et Theogn., E. Gud. 565, 52, Θών ex Mon. et Theogn.; Θῶν Θῶντος explevi ex Theogn. l. 26 canonem de monosyllabis in ιν exeuntibus ex Theogn. 133, 7 posui; Arcadius commiscuit dicatalecta in ιν ις cum nominibus sola terminatione ις finitis. l. 28 praeceptum de nominibus in υν sumptum est ex Theogn. 132, 4 collato Choer. Dict. 283, 3. l. 31 Arcadius omnia in ξ uno canone complectitur, equidem Theognosti vestigia secutus octo canones constitui secundum vocales vel diphthongos literam ξ praeeuntes. — E nominibus in αξ Arcadius haec praebet: πλάξ, δράξ, γλάξ, σάρξ. — σπάξ, ῥάξ adieci ex Dichr. 284, 20; item Πράξ, de quo praeterea consului St. B. 534, 7. — Ῥάξ proprium ex Steph. Byz. recepi et

Λυκίας. Πράξ Ἀχιλλέως ἀπόγονος, ὃς ἐξ Ἠπείρου μὲν ὥρμησε, ᾤκησε δὲ ἐν τῇ Λακωνικῇ, ἀφ' οὗ Πρᾶκες ἔθνος. ὡσαύτως δὲ καὶ τὰ μετὰ συμφώνου ὀξύνεται στράγξ καὶ σάρξ.

Τὰ εἰς ξ μονοσύλλαβα ἔχοντα ἕν τι τῶν φύσει βραχέων, σπάνια ὄντα καὶ ἱστορίας ἐχόμενα, ὀξύνεται, Λέξ τὸ ἔθνος, κρέξ, πρόξ, φλόξ, κρόξ, δόρξ, ζόρξ, ὄλξ.

Τὰ εἰς ξ λήγοντα μονοσύλλαβα ἔχοντα ἕν τι τῶν φύσει μακρῶν ὀξύνεται, σφήξ· Σφῆκες δὲ ἐκαλοῦντο καὶ οἱ τὴν Κύπρον ἐνοικοῦντες. κήξ, βήξ, δήξ, πτώξ, πρώξ, ῥώξ, ὃ διὰ τοῦ γ κλίνεται, ὤλξ· τὸ δὲ βῶξ μόνον ἐκ πάντων περισπᾶται, ἐπεὶ τούτου ἐντελέστερον τὸ βόαξ, ὡς Ἀριστοφάνης

ἀλλ' ἔχουσα γαστέρα
μεστὴν βοάκων

καὶ Φερεκράτης εἰπὼν

τί ληρεῖς; ἀλλὰ φωνὴν οὐκ ἔχειν
ἰχθῦν γέ φασι τὸ παράπαν

ἐπιφέρει

νὴ τὼ θεώ
κοὐκ ἔστιν ἰχθῦς ἄλλος ἢ βόαξ.

Ἀριστοτέλης δὲ ὅτι μόνος τῶν ἰχθύων φωνὴν προΐεται καὶ οὕτως ὠνόμασται.

Τὰ εἰς ιξ μονοσύλλαβα ὀξύνεται, στίξ ἡ τάξις, φρίξ, θρίξ, ψίξ, πνίξ, πλίξ, Βρίξ ἔθνος Θρᾳκικόν. Ἡρόδοτος ἑβδόμῃ (c. 73) «οἱ δὲ Φρύγες, ὡς Μακεδόνες λέγουσι, καλέονται Βρίγες» ἀπὸ Βρίγου τοῦ κατοικήσαντος ἐν Μακεδονίᾳ, ἴξ θηρίδιόν τι ἐσθίον τὰς ἀμπέλους, Φίξ, Σφίξ, στρίξ καὶ στρίγξ εἶδος ὀρνέου, ὅπερ τινὲς καὶ διὰ τοῦ λ γράφουσι στλίξ, Λίγξ ποταμὸς Μαυριτανίας καὶ πόλις· τινὲς δὲ Λίξον γράφουσιν.

Τὰ εἰς υξ μονοσύλλαβα ὀξύνεται, τρύξ, Φρύξ τὸ κύριον καὶ τὸ ἐθνικόν, Βρύξ Μακεδονικὸν ἔθνος προσεχὲς Ἰλλυριοῖς, πτύξ, Στύξ, νύξ, στρύξ, πνύξ τὸ παρ' Ἀθηναίοις δικαστήριον· ἔστι πύκν ὄνομα

στράγξ ex An. Ox. III 243, 19, in quo fragmento quae sunt de monosyllabis ex Herodiano fluxerunt. κλάξ in Dichr. cum Lehrsio delevi. l. 5 Arcadius habet tantum Λέξ, φλόξ, ὄλξ; reliqua sunt ex Eustath. 1922, 8, ubi Herodiani diserta mentio fit (κρέξ) et ex Theogn. 132, 10 et 40, 32 et An. Ox. l. c. l. 10 Arcadius praebet unum βῶξ. Canonem sumpsi ex An. Ox. III 243, 21; proprium Σφήξ inserui ex St. B. — Pro Theognosti (132, 14 et 41, 3) ῥήξ cum Lobeckio Parall. 102 scripsi δήξ. — πτώξ, ῥώξ habet Herodian. ap. Eustath. l. c., praeter haec πρώξ et An. Ox. et Theogn. p. 40. — βῶξ praebent praeter laudatos fontes etiam Io. Al. 7, 24 et accuratissime Herod. in E. M. 218, 28, quem locum recepi consulto Io. Al. l. 22 canonem de nominibus in ιξ (Arcadius tantum στίξ habet) petivi ex Dichr. 285, 5 et Theogn. 132, 14 et 41, 4, quibus locis comparatis scripsi στρίξ καὶ στρίγξ, quod in Theogn. l. p. 132 in τρίγξ corruptum est. Nomina propria partim accuratius definivi ex St. B. (Βρίξ) partim adieci (Λίγξ).

l. 29 Canonem de nominibus in υξ praebent Dichr. 285, 19, Theogn. 40, 2 et 132, 19, pro cuius corrupto σφύξ posui monente Lobeckio πνύξ, quod ex St. B. explevi pariter atque Βρύξ et Λύγξ.

κύριον. οὐ δύναται δὲ καταλῆξαι καὶ ὑπερετέθη τὸ ν̄ καὶ ἐτράπη τὸ κ̄ εἰς ξ̄ πνύξ. ὑπέρθεσιν ἄρα ἔχει διὰ τὴν κατάληξιν· ἐν δὲ τῇ γενικῇ ἀπέλαβε τὴν τάξιν μετὰ τοῦ κ̄ πνύξ πυκνός «τῆς πυκνὸς τὰς ἡνίας» «τοῦ λίθου τοῦν τῇ πυκνί» καὶ «πύκνα». κέκληται δὲ παρὰ τὸ πυκνὸν τῶν πάλαι ᾠκισμένων οἰκιῶν, λύγξ καὶ Λύγξ πόλις Λιβύης πρὸς τοῖς Γαδείροις μετὰ τὸν Ἄτλαντα· καὶ νῆσος Ἄτλαντος καὶ πόλις Λύγξ, ὡς Ἀρτεμίδωρος.

Τὰ εἰς αιξ̄ μονοσύλλαβα ὀξύνεται, Ῥαίξ, Γραίξ, Γραῖκες γὰρ παρ' Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν· εἰσὶ δὲ καὶ Γραῖκες Αἰολέων οἱ τὸ Πάριον οἰκοῦντες. ἔστι δὲ ἡ μεταπλασμὸς ἡ τῆς Γραίξ εὐθείας κλίσις ἐστίν. ἀλλὰ δύο μόνα εὕρηται ἐν τῇ συνήθει χρήσει· τὸ αἶξ ἐπὶ τοῦ ζῴου· καὶ τοῦτο οἱ Ἀττικοὶ περισπῶσι, καὶ τὸ Θρᾷξ, ὅπερ οὐδὲ ἐκφωνεῖ τὸ ῑ. τοῦτο δὲ περισπᾶται, ἐπεὶ καὶ ἐντελέστερον αὐτοῦ τὸ Θράϊξ δισύλλαβον «Θρήϊκας» (Il. Β 844) καὶ «Θρήϊκες οἵδ' ἀπάνευθε νεήλυδες» (Κ 434) καὶ «Θρηΐκιον» (Ψ 230).

Τὰ εἰς αυξ̄ μονοσύλλαβά εἰσι δύο μόνα, τὸ Ταῦξ, ἱστορεῖται οὗτος ποταμὸς περὶ Σικελίαν, καὶ τοῦτο περισπᾶται, καὶ τὸ γλαύξ, ὃ παρ' ἡμῖν μὲν ὀξύνεται, παρὰ δὲ Ἀθηναίοις καὶ τοῦτό τινες περισπῶσιν.

Οὐδὲν εἰς οιξ̄ λήγει ὄνομα πλὴν μόνον ἡ προίξ καὶ ὀξύνεται.

Πᾶν τοίνυν εἰς ξ̄ μονοσύλλαβον κοινολεκτούμενον ὀξύνεται πλὴν τοῦ Θρᾷξ καὶ τοῦ βῶξ.

Τὰ εἰς ρ̄ ἀρσενικὰ καὶ θηλυκὰ μονοσύλλαβα ὀξύνεται. Πάρ· τόπος δέ ἐστιν ἐν τῷ περὶ Θυρέᾳ, ἐν ᾧ ἐμαχήσαντο οἱ Ἀργεῖοι καὶ Λακεδαιμόνιοι. Κάρ· ἔστι δὲ ἔθνος ὁμονύμως τῷ κτιστῇ. Μάρ ἔθνος προσεχὲς τοῖς Μοσσυνοίκοις. Ἑκαταῖος Ἀσίᾳ. ψάρ· ἔστι δὲ εἶδος ὀρνέου· τοῦτο δὲ παρὰ τῷ ποιητῇ καὶ διὰ τοῦ ᾱ εὑρίσκεται καὶ διὰ τοῦ η̄ οἷον «κολοιούς τε ψῆράς τε» (Π 583) καὶ «ψαρῶν νέφος ἔρχεται» (Ρ 755).

---

l. 5 λύγξ accessit ex Choer. Dict. 344, 22. Choerob. Ep. in Psalm. 39, 32 tradit τὰ εἰς υξ̄ λήγοντα ὀνόματα μονοσύλλαβα ὀξύνονται, εἰ μὴ διάφορος ἱστορία παρακολουθήσει, cuius generis vocabulum non traditum est. cf. praeterea Herod. ap. Eustath. 229, 40. l. 8 Arcadius habet tantum αἶξ· καὶ τοῦτο οἱ Ἀττικοὶ περισπῶσι. Ipse canonem concinnavi ex Theogn. 132, 27 et St. B. s. Γραῖκες et Herod. ap. Eustath. 1922 ὁ ταῦτα παραδοὺς (sc. qui ante nominatus est Herodianus) καὶ τὰ εἰς αιξ̄ εἰς δύο μόνα παραγράφει· αἶξ γὰρ αἰγός καὶ Θρᾷξ Θρᾳκος· ὑποτέτακται γάρ, φησί, τὸ ῑ τῷ ᾱ, εἰ μὴ συνεκφωνεῖται ὡς δῆλον ἐκ τοῦ Θρήϊκας καὶ Θρηΐκιον καὶ τῶν ὁμοίων (cum quo congruit Theogn. Θρᾷξ ὅπερ οὐδὲ ἐκφωνεῖ τὸ ῑ ὃ καὶ Θρήϊξ δισυλλάβως λέγεται), et Io. Al. 7, 26, ubi cum Arcadio de αἶξ congruit, et 7, 21, unde ad Θρᾷξ addidi verba τοῦτο δὲ περισπᾶται, ἐπεὶ καὶ ἐντελέστερον usque ad finem. De Θρᾷξ cf. etiam Il. Pr. I 604 λόγος ἐστίν, ὡς πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουσα φωνήεντα ταῦτα ἐκφωνεῖ χωρὶς τοῦ Θρᾷξ et Ep. Cr. I 25, 5, E. M. 36, 51. l. 16 canonem de nominibus in αυξ̄ composui ex Mon. 41, 20, Io. Al. 7, 26 et Cr. An. Ox. III 243, 10. cf. etiam E. M. 96, 56, ubi οὐδὲν εἰς ξ̄ περισπᾶται· τὸ τοίνυν αἶξ ὀξύνεται· τὸ δὲ Θρᾷξ περισπᾶται· καὶ τὸ Ταῦξ καὶ γλαῦξ. l. 19 praeceptum de προίξ ex Mon. 41, 21 transtuli, ubi quamquam προῖξ circumflexum est, tamen καὶ ὀξύνεται apposui, quia ab Arcadio inter acuta vocabula refertur. — l. 20 ipse finxi ex more Herodianeo. l. 22 Arcad. 125, 9. — Πάρ explevi ex Choer. Dict. 84, 32, Κάρ ex St. B., Μάρ ex eodem apposui; ψάρ ex Choer. 84, 1.

Cήρ ἔθνος Ἰνδικόν, ὅθεν cηρικὰ τὰ πολυτελῆ ἱμάτια. Τρήρ Θρᾴκιον ἔθνος. λέγεται καὶ τριcυλλάβωc παρὰ Καλλίνῳ τῷ ποιητῇ «Τρήρεας ἄνδρας ἄγων». Θεόπομπος Θρᾶρας αὐτοὺς καλεῖ. Ἀρριανὸς δὲ ἐν Βιθυνιακοῖς Τρίηρας. θήρ, φήρ ὁ κένταυρος «φηρcὶν ὀρεcκῴοιc» (Α 268) καὶ κήρ τὸ θηλυκὸν ἡ θανατηφόρος μοῖρα «μάρτυροι οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι» (Β 302) καὶ κατὰ ποιητικὴν cυcτολὴν τοῦ η̄ εἰς ᾱ «τίω δέ μιν ἐν καρὸς αἴcῃ» (Ι 378), ἦρ ἐπὶ τῆς ἐπικουρίας· καὶ ὀξύνεται ἡ γενικὴ ἠρός καὶ ἡ αἰτιατικὴ ἦρα καὶ ἐν cυνθέcει ἐπίηρα. βήρ τὸ φρέαρ παρὰ Φοίνιξι. — Τὰ εἰς ε̅ι̅ρ̅ λήγοντα μονοσύλλαβα τρία μόνα εἰσίν, ἓν μὲν θηλυκὸν τὸ χείρ, δύο δὲ ἀρσενικὰ τὸ Εἴρ· ἔστι δὲ ὄνομα ποταμοῦ, οὗ μέμνηται Ἀρτεμίδωρος ἐν Γεωγραφουμένοις καὶ τὸ φθείρ. τὸ δὲ Φθίρ ὁ υἱὸς τοῦ Ἐνδυμίωνος διὰ τοῦ ῑ γράφεται, παρὰ δὲ τοῦτο τὸ ὄρος Καρίας καὶ οἱ κατοικοῦντες Φθῖρες «Φθιρῶν τ᾽ ὄρος ἀκριτόφυλλον» (Β 868). ὁμοίως καὶ τὸ Cίρ ἔθνος Θρᾴκης ὑπὲρ τοὺς Βυζαντίους. — φώρ ὁ κλέπτης, Νώρ ὄνομα ἔθνους. Cώρ. τὸ δὲ ὦρ περισπᾶται· ἔστι δὲ μόνον θηλυκὸν εἰς ω̅ρ̅ ἐκ τοῦ ὄαρ γενόμενον κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ εἰς ω̄ ὥσπερ κρείττονα κρείττω· ἡ δὲ εὐθεῖα οὐχ εὕρηται, ἀναπλάττομεν δὲ αὐτὴν ἀπὸ τοῦ «ἀμύνεμεν ὤρεσιν» (Il. Ε 486).

---

l. 1 Cήρ explevi ex St. B., unde ap. Theogn. 133, 22 Μηδικόν in Ἰνδικόν mutandum est, et Choer. 85, 5. Τρήρ addidi ex Theogn. l. c. et St. B., φήρ ex Choer. 85, 2. — κήρ explevi ex Choer. 85, 10; ἤρ addidi ex Eustath. 152, 32 ὁ μέντοι Ἡρωδιανὸς ἁπλούστερον παράγων φησί κτλ. Schol. A ad Il. Α 572, An. Paris. III 366, 19, ubi εἰς δὲ τὴν καθόλου εὗρον οὕτως cf. Lehrs Arist. p. 110 (ed. II). — l. 9 βήρ adieci ex St. B. 167, 9 coll. Schol. V ad Il. Λ 101. — Canonem de nominibus in ε̅ι̅ρ̅ composui ex Arcad. 20, 10, Choer. 86, 14, Theogn. 133, 15. — Ad Εἴρ Artemidori testimonium apposui ex Ep. Cr. I 440, 5, ubi etiam φθείρ εἴτε ὁ ἥρως (quod non Herodianeum est) εἴτε τὸ ζῷον εἴτε ὁ καρπὸς τῆς πίτυος. Ad φθίρ praeterea consului St. B. 664, 4, Eustath. 368, 11 et Choer. Orth. 274, Cίρ recepi ex St. B. — l. 15 Νώρ et Cώρ accesserunt ex Theogn. 133, 25, Lob. Parall. 77 Cώρ nomen urbis Tyri, quod alibi Cύρ et Cούρ scribitur, suspicatur. ὦρ addidi ex Choer. Dict. 347, 17: εἰς ω̅ρ̅ διὰ τοῦ ω̄ οὐκ ἔχομεν θηλυκόν. βούλονται δέ τινες ἀναπλάττειν ἀπὸ τοῦ «ἀμύνεμεν ὤρεσιν» ἀντὶ τοῦ ταῖς γυναιξὶν εὐθεῖαν τῶν ἑνικῶν ὤρ ἀπὸ τοῦ ὄαρ (sic pro ἄορ) γενομένην κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ (pro ᾱ καὶ ο̄) εἰς ω̄, ὥσπερ κρείττονα κρείττω, ὧν ἐστι καὶ Ἡρωδιανὸς ἑαυτῷ ἐναντιούμενος· αὐτὸς γὰρ λέγει ἐν ἄλλῳ (in Onomatico ut videtur) ὅτι ὥσπερ τὰ εἰς η̅ρ̅ μονοσύλλαβα, μόνου μὲν ἀρσενικοῦ γένους ὄντα, φυλάττουσι τὸ η̄ καὶ ἐν τῇ γενικῇ, οἷον θήρ θηρός, φήρ φηρός «φηρσὶν ὀρεσκῴοισιν» (Α 268) ἀντὶ τοῖς κενταύροις, θηλυκοῦ δὲ γένους ὄντα καὶ φυλάττουσι τὸ η̄ καὶ συστέλλουσιν οἷον κήρ κηρός καὶ καρός «κῆρα δ᾽ ἐγὼ τότε δέξομαι» (Σ 115) καὶ «τίω δέ μιν ἐν καρὸς εἴσῃ». οὕτως οὖν καὶ τὰ εἰς ω̅ρ̅ ἀρσενικὰ μονοσύλλαβα φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ οἷον φώρ φωρός· εἰ οὖν τὸ ὤρ οὐ συστέλλει τὸ ω̄ κατὰ τὴν γενικήν, ὡς δηλοῖ τὸ ἀμύνεμεν ὤρεσι» διὰ τοῦ ω̄ ὄν, δηλονότι οὐκ ἔστι θηλυκόν. Sed quum Herodianus dixerit feminina quum servare productum tempus tum corripere posse, apparet eum sibi ipsi non adversatum esse, ὤρ pro unico feminino putantem, neque enim contenderat omnino in femininis vocalem corripi debere. Tum pergit Choeroboscus: τί οὖν ἔχομεν εἰπεῖν περὶ τοῦ «ἀμύνεμεν ὤρεσιν» ὅτι πόθεν γέγονεν; ἔστι δὲ εἰπεῖν ὅτι ἐστὶν ὄαρος καὶ ὄαροι ἡ εὐθεῖα τῶν πληθυντικῶν (ὄαροι δέ εἰσιν αἱ γυναῖκες) καὶ λοιπὸν κατὰ μεταπλασμὸν γίνεται ὄαρες καὶ ἐκεῖθεν ἡ δοτικὴ τῶν πληθυντικῶν ὀάρεσι κατ᾽ ἐπέκτασιν τῆς σ̅ι̅ συλλαβῆς ὥσπερ κύνεσιν, αἴγεσιν, καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ εἰς ω̄ ὤρεσι. De accentu ap. Choerob., apud quem oxytonos scriptum est, nihil adnotatur, sed Eustath. 573, 29 (Philem. p. 218) perispomenon esse perhibet cf. Lob. El. II 75.

τὸ μέντοι πῦρ, ὅπερ Σιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο· «τοῦτο γὰρ μάλιστα φῆρες ἔστυγον πύϊρ», στῆρ, κῆρ τὸ κέαρ, σκῶρ ἡ κόπρος ὡς οὐδέτερα περισπᾶται. ὡσαύτως καὶ βλῆρ Αἰολικῶς τὸ δέλεαρ. οἱ Αἰολεῖς τὸ δ̄ εἰς β̄ τρέπουσι· τοὺς γὰρ δελφῖνας βελφῖνάς φασι καὶ τοὺς Δελφούς Βελφούς· οὕτως οὖν δέλεαρ βέλεαρ καὶ κατὰ συγκοπὴν καὶ συναλοιφὴν βλῆρ πεποίηται. οὕτω καὶ οἱ Βοιωτοὶ ποιοῦσι. τὸ δὲ Σῦρ οὐ σύνηθες παρὰ Ἕλλησιν, ἀλλ' ἱστορίας ἐχόμενον, ἄλλως τε οὐδ' ἄντικρυς οὐδέτερον. οὕτω γὰρ ἐκαλεῖτο πρότερον ἡ Φοινίκη.

Τὰ εἰς ᾱς̄ μονοσύλλαβα, εἰ μὲν ἀποβολῇ τοῦ σ̄ τὴν γενικὴν ποιοῦσι, περισπῶνται, ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Θᾶς τοῦ Θᾶ ὄνομα κύριον, ὁ Χνᾶς τοῦ Χνᾶ· οὕτως δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ λέγεται. Δᾶς· ὄνομα δὲ τοῦτο ποταμοῦ. Βᾶς· ἱστορεῖται δὲ οὗτος βασιλεὺς Πόντου. Λᾶς· τοῦτο δὲ καὶ ποταμὸν καὶ λίθον καὶ πόλιν σημαίνει· πᾶς πᾶ ὁ πατήρ· εἰ δὲ περιττοσυλλάβως κλίνοιτο μονογενῆ ὄντα, ὀξύνεται, Πράς Πράντος ὄνομα πόλεως Περραιβικῆς καὶ ποταμοῦ καὶ τὸ ἐθνικὸν ὁμοφώνως, εἰ καὶ ἐν τῷ Ὀνοματικῷ εἶπον αὐτὸ περισπᾶσθαι, Ζάς Ζάντος ὁ Ζεύς, Φθάς κύριον, κράς ἡ κεφαλή. τοῦτο δὲ μόνον διὰ τοῦ τ̄ ἐκλίθη, τῶν ἄλλων μονοσυλλάβων ὀξυτόνων μετοχικῶς κατὰ τὸ φάς φάντος διὰ τοῦ ντ κλινομένων. ἔχομεν δὲ χρῆσιν τῆς εὐθείας παρὰ Σιμμίᾳ τῷ Ῥοδίῳ οὕτως «χρυσῷ τοι φαέθοντι πολύλλιτος ἐμφέρεται κράς». τὸ μέντοι πᾶς παντός τριγενές. τὸ δὲ δᾴς δᾳδός τοῦ ῑ προσγεγραμμένου ὀξύνεται ὡς ἐκ τοῦ δαΐς ὀξυνομένου συναιρεθέν.

---

l. 1 πῦρ explevi ex Mon. 12, 20. — de κῆρ cf. Il. Pr. Δ 46 περὶ κῆρι: τὸ κῆρι οὐδέτερον ὅταν ᾖ, προπερισπᾶται· ἐκ γὰρ τοῦ κέαρ συνήλειπται, ὅταν δὲ θηλυκὸν ᾖ, ὀξύνεται. ἐνθάδε δὲ οὐδέτερόν ἐστι, προπερισπασθήσεται ἄρα. σκῶρ addidi ex Theogn. 133, 26 et Io. Al. 7, 20. βλῆρ ex E. M. 200, 28 cf. Hesych. βλῆρ δέλεαρ. τὸ αὐτὸ καὶ αἶθμα. παρὰ Ἀλκμαίωνι ἡ λέξις. cf. Lob. Parall. p. 75 et Ahrens de dial. Aeol. p. 41 cum not. 5. Σῦρ ex Mon. l. c. l. 10 canonem de nominibus in ᾱς̄ explevi ex Choer. 16 et 17, ex quo explicationes vocum accesserunt. St. B. 534, 12 Πρᾶς ὄνομα πόλεως Περραιβικῆς. περισπᾶται καὶ περιττοσυλλάβως κλίνεται, quod ex Onomatico Herodiani petitum est teste Choer. 16, 17 ἰστέον ὅτι ὁ Ἡρωδιανὸς ἐν τῷ Ὀνοματικῷ λέγει αὐτὸ (sc. Πράς) περισπᾶσθαι καὶ διὰ τοῦ ντ κλίνεσθαι, ἐν δὲ τῇ καθόλου ὀξύνεσθαι, ὁμοίως δὲ καὶ διὰ τοῦ ντ̄ κλίνεσθαι et Eustath. 436, 20: ὡς καὶ ὀξύνεται ὁ Ζάς καὶ τὸ ντ ἔχει ἐν τῇ γενικῇ, δῆλον ἐκ τοῦ παραδόντος (sc. Herod.), ὅτι καθὰ Πράς Πράντος ὄνομα πόλεως καὶ ποταμοῦ καὶ Φθάς Φθάντος κύριον παροξυνόμενον μετοχικῶς ἐν τῇ γενικῇ κατὰ τὸ φάς φάντος, οὕτω καὶ Ζάς Ζάντος, ὃ σημαίνει τὸν Δία. — Io. Al. 7, 29 habet Γρᾶς Χνᾶς Θᾶς, hoc etiam St. B. 405, 5 collat. Eustath. ad Hom. 295, 34; Ζάς memoratur in Mon. 6, 16. — l. 21 Σιμμίᾳ pro Σιμονίδῃ proposuit Gaisford, versum emendavit Lob. Parall. 78 (χρυσῶ το φαέθοντι πολύλιστος φαίνεται κράς in codice est). — l. 22 δᾴς addidi ex Eustath. 1571, 30, ubi ἰστέον ὅτι τῶν εἰρημένων δαΐδων ἡ εὐθεῖα διαλέλυται πρὸς διαστολὴν τοῦ δαίς ἡ εὐωχία. καὶ ὅμως ὅτε ἡ τοιαύτη δαΐς δᾴς λεχθείη ἐν προσγραφῇ τοῦ ῑ διφθογγίζεσθαι λογίζεται. Ἡρωδιανὸς οὖν παραδοὺς τὰ εἰς ᾱς̄ ὀξύτονα διὰ τοῦ δ̄ κλίνεσθαι οἷον στιβάδος, ἰσχάδος, πελιάδος ἓν μόνον ἐκ τούτων εἰς ᾱῑς̄ φησὶ λήγειν τὸ δᾴς. Io. Alex. 18, 35: δᾷδες δᾴδων· δαΐδες δαΐδων γὰρ τρισυλλάβως τὸ ἐντελές. cf. Lob. Parall. 90 c. not. 33. Io. Al. 6, 20 ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, ap. Choer. 452, 19 ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ συναίρεσις οἷον δάϊς δᾴς, κἀκεῖθεν ἡ κλίσις scribendum est δάϊς δᾴς cf. E. M. 244, 29 et 51.

Τὸ ναῦς ὃ καὶ νᾶς, καὶ γραῦς καὶ βαῦς μόνως θηλυκὰ περισπᾶται καὶ τὰ εἰς αις μονοσύλλαβα, παῖς κοινὸν κατὰ γένος· ἔστι δὲ ἀπὸ τοῦ πάϊς· σταῖς οὐδέτερον. τὸ δὲ δαίς ἡ εὐωχία θηλυκὸν ὀξύνεται.

Τὰ εἰς εις μονογενῆ ὀξύνονται, δείς ἄρρητον, ὅπερ ἀεὶ μετὰ τῆς οὐ ἀποφάσεως ἢ τῆς μή ἀπαγορεύσεως σύνεστιν, οὐδείς μηδείς. μείς Αἰολικῶς ὁ μήν, κτείς καὶ κλείς θηλυκόν. τὸ μέντοι εἷς περισπᾶται ὡς τριγενές. τὰ γὰρ εἰς εις λήγοντα ὀνόματα κοινολεκτούμενα ἔχοντα οὐδετέρου παρασχηματισμὸν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν οἷον χαρίεις χαρίεν, δαφνήεις δαφνῆεν, αὐδήεις αὐδῆεν. τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ εἷς ἔχον οὐδετέρου παρασχηματισμὸν οἷον τὸ ἕν ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. πρόσκειται «ὀνόματα» διὰ τὰς μετοχὰς οἷον διὰ τὸ τυφθείς τοῦ τυφθέντος, δαρείς δαρέντος, νυγείς νυγέντος. ταῦτα γὰρ ὀξύνονται. πρόσκειται «κοινολεκτούμενα», ἐπεὶ τὸ εὐσεβής καὶ εὐγενής οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου προφέρονται. πρόσκειται «ἔχοντα οὐδετέρου παρασχηματισμόν» διὰ τὸ κτείς κτενός. τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔχει οὐδετέρου παρασχηματισμόν. τὸ οὖν εἷς ὡς ἔχον οὐδετέρου παρασχηματισμὸν οἷον τὸ ἕν οὐ δύναται ὀξύνεσθαι· ἀλλ' οὐδὲ βαρύνεσθαι δύναται, ἐπεὶ μονοσύλλαβόν ἐστι, τὰ δὲ μονοσύλλαβα οὐδέποτε βαρύνονται, ἀλλ' ἢ ὀξύνονται οἷον Κρής Τρώς πούς τίς νύξ φλόξ ἢ περισπῶνται οἷον βοῦς νοῦς παῖς γραῦς πᾶς. μὴ δυνάμενον οὖν τὸ εἷς μήτε ὀξύνεσθαι ὡς ἔχον οὐδετέρου παρασχηματισμὸν μήτε βαρύνεσθαι ὡς μονοσύλλαβον ἐξ ἀνάγκης περιεσπάσθη. Ἀμέλει ὅταν πλεονάσῃ τὸ ε καὶ ὑπερβῇ τὴν μονοσυλλαβίαν βαρύνεται οἷον ἕεις ὡς παρὰ τῷ Ἡσιόδῳ (Theog. 145) «κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ».

Τὰ εἰς οις περισπᾶται· ἔστι δὲ δύο μόνα τὸ οἶς καὶ παρ' Ἀττικοῖς τὸ φθοῖς συναιρεθέντα ἐκ δισυλλάβων τὸ ὄϊς καὶ φθόϊς.

Τὰ εἰς ευς μονοσύλλαβα ὀξύνεται, Ζεύς, Φλεύς ἐπὶ τοῦ Διονύσου κείμενον, ὡς ἐν ταῖς ἐπικλήσεσιν εὕρομεν, Νεύς ἐπὶ ποταμοῦ κείμενον, ὥς φησι Φιλέας, θεύς ἐκ συναλοιφῆς γενόμενον, Δεύς ὑπὸ Βοιωτῶν ὁ Ζεύς, σεύς ἀπὸ ἀναλογίας πλασσόμενον, Δνεύς ἐθνικὸν

l. 1 ὃ καὶ νᾶς καὶ βαῦς, quod quid sit Lob. Parall. 91 dicere non habet, ex Io. Al. 7, 35 accesserunt (Hes. βαῦ εἶδος ἄνθους), ex eodem et Theogn. 133, 32. E. M. 251, 36 generis distinctio vocabulorum in αις repetita est; ἀπὸ τοῦ πάϊς sunt ex Theogn. Canon de nominibus in αυς exstat etiam in E. M. 240, 29: δύο μόνα εἰς αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα· κλίνονται δὲ ἀμφότερα διὰ ος ναῦς ναός, γραῦς γραός; canon de nomin. in αις invenitur etiam in An. Paris. III 367, 8. l. 4 δείς (ἄρρητον Eustath. 710, 30) addidi ex Theogn. 134, 4, ad μείς apposui Αἰολικῶς ex Choer. 200, 1, ubi pro Ἰωνικῶς aut Αἰολικῶς aut Βοιωτικῶς scribendum est; εἷς explevi ex Choer. 197, 28, qui locus congruit sententia cum loco Theogn. 134, 7 ex libro περὶ μονοσυλλάβων sumpto. cf. Mon. 18, 29. Mutilatum est praeceptum de εἷς in Ep. Cr. I 133, 18, melius servatum in Epim. An. Ox. II 364, 21. l. 25 canonem Arcadii (ἔτι καὶ τὰ εἰς οις περισπᾶται, φθοῖς οἶς) ex Theogn. 134, 18 et Il. Pr. Γ 198 supplevi. l. 27 hunc canonem explevi ex Mon. 6, 5 collato Choer. 209, 6. Choer. Epim. in Psalm. 70, 4 (E. M. 189, 39): τὰ εἰς ευς λήγοντα ὀνόματα ἀρσενικὰ εἴτε μονοσύλλαβα εἴτε ὑπὲρ μίαν συλλαβὴν πάντα ὀξύτονά εἰσιν. Εἰσὶ δὲ δηλονότι κοινολεκτούμενα οἷον Ἀχιλλεύς, Ἀτρεύς, Πηλεύς, Θησεύς, βασιλεύς, ἱερεύς, Ζεύς, Φλεύς ὁ Διόνυσος, Νεύς ὄνομα ποταμοῦ, Δνεύς ὄνομα πόλεως ἐν Λυκίᾳ, ἔνθα ἀνετράφη ἡ

«μὴ Δνεὺς χίμαιραν, ἄγριον ὀφλήσεις». τὸ μέντοι νεῦς ἡ ναῦς περισπᾶται ὥσπερ καὶ τὸ γρεῦς.

Τὰ εἰς ους μονοσύλλαβα, εἴτε ἀπαθῆ εἴτε συνῃρημένα, περισπᾶται, βοῦς, πλοῦς, ῥοῦς, φλοῦς, χλοῦς, Γλοῦς ὁ ληστής, χνοῦς παρὰ Σοφοκλεῖ, κνοῦς, θροῦς, νοῦς, σοῦς, χροῦς πολὺ παρὰ τοῖς Ἴωσι, χοῦς καὶ Χοῦς ἔθνος Βεχείρων ἐγγύς. Ἑκαταῖος ἐν Ἀσίᾳ «εἰς μὲν τοῦτο ἡ Βεχειρική, ἔχονται δ' αὐτῶν Χοῖ» καὶ πάλιν «μέχρι μὲν τούτων Χοῖ» καὶ πάλιν «Χοῖσι δὲ ὁμουρέουσι πρὸς ἥλιον ἀνίσχοντα Δίζηρες». καὶ τὸ οὖς οὐδέτερον. τοῦτο δὲ οὕτως ἐγένετο· παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται αὖας· καὶ τροπῇ τοῦ ᾱ εἰς ō οὖας, τὸ τῆς φωνῆς ἀντιληπτικὸν αἰσθητήριον· κλίνεται οὔατος ὡς δέρας δέρατος. ἐκ δὲ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ ῡ ὦας καὶ κατὰ κρᾶσιν οὖς καὶ κατὰ Δωριεῖς ὦς. σημειωτέον τὸ πούς ὀξυνόμενον. μετοχῆς γὰρ ἐδέξατο τόνον. καὶ γὰρ τὸ δούς ὀξύνεται.

Τὰ εἰς ης κατὰ διάλεκτον γινόμενα ἐκεῖνον ἔχει τὸν τόνον, ὁποῖον καὶ τὰ πρωτότυπα, μήν μής, δαίς δής, παῖς πῆς, εἷς ἧς. παρὰ γὰρ Ῥίνθωνι «οὐδ' ἧς κύων».

Τὰ εἰς ης μονοσύλλαβα τυχόντα φυσικῆς καταλήξεως ἢ ὀξύνεται ἢ περισπᾶται· καὶ ὀξύνεται μὲν τὰ περιττοσυλλάβως κλινόμενα, Κρής ὁ Διὸς καὶ Ἰδαίας νύμφης παῖς καὶ ὁ πολίτης, σής ὁ σκώληξ καὶ ποταμοῦ ὄνομα, Γνής ἔθνος οἰκῆσαν τὴν Ῥόδον· ἔνθεν Ἴγνητες οἱ ἰθαγενεῖς· λέγεται γὰρ καὶ μετὰ τοῦ ῑ Ἴγνητες. Φρής ἔθνος Λιβυκόν, Γλής ἔθνος Ἰβηρικὸν μετὰ τοὺς Κύνητας. Ἡρόδωρος δεκάτῳ τῶν καθ' Ἡρακλέα ἱστοριῶν «τὸ δὲ Ἰβηρικὸν γένος τοῦτο, ὅπερ φημὶ οἰκέειν

χίμαιρα, σεύς ὁ σκώληξ, ταῦτα δέ, φημὶ τὸ Φλεύς καὶ Νεύς καὶ Δνεύς οὐδὲ συνήθη εἰσὶ τοῖς Ἕλλησι, τὸ δὲ σεύς οὐδὲ εὕρηται ἐν χρήσει κατὰ τὴν εὐθεῖαν, ἀλλὰ κατὰ τὰς πλαγίους. πρόσκειται δηλονότι κοινολεκτούμενα διὰ τὰ Αἰολικά, οἱ γὰρ Αἰολεῖς βαρυτόνως λέγουσι Ἀχίλλευς, Πήλευς, Ἄτρευς· τοιοῦτον δέ ἐστι καὶ τὸ Ἄρευς Αἰολικὸν ὂν οἷον Αἰολεῖς τὸ Ἄρης Ἄρευς λέγουσι· πρόσκειται «ἀρσενικὰ» διὰ τὸ νεῦς, γρεῦς. ταῦτα δὲ περισπώμενα ἀλλ' οὐκ εἰσὶ ἀρσενικὰ ἀλλὰ θηλυκά, νεῦς δέ ἐστιν ἡ ναῦς καὶ γρεῦς ἡ γραῦς. cf. Lehrs ad Mon. l. c. et Lob. Parall. p. 92. l. 3 verba εἴτε ἀπαθῆ εἴτε συνῃρημένα recepi ex Io. Al. 7, 32; nomina praeter πλοῦς, ῥοῦς, χροῦς, quae exstant ap. Arcad., sumpta sunt ex Mon. 14, 26 et 15, 1, unde apparet χροῦς ap. Arcad. non mutandum esse in χοῦς, ut suspicatur Schmidtius. Est etiam inter vocabula a Choer. relata 63, 20: πάντα τὰ εἰς ους ἁπλᾶ περισπῶνται οἷον βοῦς κνοῦς χροῦς οὐχὶ ἀπὸ τοῦ βόος κνόος χρόος, ἵνα κατὰ συναίρεσιν γένωνται, ἀλλὰ κυρίως τὸ θέμα αὐτῶν εἰς ους ἔσχον. cf. Il. Pr. N 191: ἦν αὐτῷ (sc. Homero) ἔθος εὐθεῖαν μὲν ἐπίστασθαι εἰς ως περατουμένην (sc. χρώς), τὰς δὲ ἄλλας πλαγίας οἶδεν ἀπὸ τῆς ους εὐθείας «χροῖ δ' ἔντε' ἐδύσετο παμφανόωντα» κτλ., quae transierunt in Ep. Cr. I 447, 11. — χοῦς ipse addidi propter proprium Χοῦς ap. St. B., apud quem non Χοί, sed Χοῖ scribendum est. — De originatione vocis οὖς quae addidi, sunt ex libro περὶ παθῶν E. M. 638, 54; de πούς pro Arcadii verbis τὸ δὲ πούς ὀξύτονον καὶ τὸ δούς μετοχή substitui quae leguntur in Mon. 15, 5 ipse apponens καὶ γὰρ τὸ δούς ὀξύνεται. l. 16 de πῆς cf. An. Ox. I 346, 6 οἱ Βοιωτοὶ τὴν αι δίφθογγον εἰς η τρέποντες πῆς λέγουσιν ἀντὶ τοῦ παῖς Ahrens de dial. Aeol. p. 187 not. ἧς Rhinthonis testimonio firmavi ex Ep. Cr. I 171, 20. l. 19 Κρής explevi ex St. B., σής ex Theogn. 134, 26; Γνής ex St. B., Φρής ex eodem addidi p. 672, 1, ubi diserte: ὡς Ἡρωδιανὸς ιδ'. Γλής et Τλής, quo utroque nomine

τὰ παράλια τοῦ διάπλου, διώριςται ὀνόμαςιν ἓν γένος ἐὸν κατὰ φῦλα· πρῶτον μὲν οἱ ἐπὶ τοῖς ἐςχάτοις οἰκέοντες τὰ πρὸς δυςμέων Κύνητες ὀνομάζονται, ἀπ' ἐκείνων δὲ ἤδη πρὸς βορέην ἰόντι Γλῆτες, μετὰ δὲ Ταρτήςιοι, μετὰ δὲ Ἐλβυςίνιοι, μετὰ δὲ Μαςτιηνοί, μετὰ δὲ Κελκιανοί, ἔπειτα δὲ ἤδη ὁ Ῥοδανός». Τλῆς ἔθνος Ἰβηρικὸν περιοικοῦν τοὺς Ταρτηςςίους. Θεόπομπος τεςςαρακοςτῷ πέμπτῳ. Κλῆς ἐπὶ τοῦ ποταμοῦ, Ζῆς παρὰ Φερεκύδει κατὰ κίνηςιν ἰδίαν, θῆς ὁ μίςθιος, βλῆς «νύμφα φίλη, καὶ βλητὶ λίθῳ ἐνὶ δάκρυον ἧκας». περιςπᾶται δὲ τὰ ἰςοςύλλαβα Δρῆς Τρῆς κύρια. ὡς δέ τινες βούλονται, καὶ τὸ Ζῆς.

* Τὰ εἰς ι̅c̅ μονοςύλλαβα φύςει εἰς c̅ λήγοντα ὀξύνεται ὁμοίως τοῖς εἰς ι̅ν̅ τροπὴν τοῦ ν̅ εἰς c̅ ἀναδεξαμένοις οἷον ἴν ἴς, ῥίν ῥίς. εἰςὶ δὲ ςπάνια. Ἶς πόλις Περςική. Ἡρόδοτος πρώτῃ (c. 179)· ἔνθα καὶ ποταμὸς Ἶς· οὕτω καὶ Cκύμνος ἐν τῷ ι' τῆς Ἀςίας περίπλῳ παρέθετο· «ἔχεται Κελένδερις πόλις Cαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει Ἥρης καὶ ἄλςος· Ἶς ποταμὸς παρὰ θάλαςςαν ἔξειςιν». Ἔςτιν Ἶς τῆς Ἰταλίας, ὡς Πάρθαξ ἐν τῷ β' τῶν Ἰταλικῶν. «Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Ποςειδωνίαν ὁ Ἡρακλῆς. ἔςτι δὲ ποταμὸς Ἶς καλούμενος μέγας». Θίς πόλις Αἰγυπτία πληςίον Ἀβύδου. Φθίς· Φθῖες γὰρ καὶ Φθῖοι οἱ Φθιῶται. κίς ὁ ςκώληξ. λίς ὁ λέων. τοῦτο δὲ ὁ μὲν Ἀρίςταρχος ὀξύνει· ὁ δὲ Αἰςχρίων περιςπᾷ, ὡς γὰρ παρὰ τὸ μῦς μῦν φηςὶ καὶ νοῦς νοῦν, οὕτω καὶ λῖς λῖν «ἐπί τε λῖν ἤγαγε δαίμων» (Λ 480). καὶ ἔςτι ςυγκατατίθεςθαι τῷ Αἰςχρίωνι, ὅτι μᾶλλον ὀφείλει περιςπᾶςθαι, εἰ καὶ μηδὲν τῶν εἰς ι̅c̅ ληγόντων καὶ ἀρςενικὸν γένος ὑπιςχουμένων περιεςπάςθη. καὶ τάχα καθ' ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ ςημαῖνον γένος θηλυκὸν καὶ ὀξυνόμενον ἀποφύγῃ. λέγω δὲ τὸ «λὶς πέτρη» (Od. μ 64). τῷ μέντοι χαρακτῆρι τοῦ κίς καὶ θίς καὶ ῥίς, καίτοιγε διαφόρως κλιθεῖςι πρὸς τὸ λίς, ςυνεξωμοίωςεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίςταρχος. καὶ οὕτως ἐπείςθη ἡ παράδοςις. τίς, ὅπερ ςυςτέλλει τὸ ι̅, Δίς ὁ Ζεύς παρὰ Ῥίνθωνι.

---

eundem populum designari suspicatur Meinek., accesserunt ex St. B., Κλῆς ex Theogn. 134, 24, Ζῆς ex Mon. 6, 16; θῆς ex Choer. 43, 17 et Theogn. 134, 28, ex hoc etiam βλῆς, ad quod versum apposui ex Il. Pros. Ψ 254: ἑανῷ λιτί: ὡς φωτί. οὕτως καὶ Ἀρίςταρχος. πᾶςα γὰρ δοτικὴ διςύλλαβος ἐπ' ὀνομάτων εἰς τ̅ι̅ λήγουςα ὀξύνεται, χρωτί, δαιτί, Κρητί. οὕτως οὖν καὶ λιτί. τούτῳ γὰρ τῷ λόγῳ καὶ βλητί ὀφείλομεν κατ' ὀξεῖαν τάςιν ἀναγινώςκειν. cf. Lehrs ad h. l. et Lob. Parall. 82 et 541. ὡς δέ τινες — Ζῆς ex Theogn. l. 10 hunc canonem de vocabulis in ι̅c̅ solum exeuntibus separavi a dicatalectis in ι̅ν̅ et ι̅c̅ praeeunte Theogn. 133, 7 et 135 et Choer. 55, 35, secundum quem φύςει εἰς c̅ λήγοντα et ὁμοίως τοῖς — ῥίν ῥίς addidi. verba εἰςὶ δὲ ςπάνια sunt ex Theogn. — Ἶς accessit ex St. B., exempla apposui ex Mon. 19, 5. Θίς, Φθίς sunt ex St. B., κίς ex Theogn., λίς habet Arcad. 125, 2; adnotamentum de discrepantia Aristarchi et Aeschrionis ex Il. Pr. Λ 239 adieci. Caeterum de κίς et λίς pluribus locis Herodianus dixerat in ipsa Catholica, ubi de genetivis κιῶν λιῶν sermo est, et in libro περὶ ὀνομάτων (hunc enim librum verbis ἐν ἑτέροις ap. Choer. p. 454, 34 intellegendum arbitror): τὸ κίς καὶ λίς ἡμαρτημένα ἐςτὶ εἴτε κατὰ τόνον εἴτε κατὰ κλίςιν· ἢ γὰρ ὀξύτονα ὄντα ὤφειλον διὰ ςυμφώνου κλίνεςθαι εἴτε διὰ καθαροῦ τοῦ ος κλινόμενα οὐκ ὤφειλον ὀξυτονεῖςθαι κατὰ τὴν εὐθεῖαν cf. Lob. Parall. p. 85 et Lehrs Arist. 257 (ed. II). l. 28 de τίς cf. Mon. 19, 1 et Dichr. 283, 1. Ad Δίς addidi παρὰ Ῥίνθωνι ex Choer. 181, 28.

* Εἰϲ ο̅ϲ̅ μονοϲύλλαβον οὐκ ἔϲτιν εὑρεῖν. τὸ γὰρ πόϲ οἷον «ᾧ πὸϲ ἄγ', ἱεμένοιϲιν» ἀπὸ τοῦ πούϲ γέγονε κατὰ ἀποβολὴν τοῦ ῡ καὶ τὸ ὅϲ ἄρθρον ἐϲτίν. καὶ ἔϲτιν εἰπεῖν, ὅτι κανών ἐϲτιν ὁ λέγων ὅτι πᾶν ὄνομα μονοϲύλλαβον μακροκαταληκτεῖν θέλει φύϲει ἢ θέϲει χωρὶϲ τοῦ τίϲ. ἄλλωϲ τε δύο κανόνεϲ ἤμελλον μάχεϲθαι. καθὸ μὲν γὰρ εἰϲ ο̅ϲ̅ εἰϲίν, ὤφειλεν εἰϲ ο̅υ̅ ἔχειν τὴν γενικήν. καθὸ δὲ πάλιν πᾶϲα μονοϲύλλαβοϲ εὐθεῖα ἰϲοϲυλλάβωϲ κλινομένη ἀποβολῇ τοῦ ϲ̅ τὴν γενικὴν ποιεῖ ὁ Χνᾶϲ τοῦ Χνᾶ, ὁ Δρῆϲ τοῦ Δρῆ, ὁ νοῦϲ τοῦ νοῦ, ὁ ῥοῦϲ τοῦ ῥοῦ, ἠναγκάζοντο καὶ ταῦτα ἀποβολῇ τοῦ ϲ̅ τὴν γενικὴν ἀποτελεῖν καὶ οὐχὶ εἰϲ τὴν ο̅υ̅ δίφθογγον ἔχειν αὐτήν. τῶν οὖν δύο κανόνων μαχομένων ἐπιλελοίπαϲι τὰ εἰϲ ο̅ϲ̅ μονοϲύλλαβα ὀνόματα.

Τὰ εἰϲ υ̅ϲ̅ μονοϲύλλαβα περιϲπῶνται, μῦϲ, δρῦϲ· ἔϲτι δὲ καὶ πόλιϲ Θρᾴκηϲ. Ἑκαταῖοϲ Εὐρώπῃ. ϲῦϲ καὶ ὗϲ. φυλάϲϲουϲι δὲ τὸ ῡ ἐν τῇ κλίϲει· τῶν δὲ ὑπὲρ μίαν ϲυλλαβὴν ἀρϲενικῶν ἓν μόνον ὁ ἰχθῦϲ ὁμοίωϲ ἐκλίθη τοῖϲ προειρημένοιϲ.

Τὰ εἰϲ ω̅ϲ̅ ἀρϲενικὰ μονοϲύλλαβα περιττοϲύλλαβα ὀξύνεται, Τρώϲ τὸ ἐθνικὸν ὁμόφωνον τῷ κτιϲτῇ ὡϲ Ἀχαιόϲ, Δαναόϲ, Ϲικελόϲ, θώϲ, πλώϲ ἰχθῦϲ τιϲ. δμώϲ, φώϲ ὁ ἄνθρωποϲ, χρώϲ «ἐπεὶ οὔ ϲφι λίθοϲ χρὼϲ οὐδὲ ϲίδηροϲ (Il. Δ 510). Μώϲ τὸ ἔθνοϲ. τὸ μέντοι κατὰ τροπὴν Δωρικὴν γινόμενον βῶϲ ἀπὸ τοῦ βοῦϲ βοόϲ περιϲπᾶται. τὰ μέντοι ἰϲοϲύλλαβα περιϲπῶνται, ϲῶϲ «νῦν τοι ϲῶϲ αἰπὺϲ ὄλεθροϲ» (N 773)· γέγονε δὲ ἢ ἀπὸ τοῦ ϲόοϲ, ὡϲ οἴεται Φιλόξενοϲ, ἢ ἐκ τοῦ ϲῶοϲ ἢ ἐκ τοῦ ϲάοϲ. Κρῶϲ ὄνομα ἥρωοϲ ὁμοφωνοῦν τῇ πόλει, ἔϲτι δὲ Αἰγύπτου. Ἑκαταῖοϲ περιηγήϲει Ἀϲίαϲ. Γλῶϲ ὄνομα ἥρωοϲ, Κῶϲ πόλιϲ καὶ νῆϲοϲ. καὶ Ὅμηροϲ «καὶ Κῶν Εὐρυπύλοιο πόλιν» (B 677). λέγεται καὶ Κώωϲ διὰ δύο ω̅ω̅ καὶ Κόωϲ, ἀφ' οὗ τὸ παρ' Ὁμήρῳ τοπικὸν «καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικαϲ» (Il. Ξ 255). λέγεται καὶ Κόοϲ διὰ δύο ο̅ο̅. ἔοικεν οὖν τὸ πρωτότυπον Κῶϲ. οὕτωϲ γὰρ καὶ ὁ κτιϲτήϲ. ἔϲτι καὶ ἐν Αἰγύπτῳ πόλιϲ Κῶϲ. ἔϲτι δὲ καὶ κῶϲ τὸ ὄρυγμα τὸ ἐν

---

l. 1 hunc de monosyllabis in ο̅ϲ canonem ipse apposui ex Theogn. p. 135, 13, qui quum dicit nullum in ο̅ϲ̅ vocabulum praeter pronomen exire, nomina usu trita intellegit, neque dubium est, quin Herodianus praeter ὅϲ attulerit etiam πόϲ, quare Choerob. p. 248, 26 coll. E. M. 635, 20 secutus sum, qui Herodiani placitum referre videtur hic ut fere ubique. Hinc patet etiam ap. St. B. non Χοί ἔθνοϲ sed Χοῖ scribi debere. l. 12 Δρῦϲ proprium recepi ex St. B. verba: φυλάϲϲουϲι δὲ τὸ ῡ usque ad finem ex Eustath. 1859, 16 (cf. E. M. 288, 29, Choer. Ep. in Psalm. 66, 29), ubi postquam expositum est ὀϲφῦϲ et ὀφρῦϲ circumflexe Herodianum scribere, additur ἐν ἄλλοιϲ δὲ δοκεῖ ὅμοιον τόνον ἐπιτιθέναι καὶ τῇ ἰχθύοϲ εὐθείᾳ· εἰπὼν γὰρ ἐν τοῖϲ περὶ τῶν εἰϲ υ̅ϲ̅ περιϲπωμένων μονοϲυλλάβων ἀρϲενικῶν, ὡϲ φυλάϲϲουϲι τὸ ῡ κτλ. — ὗϲ et ϲῦϲ praebet etiam Io. Al. 7, 30. l. 16 ad Τρώϲ ἐθνικόν κτλ. addidi ex St. B. 638, 14 coll. p. 51, 8; δμώϲ, φώϲ, χρώϲ accesserunt ex Theogn. 135, 20 et Choer. 254, ad χρώϲ verba Homerica adieci ex Il. Pr. N 191, ubi diserte huius nominativi forma ut Homero usitata profertur; l. 18 Μώϲ ex Theogn. l. 19 ad τροπὴν apposui Δωρικὴν ex Io. Al. 8, 1; quae ad ϲῶϲ adnexa sunt, prompsi ex Il. Pr. Є 887 et E. M. 741, 43, unde τὸ ϲῶϲ ἀπὸ τοῦ ϲῶοϲ πέπονθε. Κρῶϲ praeter Arcad. habet etiam Io. Al. 7, 36, St. B. 388, 2 et 63, 14, unde explevi; Γλῶϲ etiam Io. Al., Κῶϲ Io. Al., St. B. 402, 12 et 49, 19, Eustath. ad Hom. 318, 36, κῶϲ τὸ ὄρυγμα St. B. 402, 8.

Κορίνθῳ, οὗ καθείργνυον τοὺc φῶραc καὶ τοὺc δραπέταc. λέγεται καὶ κῶοc, κῶεc δὲ οἱ ἐν αὐτῷ ἀνατραφέντεc. κώουc γὰρ τὰ κοιλώματα τῆc γῆc καὶ πάντα τὰ cπήλαια ἔλεγον. Τλῶc ὁ Τρεμίλητοc καὶ Πραξιδίκηc νύμφηc καὶ ἀπ' αὐτοῦ Τλῶc πόλιc Λυκίαc. ἔcτι καὶ Τλῶc τὸ ἐθνικόν. ἔcτι καὶ ἄλλη Τλῶc πόλιc Πιcιδίαc. Λῶc νῆcοc περὶ Θετταλίαν. Ἀρτεμίδωροc. χωρὶc τοῦ Ζώc «ἤ κε ζὼc ἀμενηνὸc ἔα χαλκοῖο τυπῇcι» (Ε 887). τοῦτο δὲ ὁ Ἀcκαλωνίτηc ἀξιοῖ περιcπᾶν οὐχ ὑγιῶc. ἐκ γὰρ ὀξυνομένου τοῦ ζωόc γενόμενον τὸ ζώc δεῖ ὀξύνειν ὥcπερ ἐπὶ τοῦ ἑcταώc ἑcτώc, βεβαώc βεβώc. καὶ τὸ δώc «δὼc ἀγαθή, ἅρπαξ δὲ κακὴ θανάτοιο δότειρα (Hesiod. Opp. 354) ὀξύνεται· ἔcτι δὲ ἄκλιτον. — Τὰ εἰc ῶc οὐδέτερα περιcπᾶται, τὸ φῶc, τὸ ὦc.

Τὰ εἰc ψ μονοcύλλαβα ὀξύνεται, κνάψ ὁ δαλόc, μάψ ὄρνεόν τι, δράψ κείμενον παρ' Ἀριcτοφάνει, λάψ παρὰ Ταραντίνοιc, γράψ καὶ φάψ θηλυκά, φλέψ, κλέψ ὁ κλέπτηc, cκέψ, θήψ καὶ cήψ εἶδοc ὄφεωc cῆψιν ἐμποιοῦν, ἴψ ὁ cκώληξ, λίψ ὁ ἄνεμοc, Νίψ ὄνομα κρήνηc, κνίψ, ὁ δὲ Ἀριcτοτέληc μετὰ τοῦ c cκνίψ, θρίψ, ῥίψ πλέγμα ψιαθῶδεc, cτύψ, γύψ, γρύψ, Ῥύψ ὁ κατοικῶν Ῥύπαc πόλιν Ἀχαϊκήν, ὤψ ὁ ὀφθαλμόc καὶ ὄνομα κύριον «Εὐρύκλει' Ὦποc θυγάτηρ» (Od. α 429), ῥώψ τὰ νεοθαλῆ τῶν δρυῶν, θώψ ὁ πλάνοc, κνώψ εἶδοc θηρίου, κλώψ ὁ κλέπτηc, cκώψ ὁ cκώπτηc, Ἀριcτοτέληc δὲ χωρὶc τοῦ c, Κρώψ. Κρῶπαc γὰρ Ἀνδροτίων φηcὶ Κρωπιὰν δῆμον τῆc Λεοντίδοc φυλῆc.

* Τὰ εἰc ᾱ θηλυκὰ μονοcύλλαβα περιcπᾶται πάντα, μνᾶ cύνηθεc Ἀττικοῖc καὶ τῇ νῦν χρήcει καὶ Χνᾶ ἀπεξενωμένον, ἡ Φοινίκη οὕτωc ἐκαλεῖτο τὸ πρότερον, Φνᾶ νῆcοc, Λᾶ πόλιc Λακωνική. Λυκόφρων

---

l. 3 Τλῶc, quod ab Arcadio abest, habent Io. Al. et St. B.. Λῶc accessit ex St. B., omisi Χῶc ap. Io. Al., quod ex Λῶc corruptum esse suspicatur Lob. Parall. 87. — Ad ζώc versum Homeri addidi ex Choer. 253, 15 et adnotationem de accentu ex Il. Pr. Ε 887 insertis ex Choer. verbis ὥcπερ — βεβώc. Ad δώc versum Hesiodi adieci duce Io. Al. 8, 2; verba ἔcτι δὲ ἄκλιτον ex Eustath. 1430, 12 et Choer. 370, 33. In Ep. Cr. I 400, 16 (E. M. 770, 20) canon sic conceptus est: τὰ εἰc ῶc λήγοντα μονοcύλλαβα ἀρcενικὰ ὀξύνεται, εἰ μὴ ἐκ cυναλοιφῆc εἴη ἢ ἐκ μεταθέcεωc. ἐκ cυναλοιφῆc μὲν ὡc τὸ cόοc cῶc, ἐκ δὲ μεταθέcεωc δὲ ὅτι Δωριεῖc καὶ Ἴωνεc τὸ βοῦc βῶc λέγουcι (sic enim pro ῶωc ῶc Ep. et οἶc ὦc E. M. scribendum est, ut monet Ahrens de dial. Dor. p. 27 not. 6 contra Lobeckium Sylburgii coniecturam τὸ οὖc ὦc in Parall. p. 86 probantem; nam hic de masculinis tantum agitur). — De φῶc cf. E. M. 804, 35 φῶc — γίνεται παρὰ τὸ φῶ τὸ φαίνω καὶ λάμπω φάοc καὶ καθ' ὑπέρθεcιν φόαc καὶ κατὰ cυναίρεcιν φῶc. κλίνεται δὲ τοῦ τοc κτλ. l. 12 hunc canonem, qui ap. Arcadium praeceptum de vocabulis in ῶc praecedit, postposui. — E vocabulis in αψ Arcadius habet tantum κνάψ et μάψ; δράψ — φάψ sunt ex Dichr. 286, 16, e vocabulis in εψ Arcad. praebet nullum praeter φλέψ, ex Theogn. 135, 24 accesserunt κλέψ et cκέψ, ex eodem θήψ et cήψ; tum Arcadius nihil nisi quattuor in ιψ vocabula profert: ἴψ, λίψ, quod explevi ex Theogn. 135, 29, Νίψ ὄνομα κρήνηc (cf. Choer. 88, 1) et κνίψ, quod explevi ex Theogn., ex quo accesserunt θρίψ et ῥίψ. — cτύψ — Ῥύψ, quod ex St. B. explevi, sunt ex Theogn., ὤψ ex Io. Al. 10, 10, Ὤψ ὄνομα κύριον ex Theogn. 136, 2; Homeri verba duce Io. Al. apposui.
l. 19 ῥώψ — cκώψ praebet Theogn., Κρώψ St. B. l. 23 hic canon debetur Io. Alexandrino 8, 2, qui habet μνᾶ, Χνᾶ, Φνᾶ; μνᾶ et Χνᾶ exstant etiam in Mon. 8, 6, unde cύνηθεc — χρήcει et ἀπεξενωμένων apposui; Λᾶ accessit ex St. B.,

(v. 95) «καὶ Λᾶν περήσεις». ταύτην δὲ διαλύσας Ὅμηρός φησιν (Β 585) «οἵ τε Λάαν εἶχον ἠδ' Οἴτυλον ἀμφενέμοντο». κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς, διὸ Λᾶ καλεῖται. Μᾶ, ἡ τῇ Ῥέᾳ εἵπετο. ἐκαλεῖτο δὲ καὶ ἡ Ῥέα Μᾶ.

* Τὰ εἰς η̄ μονοσύλλαβα ἐκ συναιρέσεως περισπᾶται, μόνη δὲ ἡ γῆ κοινὴ συνήθης, τὸ γὰρ Ῥῆ ἡ Ῥέα ἴδιόν ἐστι τοῦ Συρίου καὶ οὐ πᾶσιν ἴσως ἢ καὶ Ἀττικοῖς γνωστόν· τὸ δὲ πλῆ εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ ἀντὶ τοῦ πλέη θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις. ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον ἐν Σαμίων ὥροις· «τῇ δὲ νῇ τῶν Πυθιογειτόνων τις συγκυρέων ἐλάμβανε» καὶ παρὰ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι

καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΚΑΤΑ ΚΛΙΣΙΝ ΑΡΙΘΜΩΝ ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΘΕΜΑ ΕΙΡΗΜΕΝΩΝ.

ΒΙΒΛΙΟΝ ιε΄.

Περὶ τοῦ ἐν ταῖς πλαγίαις τῶν ὀνομάτων τόνου.

Περὶ τόνου τῆς ἑνικῆς γενικῆς.

Πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐφ' ἑαυτῆς τέλους ἔχουσα τὸν τόνον περισπᾶται, ἑνική τε καὶ δυϊκὴ καὶ πληθυντική, καλοῦ καλῷ καλοῖν καλοῖς, τοῦ Φιλητᾶ τῷ Φιλητᾷ τοῖν Φιληταῖν τῶν Φιλητῶν τοῖς Φιληταῖς, τῆς καλῆς τῇ καλῇ ταῖν καλαῖν τῶν καλῶν ταῖς καλαῖς, ἐμοῦ ἐμῷ ἐμοῖν ἐμῶν ἐμοῖς. σεσημείωνται ἐν ταῖς ἀντωνυμίαις ἡ ἐμοί καὶ σοί δοτικαὶ ὀξυνόμεναι· ἡ γὰρ τοῦ τρίτου οἷ περισπᾶται. ὑποκείσθω δὲ καὶ τὰ Ἀττικὰ τοῦ νεώ τοῦ λεώ ὀξυνόμενα· τὸν τόνον γὰρ τῆς κοινῆς εὐθείας φυλάττουσιν ἐν πάσῃ πτώσει. τοῦ γὰρ Μενέλαος προπαροξυνομένου καὶ τὸ Ἀττικὸν κατὰ πᾶσαν πτῶσιν προπαροξύνεται, ὁ Μενέλεως τοῦ Μενέλεω τῷ Μενέλεῳ καὶ ἐν ταῖς ἄλλαις πτώσεσι καὶ ἀριθμοῖς ὁμοίως. οὕτως οὖν καὶ τοῦ λαός καὶ ναός ὀξυνομένων καὶ τὰ ἀπὸ τούτων Ἀττικὰ ὀξυνθήσεται, ὁ νεώς τοῦ νεώ καὶ ἐπὶ δυϊκῇ καὶ πληθυντικῇ ὁμοίως.

---

cf. Lob. El. II 51; Μᾶ ex eodem p. 436, 8. l. 5 hunc canonem ex Io. Al. 8, 5 et Mon. 7, 3 composui. Quae apud Arcadium 127, 5 leguntur, ab epitomatore profecta sunt: καὶ ταῦτα μὲν περὶ τόνου τῆς ὀνομαστικῆς. περὶ δὲ τῶν πλαγίων νῦν ἕπεται εἰπεῖν· καὶ πρὸ τούτου, ὅτι ἡ ὀξεῖα καὶ ἡ περισπωμένη λέξεών εἰσι τόνοι, ἡ δὲ βαρεῖα συλλαβῶν. Titulus libri XV est in Codd. BC περὶ τόνου τῆς ἑνικῆς γενικῆς, in A περὶ τόνου τῆς γενικῆς ἑνικῆς. Βιβλίον ιε΄. Equidem ex tabula librorum Catholicae Arcadio praefixa generalem inscriptionem in fronte posui et tum sequi iussi titulum περὶ τοῦ — τόνου secundum eandem tabulam et Theodos. 1002, 24, denique titulum in codd. BC servatum. l. 17—29 recepi ex Io. Al. 9, 19—34; ap. Arcadium brevissime refertur p. 128, 10—12: πᾶσα γὰρ γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπὶ τέλους ἔχουσα τὸν τόνον περισπᾶται unde post ἐφ' ἑαυτῆς adieci τέλους.

Πᾶcα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς cυλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μὴ ἕτερος λόγος κωλύςῃ, ὑπεςταλμένων τῶν εἰς ος διςυλλάβων γενικῶν, Αἴαντος ἐκ τοῦ Αἴας, λέβης λέβητος ἐπὶ τῆς πρώτης, ταχύς ταχέος, ὀξύς ὀξέος ἐπὶ τῆς δευτέρας, Ἀχιλλεύς Ἀχιλλέως, εὐγενής εὐγενέος ἐπὶ τῆς τρίτης. τὰ μέντοι προπαροξύτονα ἐπὶ τῆς εὐθείας οὐ φυλάττει τὸν κανόνα, ἐπεὶ ἀδύνατόν ἐςτι πρὸ τῶν τριῶν cυλλαβῶν δοθῆναι τόνον, Ἄδωνις Ἀδώνιδος, φίλημα φιλήματος. ἔτι τὸ Ὅμηρος Ὁμήρου, ἄνθρωπος ἀνθρώπου οὐ φυλάττει, ἀλλὰ καταβιβάζει τὸν τόνον, διότι μακρᾶς οὔςης τῆς ληγούςης οὐ δύναται προπαροξύνεςθαι λέξις, εἰ μὴ ἐπὶ τῶν Ἀττικῶν. τὸν γὰρ τῶν κοινῶν εὐθειῶν τόνον φυλάττουςι τὰ Ἀττικά, κἂν κατὰ γενικὴν μόνην γένηται ἡ ἐπέκταςις ὡς ἐπὶ τοῦ πόλεως καὶ μάντεως. τὸ δὲ Ὅμηροι, ἄελλαι προπαροξύνεται ἀντὶ κοινῆς παραλαμβανομένης τῆς διφθόγγου ἐν τέλει λέξεως οὔςης ἐπὶ τῆς εὐθείας πληθυντικῆς καὶ κλητικῆς, ἐν δὲ ταῖς ἄλλαις πτώςεςιν οὔ. οὕτω καὶ ἐπὶ ἄλλων πολλῶν, τύπτονται, πεποίηνται, τύπτεςθαι, λέγεςθαι. τὸ δὲ μητρός καὶ ἀνδρός καὶ πατρός ἀπὸ τοῦ μητέρος καὶ ἀνέρος καὶ πατέρος ἐγένετο κατὰ cυγκοπήν, διὸ οὐκ ἐφύλαξαν τὸν τόνον ἀκολουθήςαντα ταῖς διςυλλάβοις γενικαῖς. τὸ δὲ ἀνδρός κατὰ cυγκοπὴν γενόμενον ἐκ τοῦ ἀνέρος ἐξ ἀνάγκης ἐπλεόναςε τὸ δ. οὐκ ἠδύνατο γὰρ εἶναι ἀνρός χωρὶς τοῦ δ, ἐπεὶ τὸ ν πρὸ τοῦ ρ οὔτε ἐν cυλλήψει δύναται εἶναι οὔτε ἐν διαςτάςει. Καὶ τὸ γουνός καὶ δουρός cυγκοπέντα ἐκ τοῦ γούνατος καὶ δούρατος ὀξύνονται ὁμοίως τῷ πατρός, μητρός, ἀνδρός. Τὸ δὲ κρέως, γήρως, κέρως τινὲς ὀξύνειν θέλουςι λέγοντες, ὅτι ἀπὸ τοῦ κρέατος καὶ γήρατος καὶ κέρατος ἐγένοντο κατὰ cυγκοπὴν τοῦ α καὶ τ κρεός καὶ γηρός καὶ κερός διὰ τοῦ ο ὀξυτόνως τῷ λόγῳ τῶν εἰς ος διςυλλάβων γενικῶν οἷον πατρός, μητρός καὶ λοιπὸν οἱ Ἀθηναῖοι ἐκτείνοντες τὸ ο εἰς ω ἐφύλαξαν τὴν ὀξεῖαν τάςιν οἷον κρεώς γηρώς κερώς. ἀλλὰ ταῦτα βαρυτονητέον τῷ λόγῳ τῆς cυναιρέςεως τῆς γενομένης ἀπὸ ὀξείας καὶ δύο βαρειῶν εἰς ὀξεῖαν καὶ βαρεῖαν οἷον κρέαος κρέως, γήραος γήρως ὥςπερ Δημοςθένεος Δημοςθένους, Διομήδεος Διομήδους. εἰ δὲ λέγεται κατὰ cυγκοπὴν γεγενῆςθαι ἐν τῇ

l. 1—19 quae non habet Io. Al., debentur Arcadio, cum quo concinunt et Theodos. Bekk. An. 1002, Choer. Dict. 397, 12, unde non cum aliis concludo ab Arcadio Choeroboscum exscriptum esse, sed omnes ex eodem fonte hausisse.
l. 11 τὸν γὰρ τῶν κοινῶν — μάντεως l. 13 perspicuitatis causa ex Io. Al. 5, 10 inserui, similia habent Theodos. et Choer. — l. 13 pro διὸ scripsi τὸ δὲ et l. 15 cum Schmidtio addidi πληθυντικῆς et pro ἐν δὲ τοῖς ἄλλοις cum Schmidtio Sedinensi in Zeitschrift für das Gymnasialwesen 1861 p. 331 ἐν δὲ ταῖς ἄλλαις πτώςεςι.
l. 16 verbis τὸ δὲ μητρὸς etc. praemittit Arcadius προςτίθηςι δὲ ὁ τεχνικός, ὅτι, quae resecui. verba ταῖς διςυλλάβοις γενικαῖς, quae Lob. El. I 258 not. 4 excidisse vidit, apposui. verba τὸ δὲ ἀνδρὸς κατὰ cυγκοπὴν — διαςτάςει ex Choer. 318, 24 recepi propter Mon. 34, 6 ἀνδρός: οὐδεμία γενικὴ εἰς ρος λήγουςα πρὸ τοῦ ρ ἔχει τὸ δ, ἀλλὰ μόνον τὸ ἀνδρός. αἴτιον δὲ τὸ πάθος. ἐν τοῖς περὶ καθολικωτέρας προςῳδίας εἴρηται. — l. 22 γουνός et δουρός inserui ex Mon. 34, 20 et 32 collat. Choer. 376, 14. l. 24 annotationem de genetivis κρέως, γήρως, κέρως

γενικῇ τῇ κρέως, ὤφειλε ϲυγκοπὴ γενέϲθαι καὶ ἐν τῇ δοτικῇ. καθόλου γὰρ πᾶϲα γενικὴ ϲυγκοπτομένη ἔχει καὶ τὴν δοτικὴν ϲυγκοπτομένην οἷον πατέροϲ πατρόϲ πατέρι πατρί, μητέροϲ μητρόϲ μητέρι μητρί, Δημήτεροϲ Δήμητροϲ Δημήτερι Δήμητρι, ἀνέροϲ ἀνδρόϲ ἀνέρι-ἀνδρί, θυγατέροϲ θυγατρόϲ θυγατέρι θυγατρί. εἰ οὖν τῷ κρέατι ἡ δοτικὴ ἀρχὴν οὐ δέχεται ϲυγκοπὴν τοῦ ᾱ καὶ τοῦ τ̄, ἐπεὶ κρεῖ ἤμελλεν εἶναι, νυνὶ δὲ κρέαϊ ἐϲτίν, οὐκ ἄρα δὴ οὐδὲ ἡ κρέατοϲ γενικὴ δύναται ϲυγκοπὴν ἀναδέξαϲθαι τοῦ ᾱ καὶ τοῦ τ̄ καὶ γενέϲθαι τοῦ κρεόϲ ὀξυτόνωϲ κἀκεῖθεν τοῦ κρεώϲ ὁμοίωϲ ὀξυτόνωϲ κατ' ἐπέκταϲιν τοῦ ō εἰϲ ω̄, ἀλλ', ὡϲ εἴρηται, αὗται αἱ γενικαὶ κατὰ κρᾶϲιν γεγόναϲι καὶ βαρύνονται.

Πᾶϲα γενικὴ εἰϲ ου̅ λήγουϲα ἀπὸ μὲν ὀξυτόνων ὀνομάτων καὶ περιϲπωμένων περιϲπᾶται, καλόϲ καλοῦ, ϲοφόϲ ϲοφοῦ, ἀργυροῦϲ ἀργυροῦ, Ἑρμῆϲ Ἑρμοῦ, ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶϲ ἔχει τὸν τόνον, Ὅμηροϲ Ὁμήρου, νῆϲοϲ νήϲου.

Πᾶϲα εὐθεῖα εἰϲ ϲ̄ λήγουϲα καὶ ἀποβολῇ τοῦ ϲ̄ τὴν γενικὴν ἀποτελοῦϲα τὸν αὐτὸν τόνον τηρεῖ καὶ ἐπὶ τῆϲ γενικῆϲ οἷον Φιλητᾶϲ Φιλητᾶ, Μηνᾶϲ Μηνᾶ, Μητρᾶϲ Μητρᾶ, χρυϲοῦϲ χρυϲοῦ, ἀργυροῦϲ ἀργυροῦ, ἁπλοῦϲ ἁπλοῦ, ὀρφῶϲ ὀρφῶ, λεώϲ λεώ, νεώϲ νεώ, εὔνουϲ εὔνου, Ἀλκίνουϲ Ἀλκίνου, Μενέλεωϲ Μενέλεω, Πηνέλεωϲ Πηνέλεω.

Τὰ ἐκτείνοντα τὸ ō εἰϲ τὸ ω̄ κατὰ τὴν γενικὴν Ἀττικῶϲ τὸν αὐτὸν τόνον φυλάττουϲιν ὅντινα εἶχον καὶ πρὸ τῆϲ ἐκτάϲεωϲ τοῦ ō εἰϲ ω̄ οἷον πόλιοϲ πόλεωϲ, μάντιοϲ μάντεωϲ, ὄφιοϲ ὄφεωϲ, λέξιοϲ λέξεωϲ, βαϲιλέοϲ βαϲιλέωϲ, Ἀχιλλέοϲ Ἀχιλλέωϲ, Ἀτρέοϲ Ἀτρέωϲ, Πηλέοϲ Πηλέωϲ, ἱερέοϲ ἱερέωϲ.

Αἱ ϲυνῃρημέναι γενικαί, εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, παροξύνονται ἐν τῇ ϲυναιρέϲει οἷον Δημοϲθένεοϲ Δημοϲθένουϲ, Διομήδεοϲ Διομήδουϲ, Ϲωκράτεοϲ Ϲωκράτουϲ, ἐρέβεοϲ ἐρέβουϲ, θάρϲεοϲ θάρϲουϲ, τείχεοϲ τείχουϲ, βέλεοϲ βέλουϲ, κρέαοϲ κρέωϲ, γήραοϲ γήρωϲ· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, περιϲπῶνται ἐν τῇ ϲυναιρέϲει οἷον εὐϲεβέοϲ εὐϲεβοῦϲ, εὐγενέοϲ εὐγενοῦϲ, Λητόοϲ Λητοῦϲ, Ϲαπφόοϲ Ϲαπφοῦϲ, Ἐρετριέωϲ Ἐρετριῶϲ, Πειραιέωϲ Πειραιῶϲ, Ϲτειριέωϲ Ϲτειριῶϲ.

Αἱ διὰ τοῦ οιο̅ Θετταλικαὶ γενικαί, εἰ μὲν ἀπὸ περιϲπωμένων κοινῶν γενικῶν ὦϲι, προπεριϲπῶνται οἷον καλοῦ καλοῖο, ϲοφοῦ ϲοφοῖο, ϲεμνοῦ ϲεμνοῖο, ποταμοῦ ποταμοῖο, εἰ δὲ ἀπὸ βαρυνομένων, προ-

---

recepi ex Choer. 387, 9, ubi l. 3 diserte τῷ δὲ Ἡρωδιανῷ οὐ δοκεῖ τοῦτο, ἀλλὰ ταῦτα βαρυτόνωϲ δοξάζει λέγεϲθαι, pro quibus verbis posui: ἀλλὰ ταῦτα βαρυτονητέον. l. 11—14 ex Io. Al. 9, 34 (ab Arcadio haec absunt). l. 15 ex Choer. 412, 9; pro πλακοῦϲ πλακοῦ, quod declinatur πλακοῦντοϲ, posui ἁπλοῦϲ ἁπλοῦ, pro ἀκλίνουϲ ἀκλίνου Ἀλκίνουϲ Ἀλκίνου. l. 20 Choer. 412, 16. l. 25 Choer. 412, 21. — Ϲτειριέωϲ Ϲτειριῶϲ habet etiam St. B. 584, 4 Ϲτειριά. ὁ δημότηϲ Ϲτειριεύϲ Ϲτειριέωϲ καὶ κατὰ ϲυναίρεϲιν Ϲτειριῶϲ. l. 33 Choer. 412, 31 (cf. Il. Pr. A 493); transiit in Ep. Cr. I 212, 6 et An. Ox. III 229, 4 (περὶ παραγώγων [Lehrs παραλόγων] γενικῶν κατὰ διάλεκτον) et An. Par. III 313, 25 ubi γενικὴ Βοιωτικὴ καὶ Αἰολικὴ vocatur.

παροξύνονται οἷον φίλου φίλοιο, κούφου κούφοιο, Πριάμου Πριάμοιο.

Τὰ ἀπὸ Ἀττικῶν γενικῶν κατὰ πλεονασμὸν τοῦ ō γινόμενα, εἰ μὲν ἀπὸ ὀξυτόνων γενικῶν Ἀττικῶν ὦcι, προπερισπῶνται οἷον Πετεώ Πετεῷο «υἱὸc Πετεῷο Μενεcθεύc» (Β 552). «ὦ υἱὲ Πετεῷο Διοτρεφέοc βαcιλῆοc» (Δ 338), Ταλαώ Ταλαῷο ὡc παρὰ Ἀντιμάχῳ· εἰ δὲ ἀπὸ βαρυτόνων γενικῶν Ἀττικῶν ὦcι, προπαροξύνονται οἷον τοῦ Μίνω τοῦ Μίνωο, τοῦ Ἀνδρόγεω Ἀνδρογέωο. τοῦ δὲ ō προcελθόντοc κατεβιβάcθη μίαν cυλλαβὴν ὁ τόνοc διὰ τὸ μὴ δύναcθαι τετάρτην ἀπὸ τέλουc εἶναι τὴν ὀξεῖαν.

Αἱ διὰ τοῦ $\overline{εω}$ γενικαὶ Ἰωνικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦcι, προπαροξύνονται οἷον Ἀτρείδου Ἀτρείδεω, Ὀρέcτου Ὀρέcτεω, Αἰνείου Αἰνείεω, ἀπαθεῖc δηλονότι οὖcαι· ἐὰν γὰρ πάθωcι, πρὸ μιᾶc τοῦ τέλουc ἔχουcι τὴν ὀξεῖαν οἷον Ἑρμείου Ἑρμείεω καὶ κατὰ cυγκοπὴν Ἑρμείω παροξυτόνωc «Ἥρηc Ἑρμείω τε» (Ο 214), Ἀcίαc Ἀcίου καὶ Ἰωνικῶc Ἀcίεω καὶ Ἀcίω ὡc εὐμμελίω «Ἀcίω ἐν λειμῶνι» (Β 461). εἰ δὲ ἀπὸ περιcπωμένων κοινῶν γενικῶν ὦcι, παροξύνονται οἷον αὐλητοῦ αὐλητέω, Θαλῆc Θαλοῦ (ἔcτι δὲ ὄνομα κύριον) τοῦ Θαλέω.

Αἱ διὰ τοῦ $\overline{αο}$ Βοιωτικαὶ γενικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦcι, προπαροξύνονται οἷον Ἀτρείδου Ἀτρείδαο, Ὀρέcτου Ὀρέcταο, εἰ δὲ ἀπὸ περιcπωμένων κοινῶν γενικῶν ὦcι, προπεριcπῶνται οἷον ἀργεcτήc ἀργεcτοῦ, ἀργεcτᾶο «ἀργεcτᾶο νότοιο» (Λ 306).

Πᾶcα γενικὴ διcύλλαβοc εἰc $\overline{οc}$ λήγουcα μὴ cυναληλιμμένη ὀξύνεται, μηνόc, χηνόc, Ζηνόc, φωτόc. ἡ λᾶοc ἐκ τριcυλλάβου τῆc λάαοc κράcει τῶν δύο ᾱ εἰc ἓν μακρόν, ἡ κῆροc καὶ ἦροc ἐκ τῆc κέαροc καὶ ἔαροc. ἀποροῦcι δέ τινεc λέγοντεc, εἰ ἄρα τὸ λᾶοc καὶ κῆροc καὶ ἦροc ὡc δυνάμει τριcύλλαβα ἐβαρύνθηcαν, διὰ ποίαν αἰτίαν τὸ ὄϊc ὄϊοc γενόμενον κατὰ cυναίρεcιν οἶc οἰόc μὴ ἐβαρύνθη; καὶ τοῦτο γὰρ δυνάμει τριcύλλαβόν ἐcτιν. ἔcτιν οὖν εἰπεῖν, ὅτι τὸ μὲν λᾶοc καὶ κῆροc καὶ ἦροc οὐ μόνον ἐν τῇ εὐθείᾳ cυναιροῦνται, ἀλλὰ καὶ ἐν τῇ γενικῇ οἷον λᾶαc λᾶc λάαοc λᾶοc, κέαρ κῆρ κέαροc κῆροc, ἔαρ ἦρ ἔαροc ἦροc καὶ τούτου χάριν ὡc δυνάμει τριcύλλαβα ὄντα ἐν τῇ γενικῇ ἐβαρύνθηcαν. τὸ δὲ οἶc οἰόc οὐκ ἔπαθεν ἐν τῇ γενικῇ cυναίρεcιν ἀλλ᾽

---

l. 3 Choer. 413, 1, An. Ox. III 229, 7; de pleonasmo vocalis ō in genetivo cf. Herod. ap. Eustath. 283, 26. l. 11 Choer. 413, 11, Ep. Cr. I 9, 9, E. Gud. 5, 17; pro ἔχουcι τὴν εὐθεῖαν scripsi ὀξεῖαν, pro Καcῆc Καcοῦ, pro quo Pseudoherod. in An. Ox. III 19 Καυcῆc Καυcοῦ habet, posui Θαλῆc Θαλοῦ cf. Lob. El. II 96 cum nota. Ἀcίαc Ἀcίω inserui ex Schol. B ad Il. B 461: Ἀcίω χωρὶc τοῦ $\overline{ε}$ ὡc τὸ ἐυμμελίω· οὕτωc Ἡρωδιανὸc ἐν τῇ καθόλου καὶ Πτολεμαῖοc ἐν τῷ περὶ cυναλοιφῆc. St. B. s. Ἀcία. E. M. 153, 42 cf. Lob. El. I 256. l. 20 Choer. 413, 21, Pseudoherod. in An. Ox. l. c. 20. l. 24—27 Io. Al. 10, 3. — De λᾶοc cf. Il. Pr. M 462: προπεριcπαcτέον ὡc κλῆροc. ἀπὸ γὰρ εὐθείαc πέπτωκε διcυλλάβου κατὰ τὴν τοῦ ποιητοῦ χρῆcιν. καὶ ὤφειλε τριcυλλαβεῖν ἡ γενική, cυναλοιφὴν δὲ λαβοῦcα βαρύνεται. — l. 27 ἀποροῦcι δέ τινεc — p. 409 l. 17 cητόc

ἐν τῇ εὐθείᾳ μόνον οἷον ὄϊς οἷς καὶ λοιπὸν ἀπὸ τῆς συνῃρημένης εὐθείας ἐκλίθη οἰός ἡ γενική. καὶ τούτου χάριν ὡς μὴ οὖσα ἡ γενικὴ τρισύλλαβος δυνάμει, ἀλλὰ κυρίως δισύλλαβος ὠξύνθη. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων εὑρίσκεται, φημὶ δὲ τὸ ἐν τῇ εὐθείᾳ μόνον γίνεσθαι συναίρεσιν καὶ λοιπὸν ἐκ τῆς συνῃρημένης εὐθείας κλίνεσθαι τὴν γενικὴν ὡς ἐπὶ τοῦ φῶς φωτός καὶ ὦς ὠτός. ἔστι γὰρ φόας φόατος καὶ ὄας ὄατος καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τῇ εὐθείᾳ καὶ γίνεται φῶς καὶ ὦς κἀκεῖθεν κλίνεται φωτός καὶ ὠτός ἡ γενική. οὐδὲ γὰρ δυνάμεθα τὴν φωτός καὶ ὠτός γενικὴν ἀπὸ τῆς φόατος καὶ ὄατος λέγειν κατὰ κρᾶσιν, ἐπεὶ φῶτος καὶ ὦτος ὤφειλεν εἶναι βαρυτόνως ὡς ἀπὸ τρισυλλάβου γενικῆς γινόμενα. ἀλλ' ὡς εἴρηται ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. σεσημείωται τὸ φρητός ὀξυνόμενον. ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τῆς φρέατος γενόμενον κατὰ κρᾶσιν φρῆτος ὤφειλε βαρύνεσθαι. οὐδὲ γὰρ δυνάμεθα λέγειν ὅτι ἐπὶ τούτου ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. οὐδὲ γὰρ εἴρηται ἡ φρῆρ εὐθεῖα τῇ χρήσει. ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ φρητός γενικὴ συνέδραμε κατὰ τὴν τάσιν τῇ Κρητός γενικῇ καὶ σητός καὶ θητός. — τὸ «υἷος ἑῆος» (Ο 138) ἐκ τρισυλλάβου τοῦ υἱῖος προπαροξυτόνου, οὗ ἡ εὐθεῖα υἶις. ἡ «Θῶνος παράκοιτις» (δ 228) σεσημείωται· εἰ γὰρ ἐκ τῆς «Θώνιος ἐν ψαμάθοις» (Nic. Ther. 312) συνεκόπη, κἂν ὠξύνετο ὡς ἡ πατρός μητρός· ἀλλ' οὐδὲ συνῄρηται ἐκ τῆς Θόωνος, ὥς τινες, ἀμαρτύρου. οὐδαμοῦ γὰρ ἡ Θόων εὐθεῖα εὕρηται σημαίνουσα τὸν Αἰγύπτιον ἄνδρα, ὅντινα σημαίνει ἡ Θῶνος γενική, ἀλλ' ἕτερον ἄνδρα ὡς παρ' Ὁμήρῳ «Θόωνά τε Οἰνόμαόν τε» (Μ 140). ἔστιν οὖν εἰπεῖν, ὅτι κατὰ συγκοπὴν γέγονε ἡ Θῶνος γενικὴ ἀπὸ τῆς Θώνιος γενικῆς.

καὶ θητός ex Choer. 409, 24. — τὸ υἷος — υἶις ex Io. Al. 10, 10 cf. Il. Pr. Ε 266: υἷος: προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ μὴ εἰρημένης τῆς υἶις, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος· αὕτη τοίνυν συναλοιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη βαρύνεται, ἧς ἀκόλουθος δοτικὴ «Νηληΐῳ υἷι ἐοικώς» (Il. Β 20) καὶ αἰτιατικὴ «ἀλλ' υἷα Κλυτίοιο σαώσομεν» (Il. Ο 147) καὶ πληθυντικὴ εὐθεῖα «υἷες ὁ μὲν κτεάτου» (Il. Β 621) καὶ αἰτιατικὴ «υἱάς τ' ὀλλυμένους» (Il. Χ 62). ἀποδείξομεν δὲ καὶ τὸ «υἱάσι δὲ Πριάμοιο» (463) παρὰ τοῦτο κεκλίσθαι ἐν τοῖς περὶ ὀνομάτων. Ο 138: προπερισπαστέον τὴν υἷος γενικήν. In libro περὶ παθῶν E. M. 775, 20, Choer. Gaisf. 408, 29, An. Paris. I 396: ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν οὕτως τοῦτο (sc. υἷος) σχηματίζων φησίν, ὅτι ἐστὶν υἶις διὰ τῆς $\overline{υι}$ διφθόγγου κατὰ τὴν παραλήγουσαν· τούτου ἡ γενικὴ υἷΐος καὶ κατὰ συναίρεσιν τῶν δύο $\overline{ιι}$ εἰς ἓν δηλονότι μακρὸν υἷος ὥσπερ Θέτις «Θέτι καλλιπλοκάμῳ» (Σ 407). l. 18 ἡ Θῶνος παράκοιτις — ἀμαρτύρου l. 21 Io. Al. 10, 6. — l. 21 οὐδαμοῦ — p. 410 l. 9 ὑπερδισύλλαβα ex Choer. 410, 31 et τὸ δὲ Θῶν Θῶντος — Θῶν Θῶντος προπερισπωμένως l. 15 ex Choer. 411, 26. — Arcadius 128, 20 de Θῶνος habet haec: τὸ δὲ Θῶνος ἀπὸ τοῦ Θώνιδος καὶ Θώνιος Ἰωνικῶς καὶ κατὰ συγκοπὴν Θῶνος ἢ ἀπὸ τοῦ Θόων εὐθείας Θόωνος καὶ κράσει Θῶγος, sic enim verba corrupta emendavit Lehrs Herod. p. 107. Schol. ad Od. δ 228: Θῶνος παράκοιτις: ἀπὸ τοῦ Θόωνος (sc. κατὰ κρᾶσιν). τὸν αὐτὸν δὲ λέγουσιν εἶναι τὸν Θῶνιν (sc. sic ut Θῶνος per syncopen ex Θώνιος factum esse sumatur). Mon. 32, 1 χθών. τὰ εἰς $\overline{ων}$ μονοσύλλαβα φιλεῖ ἀρσενικὰ εἶναι καὶ φυλάττει τὸ $\overline{ω}$ ἐν τῇ γενικῇ. πρών, Χθών τὸ ἐθνικόν, κλών, Θών εἴτε Θῶνος εἴτε Θῶντος. Theogn. 132, 1: Θών, ἀφ' οὗ καὶ ἡ γενικὴ Θῶνος; 4: τὸ Θῶν ἐκ πάντων τῶν μονοσυλλάβων περισπώμενον καὶ διὰ τοῦ $\overline{ντ}$ κλινόμενον. cf. Lehrsii ad Mon. explicatissimam adnotationem. Lob. Proll. 73, El. I 292, II 106.

εἰ δέ τις εἴποι, διατί οὐκ ὀξύνεται, λέγομεν τὴν αἰτίαν ταύτην· αἱ συγκοπτόμεναι γενικαὶ ὀξυνόμεναι μιμοῦνται εὐθείας, οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν καὶ πάλιν ἡ μητρός καὶ πατρός καὶ θυγατρός μιμοῦνται τὴν ἰατρός εὐθεῖαν. ἐπειδὴ οὖν ἡ Θῶνος γενικὴ εἰ ὠξύνετο, οὐκ ἤμελλε μιμεῖσθαι εὐθεῖαν (οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς νος καθαρὸν δισύλλαβον τῷ ω παραληγομένον καὶ ὀξυνομένην, βαρυνομένην δὲ ἔχομεν ὡς ἐπὶ τοῦ κῶνος, ὦνος) τούτου χάριν οὐκ ὠξύνθη, ἀλλ' ἐβαρύνθη. πρόσκειται δισύλλαβον διὰ τὸ κοινωνός, οἰωνός, Τιθωνός ὑπερδισύλλαβα. τὸ δὲ Θῶν Θῶντος ὄνομα κύριον προπερισπᾶται πρὸς τὸν χαρακτῆρα τῶν εἰς ων περισπωμένων ὀνομάτων. τὰ γὰρ εἰς ων περισπώμενα προπερισπῶνται κατὰ τὴν γενικὴν οἷον Ξενοφῶν Ξενοφῶντος, Κτησιφῶν Κτησιφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος· οὕτως οὖν καὶ Θῶν Θῶντος· ἢ πρὸς χαρακτῆρα τῆς κλῶν κλῶντος μετοχῆς καὶ Ζῶν Ζῶντος καὶ δρῶν δρῶντος λέγομεν Θῶν Θῶντος προπερισπωμένως. — ἡ «Ὦπος θυγάτηρ» (Od. α 429) πρὸς διαστολὴν τοῦ ὀφθαλμοῦ. ἡ τίνος ὅτε πυσματικῶς λέγεται, βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ ἀορίστου ὀξυνομένου. ἐπὶ μέντοι μετοχῶν βαρύνεται στάντος, θέντος, δόντος, οἷς ἠκολούθησε τὸ Φθάς Φθάντος κύριον καὶ Πράς Πράντος καὶ Ζάς Ζάντος.

Αἱ ὑπὲρ δύο συλλαβὰς εἰς ος ἀπὸ μὲν βαρυτόνων εὐθειῶν βαρύνονται οἷον Δημοσθένης Δημοσθένεος, Σωκράτεος, Πάριδος καὶ ὅλαι προπαροξύνονται· ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον βασιλεύς βασιλῆος, ἱμάς ἱμάντος, ἀλλὰ καὶ Ξενοφῶν Ξενοφῶντος, Σιμοῦς Σιμοῦντος. σεσημείωνται ἡ γυναικός καὶ θυγατρός ὑπὲρ δύο συλλαβὰς οὖσαι ὀξυνόμεναι διὰ τὴν συνεκδρομὴν τῶν συγγενικῶν τῆς πατρός ἀνδρός μητρός. ἀλλὰ καὶ ἡ μητέρος καὶ θυγατέρος ἐντελεῖς οὖσαι καὶ παροξυνόμεναι σημειοῦνται, δέον προπαροξύνεσθαι ὡς Δημήτηρ Δημήτερος, εἰνάτηρ εἰνάτερος, φράτηρ φράτερος. ἀλλὰ καὶ αὗται συνεξῆλθον τῇ ἀνέρος πατέρος δαέρος.

---

l. 15 ἡ Ὦπος — l. 18 θέντος, δόντος Io. Al. 10, 9, οἷς ἠκολούθησε — usque ad finem canonis ex Arcad. 128, 23: πρόσκειται, εἰ μὴ χαρακτῆρι ἀκολουθήσῃ διὰ τὸ Φθάς Φθάντος κύριον ἀκολουθῆσαν ταῖς μετοχαῖς et Eustath. 436, 20 ὡς καὶ ὀξύνεται ὁ Ζάς καὶ τὸ ντ ἔχει ἐν τῇ γενικῇ δῆλον ἐκ τοῦ παραδόντος (i. e. Herodiano) ὅτι κατὰ Πράς Πράντος ὄνομα ποταμοῦ καὶ πόλεως καὶ Φθάς Φθάντος κύριον προπαροξυνόμενον μετοχικῶς ἐν τῇ γενικῇ κατὰ τὸ φάς φάντος καὶ Ζάς Ζάντος. cf. Choer. 16, 6 et 411, 26. l. 20—30 Io. Al. 10, 14—26 inserto φράτηρ φράτερος ex Eustath. 1388, 41: ὁ Ἡρωδιανὸς καὶ θυγατρός καὶ θυγατρί καθὰ καὶ τὸ γυναικός γυναικί ὡς ἡμαρτημένα πρὸς ἀναλογίαν παρασημειούμενος λέγει ὡς οὐδεμία γενικὴ εἰς ος λήγουσα ὑπὲρ δύο συλλαβὰς ὀξύτονός ἐστιν. ὁμοίως οὐδὲ δοτικὴ εἰς ι περαιουμένη. σημειῶδες παρ' αὐτῷ καὶ τὸ θυγατέρος καὶ μητέρος, ὅτι πρὸ μιᾶς τὴν ὀξεῖαν ἔχει καὶ οὐ τρίτην ἀπὸ τέλους κατὰ τὸ Δημήτερος εἰνάτερος φράτερος. — l. 26 post μητρός omisi θυγατρός ut ex superioribus male repetitum. Praeceptum de μητέρος et θυγατέρος apud Arcadium omissum est, sed restiterunt p. 125, 5 verba eo referenda: ἀκολουθήσαντα τοῖς ἰδίοις συγγενέσι πατέρος δαέρος (pro μητέρος) ἀνέρος, ut vidit Lobeck. El. I 258 not. 34.

Αἱ εἰc ᾱc καὶ η̄c γενικαὶ θηλυκαὶ ἀπὸ μὲν ὀξυνομένων εὐθειῶν καὶ περιcπωμένων περιcπῶνται, ἡ φοβερά τῆc φοβερᾶc, ἡ καλή τῆc καλῆc, ἀλλὰ καὶ Ἀθηνᾶ Ἀθηνᾶc καὶ χρυcῆ χρυcῆc. αἱ δὲ ἀπὸ βαρυτόνων πρὸ μιᾶc ἔχουcι τὸν τόνον, Μήδεια Μηδείαc, ὁcία ὁcίαc. τὸ μιᾶc περιcπώμενον ἀπὸ τοῦ μία βαρυνομένου Ἴωcί τινεc ἀνατιθέαcι καὶ ἔτι ἀπὸ τοῦ ἴα τὸ ἰᾶc. ὁμοίωc καὶ τὰc δοτικάc.

Περὶ τόνου τῆc ἑνικῆc δοτικῆc.

Πᾶcα δοτικὴ διcύλλαβοc εἰc ῑ ἐκφωνούμενον λήγουcα, ἑνική τε καὶ πληθυντικὴ ὀξύνεται μηνί μηcί, φωτί φωcί.

Πάλιν τῶν cυνῃρημένων γενικῶν αἱ δοτικαὶ διὰ τὴν αὐτὴν αἰτίαν βαρύνονται, ἦρι, κῆρι· ἔτι ἀπὸ cυναιρέcεώc εἰcι τὸ Θέτιι Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ (C 407), μάcτιι μάcτι «μάcτι αἰὲν ἔλαυνε» (Ψ 500),

---

l. 1—6 Io. Al. 10, 27—34. Arcadius 128, 8 τὸ δὲ ἴα ἰᾶc καὶ μία μιᾶc διαφορεῖ κατὰ τὸν τόνον ἔθει Ἰωνικῷ καὶ ἐν τῇ δοτικῇ ἰᾷ καὶ μιᾷ. πᾶcα γὰρ γενικὴ καὶ δοτικὴ μακροκατάληκτοc ἐπὶ τέλουc ἔχουcα τὸν τόνον περιcπᾶται. — Il. Pr. Z 422: ἰῷ ὡc cοφῷ Ἀρίcταρχοc καὶ ἐπεκράτηcεν αὐτοῦ ἡ ἀνάγνωcιc. ἐκεῖνο μέντοι ἀναγκαῖον προcθεῖναι, ὅτι τὸ ἴα βαρυτόνωc ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία «οὐδ' ἴα γῆρυc» (Il. Δ 437) καὶ «μία δ' οἴη» (Il. C 565)· τὰc μέντοι δοτικὰc περιέcπαcεν «ἰῇ ἄρα γιγνόμεθ' αἴcῃ» (Il. X 477) καὶ «ἰῇ δ' ἐν νυκτὶ γένοιτο» (Il. C 251). καί φαcί γε τὸ τοιοῦτο Ἰώνων εἶναι. τινὲc δὲ ἐτόλμηcαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ τὸ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβαcμὸν γίνεcθαι τόνου· οὕτωc οὖν καὶ «μέcην ἐc ἄγυιαν» (Il. Y 254) ἀνέγνω· «ἐϋκτιμέναc δὲ κατ' ἀγυιάc» (391). μήποτ' οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆc δοτικῆc περιέcπαcε, cυνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶcιν καὶ τὸ οὐδέτερον οὕτωc ἀνέγνω ὁμοτόνωc. Π 173 τὸ ἰῆc περιcπῶcι καὶ τὸ «ἰῇ ἐν νυκτὶ γένοντο» (Il. C 251) οὐκ ἀκολούθωc εὐθείᾳ τῇ ἴα βαρυνομένῃ. «οὐ γὰρ πάντων ἦεν ὁμὸc θρόοc οὐδ' ἴα γῆρυc» (Il. Δ 437). Ep. Cr. I 134, 16: ἴα μία κλίνεται μιᾶc ἰᾶc· ἔχει δὲ Ἰωνικὴν τάcιν, ἐπειδὴ κανών ἐcτιν ὁ λέγων· ἐπὶ τῶν εἰc ᾱ βραχυκαταλήκτων εἰώθαcιν οἱ Ἴωνεc βαρύνειν τὰc λέξειc ὡc καὶ ἡμεῖc οἷον ὄργυια, ἄγυια, Πλάταια. Θέcπεια· ὅταν δὲ γένηται ἡ τελευταία cυλλαβὴ μακρά, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνοc οἷον ἀγυιά ὀργυιά Θεcπειά. τοῦτο οὖν ἐcτιν εἰρημένον τῷ τεχνικῷ. τὸ μιᾶc γὰρ καὶ ἰᾶc· ἐπειδὴ γὰρ τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτεῖ, τούτου χάριν τῷ Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνοc. καὶ περιεcπάcθη οἷον ἰᾶc ἰᾷ μιᾶc μιᾷ, ὅθεν καὶ ἡ αἰτιατική, ἐπεὶ οὐκ ἐγένετο μακροκατάληκτοc, οὐ καταβιβάζει τὸν τόνον, ἀλλὰ παροξύνεται ὁμοίωc τῇ εὐθείᾳ. cf. Choer. 405, 19 seqq. et Lehrs Arist. 298 (ed. II). l. 8—11 ἦρι κῆρι ex Io. Al. 10, 35, apud quem corruptum est ῑ ἐκφωνήεντοc pro ῑ ἐκφωνούμενον; de oxytonesi bisyllaborum genetivorum in ῑ correptum exeuntium agit Herod. in Il. Pr. Ξ 387: δαΐ: Ἀcκαλωνίτηc βαρύνει ὡc Θέτι, οἱ δὲ πλείουc ὡc φλεβί ὀξύνουcιν, οἷc cυγκατατίθεμαι. εἰ μὲν γὰρ ἦν ἡ εὐθεῖα, ὡc οἴεται ὁ Ἀcκαλωνίτηc, δάϊc ὡc Θέτιc βαρυνομένη καὶ ὡc «πάντα Θέτι καλλιπλοκάμῳ» (Il. C 407), οὕτωc δάϊ, πρῶτον ἐκτείνεcθαι δεήcει τὸ ῑ· δεύτερον ἐκεῖνο ὁρῶμεν ἐναντιούμενον· τὰ γὰρ εἰc ιc λήγοντα καθαρὸν θηλυκά, εἴτ' ἄλλῳ εἴτε καὶ τῷ ᾱ παραληγόμενα, οὐ φιλεῖ βαρύνεcθαι, τοὐναντίον δὲ ὀξύνεcθαι — ὁ δὲ λόγοc ἐπὶ τῶν Ἑλληνικῶν, ἵνα μή τιc τὸ Ξόϊc ἢ Cάϊc ἀντιθῇ κείμενα παρ' Ἡροδότῳ· οἷον Θηβαΐc Δαναΐc, Λαΐc Θαΐc. οὕτωc ἄρα δαΐc. χωρὶc εἰ μὴ λέγοι τιc τοῦτο βεβαρυτονῆcθαι πρὸc ἀντιδιαcτολὴν τοῦ ὀξυνομένου, ὥcπερ καὶ τὸ ἀκρίc. ἄμεινόν ἐcτιν ἐκεῖνο λέγειν ὡc ὅτι εἴτε ἀπὸ τῆc δάϊc βαρυνομένηc εἴτε ὀξυνομένηc ἡ προκειμένη ἐcτὶ δοτική, ὀφείλει ὀξύνεcθαι τῷ τὰc εἰc ῑ cυνεcταλμένον ληγούcαc δοτικὰc καὶ μὴ cυναλειφθείcαc ἐπ' ὀνομάτων ἀρcενικάc τε καὶ θηλυκὰc ὀξύνεcθαι, μηνί, χηνί· ταύτῃ καὶ λιτί. οὕτω καὶ ἡ δαΐ, εἴτε ἀποκέκοπται εἴτε cυγκέκοπται, ὀξυτονηθήcεται. de κῆρι Il. Pr. Δ 46: κῆρι προπεριcπᾶται, ἐκ γὰρ τοῦ κέαρι cυνήλειπται. l. 11 inde ab ἔτι ἀπὸ cυναιρέcεώc ἐcτι — p. 412 l. 6 ex Choer. 417, 11 cf. etiam 510, 10.

μήτιι μήτι «μήτι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο» (Ψ 318). καὶ ἡ σπῆϊ δὲ δοτικὴ οἷον «εὗρε δ' ἐν σπῆϊ» (Ω 83) προπερισπωμένη καὶ μὴ ὀξυνομένη οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ καὶ αὕτη ὑπὲρ δύο συλλαβάς ἐστι δυνάμει, ἀλλ' ἡ συναίρεσις αἰτία γέγονε τῆς δισυλλαβίας. ἀπὸ γὰρ τοῦ σπέος σπέεος σπέεϊ κατὰ κρᾶσιν τῶν δύο $\bar{\epsilon}\bar{\epsilon}$ εἰς $\bar{\eta}$ γέγονε σπῆϊ ὥσπερ Ἡρακλέεος Ἡρακλῆος «τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο (Υ 145).

Ὁμοίως καὶ αἱ μετοχαὶ βαρύνονται στάντι στᾶσι, δόντι δοῦσι καὶ ἐπὶ πάντων ὁμοίως. ἡ δὲ πᾶσι βεβαρυτόνηται ὡς μετοχικῆς τυχοῦσα ἀναλογίας, ἧς ἔχεται καὶ Φθάντι καὶ Φθᾶσι.

Πάλιν γυναικί καὶ θυγατρί σημειοῦνται. καθόλου γὰρ πᾶσα δοτικὴ ἰσοσύλλαβος τῇ ἰδίᾳ γενικῇ καὶ τὸν αὐτὸν ἔχει τόνον καλοῦ καλῷ, φωτός φωτί. εἰ οὖν τὸ γυναικός καὶ θυγατρός ὀξύνονται, εἰκότως ἄρα καὶ τούτων δοτικαὶ ὀξύνονται· ἔνθεν καὶ τὸ τίνος καὶ τίνων ὁπότε πυσματικῶς βαρύνονται, συμβαρύνουσι καὶ τὴν δοτικὴν τίνι καὶ τίσι. ὅτε δέ ἐστιν ἀόριστον, ὀξύνεται καὶ συνοξύνει τὴν δοτικήν. πρόσκειται «ἰσοσύλλαβος» διὰ τὸ παχέος παχεῖ, ἥτις διὰ τὴν συναίρεσιν οὐκ ἰσοσυλλαβεῖ τῇ γενικῇ. τὸ δὲ παχέϊ ἰσοσυλλαβεῖ. δεῖ δὲ παραφυλάξασθαι τὸ «οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω» (Ζ 422)· ἴον γάρ ἐστιν ἡ εὐθεῖα καὶ ἡ γενικὴ ἴου παροξυτόνως, ἡ δὲ δοτικὴ ἰῷ περισπωμένως. ὡς γὰρ σοφῷ Ἀρίσταρχος καὶ ἐπεκράτησεν αὐτοῦ ἡ ἀνάγνωσις· μήποτε οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως. Τούτων οὖν οὕτως ἐχόντων τῆς Τυνδάρεος εὐθείας τῆς διὰ τοῦ $\bar{\epsilon}$ καὶ $\bar{o}$ ἡ γενικὴ Τυνδαρέου ἐστὶ παροξυτόνως, ἀλλὰ καὶ ἡ δοτικὴ ὁμοίως τῇ γενικῇ Τυνδαρέῳ ἐστὶ παροξυτόνως. ὅταν δὲ γένηται Ἀττικῶς ἡ εὐθεῖα διὰ τοῦ $\bar{\epsilon}$ καὶ $\bar{\omega}$ Τυνδάρεως ὡς Μενέλεως, τότε προπαροξύνεται ἡ γενικὴ καὶ ἡ δοτικὴ ὁμοίως οἷον τοῦ Τυνδάρεω τῷ Τυνδάρεῳ ὥσπερ τοῦ Μενέλεω τῷ Μενέλεῳ.

Ἔτι αἱ εἰς $\bar{\iota}$ ἐκφωνούμενον λήγουσαι ὑπὲρ δύο συλλαβὰς ἀσυναίρετοι ἑνικαί τε καὶ πληθυντικαὶ βαρύνονται· ἀλλὰ προπαροξύνονται μὲν αἱ ἀπὸ βαρυτόνων εὐθειῶν Αἴας Αἴαντος Αἴαντι Αἴασι, ἔρως ἔρωτος

---

l. 7—9 ἀναλογίας Io. Al. 11, 2, ubi quod legitur μετοχῆς mutavi in μετοχικῆς; verba ἧς ἔχεται — Φθᾶσι ipse apposui ex Herodiani sententia, quae in doctrina de genetivo prolata est, Choeroboscum p. 417, 24 et 462, 25 secutus. l. 10—15 τὴν δοτικήν ex Io. Al. insertis l. 11 exemplis καλοῦ καλῷ φωτός φωτί quibus canon etiam in nomina I et II declinationis extenditur, insertis ex Arc. 129, 1. — l. 15 πρόσκειται — l. 17 ἰσοσυλλαβεῖ ex Arc. 129, 3; inde ab δεῖ δὲ παραφυλάξασθαι — l. 19 περισπωμένως ex Choer. 415, 13, ὡς γὰρ σοφῷ — l. 23 ὁμοτόνως ex Il. Pr. Ζ 422 (cf. Θ 108), sequentia usque ad l. 28 ex Choer. l. c. cf. Schol. ad Od. λ 299 coll. cum Eustath. — Hic fuit etiam sermo de accentu dativi ὅτεῳ; ut concludi potest ex Choer. 414, 5: διὰ τοῦτο τὸ ὅτεῳ ἀναγνωστέον προπαροξυτόνως οἷον ὡς ὅτεῴ σε πατὴρ κέλεται· (β 114) ἀντὶ τοῦ ᾧ τινι, ἐπειδὴ ἰσοσυλλαβεῖ τῇ γενικῇ τῇ ὅτεως, ὅτεως ἐχρῆν ἀντὶ τοῦ οὗτινος καὶ ἀναγκάζεται ὁμοτονεῖν αὐτῇ. Sed Herodiani haec non sunt, potius ab eo profectum videtur Schol. ad Od. β 114: ὅτεῳ ὡς Πηνέλεῳ. τὸ γὰρ τῷ μετὰ τὸ γενέσθαι ὅτῳ διῃρέθη ὡς τὸ ὅτου ὅτεο καὶ ἐν πλεονασμῷ τοῦ $\bar{\tau}$ «εἰρήσεται ὅττεό σε χρή». cf. Lob. El. I 422, II 97. l. 29—p. 413 l. 5 ποιοῦσι ex Io. Al. 11, 12; Αἴαντι et

ἔρωτι ἔρωcι· καὶ γὰρ αἱ πληθυντικαὶ ὁμοίως. πρὸ μιᾶς δὲ ἔχουcι τὸν τόνον αἱ ἀπὸ ὀξυτόνων ἢ περιcπωμένων, ἀβλής ἀβλῆτι ἀβλῆcι, εὐcεβής εὐcεβέϊ εὐcεβέcι, ἀλλὰ καὶ φθογγῆc φθογγῆντι φθογγῆcι, Ξενοφῶν Ξενοφῶντι Ξενοφῶcι καὶ ἐπὶ μετοχῶν λαβών λαβόντι λαβοῦcι, ποιῶν ποιοῦντι ποιοῦcι. cεcημείωται τὸ μηδενί μηδέcιν καὶ οὐδενί οὐδέcιν.

Τὸ «cπέccι γλαφυροῖcι (Od. α 15) ὅcov ἐπὶ διcυλλαβίᾳ ὀξύνεcθαι ὤφειλεν, νῦν δὲ τῷ τύπῳ βεβαρυτόνηται· τὰ γὰρ ἔχοντα διπλαcιαcμὸν τοῦ c̄ τῷ ε̄ παραληγόμενα βαρύνεται, θήρεccι, κύνεccι· οὕτωc οὖν τὸ cπέccι. τὸ γοῦν ποccί μὴ παραληγόμενον τῷ ε̄ εὐλόγωc ὠξύνθη. Πάλιν ἡ γυναιξί cημειούcθω.

Αἱ πλεονάcαcαι τὸ ᾱ κατὰ τὴν παραλήγουcαν παροξύνονται, πατράcι, θυγατράcι, μητράcι.

Αἱ μεταπεπλαcμέναι ὑπὲρ δύο cυλλαβὰc ἀπὸ μὲν τῶν εἰc ῳ̄ προπαροξύνονται, πολυπλατάγῳ πολυπλάταγι, διχομήνῳ διχόμηνι. τοῦτο δύναται ἀπὸ τοῦ διχόμηνιc «πρὸc γάρ οἱ διχόμηνιc ἀπ' αἰθέροc αὐγάζουcα» Ἀπολλώνιοc (I 1231) καὶ δοτικῆc διχομήνιδι ἀποκεκόφθαι «οὐδέ τιc ἀδρανέων φέρεται διχόμηνι cελήνῃ» (Arat. Phaen. 470) καὶ ἀναδρομὴν ποιήcαcθαι τοῦ τόνου. τὸ δὲ κλάδοc κλάδου κλάδῳ καὶ κατὰ μεταπλαcμὸν κλαδί καταβιβάζει διὰ τὴν διcυλλαβίαν καθ' ὁμοιότητα τῷ μηνί καὶ παιδί καὶ ἀνδρί. καὶ πάλιν τὸ λιτόν τοῦ λιτοῦ τῷ λιτῷ καὶ κατὰ μεταπλαcμὸν τῷ λιτί οἷον «ἐν λεχέεccι δὲ θέντεc ἑανῷ λιτὶ κάλυψαν» (C 352) καὶ ὀξύνεται διὰ τὴν διcυλλαβίαν. Αἱ δὲ ἀπὸ

ἔρωτι dativos singularis ipse inserui; l. 2 pro βαρυτόνων scripsi ὀξυτόνων. cf. Il. Pr. Δ 235 ψευδέcι ὡc cαφέcι, ψεύδεcιν ὡc βέλεcιν. Ο 606 τάρφεcιν ὡc βέλεcιν, ἐὰν δὲ τὸ ἐπιθετικόν, ταρφέcιν ὡc ὀξέcιν. — In fine canonis cεcημείωται τὸ μηδενί — οὐδέcιν adieci ex Arcad. 138, 1 καὶ χωρὶc τοῦ μηδενί μηδέcι κτλ.

l. 7 ex Io. Al. 11, 21. Accuratius de cπέccι exposuit Herod. in Pros. Odyss. ap. Choer. 462, 30 ἀπορεῖ ὁ Ἡρωδιανὸc ἐν τῇ Α ῥαψῳδίᾳ τῆc Ὀδυccειακῆc προcῳδίαc, λέγων οὕτωc, ὅτι ὥcπερ τὸ ἀνδρόc καὶ πατρόc καὶ μητρόc ὠξύνθηcαν πρὸc τὸν χαρακτῆρα, φημὶ δὲ ὁμοίωc τοῦ μηνόc, χηνόc, γραόc, διὰ τί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ cπέccιν, ἀπὸ τοῦ cπέεccιν γενόμενον κατὰ cυγκοπὴν πρὸc χαρακτῆρα τοῦ μηcί, Τρωcί, βουcί; καὶ ἐπιλύεται λέγων, ὅτι ὁ διπλαcιαcμὸc τοῦ c̄ ἴδιόc ἐcτι τῶν ὑπὲρ δύο cυλλαβὰc δοτικῶν πληθυντικῶν, αἵτινεc καὶ μόνωc βαρύνονται οἷον κύνεccιν, θήρεccιν. οὕτωc οὖν καὶ cπέεccι. τοῦτο τοίνυν cυγκοπὲν καὶ γενόμενον cπέccι διὰ τὴν διcυλλαβίαν ὤφειλεν ὀξύνεcθαι, διὰ δὲ τὸν διπλαcιαcμὸν τοῦ c̄, ὅcτιc ἀεὶ ἐν βαρυνομέναιc δοτικαῖc θεωρεῖται, κατὰ τοῦτο ἐβαρύνθη. τὸ «ποccὶ δ' ὑπὸ λιπαροῖcιν ἐδήcατο» (Ξ 186) ἔχει διπλαcιαcμὸν τοῦ c̄ καὶ οὐ βαρύνεται, ἀλλ' οὐ παραλήγοντοc τοῦ ε̄, ὥcπερ ἐπὶ προλεχθέντων παραδειγμάτων οἷον τοῦ κύνεccι θήρεccι καὶ τῶν τοιούτων. l. 12 ex Io. Al. 11, 27.

l. 14—19 ποιήcαcθαι τοῦ τόνου ex Io. Al. 11, 28. Arcad. 129, 5 haec habet: λέγει ὁ τεχνικόc, ὅτι αἱ μεταπεπλαcμέναι δοτικαὶ ἔχουcαι τὸ ῑ προπαροξύνονται, εἰ μὴ διcυλλαβία κωλύcῃ ὁ πολυπλάταγοc τοῦ πολυπλατάγου τῷ πολυπλατάγῳ κατὰ μεταπλαcμὸν πολυπλάταγι ἀναβιβάζει· αἱ γὰρ cυγκοπαὶ ἀναβιβάζουcι, ὀπίcωθεν ὄπιcθεν, ὁμόπατροc ὄπατροc. τὸ δὲ πατρόc καὶ ἀνδρόc καὶ τὸ μητρόc cυγκοπέντα ἠκολούθηcε τῷ χαρακτῆρι τῶν εἰc οc διcυλλάβων γενικῶν; quae hoc loco de accentu syncopatorum retracto dicuntur, aliena sunt a praecepto de metaplasmo et huc irrepserunt ut videtur ex loco, ubi de θυγατρόc genetivo agitur. — l. 19 τὸ δὲ κλάδοc — l. 21 καὶ ἀνδρί ex Arcad. 129, 13. — l. 21 καὶ πάλιν τὸ λιτόν — l. 23 τὴν διcυλλαβίαν ex Choer. 416, 26 collat. Il. Pr. C 352 δεῖ ὀξυτόνωc ἀνα-

τῶν εἰς $\overline{\nu\eta}$ θηλυκῶν φύσει μακρᾷ παραληγομένων μεταπεπλασμέναι δοτικαὶ προπερισπῶνται οἷον ὑσμίνῃ ὑσμῖνι «μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι» (Θ 56), Δωδώνῃ Δωδῶνι «Δωδῶνι ναίων Ζεὺς δμέστιος βροτῶν». ὁ Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι «καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον' εὐλογούμενον» (fr. 415 Nauck) καὶ ἐν Τραχινίαις (170) «ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη» καὶ Καλλίμαχος «τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκὸν ἤγειρον».

Ὁμοίως καὶ αἱ πληθυντικαὶ μεταπεπλασμέναι εἰς $\overline{\sigma\iota}$ λήγουσαι προπαροξύνονται ἐγκάτοις ἔγκασι, ἄστροις ἄστρασι, προβάτοις πρόβασι.

Περὶ τόνου τῆς ἑνικῆς αἰτιατικῆς.

Αἱ αἰτιατικαὶ ἑνικαὶ εἰς $\overline{\alpha}$ λήγουσι ἢ εἰς $\overline{\nu}$, ἀπαθεῖς οὖσαι. Αἱ μὲν οὖν εἰς $\overline{\alpha}$ λήγουσαι ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχουσι τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μὴ τονικὸν κωλύοι παράγγελμα. Αἴας Αἴαντα, μήν μῆνα, σωτήρ σωτῆρα. ἐπὶ δὲ τοῦ Ἄδωνις Ἀδώνιδα, Ἄθηνις Ἀθήνιδα διὰ τὸ μὴ πρὸ τριῶν πίπτειν ποτὲ τὸν τόνον κατεβιβάσθη συλλαβὴν ὁ τόνος. πάλιν τὸ γυναῖκα «γύναῖκα θήσατο μαζόν» (Ω 88) προπερισπώμενον, δέον προπαροξύνεσθαι, ἐπεὶ καὶ ἡ εὐθεῖα γύναιξ παρωξύνθη. σημειωτέον οὖν αὐτό. καὶ ἔτι τὸ μητέρα καὶ θυγατέρα παροξυνομένα· ἔδει γὰρ ὡς ἐπὶ τοῦ θυγάτηρ καὶ μήτηρ. ἀλλὰ πάλιν ταῦτα συνεξῆλθον ταῖς συγγενικαῖς δαέρα πατέρα ἀνέρα. τὸ δὲ θύγατρα «λυσόμενός τε θύγατρα» (Α 13) ἀναβιβάζει.

γινώσκειν τὸ λιτί κατὰ τὸν κανόνα τοῦ Ἡρωδιανοῦ. πᾶσα δοτικὴ δισύλλαβος ἐπὶ ὀνομάτων ὀξύνεσθαι θέλει, φωτί, παντί, θητί. οὕτως γὰρ καὶ ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ ἐν τῇ Ψ (254) (cf. Ξ 387) λέγει ὅτι δεῖ ὀξύνειν κατὰ τοῦτον τὸν κανόνα. οὕτως γὰρ καὶ Ἀρίσταρχος. εἰσὶ δὲ καὶ οἳ περισπῶσιν, οὐ καλῶς· εἶτα ἐπάγει οὕτως· παραιτητέον δὲ τὸν Ἀσκαλωνίτην οἰόμενον ἀπὸ τῆς λίς εὐθείας κεκλίσθαι τὴν λιτί δοτικὴν καὶ τὴν λῖτα αἰτιατικήν· οὐ γάρ ποτε ἐμελέτησε τὰ εἰς ις μονοσύλλαβα διὰ τοῦ $\overline{\tau}$ κλίνεσθαι. μεταπλασμὸς οὖν ἐστι τῆς λιτῷ δοτικῆς ὡς ἡ κλαδί τῆς κλάδῳ et Ψ 254: ἑανῷ λιτί: ὡς φωτί. οὕτως καὶ Ἀρίσταρχος· πᾶσα γὰρ δοτικὴ δισύλλαβος ἐπ' ὀνομάτων εἰς $\overline{\tau\iota}$ λήγουσα ὀξύνεται, χρωτί, δαιτί, Κρητί. οὕτως οὖν καὶ λιτί. τούτῳ γὰρ τῷ λόγῳ καὶ βλητί ὀφείλομεν κατ' ὀξεῖαν τάσιν ἀναγινώσκειν «νύμφα φίλη, καὶ βλητὶ λίθῳ ἐνὶ δάκρυον ἧκας». οὕτως οὖν καὶ λιτί, ἵνα ᾖ μεταπλασμὸς τῆς λιτῷ δοτικῆς ὡς ἡ κλαδί τῆς κλάδῳ. cf. Lehrs Arist. p. 299 ed. II. — l. 1 usque ad finem ex Arcad. 129, 20 et Io. Al. 11, 35, ex St. B. s. Δωδώνη apposui «Δωδῶνι — βροτῶν» et l. 5 locos Sophocl. Trachin. et Callim. Ex hoc St. B. loco intellegimus de Δωδῶνι etiam alteram interpretationem Herodianum proposuisse: λέγεται καὶ Δωδών, ἧς τὴν γενικὴν Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι «νῦν δ' οὔτε μ' ἐκ Δωδῶνος οὔτε Πυθικῶν γηρύς τις ἂν πείσειεν» καὶ δοτικὴν (sequuntur exempla in textum recepta) καὶ τὴν αἰτιατικήν φησιν Εὐφορίων Δωδῶνα ἐν Ἀνίῳ «ἷκτο μὲν ἐς Δωδῶνα Διὸς φηγοῖο προφῆτιν· — ἠδύνατο δὲ ἡ Δωδῶνος γενικὴ μετὰ τῆς λοιπῆς κινήσεως καὶ κλίσις εἶναι τῆς Δωδών, εἴπερ ἦν ἐν χρήσει τῆς πόλεως ἡ εὐθεῖα. διόπερ ἔοικεν ὁ τεχνικὸς μεταπλασμὸν ἡγεῖσθαι, quem locum reservavi libro περὶ παθῶν.

l. 9—10 ex Io. Al. 12, 4. l. 12—22 ἀνέρα ex Io. Al. 12, 6, pro Ἀθηνίς Ἀθηνίδος scripsi Ἄθηνις Ἀθήνιδος. l. 17 Choerobosc. 421, 5 sic excusat accentum accusativi γυναῖκα: πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς $\overline{\alpha}$ λήγουσα διφθόγγῳ παραληγομένη προπερισπᾶται οἷον γλαῦκα καῦκα προῖκα, αἶγα, παῖδα, δαῖτα· οὕτως οὖν καὶ γυναῖκα προπερισπωμένως τῇ καταλήξει τῆς διφθόγγου ἀκολουθησάσης τῆς αἰτιατικῆς, εἰ καὶ ἐκεῖνα μὲν δισύλλαβά εἰσι, τοῦτο δὲ ὑπὲρ δύο συλλαβάς. l. 20 ὡς ante ἐπὶ inserui. — l. 21 τὸ δὲ θύγατρα usque ad finem ex Arcad. 130, 5 adieci

Οὐδεμία εἰς ᾱ λήγουσα αἰτιατικὴ ὀξύνεται· — τὸ γὰρ τινά ὀξύνεται εἰς διαφορὰν τοῦ τίνα· — ἔνθεν ἡ νιφάδα ἀποκοπεῖσα ἀνεβιβάσθη «ἀλευόμενοι νίφα λευκήν» (Hes. Opp. 533). τὸ δὲ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ καὶ χοᾶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ᾱ περισπᾶται.

Πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν̄ λήγουσα περισπᾶται, ἀπέστραπται δὲ τὸν ὀξὺν τόνον μῦν, μνᾶν, σῦν, ὗν, δρῦν, λῖν «ἐπί τε λῖν ἤγαγε δαίμων» (Λ 480), γῆν, ναῦν, γραῦν. θεῦν «τὴν θεῦν Ἄρτεμιν οἷ' ἔπαθεν» τὴν θεὸν κατὰ κρᾶσιν, νοῦν, χοῦν, βοῦν· ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται τῆς εὐθείας ὀξυνομένης.

Αἱ ὑπὲρ μίαν συλλαβὴν ἰσοσύλλαβοι καὶ ὁμόχρονοι ταῖς εὐθείαις οὖσαι ὁμότονοί εἰσι, καλός καλόν, Ἑρμῆς Ἑρμῆν, χρυσοῦς χρυσοῦν, Ἀτρείδης Ἀτρείδην, ταχύς ταχύν, μῆνις μῆνιν, ἤπερ βραχυκαταληκτεῖ. τὰ γὰρ εἰς ῑν̄ λήγοντα ἐν τῇ αἰτιατικῇ πάντα βραχέα ἐστὶν οἷον Εὔπολιν, Ἄλεξιν, ἔχιν, Θέτιν· οὕτω γοῦν καὶ μῆνιν, διὸ τὴν κνημῖδα καὶ σφραγῖδα οἱ Αἰολεῖς κνᾶμιν καὶ σφρᾶγιν λέγοντες μετὰ ὀλιγότητος συλλαβῶν συστέλλουσιν. εἶπον δὲ «ὁμόχρονοι» διὰ τὸ

---

verbis Homeri ex Choer. 420, 10 appositis, unde etiam supra exemplum accusativi γυναῖκα Homer. sumpsi. l. 1 usque ad ὀξύνεται Io. Al. 12, 17, ex quo etiam l. 2 ἔνθεν — l. 3 λευκήν. τὸ γὰρ τινά — τίνα ex Arcad. 130, 7, unde etiam τὸ δὲ Ἐρετριᾶ usque ad finem, χοᾶ ex Dichr. 291, 14 addito: πᾶσα αἰτιατικὴ ἀπαθὴς εἰς ᾱ λήγουσα συστέλλεσθαι θέλει, Ἀλκμᾶνα, ποιμένα, Ἕκτορα, θώρακα Ἀχιλλέα, βασιλέα. Ἀττικοὶ μέντοι ἐκτείνουσι τὰς ἀπὸ τῶν εἰς ε̄ῡς Ἀτρέα λέγοντες καὶ ἱερέα. πρόσκειται ἀπαθὴς διὰ τὸ χοᾶ καὶ Ἐρετριᾶ καὶ Πειρειᾶ καὶ Στειριᾶ cf. etiam Il. Pr. Θ 441: λῖτα: μεταπλασμός ἐστιν ἔνθεν βαρύνεται, ἐπεὶ πᾶσα αἰτιατικὴ ἑνικὴ ἀπαθὴς εἰς α λήγουσα βαρύνεται, ὑπεσταλμένης τῆς τινά· ἀπαθὴς διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα. Σ 352 ἡ αἰτιατικὴ λῖτα μεταπέπλασται ἐκ τῆς λιτόν ὡς κρόκα ἐκ τῆς κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ «κάθηρᾶν τε ῥύπα πάντα» (Od. Ζ 93), εἰ μή ἐστι πληθυντικὸν οὐδέτερον, τοῦ προκειμένου μεταπλασμοῦ ἔχεται. οὐχ ὁμότονος δὲ ἐγένετο τὸ λῖτα τῇ λιτόν, ἐπεὶ πᾶσα αἰτίατικὴ εἰς ᾱ λήγουσα ἐβαρύνετο, ὑπεσταλμένης τῆς τινά κατὰ ἀόριστον προφοράν. Idem fere Ψ 254 cf. Θ 157 φύγαδε ὡς ἅλαδε· καὶ ἤτοι τὴν φυγήν φύγα εἶπεν κατὰ μεταπλασμὸν ὡς τὴν σκέπην σκέπα ἢ ὡς τὸ οἶκον δὲ οἴκαδε, οὕτως φυγὴν δὲ φύγαδε. Apud Arcadium sic canon de accusativo in ᾱ exeunte profertur: πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς. ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς ᾱ δισυλλάβων· ἀβλῆτος, ἀβλῆτα, λιμένος λιμένα, Διομήδεος Διομήδεα, καλοῦ καλόν, εἰ καὶ μὴ τὸν αὐτὸν φυλάττει τόνον διὰ τὸν κανόνα, ἀλλ' ἐπὶ τῇ αὐτῇ συλλαβῇ· τὸ μέντοι Ὁμήρου Ὅμηρον διαφορεῖ, διότι ἡ γενικὴ καὶ δοτικὴ καταβιβάζει, μακρᾶς οὔσης τῆς ληγούσης. σημείωσαι τὸ γυναικός γυναῖκα καὶ θυγατρός θυγατέρα καὶ θύγατρα· ἀναβιβάζουσιν, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν Αἴαντος Αἴαντα· τὸ δὲ τινά ὀξύνεται εἰς διαφορὰν τοῦ τίνα. τὸ δὲ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ᾱ. ἡ δὲ ὀξεῖα καὶ βαρεῖα τὴν περισπωμένην ἐποίησαν, ὥσπερ εἰς τὸ πάϊς παῖς, Ἡρακλέης Ἡρακλῆς. ἐξ ὀξείας γὰρ καὶ βαρείας περισπωμένη γίνεται. πρόσκειται τῷ κανόνι, πλὴν τῶν εἰς ᾱ ληγουσῶν δισυλλάβων αἰτιατικῶν διότι αὗται μόναι βαρύνονται, μῆνα φῶτα, τῶν γενικῶν αὐτῶν ὀξυνομένων. l. 5 ex Il. Pr. Λ 489 ubi λῖν: περισπαστέον κατὰ νόμον τῶν μονοσυλλάβων αἰτιατικῶν. πασᾶ γὰρ αἰτιατικὴ — ὀξυνομένης. ταῦτα Ἡρωδιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ τῆς καθόλου, δρῦν adieci ex Io. Al. 12, 22, qui canonem similiter profert, ad λῖν verba Homerica apposui ex Choer. 421, 26 (cf. Lehrs Arist. p. 257 ed. II qui falso Eustath. 857, 37 tradere Aristarchum accusativum λίν pronunciasse evincit), γῆν — θεῦν ex Io. Al., exemplum accusat. θεῦν ex Choer. l. c., νοῦν — βοῦν ex Io. Al. — Arcadius 130, 17 αἱ μέντοι εἰς ν̄ λήγουσαι μονοσύλλαβοι αἰτιατικαὶ μακρὰν ἔχουσαι τὴν λήγουσαν περισπῶνται, μῦν, σῦν, δρῦν, λῖν, ναῦν, γραῦν, γῆν, θεῦν τὴν θεὸν κατὰ κρᾶσιν, κλεῖν; reliqua omnia de accusativo absunt ab eo. l. 10 — p. 416 l. 2 ex Io. Al. 12, 22. — l. 12 μῆνις μῆνιν — l. 16 συστέλλουσιν recepi ex Eustath. 8, 42 ubi κανὼν τοῦ βραχυκατα-

ἰχθύν· ὀξύνεται γὰρ παρὰ Πινδάρῳ, ἐπεὶ βραχὺ τὸ ῡ τῆς αἰτιατικῆς, τῆς εὐθείας μακρὸν ἐχούσης καὶ παραλόγως περισπωμένης.

Αἱ εἰς η̄ λήγουσαι αἰτιατικαί, εἰ μὲν ἀπὸ ἐντελῶν εἰσι προπαροξυνομένων, προπαροξύνονται ἐν τῇ συναιρέσει οἷον Διομήδεα Διομήδη, Ἀριστοφάνεα Ἀριστοφάνη, Δημοσθένεα Δημοσθένη, Σωκράτεα Σωκράτη, εἰ δὲ ἀπὸ ἐντελῶν εἰσι παροξυνομένων, περισπῶνται ἐν τῇ συναιρέσει εὐσεβέα εὐσεβῆ, ἀσθενέα ἀσθενῆ, εὐτυχέα εὐτυχῆ, Τυδέα Τυδῆ Δωρικῶς «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί» (Δ 384).

Αἱ εἰς ω̄ αἰτιατικαὶ ἀπὸ ἐντελῶν εἰς ᾱ πᾶσαι πεπόνθασιν· ἡ γὰρ Ἀπόλλω καὶ Ποσειδῶ καὶ κυκεῶ καὶ αἱ παραπλήσιοι ἀποκοπεῖσαι οὐκ ἤμειψαν τῶν ὁλοκλήρων τὸν τόνον. ἡ δὲ ἠῶ καὶ αἰδῶ συνῄρηνται ἀπὸ τῆς ἠόα καὶ αἰδόα, ὅθεν περισπῶνται. ἀλλὰ καὶ τὴν Λητώ καὶ

ληκτεῖν τὴν μῆνιν κατὰ Ἡρωδιανὸν τοιοῦτος· τὰ εἰς ῑν λήγοντα κτλ. cf. Dichr. 298, 24 τὰ εἰς ις λήγοντα βαρύτονα ἀεὶ συστέλλει τὸ ῑ, εἰ μὴ σύνθετα ὑπάρχοι ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ῑ, κόνις, δῆρις, μάντις, ὄρχις, ὄφις, λάτρις, ὄρνις. Il. Pr. K 292 Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἀνέγνω ἦνιν ὡς μῆνιν καὶ τοῦτο ὀφείλει εἶναι τὸ ἀνάλογον. Τυραννίων δὲ ὀξύνει τὴν πρώτην. — τάχα οὖν τὸ ἤνιν ἐκτείνει ὁ Τυραννίων διὰ τὸ μέτρον, οὐχὶ διὰ τὸ πληθυντικὸν «ἤνις ἠκέστας» (Il. Z 94) καὶ γὰρ πόλῐς καὶ πόλῐν καὶ μάντῐς μάντῐν. De Aeolicis accusativis cf. Ahrens de dial. Aeol. 113 cum not. 3. — De ἰχθύν cf. Choer. 423, 15 qui citat verba ἰχθὺν παιδοφύγα auctore tacito. apud Io. Al. pro παροξύνεται scripsi ὀξύνεται. l. 3—8 εὐτυχῆ ex Choer. 423, 26, Τυδέα Τυδῆ apposui ex Il. Pr. O 339: Μηκιστῆ: ὁμοίως τῷ «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί» καὶ ἤτοι ἀπεκόπη ἡ Μηκιστῆα αἰτιατικὴ ἢ Δωρικῶς κέκλιται, ὅπερ μοι δοκεῖ ἄμεινον.
l. 9—p. 417 l. 8 ex Io. Al. 12, 28; initio ἀπὸ ἐντελῶν inserui. — de κυκεῶ cf. Il. Pros. Λ 641: τὸ κυκεῶ περισπαστέον, τοῦ γὰρ κυκεῶνά ἐστιν ἀποκοπὴ καὶ ἐπλεόνασε τὸ ῑ. De ἠῶ αἰδῶ cf. Il. Pr. B 262: αἰδῶ: Ἀρίσταρχος περισπωμένως ἀναγινώσκει ὁμοίως καὶ τὸ «ἠῶ δῖαν ἔμιμνε» (Il. I 662). καὶ ἡμεῖς δὲ αὐτῷ συγκατατιθέμεθα. Διονύσιος δὲ ὁ Σιδώνιος ὀξύνει. Πάμφιλος δὲ πάσας τὰς τοιαύτας αἰτιατικὰς περισπᾷ «Λητῶ γὰρ δ' ἥλκησε» (Od. λ 589) καὶ «Πυθῶ δ' ἐρχομένην» (ibid. 581), ἐπεί, φησί, Λητόα ἐστὶ καὶ Πυθόα. Διονύσιος δ' ὁ Θρᾷξ φησὶ κακῶς ἀνεγνωκέναι Ἀρίσταρχον κατὰ τὸν περισπώμενον τόνον τὸ μὲν αἰδῶ καὶ ἠῶ, τὰ δὲ ἄλλα κατ' ὀξεῖαν τάσιν, Πυθώ Λητώ· ἐχρῆν γάρ φησι ὁμοίως ἀνεγνωκέναι. οὐκ εὖ δὲ μέμφεται τῷ Ἀριστάρχῳ, εἴγε ἤδη διάφοροι αἱ εὐθεῖαι, ἠώς αἰδώς, Λητώ δὲ καὶ Πυθώ. ἔστιν οὖν λόγος ὑπὲρ τῆς Ἀρισταρχείου ἀναγνώσεως καὶ τῆς κατεγνωσμένης προσῳδίας οὗτος, ὅτι ἐχρῆν μὲν τὸ Πυθώ περισπᾶσθαι, ἐπειδήπερ Πυθόα ἐστί, καὶ τοῦτο ἀπῄτει ἡ συναλοιφή. ἀλλὰ πάλιν τὸ πτωτικὸν ω̄ ἀπέστραπται τὸν περισπώμενον τόνον· κατὰ τοῦτο ὠξύνετο. ταύτῃ γοῦν καὶ τοῦ χρυσοῦς περισπωμένου τὸ δυϊκὸν ὀξύνομεν. οὕτως ἀποδείκνυται, ὅτι καὶ ἡ καλῷ δοτικὴ εἰς ῑ λήγει καὶ οὐκ εἰς ω̄. δεύτερος δὲ λόγος ἀληθής ἐστιν, ὡς εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνος οὖσα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται οἱ ταχεῖς — τοὺς ταχεῖς, εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται πάντως καὶ ἡ αἰτιατική. διὰ τοῦτο οὖν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ, μὴ κρατούμεναι ὑπὸ τῆς συνεμπτώσεως κατὰ τὴν εὐθεῖαν περισπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆς συναλοιφῆς, οὐχ ὑπὸ τοῦ πτωτικοῦ χαρακτῆρος· ἡ δὲ Λητώ καὶ Πυθώ κατεχόμεναι ὑπὸ τῆς συνεμπτώσεως κατέχονται καὶ τῷ τόνῳ. I 240 ἠῶ: τὴν ἠῶ κατ' αἰτιατικὴν πτῶσιν περισπαστέον καὶ τὴν αἰδῶ, οὐ μὴν καὶ τὸ Λητώ καὶ τὰ τοιαῦτα πάντα· ἀλλὰ τὰ μὲν εἰς ω λήγοντα θηλυκὰ ἐπὶ εὐθείας καὶ αἰτιατικῆς ὁμοτονήσει ὀξυνόμενα, τὸ δὲ ἠώς καὶ αἰδώς μόνα ἕξει ἐπ' αἰτιατικῆς τὴν περισπωμένην τάσιν. cf. Choer. Dict. 334, 1. Etiam accusativorum Λήτων Aeolici et Λητοῖν Ionici mentionem fecerat Herodianus, ut videtur, in libro περὶ κλίσεως ὀνομάτων ap. Choer. 333, 21 λέγει ὁ Ἡρωδιανὸς ὅτι ἐστὶ τὴν Σαπφών καὶ τὴν Λητών ἡ αἰτιατικὴ καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ ω̄ εἰς τὴν οῑ δίφθογγον γίνεται τὴν Σαπφοῖν καὶ τὴν Λητοῖν. ἰστέον δὲ ὅτι Αἰολεῖς καὶ διὰ τοῦ ω̄ν λέγουσι τὴν αἰτιατικὴν τῶν εἰς ω̄ θηλυκῶν καὶ βαρύνουσιν, οἷον τὴν Λήτων τὴν Σάπφων.

τὴν Ἐρατώ καὶ Κλειώ καὶ τὰς παραπληςίους ἀπὸ τῶν εἰς ω̅ εὐθεῶν τῆς Λητώ Κλειτώ Ἐρατώ, ϲυνῃρημένας ἀπὸ τῆς Λητόα, Κλειόα Ἐρατόα, δέον περιςπᾶν, ὀξύνομεν διὰ τὴν ϲυνέμπτωςιν τῆς εὐθείας. ὅτε γὰρ πτῶςις ἑτέρᾳ πτώςει ϲυνεμπέςῃ κατὰ τὸν αὐτὸν ἀριθμόν, πάντως καὶ ὁμοτονεῖ· διὰ τοῦτο καὶ οἱ Δημοςθένεις οἱ εὐςεβεῖς καὶ τοὺς Δημοςθένεις καὶ τοὺς εὐςεβεῖς, οἱ ἰχθῦς καὶ τοὺς ἰχθῦς. πρόςκειται «κατὰ τὸν αὐτὸν ἀριθμόν» διὰ τὸ τῆς φοβερᾶς καὶ τὰς φοβεράς· ὀξύνεται γὰρ ἡ πληθυντικὴ αἰτιατική, ἡ δὲ γενικὴ περιςπᾶται.

Αἱ εἰς η̅ν̅ λήγουςαι αἰτιατικαὶ ἀπὸ γενικῶν εἰς ο̅υ̅ϲ̅ ληγουςῶν οὖςαι, εἰ μὲν βαρύνεται ἡ εὐθεῖα, βαρύνονται οἷον Cωκράτης Cωκράτους Cωκράτην, Δημοςθένης Δημοςθένους Δημοςθένην, εἰ δὲ περιςπᾶται ἡ εὐθεῖα, περιςπῶνται οἷον Ἡρακλῆς Ἡρακλοῦς Ἡρακλῆν, Περικλῆς Περικλοῦς Περικλῆν· εἰ δὲ ὀξύνεται ἡ εὐθεῖα, βαρύνονται διὰ τὸ τοὺς Αἰολεῖς κεχρῆςθαι ταύταις ταῖς αἰτιατικαῖς. δυςμένην γὰρ λέγουςι καὶ κυκλοτέρην καὶ εὐρυνέφην τῶν εὐθειῶν ὀξυνομένων οἷον ὁ δυςμενής, ὁ κυκλοτερής, ὁ εὐρυνεφής. οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰςι· τὸ γὰρ Ἀτρεύς Ἄτρευς λέγουςι καὶ τὸ Πηλεύς Πήλευς καὶ τὸ Ἀχιλλεύς Ἀχίλλευς.

Περὶ τόνου τῆς κλητικῆς.

Πᾶςα κλητικὴ ἐπὶ ταύτης τῆς ϲυλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα τοῦ τόνου, χωρὶς τῶν μελλόντων προςδιορίζεςθαι, οἷον Ὅμηρος Ὅμηρε, καλός καλέ, εὐςεβής εὐςεβές, Χρύςης Χρύςη, πανταπώλης πανταπώλη, βαςιλεύς βαςιλεῦ. ἀλλ' ἐπὶ τῶν εἰς ε̅υ̅ϲ̅ εὐθειῶν ὀξυνομένων αἱ κλητικαὶ περιςπῶνται, καθόλου γὰρ ἡ διὰ τοῦ υ̅ δίφθογγος καταλήγουςα ἀπέςτραπται τὴν ὀξεῖαν τάςιν· ἔνθεν ςημειούμεθα τὴν οὔ ἀπόφαςιν καὶ ἰδού δεικτικόν καὶ ἰού ςχετλιαςτικὸν ἐπίρρημα, περὶ ὧν ἐν ἄλλοις ἀπολογούμεθα. Ἔτι ὁμοτονεῖ βότρυς ὦ βότρυ, ταχύς ὦ ταχύ, Ἄδωνις ὦ Ἄδωνι, πόλις ὦ πόλι, δελφίς ὦ δελφί, Λειώδης ὦ Λειῶδες,

---

— Canoni de accentu similium eiusdem numeri casuum simili addi potest exceptio ap. Choer. 334, 5: χωρὶς τῶν εἰς ε̅υ̅ϲ̅ γενικῶν γενομένων Ἰωνικῶς ἢ Δωρικῶς· οἱ γὰρ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν Ὀδυςςέος καὶ Ἰδομενέος γενικὴν Ὀδυςςεῦς καὶ Ἰδομενεῦς «Ὀδυςςεῦς δὲ λαβὼν κύςε χεῖρ' ἐπὶ καρπῷ» (ω 398) καὶ πάλιν «Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα» (Ν 424, ad quem locum in Il. Pr. Herod.: ἄμεινον δὲ τὸ εὐθεῖαν εἶναι adnotat)· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περιςπᾶται τῷ λόγῳ τῆς ϲυναιρέςεως τῆς ἀπὸ ὀξείας καὶ βαρείας. Hic fortasse memoratus fuit accusativus βῶ, de quo Schol. V ad Il. Η 238 αἱ Ἀριςτάρχου βῶν, ἡ Ἀριςτοφάνους βοῦν, ἡ Ἡρωδιανοῦ βῶ ὡς Βορέαο «Βορέω ὑπ' ἰωγῇ» (Od. ξ 533). l. 9—18 ex Choer., quem haec ut plurima ex Herodiano sumpsisse et per se probabile est et testatur Cod. 2426 in Cr. An. Paris. I 396, ubi quum in titulo περὶ τῶν ἐν ταῖς πτώςεςι τόνων ποιηθέντων παρὰ Θεοδοςίῳ καὶ Ἡρωδιανῷ τοῖς γραμματικοῖς scripta sint, fol. 58 de Aeolicis accusativis δυςμένην, κυκλοτέρην et εὐρυνέφην idem traditur quod ap. Choer. 424, 19 cf. Ahrens de dial. Aeol. 113. De Ἄρην Schol. A ad Il. Ε 909: οὕτως Ἡρωδιανός φηςι μετὰ τοῦ ν̅ Ἄρην. l. 20—l. 11 pag. seq. ex Io. Al. 13, 8. — l. 21 εἰ καὶ μὴ τὸν αὐτὸν — τόνου addidi ex Arc. 130, 23. l. 25 pro διφθόγγου scripsi δίφθογγος et l. 27 ἰού inserui. cf.

ξιφήρης ὦ ξιφῆρες, Αἰνείας ὦ Αἰνεία, Αἴας ὦ Αἶαν (ὁ μὲν Αἴας ὀξύνεται· μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται, τὸ δὲ Αἶαν προπερισπᾶται, τοῦ αν βραχέος ὄντος· πᾶσα γὰρ φύσει μακρὰ πρὸ βραχέος ἐν ἑνὶ μέρει οὖσα περισπᾶται), ποιητής ὦ ποιητά, σοφιστής ὦ σοφιστά, τοξότης ὦ τοξότα. Ἐν τοῖς εἰς της βαρυτόνοις τέσσαρα σεσημείωνται ἀναβιβάσαντα τὸν τόνον, δέσποτα, εὐρύοπα, μητίετα, ἀκάκητα. Ἔτι ὁμοτονεῖ ἄρσην ὦ ἄρσεν, λιμήν ὦ λιμήν, Ἑρμῆς ὦ Ἑρμῆ. Αἱ εἰς ω λήγουσαι εὐθεῖαι θηλυκαὶ καὶ ἔτι αἱ εἰς ως Λητώ, Κλειώ, αἰδώς ἠώς εἰς οι ἔχουσι τὰς κλητικὰς περισπωμένας. περισπῶνται δὲ διὰ τὴν συνέμπτωσιν τῆς δοτικῆς. αὗται μὲν οὖν αἱ κλητικαὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ταῖς εὐθείαις τὸν τόνον ἐφύλαξαν.

Αἱ ἀναβιβάσασαί εἰσιν ἀπὸ τῶν εἰς ης συνθέτων βαρυτόνων καὶ εἰς ους ἐχόντων τὴν γενικήν, Δημόσθενες, Σώκρατες, Διόμηδες. τὸ γὰρ ξιφῆρες καὶ φρενῆρες καὶ τὰ διὰ τοῦ ηρης πάντα καὶ τὰ διὰ τοῦ ωρης καὶ τὰ διὰ τοῦ ωδης ἁπλᾶ ἐστι καὶ οὐ σύνθετα, ὅθεν οὐκ ἀναβιβάζουσι τὸν τόνον. καὶ τὰ διὰ τοῦ ωλης οὐκ ἀναβιβάζουσιν· ἐξῶλες γὰρ καὶ πανῶλες προπερισπωμένως. τὰ δὲ παρὰ τὸ ηκης τανυήκης τανύηκες καὶ τὰ παρὰ τὸ αδης αὐθάδης αὔθαδες καὶ τὰ παρὰ τὸ αρκης αὐτάρκης αὔταρκες, ποδάρκης πόδαρκες καὶ τὰ παρὰ τὸ αντης κατάντης κάταντες, προσάντης πρόσαντες ἔχουσι τὴν κλητικὴν προπαροξύτονον. καὶ τὰ εἰς ης ἐπίθετα βαρύτονα σύνθετα ἀπὸ οὐδετέρων, ἔχοντα τὴν κλητικὴν εἰς ες, προπαροξύνονται κατὰ τὴν

Io. Al. 32, 20 et 23, 15; l. 1 ὁ μὲν Αἴας — l. 2 περισπᾶται ex Arcad. 130, 25 inserui. l. 6 pro εὔρυτα ex Choer. 433, 26 scripsi εὐρύοπα. De his cf. Il. Pr. Α 175: μητίετα: οὕτως Ἀρίσταρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις· καὶ ἴσως ἐστὶ πλεονασμὸς τοῦ ε. ibid. 508 μητίετα: ἐχρῆν αὐτὸ παροξύνειν, εἴγε τὰ εἰς της λήγοντα βαρύτονα βραχείᾳ παραληγόμενα, ἀπρόσληπτα τοῦ ς ἐπὶ γενικῆς καὶ ἐπὶ κλητικῆς παροξύνεται, οἰκέτα, φιλέτα, εὐνέτα. παραλόγως ἄρα ἡ εὐρύοπα, δέσποτα καὶ τὸ μητίετα· ἔστι δὲ εἰπεῖν ὅτι ἀπὸ τοῦ μητῖτα κατὰ πλεονασμὸν τοῦ ε καὶ συστολῇ τοῦ ι ἀπὸ τῆς εὐθείας τῆς μητίτης κλητικὴ γέγονε μητίετα· καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ τὸν πλεονασμόν. ibid. 540 (quod adnotamentum transiit in E. M. 282, 42) δολομῆτα: προπερισπαστέον τὸ δολομῆτα ὁμοίως τῷ «σχέτλιε ποικιλομῆτα» (Od. ν 293) καὶ καθόλου τὰ εἰς της λήγοντα βαρύτονα, ὅτε ἐπὶ κλητικῆς εἰς α λήγει, προπερισπᾶται, ἀλῆτα, πλανῆτα, νικῆτα, πεδῆτα, αἰσυμνῆτα· ἔνθεν οὖν σημειωτέον τὸ ἀκάκητα. Π 185: Ἀρίσταρχος προπαροξύνει ἀκάκητα· οἱ δὲ ἄλλοι ἀναλογίᾳ πειθόμενοι προπερισπῶσιν· ἐπείσθη δὲ ἡ παράδοσις. An. Paris. IV 364, 12 τὰ εἰς ης ὀνόματα βαρύτονα τῷ η παραληγόμενα καὶ εἰς α τὴν κλητικὴν ποιοῦντα περισπῶνται οἷον ἀγκυλομῆτα πλὴν τοῦ ἀκάκητα. cf. Lehrs Arist. p. 259[2] seqq. — l. 11 ταῖς εὐθείαις pro τῆς εὐθείας scripsi cum Blochio. — De Λητοῖ αἰδοῖ vocativis Choer. 335: καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν (sc. eius enormitatis, qua vocativi in οι contra legem plures quam nominativus vocales habent) ὅτι τὰ ἀρχαῖα τῶν ἀντιγράφων ἐν ταῖς εἰς ω ληγούσαις εὐθείαις εἶχον τὸ ι προσγεγραμμένον οἷον ἡ Λητωί, ἡ Σαπφωί σὺν τῷ ι. συσταλὲν οὖν τὸ ω εἰς τὸ ο ἐν τῇ κλητικῇ ἐξεφωνήθη τὸ ι, τούτου χάριν ἡ κλητικὴ ἔδοξε πλείονα φωνήεντα ἔχειν τῆς ἰδίας εὐθείας. Lex ipsa, qua vocativus brevior nominativo aut par esse iubetur, ab Herodiano proposita est in libro περὶ συντάξεως τῶν στοιχείων in Schol. ad Dionys. p. 798. l. 12—17 περισπωμένως ex Io. Al. 13, 29.

l. 14 καὶ τὰ διὰ τοῦ ωρης adieci ex Arcad. 117, 18 — l. 16 καὶ τὰ διὰ τοῦ ωλης οὐκ ἀναβιβάζουσι addidi propter sequentia ἐξώλης γάρ cf. Arcad. 27, 9 et 117, 19. — l. 17—l. 8 pag. seq. ex Arcad. 117, 20—118, 2 et Choer. 436, 30—437, 5. Io. Al. l. 35 haec tantum habet: τὸ αὔταρκες καὶ αὔθαδες φησὶν ὁ Ἡρωδιανὸς μὴ

κλητικὴν οἷον εὐμήκης εὔμηκες, ἐπιμήκης ἐπίμηκες, κακοήθης κακόηθες, συνήθης σύνηθες, παμμεγέθης παμμέγεθες, οἷς ἠκολούθησαν καὶ τὸ φιλαλήθης φιλάληθες καὶ μισαλήθης μισάληθες. — τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν μὲν ὀξυνόμενα κατὰ τὴν εὐθεῖαν καὶ κατὰ τὴν κλητικὴν ὀξύνονται οἷον ὁ τριετής ὦ τριετές, ὁ πενταετής ὦ πενταετές, ὁ ἑξαετής ὦ ἑξαετές, παρὰ δὲ τοῖς Ἀθηναίοις παροξυνόμενα κατὰ τὴν εὐθεῖαν ἐν τῇ κλητικῇ προπαροξύνονται οἷον ὁ πενταέτης ὦ πεντάετες, ὁ ἑξαέτης ὦ ἑξάετες.

Πᾶσα κλητικὴ εἰς ρ̄ μετὰ βραχείας βαρύνεται, Ἕκτορ, Νέστορ, Μέντορ, ἔνθεν τὸ ἄνερ, σῶτερ, πάτερ, δᾶερ ἐβαρύνθησαν. Αἱ εἰς ηρ̄ εὐθεῖαι ὑπὲρ δύο συλλαβὰς βαρύτονοι ἀναπέμπουσι τὸν τόνον ἐν τῇ κλητικῇ, θύγατερ, εἴνατερ, Δήμητερ, αἰνόπατερ. τὸ κυβερνᾶτερ ἀπὸ ὀξυτόνου τοῦ κυβερνατήρ γενόμενον προπερισπάσθη. αἱ δὲ εἰς ορ̄ ὑπὲρ δύο συλλαβὰς κλητικαὶ ἐν ταύτῃ τῇ συλλαβῇ φυλάττουσι τὸν τόνον, ἐν ᾗ συλλαβῇ ἔχει αὐτὸν ἡ εὐθεῖα, κωμῆτορ, οἰκῆτορ, Πολυμῆστορ, παντοκράτορ.

Αἱ ἀπὸ τῶν εἰς ων̄ εὐθειῶν ἁπλῶν κλητικαὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ταῖς εὐθείαις τὸν τόνον φυλάττουσι, πέπων πέπον, δαίμων δαῖμων, Ἀρετάων Ἀρετᾶον· εἰ μέντοι σύνθετοι εἶεν, ἀναβιβάζουσι τὸν τόνον τουτέστι προπαροξύνονται, εὔδαιμον, κυλλοπόδιον, Αὐτόμεδον, Ἀγάμεμνον, ὀλβιόδαιμον. τὰ παρὰ τὸ φρήν οὐκ ἀνέδωκε τὸν τόνον, ἀλλ' ἐφύλαξεν ἐπὶ τῆς αὐτῆς, δαΐφρον, Λυκόφρον. σεσημείωται δὲ τὸ ὦ Λακεδαῖμον καὶ τὸ «ψευδόμενοί σε Παλαῖμον» μὴ ἀναπέμψαντα τὸν τόνον.

ἔχειν ἀφορμὴν προπαροξύνεσθαι, unde apparet epitomatorem partem tantum Herodianeae expositionis protulisse, alteram ipsius sententiam continentem suppressisse cf. Lehrs quaest. ep. p. 159; praeter locos a viro clarissimo citatos adeas etiam An. Ox. III 427 ἔστιν ἡ κλητικὴ αὐθᾶδες, παραλόγως δὲ αὔθαδες. l. 9—12 αἰνόπατερ ex Io. Al. 13, 36, αἱ δὲ εἰς ορ̄ usque ad finem ex Choer. 437, 21 ubi diserte reprehenduntur, qui παντόκρατορ scribebant. κωμῆτορ scripsi pro Ἀδμῆτορ. — De ἄνερ πάτερ σῶτερ Eust. 1388, 41: δῆλον ὅτι καθὰ τὸ ἄνερ, οὕτω καὶ τὸ πάτερ μὴ ὀξυνόμενα ὁμοίως ταῖς αὐτῶν εὐθείαις ἀπὸ Αἰολίδος διαλέκτου ἐμμεμενήκασιν εἰπεῖν καθ' Ἡρωδιανόν. εἰκὸς δὲ καὶ τὸ σῶτερ τούτοις συνεκδραμεῖν Αἰολικώτερον. cf. Choer. Dict. 273, 12 (Ep. in Psalm. 8, 27): τὰ εἰς ρ̄ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν χωρὶς τῆς ὑπέρ προθέσεως καὶ τοῦ ἀτάρ συνδέσμου καὶ αὐτάρ, οἷον μάκαρ, ἄφαρ, ἦτορ, ἧπαρ, ἔαρ, φρέαρ, δέλεαρ, στέαρ, ὄνειαρ· οὕτως αὖν καὶ ἄνερ, πάτερ, σῶτερ, δᾶερ βαρυτόνως. πρόσκειται «βραχυκατάληκτα» διὰ τὸ πατήρ καὶ ἀνήρ ὀξυνόμενα. πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸν γάρ σύνδεσμον ὀξυνόμενον. — Cum αἰνόπατερ comparandus est vocativus τριβόλετερ a τριβολετήρ, quod exemplum Choer. 273, 1 et 431, 29 ex Herodiano sumpsisse probant Cr. An. Paris. I 396, 21 cf. Lob. Proll. 131, 5, Hermann opusc. VI 1, 131. l. 17—23 ex Io. Al. 14, 6. — l. 18 pro τῆς εὐθείας scripsi ταῖς εὐθείαις. In fine Παλαῖμον addidi ex Il. Pr. Γ 182: ὀλβιόδαιμον: προπαροξυτόνως. ἔστι γὰρ σύνθετον. τὰ δὲ μακρᾷ παραληγόμενα βαρύτονα, ἔχοντα κλητικὴν εἰς ον̄ περατουμένην, προπερισπᾶται ἁπλᾶ ὄντα, Μαχᾶον, Ἀρετᾶον. σύνθετα μέντοι ἀναδίδωσι τὸν τόνον, κυλλοπόδιον, Ποσείδαον, ὀλβιόδαιμον. καὶ ἐπὶ τῶν ἄλλων τῶν συνθέτων τὸ αὐτό, λέγω δὲ τὸ Αὐτόμεδον καὶ Ἀγάμεμνον· ταῦτα γὰρ πάλιν τὸν τόνον ἀνεβίβασε κατὰ κλητικήν, ἐπεὶ σύνθετα ἦν. τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον, ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικὴν «ἰὼ Λακεδαῖμον» Ἀριστοφάνης Ὁλκάσιν· καὶ σύνθετον τὸ «ψευδόμενοί σε Παλαῖμον». Φ 331: τὸ κυλλοπόδιον Ἀρίσταρχος προπαροξύνει,

Τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικὴν οἷον ὁ βελτίων ὦ βέλτιον, ὁ ἀμείνων ὦ ἄμεινον, ὁ γλυκίων ὦ γλύκιον, ὁ ἀρείων ὦ ἄρειον.

Περὶ τόνου τῆς δυϊκῆς εὐθείας.

Πᾶσα εὐθεῖα δυϊκὴ εἰς ᾱ λήγει ἢ εἰς ε ἢ εἰς ω. — Αἱ εἰς ε λήγουσαι τῆς εἰς ᾱ αἰτιατικῆς ἔχουσι τὸν τόνον, ὅτε ἐστὶ ῥητή, Αἴαντα Αἴαντε, Πάριδα Πάριδε, ἄνδρα ἄνδρε, γυναῖκα γυναῖκε. ἔνθεν πάλιν παρὰ τὸ τινά ὀξύνεται τὸ τινέ «ξείνω δή τινε» (Od. δ 26), τὸ δὲ πυσματικὸν πάλιν βαρύνεται. ὅτε δὲ μή ἐστι ῥητὴ ἡ εἰς ᾱ αἰτιατική, τότε τῇ εἰς οc γενικῇ ὁμοτονεῖ τὸ δυϊκόν, ταχέος ταχέε, πήχεος πήχεε. τὰ δύο εε εἰς η συναιροῦσιν Ἀθηναῖοι.

ἐγὼ δέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη (Aristoph. Pac. 820).
οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ σκέλη χορεύετον (Arist. Pac. 325).
καὶ πρός γε τούτοις ἥκετον πρεσβῆ δύο (Arist. fr. 495 Dind.).

δεῖ προσθεῖναι χωρὶς τῶν ὀξυτόνων γενικῶν, ἐπὶ τούτων γὰρ ἡ εὐθεῖα οὐχ ὁμοτονεῖ, μυός μύε, συός σύε, δρυός δρύε, λιός λῖε.

Τὰ εἰς ᾱ λήγοντα δυϊκὰ ἀπὸ μὲν ὀξυτόνων ὀξύνονται, ἀπὸ δὲ περισπωμένων περισπῶνται. τοῦ μὲν πρώτου αἰχμητής αἰχμητά, λογιστής λογιστά· τοῦ δὲ δευτέρου Ἑρμῆς Ἑρμᾶ, Ἀπελλῆς Ἀπελλᾶ. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, κἂν ἡ εὐθεῖα προπαροξύνηται, διὰ τὸ μέγεθος τοῦ ᾱ. τὸ γὰρ ἐν δυϊκοῖς ᾱ μακρόν ἐστιν, ὁ Αἰνείας τὼ Αἰνεία, ἡ Μήδεια τὰ Μηδεία.

Τὰ εἰς ω λήγοντα δυϊκὰ ἢ ὀξύνεται ἢ βαρύνεται, ἀπέστραπται δὲ τὴν περισπωμένην, ἔνθεν καὶ τὸ τώδε δυϊκὸν οὐ προπερισπᾶται, ἀλλὰ

ῳ καὶ ἐπείσθησαν ὥσπερ ἤδη προείπομεν ἐπὶ τοῦ ὀλβιόδαιμον γένομενοι. cf. Choer. 438, 26 (Ep. Cr. I 17) σημειούμεθα δὲ καὶ τὸ Παλαῖμον προπερισπώμενον κατὰ τὴν κλητικὴν καὶ οὐ προπαροξυνόμενον. ἔστι δὲ σύνθετον παρὰ τὴν πάλην καὶ τὸ αἵμων, ὃ σημαίνει τὸν ἐπιστήμονα. θέλουσι καὶ τὸ Εὔδαιμον τὸ κύριον μὴ προπαροξύνειν κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶν οἷον Εὐδαῖμον πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου· ἐκεῖνο γὰρ προπαροξύνεται κατὰ τὴν κλητικὴν οἷον εὔδαιμον ὥσπερ τὸ κακόδαιμον καὶ ὀλβιόδαιμον. Pariter atque Ἀγάμεμνον Αὐτόμεδον Lobeckius El. II 279 vocativum, quo utitur Alcaeus, Εὐρύδαμαν proparoxytonos scribi vult, non paroxytonos, ut prolatus est ap. Choer. 105, 35.

l. 1 canonem de vocativo comparativorum recepi ex Choer. 438, 34 collato Theogn. 119, 1. l. 5—14 ex Io. Al. 14, 15, in versibus constituendis secutus sum Dindorfium. l. 15—16 ex Arcad. 131, 14. — de πρεσβῆ cf. Choer. 441, 25: ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέσβη παρὰ τοῖς ῥήτορσι βαρυτόνως ἀναγινώσκεται ὡς ἀπὸ τοῦ πρέσβυς πρέσβεος πρέσβεε πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως ὡς ἀπὸ εὐθείας ὀξυτόνου οἷον ὡς ἀπὸ τοῦ πρεσβεύς πρεσβέος καὶ πρεσβέε τὼ πρεσβῆ. Lob. El. II 56. l. 17—22 ex Io. Al. 14, 25. l. 23—3 pag. seq. φίλω ex Io. Al. 14, 31; l. 24 ἔνθεν καὶ τὸ τώδε — παροξύνεται ex Choer. 441, 29. Il. Pros. Ε 219 quaeritur, cur νώ ex νῶϊ non circumflectatur; καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω λῆγον περισπᾶται. Θ 110 τώδε: παροξύνεται τὸ τώδε· παραλόγως· ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ «τώδε δὲ νῶϊ» εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ Ζ, ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει (Ζ 422). Λ 432 τοιώδε ἄνδρε κατακτείνας: ἔφαμεν τὴν διὰ τοῦ δε ἐπέκτασιν προπερισπᾶσθαι, εἰ ἔχοι πρὸ τέλους φύσει

παροξύνεται. ὀξύνεται μὲν ἀπὸ περισπωμένων καὶ ὀξυνομένων χρυσοῦς χρυσῶ, καλός καλῶ. πρὸ μιᾶς δὲ ἔχει τὸν τόνον τὰ ἀπὸ βαρυνομένων, Ὅμηρος Ὁμήρω, φίλος φίλω. τὸ δὲ ἄμφω καὶ δύο θεματικά εἰσιν.

Περὶ τόνου τῆς δυϊκῆς γενικῆς.

Αἱ γενικαὶ τῶν δυϊκῶν εἰς αιν λήγουσι καὶ εἰς οιν. αἱ μὲν οὖν εἰς αιν ἐκ τῶν ἰδίων εὐθειῶν κανονίζονται. εἰ μὲν γὰρ ὀξύνονται αἱ εὐθεῖαι καὶ περισπῶνται, πάντως αἱ γενικαὶ περισπῶνται, καλά καλαῖν, ἀλλὰ καὶ διπλᾶ διπλαῖν. εἰ δὲ βαρύνονται, καὶ αἱ γενικαί, φίλαι φίλαιν, μοῦσαι μούσαιν. καὶ ἀποροῦσί τινες λέγοντες, διὰ τί ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν οὐ περισπᾶται ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν; ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν μᾶλλον τῇ Ἀτρείδαις δοτικῇ τῶν πληθυντικῶν ἀκολουθεῖ ἤπερ τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν. κατὰ γὰρ τὴν φωνὴν τῇ δοτικῇ τῶν πληθυντικῶν πλησιάζει· τὴν αὐτὴν γὰρ δίφθογγον ἔχει. Ἄλλως τε δὲ πᾶσαι αἱ πτώσεις βαρύνονται οἷον Ἀτρείδης Ἀτρείδου Ἀτρείδῃ Ἀτρείδην, δυϊκὰ Ἀτρείδα Ἀτρείδαιν, πληθυντικὰ Ἀτρείδαις Ἀτρείδας. οὕτως οὖν καὶ Ἀτρείδαιν βαρυτόνως. Μόνη δὲ ἡ Ἀτρειδῶν γενικὴ τῶν πληθυντικῶν περιεσπάσθη, ἐπεὶ καὶ μόνη διῃρέθη οἷον Ἀτρειδέων. Ἐὰν βούλωνται οὖν περισπᾶν τὴν Ἀτρείδαιν γενικὴν τῶν δυϊκῶν ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν, καὶ μὴ βαρύνειν ὁμοίως ταῖς ἄλλαις πτώσεσι, δότωσαν ἐπ' αὐτῆς τὸ ἐξαίρετον, ὅπερ ἔσχεν ἡ γενικὴ τῶν πληθυντικῶν, τουτέστι τὴν διαίρεσιν· εἰ δὲ οὐ διαιρεῖται, ἄρα οὐδὲ τὸν τόνον ἕξει τῆς γενικῆς τῶν πληθυντικῶν.

Αἱ δὲ εἰς οιν γενικαὶ εἰ μὲν ἀπὸ τῶν εἰς ω γίνοιντο εὐθειῶν, βαρυνομένων μὲν συμβαρύνονται, φίλω φίλοιν, ὀξυνομένων δὲ περισπῶνται, καλώ καλοῖν. τὸ ἀμφοῖν καὶ δυοῖν καὶ δυεῖν, ὥς φασιν, κατὰ τροπὴν τοῦ ο εἰς ε, οὐκ ἀκόλουθα τῷ ἄμφω καὶ δύο βαρυνομένοις. Εἰ δὲ ἀπὸ τῶν εἰς ε, ἀπὸ μὲν τῶν δισυλλάβων περισπῶνται, χεῖρε χειροῖν, θῆρε θηροῖν, πόδε ποδοῖν, φῶτε φωτοῖν, ἐπὶ ἀνδρῶν, φῶτε δὲ φώτοιν ἐπὶ πυρσῶν. πάλιν σεσημειωτέον τὸ τίνοιν πύσμα βαρυνόμενον ὡς πρὸς τὸ ἀόριστον περισπώμενον καὶ ἔτι τὸ παίδοιν, Τρώοιν, πάντοιν καὶ τὰ λοιπά, ἃ καὶ κατὰ τὴν γενικὴν

μακράν· διὸ σημειώμεθα τὸ «τώδε δὲ νῶϊ» παροξυνόμενον. Schol. ad Od. δ 26 τώδε: παροξυτονητέον, ἵνα νοηθῇ δυϊκόν. cf. Lehrs quaest. ep. p. 133 seqq. — l. 3 τὸ δὲ ἄμφω usque ad finem adieci ex Arcad. 131, 24. cf. E. M. 91, 41 ἄμφω θέμα ἐστὶν ὡς δύο ex Herod. περὶ παθῶν. l. 6—10 μούσαιν ex Io. Al. 15, 1. — l. 14—24 ex Choer. 443, 34 (Bekk. An. 1250) ubi καὶ ἀποροῦσί τινες λέγοντες — πληθυντικῶν; καὶ ἐπιλύεται ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου λέγων, ὅτι κτλ., quae verba sic mutavi ἀλλ' ἔστιν εἰπεῖν, ὅτι. l. 25—l. 6 pag. seq. ex Io. Al. 15, 6; l. 27 καὶ δυεῖν — τοῦ ο εἰς ε ex Arc. 132, 7 apposui. l. 30 φῶτε φωτοῖν ἐπὶ ἀνδρῶν, φῶτε δὲ φώτοιν ἐπὶ πυρσῶν ex Arcad. 132, 16; nam hoc Herodianum docuisse ex Io. Al. 19, 30 patet, ubi diserte φῶτα φώτων ὦτα ὤτων praescribitur. cf. Choer. 445, 18.

πληθυντικὴν σημειούμεθα ὡς βαρυνόμενα, ὧν καὶ αἱ γενικαὶ δυϊκαὶ ἐβαρύνθησαν. ἀπὸ δὲ τῶν ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς ἔχουσι τὸν τόνον Αἴαντε Αἰάντοιν, Πάριδε Παρίδοιν. εἰ δὲ συναλοιφὴ παρακολουθήσῃ, καὶ αὗται περισπῶνται, σκελέοιν σκελοῖν, Δημοσθενέοιν Δημοσθενοῖν. κἀνταῦθα γυναικοῖν καὶ θυγατροῖν σημειούσθωσαν παραλόγως περισπασθεῖσαι.

Περὶ κλητικῆς.

Πᾶσα κλητικὴ δυϊκὴ καὶ πληθυντικὴ ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ.

Περὶ τόνου τῆς πληθυντικῆς εὐθείας.

Πᾶσα εὐθεῖα πληθυντικὴ ἀρσενική τε καὶ θηλυκὴ εἰς $\overline{\epsilon\varsigma}$ λήγει ἢ εἰς $\overline{\text{οι}}$ ἢ εἰς $\overline{\text{αι}}$ ἢ κατὰ συναίρεσιν εἰς $\overline{\text{εις}}$.

Αἱ μὲν οὖν εἰς $\overline{\epsilon\varsigma}$ λήγουσαι οὐδέποτε ὀξύνονται, Πάριδες, μῆνες, Αἴαντες· χωρὶς εἰ μὴ ἐκ πάθους εἶεν διὰ τὸ βιοπλανές

οἵ τε βιοπλανὲς ἀγρὸν ἐπ' ἀγροῦ
φοιτῶσιν· (Callimach.)

καὶ τὸ ἐπιτηδές

εἰς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν (Il. A 142).

ἔχουσι δὲ τῶν δυϊκῶν εὐθειῶν τὸν τόνον, Πάριδε Πάριδες, τίνε τίνες, Ἕκτορε Ἕκτορες, Αἴαντε Αἴαντες, γυναῖκε γυναῖκες, μητέρε μητέρες, εἰνατέρε εἰνατέρες.

---

l. 8 ex Arcad. 132, 14. l. 10—18 τίνε τίνες ex Io. Al. 15, 22, exempla Ἕκτορε — μητέρε debentur Arcad. 132, 18, εἰνατέρε addidi ex Il. Pr. X 473: εἰνατέρες ὡς Δημητέρες. οὕτως πάντες· καὶ τὰ τῆς ἀναλογίας ἐπικρατεῖ οὕτως ἔχοντα ὡς ἐδείχθη. — Arcadius nihil de oxytonis nominativis in $\overline{\epsilon\varsigma}$ refert. — Choeroboscus 447, 10 similia atque Io. Al. tradit: καὶ πάλιν ἔστιν ἐπιτηδέες καὶ κατὰ κρᾶσιν ἐπιτηδεῖς καὶ βιοπλανέες καὶ κατὰ κρᾶσιν βιοπλανεῖς καὶ λοιπὸν κατὰ ἀποβολὴν τοῦ $\overline{\iota}$ γίνεται ἐπιτηδές καὶ βιοπλανές, ὡς παρὰ Καλλιμάχῳ «οἵ τε κτλ.» καὶ παρὰ τῷ ποιητῇ «ἐς δ' ἐρέτας κτλ.» Ἔστι δὲ αὕτη ἡ χρῆσις αἰτιατική ἀπὸ τοῦ ἐπιτηδεῖς καὶ κατὰ ἀποβολὴν τοῦ $\overline{\iota}$ ἐπιτηδές, unde in textu fortasse addendum est: ἔστι δὲ αὕτη ἡ χρῆσις αἰτιατική. Herodiani notae ad locos Homericos interierunt praeter Schol. ad Odyss. ε 27: παλιμπετές: ἀντὶ τοῦ παλιμπετεῖς, ὡς «ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν». Pro his Eustathii notae substituendae sunt; maximam partem ex illis repetitae: Ad A 142 p. 67, 30 ἰστέον ὅτι τὸ ἐπίτηδες προπαροξυτόνως φαμὲν τὸ ἐν ἔργῳ καὶ ἐπιτηδευτικῶς καὶ ἐξ ἐπιτηδεύσεως οἱόν τινος· τὸ δὲ ἐπιτηδές τὸ ἐνταῦθα ὀξυτονούμενον ὄνομα οἱ παλαιοί φασιν εἶναι πληθυντικόν, οὗπερ εὐθεῖά ἐστιν ὁ ἐπιτηδής· ὥσπερ δέ που τὸ ἀκλεεῖς πληθυντικὸν παρ' Ὁμήρῳ ἀκλεές λέγεται, ἐκβληθέντος τοῦ ἰῶτα, οὕτω γέγονε καὶ τὸ ἐπιτηδές ἐκ τοῦ ἐπιτηδεῖς, ἐκδραμόντος τοῦ $\overline{\iota}$ διὰ χρείαν μετρικήν (cf. An. Paris. III 334, 34); ad ο 28 p. 1773, 30: ὅτι δὲ οἱ ἐπιτηδεῖς ἐπιτηδές λέγονται ἀπελεύσει τοῦ $\overline{\iota}$· ἢ κατὰ συγκοπὴν ἐκ τοῦ ἐπιτηδέες καὶ ἀλλαχοῦ σαφῶς ἐλέχθη; ad H 100 p. 669: τὸ δὲ ἀκλεές εὐθεῖά ἐστι πληθυντικὴ ἀντὶ τοῦ ἀκλεεῖς, ἀπελθόντος τοῦ $\overline{\iota}$, ὡς καὶ ἐν τῷ ἐρέτας ἐπιτηδές· κεῖται δὲ καὶ ἐν Ὀδυσσείᾳ χρῆσις τοιαύτης λέξεως (ο 28 ἐπιτηδές)· τινὲς μέντοι ἐπίρρημα τοῦτό φασιν εἶναι· ἄλλοι δὲ παροξύνουσιν· ὡς γὰρ ἀγακλέες κατ' ἔλλειψιν τοῦ ἑνὸς $\overline{\epsilon}$, οὕτω φασὶ καὶ ἀκλέες, ad ε 29 p. 1520, 50: ὅτι ὥσπερ ἐρέτας που ἔφη ἐπιτηδές ἀντὶ τοῦ ἐπιτηδεῖς ἀποβολῇ τοῦ ἰῶτα ἢ καὶ συγκοπῇ ἀπὸ τοῦ ἐπιτηδέας, ὁμοίως καὶ ἀκλεές ἀντὶ τοῦ ἀκλεεῖς, οὕτω καὶ νῦν τὸ μνηστῆρες ἐν νηῒ παλιμπετὲς ἀπονέωνται ἀντὶ τοῦ παλιμπετεῖς . . . . δύναται δὲ καὶ ἐπίρρημα τοῦτο εἶναι, καλῶς ὀξυνόμενον. Ad Π 395 p. 1066, 40: ἕτεροι δὲ παλιμπετές εἶπον ἐπιρρη-

Αἱ δὲ εἰς οι̅ τῇ ἑνικῇ ἀκολουθοῦϲι εὐθείᾳ καὶ αὐτῆϲ ἔχουϲι τὸν τόνον, ἄνθρωποϲ ἄνθρωποι, πληϲίοϲ πληϲίοι, ἱϲτόϲ ἱϲτοί. ἔνθεν ἀπὸ μὲν τοῦ ὁ χρυϲόϲ οἱ χρυϲοί ὀξύνεται, ἀπὸ δὲ τοῦ ὁ χρυϲοῦϲ οἱ χρουϲοῖ περιϲπᾶται, καὶ ἐπὶ τῶν ὁμοίων ὁμοίωϲ.

Αἱ δὲ εἰϲ αι̅ μονογενεῖϲ μὲν οὖϲαι ἐπὶ τῆϲ αὐτῆϲ ϲυλλαβῆϲ ἔχουϲι τὸν τόνον τῇ εὐθείᾳ, Μήδεια Μήδειαι, μοῦϲα μοῦϲαι, ἄελλα ἄελλαι, τοξότηϲ τοξόται, κοχλίαϲ κοχλίαι, Αἰνείαϲ Αἰνεῖαι, Ἀτρείδηϲ Ἀτρεῖδαι, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα. ἡ γὰρ αι̅ ἀντὶ κοινῆϲ λαμβάνεται. οὐδὲ ὄντωϲ οὖν Ἀττικοὶ τὸ αἴτιαι, ἥμεραι, εὐπράξιαι, τιμώριαι προπαροξύνουϲι οὐδὲ τὸ τραγῳδιαι, κωμῳδιαι.

Αἱ εἰϲ τὴν αι̅ δίφθογγον λήγουϲαι εὐθεῖαι τῶν πληθυντικῶν παρεϲχηματιϲμέναι ἀρϲενικοῖϲ, ἐὰν μὲν ὦϲιν ἀπὸ τῶν εἰϲ οϲ̅, τῷ τόνῳ τοῦ ἀρϲενικοῦ ἀκολουθοῦϲι, τουτέϲτι τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρϲενικοῦ, οἷον ποικίλοι ποικίλαι, ἐναντίοι ἐναντίαι, ϲοφοί ϲοφαί, καλοί καλαί, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, ἅγιοι ἅγιαι, τίμιοι τίμιαι, δίκαιοι δίκαιαι, ὅϲιοι ὅϲιαι, Λύκιοι Λύκιαι τὸ τριγενέϲ. Λυκίαι δὲ τὸ μονογενὲϲ πρὸϲ τὸ Λυκία· ἥμεροι ἥμεραι, ἡμέραι δὲ

ματικῶϲ — δύναται δὲ καὶ αἰτιατικὴ εἶναι θηλυκὴ πληθυντικὴ κατὰ ἀποβολὴν τοῦ ι̅ ἐκ τοῦ παλιμπετεῖϲ ἢ ϲυγκοπῇ τοῦ α̅ ἀπὸ τοῦ παλιμπετέαϲ ὁμοίωϲ τῷ ἐρέταϲ ἐπιτηδέϲ καὶ ἀκλεὲϲ αὔτωϲ, ἤγουν ἀκλεεῖϲ. E. M. 366, 20: ἐκ τοῦ ἐπιτηδήϲ γίνεται ἡ εὐθεῖα τῶν πληθυντικῶν ἐπιτηδέεϲ ἐπιτηδεῖϲ· καὶ ἡ αἰτιατικὴ ὁμοίωϲ. καὶ ἀποβολῇ τοῦ ι̅ ἐπιτηδέϲ. ἐϲ δ' ἐρέταϲ ἐπιτηδέϲ ἀντὶ τοῦ ἐπιτηδείουϲ. δεῖ γινώϲκειν, ὅτε μὲν λέγεται ἐπιτηδέϲ καὶ ἀληθέϲ ὀξυτόνωϲ, ὀνόματά εἰϲιν· ὅτε δὲ βαρυτόνωϲ ἐπίτηδεϲ καὶ ἄληθεϲ, ἐπιρρήματά εἰϲιν. Haec omnia debeo Lehrsio quaest. ep. p. 138—143, qui omnino de hac re conferendus est. l. 1—4 ex Io. Al. 15, 31 inserto exemplo πληϲίοϲ πληϲίοι ex Arc. 132, 21. l. 5—10 ex Io. Al. 15, 35 insertis ex Arc. 132, 26: εἰ καὶ μὴ — ἀντὶ κοινῆϲ λαμβάνεται et exemplis ἥμεραι — τιμώριαι ex 133, 9 receptis. — Similis canon exstat in Il. Pr. Ρ 9: ἐϋμμελίαι: ἐπὶ τούτου πρὸ τέλουϲ ἡ ὀξεῖα· ὁμοτονεῖ γὰρ τοῖϲ ἑνικοῖϲ τὰ εἰϲ αι̅ λήγοντα πληθυντικὰ ἐπὶ τῶν εἰϲ αϲ̅ καὶ εἰϲ ηϲ̅ ἰϲοϲυλλάβωϲ κλινομένων καὶ βραχείᾳ παραληγομένων. De αἴτιαι ἥμεραι ap. Arcadium l. c. legimus: οἱ δὲ Ἀθηναῖοι (προ)παροξύνουϲί τινα μονογενῆ· ἥμεραι εὐπράξιαι τιμώριαι αἴτιαι, ap. Choer. 449, 14: ἥμεροι ἥμεραι τὸ τριγενὲϲ τουτέϲτιν οἱ μὴ ἄγριοι· ἐπὶ γὰρ τοῦ μονογενοῦϲ ἡμέρα ἡμέραι παροξυτόνωϲ· οἱ δὲ Ἀθηναῖοι ἐπὶ ταύτηϲ τῆϲ λέξεωϲ, καὶ μάλιϲτα οἱ νεώτεροι, προπαροξύνουϲι· πέντε γὰρ ἥμεραι καὶ δέκα ἥμεραι φαϲὶ προπαροξυτόνωϲ, ὡϲ ἀπαγγέλλουϲι οἱ περὶ Ἀττικῆϲ ϲυνηθείαϲ γράψαντεϲ, unde apparet Herodianum concessisse quidem recentiores Atticos αἴτιαι similia dixisse, sed Atticum hoc esse negasse, quorum prius Arcadius et Choerob. referunt, posterius Io. Al. cf. Il. Pr. Β 339 οὕτωϲ ϲυνθεϲίαι τε ὡϲ θυϲίαι τε· ὅϲοι δὲ προπαροξύνουϲι, πταίουϲι· τῆϲ γὰρ μεταγενεϲτέραϲ Ἀτθίδοϲ ἡ τοιᾶδε ἀνάγνωϲιϲ. Ε 54 οὕτωϲ ἐκηβολίαι ὡϲ εὐϲτοχίαι· ἔφαμεν γὰρ ὅτι τὸ ἀναδιδόναι τὸν τόνον μεταγενεϲτέρων ἐϲτὶν Ἀττικῶν, ὅτε περὶ τοῦ «πῇ δὴ ϲυνθεϲίαι» (Β 339) διελαμβάνομεν. l. 11—l. 6 pag. seq. ex Herodiano ap. Choer. 449, 34 (Bekk. An. 1255) ἰϲτέον δὲ ὅτι ὁ Ἡρωδιανὸϲ ἐν τῇ καθόλου οὕτω κανονίζει τὰϲ εἰϲ τὴν αι̅ δίφθογγον ληγούϲαϲ εὐθείαϲ τῶν πληθυντικῶν παρεϲχηματιϲμέναϲ ἀρϲενικοῖϲ. φηϲὶ γὰρ ὅτι κτλ. — posui pro iis, quae in epitomis exstant. Apud Arc. 133, 3 canon sic profertur: αἱ εἰϲ αι̅ εὐθεῖαι παρεϲχηματιϲμέναι ἀρϲενικοῖϲ ὁμοτονοῦϲι ταῖϲ εὐθείαιϲ τῶν ἰδίων ἀρϲενικῶν, τύπτοντεϲ τύπτουϲαι, χαρίεντεϲ χαρίεϲϲαι, ταχέεϲ ταχεῖαι, εἰ καὶ μὴ τὸν αὐτὸν τόνον, ἐναντίοι ἐναντίαι, Βυζάντιοι Βυζάντιαι, ἥμεροι ἥμεραι τὸ τριγενέϲ. ἡμέραι δὲ τὸ μονογενέϲ. Io. Al. hunc in modum: μὴ οὖϲαι δὲ μονογενεῖϲ τῶν ἀρϲενικῶν ἔχουϲι τὸν τόνον, δίκαιοι δίκαιαι, καλοί καλαί· τὸ μὲν οὖν δικαία παροξύνεται, τὸ δὲ δίκαιαι πληθυντικὸν ὁμοίωϲ τῷ δίκαιοι ἀρϲενικῷ προπαροξύνεται, ἐπεὶ καὶ οἱ ἥμεροι. — Hinc l. 16 δίκαιοι δίκαιαι et l. 17 ἥμεροι ἥμεραι, ἡμέραι δὲ τὸ μονογενέϲ inserui.

τὸ μονογενές. Ἐὰν δὲ μὴ ὦϲιν ἀπὸ τῶν εἰϲ ος, τοῖϲ ἑνικοῖϲ ἑαυτῶν ἀκολουθοῦϲι κατὰ τὸν τόνον οἷον Θρῇϲϲα Θρῇϲϲαι, θῆϲϲα θῆϲϲαι ἡ μιϲθῷ δουλεύουϲα, τύπτουϲα τύπτουϲαι, χαρίεϲϲα χαρίεϲϲαι, τετυφυῖα τετυφυῖαι, ταχεῖα ταχεῖαι, βραδεῖα βραδεῖαι, μέλαινα μέλαιναι. τὸ δὲ Τρῳαί καὶ δμῳαί ὀξυνόμενα ὁμολογοῦϲι πεπτωκέναι ἀπὸ ὀξυτόνου ἑνικοῦ Τρῳή καὶ δμῳή.

Αἱ εἰϲ εις ἀπὸ μὲν βαρυτόνων ἑνικῶν βαρύνονται, Δημοϲθένηϲ Δημοϲθένειϲ, ἀπὸ δὲ τῶν ὀξυνομένων ἢ περιϲπωμένων περιϲπῶνται, εὐγενήϲ εὐγενεῖϲ, Ἡρακλῆϲ Ἡρακλεῖϲ. τῶν δὲ τοιούτων Ἀθηναῖοι τὴν ϲυναίρεϲιν ποιοῦνται διὰ τοῦ η καὶ ὁμοίωϲ περιϲπῶϲιν, ἱππῆϲ ἐκ τοῦ ἱππέεϲ, βαϲιλέεϲ βαϲιλῆϲ.

Οἱ ἥρωεϲ ἡ εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶϲιν παρὰ Ἀριϲτοφάνει ἐν Ἥρωϲιν «οἱ γὰρ ἥρωϲ ἐγγύϲ εἰϲιν» ἀντὶ τοῦ ἥρωεϲ.

Αἱ εἰϲ ουϲ ἀπὸ ϲυγκριτικῶν ἐνδείᾳ τοῦ ν καὶ κράϲει τῶν φωνηέντων γενόμενα παροξύνονται οἷον μείζονεϲ μείζουϲ, βελτίονεϲ βελτίουϲ καὶ τὰ ὅμοια.

Τὰ Ἀττικὰ εἰϲ ω καὶ εἰϲ ι λήγοντα κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὁμοτονοῦϲι τῇ εὐθείᾳ τῶν ἑνικῶν οἷον ὁ εὔγεωϲ οἱ εὔγεῳ, ὁ Μενέλεωϲ οἱ Μενέλεῳ, ὁ νεώϲ οἱ νεῴ, ὁ λεώϲ οἱ λεῴ.

Πᾶϲα εὐθεῖα πληθυντικὴ οὐδετέρου ὀνόματοϲ ἐντελὴϲ εἰϲ ᾱ λήγει καὶ ἐπὶ τῆϲ αὐτῆϲ ϲυλλαβῆϲ ἔχει τὸν τόνον, ἐφ᾽ ἧϲ καὶ ἡ ἑνικὴ εὐθεῖα, γράμμα γράμματα, φίλον φίλα, καλόν καλά· κάνεον μὲν κάνεα προπαροξυτόνωϲ, κανοῦν δὲ κανᾶ προπεριϲπωμένωϲ διὰ τὴν ϲυναίρεϲιν. αἱ δὲ εἰϲ η ἐκ ϲυναιρέϲεώϲ εἰϲι καὶ πρὸϲ τὴν ϲυναίρεϲιν τὸν τόνον ποιοῦνται, τείχεα τείχη· αἱ γὰρ δύο βαρεῖαι εἰϲ βαρεῖαν ϲυναιροῦνται. τὰ εὐϲεβέα δὲ τὰ εὐϲεβῆ· ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰϲ περιϲπωμένην ϲυναιρεῖται.

Περὶ τόνου τῆϲ πληθυντικῆϲ γενικῆϲ.

Αἱ γενικαὶ αἵτε ἑνικαὶ καὶ πληθυντικαὶ ἀπὸ μὲν τῶν ὀξυτόνων ἢ περιϲπωμένων ὀνομάτων, εἰ μὲν ἰϲοϲυλλάβωϲ κλίνοιντο, πάντωϲ περι-

---

l. 6 pro Τρωΐ καὶ δμωΐ scripsi Τρῳή καὶ δμῳή. l. 7—11 ex Io. Al. 16, 7, Arcadius haec omnino non habet. l. 12—13 ex Herod. ap. Choer. 258, 34, Bekk. Anecd. 1197, ubi ἰϲτέον ὅτι φηϲὶν ὁ Ἡρωδιανὸϲ ἐν τῇ καθόλου ἐν τῇ περὶ τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν διδαϲκαλίᾳ, ὡϲ οἱ ἥρωεϲ κτλ. Pro ἐν Ὄρνιϲιν, quum locus in Avibus non exstet, Meinek. poet. com. ed. min. p. 285 ἐν Ἥρωϲιν scribendum coniecit laudans Phrynich. p. 158 et Thom. Mag. p. 169. l. 14—16 ex Choer. 447, 29. l. 17—19 ex Choer. 450, 16. l. 20—27 ex Io. Al. 16, 13. — Arcadius 133, 11 haec habet: αἱ εἰϲ ᾱ λήγουϲαι εὐθεῖαι τῶν οὐδετέρων τριγενεῖϲ μὲν οὖϲαι ὁμοτονοῦϲι ταῖϲ εὐθείαιϲ τῶν ἰδίων ἀρϲενικῶν· φίλοι φίλα, ἐναντίοι ἐναντία, ἅγιοι ἅγια, δίκαιοι δίκαια, τύπτοντεϲ τύπτοντα. μονογενεῖϲ δὲ οὖϲαι, εἰ μὲν ἀπὸ ἰϲοϲυλλαβῶν γενικῶν, ὁμοτονοῦϲι τῇ ἑνικῇ εὐθείᾳ· ξύλον ξύλα, δένδρον δένδρα, λουτρόν λουτρά (πυρόν πυρά ex Choer. propter sequens πύρα addendum est)· εἰ δὲ ἀπὸ γενικῶν περιττοϲυλλάβων ὦϲι, βαρύνονται, πῦρ πυρόϲ πύρα, φίλημα φιλήματοϲ φιλήματα, ὦϲ ὠτόϲ ὦτα, φῶϲ φωτόϲ φῶτα, quae congruunt cum Choer. 450, 20, praeceptum de contractis in η ap. Arcad. deest. l. 29—l. 6 pag. seq. ex Io. Al. 16, 23; ap. Arcad. desunt.

σπῶνται, καλός καλοῦ καλῶν, ψυχή ψυχῆς ψυχῶν, λουτρόν λουτροῦ λουτρῶν, ἀλλὰ καὶ Ἑρμῆς Ἑρμοῦ Ἑρμῶν, χρυσοῦς χρυσοῦ χρυσῶν. εἰ δὲ περιττοσυλλάβως, ἐντελεῖς μὲν οὖσαι παροξύνονται, εὐσεβής εὐσεβέος εὐσεβέων, Ἡρακλῆς Ἡρακλέος Ἡρακλέων· συνῃρημέναι δὲ περισπῶνται, εὐσεβοῦς εὐσεβῶν, εὐγενοῦς εὐγενῶν, Ἡρακλοῦς Ἡρακλῶν.

Αἱ δὲ εἰς $\overline{οι}$ λήγουσαι πληθυντικαὶ εὐθεῖαι βαρύτονοι βαρύνουσι καὶ τὰς ἰδίας γενικάς, φίλοι φίλων, ἥμεροι ἡμέρων· αἱ δὲ ὀξύτονοι ἢ περισπώμεναι περισπῶνται, καλοί καλῶν, σοφοί σοφῶν, χρυσοῖ χρυσῶν, χαλκοῖ χαλκῶν.

Αἱ δὲ εἰς $\overline{αι}$ εὐθεῖαι πληθυντικαὶ μονογενεῖς περισπῶσι τὰς ἰδίας γενικάς, Μήδειαι Μηδειῶν, Αἰνεῖαι Αἰνειῶν. σεσημείωνται βαρυνόμενα τέσσαρα, χλοῦναι χλούνων, ἐτησίαι ἐτησίων, ἀφύαι ἀφύων, χρῆσται χρήστων διὰ τὸ μὴ συμπεσεῖν τῷ χρηστός χρηστοί χρηστῶν. τὸ ἀφύαι πάλιν βαρέως, ἵνα μὴ συνεμπέσῃ τῷ ἀφυεῖς τῶν ἀφυῶν.

Αἱ εἰς $\overline{αι}$ λήγουσαι εὐθεῖαι θηλυκαὶ πληθυντικαὶ παρεσχηματισμέναι ἀρσενικοῖς, εἰ μὲν ἔχοιεν τὴν πληθυντικὴν ὁμόφωνον τῇ τοῦ ἀρσενικοῦ γενικῇ, πάντως καὶ ὁμότονον ἔχουσιν· ὡς γὰρ οἱ φίλοι τῶν φίλων, οὕτως καὶ αἱ φίλαι τῶν φίλων, καὶ ὡς οἱ καλοί τῶν καλῶν περισπᾶται, οὕτως καὶ αἱ καλαί τῶν καλῶν περισπᾶται. εἰ μέντοι μὴ ὁμοφωνοῖεν αἱ γενικαί, πάντως τὸ θηλυκὸν περισπᾶται, οἱ τάλανες τῶν ταλάνων βαρυτόνως, αἱ τάλαιναι τῶν ταλαινῶν περισπωμένως. καὶ ταχέες μέντοι ταχέων βαρυτόνως, ταχεῖαι δὲ ταχειῶν περισπωμένως. τὸ αὐτὸ καὶ ἐπὶ μετοχῶν, οἱ τυπτόμενοι τῶν τυπτομένων, ἀλλὰ καὶ τυπτόμεναι τῶν τυπτομένων βαρυτόνως. ἐπὶ δὲ τοῦ ποιοῦντες καὶ ποιοῦσαι οὐκέτι· ποιούντων μὲν γὰρ τὸ ἀρσενικὸν βαρυτόνως, ποιοῦσαι δὲ ποιουσῶν περισπωμένως. — ὅτε δὲ κατὰ διάλεκτον ἡ γενικὴ τροπὴν ὑπομένει τοῦ $\overline{ων}$ εἰς $\overline{αν}$, περισπᾶται, κυανεᾶν, ἀμφοτερᾶν. — ἐντεῦθεν τὸ Ῥοδίαι καὶ Σαμίαι καὶ τὰ τοιαῦτα, εἰ μὲν ἐθνικὰ εἴη, συμβαρύνει ταῖς ἀρσενικαῖς τὰς γενικάς· εἰ δὲ κύρια — ἐνδέχεται γὰρ Ῥοδίαν τινὰ καλεῖσθαι καὶ Σαμίαν — τότε περισπῶσι τὰς γενικάς, Ῥοδιῶν καὶ Σαμιῶν. διὰ τοῦτο ἡμέραι μὲν ἐπὶ τοῦ χρόνου ἡμερῶν, ἥμεραι δὲ ἡμέρων ἐπιθετικῶς βαρυτόνως, ἐπεὶ καὶ οἱ ἥμεροι τῶν ἡμέρων. τὸ πόρναι πορνῶν καὶ πέτραι πετρῶν καὶ χῶραι χωρῶν, βάκχαι βακχῶν, ὄχθαι ὀχθῶν, χῆραι χηρῶν, κοῦραι κουρῶν, παι-

---

l. 7—10 ex Io. Al. 16, 31. — ap. Arcadium similia exstant p. 136, 39.
l. 11—15 ex Io. Al. 16, 35. Arcadius similia praebet p. 134, 26. — Choer. 455, 32 de χλούνων: θέλουσί τινες ἀπολογεῖσθαι οὕτως, ὅτι ἀπὸ τοῦ χλοεῦναι χλοεύνων ἐγένετο χλοῦναι χλούνων καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν cf. E. M. 812, 47, Gud. 662, 51. idem de ἐτησίων: τὸ ἐτησίαι ἐτησίων λέγουσιν ὅτι συνέδραμε κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν τῷ ἐτήσιοι ἐτησίων. cf. Lob. Parall. 269 not. 8.
l. 16—12 pag. seq. χιλιῶν — περισπᾶται ex Io. Al. 17, 6. — l. 27 ὅτε δὲ κατὰ διάλεκτον — ἀμφοτερᾶν inserui ex Arcad. 135, 15. — l. 35 exempla βάκχαι βακχῶν — παιδισκῶν ex eod. 138, 18, testimonium Menandri addidi ex Choer. 457, 35.

δίcκαι παιδιcκῶν «τῶν παιδιcκῶν τινι δοὺc» παρὰ τῷ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ. καὶ εἴ τι τοιοῦτον ἕτερον, περιcπᾷ τὴν ἰδίαν γενικὴν καίτοι ὁμοφωνοῦcαν τῷ ἀρcενικῷ βαρυνομένῳ οἱ πόρνοι τῶν πόρνων καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίωc, ἐπεὶ μὴ ἐκ τῶν ἀρcενικῶν τὰ θηλυκὰ παρεcχημάτιcται, ἀλλ' ἔcτιν ἡ πρώτη τούτων θέcιc ἐπὶ τῶν θηλυκῶν, διὸ καὶ ὡc μονογενὲc περιεcπάcθη. τὰ δὲ ἀρcενικὰ ποιητικώτερον κατὰ τὸ γένοc τὴν παραγωγὴν πεποίηνται, ὅθεν καὶ βαρυτονοῦcι τὰc γενικὰc ταῖc ἰδίαιc εὐθείαιc ἀκολοθοῦντα. τὸ μέcαι μεcῶν, ὑπάται ὑπατῶν, νεάται νεατῶν ἐπὶ τῶν χορδῶν περιcπῶμεν. κύρια γάρ εἰcιν αὐτῶν ὀνόματα καὶ διὰ τοῦτο μονογενῆ. τὰ μέντοιγε ἐπιθετικὰ βαρύνεται, ἐπεὶ τὰ τούτων ἀρcενικά «κοῦραι πετράων ἤριπον ἐξ ὑπάτων». τὸ χιλιῶν παρ' Ἀθηναίοιc παραλόγωc περιcπᾶται.

Ἐὰν δὲ εὑρεθῶcιν ὁμοφωνοῦcαι ἀπὸ τῶν εἰc $\overline{ες}$ πληθυντικῶν εὐθειῶν θηλυκῶν γενικαὶ γενικαῖc ἀρcενικῶν περιcπωμέναιc, οὐκ ἀναγκάζονται καὶ ὁμοτονεῖν αὐταῖc. ἐκ δὲ τοῦ ἐναντίου εἴ τι μὲν ἀρcενικὸν εἰc $\overline{αι}$ τὴν εὐθεῖαν ἔχοι, τὸ δὲ θηλυκὸν εἰc $\overline{εc}$, ἡ μὲν τοῦ ἀρcενικοῦ περιcπᾶται, ἡ δὲ τοῦ θηλυκοῦ βαρύνεται· αἱ Δαναΐδεc μέντοι τῶν Δαναΐδων βαρυτόνωc, οἱ Δαναΐδαι δὲ τῶν Δαναϊδῶν περιcπωμένωc· ὅμοιον ἔχει καὶ οἱ Τανταλίδαι Τανταλιδῶν, οἱ Ἡλιάδαι τῶν Ἡλιαδῶν, οἱ Πριαμίδαι τῶν Πριαμιδῶν, αἱ Τανταλίδεc δὲ τῶν Τανταλίδων, αἱ Ἡλιάδεc τῶν Ἡλιάδων, αἱ Πριαμίδεc τῶν Πριαμίδων βαρυτόνωc.

Πᾶcα εὐθεῖα διcύλλαβοc εἰc εc λήγουcα πληθυντικὴ δηλονότι περιcπᾶται τὴν ἰδίαν γενικήν, μῆνεc μηνῶν, ἄνδρεc ἀνδρῶν, θῶπεc θωπῶν, φῶτεc φωτῶν, χῆνεc χηνῶν, χεῖρεc χειρῶν καὶ τὰ ἄλλα ὁμοίωc, ἐννέα cεcημειωμένων, περὶ ὧν καὶ λόγον δίδομεν. τίνων, ὅτε πυcματικῶc, πρὸc ἀντιδιαcτολὴν τοῦ ἀορίcτου, ἐκεῖνο γὰρ περιcπᾶται. Τρῶεc Τρώων, δμῶεc δμώων, ἵνα ἐκφύγωcι τὸ αἱ Τρῳαί τῶν Τρῳῶν καὶ αἱ δμῳαί τῶν δμῳῶν, ὀξυνόμενα κατὰ τὰc εὐθείαc, καὶ διὰ τοῦτο περιcπῶνται τὰc γενικάc. θῶεc θώων διὰ τὸ θῳή, ὃ cημαίνει τὴν ζημίαν, αἱ θῳαί τῶν θῳῶν. παῖδεc παίδων, οὐ πρὸc διαcτολήν, ὥc τινεc ἐνόμιcαν, τοῦ αἱ πέδαι τῶν πεδῶν ἐπὶ τῶν δεcμῶν. ἡ γὰρ γραφὴ τὴν διαcτολὴν ποιεῖται· τοῦτο μὲν γὰρ τὸ ἐπὶ τῶν δεcμῶν διὰ τοῦ $\overline{ε}$, ἐκεῖνο δὲ διὰ τῆc $\overline{αι}$ διφθόγγου· ἀλλ' ἴcωc ἐπειδὴ ὡc ἀπὸ

---

l. 11 χιλιῶν scripsi pro χολιῶν, Dindorf. χιλιαδῶν, de quo infra sermo erit, suspicatus est. cf. Schol. Ven. Eqq. 660 et Suid. χιλιῶν δραχμῶν περιcπῶcιν οἱ Ἀττικοί. Lehrs Herod. p. 45 (Iacobi). l. 13—15 ex Arc. 136, 7; inde usque ad finem ex Io. Al. 18, 7 insertis ex Arcadio οἱ Ἡλιάδαι — αἱ Πριαμίδεc τῶν Πριαμίδων exemplis. l. 23—9 pag. seq. ἐντελεcτέρου ex Io. Al. 18, 13. — l. 28 Τρῳαί δμῳαί et l. 31 θῳαί exhibui cum ι subscripto cf. Choer. 452, 3 qui hanc annotationem non minus ex Herodiano hausit quam illam de πεδῶν et παίδων. Qui Choeroboscus si contra Herodianum ut videtur pronunciat: ἡ γραφὴ οὐκ ἔcτιν ἡ αὐτή· τὸ μὲν γὰρ Τρῳαί καὶ δμῳαί καὶ θῳαί ἔχουcι τὸ $\overline{ι}$ προcγεγραμμένον κατὰ τὴν παραλήγουcαν, τὸ δὲ Τρῶεc δμῶεc θῶεc οὐκ ἔχουcι τὸ $\overline{ι}$ προcγεγραμμένον κατὰ τὴν παραλήγουcαν, discrimen inter $\overline{ω}$ et $\overline{ῳ}$ multo minus esse quam inter $\overline{ε}$ et $\overline{αι}$ existimasse putandus est Herodianus.

ἐντελεϲτέρου τοῦ πάϊϲ γέγονεν, ὡϲ μὴ εἶναι φύϲει διϲύλλαβον. ἔτι ἐϲτὶ πάντεϲ πάντων, οὐχ ὅτι ἐκ τοῦ ἅπαντοϲ, ὥϲ τινέϲ φαϲιν, ἀφαιρέϲει τοῦ ᾱ γέγονεν· ἐπεὶ ἔδει καὶ τὸ παντόϲ καὶ παντί βαρύνεϲθαι, ἐκ τοῦ ἅπαντοϲ ἅπαντι ἀφῃρημένα· ἀλλ' ὅτι μετοχῆϲ εἴληφεν ἀναλογίαν, ὡϲ ἐν τῷ περὶ μετοχῶν δέδεικται, ᾧ λόγῳ καὶ τὸ πᾶϲι βεβαρυτόνηται, ὡϲ ϲτᾶϲι δοῦϲιν. ἔτι δᾷδεϲ δᾴδων· δαΐδεϲ δαΐδων γὰρ τριϲυλλάβωϲ τὸ ἐντελέϲ. ἔτι λᾶεϲ λάων. τὸ γὰρ ἐντελὲϲ ἀπὸ τοῦ λᾶαϲ λάαεϲ λαάων πάλιν τριϲύλλαβον. ἔνατόν ἐϲτι τὸ κρᾶτεϲ κράτων «κράτων τυπτομένων» (Od. χ 309, ω 184) ἴϲωϲ ἀπὸ τοῦ κράατεϲ κραάτων ἐντελεϲτέρου. Χωρὶϲ δὲ τούτων ἐϲτὶ καὶ ἕτερα· ϲέεϲ ϲέων ἐπὶ τῶν ϲκωλήκων ὡϲ παρ' Ἀριϲτοφάνει «ὑπὸ τῶν ϲέων καταπονούμενον» (Lys. 730) καὶ φῴδων, ὡϲ παρ' Ἀριϲτοφάνει «πλὴν φῴδων ἐκ βαλανείου» (Plut. 535), οὐδένων, Φθάντων τῷ λόγῳ τῶν μετοχῶν ὡϲ ϲτάντεϲ ϲτάντων, βάντεϲ βάντων, δόντεϲ δόντων. Φαϲὶ δέ τινεϲ ἀπολογούμενοι περὶ ὅλων τῶν ϲεϲημειωμένων, ὅτι τὰ εἰϲ ϲ̄ λήγοντα μονοϲύλλαβα κατὰ τὴν γενικὴν περιττοϲύλλαβα τὰ μὲν ὀξύτονα, ἐὰν διὰ ϲυμφώνων κλίνωνται, περιπῶνται κατὰ τὴν γενικὴν πληθυντικήν, ϲήϲ ϲητόϲ ϲῆτεϲ ϲητῶν, Κρήϲ Κρητόϲ Κρῆτεϲ Κρητῶν. ἐὰν δὲ διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλιθῶϲι, βαρύνονται κατὰ τὴν γενικὴν πληθυντικήν, Τρώϲ Τρωόϲ Τρῶεϲ Τρώων, δμώϲ δμωόϲ δμῶεϲ δμώων. τὸ δὲ τίνων εἰϲ διαφορὰν τῶν τινῶν καὶ τὸ κράτων τῶν κεφαλῶν εἰϲ διαφορὰν τῶν κρατῶν ἀπὸ τοῦ κράτοϲ ἡ ἀρχή. τὸ δὲ φῴδων καὶ δᾴδων ἀπὸ τῶν φωΐδων καὶ δαΐδων. τὰ δὲ περιϲπώμενα ἐκ τοῦ ἐναντίου γίνεται· ἐὰν μὲν διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλίνωνται, περιϲπῶϲι τὰϲ γενικὰϲ πληθυντικάϲ, μῦϲ μυόϲ μύεϲ μυῶν, βοῦϲ βοόϲ βοῶν, δρύεϲ δρυῶν, ϲύεϲ ϲυῶν. ἐὰν δὲ διὰ ϲυμφώνου, βαρύνονται, παῖϲ παιδόϲ παῖδεϲ παίδων, πάντεϲ πάντων· τὸ δὲ λάων ἐβαρύνθη εἰϲ διαφορὰν τῶν λαῶν. ἀλλὰ κακῶϲ λέγουϲιν οἱ οὕτωϲ ἀπολογηϲάμενοι πρῶτον μὲν ὅτι ἀπὸ τῶν ϲεϲημειωμένων πλέκουϲι τὸν κανόνα, δεύτερον δὲ ὅτι ἀντίκειται τούτοιϲ τὸ κίϲ κιόϲ καὶ λίϲ λιόϲ· ταῦτα γὰρ ὀξύνονται κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλίνονται καὶ ὅμωϲ οὐ βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν, ἀλλὰ περιϲπῶνται. κιῶν γὰρ καὶ λιῶν περιϲπωμένωϲ.

---

l. 10 χωρὶϲ δὲ τούτων — Φθάντων ex Arc. 134, 4 additis Aristophanis versibus et verbis τῷ λόγῳ τῶν μετοχῶν — δόντων ex Choer. 453, 11; l. 14—27 εἰϲ διαφορὰν τῶν λαῶν ex Arc. 134, 6, sed ita ut pro ἔϲτι δὲ εἰπεῖν περὶ ὅλων τῶν ϲεϲημειωμένων ponerem φαϲὶ δέ τινεϲ ἀπολογούμενοι περὶ ὅλων τῶν ϲεϲημειωμένων coll. Choer. 453, 14: ἔϲτιν οὖν ἀπολογήϲαϲθαι περὶ ὅλων τῶν ϲεϲημειωμένων οὕτωϲ, nam hunc canonem impugnasse Herodianum tradit Choer. 454, 12 δοκεῖ δὲ ὁ Ἡρωδιανὸϲ λαμβάνεϲθαι τούτου τοῦ κανόνοϲ καὶ λέγει (sc. Choerob.) ὅτι κακῶϲ λαμβάνει τὸν κανόνα· πρῶτον μὲν γὰρ ὅτι κτλ. Unde l. 27—32 recepi ex Herodiani sententia praefigens: ἀλλὰ κακῶϲ λέγουϲιν οἱ οὕτωϲ ἀπολογηϲάμενοι. — Choerob. eodem loco dicit Herodianum ipsum canones vel ex duobus exemplis constituisse et ἐν ἑτέροιϲ pronunciasse κίϲ et λίϲ aut in accentu aut in declinatu a legitima via aberrare, quod in libro περὶ ὀνομάτων factum esse opinor. Conferendus est Herodian. in Il. Pros. N 103: θώων: Ἀρίϲταρχοϲ βαρύνει τὸ θώων, καὶ ἐπείϲθη ἡ παράδοϲιϲ· ὁ δὲ Πάμφιλοϲ περιϲπᾷ, ἐπεὶ τὰ εἰϲ

Αἱ εἰς ες ὑπὲρ δύο cυλλαβὰc εὐθεῖαι βαρύνουcι τὰc γενικάc, Αἴαντεc Αἰάντων, ἑβδομάδεc ἑβδομάδων, εὐcεβέεc εὐcεβέων, cτάχυεc cταχύων, ὀcφύεc ὀcφύων. ἔδει οὖν καὶ τὸ πόλεων, μάντεων, πελέκεων καὶ τὰ τούτοιc παραπλήcια πρὸ μιᾶc ἔχειν τὸν τόνον. ἀλλ' Ἀττικούc φαcι προπαροξύνειν ταῦτα, ἅπερ ἐcτὶν ἀπὸ τῶν εἰc ιc εὐθειῶν, καὶ ἔτι δύο ἀπὸ τῶν εἰc υc, τό τε πήχεων καὶ πελέκεων. cεcημείωται πάλιν γυναικῶν καὶ θυγατρῶν περιcπώμενα ἑπόμενα τῷ τόπῳ τοῦ τόνου τῆc γενικῆc ἑνικῆc καὶ τὰ παρ' Ἀθηναίοιc ἀριθμητικὰ τὸ χιλιάδων καὶ μυριάδων. ταῦτα γὰρ παρ' αὐτοῖc περιcπῶνται, παρ' ἡμῖν δὲ βαρύνονται.

Αἱ δὲ εἰc ειc εὐθεῖαι cυνῃρημέναι εἰcὶ καὶ περιcπῶcι τὰc ἰδίαc γενικάc, ὡc ἤδη εἴπομεν, Cωκράτειc Cωκρατῶν, Δημοcθένειc Δημοcθενῶν, εὐcεβεῖc εὐcεβῶν. τὸ δυcώδων καὶ εὐώδων καὶ νοcώδων τῷ λόγῳ μὲν περιcπαcθήcονται, ὁ δὲ Ἀρίcταρχοc ταύταc καὶ τὰc ὁμοίαc βαρύνει ἐκ τοῦ οἴεcθαι τὰc ἐντελεῖc γενικὰc αὐτῶν προπαροξύνεcθαι, εὐώδεων ὡc πόλεων. οὐκ εὐλόγωc· μόναι γὰρ αἱ ἀπὸ τῶν εἰc ιc ὑπάρχουcιν αἱ προπαροξυνόμεναι, πόλεων, μάντεων, καὶ δύο ἀπὸ τῶν εἰc υc πελέκεων, πήχεων, αἱ δὲ λοιπαὶ πᾶcαι βαρύτονοι οὖcαι πρὸ μιᾶc ἔχουcι τὸν τόνον, ὡc πρόκειται. παραλόγωc οὖν Ἀρίcταρχοc βαρύνει καὶ ἐπείcθη ἡ παράδοcιc. καὶ τὸ τριήρων οἱ μὲν βαρύνουcιν, οἱ δὲ περιcπῶcιν, ὥcπερ καὶ αὐτάρκων καὶ αὐθάδων καὶ τὸ cυνήθων καὶ κακοήθων βαρύνεται ὥcπερ καὶ τὰ αὐτῶν ἐπιρρήματα.

εc λήγοντα διcύλλαβα ὀνόματα ἐπ' εὐθείαc πληθυντικῆc ἔχει γενικὴν περιcπωμένην· διὸ καὶ τὸ Τρώων καὶ δμώων καὶ παίδων ἀνεγίνωcκε περιcπῶν, ἔτι δὲ καὶ τὸ πάντων καὶ λάων καὶ τίνων, περὶ ὧν λόγον ἔδωκαν καὶ οἱ πρὸ ἡμῶν καὶ ἡμεῖc. cf. alterum Schol. ad h. l., quod ut a Lehrsio Arist. p. 254 ed. II emendatum est, hic subiicio: τὸ θώων ἔνιοι περιcπῶcιν, ἵν' ὁμοτονῇ τῷ θηρῶν καὶ κυνῶν. ἡ δὲ παράδοcιc βαρυτόνωc· οὕτωc δὲ καὶ ὁ Ἀρίcταρχοc προφέρεται. Διοκλῆc δὲ καὶ ὁ Θρᾷξ Διονύcιοc καταγινώcκουcιν αὐτοῦ ὡc βαρύνοντοc τὴν λέξιν. Κάcιοc δὲ ἀπολογούμενοc ὑπὲρ τῆc βαρυτονήcεωc φηcιν ὅτι τὰ μονοcύλλαβα, ὅταν μὲν ἔχῃ τὴν πληθυντικὴν ἐπὶ τῆc τελευταίαc cυλλαβῆc μετὰ cυμφώνου λεγομένην πάντωc καὶ κατὰ γενικὴν περιcπᾶται, οἷον θῆρεc, κύνεc, χῆνεc, ὅταν δὲ ἀπὸ φωνήεντοc ἀρχομένην, πάντωc βαρυτονουμένην οἷον Τρῶεc δμῶεc λᾶεc. ἀντίκειται δὲ αὐτῷ τὸ παίδων καὶ πάντων. Χαῖριc δέ φηcιν οὐκ εἶναι ἐν διcυλλάβοιc ἀναλογίαν (?) cf. Eustath. 922, 50. l. 1—7 θυγατρῶν περιcπώμενα ex Io. Al. 19, 4; verba ἑπόμενα usque ad finem ex Arc. 136, 2. l. 11—12 ex Io. Al. 19, 13. — l. 13 εὐcεβεῖc εὐcεβῶν addidi propter sequentia adiectiva ex Arc. 136, 21. — Quae sequuntur, constitui ex Io. Al. et Arcadio. Io. Al. sic pronunciat: τὸ δυcώδων καὶ εὐώδων τῷ λόγῳ μὲν περιcπαcθήcονται, φαcὶ δὲ τὸν Ἀρίcταρχον ταύταc καὶ τὰc ὁμοίαc βαρύνειν, ἀπατηθέντα, ὡc ὁ Ἡρωδιανόc φηcιν, ἐκ τοῦ οἴεcθαι τὰc ἐντελεῖc γενικὰc αὐτῶν προπαροξύνεcθαι, εὐώδεων ὡc πόλεων· κακῶc· μόναι γὰρ — πρόκειται. Hunc ex Herodiani sententia et consuetudine (nam non sic ut hic factum est, contra Aristarchum disputat) mutavi addens ex ipso Io. Al. 39, 15 νοcώδων: ὁ δὲ Ἀρίcταρχοc καὶ τὸ νοcώδων ἐβάρυνεν ἀλόγωc, et παραλόγωc οὖν Ἀρίcταρχοc βαρύνει καὶ ἐπείcθη ἡ παράδοcιc ex Herodiani sententia apponens, quam etiam Arcadii verba τὸ δυcώδων παραλόγωc ἐβαρύνθη repraesentant. cf. Theodos. Bekk. An. 1006, 24 τὸ δυcώδων Ἀρίcταρχοc ἀλόγωc ἐβάρυνεν καὶ τριήρων φαcί τινεc Ἀττικοὺc βαρυτόνωc λέγειν. — l. 20 καὶ τὸ τριήρων usque ad finem debentur Arcadio 136, 22, αὐθάδων accessit ex Io. Al. 39, 13. cf. Lehrs Arist. p. 254 ed. II.

Αἱ εἰς ᾱ λήγουςαι εὐθεῖαι πληθυντικαὶ οὐδετέρων ὀνομάτων, εἰ μὲν ὀξύνοιντο ἢ περιςπῷντο, πάντως τὴν πληθυντικὴν γενικὴν περιςπῶςι, πυρά πυρῶν, cφυρά cφυρῶν, καλά καλῶν, ἀλλὰ καὶ κανᾶ περιςπωμένως κανῶν, ὀςτᾶ ὀςτῶν, χρυςᾶ χρυςῶν· εἰ μέντοι βαρύνοιντο, ςυμβαρύνουςι καὶ τὰς γενικάς, φίλα φίλων, ξύλα ξύλων, φῶτα φώτων, ὦτα ὤτων. εἰ δὲ ἀπὸ περιςςοςυλλάβων ςυναλοιφὴ παρακολουθήςειε, ἡ γενικὴ πάντως περιςπᾶται, τειχέων τειχῶν, βελέων βελῶν, κρεάων κρεῶν. ςεςημείωται τὸ φρητῶν. ἔςτι γὰρ φρέατα καὶ γίνεται κατὰ κρᾶςιν φρῆτα τοῦ ε̄ καὶ ᾱ εἰς η̄ κραθέντος. καὶ τούτου βαρυνομένου κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὤφειλε καὶ ἡ γενικὴ τῶν πληθυντικῶν βαρύνεςθαι καὶ εἶναι φρήτων βαρυτόνως ὥςπερ τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων. ὅμως δὲ περιςπῶςιν αὐτὸ οἷον φρητῶν ὁμοτόνως τῇ Κρητῶν καὶ ςητῶν καὶ θητῶν γενικῇ.

Περὶ τόνου τῆς δοτικῆς πληθυντικῆς.

Περὶ μὲν τῶν εἰς ῑ ἐκφωνούμενον δοτικῶν πληθυντικῶν εἴπομεν ἐν τοῖς ἑνικοῖς, νῦν δὲ περὶ τῶν λοιπῶν ἐροῦμεν.

Αἱ εἰς αις καὶ εἰς οις ἀπὸ ὀξυτόνων καὶ περιςπωμένων εὐθειῶν οὖςαι περιςπῶνται, ἀθληταί ἀθληταῖς, καλοί καλοῖς, ςοφοί ςοφοῖς, ἀλλὰ καὶ οἱ Ἑρμαῖ τοῖς Ἑρμαῖς, αἱ χρυςαῖ ταῖς χρυςαῖς. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχουςι τὸν τόνον, φίλοι φίλοις, ἵπποι ἵπποις, Μήδειαι Μηδείαις, τάλαιναι ταλαίναις, ξύλα ξύλοις. Περὶ τῶν Ἀττικῶν, ὅτι τὸν τόνον τῆς κοινῆς εὐθείας ἔχει πᾶςα πτῶςις Ἀττική, εἴπομεν ἤδη· διὰ τοῦτο τοῖς Μενέλεῳς προπαροξύνομεν, ἐπεὶ καὶ ὁ Μενέλαος, τοῖς δὲ λεῴς ὀξύνομεν, ἐπεὶ καὶ ὁ λαός.

Περὶ τόνου τῆς πληθυντικῆς αἰτιατικῆς.

Πᾶςα αἰτιατικὴ πληθυντικὴ ὁμοφωνοῦςα τῇ πληθυντικῇ εὐθείᾳ καὶ ὁμοτονεῖ ταύτῃ, οἱ ταχεῖς τοὺς ταχεῖς, οἱ Δημοςθένεις τοὺς Δη-

---

l. 1—8 κρεάων κρεῶν ex Io. Al. 19, 24, quem locum si conferas cum Arcadio p. 137, 7, non dubitabis, quin pro τὰ ὀςτά ὀςτῶν, τὰ κανά κανῶν recte a Schmidtio ὀςτᾶ κανᾶ περιςπωμένως exhibita sint. — l. 8 ςεςημείωται τὸ φρητῶν ipse addidi propter sequens Herodiani adnotamentum, quod servavit Choer. 461, 33, Bekk. An. 1265, ubi ὅμως δέ, ὥς φηςιν ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου, περιςπῶςιν. Similiter Io. Al. 19, 33 τὸ φρεάτων ςυναιρεθὲν ἐν τῇ παραληγούςῃ φρητῶν ὀφείλει βαρύνεςθαι. εἴπομεν γὰρ ὡς ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν ςυναιροῦνται· νῦν δὲ παραλόγως περιςπᾶται ςυνεξελθὸν τῷ Κρητῶν, θητῶν καὶ ταῖς ὁμοίαις. l. 15—24 ex Io. Al. 20, 3. In Schol. HP ad Od. ε 248 catabibasmi Ionici in dativo ἁρμονίῃςι mentio fit: προπεριςπωμένως· ἔςτι γὰρ Ἰώνων ὁ καταβιβαςμός. Conferri possunt ἰῷ ἰῇ. l. 26—l. 2 pag. seq. κλιτῦς ex Io. Al. 20, 15. — de κλιτῦς cf. Il. Pros. Π 390: ἐχρῆν μὲν διὰ τὸ κλιτύας οὐρῆας (οὐρείας?) περιςπᾶςθαι τὸ κλιτῦς, ἀνεγνώςθη δὲ κατ' ὀξεῖαν τάςιν ἐν ἐγκλίςει, ὁμοίως τῷ «κνημῖδας ῥαπτὰς δέδετο, γραπτὺς ἀλεείνων» (Od. ω 228). A. ςχόλιον· ἐν μέντοι τῇ Ὀδυςςειακῇ προςῳδίᾳ φανερῶς τὸ γραπτῦς περιςπᾷ καί φηςιν ὅτι εἴη εἰρηκὼς ὡς καὶ τὸ κλιτῦς δεῖ περιςπᾶςθαι. ἀμφίβολον οὖν ἐφ' ἑκατέρων ὁ τόνος· εἰ γὰρ τοῖς ἐνταῦθα εἰρημένοις πειςθείημεν, ἐκεῖνο ἀνθέλκει, εἰ δὲ ἐκείνοις, τοῦτο πάλιν ἀντίκειται. A.

μοςθένεις, οἱ βελτίους τοὺς βελτίους, οἱ ἰχθῦς περιςπωμένως καὶ τοὺς ἰχθῦς, ὁμοίως αἱ κλιτῦς τὰς κλιτῦς, οἱ βαςιλῆς τοὺς βαςιλῆς οἷον «τούς τε διςτάρχας ὤλεςας βαςιλῆς» παρὰ τῷ Coφοκλεῖ (Ai. 390).

Αἱ εἰς α̅ς̅ λήγουςαι, ςυνεςταλμένον ἔχουςαι τὸ ᾰ, ὁμότονοί εἰςι ταῖς πληθυντικαῖς εὐθείαις, Αἴαντες Αἴαντας, Πάριδες Πάριδας, ταχέες ταχέας, αἱ ἐκτεταμένον ἔχουςαι τὸ ᾱ ἀπὸ μὲν βαρυτόνων πρὸ μιᾶς ἔχουςι τὸν τόνον, Μήδειαι Μηδείας, τάλαιναι ταλαίνας· ἀπὸ δὲ ὀξυτόνων ὀξύνονται, καλαί καλάς, ταφαί ταφάς. ἀπὸ δὲ περιςπωμένων περιςπῶνται, διπλαῖ διπλᾶς, ςυκαῖ ςυκᾶς, γαλαῖ γαλᾶς· μακρὸν δὲ ἔχουςι τὸ ᾱ ὅςαι εἰςὶν ἀπὸ τῶν εἰς α̅ι̅ εὐθειῶν, ὡς αἱ προκείμεναι· βραχὺ δὲ αἱ ἀπὸ τῶν εἰς ε̅ς̅, ὧν πάλιν κεῖται τὰ ὑποδείγματα.

Αἱ εἰς ο̅υ̅ς̅ αἰτιατικαὶ πάλιν ταῖς εὐθείαις ἀκολουθοῦςι κατὰ τὸν εἰρημένον κανόνα, φίλοι φίλους, καλοί καλούς ὀξυτόνως καὶ ἀργυροῖ ἀργυροῦς περιςπωμένως.

Τὰ Ἀττικὰ ὁμοτονοῦςι ταῖς εὐθείαις τῶν πληθυντικῶν οἷον οἱ εὔγεῳ τοὺς εὔγεως, οἱ Μενέλεῳ τοὺς Μενέλεως, οἱ νεῴ τοὺς νεώς, οἱ λεῴ τοὺς λεώς.

Τὸ Ἐρετριέας Ἐρετριᾶς καὶ ἁλιέας ἁλιᾶς κατὰ ςυναίρεςιν περιςπῶνται παρ' Ἀθηναίοις.

Τὰ περὶ τόνου τῶν κατὰ θέμα ἀριθμῶν ἐκλέλοιπεν.

ΠΕΡΙ ΤΩΝ ΕΙC ω̅ ΚΑΙ ΕΙC μ̅ι̅ ΡΗΜΑΤΩΝ ΚΑΤΑ ΠΑΝ ΠΡΟCΩΠΟΝ.

ΒΙΒΛΙΟΝ ις'.

Πᾶν ῥῆμα βαρύνεται ἢ περιςπᾶται· γράφω, τύπτω, ποιῶ, βοῶ. ὀξύνεται δὲ οὐδέποτε κατὰ τὴν κοινὴν ςυνήθειαν, εἰ μὴ παρὰ Δωριεῦςι τὰ ςυνῃρημένα ἀπαρέμφατα εἰς ε̅ι̅ν̅ ἀφαιρέςει τοῦ ι̅, ποιέν ἀντὶ τοῦ ποιεῖν, δαςμοφορέν ἀντὶ τοῦ δαςμοφορεῖν. ςεςημείωται δέ τινα ῥήματα ὀξύτονα. ἐν μὲν προςτακτικοῖς μονοςυλλάβως τὸ δός, θές, ἕς τὸ ἀπόλυςον, ςχές, ςπές, φρές, ἅπερ διὰ τὴν βραχυκαταληξίαν οὐδὲ

---

l. 2 οἱ βαςιλῆς τοὺς βαςιλῆς addidi ex Choer. 217, Bekk. An. 1195: ςημειοῦται ὁ Ἡρωδιανὸς παρὰ τῷ Coφοκλεῖ τοὺς βαςιλῆς διὰ τοῦ η̅ γραφομένους κατὰ τὴν αἰτιατικήν, οἷον κτλ. l. 4—11. Io. Al. 20, 19. de πόλεας a πόλεες et πολέας a πολέες cf. Il. Pr. Δ 308. de Dorica correptione terminationis α̅ς̅ cf. Dichr. 296, 7 τὸ ἐκτεινόμενον ᾱ ἐπὶ πληθυντικῶν αἰτατικῶν οἱ Δωριεῖς ςυςτέλλουςιν, ναῦτας Cκύθας. Schol. BL ad Il. Θ 378 γηθήςει προφανείςας. ὁ Ἡρωδιανὸς προφανείςας βούλεται, ςυςτέλλων Δωρικῶς τὸ ᾱ, ᾧ καὶ πειθόμεθα. l. 12—14 ex Io. Al. 20, 29. l. 15—17 ex Choer. 466, 29. l. 18—19 ex Io. Al. 20, 32.

l. 23—27 ῥήματα ὀξύτονα ex Arc. 148, 13; inde usque ad l. 50 ex Io. Al. 21, 3, sed ex Arcad. ad ἕς adieci ἀπόλυςον, nam huic imperativo haec explicatio addita est etiam ap. Choer. 494, 12, ap. Arcadium corruptum ςφές continere

περιςπᾶται. ὅθεν ἐν τῇ ςυνθέςει εὐλόγως ἀνεβίβαςε τὸν τόνον ἀπόδος, κατάθες, ἐπίςχες, ἐπίςπες, πρόες «ἀλλὰ cὺ μὲν νῦν τῆνδε θεῷ πρόες» (Α 127), ἐπίφρες. διςύλλαβα δὲ τὸ ἐλθέ, εὑρέ, εἰπέ, ἃ καὶ αὐτὰ ςυντεθέντα κατὰ φύςιν βαρὺν ἀπείληφε τὸν τόνον, κάτελθε, ἔξειπε, ἔφευρε. τὸ δὲ λαβέ καὶ ἰδέ ὀξυνόμενα Ἀττικά ἐςτι. τὰ γὰρ κοινὰ τούτων βαρύνεται. ταῦτα μὲν ἐν προςτακτικοῖς. ἐν δὲ ὁριςτικοῖς τὸ χρή «οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα» (Β 24). καὶ τὸ φημί καὶ εἰμί καὶ τὰ τούτων κινήματα, φῄς φηςί, ὅπερ πάλιν ἀποκοπὲν ὀξύνεται· τὸ γὰρ «φὴ ἐκεῖνος» ἀντί τοῦ φηςί. φατόν φατόν φαμέν φατέ φαςίν καὶ τὸ τούτου προςτακτικοῦ δεύτερον φαθί ὡς παρ' Ἀριςτοφάνει (Eqq. 22)

ἐξόπιςθε νῦν
αὐτὸ φαθὶ ποῦ μόλωμεν

οὕτω ἐπεκράτηςε λέγεςθαι. πάλιν εἰμί, εἶς «αἵματός εἰς ἀγαθοῖο» (δ 611), ἐςςί, ἐςτί, ἐςτόν, ἐςτόν, ἐςμέν, ἐςτέ εἰςί. καὶ ταῦτα δέ, λέγω δὴ τὸ φημί καὶ εἰμί, ςυντιθέμενα βαρύνεται ςύμφημι, ςύνειμι. ἔτι καὶ τὸ ἠμί, ὅπερ ταὐτὸν δύναται τῷ φημί — Ἀριςτο-

---

videtur ςπές vel φρές ἕς, porro l. 7 χρή cum exemplo ex Choer. 494, 29 sumpto, ex eodem l. 32 exemplum Homeri ad πρόες apposui. — l. 9 post φή addidi ἐκεῖνος ex Arc. 143, 24. — l. 11 ad φαθί testimonium Aristophanis adieci ex Choer. 494, 25 et verba οὕτω ἐπεκράτηςε λέγεςθαι ex Arcad. 143, 26. — l. 14 ad εἶς verba Homerica addidi ex Mon. 44, 23: οὐδὲν εἰς ε̅ι̅ς̅ λῆγον δεύτερον πρόςωπον ὀξύνεται, ἀλλὰ μόνον τὸ εἶς «αἵματός εἰς ἀγαθοῖο». — de εἶς circumflexo Ep. Cr. I 432, 31 τὸ εἶς παρὰ τὸ εἶμι τὸ πορεύομαι περιςπᾶται ὡς παρ' Ἡςιόδῳ (op. 206) τῇ δ' εἶς ᾗ ς' ἂν ἐγώπερ ἄγω καὶ ἀοιδὸν ἐοῦςαν. de εἶ pro εἶς infra dicetur. ad ἠμί apposui l. 17 Ἀριςτοφάνης — Δ 419 ex Choer. 495, 1. — Choerobosc. 493, 12 causam, cur verba in ω̅ oxytonesin respuant, hanc nimis longe repetitam profert: τὰ εἰς ω̅ λήγοντα ῥήματα ἀποςτρέφονται τὴν ὀξεῖαν τάςιν πρὸς διαςτολὴν τῶν εἰς ω̅ θηλυκῶν ὀνομάτων. τὰ γὰρ εἰς ω̅ λήγοντα θηλυκὰ ὀξύνονται τῶν ῥημάτων μὴ ὀξυνομένων οἷον κλείω Κλειώ, καλύψω Καλυψώ, πείθω πειθώ, εἴκω εἰκώ «τὰς εἰκοὺς τῶν ἐγχέλεων» (Arist. Nubb. 559)· εἴκω δέ ἐςτι τὸ ὁμοιῶ, εἰκώ δὲ ἡ εἰκών. τὰ οὖν εἰς ω̅ λήγοντα ῥήματα εὐλόγως ἀποςτρέφονται τὴν ὀξεῖαν τάςιν πρὸς ἀντιδιαςτολήν, ὡς εἴρηται, τῶν εἰς ω̅ θηλυκῶν ὀνομάτων. εἰκότως καὶ τὰ ἐξ αὐτῶν κλινόμενα καὶ τὰ ἐξ αὐτῶν παραγόμενα ῥήματα ἀποςτρέφονται τὴν ὀξεῖαν τάςιν. — Observatio de δαςμοφορέν transiit etiam in E. M. 249, 29: δαςμοφορεῖν: τοῦτο ἀποβάλλον τὸ ι̅ παρὰ τοῖς Δωριεῦςι γίνεται ὀξείᾳ τάςει δαςμοφορέν. Choer. 495, 33 comparat propter ellipsin τοῦ ι̅ ςυρίςδες pro ςυρίζεις. — De imperativis monosyllabis cf. Mon. 24, 21 τὰ εἰς ς̅ λήγοντα προςτακτικὰ μονοςύλλαβά ἐςτι καὶ τὸ ε̅ ἔχει, ἕς, ἔνθεν τὸ ἄφες, πρόες, θές, ςπές, φρές «ἐνθάδ' εἴςφρες μ' ὡς τὸ μειρακύλλιον». ςημειῶδες τὸ δός μόνον τὸ ο̅ς̅ ἔχον. αἰτία δὲ ἡ ςυζυγία. — De bisyllabis imperativis oxytonis cf. Il. Pr. A 85: τρία εἰςὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα ἐλθέ, εὑρέ, εἰπέ. ἰδίως δὲ καὶ μακρᾷ παραλήγοντα. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυκαταλήκτων ὀξύνουςι τὸ ἰδέ καὶ λαβέ. Choer. 494, 31 et 495, 29. — De χρή Choer. 494, 28 (An. Paris. III 341, 14): τὸ χρή ὀξυτονούμενον γέγονε τοῦτον τὸν τρόπον. ἔςτι χρῆμι, χρῄς, χρηςί καὶ κατὰ ἀποκοπὴν γίνεται χρή ὀξυτονούμενον. Ep. Cr. I 433, 29 διὰ τί ὀξύνεται; πᾶςα λέξις διςύλλαβος ἐν ῥήμαςι εἰ μὲν ἔχει τὴν ἀπὸ ἀρχῆς ἀποκοπτομένην, τὴν καταλιμπανομένην ςυλλαβὴν περιςπᾷ, εἰ δὲ τὴν ἀπὸ τέλους, ὀξύνει, cum quo loco cf. ibid. 2: τὸ «πῶς δὴ φῄς πολέμοιο μεθιέμεν» (Δ 351) περιςπώμενον Ἰωνικόν. οἱ γὰρ Ἴωνες ἀπὸ τῶν αὐτῶν τοῖς ἐνεςτῶςιν ἐν τοῖς παρῳχημένοις ἄρχονται. καὶ εἰ μὲν μετὰ τὴν ἀφαίρεςιν τοῦ κλιτικοῦ χρόνου μακρὰ ςυλλαβὴ ἀπολείποιτο, περιςπῶςιν ἔφης φῄς, ἔβην βῆν «βῆν δ' εἰς Αἰόλου κλυτὰ δώματα» (Od. κ 60), εἰ δὲ βραχεῖα ὀξύνουςιν, ἔςταν ςτάν, ἔβαν βάν. cf. Choer. 495, 22, E. M. 196, 2 et 814, 54. — l. 8 φῄς recte cum ι subscripto exhibet Io. Al., falso ap. Arcad.

φάνης Βατράχοις (37) «παῖ, ἠμί, παῖ», ἐξ οὗ τὸ ἤ τὸ cημαῖνον τὸ εἶπον οἷον «ἦ καὶ κυανέῃςιν ἐπ' ὀφρύςι νεῦςε Κρονίων» (Α 528) καὶ «ἦ ῥα καὶ ἐξ ὀχέων» (Δ 419) — ὀξύνεται. ταῦτά ἐςτι τῶν ῥημάτων τὰ ὀξυνόμενα. εἰ δέ τί ἐςτιν ἄλλο ἐπὶ τέλους ἔχον τὸν τόνον, περιςπᾶται ποιῶ νοῶ, ποιοῦ νοοῦ, ποιεῖν νοεῖν καὶ τὰ τοιαῦτα.

Πᾶν ῥῆμα εἰς ω μονοςύλλαβον περιςπᾶται, ζῶ, κλῶ, κνῶ, θλῶ, δρῶ, ἐὰν βῶ, ἐὰν ςτῶ. λείπεται τοίνυν διαςαφηνίςαι τὴν τῶν εἰς ω ληγόντων ἐνεςτώτων τάςιν κατὰ τὰς ἑαυτῶν ςυζυγίας.

Τὰ εἰς βω λήγοντα βαρύνεται. τότε περιςπᾶται, ὅτε ἐν ταῖς δυςὶ ςυλλαβαῖς ἔχει τὸ β, ἢ ὄνομα προϋπάρχει ἢ τὸ ο ἔχει ἐν τῇ παραληγούςῃ ἢ τὸ ω μέγα. καὶ βαρύνεται μὲν ταῦτα, λείβω καὶ κατὰ ἀποβολὴν τοῦ λ εἴβω, τρίβω, ςτείβω, φέρβω, ἀμείβω, ςέβω, φέβω τὸ φοβοῦμαι, ῥέμβομαι, θλίβω, ςτίλβω. περιςπᾶται δὲ ταῦτα ὡς ἔχοντα ἐν δυςὶ ςυλλαβαῖς β βαυβῶ τὸ καθεύδω, βομβῶ, βιβῶ τὸ περιπατῶ. ἔτι περιςπῶνται τὰ ἔχοντα προϋπάρχοντα ὀνόματα, φόβος φοβῶ, ἀςεβής ἀςεβῶ, εὐςεβής εὐςεβῶ, θόρυβος θορυβῶ, κόλυμβος κολυμβῶ, λαβή λαβῶ. τὸ γὰρ λάβω ὑποτακτικόν ἐςτι τοῦ ἔλαβον. Ἔτι περιςπῶνται τὰ ἔχοντα ο μικρὸν ἢ ω μέγα ἐν τῇ παραληγούςῃ, ςοβῶ, ςτροβῶ, κολοβῶ, λωβῶ.

Τὰ εἰς πω λήγοντα βαρύνονται, εἰ μὴ παραλήγοιτο τῷ υ ἢ τῷ ω, ἢ εἰ μὴ παρώνυμα εἴη ἢ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ ςυλλαβῇ ἔχοι τὸ π θάλπω, λάμπω, πέμπω, λείπω, μέλπω, βλέπω, ἐρείπω τὸ καταβάλλω, ἕρπω, δρέπω, ἕπω, τρέπω, ςκέπω, λέπω, ἔπω τὸ ἐνέπω. πρόςκειται «εἰ μὴ ἔχοι ἐν τῇ πρὸ τέλους τὸ υ ἢ τὸ ω» διὰ τὸ γνυπῶ τὸ γονυπετῶ καὶ κλωπῶ τὸ κλέπτω, ὅθεν καὶ κλώψ. τὸ δὲ «εἰ μὴ παρώνυμα εἴη» διὰ τὸ κόπος κοπῶ, ἶπος ἡ παγίς ἰπῶ τὸ βλάπτω,

sine ι scribitur: Il. Pr. P 174: φῄς ἐπὶ ἐνεςτῶτος χρόνου, διὸ καὶ ςὺν τῷ ι γράφεται καὶ ὀξύνεται. Choer. Cr. IV 354 (851, 22 et 497, 17 Gaisf. sine auctoribus idem) τὸ φῄς οὐκ οἶδεν ὁ Ἀπολλώνιος ςὺν τῷ ι γεγραμμένον. ἡ μέντοι παράδοςις καὶ ὁ Ἡρωδιανὸς ςὺν τῷ ι οἶδεν αὐτὸ γεγραμμένον. — de ἐςςί, quod ex Arcadio 143, 21 apposui, cf. Mon. 44, 16: ἐςςί: οὐδὲν εἰς ςι λῆγον ῥῆμα δεύτερον πρόςωπον, ἀλλὰ μόνον τὸ ἐςςί «ἔχθιςτος δέ μοί ἐςςι» (Α 176). ἡ δὲ χρῆςις παρὰ τοῖς ποιηταῖς καὶ Cυρακοςίοις, διὸ καὶ Cώφρων φηςί «ὀδαῖός γέ ἐςςι».
l. 6—8 ex Arcad. 149, 3 cf. Choer. 876, 16: καθόλου οὐδέποτε ῥῆμα ὁριςτικὸν εἰς ω λῆγον μονοςύλλαβον εὑρίςκεται ἐν χρήςει χωρὶς εἰ μὴ εὑρεθῶςι δευτέρας ςυζυγίας τῶν περιςπωμένων οἷον δρῶ θλῶ κλῶ ςμῶ. πρόςκειται ὁριςτικὸν διὰ τὸ ἐὰν θῶ ἐὰν δῶ. l. 9 Hinc usque ad finem libri XVI Arcadius pro fundamento est, epitome Lascaris quam edidi in Philolog. XXIII p. 164 sqq. ubique consulta et praeterea maxime Theognostus adhibitus est. — l. 11 καὶ κατὰ ἀποβολὴν τοῦ λ εἴβω addidi ex Choer. Dict. 203, 10 (cf. Epim. Cr. I 173, 5), ἀμείβω ex Choer., ςέβω φέβω ex Theogn. 137, 19, ῥέμβομαι ex fragmento Herodiani περὶ ἀκλίτων ῥημάτων Cr. An. Ox. IV 338: τὰ εἰς βω λήγοντα ῥήματα βαρύτονα, ἂν ἐν τῇ πρὸ τέλους ςυλλαβῇ ἔχῃ τὸ ε, μὴ ὑποτεταγμένου αὐτῷ τοῦ ι, οὐ κλίνεται παρὰ τοῖς παλαιοῖς εἰ μὴ ἄχρι τοῦ παρατακτικοῦ οἷόν ἐςτι τὸ ῥέμβομαι καὶ ςέβω ςέβομαι. εὑρέθη δὲ παρὰ Cοφοκλεῖ ἐςέφθην. — θλίβω ςτίλβω ex Choer. 218, 28.
l. 14 pro βαβῶ scripsi βαυβῶ monentibus Schmidt et Iacobi. l. 18 ςτροβῶ accessit ex Lasc. p. 165, 26. l. 23 ἕρπω ex Lasc., δρέπω — ἔπω τὸ ἐνέπω praebet Theogn. 137, 20. l. 26 εἴη scripsi pro ἔχοι pariter atque l. 22. l. 26 Schmidt. scribi vult ἰπῶ τὸ πιέζω, ἴπτω δὲ τὸ βλάπτω ex E. M. 473, 27 παρὰ τὸ ἴπτω τὸ

λύπη λυπῶ, τρύπη τρυπῶ, κτύπος κτυπῶ, ῥύπος ῥυπῶ. πρόςκειται δὲ «εἰ μὴ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ ϲυλλαβῇ ἔχει τὸ π» διὰ τὸ πιπῶ καὶ ὀπιπῶ τὸ περιβλέπομαι. τὸ δὲ πίπτω βαρύνεται ἔχον τὸ τ.

Τὰ εἰϲ φω λήγοντα βαρύνεται, εἰ μὴ παραλήγοιτο τῷ ο μικρῷ ἢ τῷ ω μεγάλῳ ἢ παρώνυμα εἴη, γράφω, γλύφω, νήφω ἐπὶ τοῦ φρονῶ, νείφω δὲ ἐπὶ τοῦ χιονίζω, δέφω, τρέφω, ϲτρέφω, ϲτέφω, ψέφω, ἀλείφω, κνίφω, ϲτύφω, τύφω, μέμφω, ἀφ᾽ οὗ τὸ μέμφομαι εὔχρηϲτον. ϲεϲημείωται τὸ διφῶ τὸ ζητῶ Ἰλιάδοϲ Π (747) «τήθεα διφῶν» ζητῶν ἐρευνῶν. Καλλίμαχοϲ «μηδ᾽ ἀπ᾽ ἐμεῦ διφᾶτε μέγα ψοφέουϲαν ἀοιδήν» καὶ ἀμφαφῶ. καὶ ἴϲωϲ παρώνυμα εἴη ἀπὸ τοῦ ἁφή ἀφῶ καὶ διαφῶ καὶ κράϲει διφῶ τὸ τῇ ἁφῇ ὑποβάλλω καὶ ἀμφαφῶ. πρόϲκειται «εἰ μὴ παρώνυμα εἴη» διὰ τὸ τρυφή τρυφῶ, κορυφή κορυφῶ, ϲοφόϲ ϲοφῶ, ζωγράφοϲ ζωγραφῶ, ψόφοϲ ψοφῶ, ἀφή ψηλαφῶ. τὸ δὲ ϲτρωφῶ καὶ ῥοφῶ ἔχουϲιν ο καὶ ω.

Τὰ εἰϲ πτω βαρύνεται, εἰ μὴ προκατάρχοι ὄνομα ἢ διαϲτολὴ γένοιτο ϲημαινομένου, ϲκάπτω, θάπτω, βλάπτω, κλέπτω, ϲκέπτω, χαλέπτω, πίπτω, ἵπτω, λίπτω, ἴπτω τὸ βλάπτω, ὅπερ ψιλοῦται· ἐπὶ γὰρ τοῦ πετῶ δαϲύνεται καὶ περιϲπᾶται, χρίπτω, νίπτω, ἐνίπτω τὸ ἐπιπλήττω, ϲκηρίπτω, ῥίπτω. τὸ γὰρ ῥιπτῶ Ἀττικὸν ἢ ποιητικόν. κόπτω, ὄπτω τὸ βλέπω. τὸ δὲ ὀπτῶ πρὸϲ διαϲτολὴν τοῦ ὄπτω, ϲκώπτω, θρύπτω, θύπτω τὸ τυφῶ, κύπτω, κρύπτω, ῥύπτω, δύπτω, καλύπτω, κορύπτω, τύπτω. τὸ δὲ τυπτῶ τυπτήϲω Ἀττικῶϲ. πρόϲκειται «εἰ μὴ προκατάρχεται ὄνομα» διὰ τὸ ἄβλεπτοϲ ἀβλεπτῶ, ἄπεπτοϲ ἀπεπτῶ, ἀλείπτηϲ φιλαλειπτῶ.

Τὰ εἰϲ γω διϲύλλαβα η παραληγόμενα ἀπὸ ϲυμφώνου ἀρχόμενα

βλάπτω γίνεται ἶποϲ καὶ παρὰ τὸ ἶποϲ γίνεται ἰπῶ ῥῆμα ϲημαῖνον τὸ θλίβω, sed etiam ἰπῶ translato intellectu usurpatur velut ταῖϲ ϲυμφοραῖϲ cf. Polluc. VII 46.

l. 5 νήφω explicavi et νείφω cum interpretatione addidi ex Theogn. 138, 10 τὰ διὰ τοῦ ηφω διϲύλλαβα ϲπάνια. δύο γάρ εἰϲι τὸν ἀριθμόν. τὸ μὲν διὰ τοῦ η γραφόμενον τὸ νήφω ἐπὶ τοῦ φρονῶ, ἐξ οὗ καὶ νηφαλέοϲ. ἐπὶ δὲ τοῦ χιονίζω διὰ τῆϲ ει διφθόγγου καὶ νίφω καὶ νιφετόϲ διὰ τοῦ ι, ὥϲ φηϲιν Ἡρωδιανὸϲ ἐν τῷ περὶ ϲυζυγιῶν. — δέφω — ψέφω ex Theogn. 138, 6, ἀλείφω ex Choer. 175, 8, κνίφω ex Mon. 43, 22, ubi Lob. Rhem. p. 40 κνήφω mavult, ϲτύφω τύφω ex Theogn. 138, 8, μέμφω ex Lascar. 166, 4. l. 8 ad διφῶ exempla addidi ex E. M. 279, 46, qui locus hinc petitus videtur, indidem l. 11 ἀφῶ — ὑποβάλλω apposui, de meo καὶ ἀμφαφῶ adiicens. — l. 14 de ῥοφῶ cf. E. M. 705, 26: οἱ Ἀττικοὶ ῥόφω λέγουϲι βαρυτόνωϲ, οὐχ ὑγιῶϲ· ὁ γὰρ μέλλων ῥοφήϲω. ἔϲτιν οὖν ῥοφῶ, οἱ δὲ Δωριεῖϲ ῥυφῶ. l. 15 verba secundum vocales exitum πτω praecedentes ordinavi. — Canon servatus est etiam in An. Paris. III 304, 6. E. M. 463, 55, unde Lobeck. Rhem. 147 recte l. 20 ἢ inseruit et l. 23 pro εἰϲ ταῦτα δὲ προκατάρχεται posuit: πρόϲκειται «εἰ μὴ προκατάρχεται» et E. M. 236, 16. Ep. Cr. I 211, 13. — l. 16 βλάπτω accessit ex Lascar. 166, 10; κλέπτω — χαλέπτω ex Theogn. 138, 4; πίπτω — λίπτω Theogn. 137, 28, indidem etiam ὅπερ ψιλοῦται — περιϲπᾶται. — De verbis ἵπτω, ἰπτῶ (ἵπταμαι), ἴπτω (ἅπτω) cf. Lob. Rhem. 42 not. 18, χρίπτω ex Dichr. 286, 22: τὰ εἰϲ πτω ῥήματα, εἰ ἔχοι τὸ ι πρὸ τοῦ τέλουϲ, ϲυνεϲταλμένον αὐτὸ ἔχει, λίπτω, ἵπτω, χρίπτω. διὸ ϲημειούμεθα πίπτω καὶ ῥίπτω, quod transscripsit Choer. 249, 17, κόπτω ὄπτω ex Theogn. 137, 24, θρύπτω — κορύπτω Theogn. 138, 1. l. 22 pro καὶ τυπτῶ Ἀττικῶϲ posui verba Lascar. 166, 14. l. 25 η scripsi pro ι cum Lascar. cf. Mon. 45, 15 ἠγῶ. τὰ

βαρύνεται, θήγω, λήγω, τμήγω. τὸ δὲ ἡγῶ, ἀφ' οὗ τὸ ἡγοῦμαι, περισπᾶται, ἀπὸ φωνήεντος ἀρχόμενον.

Τὰ εἰς γω̄ ὑπερδισύλλαβα ἔχοντα ὀνόματα προκατάρχοντα σύνθετα διὰ τοῦ γος̄ παρηγμένα τῷ η̄ παραληγόμενα περισπᾶται, ποδηγός ποδηγῶ, φορτηγός φορτηγῶ, στρατηγός στρατηγῶ, κυνηγός κυνηγῶ. τὸ δὲ ἀρήγω οὐκ ἀπὸ τοῦ ἀρηγός, ἀλλ' αὐτὸ ἀπ' ἐκείνου. τὸ δὲ κεκλήγω, ᾧ ἀκόλουθός μετοχὴ ἡ κεκλήγων βαρυνομένη, ἔνθεν τὸ κεκλήγοντες (Μ 125), καὶ πεπλήγω, ἔνθεν τὸ «ἐπέπληγον πόδες ἵππων» (Il. Ε 504) ποιητικῶς βαρύνονται ἀπὸ τῶν παρακειμένων γεγονότα.

Τὰ εἰς γω̄ ὑπερδισύλλαβα τῷ ᾱ παραληγόμενα περισπᾶται μὴ ὄντα σύνθετα παρὰ πρόθεσιν σμαραγῶ, πλαταγῶ, λαλαγῶ. καὶ καθόλου τὰ εἰς αγω̄ περισπᾶται, ἀγῶ «εὖτ' ἂν τόδ' ἀγᾷ χρέος ἀνδρός», τραγῶ. τὸ δὲ ἄγω βαρύνεται καὶ τὰ ἀπ' αὐτοῦ σύνθετα διάγω, ἀνάγω, κατάγω, παράγω, μετάγω, εἰςάγω, ἐνάγω, ἐξάγω, προςάγω, προάγω, συνάγω.

Τὰ εἰς γω̄ μὴ παρώνυμα ἢ κατὰ παραγωγὴν γινόμενα ἀπὸ βαρυτόνου βαρύνονται, ὁπότε μὴ πρὸς διαστολὴν παραλαμβάνοιτο ἢ παραλήγοιτο τῷ η̄ ἢ τῷ ᾱ, ψέγω, φλέγω, λέγω, εἴργω, πνίγω, ἀμέλγω, ἀλέγω, ὀρέγω. πρόσκειται «μὴ παρώνυμα» διὰ τὸ τρύγη τρυγῶ, ἄλγος ἀλγῶ, σιγή σιγῶ, ῥῖγος ῥιγῶ. «μὴ ἀπὸ βαρυτόνου» δὲ «ῥήματος παραχθέντα» διὰ τὸ λέγω ἀλογῶ. «μὴ πρὸς ἀντιδιαστολὴν» πρόσκειται διὰ τὸ ἄγω καὶ ἀγῶ τὸ καταπλήττομαι, ἐξ οὗ τὸ

εἰς γω̄ λήγοντα ῥήματα ὁριστικὰ δισύλλαβα, εἰ παραλήγοιτο τῷ η̄, θέλει βαρύνεσθαι, θήγω, λήγω, τμήγω. τὸ δὲ ἡγῶ περισπᾶται, ἔνθεν τὸ ἡγοῦμαι. τὸ δὲ αἴτιον πρόδηλον sc. ut ait Lehrsius, quod προκείμενον habet verbum vel nomen, praeeunte Lob. Rhem. 151, sed potest etiam secundum hunc locum «quod a vocali incipit». — σμήγω τὸ καθαίρω in An. Ox. II 319, 7 ficticium esse pro σμήχω docet Lob. Rhem. p. 50. l. 3 pro librorum scriptura σύνθετα διὰ (A) vel σύνθετα δὲ διὰ (B C) Theognosto consulto 138; 21 τὰ εἰς γω̄ λήγοντα ὑπὲρ δύο συλλαβὰς περισπώμενα, τὸ η̄ παραλήγεται, ἔχοντα ὄνομα προκατάρχον σύνθετον εἰς γος̄ τὸ η̄ παραληγόμενον exhibui quae dedi, ante σύνθετα insertis verbis ἔχοντα ὀνόματα προκατάρχοντα. l. 7 κεκλήγω et πεπλήγω explevi ex Il. Pros. Μ 125: κεκλήγοντες ὡς ἀρήγοντες. οὐ γὰρ τὸ κεκληγότες ἐπλεόνασε τῷ ν̄ οὐδὲ παρὰ τὸ «ὀξέα κεκληγώς» (Il. Β 222) ἐκλίθη, ἀλλὰ παρὰ τὸ κέκληγα γέγονεν ὁ Συρακούσιος ἐνεστὼς κεκλήγω ὡς παρὰ τὸ ἄνωγα ἀνώγω, πέπληγα πεπλήγω, ἔνθεν — ἵππων. ἀκόλουθος δὲ τῷ κεκλήγω μετοχὴ κτλ. l. 12 καὶ καθόλου τὰ εἰς αγω̄ ex Lascar. 166, 27 posui pro Arcadii verbis καὶ καθόλου τὰ ἔχοντα τὸ ᾱ, pro ἀργῶ cum Lob. Rhem. p. 49 scripsi ἀγῶ verba Callimachi, ut videtur Lehrsio, ex Mon. 22, 11 addens: ἄγω: οὐδὲν εἰς γω̄ ὁριστικὸν καθαρὸν δισύλλαβον βαρύνεται καὶ πρὸ τέλους ἔχει δίχρονον συνεσταλμένον κατὰ χρῆσιν Ἑλλήνων, τὰ δὲ ὄντα περισπᾶται τραγῶ, στυγῶ, σφριγῶ· σημειῶδες ἄρα τὸ ἄγω βαρυνόμενον οὐχ ὑγιῶς. ἔστι γὰρ καὶ περισπώμενον ἐπὶ δευτέρας συζυγίας «εὖτ' ἂν — ἀνδρός». πρόσκειται καθαρὸν διὰ τὸ μίσγω, συστελλόμενον δίχρονον διὰ τὸ πνίγω, κατὰ χρῆσιν δὲ λεγόμενον Ἑλλήνων διὰ τὸ θίγω· τοῦ γὰρ θίξω ἔσται τὸ θέμα τοῦτο, ἀλλ' οὐ λέγεται, λέγεται δὲ ὑποτακτικῶς κατὰ τὸν ἀόριστον χρόνον ἐὰν θίγω. διὸ προσεθήκαμεν ὁριστικόν. — Ex hoc loco etiam pro παταγῶ, cui Lobeck. σπαργῶ substituere vult Rhem. 49 not. 1, posui τραγῶ. cf. Choer. Epim. in Psalm. 73, 33. — composita παράγω usque ad finem addidi ex Lascar. l. c.
l. 19 pro εἵργω Lascar. 167, 1 praebet εἴργω.

ἄγημι ἄγαμαι. «ἢ εἰ μὴ παραλήγοιτο τῷ α̅ ἢ τῷ η̅» διὰ τὸ σμαραγῶ καὶ ἡγῶ, ὅθεν τὸ ἡγοῦμαι.

Τὰ εἰς γ̅ω̅ ἰαμβικά, εἰ μὲν ἔχοι πρὸ τοῦ τέλους τὸ ε̅, βαρύνεται, εἰ δὲ ἄλλο τι, περισπᾶται, φλέγω, λέγω, στέγω, οἷς ὅμοιον τὸ ἀλέγω, ὀρέγω. μογῶ δὲ καὶ στυγῶ καὶ τρυγῶ καὶ σφριγῶ μὴ τὸ ε̅ ἔχοντα περισπῶνται.

Τὰ εἰς γ̅ω̅ ἔχοντα πρὸ τοῦ γ̅ σύμφωνον βαρύνεται, εἰ μὴ παρ' ὄνομα γένοιτο, εἴργω, στέργω, ἀμέλγω, σφίγγω, μίσγω, τέγγω. τὸ δὲ ἀλγῶ ἔχει τὸ ἄλγος καὶ τὸ ἀργῶ τὸ ἀργός καὶ τὸ γεωργῶ τὸ γεωργός καὶ κακουργῶ τὸ κακοῦργος. τὸ δὲ ἀμέργω οὐκ ἔχει· τὸ γὰρ ἀμόργη ἐκ τοῦ ἀμέργω γίνεται.

Τὰ εἰς γ̅ω̅ δισύλλαβα παραληγόμενα φύσει μακρᾷ ὅτε ἀπὸ συμφώνου ἄρχοιτο, βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, τρώγω, σμώγω, φεύγω, τμήγω, λήγω, θήγω. τὸ μέντοι ῥιγῶ ἔχει τὸ ῥῖγος. τὸ δὲ λωγῶ οὐ γνήσιον ἔχει τὸ ω̅, ἀλλὰ ποιητικόν.

Τὰ εἰς γ̅ω̅ ὑπερδισύλλαβα μὴ παρ' ὄνομα σύνθετα, εἰ παραλήγοιτο φύσει μακρᾷ, βαρύνεται ἐπείγω, ἀρήγω, ἐρεύγω, ἀνώγω. τὸ δὲ παιδαγωγῶ ἔχει τὸ παιδαγωγός.

Τὰ εἰς κ̅ω̅ δισύλλαβα ἔχοντα τὸ ε̅ ἐν τῇ πρὸ τέλους συλλαβῇ βαρύνεται, εἰ μὴ ἄρχοιτο ἀπὸ τριῶν συμφώνων ἢ παρ' ὄνομα εἴη, ῥέγκω, δέρκω, πλέκω, τέκω, πέκω τὸ ξηραίνω καὶ πείκω καὶ πέκτω, κρέκω, δέκω, ἕλκω, ἑλκήσω· τοῦτο δὲ ἀπὸ περισπωμένου τὸ ἑλκῶ. δείκω τὸ δεικνύω, εἴκω. τοιαῦτα καὶ τὰ ὑπερδισύλλαβα τῷ ε̅ παραληγόμενα ὀλέκω, ἐρείκω τὸ σχίζω, ἐνέκω. πρόσκειται «εἰ μὴ παρ' ὄνομα εἴη» διὰ τὸ ἑλκόω ἑλκῶ ἕλκος καὶ πελεκῶ πέλεκυς καὶ «μὴ ἄρχοιτο ἀπὸ τριῶν συμφώνων» διὰ τὸ σπλεκῶ τὸ συνουσιάζω, ὅθεν τὸ διασπλεκῶ.

---

l. 4 οἷς ὅμοιον — ὀρέγω ex Theogn. 138, 28 et σφριγῶ ex Mon. l. c. accesserunt. l. 8 hic iterum Lascar. εἴργω praebet, ex eodem accessit μίσγω, de quo Herod. Mon. 22, 22: μίσγω: οὐδὲν ῥῆμα δισύλλαβον βαρύτονον, ἔχον πρὸ τοῦ ω̅ ἕν τι τῶν μέσων, κατ' ἐπιπλοκὴν ἔχει τὸ σ̅. ὁ δὲ λόγος ἐπὶ τῆς ἡμετέρας διαλέκτου, φέρβω, τρίβω, λείβω, ἥδω, ἕδω, τέγγω, στέργω. μονῆρες ἄρα τὸ μίσγω κατ' ἐπιπλοκὴν ἔχον τὸ σ̅. Ex hoc loco etiam τέγγω apposui. — l. 10 τὸ δὲ ἀμέργω usque ad finem addidi ex Ep. Cr. I 13, 11, E. M. 129, 12 ubi idem canon proponitur. l. 13 σμώγω, quod pro τμώγω Lobeck. Rhem. 151 restituit etiam φώγω suadens, ex Theogn. 138, 32 accessit. — l. 14 τὸ δὲ λωγῶ κτλ. addidi ex Theogn. l. c. et 149, 21, ubi λέγω λωγῶ comparatur cum νέμω νωμῶ, τρέχω τρωχῶ, πέτω πωτῶ.
l. 17 ἐπείγω pro σπείρω restituit Lob. Rhem. 51, ἀνώγω accessit ex Il. Pr. O 725: ἀνώγει: βαρυτόνως ἀναγνωστέον. εἰ δὲ καὶ ὡς ἀπὸ περισπωμένου δείκνυταί τινα ἔχον κινήματα, ὥσπερ ἐπὶ τοῦ «καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος» (Il. H 394) οὐκ ἀναγκαῖον ξενίζειν τὴν ἀνάγνωσιν καὶ περισπᾶν. κλίνεται γὰρ καὶ ὡς βαρύτονον ὥσπερ ἐπὶ τοῦ «ὁππότ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν». πρόδηλον κἀκ τῶν προστακτικῶν ἀνώγετον ἀνωγέτω «ἄνωχθι δέ μιν γαμέεσθαι» (Od. β 113). διὸ καὶ βαρυτόνως ἀναγνωστέον. l. 21 ad πέκω adieci τὸ ξηραίνω ex Lascar. 167, 22, κρέκω δέκω ex Theogn. 139, 20 (Lob. Rhem. 57) l. 22 ἑλκήσω ipse addidi, nam sequentia verba hoc requirunt, Lascaris habet ὃ καὶ περισπᾶται pro τοῦτο δὲ — ἑλκῶ. — l. 24 ἐρείκω pro ἐρίκω Lob. Rhem. 58 reposuit, pro ἐνέκω Lascar. praebet ἐνέγκω, idem πέλεκυς pro πελεκᾶς Arcadii. — l. 26 ὅθεν τὸ διασπλεκῶ ex eodem Lascar. addidi.

Τὰ εἰς κω δισύλλαβα τῷ η παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, ἀπὸ δὲ ἡμιφώνου περισπῶνται· καὶ βαρύνονται μὲν ταῦτα, τήκω, δήκω ὅθεν ἔδακον, μεθ' ὧν καὶ ἥκω. περισπᾶται δὲ ταῦτα, ληκῶ, σφηκῶ, μηκῶ.

Τὰ εἰς κω, εἰ μὴ τῷ ς παραλήγοιτο ἢ τῷ η, περὶ ὧν προείρηται, πάντως περισπᾶται, κακῶ, ἀρκῶ, ναρκῶ, σαρκῶ, φαλκῶ, δοκῶ, κυκῶ, μυκῶ, οἰκῶ καὶ παροικῶ. τὸ δὲ διώκω καὶ ἥκω καὶ ἐρύκω βαρύνεται. τὸ δὲ ἀσκῶ, σφηκῶ περισπᾶται.

Τὰ εἰς σκω βαρύνεται, εἰ μὴ κατάρχοιτο ὄνομα, δράσκω, γηράσκω, πιπράσκω, διδάσκω, τιτρώσκω, γινώσκω, βιβρώσκω, ἀρέσκω, πιφαύσκω, κικλήσκω, θνήσκω, μιμνήσκω, ἀλδήσκω, πιπίσκω, ἀέσκω, μαχέσκω, ἐΐσκω «ἐΐσκω πηγεσιμάλλῳ» (Il. Γ 197) καὶ ἀποβολῇ τοῦ ε «εἴ κέ σε τῷ ἴσκοντες» (Λ 799). δειδίσκω, εὑρίσκω, τελίσκω, γαμίσκω, κυΐσκω, ὀφλίσκω, ἀφ' οὗ τὸ ὀφλισκάνω, ἁλίσκω, ἀραρίσκω, στερίσκω, μεθύσκω, βόσκω βοσκήσω· τοῦτο δὲ ὡς ἀπὸ περισπωμένου ἐγένετο βοσκῶ βοσκήσω. τὸ μέντοι δισκῶ καὶ ἀσκῶ καὶ διασκῶ ἔχουσι τὸ δίσκος καὶ ἀσκός, καὶ τὸ βοσκῶ τὸ βοσκός καὶ ἱπποβοσκῶ ἱπποβοσκός.

Τὰ εἰς κτω μὴ παρ' ὄνομα γινόμενα βαρύνεται, τίκτω, πέκτω τὸ κτενίζω. τὰ δὲ περισπώμενα ἔχουσιν ὄνομα, εὔτακτος εὐτακτῶ, ἄτακτος ἀτακτῶ, ὑλακή ὑλακτῶ. τούτοις ἠκολούθησε καὶ τὸ ἀγανακτῶ.

Τὰ εἰς χω δισύλλαβα ἀρχόμενα ἀπὸ συμφώνου μὴ διὰ τοῦ η παραληγόμενα φύσει μακρᾷ βαρύνεται· εἰ δέ τι περιεσπάσθη, τοῦτο ἐκ

---

l. 3 ὅθεν ἔδακον apposui ex Lascar. 167, 26. l. 4 μηκῶ ex Theogn. 139, 7. l. 6 φαλκῶ pro σαλκῶ emendavit Lob. Rhem. 57, Dindorf in Thesaur. χαλκῶ (Iacobi), κυκῶ — παροικῶ accesserunt ex Theogn. 139, 11, unde etiam l. 8 ἐρύκω apposui. l. 9 δράσκω inserui ex Il. Pr. Λ 799 ἴσκοντες: Ἀρίσταρχος ἀξιοῖ διὰ τῆς ει γράφειν, ἐπεὶ ἐν ἑτέροις, φησί, τὸ κατὰ διαίρεσιν αὐτοῦ ὁρᾶται, ἐΐσκω λεγόμενον «ἐΐσκω πηγεσιμάλλῳ» (Il. γ 197). οἱ δὲ περὶ τὸν Ἀλεξίωνα διὰ τοῦ ι μόνου συνεσταλμένου. κἀγὼ δὲ αὐτοῖς συγκατατίθεμαι τὸ μὴ δύνασθαι τὰ τοιαῦτα ῥημάτων, λέγω δὲ τὰ διὰ τοῦ σκω, ἔχειν πρὸ τέλους δίφθογγον ἐκφωνουμένην, ὅτι μὴ διὰ τοῦ υ, πιφαύσκω. ὁ δὲ λόγος παραιτεῖται τὴν Αἰολίδα διάλεκτον διὰ τὸ μιμναίσκω καὶ θναίσκω ὥστε ὅτε λέγει ἐΐσκω κατὰ διαίρεσιν, ὑγιῶς πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε ὁ μέλλων εἴσω, ὃς ὤφειλεν ἐπενθέσει τοῦ κ ποιῆσαι τὸ εἴσκω, ὡς μεθύσω μεθύσκω, δράσω δράσκω· ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρῆσαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆς σκω παραγωγῆς, διαιρέσει ἐχρήσατο· ὅπου δὲ οὐ παραδέχεται αὖ τὸ τῆς διαιρέσεως, ἐκεῖ ἐκβάλλει τὸ ε cf. Π 41. E. M. 272, 8 ex libro περὶ παθῶν ut videtur: διδάσκω: δαίω τὸ ἐπίσταμαι. ὁ μέλλων δαίσω, πλεονασμῷ τοῦ κ δαίσκω ὡς μεθύσω μεθύσκω καὶ κατὰ ἀναδιπλασιασμὸν διδαίσκω ὡς τρώσω καὶ τιτρώσκω καὶ ἀποβολῇ τοῦ ι διδάσκω. οὐδέποτε γὰρ τὰ εἰς κω ῥήματα κοινὰ ὄντα διφθόγγῳ τῇ διὰ τοῦ ι παραλήγεται· ὅθεν ἐπίμεμπτος Ἀρίσταρχος τὸ «εἴ κέ σε τῷ εἴσκοντες» (Il. Λ 799) διὰ τῆς ει διφθόγγου γράφων ἀντὶ τῆς διὰ τοῦ ι. πρόσκειται «κοινὰ» διὰ τὰ Αἰολικά. οἱ γὰρ Αἰολεῖς θναίσκω καὶ μιμναίσκω διὰ τῆς αι διφθόγγου λέγουσιν. Ἡρωδιανὸς δὲ λέγει, ὅτι Χρύσιππός φησι παρὰ τὸ ἀσκεῖν τὸ σημαίνειν τὸ διδάσκειν τι, ἀσκῶ διάσκω καὶ ἐπενθέσει τοῦ δ διδάσκω. hinc sumpsi διδάσκω, γηράσκω ex Herod. in An. Ox. IV 338, πιπράσκω ex Choer. 489, 26. — θνήσκω — μαχέσκω addita ex Theogn. 139, 17, ἐΐσκω et ἴσκω ex Il. Pr. l. c. δειδίσκω — ἀραρίσκω ex Theogn., στερίσκω ex Choer. l. c., μεθύσκω ex Il. Pr. — post βόσκω apposui βοσκήσω et pro καὶ ἀπὸ περισπωμένου scripsi ὡς; Lascaris etiam hic 168, 2

βαρυτόνου παρήχθη ὡς ἐπὶ τοῦ τρέχω τροχῶ, ἢ παρ' ὄνομα ἐγένετο, τεῦχος τευχῶ, καὶ τὸ στοιχῶ καὶ τὸ μοιχῶ ἀπὸ τοῦ στοῖχος καὶ μοιχός. βαρύνεται δὲ ταῦτα, στείχω, τεύχω, ψύχω, τρύχω, σμύχω, βρύχω, λείχω, γλίχω, ὅθεν τὸ γλίχομαι. οὐκ ἀντιπίπτει τὸ αὐχῶ. ἀπὸ φωνήεντος γάρ, ᾧ ἠκολούθησε καὶ τὸ καυχῶ. τὸ δὲ βληχῶ ἔχει η̄.

Τὰ εἰς χω̄ δισύλλαβα τῷ η̄ παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα, εἰ μὴ πεποιημένην φωνὴν σημαίνοι, βαρύνεται, νήχω, ἐξ οὗ τὸ νήχομαι, σμήχω, τρήχω τὸ κτυπῶ, ἐξ οὗ τὸ «τετρήχει δ' ἀγορή» (Β 95), λήχω, ἀφ' οὗ τὸ ἔλαχον. τὸ δὲ βληχῶ πεποιημένην φωνὴν δηλοῖ. τὸ δὲ ἠχῶ ἀπὸ φωνήεντος ἤρξατο.

Τὰ εἰς χω δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ χ̄ τὸ σ̄ περισπᾶται, εἰ ἔχοι τὴν πρὸ τέλους μὴ φύσει μακράν; ὑπεσταλμένων τῶν ἐχόντων τὸ ε̄ ἢ τὸ ᾱ πρὸ τέλους, λοχῶ, τροχῶ, ὀρχῶ, ὅθεν ὀρχοῦμαι, κιχῶ, ὀχῶ, στιχῶ, διχῶ, τριχῶ, τυχῶ. τὸ δὲ ἴσχω ἔχει σ̄. καὶ τὸ σμήχω ἔχει τὴν παραλήγουσαν φύσει μακράν. τὸ δὲ τρέχω ἔχει ε̄ καὶ τὸ ἄρχω ᾱ.

Τὰ εἰς χω̄ ἐν τῇ πρὸ τέλους συλλαβῇ ε̄ ἔχοντα βαρύνεται, εἰ μὴ παρ' ὄνομα γένοιτο, τρέχω, βρέχω, δέχω, ὅθεν δέχομαι ἐν χρήσει, ἔχω, σπέρχω, εὔχω, ὅθεν εὔχομαι, ἔρχω, ὅθεν ἔρχομαι, ἐλέγχω, τεύχω. τὸ δὲ τευχῶ περισπώμενον ὅτι τεῦχος.

Τὰ εἰς χω̄ δισύλλαβα ἔχοντα τὸ ᾱ ἐν τῇ πρὸ τέλους βαρύνεται, ἄχω ἄχομαι, μάχω, ὅθεν τὸ μάχομαι καὶ μαχέομαι μαχοῦμαι, ὅθεν μαχήσομαι μέλλων, ἄρχω, πάσχω, μεθ' ὧν καὶ τὸ ἴσχω. τὸ δὲ βακχῶ περισπᾶται ὡς ἔχον τὸ βάκχος.

Τὰ διὰ τοῦ ἄχω̄ τρισύλλαβα βαρύνεται, στενάχω «βαρὺ δὲ στενάχοντος ἄκουσα» (Od. θ 95) «ἐπεστενάχοντο δ' ἑταῖροι» (Il. Δ 154), ἰάχω «ἡμεῖς δὲ ἰάχοντες» (Od. δ 454), «τρὶς δ' ἄϊεν ἰάχοντος»

---

praebet: βόσκω, δ καὶ βοσκῶ λέγεται. l. 2 μοιχῶ et στοιχῶ accesserunt ex Theogn. 139, 30, indidem σμύχω, βρύχω, verba ὅθεν γλίχομαι ex Lascar. 168, 9. Idem canon exstat in An. Par. III 304, 23, ubi cum αὐχῶ componitur ἠχῶ, quod Arcad. in sequenti canone profert. l. 8 ἐξ οὗ — ἀγορή (Β 95) adieci ex Theogn. 140, 2. — pro βρηχῶ, quod Theogn. cum βληχῶ componit, scribendum videtur βρήχω fictum propter ἐβεβρήχει ἔβραχε Lob. Rhem. 66. l. 15 ὀχῶ — τυχῶ apposui ex Theogn. 140, 11, apud quem βροχῶ corruptum videtur ex ὀρχῶ, quare omisi. — ad ὀρχῶ adieci ὅθεν ὀρχοῦμαι ex Lascar. 168, 19. — De εὔχομαι E. Gud. 223, 5: Ἡρωδιανός, ὅτι ἴσως ἐκ τοῦ ἔχω πεποίηται κατὰ πλεονασμὸν τοῦ ῡ. οἱ γὰρ εὐχόμενοι ἀξιοῦσιν ἔχειν, ὧν βούλονται. — Theognostus cum δέχω ἔχω τρέχω componit λέχω propter λέχος λέξασθαι Lob. Rhem. 66. l. 23 pro Arcadii verbis μάχω μάχομαι καὶ μαχῶ περισπᾶται posui quae praebet Lascar. 168, 24. cf. Herod. ut videtur in libro περὶ ῥημάτων in E. Gud. 382, 10 κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς χω̄ λήγοντα βαρύτονα δισύλλαβα τῷ ᾱ καθαρῷ παραληγόμενα σπάνιά ἐστι, τὸ ἄχομαι καὶ μάχομαι καὶ ταῦτα μὲν ἄχρι παρατατικοῦ κλίνεται ὡς βαρύτονα, ἀπὸ δὲ τοῦ παρατατικοῦ ὡς περισπώμενα ποιοῦνται τὴν κλίσιν. Ἡρωδιανός. l. 26 exempla barytonorum στενάχω et ἰάχω apposui ex Il. Pr. Α 364: στενάχων: ὁ Σιδώνιος περισπᾷ, ὁ δὲ Ἀρίσταρχος βαρύνει. τὰ πολλὰ γάρ, φησί, κινήματα ὡς ἀπὸ βαρυτόνου γέγονεν (sequuntur exempla in textu proposita). Ε 302 σμερδαλέα ἰάχων: βαρύνειν δεῖ τὴν ἰάχων· ἐνεστῶτος γάρ ἐστι

(Il. Λ 463), «cμερδαλέα ἰάχων» (Ε 304), «φθέγξομ' ἐγὼν ἰάχουcα» (Il. Φ 341). ταῦτα δὲ καὶ ὡc ἀπὸ περιcπωμένων μέλλοντα ποιοῦcιν, ἰαχήcω, cτεναχήcω.

Τὰ εἰc χω ὑπερδιcύλλαβα φύcει μακρᾷ παραληγόμενα ἢ παρ' ὄνομα ὄντα ἢ διὰ τοῦ ιχω περιcπᾶται, cτοναχῶ, cυμμαχῶ, γνωcιμαχῶ, ἡνιοχῶ, ὀμιχῶ τὸ οὐρῶ — ἔcτι δὲ καὶ βαρύτονον ῥῆμα οἷον ὀμίχω ὁ μέλλων ὀμίξω ὡc παρ' Ἱππώνακτι οἷον «ὤμιξεν αἷμα καὶ χολὴν ἐτίληcεν» (Bergk 55) καὶ τὸ ἀναρριχᾶcθαι δὲ τοῖc Ἀττικοῖc παρὰ τὸ ἀρχαῖόν ἐcτι γενόμενον ἀραχνιῶ καὶ ἐν ὑπερθέcει τῶν cτοιχείων ἀναρριχῶ, τοῦ μὲν ν εἰc τὴν χώραν τοῦ ρ τεθέντοc, τοῦ δὲ ι ἀμοιβαίωc καὶ τοῦ ρ εἰc τὴν χώραν τοῦ ν, τοῦ δὲ χ πληcίον τοῦ ω. cεcημείωται τὸ cτενάχω καὶ ἰάχω. τὸ δὲ διδάχω διδάξω οὐκ ἐν χρήcει ὂν βαρύνεται.

Τὰ εἰc δω διcύλλαβα παραληγόμενα τῷ η βαρύνεται, ἥδω ἥδομαι, κήδω κήδομαι, τὸ δὲ πηδῶ περιcπᾶται.

Τὰ εἰc δω διcύλλαβα ἔχοντα τὴν πρὸ τέλουc εἰc τὸ ε καταλήγουcαν περιcπᾶται, ἐδῶ ἐδήcω, μεδῶ, ἐξ οὗ τὸ μεδέων, μεδήcω. ταῦτα δὲ βαρύτονα λέγονται ἔδω καὶ μέδω. ἔτι βαρύνεται τὸ ῥέδω καὶ cκέδω.

Πᾶν εἰc δω λῆγον ἔχον τὴν πρὸ τέλουc cυλλαβὴν εἰc φωνῆεν λήγουcαν μετὰ βραχείαc οὐ βαρύνεται, ἀλλὰ περιcπᾶται, ὡc ἔχει τὸ cταφιδῶ, ὀμαδῶ, κελαδῶ. τὸ δὲ κελάδων κελάδοντοc «πὰρ πο-

---

καὶ παρατατικοῦ, οὐ μέντοι περιcπαcθήcεται, ὡc οἴεται Τυραννίων. διδάcκει τὰ κινήματα «ἡμεῖc δὲ ἰάχοντεc»· εἰ δὲ περιεcπᾶτο, ὡc νοοῦντεc ἐγίνετο, «ἐπὶ δ' ἴαχε λαὸc ὄπιcθε» (Il. Ν 834), «τρὶc δ' κτλ.» οὕτωc οὖν καὶ «φθέγξομ' ἐγὼν ἰάχουcα» ὀφείλομεν προπαροξύνειν. — l. 2 ὡc ante ἀπὸ περιcπωμένων et μέλλοντα ποιοῦcιν ex Lascar. 168, 28 inserui. l. 6 ἔcτι δὲ καὶ βαρύτονον ῥῆμα οἷον ὀμίχω — ἐτίληcεν addidi ex E. M. 624, 26 cf. Bergk ad l. c. καὶ τὸ ἀναρριχᾶcθαι usque τοῦ ω l. 11 adieci ex Schol. Arist. Pac. 70, cui adnotamento subscriptum est ταῦτα Ἡρωδιανὸc ἐν τῷ ιϛ' τῆc καθόλου. In libro περὶ παθῶν hanc explicationem, quam ab alio technico sive Didymo sive Apollonio acceperat, improbat alteram proponens E. M. 99, 13 ἀναρριχᾶcθαι: cημαίνει τὸ ἀναδίδοcθαι τὸ ὕδωρ καὶ οἱονεὶ τρόπον ἀράχνηc τοῖc ποcὶ καὶ χερcὶν ἀντιλαμβανόμενον ἀνιέναι πρὸc τὸ πρόcαντεc· ἀραχνιῶ ἀραχνιᾶcθαι καὶ ἀναρριχᾶcθαι ταὐτό ἐcτιν. οὕτωc τεχνικὸc ὁ ἀνήρ (ὁ πατήρ?), οὐ κλίνεται δὲ ὁ παρατατικὸc ἠναρριχώμην, ἀλλ' ἀνηρριχώμην. εὑρίcκεται δὲ καὶ χωρὶc τῆc αν cυλλαβῆc παρ' Ἱππώνακτι ἀρριχῶμαι· ἄλλωc οὖν ἐcχημάτιcται. ἄρριχοc λέγεται ὁ κόφινοc, ἐν ᾧ κομίζουcι τοὺc βότρυc· ἐξ αὐτοῦ ἀρριχῶ καὶ ἀναρριχῶ. ἀλλ' οὖν γε οὕτω κρεῖττόν ἐcτιν ἀρριχᾶcθαι καὶ ἀναρριχᾶcθαι. οὕτωc Ἡρωδιανὸc ἐν τῷ περὶ παθῶν. — l. 12 de διδάχω cf. Cram. An. Ox. IV 338 in fragm. περὶ ἀκλίτων ῥημάτων inscripto: τὰ εἰc cκω ἄχρι παρατατικοῦ κλίνεται γηράcκω τιτρώcκω καὶ ἄλλα πάμπολλα. τὸ δεδίδαχα οὐκ ὀφείλει ἀπὸ τοῦ διδάcκω κανονίζεcθαι ἀλλ' ἀπὸ τοῦ διδάχω, ἔνθεν ἡ διδαχή ὡc ἰάχω ἰαχή. τὸ δὲ διδαcκῆcαι παρ' Ἡcιόδῳ (opp. 64) ὡc ἀπὸ περιcπωμένου διδαcκῶ ὡc ἀπὸ τοῦ ἀcκῶ ἀcκήcω· οὕτω δὲ καὶ τὸ βοcκήcω ὡc ἀπὸ βοcκῶ περιcπωμένου. τὸ γὰρ βαρύτονον ἄκλιτον ἐπίcταcιν ἔχει. l. 17 ἐξ οὗ τὸ μεδέων cum Thesaur. V c 664 D, ut refert Schmidt ad h. l., scripsi pro μεδέω et μεδήcω apposui ex Lascar. 169, 11. — cf. E. M. 575, 2 μεδῶ καὶ ἐδῶ εἰcι καὶ βαρύτονα καὶ περιcπώμενα· ἀναλογώτερα οὖν εἰcι τὰ περιcπώμενα An. Ox. II 400, 6. — ῥέδω, quod Lobeck. Rhem. 72 pro πέδω emendavit etiam ψέδω φροντίζω Hesych. dubitanter proponens, et cκέδω addidi ex Theogn. 140, 32. l. 22 Arcad. habet ὁμαδῶ. τοῦτο καὶ ἀπὸ βαρυτόνου. Lobeck. Rhem. 71 apte κελαδῶ interposuit post ὁμαδῶ et ὡc post καί. Ipse κε-

ταμὸν κελάδοντα» (Il. Σ 576)· ὡς ἀπὸ βαρυτόνου. τὸ φείδω φείδομαι — τὸ δὲ ἀπ' αὐτοῦ μεταγόμενον φιδῶ ἀφ' οὗ πεφιδήσεται συστέλλον τὴν παραλήγουσαν περισπᾶται — ψεύδω ψεύδομαι, σπεύδω σπεύδομαι, ἐρείδω ἐρείδομαι, ἀείδω, αἴδω ἐπὶ τοῦ αἰσχύνομαι, ὅπερ καὶ περισπᾶται — παραλήγουσι διφθόγγῳ.

Τὰ εἰς δω ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ ε, ᾧ ὑποτέτακται ἢ σύμφωνον ἢ ὑποτακτικὸν φωνῆεν, βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, σπένδω, ἕρδω, ἀμέρδω τὸ στερίσκω, εὕδω, σπεύδω, φείδω, δείδω τὸ φοβοῦμαι, εἴδω καὶ εἰδῶ. τὸ δὲ κερδῶ, ὅτι κέρδος, περισπᾶται.

Τὰ εἰς δω παραληγόμενα τῷ ο περισπᾶται, σποδῶ, ποδῶ, οἰδῶ τὸ οἰδαίνω, ἀοιδῶ, ὅθεν ἀοιδιῶ.

Τὰ εἰς δω παραληγόμενα τῷ ω, εἰ παρ' ὄνομα εἴη, περισπᾶται, κιθαρῳδῶ, κωμῳδῶ, τραγῳδῶ, μονῳδῶ, μελῳδῶ, ὑμνῳδῶ, ληρῳδῶ, μεθ' ὧν καὶ ὀπηδῶ καὶ αὐδῶ καὶ νωδῶ.

Τὰ εἰς δω ἐν τῇ πρὸ τέλους ἔχοντα τὸ ι εἰς τὸ ν καταλῆγον βαρύνεται, ἀλίνδω, καλίνδω, κυλίνδω «ἡ δὲ κυλινδομένη καναχὴν ἔχε» (Il. Π 794), «προπροκυλινδόμενος» (Od. ρ 525), «μέγα κῦμα κυλίνδων» (Od. ε 296). ταῦτα δὲ καὶ περισπᾶται.

Τὰ εἰς δω δισύλλαβα, εἰ ἔχει τὸ α λῆγον ἐν τῇ πρὸ τέλους συλλαβῇ, περισπᾶται, φραδῶ τὸ βουλεύομαι· εἰ μέντοι εἰς σύμφωνον κα-

---

λαδῶ inserto addidi participium κελάδων cum Homerico testimonio ex Il. Pr. Φ 16: κελάδων: βαρυτονητέον τὴν μετοχήν. κελάδοντος γὰρ ἡ γενική, καὶ ἡ αἰτιατικὴ κελάδοντα «πὰρ ποταμὸν κτλ.», οὐ κελαδοῦντα. cf. Choer. Epim. in Psalm. 123, 2, An. Paris. III 299, 8: τὰ εἰς δω λήγοντα ῥήματα ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν περισπᾶται, εἰ μὴ τύχοι ει δίφθογγος οἷον ὀπηδῶ, τραγῳδῶ ληρωδῶ, σταφιδῶ, ὁμαδῶ καὶ κελαδῶ, τὸ γὰρ Κελάδων Κελάδοντος ἑτέρῳ λόγῳ κατώρθωται. ἐξέφυγεν ἄρα τὸ ἀείδω καὶ ἐρείδω. et eod. loc. An. Paris. β' κανών. τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς περισπώμενα ὀνόματα ἔχει προκατάρχοντα ὅμαδος ὁμαδῶ, κέλαδος κελαδῶ, τὸ ἀείδω καὶ ἐρείδω οὐκ ἔχει. Idem in Ep. Cr. I 21, 8. — l. 2 φιδῶ inserui ex E. M. 122, 40, Ep. Cr. I 7, 3: Ἡρωδιανὸς λέγει ὅτι τὰ ἀπὸ βαρυτόνων μεταγόμενα εἰς περισπώμενον συστέλλει τὴν παραλήγουσαν. — σπεύδω σπεύδομαι adieci ex Lascar. 169, 14, ἀείδω ex locis paullo ante laudatis, αἴδω ex Theogn. 140, 32. l. 8 ἕρδω scripsi cum Lascar. 169, 16 pro ἔρδω, δείδω ante φοβοῦμαι excidisse animadvertit Schmidt cf. Lob. Rhem. 73. l. 11 ποδῶ (sic Thesaur. pro μοδῶ) recepi ex Theogn. 141, 4 et ὅθεν ἀοιδιῶ addidi ex more Herodianeo secutus Cr. An. Ox. I 69, E. M. 113, 24, Favorin. Ecl. 114: ἀπὸ τοῦ ἀοιδός παρῆκται ἀοιδῶ εἶτα ἀοιδιῶ cf. Lob. Rhem. 73 et 155. l. 14 μονῳδῶ ex Lasc. 169, 22, μελῳδῶ ὑμνῳδῶ adieci ex Theogn. 141, 10, ληρῳδῶ ex Choer. Epim. 123, 2. — ὀπηδῶ ex Lascar. recepi pro Arcadii πηδῶ, νωδῶ accessit ex Theogn. 141, 4. l. 17 pro καταλίνδω Arcadii posui καλίνδω ex Theogn. 141, 12; exempla ad κυλίνδω apposui ex Il. Pr. Ρ 688: κυλίνδει: Ἀρίσταρχος βαρύνει, ὑγιῶς πάνυ διὰ τὰ κινήματα «κυλίνδετο» γοῦν φησιν (Od. θ 81; λ 598), οὐχὶ ἐκυλινδεῖτο καὶ «ἡ δὲ κυλινδομένη κτλ.» διὸ καὶ βαρέως τὴν κυλίνδων ἀναγινώσκομεν «μέγα κῦμα κυλίνδων» (Od. ε 296). Schol. ad Od. α 162: κυλίνδει: παρὰ τῷ ποιητῇ βαρύνεται ἀεί. δῆλον ἐκ τοῦ «προπροκυλινδόμενος» καὶ «ἦτε κυλινδομένη». ταῦτα δὲ καὶ περισπᾶται in fine addidi et propter locos modo propositos et propter Theogn., qui dicit: τὰ διὰ τοῦ ινδῶ ῥήματα περισπώμενα διὰ τοῦ ι γράφει τὴν παραλή-

ταλήγοι, βαρύνεται, ἄρδω, ἄλδω τὸ αὔξω. τὸ μέντοι ἀλδήcω ἀπὸ περιcπωμένου τοῦ ἀλδῶ ἐγένετο.

Τὰ διὰ τοῦ αθω ὑπερδιcύλλαβα βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα, ὅπερ κατὰ τροπὴν τοῦ τέλουc εἰc ω ἐποίηcε τὸ ῥῆμα, κιάθω τὸ πορεύομαι, ἀμυνάθω τὸ βοηθῶ, διωκάθω τὸ διώκω, εἰργάθω, εἰκάθω. τὸ μέντοι φιλομαθῶ καὶ εὐcταθῶ περιcπῶνται· παρ' ὄνομα γάρ. τὸ δὲ μαθῶ μαθήcω διcύλλαβον.

Τὰ διὰ τοῦ εθω βαρύνεται, cχέθω, ἔθω, ἐρέθω, ἀερέθω, φαέθω, φλεγέθω, cπερέθω, νεμέθω, βρεμέθω, ἀρέθω, χρεμέθω, τελέθω, ἐγερέθω, ἐμέθω, ἀγερέθω. τὸ δὲ τηλεθῶ τὸ εἰc ὕψοc θέω περιcπᾶται.

* Τὸ αἴθω ἐπὶ τοῦ καίω μόνον διὰ τῆc αι γραφόμενον βαρύνεται.

Τὰ διὰ τοῦ ηθω βαρύνεται· εἰ δέ τι περιcπᾶται, ἀπὸ ὀνόματοc γέγονε, ἀλήθω, κνήθω, λήθω, πήθω, ἐξ οὗ καὶ ἔπαθον, πλήθω, πρήθω, δήθω, ἐξ οὗ παραγωγὸν τὸ δηθύνω, μήθω, νήθω. τὸ δὲ βοηθῶ, ἀηθῶ παρ' ὄνομα. ὅμοιον καὶ τὸ γηθῶ γηθήcω καὶ ἠθῶ τὸ διυλίζω.

* Τὸ βρίθω μόνον τῷ ι παραληγόμενον βαρύνεται.

Τὰ εἰc υθω βαρύνεται, μινύθω, φθινύθω, βαρύθω. τὸ δὲ μυθῶ ἔχει μῦθοc.

Τὰ εἰc θω κατ' ἐπιπλοκὴν cυμφώνου βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα ἢ τῷ ο παραλήγοιτο, ἀΐcθω τὸ ἐκπνέω «ὁ δ' ἔβραχε θυμὸν ἀΐcθων» (Il. Π 468), βιβάcθω «μακρὰ βιβάcθων» (Ν 809),

γουcαν, κυλινδῶ, ἀλινδῶ, καλινδῶ. l. 1 Arcadius habet τὸ μέντοι ἄλδω τὸ αὔξω ἀπὸ περιcπωμένου τοῦ ἀλδῶ ἀλδήcω ἐγένετο, Lascar. 169, 27: ἄλδω τὸ αὔξω, ὃ καὶ περιcπᾶται. hinc exhibui, quae scripsi. l. 5 εἰργάθω εἰκάθω adieci ex Ep. Cr. I 185, 8: ἐκ τοῦ ἀείρω τὸ ἐπαίρω γίνεται ἀερέθω — τὰ εἰc ω λήγοντα ῥήματα βαρύτονα, εἰ μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ αθω ποιοῦcι τὴν παραλήγουcαν, κίω κιάθω, εἴργω εἰργάθω, εἴκω εἰκάθω· εἰ δὲ βραχείᾳ, διὰ τοῦ εθω, φλέγω φλεγέθω, νέμω νεμέθω. τὸ ἀείρω καὶ ἀγείρω κατὰ παραγωγὴν γενόμενα ἀερέθω καὶ ἀγερέθω ἀπέβαλον τὸ ι, ἵνα μὴ εὑρεθῇ διὰ τοῦ αθω γινόμενα μακρᾶc οὔcηc τῆc παραληγούcηc. l. 9 cπερέθω — ἐγερέθω accesserunt ex Theogn. 141, 14 emendata a Lob. Rhem. 89 cf. ad Buttm. II 62, ἐμέθω Ep. Cr. I 87, 4 τὰ διὰ τοῦ εθω ἄχρι παρατατικοῦ κλίνεται οἷον ἐρέθω τὸ ἐρεθίζω, φλεγέθω, ἐμέθω τὸ ἐμῶ. ἀγερέθω ex Ep. Cr. I 185. l. 12 αἴθω addidi ex Theogn. 141, 18. l. 15 δήθω — νήθω apposui ex Theogn. 141, 20; ἠθῶ ex canone orthographico in An. Ox. II 320, 28 βοηθῶ, ἠθῶ τὸ διυλίζω, ἐξ οὗ καὶ ἠθμόc. l. 17 βρίθω accessit ex Theogn. 141, 24. l. 18 βαρύθω apposui ex Theogn. 131, 34. — μυθῶ ex E. M. 122, 55: τὰ εἰc θω ῥήματα ἔχοντα ὄνομα προϋποκείμενον περιcπᾶται οἷον μυθῶ. l. 21 ἀΐcθω explevi, βιβάcθω addidi ex Il. Pr. Ν 809: βιβάcθων: Τυραννίων περιcπᾷ, οὐχ ὑγιῶc· ὁ γὰρ χαρακτὴρ βαρεῖαν τάcιν ἀπαιτεῖ, εἴτε ἀπὸ τοῦ βιβῶ βιβάθω γενομένου τοῦ ῥήματοc, περιπλεονάcαντοc τοῦ c, ὥc φηcι Φιλόξενοc, εἴτε ἀπὸ ὀνόματοc τοῦ βιβαcτόc, βιβάcθων, ὡc ἀϊcτόc ἀΐcθων. γίνεται γάρ τινα ἀπὸ τῶν εἰc τοc κατὰ μεταβολὴν τοῦ τέλουc εἰc θω βαρύτονα ῥήματα, ἐγερτόc ἐγέρθω, ἐρεκτόc ἐρέχθω, ἀϊcτόc ἀΐcθων. οὕτωc καὶ παρὰ τὸ βιβαcτόc βιβάcθων. παραιτητέον δὲ καὶ τοὺc ὀξύνονταc ὡc δεύτερον ἀόριcτον. Ο 676: βιβάcθων: βαρυτονητέον· γέγονε δὲ ἤτοι, ὥc φηcι Φιλόξενοc, κατὰ πλεοναcμὸν τοῦ ¯ ἢ ὅπερ καὶ βέλτιον, παρὰ τὸ βιβαcτόc βιβάcθω ὡc καὶ ἀϊcτόc κατ' ὀξεῖαν τάcιν ἀΐcθων «ὁ δ' ἔβραχε θυμὸν ἀΐcθων». Π 468: ἀΐcθων: βαρυτονητέον ὡc

ἐρέχθω τὸ cχίζω «νῆα θοὴν ἐρεχθομένην ἀνέμοιcι» (Ψ 317), ἄχθω, ὅθεν ἄχθομαι, αἴcθω καὶ αἴcθομαι, αἰcθήcομαι. τοῦτο δὲ ἀπὸ περιcπωμένου ἐγένετο. τὸ μέντοι μιcθῶ περιcπᾶται, ὅτι μιcθόc. τὸ μέντοι μοχθῶ καὶ ῥοχθῶ τῷ ο̄ παραληγόμενα περιcπᾶται. cεcημείωται τὸ ὀρεχθῶ «πολλοὶ μὲν βόεc ἀργοὶ ὀρέχθεον» (Ψ 30).

Τὰ εἰc θω̄ παραληγόμενα εῡ βαρύνεται, πεύθω, ἐλεύθω, κεύθω.

Τὰ εἰc θω̄ παραληγόμενα φύcει μακρᾷ χωρὶc τῶν διὰ τοῦ η̄, εἰ μὴ ὄνομα προκατάρχοιτο, βαρύνεται, πείθω, κλώθω, βρώθω, ἀφ' οὗ βέβρωθα, πρώθω. cεcημείωται τὸ ὠθῶ. τὸ μέντοι μυθῶ καὶ ἀπειθῶ περιcπῶνται, ὅτι μῦθοc καὶ ἀπειθήc. τὸ δὲ ἀπιθῶ «οὐδ' ἀπίθηcεν μύθῳ Ἀθηναίηc» (Α 220) περιcπᾶται cυcτέλλον τὴν παραλήγουcαν. τὸ γὰρ πείθω μετάγεται εἰc περιcπώμενον πιθῶ, οὗ ὁ μέλλων πιθήcω, ὁ ἀόριcτοc ἐπίθηcεν, ὡc τὸ φείδω γίνεται φιδῶ περιcπώμενον καὶ πεφιδήcεται. οὕτωc ἐcτὶ καὶ τὸ ἀπιθῶ.

Τὰ εἰc θω̄ διcύλλαβα ἔχοντα τὴν πρὸ τέλουc cυλλαβὴν εἰc φωνῆεν λήγουcαν μετὰ βραχείαc, μὴ τοῦ ε̄, περιcπᾶται, τιθῶ, ποθῶ, μαθῶ, ἐξ οὗ τὸ μαθήcω. τὸ μέντοι cχέθω βαρύτονον ἔχον τὸ ε̄. cεcημείωται τὸ ὄθω τὸ φροντίζω «οὐδ' ὄθομαι κοτέοντοc» (Α 181).

Τὰ εἰc θω̄, εἰ ἔχοι πρὸ τέλουc cυλλαβὴν εἰc ἀμετάβολον λήγουcαν, ὑπεcταλμένηc τῆc ερ̄, περιcπᾶται, πτορθῶ, ἀνθῶ, πενθῶ, ὀρθῶ. cεcημαίωται τὸ ἄλθω. τὸ δὲ πέρθω καὶ ἐγέρθω βαρύνεται ὡc ἔχον ερ̄.

Τὰ εἰc τω̄ διcύλλαβα μὴ κατ' ἐπιπλοκὴν τοῦ c̄ περιcπᾶται, ζητῶ,

---

ἔcθων· καὶ εἴρηται ὡc ὁμοίωc ἐγένετο τῷ βιβάcθω. ἐρέχθω praebet Lascar. 170, 9, explevi ex Schol. ad Od. ε 83: ἐρέχθων ὡc κατέcθων, δῆλον δὲ ἐκ τοῦ «νῆα θοὴν ἐρεχθομένην ἀνέμοιcι». Quum his locis βιβάcθω ἀΐcθω, ἐρέχθω ut ab adiectivis verbalibus βιβαcτόc ἀϊcτόc ἐρεκτόc derivata componantur, coniectari potest in canone verba a nominibus substantivis ut μιcθῶ a μιcθόc propagata fuisse discreta ab iis, quae ab adiectivis verbalibus nata dicuntur, porro apparet Herodianum non, ut vult Schmidt., credidisse vocalem ε̄ ipsam per se perispasin efficere, nam ἔcθων et ἐρέχθων barytona esse diserte edicitur. — ἄχθω praebet Lascar. l. 2 αἰcθήcομαι inserui. — τὸ μέντοι μοχθῶ — περιcπᾶται accesserunt ex Lascar. 170, 10. cεcημείωται τὸ ὀρεχθῶ ipse addidi ex Schol. ad Apoll. I 275 περιcπᾶται τὸ ὀρεχθεῖν ὡc τὸ ποιεῖν. ἔcτι δὲ μίμημα φωνῆc ἀνάρθρου. Ὅμηροc — δεῖ δὲ μᾶλλον ἀκούεcθαι ἐπὶ τοῦ cτένειν; altero loco, quem affert Schol. ad Od. ε 83 ἐν ἄλγεcι θυμὸν ὀρεχθῶν, Aristarchus teste E. M. 371, 24 ἐρέχθων, Apion ἐρίχθων scripsit. cf. Lob. Rhem. 97 et 152. l. 6 pro λεύθω cum Lob. Rhem. 92 ἐλεύθω scripsi. l. 8 βρώθω et πρώθω adieci ex Theogn. 141, 27. — l. 10 τὸ δὲ ἀπιθῶ usque ad finem canonis addidi ex Cr. Ep. I 7, 1: οἱ μέν, ἐκ τοῦ ἀπειθήc ἐcτιν, ὅπερ οἱ μὲν ἐν τῇ cυνηθείᾳ διὰ τῆc εῑ γράφουcιν, οἱ δὲ διὰ τοῦ ῑ· ὁ δὲ Ἡρωδιανὸc λέγει ὅτι τὰ ἀπὸ βαρυτόνων μεταγόμενα εἰc περιcπώμενον cυcτέλλει τὴν παραλήγουcαν οἷόν ἐcτι τὸ φείδω κτλ. collato E. M. 122, 41, Favorin. Ecl. 120, 21: ἔcτι καὶ ἀπιθῶ ῥῆμα ὅπερ ἀεὶ παρ' Ὁμήρῳ γράφεται διὰ τοῦ ῑ ὡc ἀπὸ τοῦ πιθῶ δευτέρου μέλλοντοc γενόμενον, παρ' ἡμῖν δὲ διὰ διφθόγγου γράφεται ἐκ τοῦ ἀπειθήc ὀνόματοc καθὰ καὶ τὸ ἀφειδῶ ῥῆμα ἐκ τοῦ ἀφειδήc. Theogn. 149, 6. l. 18 verba Homerica addidi ex Theogn. 141, 32: cεcημείωται ὅτε δηλοῖ (sc. ὄθω) τὸ κινοῦμαι διὰ τοῦ ο̄ μικροῦ γραφόμενον, ὡc καὶ ὁ ποιητήc κτλ. Explicatio vocabuli κινοῦμαι congruit cum Herod. in Sympos. in. Et. Orion. 124, 12 ὄθω τὸ δηλοῦν τὴν κίνηcιν, ἔνθεν «οὐδ' ὄθομαι κτλ.» l. 21 ἐγέρθω adieci ex Il. Pr. Ν 809.

κροτῶ, πατῶ, στρατῶ τὸ στρατοπεδεύομαι, κοτῶ τὸ ὀργίζομαι, βροντῶ. τὰ μέντοι βαρύτονα διὰ τοῦ τ̄ οὐ πολλὰ ὦπται καὶ μὴ ἐνεργητικῶς λεγόμενα, ἀλλὰ τὸ λίτω, ὅθεν τὸ λιτέσθαι, καὶ τὸ πέτω, ἀφ' οὗ τὸ πέτομαι, καὶ ἔνια, ἃ ἤδη ὡς περισπώμενα ἐκλίθη, ὥσπερ τὸ κέντω, ἐξ οὗ τὸ «κένσαι ὁμοκλήσας» (Ψ 337) καὶ ἄντω, ὅθεν ἀντόμενος «ὡς ἄν τίς σε συναντόμενος» (Od. ρ 165) καὶ «ἄντεσθαι ἐν πολέμῳ» (Ο 698). τὸ δὲ «ἤντης' οὐδὲ ἴδον» (Od. δ 201) καὶ «ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος» (Il. Π 423) ὡς ἀπὸ περισπωμένου κέκλιται. τὸ δὲ ἀνύτω καὶ ἀρύτω τῷ τ̄ ἐπλεόνασεν ὡς ἐκ τοῦ ἀνύω καὶ ἀρύω.

Τὰ εἰς ζω βαρύνεται, εἰ δέ τι περισπᾶται, τοῦτο καὶ βαρύτονον ὤφθη. εἰ δὲ μόνως περιεσπάσθη, προϋπῆρξεν αὐτῷ ὄνομα, οὗ τὸ τέλος εἰς ω̄ τραπὲν ἰσοσύλλαβον ῥῆμα ἀπετέλεσε.

* Τὰ εἰς αζω βαρύνεται, βάζω, βιβάζω, λάζω τὸ λαμβάνω, στάζω, φράζω, σφάζω, χάζω, αἰάζω, στενάζω, ἀλαπάζω, εὐάζω, ἐκκλησιάζω, σκεπάζω, ἀνιάζω, σκιάζω, σκεδάζω, ἁρπάζω, ἐνθουσιάζω, βιάζω, αἰτιάζω, ἁλιάζω, ἀγοράζω, ὅπερ τινὲς ἐπὶ τοῦ ἐν ἀγορᾷ διατρίβειν «ὅδ' ἀγοράζει κλεῖδ' ἔχων» ἐκτείνουσι πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι. κράζω, ὅπερ παρὰ λόγον ἐκτέταται, τὰ γὰρ εἰς αζω συστέλλει τὸ ᾱ ὑπεσταλμένων τῶν Αἰολικῶν, τοῦ πτάζω

---

l. 2 pro Arcadii verbis: τὰ μέντοι βαρύτονα σπάνια καὶ μὴ ἐνεργητικῶς (pro quibus Lascar. 170, 19 ἀποθετικῶς) λεγόμενα πέτω πέτομαι, λίτω λίτομαι. τὸ δὲ ἀνύτω ἀπὸ τοῦ ἀνύω κατὰ πλεονασμὸν τοῦ τ̄ (Lascar. ἀπὸ τοῦ ἀνύω κοινῶς ἀνύτω Ἀττικῶς, ὁμοίως ἀρύω καὶ ἀρύτω Ἀττικῶς) posui verba Herodiani ab Eustath. 764, 26 servata: Ἡρωδιανὸς λέγει, ὡς διὰ τοῦ τ̄ οὐ πολλὰ ὦπται — καὶ οὕτω μὲν Ἡρωδιανός, retentis ex Arcadio καὶ μὴ ἐνεργητικῶς λεγόμενα et insertis verbis τὸ δὲ «ἤντης' — κέκλιται ex Il. Pros. Ο 698: ἄντεσθ': Τυραννίων παροξύνει ὡς λαβέσθαι, πυθέσθαι, ἐκδεχόμενος μέσον δεύτερον ἀόριστον· οὐχ ὑγιῶς, σημαίνει γὰρ παρατατικόν. καὶ ἔστι τὸ ῥῆμα παρ' αὐτῷ καὶ περισπώμενον καὶ βαρυνόμενον. τὸ γὰρ «ἤντης' οὐδὲ ἴδον» καὶ «ἀντήσω κτλ.» ἀπὸ περισπωμένου κέκλιται. τὸ δέ «ὡς ἄν τίς σε συναντόμενος» (quae verba in textum recepi) ὡς ἁπτόμενος καὶ «ἤντετο γάρ τοι Φοῖβος» (Il. Π 788) ὡς ἥπτετο ὁμολογεῖ τὴν βαρεῖαν τάσιν. οἷς ἀκόλουθον καὶ τὸ ἄντεσθαι. l. 10 καὶ inseruit Iacobi. l. 13 Arcadius haec tantum habet: καὶ βαρύνεται μὲν ταῦτα βάζω, βιβάζω, λάζω τὸ λαμβάνω, στάζω, φράζω, κράζω, quod pro τράζω exhibui, πιέζω. τοῦτο δὲ καὶ ἀπὸ περισπωμένου. τὸ δὲ τραπεζῶ περισπᾶται, ὅτι τράπεζα, ῥιζῶ, ῥίζα, ῥοιζῶ, ῥοῖζος, φυζῶ, φύζα. Equidem consultis omnibus fontibus singulos canones constitui. Canonem de verbis in αζω maxime auxilio Herod. Mon. et Dichr. explevi. Mon. 23, 1: κράζω: τὰ εἰς ζω λήγοντα ῥήματα ὁριστικά, εἰ ἔχοι πρὸ τέλους μόνον τὸ ᾱ, ἔχει αὐτὸ συνεσταλμένον, ὑπεσταλμένης τῆς Αἰολίδος διαλέκτου οἷον σφάζω, στάζω, λάζω, χάζω, εὐάζω, ἐκκλησιάζω, σκεπάζω, ἀνιάζω, ἀγοράζω. τοῦτο ἐπὶ ἑτέρου σημαινομένου θέλουσιν ἐπιτείνειν, ὥσπερ καὶ τοπάζω (?). ἀλλ' οὖν γε ταῦτα Ἀττικά ἐστι. σημειῶδες οὖν τὸ σύνηθες πᾶσι τὸ κράζω ἔχον ἐκτεινόμενον τὸ ᾱ, εἰ μὴ ἄρα τῷ κρώζω ἰσοχρονῆσαι ἠθέλησαν αὐτό. πρόσκειται μόνον τὸ ᾱ διὰ τὸ σφαδάζω, τεράζω, ματάζω, πρὸς τὸ ᾱ τὸ ῑ γραφόμενον ἔχοντα. παρῃτησάμεθα δὲ Αἰολίδα διάλεκτον διὰ τὸ πτάζω — ἐκ δὲ τοῦ κοινοῦ ἦν τοῦ ἔπτησσον. τὸ δὲ αὐτὸ ἐπὶ τοῦ πλάζω — ἀντὶ τοῦ ἐπιπλήσσοντα. Dichr. 292, 18: τὰ διὰ τοῦ αζω δισύλλαβα συστέλλει τὸ ᾱ, ὑπεσταλμένων τῶν Αἰολικῶν, διὰ τὸ πτάζω καὶ πλάζω, ὅθεν ἐπιπλάζω ἀντὶ τοῦ ἐπιπλήσσω. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. στάζω, φράζω, βάζω, σφάζω. παράλογον (scr. παρὰ λόγον) ἄρα τὸ κράζω ἐκτέταται. καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχει συνεσταλμένον τὸ ᾱ, χωρὶς εἰ μὴ ἔχοι

ἔπταζον ὥςτ' ὄρνιθες ὦκυν
αἴετον ἐξαπίνας φανέντα

ἀντὶ τοῦ ἔπτηςςον· καὶ τοῦ πλάζω

τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν
καὶ μελέδωνα

ἀντὶ τοῦ ἐπιπλήςςοντα. ἔτι καὶ βαρύνεται τὰ πρὸς τῷ ᾱ ἔχοντα τὸ ῑ σφαδᾴζω, τερᾴζω, ματᾴζω καὶ τὸ παίζω μόνον ἔχον πρὸ τέλους τὴν ᾱι̅ δίφθογγον ἐκφωνουμένην.

* Τὰ εἰς ζω παραληγόμενα τῷ ε̅ βαρύνεται, ἕζω, χέζω, ῥέζω, πιέζω μόνον εἰς ζω ὑπὲρ δύο συλλαβὰς βαρύτονον τῷ ε̅ παραληγόμενον, Δωριεῖς πιάζω ἀναλογώτερον. τοῦτο δὲ καὶ ἀπὸ περισπωμένου. τὸ δὲ τραπεζῶ περισπᾶται, ὅτι τράπεζα.

* Τὰ εἰς ιζω βαρύνεται, τρίζω, σχίζω, πρίζω, κτίζω, ἵζω, χαρίζω, χωρίζω, βαπτίζω, ὀνειδίζω, αἰκίζω, στηρίζω, θρυλλίζω, λυρίζω, σαλπίζω, συρίζω, χαιτίζω, κιθαρίζω, Δωρίζω, Θετταλίζω, ἀφ' οὗ τὸ ἐντεθετταλίσμεθα παρὰ τῷ Εὐπόλιδι ἐν Μαρικᾷ, τουτέστι χλαμύδα Θετταλικὴν φοροῦμεν, Σκυθίζω, Περσίζω, σφετερίζω. τὸ δὲ ῥιζῶ περισπᾶται, ὅτι ῥίζα.

πρὸς τῷ ᾱ τὸ ῑ διὰ τὸ ματᾴζω, σφαδᾴζω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· σκιάζω, ἐνθουσιάζω, ἀγοράζω. τινὲς δὲ ἐκτείνουσι τὸ «ὅδ' ἀγοράζει κλεῖδ' ἔχων» τουτέστιν ἐν ἀγορᾷ διατρίβει, πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι. Hinc sumpsi praeter σφάζω, quo dhabet etiam Lascar. 169, 1, χάζω (αἰάζω — ἀλαπάζω sunt ex Lasc., σκεδάζω, ἁρπάζω ex Mon. 44, 3) — ἐνθουσιάζω (βιάζω — ἁλιάζω sunt ex St. B. 300, 13 Ἡλιαία: ἐκ τοῦ ἅλις ἁλία γίνεται· καὶ ὡς βία βιάζω, αἰτία αἰτιάζω, οὕτω ἁλία ἁλιάζω) omnia ab ἀγοράζω usque ad ματᾴζω. l. 7 παίζω addidi ex Theogn. 142, 2 et Mon. 22, 31 παίζω: οὐδὲν εἰς ζω λῆγον ῥῆμα ἔχει πρὸ τέλους τὴν ᾱι̅ δίφθογγον ἐκφωνουμένην, ἀλλὰ μόνον τὸ παίζω. l. 9 canonem de verbis in εζω consulto Theogn. 142, 1, qui tantum ῥέζω ἕζω habet, et Arcad. composui ex Mon. 44, 3 πιέζω: τὰ εἰς ζω λήγοντα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα οὐδέποτε τῷ ε̅ παραλήγεσθαι θέλει, εὐάζω, σκεδάζω, σκεπάζω, ἁρπάζω, λυρίζω, σαλπίζω, βαΰζω, χαιτίζω, κιθαρίζω, ἑρπύζω. σημειῶδες ἄρα παρ' Ἀττικοῖς καὶ παρ' Ἴωσι λεγόμενον διὰ τοῦ ε̅ τὸ πιέζω, ὥσπερ καὶ παρὰ τῷ ποιητῇ. προσέθηκα δὲ καὶ τὰς διαλέκτους, ἐπεὶ παρ' Ἀλκαίῳ διχῶς λέγεται, παρὰ δὲ Ἀλκμᾶνι διὰ τοῦ ᾱ «τῶ δέσποινα θεὰ κατὰν κάραν Ἀμβᾶς' ἐπίαζε» καὶ δῆλον ὅτι πρὸς τὸν χαρακτῆρα ἀναλογωτέρα ἡ χρῆσις ἡ διὰ τοῦ ᾱ (cf. Ep. Cr. I 232, 25 τὸ μὲν ὑποπιέζω ἐστὶ κοινόν, τὸ δὲ ὑποπιάζω Δωρικόν et 291, 4 καὶ τὸ πελεμίζει ἀπὸ τοῦ παλάμη παλαμίζω ὡς χαίτη χαιτίζω καὶ τὸ πιάζω οἱ Ἴωνες πιέζω καὶ Ἀττικοὶ καὶ Αἰολεῖς «χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα» [Π 510]. Δωριεῖς πιάζω ἀναλογώτερον). πρόσκειται ὑπὲρ δύο συλλαβὰς τῷ κανόνι, ἐπεὶ δισύλλαβά ἐστι παραληγόμενα τῷ ε̅, ὡς ἕζω, χέζω, ῥέζω. βαρύτονα δὲ διὰ τὸ τραπεζῶ περισπώμενον παρ' Ἀττικοῖς. Schol. Od. δ 419: πιέζειν ὡς δικάζειν. φησὶ γοῦν «ἐπὶ μάστακα χειρὶ πίεζε» (287). Ἀπίων μέντοι περισπᾷ «χερσὶ στιβαρῇσι πιέζευν» (Od. μ 174). Lob. Rhem. 147. l. 13 τρίζω — κτίζω sumpsi ex Theogn. 142, 7, ἵζω ex Lasc. 170, 26. χαρίζω — αἰκίζω Theogn., στηρίζω, θρυλλίζω Lasc. 168, 34, λυρίζω, σαλπίζω ex Mon. 44, 3, συρίζω Lasc. 170, 25, χαιτίζω — κιθαρίζω Mon., Δωρίζω — Περσίζω ex St. B. 311, 2 et 519, 3, σφετερίζω ex Mon. 28, 13: εἴ τις λέγοι, ὡς καὶ ἡ ἀντωνυμία ποικίλην παραγωγὴν ἔχει· εἴς τε γὰρ ἑαυτὴν παρῆκται καὶ εἰς ἐπίρρημα, ἴστω ὅτι ἐνέλειψαν τοῖς κυριωτάτοις. λέγω δὲ ῥήματι καὶ ὀνόματι· τὸ γὰρ ἡμετέρειος καὶ σφετεριζόμενος τῶν παραλόγων. Lob. Rhem. 224. ῥιζῶ habet praeter Arcad. etiam Lascar.

* Τὰ εἰc ζω τὸ ο παραληγόμενα τρία ἐcτὶ καὶ βαρύνεται, ὄζω — τοῦτο δὲ ἐνίοτε καὶ περιcπώμενον λέγεται, ἐξ οὗ καὶ ὁ μέλλων ὀζέcω, ἀλλὰ καὶ ὀζήcω ὡc παρ' Ἀριcτοφάνει «λίθοc τιc ὤζηcεν τεθυμιαμένοc», ἁρμόζω, δεcπόζω.

* Τὰ εἰc ζω τῷ ω ἢ τῇ ῳ καὶ τῇ οι διφθόγγῳ παραληγόμενα βαρύνεται, κρώζω, οἰμώζω, πατρώζω, μητρώζω, χρώζω, cῴζω, πλῴζω cὺν τῷ ι, εὕρηνται γὰρ ἐν διαιρέcει cωΐζω, πλωΐζω τριcυλλάβωc, ἀθροΐζω. τὸ δὲ ῥοιζῶ περιcπᾶται, ὅτι ῥοῖζοc.

* Ἔτι τὰ τῇ ει καὶ ῃ διφθόγγῳ παραληγόμενα εἰc ζω βαρύνεται, δανείζω, χρῄζω παρὰ τὸ χρέοc χρεΐζω χρηΐζω καὶ χρῄζω, κλῄζω ἀπὸ τοῦ κλέοc κλεΐζω καὶ κληΐζω καὶ κλῄζω, οὐ γέγονε δέ, ὡc ἡγοῦνται, κατὰ cυγκοπὴν παρὰ τὸ καλήζω τὸ παρὰ Κυπρίοιc λεγόμενον. τοῦτο γὰρ οὐκ ἔχει τὸ ι· ἔcτι δὲ παρὰ Ἴωcι καλέω, παρὰ δ' Αἰολεῦcι καλήω.

* Τὰ εἰc ζω ῥήματα παραληγόμενα υ φιλεῖ πωc βαρύνεcθαι οἷον τρύζω, γρύζω, κλύζω, ἀτύζω, ὀλοφύζω, ὃ πρωτότυπόν ἐcτι τοῦ ὀλοφυδνόν, ὀτοτύζω, ὀλολύζω, cφύζω, γογγύζω, ἑρπύζω, ἑλκύζω, λαγαρύζω, ποππύζω, κελαρύζω, μαcταρύζω, βαΰζω. εὑρέθη μέντοι τινὰ καὶ περιcπώμενα, ὧν ἔcθ' ὅτε καὶ προκατάρχει ὄνομα ὡc τὸ κορυζῶ καὶ φυζῶ, οὗ μέcοc παρακείμενοc ἐν τῷ «πεφυζότεc ἠΰτε νεβροί» (Il. X 1) καὶ τὸ μυζῶ, ἐξ οὗ τὸ μεμυζότε μυδαλέω τε» παρ' Ἀντιμάχῳ. Ὀφείλει μὲν τὰ εἰc ζω περιcπώμενα τῷ υ παραληγόμενα τρίτηc cυζυγίαc εἶναι· τὸ δὲ κνυζῶ ἐcτι καὶ πρώτηc καὶ δευτέραc cυζυγίαc, ὁ μέλλων κνυζήcω, ἐξ οὗ καὶ κνυζηθμόc ὡc μυκηθμόc. «κνυζηθμῷ δ' ἑτέρωcε διὰ cταθμοῖο φόβηθεν» (Od. π 163). καὶ πάλιν Σοφοκλῆc Φρίξῳ (fr. 650 Nauck) «κύνηδὸν ἐξέπραξαν κνυζούμενον». ἔcτι καὶ τρίτηc ὡc τὸ «κνυζώcω δέ τοι ὄccε» (Od. ν 401). τὸ δὲ κνυζῶcαι ἀντὶ τοῦ διαφθεῖραι κεῖται. δι' ὃ ἐπιφέρει Ὅμηροc τὸ «πάροc περικαλλέ' ἐόντα». καί τινεc μὲν ἀπὸ κυνῶν κυνῶ καὶ κνυζῶ. ἀλλ' ἔcτιν ἀπίθανον καὶ δυcκατάcτατον παριcτᾶν ἐκ τῆc κατὰ κύναc

---

l. 1 canonem de verbis in οζω recepi ex Theogn. 142, 15. l. 5 ex Theogn. 142, 21 et 30 ῥοιζῶ habent Arcad. et Lascar. l. 9 ex Theogn. 142, 10, pro cuius futili verbi χρῄζω a χειρίζω etymologia originationem proposui Herodianeam, quam ex libro περὶ παθῶν profert E. Gud. 294, 37, unde etiam κλῄζω et καλήζω recepi. l. 15 fragmentum de verbis in υζω exstat ap. Eustath. 1745 extr. cum Herodiani nomine, porro in E. Gud. 330, 50, ubi titulus libri ἐν τῇ καθόλ' additus est, et in E. M. 523, 7 (Ep. Cr. I 221, 29 et 226, 13) sine auctoris et libri nomine; quaedam ex eodem Catholicae loco deprompta leguntur ap. Eustath. 1766, 34, quae apto loco inserui; nonnulla in Favorin. ecl. p. 273. Ex his diversis fontibus locum restituere conatus sum. Extrema prioris Eustathii loci verba in principio posui additis ex Theogn. 142, 26 verbis cφύζω (ex quo Lobeckio Rhem. 81 cύζω ap. Eustath. corruptum videtur) — μαcταρύζω et βαΰζω ex Mon. 44, 3. — l. 23 τὸ δὲ κνυζῶ sunt ex E. M. collato Gudiano. — inde a l. 28 τὸ δὲ κνυζῶcαι — l. 29 ἐόντα ex Eustath. omissis vocabulis λέγει et φηcί, inde καί τινεc — κνυζῶ ex E. M. et Gud., ἀλλ' ἔcτιν ἀπίθανον posui pro Eustathii verbis: τὸ δὲ ἀπὸ κυνῶν εἰπεῖν τὸ κνυζῶcαι ὀκνεῖ, ἀπίθανον εἰπών, in E. M. et Gud. brevius ὅπερ ἐcτὶν ἀπίθανον et ἀπρεπέc, unde apparet epito-

μεταφορᾶς τὸ τῶν ὀφθαλμῶν ἀπρεπές. οἱ δὲ παρὰ τὴν κόνυζαν οἷον χαμαιζήλοιο κονύζης» (Nicand. Ther. 70) γίνεσθαι κνυζῶ ὡς κόρυζα κορυζῶ καὶ ῥίζα ῥιζῶ, ὅπερ ἀπίθανον. ἄμεινον οὖν Φιλοξένῳ συγκατατίθεσθαι εἰπόντι, ὅτι παρὰ τὸ κνύω γίνεται, ὃ δηλοῖ τὸ ξύω, Δωρικὸν μὲν ὄν, προφερόμενον δὲ παρὰ Ἀττικοῖς καὶ Ἴωσιν. Σώφρων ἐν Μίμοις (fr. 9 Ahrens)

κνύζομαι δὲ οὐδὲν ἰσχύων. ἁ δὲ ξύσμα ἐκ ποδῶν εἰς
κεφαλὰν ἱππάζεται.

καὶ ξύσιλον ἀποφαίνεταί τινα ἐκ τοῦ συνεχοῦς ἐν γήρᾳ κνησμοῦ καὶ Δημόκριτος (fr. 49 Mullach) «ξυόμενοι ἄνθρωποι ἥδονται καί σφιν γίνεται ἅπερ τοῖς ἀφροδισιάζουσιν» καὶ παρὰ τῷ κωμικῷ ἐν Θεσμοφοριαζούσαις (481) «οὗτος πόθῳ μου ἔκνυεν ἐλθὼν τὴν θύραν» ἤγουν διὰ τὸν πόθον μου ἔξυε τὴν θύραν. καὶ ἀρέσκεται ὥσπερ ἑρπύω ἑρπύζω καὶ μύω μύζω, τρύω τρύζω οὕτως εἶναι καὶ κνύω κνύζω, ἐξ οὗ καὶ τὸ κνυζῶ ὁμοίως τῷ δίζω διζῶ. ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ «κνῦμα δακτύλων» παρὰ τῷ κωμικῷ (Eccl. 36) καὶ κνύος δὲ ἡ φθορὰ κατὰ γένος οὐδέτερον ὁμοίως τῷ θύω θύος καὶ φλύω φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας καὶ παρὰ Ἡσιόδῳ ἐν καταλόγῳ περὶ τῶν Προιτίδων (fr. V Dind.)

καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν.
ἄλφος γὰρ χρόα πάντα κατάσχεθεν, ἐν δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα.

τὸ δὲ κνύω γίνεται ἐκ τοῦ κνῶ «ἐπὶ δ᾽ αἴγειον κνῆ τυρόν» παρ᾽ Ὁμήρῳ (Λ 638), ἐξ οὗ καὶ ἡ κόνις καὶ παρὰ τὸ αὐτὸ κνῶ παράγεται τὸ κναίω τὸ διαφθείρω, οὗ χρῆσις καὶ παρὰ τῷ κωμικῷ Ἱππεῦσιν (771)

ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ.

καὶ ὥσπερ στῶ στίζω, πρῶ πρίζω, οὕτω κνῶ κνίζω τὸ ἐξεπιπολῆς καὶ ἰσχνῶς καταξύω, οὗ ὁ μέλλων κνίσω, ἀφ᾽ οὗπερ γίνεται ἡ κνῖσα δι᾽ ἑνός τε γραφομένη σ̄ καὶ ἔκτασιν λαβοῦσα τοῦ ῑ. δηλοῖ δὲ ἡ κνῖσα τὴν κατ᾽ ὀλίγον ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀσφρήσει προσίζουσαν. προσηγόρευται δὲ καὶ ἐπίπλους εὖ μάλα καὶ αὐτὸς εὐανάδοτος ὢν πρὸς ὄσφρησιν, οὐκ αὐτοτελὴς δὲ περιτεθειμένος τοῖς μηρίοις. Γίνε-

---

matorem Gudiani extremum Herodiani verbum, Etymologici Magni primum recipere satis habuisse; sequentia l. 1 οἱ δὲ παρὰ — l. 3 ἀπίθανον Gudiano debentur; item ἄμεινον οὖν Φιλοξένῳ συγκατατίθεσθαι habet E. Gud. pro Eustathii verbis: ἐπικρίνει δὲ ἄμεινον εἶναι Φιλοξένῳ πείθεσθαι εἰπόντι, quod postremum verbum hinc adieci, sequentia — l. 22 sunt ex Eustath., l. 7 Sophronis locus receptus est ex altero Eustathii loco p. 1766, emendatus ab Ahrensio de dial. Dor. 465, 9. — l. 13 ἀρέσκεται sc. ὁ Φιλόξενος, quod si ad Herodianum ipsum referre malis, scribi potest ἀρέσκει μοι. — l. 23 Eustath. 1745 παράγει δὲ τὸ τοιοῦτον κνύω ἐκ τοῦ κνῶ, ἀφ᾽ οὗ καὶ ἡ κόνις, ὡς ἀλλαχοῦ φαίνεται (1576, 22) καὶ τὸ κναίω, locus Aristophanis accessit ex E. Gud., l. 27 ὥσπερ στῶ στίζω, πρῶ πρίζω ex eodem et altero Eustath. loco, ubi tamen τρῶ τρίζω — l. 28 accuratiora de κνῖσα accesserunt ex Eustath. 1766 et 1819, 39; verba δι᾽ ἑνὸς — τοῦ ῑ l. 29 sunt ex E. Gud. et Favorin., indidem δηλοῖ — l. 32 τοῖς μηρίοις,

ται δὲ ἀπὸ τοῦ κνίζω οὐ μόνον ἡ κνῖcα, ἀλλὰ καὶ ἡ κνίζα ὡς cχίζω cχίζα. Ἀνακρέων (fr. 87 Bergk),

κνίζη τις ἤδη καὶ πέπειρα γίνομαι
cὴν διὰ μαργοcύνην.

τὸ δὲ κνύζα, εἰ μὲν ἐπὶ φυτοῦ, κατὰ cυγκοπήν ἐcτιν οἷον «χαμαιζήλοιο κονύζηc», εἰ δὲ ἐπὶ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐκ ἔcτι cυγκοπή, ἀλλὰ ἀπὸ τοῦ κνύω, ἐξ οὗ καὶ κνύοc ἡ φθορά. ὁμοίωc δὲ καὶ ἐκ τοῦ κνῶ καὶ κνάπτω γίνεται. ὡc γὰρ ῥῶ ῥάπτω τὸ τὰ διαλελυμένα εἰc ῥῶcιν ἄγω καὶ βῶ βάπτω τὸ ἐμβιβάζω ποι τὸ ἐνιέμενον καὶ θῶ θάπτω τὸ ἀποτίθημι τὴν ταφήν, οὕτω καὶ κνῶ κνάπτω, ἀφ' οὗ κνάφοc φυτὸν ἀκανθῶδεc, ᾧ τὰ ἄθικτα ἱμάτια ἐπιcύροντεc κατεργάζονται. τὸ δὲ αὐτὸ καὶ γνάπτω, ὅθεν ὁ κναφεὺc καὶ γναφεύc ὁ αὐτόc.

Τὰ διὰ δύο c̅c̅ βαρύνεται· εἰ δέ τι περιεcπάcθη, τοῦτο παρ' ὄνομα ἐγένετο. πάccω, πλάccω, μάccω, νάccω, ἱμάccω, ἀράccω, πατάccω, χαράccω, ἀλλάccω, θαάccω, ἀνάccω, τινάccω, ἐρέccω, πυρέccω, ἀηθέccω, πτήccω, ῥήccω, πλήccω, πτίccω, φρίccω, λίccω «ὣc φάτο λιccόμενοc μέγα νήπιοc» (Π 46), δεδίccω καὶ δειδίccω, αἰνίccω, δρομίccω, ἐνίccω τὸ ἐκφοβῶ «ἐκπάγλωc ἐπέεccιν ἐνιccέμεν» (Ο 198), ἑλίccω, ὄccω μετειλημμένον ἀπὸ τοῦ ὄπτω, πτύccω, μύccω, νύccω, ἀφύccω, ὀρύccω, κηρύccω, κορύccω, πτώccω, κνώccω, ὀνειρώccω, ἀμβλυώccω, τυφλώccω, ἀγρώccω, «ἰχθῦc ἀγρώccων πυκινὰ πτερὰ δεύεται ἅλμῃ» (ε 53),

porro γίνεται — ἡ κνίζα et l. 5 τὸ δὲ κνύζα usque ad φθορά l. 7; inde usque ad finem ex Eustathio. l. 13 canonem Arcadii sic immutavi, ut verba secundum praecedentem vocalem ordinarem secutus Ep. Cr. I 26, 6 ἀγρώccω: παραγωγὸc ὁ χαρακτήρ· ἀγρόc ἀγρώccω· τὰ διὰ τοῦ c̅c̅ ἐκφερόμενα ῥήματα ταῦτα ἐξ φωνηέντων (scripsi pro τὰ ἐξ φωνήεντοc) λαμβάνει τὸ ᾱ ὡc τὸ ἄλλοc ἀλλάccω, τὸ ε̅ ὡc τὸ πῦρ πυρέccω, τὸ η̅ ὡc τὸ πτήccω, τὸ ῑ ὡc τὸ δειδίω δειδίccω, τὸ ῡ ὡc τὸ ἀφύccω τὸ ἀπαντλῶ, τὸ ω̅ ὡc τὸ ἰκτερώccω (sic pro ἰκταρώccω emendat Lob. Rhem. 248), ὀνειρώccω, ἀγρώccω, τὸ δὲ ο̅ οὐκ ἔχει· τὸ γὰρ ὄccω ὄπτω ἐcτὶ μετειλημμένον, οὐκ ἐν παραγωγῇ δέ ἐcτιν. An. Ox. II 349, 8: ἀνάccω: τὰ εἰc δύο λήγοντα c̅c̅ ἓξ φωνήεντα παραλήγονται· ἢ γὰρ τὸ ᾱ παραλήγονται οἷον ἄναξ ἀνάccω καὶ ἄλλοc ἀλλάccω, ἢ τὸ ε̅ οἷον πῦρ πυρόc πυρέccω, ἢ τὸ η̅ οἷον πτήccω, ῥήccω ἢ τὸ ῑ οἷον δειδίccω καὶ δεδίccω καὶ δειδιττόμενοc ὁ ἐκφοβῶν καὶ τὸ λίccω τὸ παρακαλῶ «ὣc φάτο λιccόμενοc κτλ.» ἢ τὸ ῡ οἷον ἀφύccω τὸ ἀπαντλῶ καὶ ὀρύccω ἢ τὸ ω̅ οἷον ἀγρώccω τὸ ἀγρεύω. Ὅμηροc «ἰχθῦc ἀγρώccων κτλ.» καὶ κνώccω τὸ κοιμῶμαι. — Ad Arcadii verba in α̅c̅c̅ω̅ accesserunt νάccω ἱμάccω ex Lasc. 170, 27, ἀράccω — θαάccω ex Dichr. 292, 11 τὰ διὰ δύο c̅c̅ παραγωγὰ ῥήματα ὑπὲρ δύο cυλλαβὰc βαρύτονα ὅτε ἔχει δίχρονον πρὸ τέλουc cυcτελλόμενον αὐτὸ ἔχει, ἀράccω, πατάccω, χαράccω, ἀλλάccω, ἀφύccω. δῆλον οὖν ὅτι καὶ τὸ θαάccω ὀφείλει τὸ ᾱ cυcτελλόμενον ἔχειν. τὸ δὲ ἐλαccῶ περιcπᾶται παρὰ τὸ ἔλαccον γενόμενον. διὸ βαρύτονα πρόcκειται. — ἀνάccω ex An. Ox. II, τινάccω praeter Arcad. et Lasc. habet etiam Choer. Dict. 641 in simili canone: τὰ μὲν ἔχοντα δύο c̅c̅ χαίρουcι τῇ βαρείᾳ τάcει, νύccω, πλήccω, τινάccω, χωρὶc εἰ μὴ ἔχωcι ὀνόματα προϋποκείμενα· ἐκεῖνα γὰρ περιcπῶνται, λύccα λυccῶ. τὸ γὰρ νύccω οὐκ ἀπὸ τοῦ νύccα ἐcτίν, ἐπεὶ εἶχε περιcπᾶcθαι, ἀλλὰ τοὐναντίον, νύccα γὰρ λέγεται ὁ καμπτὸc παρὰ τὸ νύccεcθαι τοὺc ἵππουc. ἐρέccω ex Lasc. 170, 28, praebet etiam Theogn. 143, unde etiam πυρέccω et ἀηθέccω, κυνηγέccω quod praeterea habet omittens, quia Lob. pro ficticio habet Rhem. 272, πτήccω — πλήccω Theogn., λίccω An. Ox. II, δεδίccω — ἐνίccω Theogn., δρομίccω Lob. in suspicionem vocat, ὄccω Ep. Cr. I, πτύccω — καρδιώccω Theogn. testimonio ad ἀγρώccω addito ex An. Ox. II.

ὑπνώσσω, λιμώσσω, νεώσσω, καρδιώσσω, ἰκτερώσσω, λεύσσω, γλαύσσω τὸ φωτίζω. τὰ δὲ ἀπ' ὀνομάτων περισπᾶται, θάλασσα θαλασσῶ, ἐλάσσων ἐλασσῶ, ἧσσων ἡσσῶ, κρείσσων κρεισσῶ, κισσός κισσῶ, λύσσα λυσσῶ.

Τὰ εἰς σω ἐπὶ ἐνεστῶτος, ὁπότε μὴ ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα μετήχθη ποιητικῶς, περισπᾶται, ἰσῶ, νοσῶ, μασῶ, πεσῶ, ἐξ οὗ γίνεται ὁ μέλλων πεσήσω, ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα πέσημα καὶ ὁ ἀόριστος δεύτερος ἔπεσον ὥσπερ καὶ ἐκ τοῦ χραισμῶ ἔχραισμον καὶ ἀπὸ τοῦ ὀλισθῶ ὤλισθον. τὸ δὲ οἴσω, οὗ τὸ προστακτικὸν «οἶσε θέειον γρηῦ» (χ 481), «οἴσετε πῦρ» (Il. Ο 718) καὶ δύσω, οὗ ὁ παρατατικὸς «ἐδύσετο» (β 388) καὶ βήσω κατὰ ποιητικὴν ἄδειαν μετηνέχθη ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα.

Τὰ εἰς λλω βαρύνεται, εἰ μὴ ἀπὸ ὀνόματος εἴη, ψάλλω, βάλλω, θάλλω, σκάλλω, σφάλλω, στέλλω, τίλλω, ποικίλλω. τὸ δὲ κυλλῶ περισπᾶται, ὅτι κυλλός, καὶ τὸ μεταλλῶ, ὅτι μέταλλος, καὶ ἁμιλλῶ, ἐξ οὗ ἁμιλλῶμαι, ὅτι ἅμιλλα.

Τὰ εἰς λω παραληγόμενα τῇ ου διφθόγγῳ σπάνιά εἰσι, βούλω, ὅθεν τὸ βούλομαι, βαρύνεται. τὸ δὲ οὐλῶ περισπᾶται, ὅτι οὐλή, καὶ τὸ δουλῶ, ὅτι δοῦλος.

Τὰ εἰς λω δισύλλαβα, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς ε καταλήγουσαν, βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου μὴ μέσου, χωρὶς εἰ μὴ παρ' ὄνομα εἴη, κέλω, πέλω, μέλω· τὸ δὲ μελήσω ὡς ἀπὸ περισπωμένου. θέλω. τὸ μέντοι ἑλῶ περισπᾶται, ὅτι ἀπὸ φωνήεντος ἠρ-

---

l. 1 ἰκτερώσσω ex Ep. Cr. I, λεύσσω et γλαύσσω ex Mon. 40, 26: ὁ κανών· οὐδέποτε πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγος πλὴν τοῦ κρείσσων καὶ λεύσσω καὶ γλαύσσω τὸ φωτίζω, quamquam hic canon in eum Monad. locum intrusum videtur. — l. 3 ἐλασσῶ inserui ex Dichr. l. c. l. 5 ἐπὶ pro ἀπὸ emendavit Schmidt, μασῶ pro μασσῶ Thesaur. V c. 598 B. — πεσῶ recepi ex Choer. Dict. 631. σχηματίζει ὁ Ἡρωδιανὸς τοῦτον τὸν τρόπον τὸ ἔπεσον· φησὶν ὅτι — ἀπὸ τοῦ πεσῶ περισπωμένου γίνεται πεσήσω καὶ πέσημα — καὶ λοιπὸν ὡς ἀπὸ τοῦ πεσῶ περισπωμένου γέγονεν ἔπεσον κτλ. οἴσω — βήσω ex Choer. 752 ὁ Ἡρωδιανὸς οὐ δοξάζει τὸ «οἶσε θέειον γρηῦ» προστακτικὸν ἀορίστου καὶ μέλλοντος, ἀλλὰ προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ, τοῦ μέλλοντος εἰς ἐνεστῶτα μετενεχθέντος. λέγει γὰρ ὅτι τὸ οἴσω μέλλων μετάγεται κατὰ ποιητικὴν ἐξουσίαν εἰς ἐνεστῶτα καὶ λοιπὸν κλίνεται εἰς παρατακτικὸν οἷον οἶσον οἶσες οἶσε καὶ λοιπὸν ἐκεῖθεν τὸ προστακτικὸν οἶσε σύ ὥσπερ ἔτυπτον ἔτυπτες ἔτυπτε τύπτε σύ, ὅθεν καὶ τὸ πληθυντικόν, οἴσετε πῦρ et p. 753, E. M. 472, 13, ubi de βήσω cum imperativo βῆσε, de quo cf. etiam Ep. Cr. I 262. Schol. ad Od. β 388: δύσετο: εἴωθεν ὁ ποιητὴς τοὺς μέλλοντας πολλάκις εἰς ἐνεστῶτας μετάγειν· ἔστιν οὖν τὸ ἐδύσετο παρατακτικὸν ἀπὸ ἐνεστῶτος δύσω. Huc retulit, ut videtur, Herodianus λεύσετε: Ἀρίσταρχος ἐν σ γράφει· ἐγὼ δὲ ἐνεστῶτα αὐτὸ λέγω ὡς ἀπὸ μέλλοντος ὥσπερ καὶ τὸ «ἄξετε» καὶ «οἴσετε» καὶ «καταβήσεο δίφρου» An. Par. III 332, 16.
l. 14 ψάλλω ex Lasc., στέλλω et post ἁμιλλῶ addidi ex Choer. 641: τὰ μὲν ἔχοντα δύο λλ χαίρουσι τῇ βαρείᾳ τάσει, τίλλω, ποικίλλω, στέλλω, σφάλλω, χωρὶς εἰ μὴ ἔχωσιν ὀνόματα προϋποκείμενα· ἐκεῖνα γὰρ περισπῶνται κυλλός κυλλῶ, ἅμιλλα ἁμιλλῶ, ἐξ οὗ ἁμιλλῶ. In Ep. Cr. I 167, 5 proferuntur haec verba: πάλλω, θάλλω, σφάλλω, βάλλω. l. 17 cum βούλω componit Epimerista Cr. I 91, 25 (E. M. 208, 23) οὖλω, ἐξ οὗ τὸ «οὖλέ τε καὶ μέγα χαῖρε» (Od. ω 401). l. 22 τὸ δὲ μελήσω ὡς ἀπὸ περισπωμένου addidi propter μελῶ ap. Theogn. 143, 29.

ξατο. παρ' ἐνίοις δὲ βαρύνεται. τὸ δὲ ἕλω δασυνόμενον ὑποτακτικόν ἐστι τοῦ εἷλον. τὸ δὲ τελῶ ἔχει τὸ τέλος ὄνομα. τὸ μέντοι βέλω ἀπὸ μέσου ἀρχόμενον, ὅθεν βέλος βέλεμος καὶ πλεονασμῷ τοῦ ν̄ βέλεμνον, οὐκ ἔστιν ἐν χρήσει.

Τὰ εἰς λω ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν ἢ φωνήεντα λήγουσαν περισπᾶται, ὑπεσταλμένων τῶν ἐχόντων τὴν ου δίφθογγον ἢ τὸ ε̄ ἐν δισυλλάβῳ, καλῶ, χαλῶ, ζηλῶ, δηλῶ, αὐλῶ, πολῶ τὸ ἀναστρέφομαι, πωλῶ, ἀπειλῶ, βουκολῶ, ἀμελῶ, ὠφελῶ. σεσημείωται τὸ ἐθέλω καὶ ὀφείλω.

* Τὰ διὰ τοῦ λω ὑπὲρ δύο συλλαβὰς τῷ ε̄ παραληγόμενα, μὴ ἔχοντα ἕτερον λ̄ προηγούμενον περισπᾶται οἷον ὠφελῶ, ἀμελῶ. τὸ δὲ ἐθέλω βαρύνεται. παράλογον οὖν τὸ ἐθέλω κατὰ τόνον τρισύλλαβον ὄν. τὸ δὲ θέλω δισύλλαβον κατὰ τοῦτο ἀναλογώτερόν ἐστι. ἔχομεν γάρ τινα δισύλλαβα βαρυνόμενα, μέλω, ἕλω, κέλω. μηδεὶς δὲ οἰέσθω, ὅτι τὸ ἐθέλω ἐκ τοῦ θέλω ἐστὶ κατὰ πλεονασμὸν τοῦ ε̄. τὸ γὰρ ε̄ ἐπὶ φωνήεντι πέφυκε πλεονάζεσθαι ὡς τὸ εἶπας ἔειπας, ἐπὶ συμφώνου δὲ οὐ πλεονάζεται. τὸ δὲ θέλω δοκεῖ ἐκ τοῦ ἐθέλω εἶναι· τὸ γὰρ ε̄ τὸ μετὰ συμφώνου ὑπάρχον πέφυκε πολλάκις ἀποβάλλεσθαι, ὡς τὸ ἔφη φῆ, ἔβη βῆ. καὶ δεῖ γινώσκειν, ὅτι ἀεὶ τὸ τρισύλλαβον εὑρίσκεται παρὰ τῷ ποιητῇ ἐθέλω. ἀμέλει ἐν τῷ

μήτε σὺ Πηλείδη θέλ' ἐριζέμεναι (Α 277)

δηλονότι κράσει ἐγένετο τοῦ η̄ καὶ ε̄ εἰς η̄. — πρόσκειται «μὴ ἔχοντα ἕτερον λ̄ προηγούμενον» διὰ τὸ ἀνατέλλω.

Τὰ εἰς λω μετ' ἐπιπλοκῆς συμφώνου περισπᾶται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο πάθος ἔχει ἐξ ἐντελεστέρου τοῦ εἰς λω καθαρεύοντος, ἁπλῶ, διπλῶ, τριπλῶ, πιμπλῶ, κυκλῶ, ἀντλῶ. ταῦτα καὶ τὰ ὅμοια περισπῶνται. τὸ μέντοι ὄφλω βαρύνεται ἐκ τοῦ ὀφείλω, ὥσπερ καὶ τὸ κέλω κέκλω καὶ μέλω μέμβλω.

---

l. 1 παρ' ἐνίοις δὲ βαρύνεται apposui ex Mon. 22, 29 τὸ ἐλαύνω παρὰ τὸ ἔλω βαρύτονον παρ' ἐνίοις, ὃ καὶ παρ' ἄλλοις περισπᾶται cf. Lehrsii adnotationem et Lob. Rhem. 125. — τὸ δὲ ἕλω δασυνόμενον — εἷλον inserui propter Theogn. l. c. ελω τό τε ψιλούμενον καὶ δασυνόμενον collato Arcad. 149, 18 τὸ γὰρ λάβω ὑποτακτικόν ἐστι τοῦ ἔλαβον. τὸ μέντοι βέλω in fine adieci propter Arcadii verba μὴ μέσου; verbum βέλω autem supposuit Herod. in libro περὶ παθῶν ad propagandum βέλος βέλεμος ὡς ἔχω Ἔχεμος in E. M. 194, 32, Lobeckius Rhemat. 110 Herodianum de ficticio δέλω τὸ δελεάζω in E. M. 254, 52 cogitare sumit; sed βέλω praetuli ut ab ipso Herodiano profectum. l. 9 ἐθέλω pro θέλω scribendum esse canon indicat. l. 10 hunc canonem recepi ex E. M. 318, 32, quem Herodianeum esse demonstrat congruentia cum Il. Pros. Α 277, ubi τὸ ῥῆμα (ἐθέλω) τῶν παραλόγων κατὰ τόνον ἐστὶ τρισύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων, hinc l. 12 pro E. M. verbis: τούτου χάριν τὸ θέλω ἀναλογώτερον τοῦ ἐθέλω. ἔχομεν γὰρ scripsi, quae posui. In verbis E. M. alioquin nihil mutavi praeterquam quod singula enunciata ita ponerem, ut sententiae maxime apte videbatur. l. 28 scripsi pro μέλπω μέμβλω, quo de dixi ad Lascar. p. 172, 31. κέκλω Herod. περὶ παθῶν, E. M. 500, 31 sic expedit: εἰ παρὰ τὸ κέλω λαμβάνεται (κέκλετο) πλεονασμός ἐστι τοῦ κ̄, de μέμβλω Eustath. 1722, 63 μέλω μέμλω καὶ πλεονασμῷ ἤγουν παρενθέσει β̄ μέμβλω. cf. Lob. Rhem. 111.

Τὰ εἰς μω̄ ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα παραληγόμενα τῷ ε̄ βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, τρέμω, νέμω καὶ νεμῶ, ὅθεν νενέμηκα, δέμω, τέμω, γέμω, τρέμω, χρέμω τὸ ἠχῶ, βρέμω τὸ κτυπῶ. σεσημείωται τὸ κρεμῶ περισπώμενον, ὁμοίως καὶ τὸ θεμῶ καὶ πολεμῶ. τὸ δὲ ἀτρεμῶ καὶ ἐμῶ ἀπὸ φωνήεντος ἄρχονται.

Τὰ εἰς μω̄ μὴ παραληγόμενα τῷ ε̄ περισπᾶται, κομῶ, δαμῶ, γαμῶ, θυμῶ καὶ θυμοῦμαι, μιμῶ καὶ μιμοῦμαι, χραισμῶ, κοσμῶ, κοιμῶ καὶ κοιμῶμαι, οἰμῶ τὸ ὁρμῶ, μαιμῶ τὸ ὁρμῶ.

Τὰ εἰς νω̄ δισύλλαβα μὴ κατ' ἐπιπλοκὴν συμφώνου ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον καταλήγουσαν περισπᾶται, κιρνῶ, πιλνῶ, πορνῶ, ἀρνῶ ἀρνοῦμαι.

Τὰ εἰς νω̄ δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεσταλμένον καταλήγουσαν ἀρχόμενα ἢ ἀπὸ συμφώνου ἢ συμφώνων μὴ ἀντιστοίχων περισπᾶται, χωρὶς εἰ μὴ κατ' ἐπένθεσιν εἴη τοῦ ν̄ γινόμενα, κυνῶ καὶ ἐν συνθέσει προσκυνῶ, πλανῶ, σινῶ τὸ βλάπτω. τὸ δὲ τιῶ τίνω κατ' ἐπένθεσιν τοῦ ν̄, οὗ τὸ δίχρονον ποτὲ μὲν συστέλλει, ποτὲ δὲ ἐκτείνει. τὸ δὲ φθίνω καὶ φθάνω ἀπὸ ἀντιστοίχων ἤτοι ἰσοστοίχων. τὸ δὲ ἄνω ἀντὶ τοῦ ἀνύω ἀπὸ φωνήεντος ἄρχεται.

Τὰ εἰς νω̄ παραληγόμενα τῷ ε̄, περισπᾶται, εἰ προκατάρχοι ὄνομα, ἐξ οὗ γέγονε, φρενός φρενῶ, ἐνός ἐνῶ, ξένος ξενῶ, ἀσθενής ἀσθενῶ, σθένος σθενῶ, στένος στενῶ. τὸ γὰρ στένω οὐκ ἔχει ὄνομα οὔτε μένω, μεθ' ὧν καὶ φένω τὸ φονεύω καὶ πένω, ἀφ' οὗ πένομαι, καὶ σθένω καὶ θένω τὸ τύπτω.

Τὰ εἰς νω̄ παραληγόμενα τῷ ο̄ περισπᾶται, φθονῶ, δονῶ, πονῶ, κλονῶ, ὀνῶ τὸ ὠφελῶ, φρονῶ, κονῶ.

Τὰ εἰς νω̄ παραληγόμενα φύσει μακρῷ φωνήεντι, ὁπότε μὴ εἴη κατ' Αἰολίδα διάλεκτον, περισπᾶται, σκηνῶ, θρηνῶ, σφηνῶ, φωνῶ, ὠνῶ καὶ ὠνοῦμαι, κοινῶ, κοινωνῶ. καὶ τὸ γεγωνῶ ἔοικε μᾶλλον περισπώμενον εἶναι παρὰ τῷ ποιητῇ· ὡς γὰρ ἐνόεον καὶ ἐφίλεον, οὕτως καὶ ἐγεγώνεον ἔφη· «ἡμὲν ὅς' ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνεον» (Od. ρ 161). ἀπαρέμφατον δὲ προηνέγκατο τὸ γεγωνέμεν· «ἤ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν» (Il. Θ 223). οἱ δὲ μετ' αὐτὸν καὶ ὡς βαρύτονον αὐτὸ ἔκλιναν καὶ ὡς περισπώμενον. τὸ πώνω βαρύνεται ὡς ἴδιον Αἰολέων.

---

l. 3 pro τρέμω τὸ ἠχῶ emendavit Lob. Rhem. 118 τρέμω χρέμω τὸ ἠχῶ. θεμῶ et πολεμῶ adieci ex Theogn. 143, 22, extrema verba secundum Lascar. 673, 3 exhibui, Arcadius habet: ὁμοίως καὶ ἀτρεμῶ. τὸ δὲ ἐμῶ κτλ. l. 8 οἰμῶ scripsi pro οἰμῶ collato Arcad. 199, 23 et Herod. in E. M. 618, 17. μαιμῶ apposui ex canone orthogr. in An. Ox. II 322, 16. l. 13 ἀρχόμενα, quod inseri voluit Schmidt, praebet Lascar. 173, 11. l. 15 γινόμενα pro γινόμενον Schmidt. — de verbi φθίνω quantitate cf. Lob. Rhem. 112, de φθάνω Il. Pr. I 506 ἐκτατέον φθάνω διὰ τὸ μέτρον; l. 18 post ἀντὶ praebet τοῦ Lascar. l. 22 pro Lascar. ἔσθω posui ex Theogn. 144, 24 φένω τὸ φονεύω, πένω praebet Lascar., σθένω et θένω ex Theogn. accesserunt. l. 25 pro δουλῶ, cui Schmidtius δολῶ substituit a canone de verbis in νω̄ exeuntibus alienum, posui κονῶ. l. 28 κοινῶ accessit ex Lascar. 173, 22. — γεγωνῶ apposui ex Il. Pr. M 337.

Τὰ εἰς νω διcύλλαβα παραληγόμενα τῇ ει διφθόγγῳ βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, τείνω, γείνω, κτείνω. τὸ δεινῶ, ὅτι δεινός, καὶ τὸ πεινῶ, ὅτι πεῖνα.

Τὰ εἰς νω διcύλλαβα παραληγόμενα ι ἐκτεταμένῳ βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα, κρίνω, πίνω, κλίνω, cίνω, γίνω. δινῶ δινεῖς, ὅτι δίνη καὶ ῥινῶ ῥινοῖς, ὅτι ῥίνη. τούτοις ὅμοιον καὶ τὸ κινῶ.

Τὰ εἰς νω παραληγόμενα υ μακρῷ βαρύνεται, εἰ μὴ προκατάρχοι ὄνομα, δύνω, θύνω, πλύνω, φύνω, μηκύνω, πλατύνω, ταχύνω, τραχύνω, ὀτρύνω, μολύνω, κρατύνω, φαιδρύνω, ἀμύνω, εὐθύνω, βραδύνω, «ἀμορφύνειν ἐθέλωcιν» ὁ Ἀντίμαχος ἀντὶ τοῦ ἀμορφεῖν, ἀκαχύνω ὁ αὐτός, ἔνθεν ἀπαρέμφατον ἀκαχυνέμεν. cεcημείωται τὸ βυνῶ περιcπώμενον καὶ παρ' Ἡσιόδῳ τὸ «ἐθύνεον» (Scut. 210) ὡς ἐνόεον ἢ πλεοναcμῷ τοῦ ε ἢ μεταβολῇ τῆς δι εἰς θυ. τὸ δὲ ξυνῶ ἔχει τὸ ξυνός. καὶ τὸ ὀδυνῶ ἔχει τὸ ὀδύνη καὶ τὸ υ βραχύ. καὶ τὸ τορυνῶ ἔχει τὸ τορύνη., τοῦτο δὲ οἱ Ἀττικοὶ καὶ βαρύνουcι καὶ ἐκτείνουcι «ἐτόρυνε» γάρ (Arist. Eqq. 1172).

Τὰ διὰ τοῦ αινω βαρύνεται· ἃ δὲ περιcπῶνται, ὀλίγα εἰcὶ καὶ παρ' ὄνομα γεγόναcι, φαίνω φαίνομαι, μαίνω μαίνομαι, χαίνω, ῥαίνω, βαίνω, δραίνω, καίνω, κραίνω, cαίνω, χραίνω, αἴνω τὸ δαcυνόμενον τὸ παρὰ τοῖς Ἀττικοῖς. Φερεκράτης «αἴνειν, πτίccειν». μιαίνω, μελαίνω, ὑφαίνω. τὸ μέντοι αἰνῶ περιcπώμενον ἔχει τὸ αἶνος ὥcπερ καὶ τὸ κελαινῶ τὸ κελαινός καὶ τὸ τριαινῶ τὸ τρίαινα.

Τὰ εἰς νω παραληγόμενα διφθόγγῳ, μὴ τῇ αι ἢ ει, περιcπᾶται, ἐρευνῶ, θοινῶ, χαυνῶ, κοινῶ, οἰνῶ χωρὶς τοῦ ἐλαύνω.

Τὰ εἰς νω ὑπερδιcύλλαβα παραληγόμενα τῇ ει διφθόγγῳ ἢ μακρῷ

---

l. 5 γίνω ex Theogn. 144, 6 recepi, δινῶ δινεῖς ὅτι δίνη ex Lasc. 173, 27 et ex eodem καὶ ῥινῶ — ῥίνη pro Arcadii verbis τὸ δὲ ῥινῶ παρὰ τὴν ῥίνην, κινῶ pro Arcadii κοινῶ ex Lascar. l. 9 ὀτρύνω μολύνω ex Arcad. 194, 4 accesserunt, κρατύνω φαιδρύνω ex Theogn. 145, 2, ἀμύνω — βραδύνω ex Ep. Cr. I 55, 26: τὰ εἰς νω τῷ υ παραληγόμενα ῥήματα βαρύνεcθαι θέλει καὶ ἐκτείνειν τὸ υ, ἀμύνω εὐθύνω, πλατύνω, βραδύνω, ἀμορφύνω, ἀκαχύνω — ἐπὶ δὲ διcυλλάβων θύνω δύνω, πλύνω. cεcημείωται παρ' Ἡσιόδῳ ἐθύνεον — εἰ δέ τι περιcπᾶται, προκατάρχον ἔχει ὄνομα, οὗ τὸ τέλος εἰς ω τραπὲν ῥῆμα ποιεῖ, ὀδύνη ὀδυνῶ, τορύνη τορυνῶ. καὶ ἐπεὶ περιcπᾶται, cυcτέλλει τὸ υ. τοῦτο δὲ οἱ Ἀττικοί — γάρ, quem locum ex Herodiano petitum esse et comparatio nostri loci et doctrina testimoniis scriptorum ornata demonstrat. Hinc petivi et ἀμορφύνω et ἀκαχύνω et notam de ἐθύνεον, in qua pro μεταβολῇ τοῦ praeeunte Lobeckio Rhem. 145 scripsi τῆς δι εἰς θυ et τορυνῶ. — De propagatione exitus υνω ex υω cf. Herod. ap. Eustath. 562, 43. — cf. Ep. Cr. I 25, 12, E. M. 88, 18.
l. 18 χαίνω praebet Lascar. 174, 7. βαίνω — αἴνειν πτίccειν recepi ex Mon. 24, 16 αἰνῶ. τὰ διὰ τοῦ αινω διcύλλαβα βαρύτονά ἐcτι, βαίνω, δραίνω, ῥαίνω, κραίνω, cαίνω, χραίνω, αἴνω τὸ δαcυνόμενον καὶ βαρυνόμενον κτλ. — cεcημείωται τὸ αἰνῶ περιcπώμενον. οὐκ ἀγνοῶ δέ, ὅτι καὶ ὄνομα αὐτοῦ προκατῆρξε· διὸ περιεcπάcθη. l. 24 de ἐλαύνω cf. Mon. 22, 28: οὐδὲν εἰς νω λῆγον ῥῆμα ὁριcτικὸν βαρύτονον τῇ αυ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐλαύνω παρὰ τὸ ἐλῶ βαρύτονον παρ' ἐνίοις κτλ. Eustath. 562, 43: τὸ δαμνᾶν ἔχει πλεοναcμὸν τοῦ ν Δώριον, ὁποῖος καθ' Ἡρωδιανὸν καὶ ἐν τῷ ἐλαύω ἐλαύνω, δύω δύνω καὶ τοῖς ὁμοίοις.

τῷ ῑ βαρύνεται καταείνω τὸ καλύπτω, ὠδίνω, ὀρίνω, ἀλεείνω, φαείνω, ἐλεείνω. τὸ χαλινῶ περισπᾶται, ὅτι ἔχει τὸ χαλινός, ὥσπερ καὶ τὸ ταπεινῶ τὸ ταπεινός.

Τὰ εἰς νω μετ' ἐπιπλοκῆς συμφώνου περισπᾶται, ὑπνῶ, πυκνῶ, ἱκνῶ καὶ ἱκνοῦμαι, τεχνῶ καὶ τεχνῶμαι, σκιδνῶ, ἰδνῶ. σεσημείωται τὸ δάκνω βαρύτονον, ὅπερ ἀπὸ τοῦ δαγκάνω γέγονε κατὰ συγκοπήν. τὰ δὲ ἔχοντα πρὸ τοῦ ν τὸ μ βαρύνεται, χωρὶς εἰ μὴ ἀπὸ δύο συμφώνων ἄρχοιτο, ἢ ὄνομα προκατάρχοι, μίμνω, κάμνω, τέμνω. τὸ δὲ κρημνῶ περισπᾶται, ὅτι ἀπὸ δύο συμφώνων ἦρξατο.

Τὰ διὰ τοῦ ανω ὑπερδισύλλαβα βαρύνεται, ὁπότε παρῆκται ἀπὸ ῥήματος· αὐτὴ δὲ ἡ διὰ τοῦ ανω παραγωγὴ οὐκ ἔχει κατ' ἀρχὴν τὸ ῑ ἐκτεταμένον διὰ τὸ ἴσχω ἰχανῶ ἢ τὴν ει δίφθογγον διὰ τὸ δείκω τὸ δεικνύω καὶ δεικανῶ. βαρύνεται δὲ ταῦτα, λείπω λιμπάνω, λήβω λαμβάνω, μήθω μανθάνω, λήθω λανθάνω, δήκω δαγκάνω, φεύγω φυγγάνω, οἰδῶ οἰδάνω «οἰδάνει ἐν στήθεσσι νόον» (Il. I 554), ᾧ ὅμοιον καὶ τὸ κυδάνω (Ξ 73) καὶ τὸ μελάνω (Η 64). ἱκάνω, κιχάνω, ἃ ἄλογον ἔχοντα τὸν πρῶτον χρόνον τοῦ ἀορίστου ἐκτείνει τὸν δεύτερον. περισπῶνται δὲ τὰ διπλασιασμὸν πάσχοντα γαγγανῶ τὸ ταράσσω καὶ παμφανῶ ἢ ὁπότε ἀπὸ ὀνόματος ἐγένετο, κυρκάνη κυρκανῶ τὸ θορυβῶ, δαπάνη δαπανῶ, μηχανή μηχανῶ, στέφανος στεφανῶ, λίβανος λιβανῶ, μέλανος μελανῶ.

Τὰ εἰς ρω παραληγόμενα φωνήεντα ᾱ ἢ η̄ ἢ ω̄ περισπᾶται, κηρῶ, πληρῶ, γηρῶ, τηρῶ, ὠρῶ τὸ φυλάττω, τιμωρῶ. σεσημείωται τὸ ἄρω βαρύτονον τὸ ἁρμόζω ἢ τὸ λαμβάνω καὶ ἀποφέρομαι.

Τὰ εἰς ρω παραληγόμενα τῷ ε̄ καὶ βαρύνεται καὶ περισπᾶται. καὶ περισπᾶται μέν, ὁπότε ἔχει πλησιάζον ψιλὸν τῷ ε̄, κερῶ τὸ κιρνῶ, περῶ, πτερῶ, στερῶ. μὴ οὕτως δὲ ἔχοντα βαρύνεται, δέρω, φέρω. τὸ ἐρῶ περισπᾶται ἀπὸ φωνήεντος ἀρχόμενον.

---

l. 1 pro εἴνω scripsi καταείνω propter interpretationem a Lascar. 174, 14 τὸ καλύπτω, quae ap. Arcad. excidit, servatam memor Il. Ψ 135 θριξὶ νέκυν καταείνυον et Eustath. 1925, 27 ἕω ἕνω εἴνω τὸ καλύπτω, οὗ παραγωγὸν τὸ εἰνύω. Iacobi Lobeckii Rhem. 125 emendationem ἀλεείνω tuetur Hesychii glossa: ἀλεάζειν, κρύπτειν. ἢ προβάλλειν. ἢ εἴργειν. θερμαίνειν, ἀφανίζειν, sed quod de significatu verbi ἀλεάζειν hic docetur, non de ἀλεείνω traditum est. ἀλεείνω — ἐλεείνω recepi ex Theogn. 144, 33. l. 11 pro κατάρχον scripsi cum Schmidtio in programm. Sedinens. p. 21 κατ' ἀρχὴν et eodem monente addidi l. 12 post ἴσχω ἰχανῶ, nam Herodianus productionem vocalis ι ellipsi literae σ̄ effici credidisse videtur, si Choer. Orthogr. p. 222 conferas: ἰχανάω (sic scribendum pro ἰχανόω) ἰχανάω ἣν καὶ ἐπὶ τῇ ἐνδείᾳ τοῦ σ̄ ἐκτέταται τὸ ῑ. verbum ἰχανᾶν profert etiam Steph., ut solet, ex Herod. s. Ἴχανα: ἰχανᾶν τὸ ἐπιθυμεῖν. λήθω λανθάνω ex Dichr. 286, 18. — ad οἰδάνω apposui verba Homerica ex Il. Pr. Ξ 73: κυδάνει: βαρυτονητέον ὁμοίως τῷ «οἰδάνει ἐν στήθεσσιν νόον», unde etiam adieci κυδάνω, et μελάνει ex Il. Pr. Η 64 μελάνει: ὡς οἰδάνει ὁ Ἀσκαλωνίτης. ἐκ γὰρ τοῦ μελαίνει, φησίν, ἐνδείᾳ τοῦ ῑ ἐγένετο. — ἱκάνω, κιχάνω accesserunt ex Dichr. l. c.: τὰ διὰ τοῦ ανω ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα ἔχει τὸ ᾰ συνεσταλμένον, λιμπάνω, μανθάνω, λανθάνω, λαμβάνω. τὸ μέντοι ἱκάνω καὶ κιχάνω ἄλογον ἔχοντα κτλ. παμφανῶ, quod Arc. in fine canonis habet: τούτοις ὅμοιον καὶ τὸ παμφανῶ Lasc. duce 174, 26 μεθ' ὧν καὶ τὸ παμφανῶ καὶ γαγγανῶ τὸ ταράσσω, cum γαγγανῶ composui.

Τὰ εἰς ρω μὴ ὄντος πρὸ τοῦ ρ̄ cυμφώνου, εἰ παραλήγοιτο τῷ ο̄ μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, περιcπᾶται, ἀγορῶ, ἀφορῶ, εὐπορῶ, ἀπορῶ, καρποφορῶ, ἱcτορῶ, ἐπικουρῶ, ἀμοιρῶ. τὸ δὲ ὄρω «ὅτε τ' ὤρετο» (Il. Μ 279) «ὦρτο πολὺ πρῶτος μὲν» (Il. Η 162) «ὄρθαι» (Θ 474) βαρύτονόν ἐcτιν.

Τὰ διὰ τοῦ αιρω βαρύνεται, χωρὶc εἰ μὴ παρ' ὄνομα εἴη, μαρμαίρω, καρκαίρω, cπαίρω καὶ ἀcπαίρω, χαίρω, γεραίρω, αἴρω τὸ κουφίζω, ἐξ οὗ τὸ ἐπαίρω· τὸ δὲ αἰρῶ καὶ τὰ ἀπ' αὐτοῦ ἀναιρῶ, διαιρῶ, καθαιρῶ, cυναιρῶ περιcπῶνται. τὸ δὲ cφαιρῶ ἔχει τὸ cφαῖρα καὶ ἑταιρῶ τὸ ἑταῖροc.

Τὰ διὰ τοῦ ειρω βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, μείρω τὸ μερίζω, τείρω, φθείρω, εἴρω, cπείρω, κείρω, πείρω «παννυχίη μέν ῥ' ἥ γε καὶ ἠῶ πεῖρε κέλευθον» (Od. β 434), δείρω, ἐγείρω, οἰκτείρω, ἐθείρω τὸ ἐξ ἔθουc τι διαπράττομαι, ἀείρω, ἀγείρω. τὸ δὲ πειρῶ, ὅτι πεῖρα, καὶ τὸ χειρῶ, ὅτι χείρ.

Τὰ διὰ τοῦ υρω ἐκτεταμένον τὸ ῡ ἔχοντα βαρύνεται, cύρω, πτύρω, φύρω καὶ φυρῶ περιcπώμενον, μορμύρω, πλημμύρω, ὀδύρω, ἐξ οὗ τὸ ὀδύρομαι, ὀλοφύρω, ἐξ οὗ τὸ ὀλοφύρομαι, πορφύρω. τὰ μέντοι ἔχοντα cυνεcταλμένον τὸ ῡ περιcπᾶται, μαρτυρῶ, ἀργυρῶ, πυρῶ, ξυρῶ, κυρῶ τὸ τυγχάνω, τοῦ δὲ κύρω τὸ ῠ ἐκτέταται.

Τὰ εἰς ρω παραληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ ῡ περιcπᾶται, ἀμαυρῶ, εὑρῶ, ἐπικουρῶ, οἰκουρῶ.

Τὰ εἰς ρω ἔχοντα ἐπιπλοκὴν cυμφώνου, ὁπότε μὴ cυγκοπὴν ἐμφαίνοι, περιcπᾶται, μετρῶ, γεωμετρῶ, ἱδρῶ, κοπρῶ, πιμπρῶ, ποδαγρῶ, λυτρῶ, ἐξ οὗ τὸ λυτροῦμαι. τὸ δὲ ἔγρω κατὰ cυγκοπὴν τοῦ ἐγείρω.

* Οὐδὲν ῥῆμα λῆγον εἰς ρ̄ διcύλλαβον κατὰ τὴν τῶν ποιητῶν

---

l. 4 ὄρω addidi ex Il. Pr. Θ 474: ὄρθαι: ἀπὸ βαρυτόνου τοῦ ὄρω κέκλιται· ὅτι δ' ἔcτι βαρύτονον τὸ ὄρω πρόδηλον ἐκ τοῦ κτλ., similiter Herodianus paullo supra ἄρω posuit. l. 7 χαίρω γεραίρω accesserunt ex Theogn. 145, 11. — τὸ δὲ αἰρῶ — cυναιρῶ περιcπῶνται ex Lascar. 175, 9. l. 12 πείρω addidi ex Il. Pr. Ω 8: πείρων: Πάμφιλοc περιcπᾷ λέγων τὴν πρόcθεcιν τοῦ ῑ μὴ ἐξαλλάccειν τὸν τόνον· εἰ δὲ περῶ οἶδεν ὁ ποιητὴc τὸ ῥῆμα καὶ περόωcι (Od. Ζ 272) καὶ «περάᾳ μέγα λαῖτμα» (Od. ε 174) δῆλον ὅτι καὶ πειρῶν. ὁ μέντοι Ἀρίcταρχοc βαρύνων ἀναγινώcκει ὡc κείρων. φηcὶ γοῦν οὕτω γινόμενοc ἐπὶ τοῦ «παννυχίη κτλ.» τὸ πεῖρε διδάcκει ἡμᾶc καὶ τὴν πείρων μετοχὴν βαρύνειν· ὡc γὰρ ἔκειρε κείρων, οὕτωc ἔπειρε πείρων. εἰ γὰρ περιεcπᾶτο, ἦν ἂν ὁ παρατατικὸc ἐπείρα». ἔcτιν οὖν διττὸν τὸ ῥῆμα καὶ τὸ μὲν cὺν τῷ ῑ (οὐ ins.) περιcπαcθήcεται. cf. Lehrs Arist. 303 ed. II, Lob. Rhem. 154. — δείρω et post ἀείρω ἀγείρω sunt ex Theogn. 144, 14. l. 18 πορφύρω addidi ex Theogn. 145, 20. De ξυρῶ cf. Choer. 657: ὁ Ἡρωδιανὸc δευτέραc cυζυγίαc φηcὶν εἶναι τὸ ξυρῶ οἷον ξυρῶ ξυρᾷc. — In fine secutus Schmidt. pro οὗ τὸ ῡ posui τοῦ δὲ κύρω τὸ ῡ. l. 23 εὑρῶ, quod traebet etiam Lasc. 175, 20 retinui, Lobeckius, cui Schmidt. adstipulatur, substituit νευρῶ. l. 26 cf. Zon. 611: ἀπὸ τοῦ ἐγείρω κατὰ cυγκοπὴν ἔγρω. Ἡρωδιανὸc περὶ παθῶν. Lob. Rhem. 134 quin hoc loco etiam ἄγρω prolatum sit, non dubitat. l. 28 hunc canonem recepi ex Mon. 43, 9.

χρῆϲιν καὶ τῶν πεζῶν ἔχει τὴν πρὸ τέλουϲ ϲυλλαβὴν εἰϲ ρ̄ καταλήγουϲαν, ἀλλὰ μόνον τὸ ἔρρω «ὅτε τ' ἤλυθεν ἐνθάδε ἔρρων» καὶ (κ 72)

ἔρρ' ἐκ νήϲου θᾶϲϲον ἐλέγχιϲτε ζωόντων.

τὰ δὲ τοιαῦτα Αἰολικὰ ἦν ἔχοντα κοινά, ἱμέρρω, ἀγέρρω, οἰκτίρρω, ὀλοφύρρω. εἴπερ οὖν Αἰολικόν, ζητητέον, τί αὐτοῦ ἦν κοινόν. οὐ γὰρ αὐτὸ τὸ φθείρω, ὡϲ οἴονταί τινεϲ.

Τὰ διὰ τοῦ αιω̅ βαρύνεται, εἰ μὴ εἴη ἀπὸ ὀνόματοϲ, ῥαίω τὸ φθείρω, πταίω, ναίω, παίω, δαίω, καίω, κλαίω, γαίω, παλαίω, λιλαίω, ὅθεν λιλαίομαι, κεραίω, ἀγαίω, ϲταλαίω, χαλαίω, κρεμαίω, διχαίω. τὸ δὲ ἀραιῶ ἔχει τὸ ἀραιόϲ, καὶ τὸ ἑδραιῶ τὸ ἑδραῖοϲ καὶ τὸ δικαιῶ τὸ δίκαιοϲ καὶ βεβαιῶ τὸ βέβαιοϲ καὶ τὸ παλαιῶ τὸ παλαιόϲ καὶ περαιῶ τὸ πέραϲ καὶ μαιῶ τὸ ζητῶ τὸ μαῖα καὶ ματαιῶ μάταιοϲ.

Τὰ εἰϲ ω̅ καθαρὰ παραληγόμενα τῇ διὰ ῡ διφθόγγῳ βαρύνεται ψαύω, θραύω, ἀπολαύω, αὔω τὸ βοῶ καὶ αὕω τὸ ξηραίνω ἢ ἅπτω, δαύω τὸ κοιμῶμαι. ἅπαξ δὲ ἡ λέξιϲ παρὰ Σαπφοῖ

δαύοιϲ ἀπάλαϲ ἐτάραϲ
ἐν ϲτήθεϲιν . . . (Bergk 82).

δαύω τὸ καίω παρὰ Σιμωνίδῃ «μηρίων δεδαυμένων» παρὰ τὸ δαίω τὸ καίω τροπῇ τοῦ ῑ εἰϲ ῡ. δεύω, ὁδεύω, τοξεύω, ἰξεύω, λιτανεύω, ἱππεύω, βαϲιλεύω, κυριεύω, ϲεύω. τὸ δὲ «ἐδεύηϲεν δ' οἰήϊον ἄκρον ἱκέϲθαι» (ι 483) οὐκ ἀπὸ περιϲπωμένου τοῦ δευῶ γέγονεν, ἀλλ' ἐδέηϲεν ἐϲτὶ καὶ πλεονάϲαντοϲ τοῦ ῡ ἐδεύηϲε. τὸ ἐρευνῶ περιϲπώμενον οἱ Αἰολεῖϲ ἀποβάλλοντεϲ τὸ ν̄ βαρύνουϲι διὰ τὸν τρόπον τοῦ ευω̅.

Τὰ εἰϲ ω̅ καθαρὸν παραληγόμενα τῷ ᾱ βαρύνεται, ὁπότε πληϲιάζουϲι τοῖϲ διὰ τοῦ αυω̅, χραύω χράω, φαύω φάω. περιϲπῶνται δὲ τὰ μὴ οὕτωϲ ἔχοντα, δαῶ δαήϲω, ϲαῶ ϲαώϲω, ἀλαῶ ἀλαώϲω. τὸ δὲ βοάω καὶ γελάω καὶ πεινάω βαρύνεται καὶ τἄλλα ὡϲ ἐντέλειαι τῶν περιϲπωμένων.

Τὰ εἰϲ ω̅ καθαρὸν παραληγόμενα ε̄ βαρύνεται, χωρὶϲ εἰ μὴ προκατάρχοιτο ὄνομα, ἢ ἀπὸ βαρυτόνου μεταϲταίη εἰϲ περιϲπώμενον, ἕω τὸ ὑπάρχω, ἐξ οὗ τὸ εἰμί, ἕω τὸ πορεύομαι, ἐξ οὗ εἶμι, ἕω, οὗ παρ-

---

l. 8 καίω accessit ex Lasc. 171, 7 et Theogn. 145, 27, ex quo etiam γαίω, κεραίω, de quo cf. Schol. A ad Il. Ι 203 κέραιρε: χωρὶϲ τοῦ ρ̄. μέμνηται καὶ Ἡρωδιανόϲ ut videtur, hoc loco, ἀγαίω — διχαίω, ἀραιῶ ex Lasc. l. 15 αὔω τὸ ξηραίνω ἢ ἅπτω recepi ex Il. Pr. Λ 461: αὖε ἐπὶ τοῦ φωνεῖν ψιλωτέον· ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν, τότε δαϲύνεται. ἔϲτι γὰρ ϲύνθετον (τὸ ἀφαύω Lehrs ad h. l., παρὰ τὸ ὕω Lob. Rhem. 11), δαύω τὸ κοιμῶμαι ex E. M. 250, 10, ubi λέγει δὲ Ἡρωδιανόϲ, ὅτι ἅπαξ ἡ λέξιϲ κτλ., δαύω τὸ καίω ex E. M. 215, 18, ubi auctor tacitus est, ὁδεύω ex Lasc. 171, 12, unde etiam ἱππεύω — κυριεύω. ϲεύω. τὸ δὲ ἐδεύηϲε usque ad finem ex Epim. Cr. I 174, 15, quem locum Herodianeum esse ostendit Zon. 614 ἐδεύηϲεν: ἀπὸ τοῦ δέω (δεῶ) δεήϲω ἐδέηϲε καὶ πλεοναϲμῷ τοῦ ῡ ἐδεύηϲεν. Ἡρωδιανὸϲ περὶ πάθουϲ. l. 28 τὰ ante μὴ inserui ex Lascar. 171, 15 et post ἀλαῶ addidi ἀλαώϲω. l. 32 pro εἰϲ βαρύτονον Arcadii praebet rectum εἰϲ περιϲπώμενον Lascar. 171, 19. — ἕω — κέω

αγωγὸν τὸ ἐννύω, νέω, χέω, κέω, ἐξ οὗ τὸ κέομαι καὶ ἐν πλεονασμῷ τοῦ ῑ καὶ συγκοπῇ τοῦ ō κεῖμαι, δέω, ξέω, θέω, πνέω, πλέω, ῥέω, ποιέω, νοέω, τελέω. κιρνάμενα δὲ ἔνια περισπῶνται, ποιῶ, νοῶ, τελῶ. σεσημείωται τὸ ἐῶ περισπώμενον. τὸ δὲ θεῶ, ὅθεν τὸ θεῶμαι, ἔχει τὸ θέα, καὶ τὸ νεῶ τὸ νέος. καὶ τὸ δεῶ δεήσω ἀπὸ τοῦ βαρυτόνου δέω γέγονεν.

Τὰ εἰς ω̄ καθαρὸν παραληγόμενα τῇ ε̄ῑ διφθόγγῳ βαρύνεται, εἰ μὴ ὄνομα ἔχοι, σείω, θείω, κείω, ἐξ οὗ παθητικὸν κείομαι καὶ κατὰ συγκοπὴν κεῖμαι, βρωσείω, ὀψείω, κιχείω, τελείω, ὀκνείω, ῥιγείω, θαλπείω, γαμησείω. τὸ μέντοι μειῶ ἔχει μεῖος καὶ τὸ τελειῶ τὸ τέλειος καὶ τὸ ἀρειῶ τὸ ἀρείων καὶ ἀρειῶ ἀρειᾷς τὸ ἀπειλῶ ὡς παρ' Ἱππώνακτι «ἀρειᾷς σύκινόν με ποιῆσαι» (fr. 70 Bergk) τὸ ἀρειή καὶ τὸ ἀχρειῶ τὸ ἀχρεῖος, τὸ οἰκειῶ τὸ οἰκεῖος καὶ τὸ ἀνδρειῶ τὸ ἀνδρεῖος.

* Οὐδὲν εἰς ω̄ λῆγον ῥῆμα βαρύτονον καθαρὸν δισύλλαβον τῷ η̄ παραλήγει, ἀλλὰ μόνον τὸ δήω δήεις «δήεις τόνγε σύεσσι παρήμενον» (ν 407). τὸ γὰρ ἔκηα οὐ πάντως ἐνεστῶτα τὸν κήω αἰτήσει, ὡς ἀπαιτεῖ Φιλόξενος. ἡ δὲ τοιαύτη παράληξις ἢ περισπωμένη ἐστίν, ὥσπερ τὸ θηῶ, νηῶ ἢ εἴπερ βαρύτονα εἴη, πάντως κατὰ διάλεκτον, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖς, τὸ παλαίω παλήω καὶ παρ' Αἰολεῦσιν ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς, ἀδικήω «Ψάπφ', ἀδικήει» (Sapph. fr. I 20), ποθήω «καὶ ποθήω καὶ μάομαι» τό τε κλήω ἐκ τοῦ κλείω γενόμενον.

Τὰ εἰς ω̄ καθαρὸν ὑπερδισύλλαβα παραληγόμενα ῑ βραχεῖ περισπᾶται, μειδιῶ, κοπιῶ, ἀξιῶ, ἐρυθριῶ, ἀγωνιῶ, ἀκηδιῶ, μετριῶ,

---

recepi ex Theogn. 146, 5, qui unam ex diversis verbi κεῖμαι ab Herodiano propositis propagationibus servasse videtur, quum alteram a κέημι κέεμαι ex eodem fonte petitam Choerob. 667, 25 tradiderit. — κιρνάμενα δὲ ἔνια — τελῶ ex Lasc. l. 8 θείω recepi ex Theogn. 146, 15 et E. M. 449 (Favorin 239, 10) θείομεν: ἰστέον ὅτι ἥμαρτεν Ἡρωδιανὸς ἀρεσάμενος τὸ θείω ἐνεστῶτα. ἔστι δὲ ὑποτακτικὸν δευτέρου ἀορίστου ἔχον διαίρεσιν καὶ πλεονασμόν κτλ. — ἐν ἄλλοις δὲ ἀπὸ τοῦ θῶ θείω ὡς ὄψω ὀψείω καὶ τελῶ τελείω. cf. E. Gud. 524, 59 et Cram. Ep. I 407 (E. M. 750. 50) τελείω βαρύτονον, ἐξ οὗ τὸ «ἐτελείετο»· τὰ γὰρ τοιαῦτα παραγωγὰ ἄχρι τοῦ παρατατικοῦ κλίνεται κατὰ πᾶσαν ἔγκλισιν καὶ διὰ τῆς ε̄ῑ διφθόγγου γράφεται· οἷον κιχῶ κιχείω, θῶ θείω, σῶ σείω, τελῶ τελείω· ἰστέον δὲ ὅτι ἀπὸ τῶν ἐνεστώτων γίνεται καὶ ἀπὸ μελλόντων· καὶ τὰ μὲν ἀπὸ ἐνεστώτων ἔχουσι καὶ παρατατικόν· τὰ δὲ ἀπὸ μελλόντων ἐνεστῶτας μόνους· ὅθεν σεσημείωται τὸ ὤψεον ἀπὸ τοῦ ὀψείω (cf. Choer. Dict. 527, 35 . τελῶ τελείω· τὰ εἰς ω λήγοντα καθαρὰ παραληγόμενα τῇ ε̄ῑ διφθόγγῳ βαρύνονται· εἰ δέ τι περιεσπάσθη, τοῦτο παρ' ὄνομα ἐγένετο· σείω, βρωσείω, τελείω ἐτέλειον «Διὸς δ' ἐτελείετο βουλή» (A 5)· τὸ μέντοι μειῶ παρὰ τὸ μεῖον καὶ τὸ τελειῶ παρὰ τὸ τέλειος καὶ τὸ ἀρειῶ παρὰ τὸ Ἄρης· σημαίνει δύο. τὸ ἀχρειῶ παρὰ τὸ ἀχρεῖος. — ἀρειῶ ἀρειᾷς apposui ex E. M. 139, 36 loco Herodianeo cf. Herod. in E. M. 134, 52 ἀραρισμένος· ἔστω ὄνομα παρὰ τῷ ποιητῇ ἀρειή, ἀφ' οὗ ῥῆμα ἀρειῶ κτλ. — οἰκειῶ ἀνδρειῶ accesserunt ex Theogn 146, 24. l. 15 canonem recepi ex Mon. 43, 20 exempla ad ἀδικήω et ποθήω addens ex Herod. περὶ παθῶν in E. Gud. 294, 37. E. M. 485, 40 cf. Lehrs Herod. p. 131, Ahrens dial. Dor. 133. l. 25 ἀκηδιῶ μετριῶ apposui ex Theogn. 146, 21 (ἀγαλλιῶ ut ab Theogn. ipso ex sacris scriptoribus adiectum omisi), χαιριῶ — κνιφιῶ cum annotatione recepi ex Mon. 43, 31: ἐσθίω: τὰ εἰς

καὶ χαιριῶ, ἐρευθιῶ, φλεγιῶ, κνηθιῶ, κνιφιῶ κατ' ἐπέκταcιν τοῦ ῑ γενόμενα παρὰ τὸ χαίρω, ἐρεύθω, φλέγω, κνήθω, κνίφω. τὸ δὲ ἐcθίω καὶ αὐτὸ ἐπέκταcιν τοῦ ῑ λαβὸν καὶ ἀΐω καὶ ἀτίω cύνθετον βαρύνονται. τὸ δὲ δειδίω οὐ ῥητόν. τὸ γὰρ «δείδιε» (C 34, Ω 358) οὐχ, ὥc τινεc οἴονται, ἀπαιτεῖ θέμα τὸ δειδίω· εἰ δὲ καὶ ἀπαιτήcῃ, ἐκ παρακειμένου ἂν εἴη γενόμενον. τὸ δὲ κηκίω τὸ ἀναδίδωμι ἐκ διπλαcιαcμοῦ-«πολλὴ δ' ἀνεκήκιεν ἅλμη». τὸ δὲ μαcτίω κατ' ἔλλειψιν τοῦ ζ ἀπὸ τοῦ μαcτίζω. cπάνια δέ εἰcι τὰ διcύλλαβα κατὰ cυcτολὴν τοῦ ῐ, ὡc καὶ τὸ δίω «τρὶc περὶ ἄcτυ μέγα Πριάμοιο δίον» (Il. X 251) καὶ τὸ «κνώδαλον ὅτι δίοιτο» (Od. ρ 317) καὶ διῶ τὸ διώκω, ἔνθεν τὸ δίημι ἐγένετο, παρ' ὃ τὸ «ἵπποι ἀερcίποδεc πολέοc πεδίοιο δίενται» καὶ «αὔτωc ἐνδίεcαν» (Il. C 584), ἴω καὶ ἰῶ τὸ πορεύομαι καὶ τίω τὸ τιμῶ, τιῶ δὲ τὸ τιμωρῶ. τὸ δὲ βιῶ βιοῖc βιοῖ τὸ ζῶ, βιῶ δὲ βιᾷc βιᾷ τὸ βιάζω.

Τὰ εἰc ω̄ καθαρὸν ἔχοντα ῑ ἐκτεταμένον βαρύνεται, εἰ μὴ ὄνομα ἔχοι, ψίω τὸ ἐμβρωματίζω, λίω τὸ θέλω, πῖω, ἀφ' οὗ ὁ μέλλων πίcω, ἀφ' οὗ πιπίcκω, ἴω ὃ καὶ περιcπᾶται, ἐξ οὗ καὶ ἵημι, μνίω τὸ ἐcθίω, δηρίω καὶ δηριῶ περιcπώμενον «δὴ τότε δηριόωντο Ποcειδάων καὶ Ἀπόλλων», μητίω καὶ μητιῶ, κονίω, μηνίω τὸ ὀργίζομαι ὃ διφο-

---

ω λήγοντα ῥήματα ὁριcτικὰ ἐνεcτῶτοc χρόνου, εἰ λάβοι ἐπέκταcιν τοῦ ῑ, περιcπᾶcθαι θέλει χαίρω χαιριῶ — ἀλλὰ μόνον τὸ ἐcθίω βαρύνεται· τὸ γὰρ δείδιε, οὐχ ὥc τινεc οἴονται — ἂν εἴη γενόμενον. l. 3 καὶ αὐτὸ — λαβὸν supplevi consulto loco Monadicorum et cύνθετον apposui ad ἀτίω ex Dichr. 298, 10: τὰ εἰc ω̄ λήγοντα καθαρὰ βαρύτονα ῥήματα, ὑπὲρ δύο cυλλαβὰc ὑπάρχοντα, εἰ παραλήγοιτο ῑ μόνῳ, ἐκτεταμένῳ αὐτῷ παραλήγεται, χωρὶc εἰ μὴ cύνθετα εἴη ἢ κατ' ἔλλειψιν τοῦ ζ, κυλίω, ἀλίω, μηνίω, δηρίω, κονίω, ἰδίω. τὸ δὲ ἐcθίω cυcτέλλει τὸ ῑ. ἐφυλαξάμην δὲ cύνθετα διὰ τὸ ἀτίω τήν τε ἔλλειψιν τοῦ ζ διὰ τὸ μαcτίω. τὸ δὲ δειδίω οὐ ῥητόν. τὸ δὲ κηκίω ἐκ διπλαcιαcμοῦ «πολλὴ κτλ.» De δειδίω Arcadius haec habet: τὸ δὲ δειδίω καὶ κηκίω δεδιπλαcίαcται ἀπὸ τοῦ δίω καὶ κίω, Lascar. 171, 29: τὸ δὲ δειδίω καὶ κηκίω τὸ ἀναδίδωμι ἀπὸ διπλαcιαcμοῦ. Quae parum accurate relata ex ipso Herodiano utroque loco consulto immutavi. cf. Lehrs ad Herod. l. c. et Lob. Rhem. 19; Theogn. 149, 26. — l. 7 κατ' ἔλλειψιν ex Dichr. inserui. δίω et διῶ explevi ex Il. Pros. Ψ 475: πολέοc πεδίοιο δίενται: εἴπομεν δὴ ὥc ἐcτι καὶ δίω βαρυνόμενον, ὃ cημαίνοι ἂν διώκω, ἔνθεν τὸ «τρὶc κτλ.» καὶ τὸ «κνώδαλον κτλ.» καὶ περιcπώμενον, ἔνθεν τὸ δίημι ἐγένετο, παρ' ὃ τό «ἀερcίποδεc κτλ.» καὶ «αὔτωc ἐνδίεcαν» et M 276: τὸ δίεcθαι ἡ παράδοcιc προπαροξύνει καὶ ἔχομεν ἐκεῖνο λέγειν, ὅτι εἰ οἶδεν ὁ ποιητὴc τὸ δίενται (Il. Ψ 475) ὡc τίθενται καὶ ἐτίθεcαν τὸ ἀπαρέμφατον τίθεcθαι, οὕτω καὶ ἀπὸ τοῦ «ἵπποι ἀερcίποδεc κτλ.» καὶ «αὔτωc ἐνδίεcαν» γένοιτ' ἂν τὸ ἀπαρέμφατον δίεcθαι, ὥcτε καὶ ἀπὸ τῶν εἰc μι ἐcχημάτιcται· καὶ δέον ἐcτὶ τὸ δίω βαρυνόμενον πολὺ πρότερον περιcπᾶcθαι, ἵνα ἀποτελέcῃ τὸ δίημι, ἐξ οὗ ἐνδίεcαν καὶ δίεcθαι. cf. P 110, C 162 et 584, Lob. Rhem. 144 et 190. — l. 13 τιῶ τὸ τιμωρῶ addidi ex Lasc. 171, 32. l. 16 λίω per τὸ θέλω explicavi ex Theogn. 146, 35, qui habet λίω καὶ αὐτὸ διφορεῖται, γεγονὸc ἀπὸ τοῦ λῶ λιῶ τοῦ δηλοῦντοc τὸ θέλω, ἀφ' οὗ καὶ τὸ λιαρόν, ὡc καὶ τὸ χλιαίνω χλιαρόν (sic pro χαλῶ χαλερόν ex E. M. χλιαρόc παρὰ τὸ χλιαίνω, τὸ δὲ λιαρόc οὐκ ἀπὸ τοῦ χλιαρόc, ὥc τινεc, ἀλλὰ παρὰ τὸ λίω τὸ προθυμοῦμαι cf. Lob. El. I 138), πίω et ἴω ex Theogn. addidi, καὶ δηριῶ apposui ex E. M. 366, 38 ἐκ τοῦ δῆριc γίνεται ῥῆμα δηρίω καὶ δηριῶ περιcπώμενον καὶ βαρύτονον, ὡc κόνιc κονίω, δῆριc δηρίω καὶ δηριῶ οἷον «δὴ τότε κτλ.» quem ignoti poetae versum Barnesius interpolavit Y 67; μητιῶ ex Theogn. 146, 22, τὸ ὀργίζομαι ex Lascar. 171, 36,

ρεῖται κατὰ τὸν χρόνον, καὶ μηνιῶ, τὸ δὲ ἰῶ ἰῶμαι ἰός, κριῶ κριός, ἀνιῶ ἀνία.

Τὰ εἰς ῶ καθαρὸν παραληγόμενα τῷ ō μόνῳ περισπᾶται, νοῶ, βοῶ, γοῶ, θροῶ, ποῶ, μακκοῶ τὸ μωραίνω, πτοῶ, λοῶ, κοῶ, ἀγνοῶ, ἀκροῶ, ἀλοῶ. αἱ μέντοι ἐντέλειαι τῶν περισπωμένων βαρύνονται, χρυσόω, στεφανόω, γυψόω.

Τὰ εἰς ῶ καθαρὸν παραληγόμενα τῇ οῑ διφθόγγῳ περισπᾶται, εἰ μὴ διάστασις γένοιτο τοῦ ῑ, ποιῶ, οἰῶ τὸ μονῶ, ἀλοιῶ τὸ τύπτω, ἀλλοιῶ τὸ μεταποιῶ, πτοιῶ, χροιῶ, ὁμοιῶ, ἑτεροιῶ. τὸ δὲ οἴω, ὅθεν οἴομαι καὶ οἶμαι, διαιρεῖται, ὀΐω γὰρ ποιητικῶς. ὁ δὲ οἴω ἐνεστὼς τοῦ οἴσω μέλλοντος οὐκ ἔστιν ἐν χρήσει.

Τὰ διὰ τοῦ ῡω δισύλλαβα βαρύνεται καὶ περισπᾶται. περισπᾶται μέν, ὅσα ἔχει ὄνομα ἢ κατ' ἐναλλαγὴν γέγονε, δυῶ, θυῶ τὸ θυμιῶ, ὅτι θύος, μυῶ καὶ μύω βαρύτονον, κυῶ Ἀττικὸν ἐκ τοῦ κύω. τὰ δὲ μὴ οὕτως ἔχοντα βαρύνεται, δύω, ἐξ οὗ δύνω, θύω, ἐξ οὗ θύνω, λύω, μύω, κύω, ξύω, ὕω, βρύω, πτύω, ῥύω.

Ἔτι τὰ διὰ τοῦ ῡω ὑπερδισύλλαβα βαρύνεται, εἰ μὴ ἔχοι ὄνομα, ἀλύω, ἀρτύω, πληθύω, κωλύω, ζευγνύω, ὀμνύω, ὀρνύω, σβεννύω, ἀνύω, μηνύω, ἀρύω, ζωννύω, χρωννύω, ῥωννύω, χωννύω, στρωννύω. τὸ δὲ ἰχθυῶ ἔχει τὸ ἰχθῦς, καὶ τὸ ἐγγυῶ τὸ ἐγγύη καὶ τὸ βοτρυῶ τὸ βότρυς.

Τὰ εἰς ῶ καθαρὸν παραληγόμενον τῇ υῑ βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, ἀλυίω, ὀπυίω, μεθυίω. τὸ δὲ γυιῶ περισπᾶται.

Τὰ εἰς ῶ καθαρὸν παραληγόμενα τῷ ῶ βαρύνεται, ζώω, πλώω, σώω, χώω, τρώω, ῥώω, ἁλώω, ἡβώω. χωρὶς τοῦ κολῳῶ, ὅπερ ἀπὸ τοῦ κολῳός γέγονε, καὶ ἔχει ῑ προσγεγραμμένον, ὡς Φιλόξενος.

Τὰ εἰς ξω καὶ ψω περισπᾶται, διψῶ, γυψῶ, κενοδοξῶ, φιλοδοξῶ, ἀδοξῶ, αὐξῶ, ἀλεξῶ, ἑψῶ. τὸ γὰρ αὔξω καὶ ἀλέξω καὶ ἕψω Ἀττικῶς βαρύνεται. τὸ δὲ ἵξω, οὗ ὁ παρατατικὸς ἷξον «οἱ δ' ἷξον κοίλην Λακεδαίμονα» (Od. δ 1) καὶ τὸ ἄξω, οὗ τὸ προστακτικὸν «ἄξετε δὲ Πριάμοιο βίην» (Γ 105) καὶ τὸ ὄψω καὶ ὄψομαι, οὗ

μηνιῶ ex Theogn. 146, 21. l. 4 πτοῶ — ἀλοῶ (pro ἀκοῶ) ex Theogn. 147, 20, γυψόω ex Theogn. 149, 28. l. 8 ποιῶ — ὁμοιῶ ex Theogn. 148, 24, ex Lasc. 172, 29 τὸ δὲ οἴω — ποιητικῶς pro Arcadii verbis: τὸ δὲ οἴω οἴομαι ὀΐω γίνεται cf. Herod. ap. St. B. 359, 8 ἔστι ὅτι μετὰ τὴν διαίρεσιν ἔκτασις γίνεται ὀΐομαι, ὀΐγον, ὀΐδα παρ' Αἰολεῦσιν ἀντὶ τοῦ οἶδα. l. 14 pro ὅθεν θύος scripsi cum Schmidt. ὅτι θύος. Lobeck. Rhem. 290 not. scribi vult θυῶ τὸ ἐπὶ συὸς καὶ βαρύτονον τὸ ὁρμῶ, ὅθεν θύος. in fine ὕω — ῥύω addidi ex Theogn. 148, 19. l. 19 ἀνύω accessit ex Lasc. 172, 9, μηνύω — στρωννύω ex Theogn. 149, 1. l. 23 μεθυίω inserui ex Theogn. 149, 5. l. 25 χώω, τρώω, ῥώω addidi ex Theogn. 149, 17, ἀλώω ἡβώω ex Lasc. 172, 14 et Theogn. 148, 16, ὡς Φιλόξενος in fine ex Theogn. l. c. τοῦτο (sc. κολῳῶ) — παρὰ Φιλοξένῳ σὺν τῷ ῑ. l. 28 ἑψῶ adieci ipse propter sequens ἕψω. De Atticorum barytonesi cf. Choer. 488, 13, Ep. Cr. I 86, 4, E. M. 237, 28, qui locus ex Theogn. translatus est. ἵξω recepi ex Herod. in E. M. 472, 13 cf. Schol. ad Od. δ 1, ἄξω ex Herod. ap. Choer. 753, ὄψω ὄψομαι ὄψεσθε ex Herod. in E. M. 646, 20.

τὸ προστακτικὸν «ὄψεϲθε Τρῶεϲ καὶ Τρῳάδεϲ» (Ω 704) καὶ πάλιν «ἀλλ' ὄψεϲθε ἵνα τώγε καθεύδετον» (Od. θ 313) ἀντὶ τοῦ ἴδετε, κατὰ ποιητικὴν ἄδειαν μετηνέχθη ἀπὸ μέλλοντος εἰϲ ἐνεϲτῶτα.

Οἱ εἰϲ ω̅ μέλλοντεϲ κατὰ τὴν κοινὴν διάλεκτον, ἐὰν ἔχωϲι πρὸ τοῦ ω̅ τὸ ξ̅ ἢ τὸ ψ̅ ἢ τὸ ϲ̅, βαρύνονται, λέξω, πλέξω, τύψω, γράψω, ποιήϲω, νοήϲω. ἐὰν δὲ μηδὲν ἔχωϲι τούτων πρὸ τοῦ ω̅, περιϲπᾶται, ϲπερῶ, φθερῶ, πλυνῶ, κτενῶ, τιλῶ. πρόϲκειται δὲ κατὰ τὴν κοινὴν διάλεκτον, ἐπειδὴ τὸ ποιήϲω ποιηϲῶ οἱ Δωριεῖϲ λέγουϲι, καὶ τὸ λέξω λεξῶ.

Τὰ εἰϲ ω̅ λήγοντα δεύτερα πρόϲωπα προϲτακτικὰ ὁμοτονεῖ τοῖϲ ἰδίοιϲ ὁριϲτικοῖϲ, νικῶ ἐγώ, νικῶ ϲύ, κρεμῶ ἐγώ, κρεμῶ ϲύ. τὰ μέντοι τρίτα εἴτε εἰϲ τω̅ εἴτε εἰϲ θω̅ βαρύνεται, λεγέτω, ποιείτω, τυπτέϲθω, λεγέϲθω.

Τὰ εἰϲ ω̅ τρίτα πρόϲωπα τῶν εὐκτικῶν περιϲπῶνται μετὰ τοῦ προϲγεγραμμένου ι̅ βοάοι βοῷ, τρυπάοι τρυπῷ.

Τὰ εἰϲ ω̅ ὑποτακτικὰ μονοϲύλλαβα μὲν ὄντα περιϲπῶνται, ἐὰν ὦ, ἐὰν δῶ, ἐὰν βῶ, ἐὰν ϲτῶ, ἐὰν ϲχῶ. καὶ ἐξ ἀνάγκηϲ δὲ περιϲπῶνται. βαρύνεϲθαι μὲν γὰρ οὐκ ἠδύναντο, ἐπειδὴ μονοϲύλλαβά εἰϲι· οὐδέποτε δὲ μονοϲύλλαβοϲ λέξιϲ βαρύνεται, ἀλλ' ἢ ὀξύνεται οἷον τίϲ, τί, πούϲ, Ζεύϲ, Φρύξ, Κρήϲ, νύξ ἢ περιϲπᾶται οἷον βοῦϲ νοῦϲ ῥοῦϲ. ὀξύνεϲθαι δὲ οὐκ ἠδύναντο, ἐπεὶ τὰ ῥήματα ἀποϲτρέφονται τὴν ὀξεῖαν τάϲιν οἷον τύπτω, γράφω, βοῶ, χρυϲῶ, ποιῶ χωρὶϲ τῶν ϲεϲημειωμένων. λοιπὸν οὖν ἐξ ἀνάγκηϲ περιϲπῶνται, ἐὰν ὦ ἐὰν ϲχῶ καὶ ἐὰν ϲπῶ, ϲυντιθέμενα δὲ καὶ ὑπερβαίνοντα τὴν μονοϲυλλαβίαν βαρύνονται οἷον ἐὰν κατάϲχω ἐὰν παράϲχω, ἐὰν ἐπίϲπω· τὸ δὲ ἐὰν ὦ ἐν ϲυνθέϲει τὸν αὐτὸν τόνον φυλάϲϲει, οἷον ἐὰν ϲυνῶ ἐὰν παρῶ, ἐπειδὴ ἡ ϲυναίρεϲίϲ ἐϲτιν ἡ αἰτία, ἀπὸ γὰρ τοῦ ἐὰν ϲυνέω καὶ ἐὰν παρέω γεγόναϲι κατὰ κρᾶϲιν τοῦ ε̅ καὶ ω̅ εἰϲ ω̅. Τὰ δὲ εἰϲ ω̅ ὑπὲρ μίαν ϲυλλαβὴν ὑποτακτικὰ βαρύνεται καὶ περιϲπᾶται. καὶ περιϲπῶνται μέν, ἡνίκα ἔχωϲι τὴν μετοχὴν εἰϲ ειϲ̅ μετ' ὀξείαϲ τάϲεωϲ καὶ διὰ τοῦ ντ̅ κλινομένην, τυφθείϲ τυφθέντοϲ ἐὰν τυφθῶ, τυπείϲ τυπέντοϲ ἐὰν τυπῶ, τιθείϲ τιθέντοϲ ἐὰν τιθῶ, νυγείϲ νυγέντοϲ ἐὰν νυγῶ, δαρείϲ δαρέντοϲ ἐὰν δαρῶ, ϲταλείϲ ϲταλέντοϲ ἐὰν ϲταλῶ, ϲπαρείϲ ϲπαρέντοϲ ἐὰν ϲπαρῶ, φθαρείϲ φθαρέντοϲ ἐὰν φθαρῶ. ἢ ἡνίκα ὦϲιν ἐνεϲτῶτοϲ καὶ παρατατικοῦ τῶν ϲυνῃρημένων,

---

l. 7 pro διὰ τὴν scripsit δὲ κατὰ τὴν Schmidt. Eandem de futuris Doricis regulam habet Choer. 651, 9. l. 11 addere potui, ἐκρέμω ϲύ κρέμω ϲύ propter Choer. 883, 4 μηδεὶϲ οἰέϲθω τὸ ἐκρέμω ὡϲ ἀπὸ τοῦ ω̅ εἶναι ὡϲ ἀπὸ τοῦ κρεμῶ κρεμᾷϲ, ἐπειδὴ κρεμῶμαι καὶ ἐκρεμώμην εἶχεν εἶναι τὸ παθητικὸν ὥϲπερ βοῶμαι ἐβοώμην. νῦν δὲ κρέμαμαι καὶ ἐκρεμάμην ἐϲτὶν ὥϲπερ ἵϲταμαι ἱϲτάμην. ἄλλωϲ τε εἰ ἦν ἀπὸ τῶν εἰϲ ω ἐκρεμῶ εἶχεν εἶναι περιϲπωμένωϲ ὥϲπερ ἐβοῶ, νῦν δὲ ἐκρέμω ἐϲτὶ παροξυτόνωϲ et Arc. 173, 1, ubi ἐτύπτου τύπτου proponitur, nam Herodianum hoc verbum et in μι̅ exire et circumflecti docuit, ut ex hoc loco et Arcad. 159, 4 ϲεϲημείωται τὸ κρεμῶ περιϲπώμενον patet. l. 16 ἐὰν ὦ addidi ex Choer. 798, 25, unde etiam adieci l. 17 καὶ ἐξ ἀνάγκηϲ — l. 28 τοῦ ε̅ καὶ ω̅ εἰϲ ω̅; ex eodem p. 796 exempla l. 32 νυγείϲ — l. 34 ἐὰν φθαρῶ.

ποιῶ ἐποίουν ἐὰν ποιῶ, ἐὰν βοῶ, ἐὰν χρυςῶ. ἡνίκα δὲ μὴ ὦςι τοιαῦτα, βαρύνονται, ἔτυπτον ἐὰν τύπτω, ἔλεγον ἐὰν λέγω, ἔφαγον ἐὰν φάγω, ἔλαβον ἐὰν λάβω, ἔμαθον ἐὰν μάθω, ἔπαθον ἐὰν πάθω, εἶπον ἐὰν εἴπω, εἶδον ἐὰν ἴδω, τέτυφα ἐὰν τετύφω, τέπυπα ἐὰν τετύπω, πέποιθα ἐὰν πεποίθω. ϲεϲημείωται τὸ ἐὰν εἰδῶ περιςπώμενον οἷον «ὄφρ' εὖ εἰδῶ» (Α 515), οὗ ἡ μετοχὴ ὁ εἰδὼς τοῦ εἰδότος, εἰ καὶ ἀπὸ τοῦ εἰδέω. τὸ δὲ «ἵνα εἴδομεν ἄμφω» (Α 363) προπαροξύνεται, ἐπειδὴ ἡ ςυςτολὴ ἀνέδωκε τὸν τόνον. οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον.

Τὰ εἰς ω ὑποτακτικὰ τῶν ἀορίςτων παθητικῶν περιςπῶνται, ἐὰν ληφθῶ, ἐὰν τυφθῶ, διὸ καὶ τὸ «ἐὰν ἐγκαταλειφθῶ ὑπὸ ςοῦ» περιςπᾶται. τότε γὰρ τὰ τοιαῦτα ὑπὲρ μίαν ςυλλαβὴν περιςπῶνται, ὅτε ἔχουςιν ἀπαρέμφατον εἰς ναι, ὡς τὸ ἐὰν νυγῶ νυγῆναι, ἐὰν δαρῶ δαρῆναι, καὶ μετοχὴν εἰς εις ὁ νυγεὶς ὁ δαρείς, καὶ τὸ εὐκτικὸν εἰς ην καθαρὸν νυγείην, δαρείην. ὁμοίως ἐὰν εἰδῶ εἰδείην, εἰ καὶ μὴ ἔχει τὴν μετοχὴν εἰς εις. γέγονε δὲ ὡς ἀπὸ τοῦ περιπατοῖμι περιπατοίην κατὰ τροπὴν τῆς μι εἰς ην, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἴδοιμι εἰδοίην καὶ εἰδείην κατὰ τροπὴν τοῦ ο εἰς ε. ἐὰν δὲ μὴ οὕτως ἔχῃ, βαρύνεται, ἐὰν δράμω· δραμεῖν γὰρ καὶ δράμοιμι, ἐὰν φύγω φυγεῖν καὶ φύγοιμι.

Τὰ δεύτερα καὶ τρίτα ἑνικὰ τῶν ὁριςτικῶν ὁμοτονεῖ τοῖς πρώτοις, ἐὰν ἰςοςυλλαβῇ, λείπω λείπεις λείπει, ποιῶ ποιεῖς ποιεῖ. τὸ δὲ πνεῖ καὶ ῥεῖ καὶ πλεῖ οὐκ ἰςοςυλλαβεῖ. οὕτω καὶ ἐπὶ μέλλοντος, νοήςω νοήςεις νοήςει καὶ ἐπὶ ὑποτακτικῶν, ἐὰν λέγω ἐὰν λέγῃς ἐὰν λέγῃ, ἐὰν βοῶ βοᾷς βοᾷ.

Τὰ εἰς μι λήγοντα ὁριςτικὰ ἀποςτρέφονται τὴν ὀξεῖαν τάςιν, καὶ τὰ τρίτα ὁμοτονοῦςι τοῖς ἰδίοις πρώτοις, τίθημι τίθης τίθηςι, δίδωμι δίδως δίδωςι· ςεςημείωται φημί φῄς φηςί, εἰμί εἴς εἶ ἐςτί.

---

l. 1 ipse apposui ποιῶ ἐποίουν et l. 2 ex Choer. 796 ἔτυπτον ἐὰν τύπτω, ἔλεγον ἐὰν λέγω et l. 3 ἔμαθον — ἐὰν πάθω et εἶδον ἐὰν ἴδω et πέποιθα ἐὰν πεποίθω. et l. 6 περιςπώμενον — Α 515 et annotationem de εἴδομεν ex eodem et Il. Pr. Α 363: εἴδομεν: προπαροξύνεται τὸ εἴδομεν ἀπὸ βαρυτόνου τοῦ εἴδω. οὐ θαῦμα δέ, εἰ τὸ αὐτὸ καὶ ὡς βαρύτονον καὶ ὡς περιςπώμενον κλίνει· ἢ ὅτι ἀντὶ ὑποτακτικοῦ ἐςτι καὶ ἡ ςυςτολὴ ἀνέδωκε κτλ. l. 11 pro ἐγκαταλιπῶ scripsi ἐγκαταλειφθῶ, cum aoristus ἐγκατελίπην ignotus sit; l. 13 ἐὰν δαρῶ — δαρείην hnc ex sequentibus ὁμοίως ἐὰν δαρῶ δαρείην retraxi, nam clarum est Herodianum verbo ὁμοίως non prorsus simile verbum prioribus annexuisse, sed simile quidem, sed aliquatenus diversum, cuius generis est ἐὰν εἰδῶ εἰδείην, quae substitui cum explicatione Choer. 797, 20. l. 21 ἑνικὰ addidi, quia postea inserui canonem de tertia pluralis numeri. l. 28 ςεςημείωται cum Schmidt. inserui, accentum speciei εἶς mutavi in εἴς. Hic etiam de abnormi accentu formae εἶ sermonem fuisse ex Choer. 852, 33 concludi potest, ubi longa est expositio Apollonii, qui refutat eos, qui εἶ per apobolen literae ς ortum putent, quum apobole accentum non mutet, et praeoptat declinationem ab ἔομαι ἔῃ ἔει εἶ, quamquam ipse fatetur et id ipsum abnorme esse, quum τὰ ὑπαρκτικὰ nunquam passive proferantur. Finitur haec explicatio Characis placito: λέγει οὖν ὁ Χάραξ ὅτι κατὰ πάθος γέγονε τὸ εἶ ἀπὸ τοῦ εἴς ἀποβολῇ τοῦ ς καὶ περιεςπάςθη τὸ εἶ τοῦ εἴς ὀξυνομένου, ἐπειδὴ εἰς χαρακτῆρα ἐνέπεςεν ἀπαιτοῦντα περιςπωμένην τάςιν· τὰ γὰρ

*. Τὰ τρίτα πληθυντικὰ ἐνεστῶτος χρόνου ἢ μέλλοντος εἰς ῑ λήγοντα θέλει ὁμοτονεῖν ταῖς πληθυντικαῖς δοτικαῖς τῶν μετοχῶν, ὁπότε καὶ ὁμοφωνοῦσιν, λέγομεν λέγετε λέγουσι καὶ τοῖς λέγουσιν, ἵσταμεν ἵστατε ἱστᾶσι καὶ τοῖς ἱστᾶσιν, ἵεμεν ἵετε ἱεῖσι· καὶ γὰρ ἱέντες ἱέντων ἱεῖσι, λέξομεν λέξετε λέξουσι καὶ τοῖς λέξουσι, διδοῦσιν ἐκεῖνοι καὶ τοῖς διδοῦσιν, ζευγνῦσιν ἐκεῖνοι καὶ τοῖς ζευγνῦσιν. ἀντιπίπτει μόνον τὸ φασί πρὸς τὸ φᾶσι μετοχικὸν ὡς στᾶσι. τὸ δὲ αἴτιόν ἐστιν, ὅτι τοῦτο ἐγκλιτικόν, τὰ δὲ ἐγκλιτικὰ αὐτὰ καθ' ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ θέλουσιν ἔχειν τὸν τόνον, φημί, εἰμί, ἐστί.

* Τὰ εἰς σῑ παραληγόμενα τῷ ᾱ προπερισπᾶται, πιμπρᾶσι, κιχρᾶσι, ἱστᾶσι· καὶ ζητοῦσί τινες, τίνος χάριν οὐ περισπᾶται «καί τ' ἀγεληδὸν ἴασι» (Π 160) καὶ λέγομεν, ὅτι τὰ προπερισπώμενα ἰσοσυλλαβεῖ τοῖς πρώτοις, ἱστᾶσι ἵσταμεν, κιχρᾶσι κίχραμεν, τὰ δὲ πλεονάζοντα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, δίδομεν διδόασι, τίθεμεν τιθέασιν, ἐν οἷς οὖν τὸ ἴασι πλεονοσυλλαβεῖ τοῦ ἴμεν, ἐν τούτοις καὶ προπαροξυνθήσεται. ἔστι καὶ οὕτως εἰπεῖν περὶ τοῦ ἴασιν· πᾶν πληθυντικὸν εἰς μεν λῆγον, ὅτε ἐστὶ ἀπὸ τῶν εἰς μῑ, μεταποιεῖ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ασῑ προπαροξυνόμενον, τίθεμεν τιθέασι, δίδομεν διδόασι, ἵεμεν ἱέασι, ἕμεν ἕασι, ζεύγνυμεν ζευγνύασιν· εἰ οὖν ἐστιν ἴμεν, σαφὲς ὅτι τῇ αὐτῇ ἀκολουθίᾳ καὶ τὸ ἴασι προπαροξυτονηθήσεται. ἔστι δὲ ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ῑ.

Τὰ εἰς μῑ εὐκτικὰ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, τύπτοιμι, τύποιμι, ποιοῖμι, χρυσοῖμι, βοῷμι.

Τὰ δεύτερα καὶ τὰ τρίτα τῶν εἰς μῑ εὐκτικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις πρώτοις, τύπτοιμι τύπτοις, τύπτοι, ποιοῖμι ποιοῖς ποιοῖ, βοῷμι βοῷς βοῷ.

Πᾶς παρῳχημένος ὁριστικὸς εἰς ᾱ λῆγον ὑπερδισύλλαβος ἁπλοῦς προπαροξύνεται, τέτυφα, πεποίηκα παρακείμενος. ὁμοίως καὶ ὁ ἀόριστος ἔτυψα ἐποίησα. τὸ δὲ ἧψα καὶ οἶδα δισύλλαβα, καὶ τὸ συνῆψα σύνθετον. τὸ δὲ ἐφοίτα ἀπὸ τοῦ ἐφοίταε τὸ ᾱ μακρόν.

Τὰ εἰς θα ἐν δευτέραις προσώποις ὑπερδισύλλαβα προπαροξύνε-

εἰς τὴν εῑ δίφθογγον λήγοντα ῥήματα ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπᾶται οἷον ποιεῖ τελεῖ νοεῖ. πρόσκειται ἐπὶ τέλους ἔχοντα τὸν τόνον διὰ τὸ ἐποίει καὶ ἐνόει. ταῦτα γὰρ περισπῶνται, ἀλλ' οὐκ ἔχουσι τὸν τόνον ἐπὶ τέλους. Quae Charax ab Herodiano mutuatus esse videtur. l. 1 canonem composui ex Il. Pr. Λ 270: προϊεῖσι et Γ 152, ubi ἀντιπίπτει μόνον διά τι αἴτιον τὸ φασί πρὸς τὸ φᾶσι μετοχικὸν ὡς στᾶσι, ipse causam, cur φασι acuatur, ex Choer. 510, 25 et 859, 10, unde etiam initio ἢ μέλλοντος addidi, supplevi; alteram exceptionem εἰσί propterea omisi, quod Herodianus diserte unum tantum excipit et consulto omisisse videtur hoc εἰσί, quia dativus participii εἶσι non est in usu, licet Choer. exemplo παῖδα ἕντα usum huius participii comprobet. l. 10 hunc canonem apposui ex Ep. Cr. I 381, 24. l. 28 pro παρακείμενος posui propter ἐφοίτα in fine commemoratum παρῳχημένος et post πεποίηκα adieci παρακείμενος.

ται, λάβῃcθα, ἔφηcθα, οἴδηcθα, λέγῃcθα, βάλῃcθα. τὰ μέντοι διcύλλαβα προπεριcπᾶται, φῆcθα ἐπὶ δευτέρου ἀορίcτου καὶ φῇcθα cὺν τῷ ῑ ἐπὶ τοῦ ἐνεcτῶτοc, ἦcθα, οἶcθα.

Καὶ τὰ εἰc θα πρῶτα πρόcωπα προπαροξύνονται, τυπτόμεθα, νικώμεθα, χρυcούμεθα.

Πᾶν ῥῆμα εἰc ν̄ μακροκατάληκτον ὑπὲρ μίαν cυλλαβὴν πρὸ μιᾶc τοῦ τέλουc ἔχει τὴν ὀξεῖαν, ἐνόουν, ἐδείκνυν, ἔγνων, ἐγεγράφειν, νυγείην, διδοίμην, ἐτυπέτην, ἔcτων. τὸ δὲ ἐχρῆν καὶ ἦν περιcπᾶται.

Πᾶν πρόcωπον ὁριcτικὸν εἰc ον εἴτε ἑνικὸν εἴτε πληθυντικὸν ἁπλοῦν ὑπὲρ δύο cυλλαβὰc προπαροξύνεται, ἔγραφον ἐγὼ καὶ ἔγραφον ἐκεῖνοι, ἔτυπτον ἐγὼ καὶ ἔτυπτον ἐκεῖνοι, ὑπεcταλμένηc τῆc Δωρίδοc διαλέκτου, οἱ γὰρ Δωριεῖc τὸ ἐλέγον ἐκεῖνοι παροξύνουcι. τὸ δὲ εἶχον, ἐξ οὗ τὸ κατεῖχον, καὶ ἄλλα περιcπᾶται ὡc διcύλλαβον. τὰ γὰρ διcύλλαβα ἢ προπεριcπῶνται ἢ παροξύνονται κατὰ τοὺc κανόναc. μακρᾶc γὰρ οὔcηc τῆc παραληγούcηc προπεριcπῶνται, ἦλθον, εὗρον, εἶχον, εἶδον καὶ τἄλλα· βραχείαc δὲ τῆc παραληγούcηc, παροξύνονται, ἴδον, ἔcχον.

Τὰ εἰc ον προcτακτικὰ τοῦ πρώτου ἀορίcτου ὑπερδιcύλλαβα προπαροξύνονται, ἄκουcον, νόηcον, φίληcον· διcύλλαβα δὲ ὄντα παροξύνονται ἢ προπεριcπῶνται κατὰ τοὺc κανόναc, νεῖμον, κρῖνον, τύψον, λέξον, γράψον, εἶπον ἀντὶ τοῦ εἰπέ ὡc παρὰ Μενάνδρῳ «εἶπον δὲ τί ποιεῖν μέλλετε». ἔcτι δὲ δηλονότι ἀορίcτου τοῦ εἶπα προcτακτικόν· εἰ γὰρ ἦν δευτέρου ἀορίcτου Cυρακουcίων ἔθει, ὠξύνετο ἂν ὁμοίωc τῷ κοινῷ προcτακτικῷ τῷ εἰπέ. οἱ γὰρ Cυρακούcιοι μεταποιοῦντεc εἰc ον τὰ προcτακτικὰ τοῦ β′ ἀορίcτου τὸν τόνον φυλάττουcι τῶν κοινῶν προcτακτικῶν οἷον λάβε λάβον, νύγε νύγον, ἄνελε ἄνελον.

Πᾶν δεύτερον πρόcωπον παρῳχημένου χρόνου ὑπὲρ μίαν cυλλαβὴν λήγοντοc ἢ εἰc ν̄ ἢ εἰc ᾱ ὁμοτονεῖ τῷ πρώτῳ, ἐνύγην ἐνύγηc, ἐδάρην

---

l. 1 λάβῃcθα cum ῑ subscripto exhibui, οἴδηcθα pro οἴδαcθα librorum cum Schmidt. ex Choer. 592, 24 τὸ οἶδα οἴδημι λέγουcιν οἱ Αἰολεῖc, τούτου τὸ δεύτερον οἴδηc καὶ κατ᾽ ἐπέκταcιν τῆc θα cυλλαβῆc οἴδηcθα ὥcπερ ἦcθα καὶ κατὰ cυγκοπὴν οἶcθα. — λέγῃcθα βάλῃcθα et l. 2 ἐπὶ δευτέρου — ἐνεcτῶτοc apposui ex Il. Pr. Φ 186: φῇcθα: εἴτε ἐνεcτῶτα cημαίνει, προπεριcπαcθήcεται, εἴτε δεύτερον ἀόριcτον· ὁμοίωc τούτῳ δὲ μόνῳ διαλλάξει τῷ cὺν τῷ ῑ γράφεcθαι τὸ η ἐπὶ τοῦ ἐνεcτῶτοc, et Mon. 44, 27 ὅcα εἰc θα λήγει δεύτερα πρόcωπα ἐπεκτεταμένα, ταῦτα ἀποβολῇ τῆc θα cυλλαβῆc καταλείπει ῥητὸν τὸ ῥῆμα, οἷον λέγῃcθα λέγῃc, βάλῃcθα βάλῃc, ἦcθα ἦc· μόνον δὲ τὸ οἶcθα τοιοῦτον οὐκ ἀνεδέξατο. αἴτιον δὲ τὸ πάθοc. cf. Il. Pr. Τ 270:- δίδοιcθα: οἱ μὲν βαρύνουcιν ὡc Αἰολικὸν ἀπὸ τοῦ δίδοιμι δίδοιc δίδοιcθα ὡc τίθηcθα. οἱ δὲ περιcπῶcιν ἐπέκταcιν εἶναι οἰόμενοι ἀπὸ τοῦ διδοῖc. l. 9 quomodo Herodianus abnormem accentum excusaverit, nobis non relictum est, Theogn. 161, 24 tradit: τὸ ἐχρῆν περιcπώμενον οὐκ ἐπίρρημα, ἀλλὰ ῥῆμα, καθά φηcιν ὁ τεχνικὸc ἐν τῇ καθόλου. cf. Ep. Cr. I 434, Lob. ad Buttm. II p. 330. l. 10 εἰc ον inserui monente Schmidt. in programm. Sedinens. (1864) p. 24. l. 22 verba εἶπον ἀντὶ τοῦ εἰπέ, quae ante τύψον posita sunt, in fine collocavi addens ὡc παρὰ Μενάνδρῳ usque ad finem ex Choer. 752, 7 (cf. 627, 5).

ἐδάρης, τέτυφα τέτυφας, ἔτυψα ἔτυψας, ἔτυπον ἔτυπες. ἔτι καὶ τὰ τρίτα ὁμοτονεῖ τοῖς δευτέροις, ἔλαβες ἔλαβεν, ἔτυψας ἔτυψεν.

Τὰ εἰς μαι ὁριστικὰ προπαροξύνονται ἢ προπερισπῶνται. τὰ μὲν οὖν βραχείᾳ παραληγόμενα προπαροξύνονται, λέγομαι, ἵσταμαι, δύναμαι, ἄγαμαι, δίδομαι· τὰ δὲ φύσει μακρᾷ ἁπλᾶ ὄντα προπερισπῶνται, κεῖμαι, ἧμαι, ποιοῦμαι, γελῶμαι, ἀγῶμαι, ὑπεσταλμένων τῶν τῆς Αἰολίδος διαλέκτου, ἀκάχημαι γὰρ καὶ ἀλάλημαι, καὶ τοῦ παρακειμένου· οὗτος δὲ προπαροξύνεται, ὁμότονος ὢν τῷ ἰδίῳ ἐνεργητικῷ, νενόηκα νενόημαι, πεποίηκα πεποίημαι. τὸ δὲ κατάκειμαι καὶ κάθημαι προπαροξύνονται σύνθετα ὄντα.

Τὰ εἰς ται τρίτα ὁμοφωνεῖ τοῖς εἰς μαι πρώτοις, τύπτομαι τύπτεται, πεποίημαι πεποίηται, ποιοῦμαι ποιεῖται, οἴομαι καὶ οἶμαι οἴεται. τὰ δεύτερα πρόσωπα τῶν εἰς μαι ἰσοσυλλαβοῦντα μὲν τοῖς πρώτοις καὶ ὁμοτονεῖ αὐτοῖς, τίθεμαι τίθεσαι, δίδομαι δίδοσαι, πεποίημαι πεποίησαι· ἐνδέοντα δὲ μιᾷ συλλαβῇ, ἀπὸ μὲν προπαροξυτόνων ὄντα, παροξύνονται, τύπτομαι, τύπτῃ, γράφομαι γράφῃ, ἀπὸ δὲ περισπωμένων περισπᾶται, βοῶμαι βοᾷ, ποιοῦμαι ποιῇ.

Τὰ εἰς μαι ὑποτακτικὰ περισπῶνται μὲν ἀπὸ περισπωμένων ὄντα, ἐὰν νοῶ ἐὰν νοῶμαι, ἐὰν φιλῶ ἐὰν φιλῶμαι· καὶ ὅταν ὦσι παρακειμένου καὶ ὑπερσυντελίκου, ἐὰν πεποιῶμαι, ἐὰν μεμνῶμαι, ἐὰν κεκτῶμαι, ἐὰν κεχρυσῶμαι. βαρύνονται δὲ ἀπὸ βαρυτόνων ὄντα, ἐὰν τύπτω ἐὰν τύπτωμαι, ἐὰν τύπω ἐὰν τύπωμαι, ἐὰν λίπω ἐὰν λίπωμαι, ἐὰν ἵκωμαι.

---

l. 5 ἄγαμαι et l. 6 ἀγῶμαι addidi propter Schol. ad Od. ε 129 ἄγασθε ὡς δύνασθε τοῦ δευτέρου ᾱ συστελλομένου. δυνατὸν δὲ καὶ ὡς ἠγᾶσθε. οἶδε γὰρ αὐτοῦ καὶ τὸ κατὰ διαίρεσιν ὡς τὸ «θεαῖς ἀγάασθε» (119) καὶ «τόφρα οἱ ἠγάασθε θεοί» (122). — de ἀλάλημαι cf. Schol. ad Od. μ 284: ἀλάλησθαι Ἀσκαλωνίτης περισπᾷ, ἵν' ᾖ παρακειμένου χρόνου ἀπὸ τοῦ ἀλῶ ὡς πεποιῆσθαι. δύναται προπαρόξύνεσθαι ὡς Αἰολικόν, ἵν' ᾖ ἀλάλησθαι ἐνεστῶτος χρόνου. τὸ θέμα ἄλημι ὡς τίθημι, ἄλεμαι ὡς τίθεμαι καὶ διπλασιασμὸς μετ' ἐπεκτάσεως Αἰολικῆς ἀλάλημαι ἀλάλησαι ἀλάληται, Schol. ad Od. δ 806: ἀκάχησθαι: οἱ πλείους ἀκάχησθαι ὡς λέγεσθαι ὡς Αἰολικῆς τῆς κλίσεως οὔσης. ὁ δὲ Ἀσκαλωνίτης ὡς πεποιῆσθαι. Il. Pr. Τ 335: ἀκάχησθαι: προπερισπᾶται ὡς λελυπῆσθαι, οἱ δὲ προπαρώξυναν ὡς Αἰολικὸν ἐν παρατατικῇ σημασίᾳ, ἐπεὶ οἶδε καὶ τὴν ἀκαχήμενος μετοχὴν τοιαύτην, οἷς καὶ ἐπείσθη ἡ παράδοσις. — de κατάκειμαι et κάθημαι cf. E. M. 483, 22: διατί ἀναβιβάζει τὸν τόνον; πᾶν παθητικὸν εἰς μαι λῆγον ἀπὸ τῶν εἰς μι κλινόμενον ἐν τῇ συνθέσει τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν: κεῖμαι κατάκειμαι. l. 13 non dubium est, quin hoc loco Herodianus disputaverit etiam de affectis μυθέαι (μύθεαι) ἀκράαντον (Od. β 202) et μυθεῖαι «ὡς σύγε μυθεῖαι, ἀλλ' ἐν πρώτοισιν» (Od. θ 180) et ὄρηαι, quod quidam ectasi auctum dixerunt ex ὄρεαι (Ep. Cr. I 327, E. M. 621, 37), alii ab ὄρημι, alii ab ὀρέεαι ὀρέαι cum ectasi ὀρῆαι ut μυθέαι μυθεῖαι repetiverunt: Eustath. 1763, 24: τὸ ὁρᾷς Ὅμηρος ποιητικῶς ὄρηαι φησὶ προπαροξυτόνως ἀπὸ ἐνεστῶτος τοῦ ὄρημι, οὗ χρῆσις παρὰ Θεοκρίτῳ· κατὰ δέ τινας ὀρῆαι προπερισπωμένως ἐκ τοῦ ὁρᾶται ἐνδείᾳ τοῦ τ̄ καὶ τροπῇ τοῦ ᾱ εἰς η̄, quae omnia debeo Lobeckio El. II 127 seqq. l. 18 de perfecto coniunctivi Theodos. 1037: ἐὰν κεκτῶμαι ἐὰν μεμνῶμαι προπερισπωμένως et Choer. 806, 27. In fine addidi ἐὰν λίπωμαι, ἐὰν ἵκωμαι ex Il. Pr. Χ 123: ἵκωμαι: τινὲς ὡς φιλῶμαι ἀναγινώσκουσιν, ἵνα τὸ ἱκετεύσω σημαίνῃ· οὐκ ἀναγκαῖον δὲ ἐναλλάσσειν τὸν τόνον· καὶ γὰρ βαρυνόμενον ταὐτὸν ὑπισχνεῖται καὶ ἀκόλουθόν ἐστι μέσῳ δευτέρῳ ἀορίστῳ ὁριστικῷ τῷ «τὴν ἱκόμην φεύγων» (Il. Ξ 260). ὡς οὖν ἐλιπόμην λίπωμαι, ἱκόμην ἵκωμαι cf. Ο 17.

Ζήτηcιν δὲ ἔχουcι τὰ τοῦ ἐνεcτῶτοc χρόνου τοῦ ἀπὸ τῶν εἰc μι, πότε προπαροξύνονται καὶ πότε προπεριcπῶνται; καὶ ἔcτιν εἰπεῖν ὅτι, εἰ μὲν ἔχωcι τὸ ἐνεργητικὸν ὁριcτικὸν ἐν χρήcει, προπεριcπῶνται, τίθημι ἐὰν τιθῶμαι, ἵcτημι ἐὰν ἱcτῶμαι, δίδωμι ἐὰν διδῶμαι. εἰ δὲ μὴ ἔχωcι τὸ ἐνεργητικὸν ἐν χρήcει, προπαροξύνεται, δύναμαι ἐὰν δύνωμαι (τὸ γὰρ δύνημι οὐκ ἐν χρήcει), ἐπίcταμαι ἐὰν ἐπίcτωμαι, κρέμαμαι ἐὰν κρέμωμαι.

Τὰ δεύτερα τῶν εἰc μην παρῳχημένων βαρύνεται, ὁπότε βραχυκαταληκτεῖ. καὶ προπαροξύνονται μὲν κατὰ τὸ δεύτερον πρόcωπον ὑπὲρ δύο cυλλαβὰc ὑπάρχον, ἐτίθεcο, ἐδίδοcο, ἐπεποίηcο, ἔκειcο. τὸ δὲ ἧcο προπεριcπᾶται ὡc διcύλλαβον. εἰ δὲ μακρᾷ λήγουcιν, ἀορίcτου μὲν ὄντα παροξύνονται, ἐγράψω, ἐποιήcω, ἐγένου, ἐλάβου· παρατατικοῦ δὲ ὄντα ἀπὸ βαρυτόνων θεμάτων βαρύνονται, ἐλεγόμην ἐλέγου, ἐκρεμάμην ἐκρέμω. εἰ δὲ ἀπὸ περιcπωμένων ῥημάτων, περιcπῶνται, ἐποιούμην ἐποιοῦ, ἐνικώμην ἐνικῶ, ἐκρεμώμην ἐκρεμῶ.

Τῶν εἰc μην εὐκτικῶν τὰ δεύτερα πρόcωπα εἰc ο καταλήγουcι καὶ ἢ προπαροξύνονται ἢ προπεριcπῶνται. προπεριcπῶνται μὲν τὰ διcύλλαβα, cχοίμην cχοῖο, δοίμην δοῖο. ἔτι καὶ ὧν τὰ ἐνεργητικὰ εἰc μι λήγουcι, νοοίμην νοοῖο, ποιοίμην ποιοῖο, βιῴμην βιῷο. Ὁμοίωc δέ ἐcτιν εἰπεῖν, ὅcα ἀπὸ τῶν εἰc μι ὁριcτικῶν εἰcι καὶ ἔχουcι τὰ εὐκτικὰ ἐνεργητικὰ εἰc ην καθαρόν, προπεριcπῶνται, τίθημι τιθείμην τιθεῖο, τιθείην γὰρ τὸ εὐκτικὸν ἐνεργητικόν. τὸ δὲ δυναίμην δύναιο προπαροξύτονον διὰ τὸ μὴ ἔχειν δύνημι ἐν χρήcει οὔτε δυναίην εὐκτικόν. προπεριcπῶνται δὲ καὶ τὰ τοῦ παρακειμένου, δεδοίμην δεδοῖο, πεποιῄμην πεποιῇο, μεμνῄμην μεμνῇο, μεμνῴμην μεμνῷο. τὰ δὲ λοιπὰ πάντα δεύτερα πρόcωπα εἰc ο λήγοντα προπαροξύνονται, τυπτοίμην τύπτοιο, λεγοίμην λέγοιο, τετυψοίμην τετύψοιο· οὕτω καὶ μεμνεῴμην μεμνέῳο.

---

l. 6 ἐὰν κρέμωμαι addidi propter Choer. 883, 4 iam supra laudatum. De δύνωμαι cf. Il. Pr. Ζ 229: δύνηαι: ὡc λέγηαι καὶ φέρηαι «cὺ δέ κεν κακὸν οἶτον ὄληαι» (Il. Γ 417). Τυραννίων δὲ προπεριcπᾷ καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτοῦ πρόcωπον δώcει δυνῶμαι ὡc νικῶμαι· αλλ᾽ εἰ ἅπαξ ἐcτὶ τὸ ὁριcτικὸν κατὰ χρῆcιν, δύναμαι δύναcαι καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰc μι, ὁμοτονήcει τούτοιc καὶ τὰ ὑποτακτικά.. οὕτωc Ἀρίcταρχοc καὶ ἄλλοι. cf. Choer. 806, 27, Ep. Cr. I 177, 17.

l. 8 εἰc μην παρῳχημένων scripsi pro εἰc μι προcτακτικῶν et βραχυκαταληκτεῖ cum Schmidtio inserui et post προπαροξύνονται vocem μέν. l. 14 ἐκρεμάμην· ἐκρέμω et in fine ἐκρεμώμην ἐκρεμῶ addidi propter Choer. 883. Hoc loco etiam de affecta forma velut ἐκλέο pro ἐκλέεο ἐκλέου, quam Herodianus proparoxytonos, Ptolemaeus paroxytonos exhibuit expositum fuisse coniectari potest ex Il. Pr. Ω 202: ἐκλε᾽: τὴν κλε cυλλαβὴν ὀξυτονεῖ ὁ Ἀcκαλωνίτηc ἡγούμενοc τὸ πλῆρεc εἶναι ἐκλέου. οὐκ ἔcτι δέ, ἀλλ᾽ ἐκλέεο τετραcυλλάβωc. καὶ δῆλον ὅτι εἴτε cυγκέκοπται ἡ ὀξεῖα εἴτε ἡ βαρεῖα ἡ μετὰ τὴν ὀξεῖαν, ὀφείλει πάλιν τρίτη ἀπὸ τέλουc ἡ ὀξεῖα φυλάττεcθαι· οὐδὲ γὰρ ὁ χαρακτὴρ κωλύει· τὸ μέντοι cὺ δ᾽ αἰδέο καὶ μ᾽ ἐλέηcον (Il. Φ 74) καὶ τὰ τοιαῦτα πρώτηc ὄντα cυζυγίαc τῶν περιcπωμένων ἄλληc ἀναλογίαc ἔχεται ὡc ἐν ἑτέροιc εἴρηται cf. Lob. El. I 273 seqq.

l. 22 ἐνεργητικόν addidi, l. 24 πεποιῄμην cum ι scripsi, quod formae πεποιῇο iam Schmidt. subiecerat, et addidi μεμνῄμην μεμνῇο, μεμνῴμην μεμνῷο et in fine οὕτω — μεμνέῳο propter Il. Pr. Ψ 361: προπαροξυτονητέον τὸ μεμνέῳτο·

Τὰ εἰς τ̄ο̄ τρίτα τῶν εὐκτικῶν ὁμοτονεῖ τοῖς οἰκείοις δευτέροις, νοοῖο νοοῖτο, τύπτοιο τύπτοιτο, μεμνῇο μεμνῇτο ὡς παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ «ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου», μεμνῷο μεμνῷτο παρὰ Ξενοφῶντι ἐν Κύρου παιδείας πρώτῳ (6, 3) «ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο». μεμνέῳο μεμνέῳτο, «ὡς μεμνέῳτο δρόμου» (Ψ 361)

Τὰ εἰς τ̄ο̄ τρίτα τῶν ὁριστικῶν ὑπερδισύλλαβα ὄντα τότε προπερισπῶνται, ὅτε τὰ ἑαυτῶν δεύτερα περισπῶνται, ἐνοοῦ ἐνοεῖτο· ὅτε δὲ τὰ δεύτερα μὴ περισπᾶται, τὰ τρίτα προπαροξύνονται, ἐδέξω ἐδέξατο, ἐγένου ἐγένετο. ἧσο δὲ τὸ καθέζου καὶ ἧτο τὸ τρίτον καὶ πλεονασμῷ τοῦ σ̄ ἧστο προπερισπῶνται.

Πᾶν μονοσύλλαβον προστακτικὸν μακροκαταληκτούμενον περισπᾶται, θλᾶ, κλᾶ, ζῆ, τῆ ἀντὶ τοῦ δέξαι. βραχυκατάληκτον δὲ ὀξύνεται, σπές, σχές, ἕς, ἀφ' οὗ τὸ ἄφες, δός, φρές τὸ φέρε.

Τὰ εἰς θ̄ῑ προστακτικὰ βαρύνονται, τύπηθι, δάρηθι, τύφθηθι καὶ τύφθητι, βῆθι, στῆθι, ἴσθι τὸ γίνωσκε. τὸ φαθί ὀξύτονον σεσημείωται. τοῦτο δὲ ὀξύνουσιν, ἐπεὶ πᾶν ῥῆμα τῶν εἰς μ̄ῑ τροπῇ τοῦ μ̄ εἰς θ̄ συστέλλον τὴν παραλήγουσαν εἰς τὴν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν μετὰ τοῦ αὐτοῦ τόνου προστακτικὸν ποιεῖ, τίθημι τίθετι, ἵστημι ἵσταθι καὶ ἐπειδὴ ὀξύνεται τὸ φημί, ὀξύνεται καὶ τὸ φαθί. ἐγὼ δὲ οὐ συγκαθατίθεμαι τοῖς ὀξυτονοῦσι, οὐδὲν γὰρ προστακτικὸν εἰς θ̄ῑ λῆγον ὀξύνεται. παραλόγως δὲ ὀξύνεσθαι ἐπεκράτησεν.

γράφεται δὲ καὶ σὺν τῷ ῑ. τὸ ω̄. οὕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης, ἐκ τοῦ μεμνέοιτο ηγούμενος αὐτὸ εἶναι· παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε̄ ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρου παιδείας πρώτῳ «ἀλλ' ὅτε κτλ.» — τὸ δὲ ἀνάλογον διὰ τοῦ η̄ προσκειμένου τοῦ ῑ παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ «ἵνα κτλ.» — καὶ πάλιν προπερισπαστέον. ἐν ἑτέροις μέντοι (in libro περὶ ῥημάτων ut videtur) ἐντελῶς περὶ τοῦ σχηματισμοῦ διέλαβον. cf. Schol. ad Arist. l. c. pro τυψοίμην τύψοιο cum Schm. exhibui τετυψοίμην τετύψοιο. l. 2 μεμνῇο μεμνῇτο et μεμνῷο μεμνῷτο et μεμνέῳο μεμνέῳτο cum testimoniis apposui ex Il. Pr. l. c. l. 13 de τῆ Schol. ad Od. θ 477: τὸ τῆ ῥῆμα προστακτικόν ἐστι παρὰ τοῖς ποιηταῖς εἰρημένον χρόνου ἐνεστῶτος. καὶ ἔστιν ἀπὸ θέματος τοῦ τῶ ὡς λῶ λῇς λῇ, ζῶ ζῇς ζῇ, οὕτω τῶ τῇς τῇ. ὁ παρατατικὸς ἔτων ὡς ἔζων. τὸ δεύτερον καὶ τρίτον ἔτης ἔτη ὡς ἔζης ἔζη. ἐκ τούτου τοῦ τρίτου κατ' ἀποβολὴν τοῦ ε̄ γίνεται τὸ προστακτικὸν ὡς ἐχρύσου χρύσου. — pro σπέ Schmidt. scripsit σπές, sed pro σχέ idem propter compositorum formas sigma carentes rescribere noluit iniuria. Zenodotus in E. M. 740, 6, qui saepius Herodianum exscripsit, hoc tradit: σχές καὶ πρόσχες ῥῆμα προστακτικὸν καταλήξεως τῶν εἰς μ̄ῑ, τὸ ῥῆμα σχῆμι (sic scrib. pro ἴσχημι) καὶ γίνεται ἐκ τοῦ σχῶ ὁ μέλλων σχήσω, ὁ δεύτερος ἀόριστος ἔσχην· η μετοχὴ σχείς σχέντος καὶ τὸ προστακτικὸν σχές. ὁ δὲ Ἀπολλώνιος ἀπὸ τοῦ σχῶ κανονίζει, μόνον αὐτὸ σημειούμενος. ὥσπερ τὸ σπές ἀπὸ τοῦ σπῶ καὶ τὸ φρές ἀπὸ τοῦ φρῶ, οὕτω καὶ τοῦτο ἀπὸ τοῦ σχῶ, ἀλλὰ κακῶς. οὐχ εὑρίσκεται ὁ τεχνικὸς σημειούμενος ἐπὶ τῶν εἰς ω̄ εἰς ε̄ς̄ προστακτικόν κτλ. οὕτω Ζηνόβιος, in quo adnotamento, quamquam technici nomine Choeroboscus significari videtur Dict. 874, 20, tamen declinationem imperativi σχές ab σχῆμι verbo in μ̄ῑ et reprobationem Apollonii ab Herodiano ortum habere arbitror. cf. Lob. El. II 207. l. 17 τοῦτο δὲ ὀξύνουσιν usque ad finem explevi consultis Cr. An. Ox. II 468, 9 (An. Paris. III 316, 4): φαθί. διὰ τί ὀξύνει τὸ φαθί Ἀπολλώνιος; ἐπειδὴ πᾶν ῥῆμα τῶν εἰς μ̄ῑ τροπῇ τοῦ μ̄ εἰς θ̄ συστέλλον τὴν παραλήγουσαν κτλ. — τὸ φαθί. ὁ δὲ Ἡρωδιανὸς βαρύνει, οὐδὲν γὰρ κτλ. Schol. ad Arist. Eqq. 22: τὸ φάθι ὁ μὲν Ἀπολλώνιος ὀξύνει, ὁ δὲ Ἡρωδιανὸς βαρύνει, παραλόγως γὰρ ὀξύνεσθαι, in fine verbum ἐπεκράτησεν ex superiore loco Arcadii

Πᾶν προστακτικὸν ὑπὲρ μίαν cυλλαβὴν ὁμοιοκατάληκτον τῷ οἰκείῳ ὁριστικῷ καὶ ὁμότονόν ἐστιν αὐτῷ, ἔτυπτε τύπτε, ἐνόει νόει, ἐβόα βόα, ἐτίθη τίθη, ἐπίμπλη πίμπλη, ἵcτην ἵcτης ἵcτη καὶ ἵcτη, ἐκρήμνην ἐκρήμνης ἐκρήμνη καὶ κρήμνη, ὡς παρ' Εὐριπίδῃ «κρήμνη cεαυτὴν ἐκ μέcης ἀντηρίδος»· ἐτύπτου τύπτου. τὸ δὲ λαβοῦ καὶ πιθοῦ παρὰ Ἀττικοῖς περιςπᾶται. οὐ πάντῃ δὲ τὰ προστακτικὰ τοῦ δευτέρου ἀορίστου περιςπῶνται, εὑρίcκεται γὰρ τὸ ἀφίκου βαρυνόμενον καὶ τὸ ἴδου. ἔτι καὶ τὸ ἐλθέ καὶ εἰπέ καὶ εὑρέ ὀξύνουcιν. ἔcτι δὲ ἀπολογεῖcθαι περὶ αὐτῶν κατὰ δύο τρόπους. τὰ γὰρ ἀπαρέμφατα τοῦ β' ἀορίστου εἴωθεν ὁ ποιητὴς κατὰ διάλυcιν προφέρειν οἷον φαγεῖν φαγέειν, ἰδεῖν ἰδέειν, ταῦτα δὲ οὐ προφέρεται κατὰ διάλυcιν· τὸ γὰρ ἐλθεῖν οὐκ εἶπεν ἐλθέειν οὐδὲ τὸ εἰπεῖν εἰπέειν οὐδὲ τὸ εὑρεῖν εὑρέειν. ἐπειδὴ οὖν ταῦτα ἡμαρτήθηcαν κατὰ τοῦτο, φημὶ τὸ μὴ διαλύεcθαι, τούτου χάριν καὶ ἐν τοῖς προστακτικοῖς κατὰ τὸν τόνον ἡμαρτήθηcαν καὶ ὠξυτονήθηcαν. ἄλλως τε δὲ ὁ β' ἀόριστος οὐ θέλει μακρᾷ παραλήγεcθαι, ἀλλὰ βραχείᾳ οἷον ἔλαβον ἔφαγον ἔνυγον. ταῦτα δὲ μακρᾷ παραλήγεται οἷον ἦλθον εἶπον εὗρον. ἐπειδὴ οὖν διήλλαξε περὶ τὸν χρόνον τῆς παραληγούcης ἐν τοῖς ὁριστικοῖς, τούτου χάριν διήλλαξε καὶ περὶ τὸν τόνον ἐν τοῖς προστακτικοῖς καὶ ὠξυτονήθηcαν.

* Τὰ εἰς $\overline{\text{τε}}$ προστακτικὰ ὁμοιοκατάληκτα ὄντα τοῖς ὁριστικοῖς

148, 26 addidi. Quum autem ex Apollon. de syntaxi p. 264, 3: ἔνθεν οὐ cυγκατατίθεμαι τοῖς ἐν προστακτικῇ προφορᾷ ὀξυτονοῦcι τὸ φαθί appareat parum accurate Apollonii sententiam in An. et Schol. relatam esse, et pateat Apollonium cum Herodiano in barytonesi imperativi φάθι consensisse, pro Apollonii nomine indefinite Herodianum ὀξύνουcι dicentem feci et pro ipsius nomine ἐγὼ δὲ οὐ cυγκατατίθεμαι posui. cf. Skrzeczka Apollon. doctrin. verb. I 7. l. 3 ἐτίθη — ἵcτη adieci ex Herod. περὶ παθῶν in E. M. 477, 56, Gud. 288, 25: λέγομεν ἡμεῖς, ὅτι οὐ μόνον ἐπὶ τῶν εἰς $\overline{\text{ω}}$ ῥημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς $\overline{\text{μι}}$ τὰ τρίτα πρόcωπα τῶν παρατατικῶν δεύτερα πρόcωπα τῶν προστακτικῶν γίνεται οἷον νόει φίλει βόα. οὕτως οὖν καὶ οἱ Ἀττικοί, ἐὰν μὴ χρήcωνται τῇ $\overline{\text{θι}}$ καταλήξει, χρῶνται τοῖς τρίτοις προcώποις τῶν παρατατικῶν ἐν προστακτικοῖς οἷον ἐτίθην ἐτίθης ἐτίθη κτλ., ἐκρήμνην — ἀντηρίδος ex E. M. 537, 35: κρήμνη: «κρήμνη — ἀντηρίδος» ὡς ἀπὸ τοῦ ἱcτῶ ἵcτημι ὁ παρατατικὸς ἵcτην ἵcτης ἵcτη καὶ τὸ προστακτικὸν ἵcτη, οὕτω καὶ ἀπὸ τοῦ κρημνῶ γίνεται κρήμνημι, ὁ παρατατικὸς ἐκρήμνην ἐκρήμνης ἐκρήμνη καὶ τὸ προστακτικὸν κρήμνη. De ἐτύπτου τύπτου cf. Herodian. ap. Choer. 765: τὰ εἰς $\overline{\text{μην}}$ ἔχοντα τὸ $\overline{\text{μ}}$ κλιτικὸν τότε ἔχουcι τὰ ἴδια προστακτικὰ ὁμοιοκατάληκτα τοῖς ἰδίοις δευτέροις προcώποις, ἡνίκα καὶ τὸ προστακτικὸν τὸ ἐνεργητικὸν ὁμοιοκαταληκτεῖ τῷ ἰδίῳ ὁριστικῷ ἢ εἰς $\overline{\text{θι}}$ λήγει οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε τύπτε ὁμοιοκαταλήκτως, ἀλλὰ καὶ ἐτυπτόμην ἐτύπτου τύπτου ὁμοιοκαταλήκτως et Choer. p. 756, 6. Hic etiam de accentu formae αἰδεο pro αἰδέεο, quam Herodianus paroxytonos scripsisse ex Il. Pr. Ω 202 coniectari licet, disputatum fuisse probabile est. — l. 6 οὐ πάντῃ — l. 8 ἴδου ex Choerob. p. 628 recepi, ubi: λέγει ὁ Ἡρωδιανὸς ὅτι τὰ προστακτικὰ τοῦ δευτέρου ἀορίστου οὐ πάντῃ περιςπῶνται κτλ. — l. 8 ἔcτι δὲ ἀπολογεῖcθαι usque ad finem transscripsi ex Choer. 754, 25: ἄξιόν ἐcτι ζητῆcαι, διατί τὸ ἐλθέ καὶ εἰπέ καὶ εὑρέ ὀξύνονται· ἰcτέον ὅτι ἀπολογεῖται περὶ αὐτῶν Ἡρωδιανὸς κατὰ δύο τρόπους. φηcὶ γὰρ ὅτι τὰ ἀπαρέμφατα κτλ. — A Choerobosc. additur: λέγουcι δέ τινες ὅτι καὶ τὸ φάγε καὶ πῖε οἱ Ἀττικοὶ φαγέ καὶ πιέ λέγουcιν ὀξυτόνως, ὅπερ οὐκ ἐπεκράτηcεν. l. 20 hunc canonem apposui ex E. M. 381, 59 (Choer. 743, 32), cum quibus congruit Il. Pr. Γ 280: ἀναγκαῖόν ἐcτι παραφυλάξαι ἐκεῖνο ὡς ὅτι τὰ εἰς $\overline{\text{τε}}$ λήγοντα ὁριστικὰ καὶ προστακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεcταλμένου τοῦ ἔcτι κτλ.,

ὁμότονα καθεστήκασιν οἷον ὅτι λέγετε — λέγετε, ὅτι ἄγετε — ἄγετε. ἐπίστασιν οὖν ἔχει τὸ ἔστε. τὸ μὲν ὁριστικὸν ὀξύνεται, τὸ δὲ προστακτικὸν βαρύνεται. ὁμοίως καὶ τὸ φάτε.

* Τὰ εἰς c̅θ̅ε̅ προστακτικὰ ὁμοιοκατάληκτα τῷ οἰκείῳ ὁριστικῷ καὶ ὁμότονά ἐστιν αὐτῷ, ἐτύπτεσθε — τύπτεσθε, ἐλέγεσθε — λέγεσθε, ἐπίθεσθε πίθεσθε, ἐλάβεσθε λάβεσθε. τὸ δὲ πιθέσθε λαβέσθε παροξυνόμενα μεταγενεστέρων Ἰώνων ἐστίν.

Τὰ εἰς α̅ι̅ ὑπερδισύλλαβα προστακτικὰ προπαροξύνονται, ποίησαι, ἄσπασαι, πείρησαι «εἰ δ' ἄγε μὴν πείρησαι» (Α 302), «ἀλλὰ cὺ μὲν κατάλεξαι» (Od. τ 44), «νῦν δ' αὖτ' ἐμὸν ἔγχος ἄλευαι» (Il. Χ 285). τὸ δὲ λοῦσαι καὶ δέξαι καὶ κτῆσαι βαρύνονται ὡς δισύλλαβα.

Πᾶν ἀπαρέμφατον ἢ εἰς ν̄ λήγει ἢ εἰς α̅ι̅. καὶ τὰ εἰς ν̄ μακροκατάληκτα δύο ἔχει τόνους. ἢ γὰρ βαρύνονται ἢ περισπῶνται. καὶ τὰ μὲν μονοσύλλαβα περισπῶνται, πλεῖν, ῥεῖν, ζῆν, δρᾶν. τὰ μέντοι ὑπὲρ μίαν συλλαβὴν ἢ βαρύνεται ἢ περισπᾶται. βαρύνεται μὲν τὰ ἀπὸ βαρυτόνων χρόνων ἐνεστῶτος καὶ μέλλοντος τύπτω τύπτειν, τύψω τύψειν, ποιήσω ποιήσειν. τότε δὲ περισπᾶται, ὅτε καὶ τὰ ὁριστικὰ περισπῶνται, ποιῶ ποιεῖν, κτυπῶ κτυπεῖν, στελῶ στελεῖν, χρυσῶ χρυσοῦν, βοῶ βοᾶν. καὶ οἱ μὲν ἐνεστῶτες ἀπὸ ἐντελείας ἔχουσι τὴν περισπωμένην ποιέειν ποιεῖν, οἱ δὲ δεύτεροι μέλλοντες οὔ· ἀπὸ γὰρ τοῦ εὐφρανεῖν γέγονε κατὰ διάλυσιν τὸ εὐφρανέειν. καὶ τὰ δὲ εἰς ν̄ τοῦ δευτέρου ἀορίστου ἀπὸ κλίσεως περισπῶνται, ὥσπερ καὶ τὰ περισπώμενα, δραμεῖν, φαγεῖν, πιεῖν, ἐλθεῖν, ἰδεῖν. τὸ δὲ πέφνειν σεσημείωται. ἐβαρύνθη δέ, ἐπειδὴ καὶ ἡ μετοχὴ τούτου ἐβαρύνθη.

Τὰ δὲ εἰς α̅ι̅ λήγοντα ἀπαρέμφατα πάντα βαρύνεται, τύψαι, ποιῆσαι, κεῖραι — τὸ δὲ ποιήσαι κείραι εὐκτικά ἐστι — τελέσαι,

---

ubi quamquam φάτε non diserte memoratur, tamen hoc proferre non dubitavi cf. Lehrs quaest. ep. p. 126. l. 3 hunc canonem ipse composui consulta Il. Pr. C 266: πίθεσθε: Τυραννίων παρώξυνε τὸ πίθεσθε, ἀγνοῶν ὅτι μεταγενεστέρων Ἰώνων ἐστὶ τὰ τοιαῦτα πιθέσθε λαβέσθε. l. 9 πείρησαι — ἄλευαι addidi ex Il. Pr. Α 302: εἰ δ' ἄγε μὴν πείρησαι: προπαροξυτονητέον τὸ πείρησαι, ἵνα ᾖ προστακτικὸν ὡς τὸ «cὺ δὲ φράσαι» (83) καίτοι πολλάκις τῶν τοιούτων τὸν τόνον ἐχόντων τῶν ἀπαρεμφάτων, λέγω δὲ τῶν εἰς α̅ι̅ ληγόντων· «ἀλλά με κακκεῖαι cὺν τεύχεσι» (λ 74) «τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοισι τανύσσαι» (Od. ε 346). οὐ μέντοι τὸ τοιοῦτο διηνεκές. ἔστι γὰρ ἃ καὶ ἐφύλαξαν τὸν ἴδιον τόνον· «ἀλλὰ cὺ μὲν κατάλεξαι» καὶ «νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι». καὶ τὸ τοιοῦτο διδάξαι ἄν, ὅτι ἐπὶ τινῶν μὲν ἤλλαξαν τοὺς τόνους, ἐπὶ τινῶν δ' οὔ. ἐνθάδε μέντοι κατὰ λόγον δοκεῖ ἡ προστακτικὴ ἀνάγνωσις κεῖσθαι· εἰ γὰρ πρόκειται τὸ ἄγε παρακελευστικὸν ἐπίρρημα, ὅπερ σημεῖόν ἐστι προστακτικῆς ἐγκλίσεως, οἰκείως καὶ τὰ τῆς ἀναγνώσεως ἐγένετο, ἄγε πείρησαι, ὡς καὶ ἐν ἑτέροις «δεῦρ' ἄγε καὶ cὺ ξεῖνε πείρησαι ἀέθλων» (Od. θ 145). l. 16 τύπτω τύψω ipse apposui et l. 19 βοῶ βοᾶν. verba καὶ οἱ μὲν ἐνεστῶτες — l. 21 τὸ εὐφρανέειν adieci ex Il. Pr. Γ 236: ἰδέειν: οὐκ ἔστιν ἐντελὲς τὸ ἰδέειν, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ ἰδεῖν γέγονε κατὰ διάλυσιν, ὥσπερ ἀπὸ τοῦ εὐφρανεῖν τὸ εὐφρανέειν· οἱ γὰρ δεύτεροι ἀόριστοι καὶ μέλλοντες οὐκ ἔχουσι τὴν περισπωμένην ἀπὸ ἐντελείας ὥσπερ οἱ περισπώμενοι ἐνεστῶτες. Idem habet Choer. 662, 5. Propter inserta verba καὶ ante τὰ δὲ εἰς ν̄ interposui, pro ἄκλιτα scripsi ἀπὸ κλίσεως, opponuntur enim ἀπὸ κλίσεως περισπώμενα τοῖς ἀπὸ ἐντελείας ἔχουσι τὴν περισπωμένην. — l. 24 ἐβαρύνθη usque ad finem adieci ex Choer. 730, 9 cf. Il. Pr. Π 827, Ρ 539.
l. 26 τὸ δὲ ποιήσαι κείραι εὐκτικά ἐστι inserui, quia hic alicubi Herodianum hoc

cυρίcαι, λεπίcαι, τιθέναι, ἱcτάναι, διδόναι, ζευγνύναι, cτῆναι, βῆναι, γνῶναι, βιῶναι, ἁλῶναι, θεῖναι, δοῦναι, εἶναι, τυφθῆναι, τετύφθαι, τύπτεcθαι, τυπέcθαι.

* Πᾶν ἀπαρέμφατον εἰc cθαι ἁπλοῦν πάντωc ὁμοτονεῖ τῷ ἰδίῳ ὁριcτικῷ οἷον τύπτεται τύπτεcθαι, βοᾶται βοᾶcθαι, χρυcοῦται χρυcοῦcθαι, τυφθήcεται τυφθήcεcθαι, τυπήcεται τυπήcεcθαι, ἔρχεται ἔρχεcθαι, ἐτύψατο τύψαcθαι, ἐποιήcατο ποιήcαcθαι, τύψεται τύψεcθαι χωρὶc τῶν εἰc θαι ἀπαρεμφάτων τοῦ παθητικοῦ παρακειμένου καὶ δευτέρου μέcου ἀορίcτου. ταῦτα γὰρ οὐχ ὁμοτονοῦcι τοῖc ἰδίοιc ὁριcτικοῖc, ἀλλὰ πρὸ μιᾶc ἔχουcι τὸν τόνον οἷον πεποίηται πεποιῆcθαι, νενόηται νενοῆcθαι, τέτυπται τετύφθαι, γέγραπται γεγράφθαι, λέλεκται λελέχθαι, ἐτύπετο τυπέcθαι, ἐνύγετο νυγέcθαι, ἐλάβετο λαβέcθαι, ἵκετο ἱκέcθαι, ἀφίκετο ἀφικέcθαι. cεcημείωται τὸ ἔρεcθαι δευτέρου μέcου ἀορίcτου ὂν καὶ προπαροξυνόμενον, περὶ οὗ ἔcτιν εἰπεῖν ὅτι ἐξηκολούθηcε τῷ δέρεcθαι καὶ φέρεcθαι καὶ cτέρεcθαι, ἅτινά εἰcιν ἐνεcτῶτοc καὶ παρατατικοῦ, καὶ ἐκ τοῦ ἐναντίου δὲ cεcημείωται τὸ λιτέcθαι ἐνεcτῶτοc καὶ παρατατικοῦ ὂν καὶ παροξυνόμενον οἷον «οἱ τ' αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέcθαι» (Π 47) ἀντὶ τοῦ ἱκετεύειν. ὤφειλε γὰρ προπαροξύνεcθαι ὁμοίωc τῷ ἰδίῳ ὁριcτικῷ τῷ λίτεται. κάλλιον δὲ ἠκολούθηcε τῷ λιπέcθαι θέcθαι ἰδέcθαι, ἅτινά εἰcι δευτέρου μέcου ἀορίcτου. Cεcημείωται

---

discrimen attigisse sumendum sit cf. Il. Pr. Α 255: ἤ κεν γηθήcαι Πρίαμοc: τὸ γηθήcαι παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐcτιν, ἡ δὲ αι ἐν τοῖc εὐκτικοῖc μακρά ἐcτιν Τ 81, Η 129 et 130, Io. Al. 6, 2, Choer. 763, 17; ex p. 725, 31 infinitivos τελέcαι — λεπίcαι, ex p. 724 et 725 τιθέναι — εἶναι addidi et τυπέcθαι in fine ipse apposui, ne deesset infinitivus aoristi II medii. l. 4—6 pag. seq. addidi ex Choer. 731, 30 seqq., quo in loco bis Herodiani Catholica disertis verbis citatur: κάλλιον δέ φηcιν Ἡρωδιανὸc ἐν τῇ καθόλου ἠκολούθηcε τῷ λιπέcθαι κτλ. et de ἐγρήγορθαι — περὶ οὗ λέγει Ἡρωδιανὸc ἐν τῇ καθόλου, ὅτι Αἰολίδοc κτλ. — De accentu infinitivi perfecti cf. Schol. ad Od. Ξ 260: ἔρυcθαι: ἐνεcτῶτόc ἐcτιν ὡc πήγνυcθαι, παρακειμένου δὲ εἰρύcθαι, γ 268, ε 484, de ἀκάχηcθαι et ἀκαχῆcθαι Il. Pr. Ι 335. — De infinitivo aoristi II Il. Pr. Α 19 ἱκέcθαι: μέcοc ἀόριcτοc δεύτεροc· διὸ παροξύνεται; de ἔρεcθαι et λιτέcθαι Il. Pr. Π 47: λιτέcθαι: ὁ Ἀcκαλωνίτηc ἀξιοῖ ὁμοίωc τῷ λίccεcθαι, ἐπεὶ ἐνεcτῶτοc χρόνου ἀπὸ ὁριcτικοῦ τοῦ λίτομαι. εἰcὶ δὲ οἳ παροξύνουcιν ὁμοίωc τῷ λαβέcθαι. ἐγὼ δ' ἐπαινῶ τὸν Ἀcκαλωνίτην προπαροξύνοντα ἐπὶ ἐνεcτῶτοc. τοῦτο γάρ ἐcτι καὶ τὸ δηλούμενον. ἔμελλε γὰρ αὐτῷ θάνατον λίccεcθαι. δοκεῖ δέ μοι ἡ πλείων παράδοcιc παροξύνειν οὐκ ἀπιθάνωc. ὅνπερ γὰρ τρόπον ἐν ἑτέροιc διαλαμβάνων περὶ τοῦ «μεταλλῆcαι καὶ ἔρεcθαι» (Od. γ 69) ἀξιούντων πάντων τὸ ἐρέcθαι ὁμοίωc τῷ πυθέcθαι, ἐπειδήπερ μέcοc δεύτεροc ἀόριcτόc ἐcτιν, ἀπεφηνάμην ὡc ἡ παράδοcιc τρίτην ἀπὸ τέλουc ἐποίηcε τὴν ὀξεῖαν οὐ τῷ cημαινομένῳ πειcθεῖcα ἀλλὰ τῷ χαρακτῆρι τῆc φωνῆc, ἐπεὶ τὰ τοιαῦτα τῶν ἀπαρεμφάτων προπαρωξύνετο, ὄντα ἐνεcτῶτοc, οἷον φέρεcθαι δέρεcθαι, ἃ εἶχε τὴν ρε cυλλαβὴν πρὸ τέλουc, τῆc ἀρχούcηc cυλλαβῆc εἰc τὸ ε̄ ληγούcηc — οὕτω καὶ τὸ ἔρεcθαι ἀναδεξάμενον τὸν αὐτὸν χαρακτῆρα παρωξύνετο, οὐ τῷ λόγῳ τοῦ ἀορίcτου, τῇ δὲ ὁμοιότητι τῆc φωνῆc — τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ προκειμένου, ὀφείλει γὰρ λιτεcθαι προπαροξύνεcθαι. τοῦτο γὰρ αἰτεῖ καὶ τὸ νοητὸν καὶ ὁ cχηματιcμόc, παρὰ τὸ λίτομαι. ἀλλ' ἐπεὶ τὰ εἰc cθαι ἀπαρέμφατα τῷ ε̄ παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰc μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλουc cυλλαβῇ τὸ ῑ cυνεcταλμένον, μὴ ἐπιφερομένων αὐτῷ μήτε δύο cυμφώνων μήτε διπλοῦ, παρωξύνετο, ὥcπερ ἔχει τὸ λιπέcθαι, πιθέcθαι, ἰδέcθαι, ἱκέcθαι, οὕτωc καὶ τὸ λιτέcθαι παρώξυνεν ἡ παράδοcιc, οὐ τῷ λόγῳ τοῦ ἐνεcτῶτοc πειcθεῖcα, τῷ δὲ τοῦ χαρακτῆροc· παρεκτέταται τὸ κεφά-

τὸ ἐγρήγορθαι οἷον «ἐγρήγορθαι ἄνωχθι» (Κ 67), ὅτι παρακειμένου ὃν προπαροξύνεται· περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι Αἰολίδος ἐστὶ διαλέκτου καὶ τούτου χάριν ἀνεβίβαϲε τὸν τόνον· οἱ γὰρ Αἰολεῖϲ ἀναβιβαστικοὶ τῶν τόνων εἰϲί. τὸ γὰρ Ἀτρεύϲ Ἄτρευϲ λέγουϲι καὶ τὸ Πηλεύϲ Πήλευϲ. — πρόϲκειται ἐν τῷ κανόνι ἁπλοῦν διὰ τὸ κατάκειται κατακεῖϲθαι, κάθηται καθῆϲθαι.

* Ὅϲα εἰϲ θαι λήγει ἀπαρέμφατα μὴ κατ' Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλουϲ ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τοῦ τέλουϲ βραχύνεϲθαι, λέγεϲθαι, τίθεϲθαι, ἵϲταϲθαι, κίχραϲθαι, πίμπραϲθαι. ὅϲα δὲ πρὸ τέλουϲ ἔχει φύϲει μακράν, περιϲπᾶϲθαι θέλει, νικᾶϲθαι, φιλεῖϲθαι. τὰ γὰρ τοιαῦτα δίζηϲθαι, φίληϲθαι ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. ὅθεν οἱ ἀξιοῦντεϲ ἐκτείνειν τὸ δεύτερον ᾱ ἐν τῷ εὐχετάαϲθαι, πάντωϲ μὲν περιϲπῶϲιν· εἰ δὲ δεδώκαϲι τρίτην ἀπὸ τέλουϲ τὴν ὀξεῖαν, δώϲουϲι καὶ τὴν παραλήγουϲαν βραχυνομένην· οὕτωϲ οὖν πάντα ταῦτα ἀναγνωϲτέον, δεδάαϲθαι (Od. π 316), μηχανάαϲθαι (Od. γ 213), αἰτιάαϲθαι (Il. Κ 210), ἑδριάαϲθαι (Od. γ 35), μνάαϲθαι (Od. α 39).

ΠΕΡΙ ΤΩΝ ϹΥΝΘΕΤΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΕΤΙ ΠΕΡΙ ΜΕΤΟΧΩΝ.

ΒΙΒΛΙΟΝ ιζ′.

Πᾶν ῥῆμα ὀξύτονον ἐν τῇ ϲυνθέϲει ἀναδίδωϲι τὸν τόνον· καὶ εἰ μὲν διϲύλλαβον εἴη τὸ ἁπλοῦν, τὸ ϲύνθετον προπαροξύνεται, φημί ϲύμφημι, ἐϲτί ϲύνεϲτι, εὑρέ ἔφευρε, τὸ γὰρ ἐφεῦρε ἐκ τοῦ εὗρε βαρυτόνου ἐγένετο, εἰπέ κάτειπε. εἰ δὲ μονοϲύλλαβον εἴη τὸ ἁπλοῦν, τὸ ϲύνθετον παροξύνεται, δόϲ ἀπόδοϲ, θέϲ ἐπίθεϲ, ἕϲ πρόεϲ ϲημαῖνον τὸ ἄφεϲ, ϲχέϲ ἐπίϲχεϲ, ϲπέϲ ἔνιϲπεϲ «ϲὺ δ' ἀληθὲϲ ἐνίϲπεϲ» (Od. γ 247), τὸ δὲ «ὥϲ μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸϲ ἔνιϲπεϲ» (Ω 388) ἐϲτιν ὁριϲτικὸν ἐκ τοῦ ἤνιϲπεϲ τὴν ἀρχὴν ϲυϲτείλαντοϲ. τὸ μέντοι ἄνευ τοῦ ϲ̄

λαιον τῷ Ἡρωδιανῷ. — De ἐγρήγορθαι cf. Il. Pr. Κ 67: τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντεϲ, οὐκ ἐχρῆν δέ. εἴτε γὰρ ϲυγκοπή ἐϲτι τοῦ ἐγρηγορέναι εἴτε παθητικόϲ, ὀφείλει παροξύνεϲθαι, καθότι τὰ εἰϲ θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ̄ ἀμετάβολον, παροξύνεται, κεκάρθαι, τετίλθαι, ἐϲπάρθαι· μίαν μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύναϲθαι προπαροξύνεϲθαι τὸ ἐγρήγορθαι τὸ τὰ εἰϲ θαι λήγοντα, τῇ ο̄ρ̄ ϲυλλαβῇ παραληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶϲθαι ἢ τῇ Αἰολίδι, τέτορθαι, μέμορθαι, ἔφθορθαι. ὅθεν ἐπεὶ ἡ παράληξιϲ Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνοϲ ὁμοίωϲ τοῖϲ προκειμένοιϲ. cf. Ep. Cr. I 126, 27. l. 7 hunc canonem recepi ex Il. Pr. Ζ 268. l. 19 cf. Il. Pr. Η 862 ἀπόφημι ὡϲ ἄπειμι· τὰ γὰρ ὀξυνόμενα τῶν ῥημάτων ἐν τῇ ϲυνθέϲει ἀναδίδωϲι τὸν τόνον. l. 23 pro ϲεϲημείωται τὸ πρόεϲ τὸ ἄφεϲ scripsi πρόεϲ ϲημαῖνον τὸ ἄφεϲ, nam nusquam huius exceptionis mentio fit neque in E. M. 381, 11 neque ap. Choer. 894, 5, ubi ἕϲ ϲημαίνει τὸ πέμψον prolato Il. Α 127; verbis transpositis ex ϲημαῖνον sive ϲημαίνει ortum videtur ϲεϲημείωται. cf. Goettling de acc. p. 46. — l. 24 ϲὺ δ' — p. seq. l. 1

προστακτικὸν προπαροξύνεται. λέγω δὲ τὸ «νημερτές μοι ἔνισπε» (Od. δ 642) — χρή ἀπόχρη. τὸ γὰρ ἀποχρῆ ἀπὸ τοῦ χρῆ περισπωμένου ἐγένετο.

Τὰ εἰς ω̄ μονοσύλλαβα μὴ ἔχοντα τὴν μετοχὴν εἰς c̄ ὀξύτονον ἐπὶ ἐνεστῶτος μετὰ προθέσεως συντεθειμένα τὴν περισπωμένην φυλάττει καὶ ἐν τῇ συνθέσει, σμῶ περισμῶ, δρῶ συνδρῶ, κλῶ συγκλῶ, ὦ συνῶ, παρῶ. πρόσκειται «ἐπὶ ἐνεστῶτος» διὰ τὸ σχῶ παράσχω, σπῶ ἐπίσπω, τὸ δὲ βῶ ἀναβῶ, δῶ παραδῶ φυλάσσει τὸν αὐτὸν τόνον ὡς ἔχοντα τὴν μετοχὴν εἰς c̄ ὀξύτονον. πρόσκειται «μετὰ προθέσεως» διὰ τὸ ἄζω τὸ ξηραίνω. τοῦτο γὰρ ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ ζῶ.

* Τὰ εἰς ου̅ μονοσύλλαβα προστακτικά, ἡνίκα μὲν συντεθῇ μετὰ μονοσυλλάβου προθέσεως, περισπᾶται οἷον οὗ προοῦ. ἡνίκα δὲ μετὰ δισυλλάβου, βαρύνεται, θοῦ ἀπόθου κατάθου, σχοῦ ἀνάσχου.

Πᾶν ῥῆμα ὁριστικὸν εἰς ω̄ ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει φυλάττει τὸν αὐτὸν τόνον, γράφω καταγράφω, βαίνω μεταβαίνω, φιλῶ καταφιλῶ, λέγω ἀλέγω. τὸ δὲ χειρογραφῶ καὶ καλαμογλυφῶ καὶ ἀσθενῶ καὶ εὐσεβῶ καὶ ἀπειθῶ οὐ φυλάττουσι τὸν τόνον· οὐ γὰρ ἀπὸ ῥημάτων συνετέθησαν.

Πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν φυλάττει τόνον καὶ ἐν τῇ συνθέσει, εἶχον κατεῖχον, ἧψα συνῆψα, εἶπον ἐξεῖπον, εὗδον «εὗδ' ἀνακλινθείς» (Od. δ 794) καθεῦδον «ἔνθα καθεῦδ' ἀναβάς» (Α 611), ἧστο καθῆστο, πλὴν τοῦ εἶξεν ὑπόειξεν ὡς παρὰ τῷ ποιητῇ ἐν Ὀδυσσείᾳ (π 42)

τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς,

εἶκον ὑπόεικον «νεῶν δ' ὑπόεικον ἀνάγκῃ (Π 305). τὸ δὲ οἶδα σύνοιδα Αἰολικόν. χαίρουσι γὰρ οἱ Αἰολεῖς ἀναβιβάζειν τοὺς τόνους ὥσπερ ἐπὶ τοῦ Ἀτρεύς Ἄτρευς. πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενα διὰ τὸ

προπαροξύνεται ex Il. Pr. Ω 388: ἔνισπες: ὡς ἔδραμες· ἔστι γὰρ ὁριστικὸν ἐκ τοῦ ἤνισπες κτλ. cf. Schol. Od. ξ 185. l. 6 pro ἀθλῶ substituendum esse monosyllabum ipse canon indicat, posui δρῶ συνδρῶ et post ὦ συνῶ παρῶ addidi ex Choer. 798, 25; ex eodem loco postea σπῶ ἐπίσπω; βῶ autem ἀναβῶ, δῶ παραδῶ ex E. M. 495, 1, An. Ox. II 334, 20, unde nostrum canonem explevi addens φυλάσσει — ὀξύτονον: πᾶν ὁριστικὸν ὑποτακτικὸν μονοσύλλαβον εἰς ω̅ λῆγον ἔχον τὴν μετοχὴν εἰς c̄ ὀξύτονον, τὸν αὐτὸν τόνον φυλάσσει ἐν τῇ συνθέσει οἷον βάς βῶ ἐὰν ἀναβῶ, δούς δῶ ἐὰν παραδῶ. εἰ δὲ μὴ ἔχει τὴν μετοχὴν εἰς c̄ ὀξύτονον, ἀναπέμπει τὸν τόνον σχῶ κατάσχω, σπῶ ἐπίσπω — ὁμοίως καὶ τὰ πληθυντικὰ κατάσχωμεν, πρόσχωμεν. l. 12 hunc canonem recepi ex E. M. 688, 38 collata Il. Pr. Η 110: τὸ σχέο τὴν ὀξεῖαν ἴσχει ἐφ' ἑαυτοῦ νῦν· ὅταν μέντοι ἀπολάβοι τὴν πρόθεσιν, τηνικαῦτα ἀναπέμπει τὸν τόνον ἀνάσχεο, unde σχοῦ ἀνάσχου recepi. l. 22 εὗδον — καθεῦδον cum exemplis sumpsi ex Il. Pr. Α 611: τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους ἐν ὁριστικοῖς ἀπαθῆ ὄντα φυλάσσει τὸν τόνον ἐν τῇ συνθέσει εἶχον κατεῖχον, ὅθεν εἰ «εὗδ' κτλ.», δῆλον ὅτι καθεῦδεν ὁμοτόνως ὀφείλομεν προφέρεσθαι cf. Φ 244, E. M. 105, 2, An. Paris. III 370, 25, Ep. Cr. I 220, ἧστο καθῆστο ex An. Par. III 366, 4, ad ὑπόειξεν verba Homerica apposui ex Choer. 591, item ad ὑπόεικον; sic enim pro ἐπίεικον scripsi propter Il. Pr. Π 305: ζητῶ περὶ τοῦ τόνου

χεῦε περιέχευε, κεῖτο κατέκειτο. πρόϲκειται ἀπὸ φύϲει μακρᾶϲ διὰ τὸ ἷζε ἔφιζε «Νέϲτωρ δ᾽ αὐτὸϲ ἔφιζε» (Od. γ 411). ἷεν ξύνιεν «καὶ μέν μευ βουλέων ξύνιεν» (Α 273) ὡϲ «αὐτὰρ ἐπεὶ κόϲμηθεν» (Il. Γ 1). εἶχε κάτεχε «νὺξ δὲ μάλα ϲτυγερὴ κάτεχ᾽ οὐρανόν» (Od. ν 269). πρόϲκειται «ὁριϲτικόϲ» διὰ τὸ εἰπέ ἔξειπε, εὑρέ ἔφευρε εὗδε κάθευδε, ἧϲο κάθηϲο «ἀλλ᾽ ἀκέουϲα κάθηϲο» (Α 565).

* Πᾶν ὑποτακτικὸν εἰϲ μαι λῆγον ἐπὶ δευτέρου μέϲου ἀορίϲτου ἐν τῇ ϲυνθέϲει προπαροξύνεται οἷον θῶμαι ἀπόθωμαι καὶ διάθωμαι «δεῦτε τέκνον καὶ διάθωμαι», ϲχῶμαι ἀπόϲχωμαι «ἀπόϲχωνται πολλοί».

* Τὰ εἰϲ μι εὐκτικὰ ἀπὸ μονοϲυλλάβων ῥημάτων ἐπὶ ἐνεϲτῶτοϲ τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ ϲυνθέϲει, ϲμῷμι ϲμῷϲ ϲμῷ περιϲμῷμι περιϲμῷϲ περιϲμῷ, δρῷμι δρῷϲ δρῷ ϲυνδρῷμι ϲυνδρῷϲ ϲυνδρῷ. πρόϲκειται «ἐπὶ ἐνεϲτῶτοϲ» διὰ τὸ ϲχοῖμι ϲχοῖϲ ϲχοῖ ἐπίϲχοιμι ἐπίϲχοιϲ ἐπίϲχοι. τὸ δὲ «ἐπίϲχοιεϲ» (Ξ 241) ἀπὸ τοῦ ἐπίϲχοιϲ πλεοναϲμόϲ ἐϲτι τοῦ ε̄ ἢ ϲυϲτολὴ τοῦ ἐπιϲχοίηϲ.

* Τὰ ϲύνθετα προϲτακτικὰ βραχυκατάληκτα ὡϲ ἐπὶ πλεῖϲτον ἀναπέμπει τὸν ἑαυτῶν τόνον, τὰ δὲ μακροκατάληκτα τὸν αὐτὸν τοῖϲ ἁπλοῖϲ φυλάττει τόνον. βραχυκατάληκτα μὲν λέγε κατάλεγε, ϲπεῖρε κατάϲπειρε, ἧϲο κάθηϲο. μακροκατάληκτα δὲ νοοῦ διανοοῦ, ποίει περιποίει.

* Πᾶν ἀπαρέμφατον ϲυντιθέμενον φυλάττει τὸν αὐτὸν τόνον, ἴϲχειν ἐπίϲχειν, ϲχεῖν ἐπιϲχεῖν, πτέϲθαι ἐπιπτέϲθαι, ϲχέϲθαι ἀποϲχέϲθαι «τότ᾽ ἂν οὔτοι ἀποϲχέϲθαι» (Od. ι 211), ἧϲθαι καθῆϲθαι, κεῖϲθαι κατακεῖϲθαι.

Οὐδεμία μετοχὴ περιϲπᾶται, εἰ μὴ ἐκ ϲυναιρέϲεωϲ εἴη. αὗται δὲ ἢ εἰϲ ω̄ν λήγουϲαι, ἀρϲενικαὶ οὖϲαι ἢ οὐδέτεραι, ἢ εἰϲ ο̄υν μόνωϲ οὐδέτε-

τοῦ ὑποεῖκον, πῶϲ δεῖ ἀναγινώϲκειν. — l. 1 pro ϲχέϲ περίϲχεϲ quae ab hoc loco aliena sunt, quum indicativus requiratur, ex Ep. Cr. I 220, 19 ubi χεῦεν κατέχευεν comparatur cum κεῖτο κατέκειτο, posui χεῦε περιέχευε. De ἷζε ἔφιζε cf. Il. Pr. Γ 426: ὅϲα παρῳχημένα ῥήματα βραχυκατάληκτα ἐνέλειψε χρόνῳ κατὰ τὸ ἄρχον, ταῦτα ϲυντιθέμενα ἀναδίδωϲι τὸν τόνον, εἶχον ϲυνεῖχον. ἀλλ᾽ ἐπεὶ ἐγένετο ἔχε, ἀνεδόθη ὁ τόνοϲ «νὺξ δὲ μάλα ϲτυγερὴ κάτεχ᾽ οὐρανόν». οὕτωϲ ἷζε ἔφιζε «Νέϲτωρ κτλ.», hinc recepi etiam εἶχε κάτεχε cum exemplo cf. praeter locos laudatos Ep. Cr. I 395, 21 et Il. Pr. Ζ 244; ἷεν ξύνιεν — κόϲμηθεν accesserunt ex Schol. A ad Il. Α 273: ξύνιεν: οὕτωϲ ἡ Ἀριϲτάρχειοϲ διὰ τοῦ ε̄, ξύνιεν ὡϲ «αὐτὰρ — κόϲμηθεν». μέμνηται δὲ αὐτοῦ καὶ ἐν τῷ ιζ΄ Ἡρωδιανόϲ. in fine addidi ἧϲο κάθηϲο κτλ. ex An. Par. III 370, 25. l. 7 hunc canonem adieci ex An. Ox. II 344, 28 et 376, 22. l. 10 priorem partem canonis ipse composui propter Schol. A ad Il. Ξ 241: ἐπιϲχοῖεϲ: οὕτωϲ Ἡρωδιανὸϲ ἐπίϲχοιεϲ (hoc accentu teste La Roche Text, Zeichen etc. p. 24): οὕτωϲ τὴν γραφὴν παρατίθεται ὁ Ἡρωδιανὸϲ ἐν τῷ ιζ΄ τῆϲ καθόλου καὶ λέγει ἀπὸ τοῦ ἐπίϲχοιϲ πλεοναϲμὸν εἶναι κτλ. cf. alterum eiusdem codicis Schol. ἄλλωϲ· τῷ ἐπίϲχοιμι ἀκόλουθόν ἐϲτι τὸ ἐπίϲχοιϲ, τῷ δὲ ἐπιϲχοίηϲ τὸ ἐπιϲχοίην· καὶ ἴϲωϲ ἔδει οὕτωϲ ἔχειν, παρεφθάρη δὲ ὑπὸ τῶν μεταχαρακτηριϲάντων. τῷ δὲ χαρακτῆρι γενόμενον ὅμοιον τῷ ἰοίην καὶ ἀγαγοίην παρὰ Ϲαπφοῖ καὶ τῷ πεπαγοίην παρ᾽ Εὐπόλιδι, εἰκότωϲ ἐβαρυτονήθη τὸ ἐπιϲχοίηϲ γενόμενον ἐπιϲχοῖεϲ ὡϲ Αἰολικόν. οὕτωϲ Ἀλέξανδροϲ ὁ Κοτιαεὺϲ ἐν τῷ ι΄ τῶν παντοδαπῶν. l. 16 hunc canonem recepi ex Il. Pr. Α 565.
l. 21 hunc canonem composui ex Il. Pr. Δ 126 et Ε 798 cf. Choer. 732, 31, E. M. 509, 32. l. 25—l. 5 pag. seq. κτενῶ sunt ex Io. Al. 21, 27.

ρον ἢ ἐνεστῶτός εἰσιν ὁ ποιέων ὁ ποιῶν καὶ τὸ ποιέον τὸ ποιοῦν, ὁ βοάων ὁ βοῶν καὶ τὸ βοάον τὸ βοῶν, ὁ χρυσόων ὁ χρυσῶν καὶ τὸ χρυσόον τὸ χρυσοῦν, ἤγουν μέλλοντος τῆς πέμπτης συζυγίας, κερῶν, σπερῶν, κτενῶν, ἐπεὶ καὶ τούτων ῥήματα περισπῶνται — ποιῶ, βοῶ, χρυσῶ, κερῶ, σπερῶ, κτενῶ. — βαρύνεται δὲ ἡ εἰς ων μετοχή, ὅτε τὸ ῥῆμα βαρύνεται, τύπτω τύπτων, γράφω γράφων, γράψω γράψων, ποιήσω ποιήσων. ὀξύνονται δὲ αἱ εἰς ων δευτέρου ἀορίστου λαβών, τυπών, φαγών, μεθ' ὧν καὶ ἐών καὶ ἰών καὶ κιών, πλὴν τοῦ πέφνων βαρυνομένου ὁμοίως τῷ τέμνων καὶ κάμνων, τὸ δὲ ἑκών ἠκολούθησε τοῖς προειρημένοις ἀπὸ τοῦ εἴκω τὸ ὑποχωρῶ. ἐπειδὴ δὲ αἱ εἰς ων λήγουσαι καὶ ἐπὶ τέλους ἔχουσαι τὸν τόνον ἄδηλον εἴτε ὀξύνονται εἴτε περισπῶνται, ἐκ τῆς κλίσεως διατελείσθωσαν. ὧν μὲν γὰρ αἱ πλάγιοι φύσει μακρᾷ παραλήγονται, τούτων πάντως καὶ αἱ εὐθεῖαι περισπῶνται οἷον βοῶντος βοῶν, χρυσοῦντος χρυσοῦν, κεροῦντος κερῶν, κτενοῦντος κτενῶν. ὧν δὲ μόνον ἐστὶ τὸ ο ἐν τῇ παραληγούσῃ, τούτων αἱ εὐθεῖαι ὀξύνονται, δευτέρου οὖσαι ἀορίστου, λαβόντος λαβών, δραμόντος δραμών.

Αἱ δὲ εἰς ας αἱ μὲν τοῦ πρώτου ἀορίστου πᾶσαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον τελέσας, ποιήσας, τύψας, γεμίσας, σαλπίσας, λεπίσας, καλλωπίσας, βρίσας, κτίσας, λακτίσας, μεθ' ὧν καὶ ἡ ἴσας

l. 1 ἢ ἐνεστῶτός εἰσιν inserui et l. 3 post μέλλοντος omisi ἦσαν. l. 5—10 ἀπὸ τοῦ εἴκω τὸ ὑποχωρῶ sunt ex Arcad. 176, 17—25; sed ita ut μεθ' ὧν καὶ ἐών — κιών insererem ex Ep. in Psalm. 149, 25: πᾶσα μετοχὴ ἐνεστῶτος χρόνου βαρύνεσθαι θέλει πλὴν τοῦ ἑκών ἐκ τοῦ εἴκω καὶ τοῦ ἐών ἐκ τοῦ εἴω καὶ τοῦ κιών ἐκ τοῦ κίω et An. Paris. III 333, 20: ἐών· ἔστι μετοχῆς ἐνεργητικῆς καὶ δοκεῖ παραλόγως ὀξύνεσθαι· οὐ μόνον δὲ αὐτὸ ἀλλὰ καὶ ἡ κιών καὶ ἡ ἑκών, qui Herodianum secuti videntur, nam inde quod coniunctivus in compositione παρῶ accentum non retrahit ex consuetudine aoristorum παράσχω, consequi videtur hoc verbum esse praesens: pro aoristi participio habet ἐών E. M. 350, 34 ἐών μετοχή ἐστι ἀορίστου δευτέρου· διότι οὐδέποτε μετοχὴ ἐνεστῶτος ὀξύνεται πλὴν τοῦ ἑκών. καὶ οὐδέποτε δευτέρου ἀορίστου μετοχὴ βαρύνεται πλὴν τοῦ πέφνων· ὥστε δεύτερος ἀόριστός ἐστιν. κλίνεται ἐόντος καὶ ὄντος· τὸ δὲ ἐών τοῦ ὤν ἐντελέστερόν ἐστι cf. Ep. Cr. I 142, 3. — ad πέφνων l. 9 addidi ὁμοίως τῷ τέμνων καὶ κάμνων ex Il. Pr. Π 827: πέφνοντα: ὡς τέμνοντα οὕτως καὶ Ἀρίσταρχος· ὁ δὲ Τυραννίων παροξύνει ὡς λαβόντα, δεύτερον ἀόριστον ἐκδεχόμενος. οὕτως δὲ καὶ τὴν εὐθεῖαν ὀξύνει «κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων» (Il. Ρ 539) τοῦ Ἀριστάρχου βαρύνοντος. καί μοι δοκεῖ ὁ Τυραννίων λόγῳ ὑγιεῖ χρῆσθαι· εἰ γὰρ πέφνω, πέφνεις, πέφνει οὐ λέγομεν, ὑποτακτικῶς δὲ πέφνω πέφνῃς πέφνῃ καὶ «πέφνε γὰρ Ὀθρυονῆα» (Il. Ν 363) καὶ ἔστι δεύτερος ἀόριστος ὡς ἔλαβε λάβω λάβῃς λάβῃ, δῆλον ὅτι ὀφείλομεν καὶ τὴν μετοχὴν ὀξύνειν. ὁ μέντοι Ἀρίσταρχος καὶ τῷ χαρακτῆρι τῆς φωνῆς ἐπείσθη καὶ οὕτως ἐβάρυνεν· ἐπεὶ γὰρ αἱ εἰς νων λήγουσαι μετοχαί, ἔχουσαι πρὸ τοῦ ν σύμφωνον κατ' ἐπιπλοκήν, ἤτοι ἐβαρύνοντο ἢ περιεσπῶντο, οὐδέποτε δὲ ὠξύνοντο, ὥσπερ ἔχει ἡ τέμνων, κάμνων, πιτνῶν, ἐδοκίμαζε καὶ τὴν πέφνων βαρύνειν, οὐχὶ ὀξύνειν· εἰ δέ τις λέγοι διὰ τί γὰρ οὐ περισπᾷ; διδαχθήσεται ἐκ τῆς κλίσεως· οὐ γὰρ πεφνοῦντα ἐροῦμεν ἢ πεφνῶντα ὡς νοοῦντα. οὕτως δὲ καὶ ἡ ἴσας μετοχὴ ἐβαρύνετο τῷ χαρακτῆρι καὶ τῇ ποιότητι τοῦ στοιχείου, οὐ τῇ κλίσει τῇ τοῦ ἐνεστῶτος, ὥσπερ ἀπεδείξαμεν. cf. Choer. 620, 26, E. M. 187, 5. — De ἑκών cf. Il. Pr. Μ 379: οὐδέποτε τὰ εἰς ων ὀνόματα ὀξύτονα ἐπιδέχονται τὴν διὰ τοῦ τ κλίσιν· ἔνθεν καὶ τὸ ἑκών μετοχή. — l. 11—17 sunt ex Io. Al. 22, 1. l. 18 Io. Al. 22, 11, ποιήσας τύψας addidi ex Arc. 176, 27, γεμίσας — καλλωπίσας ex Favorin. 249, 26: ἴσας μετοχὴ βαρύνεται πάντων τῶν εἰς ας ὀξυνομένων μετοχῶν τῆς δευτέρας

ἀπὸ τοῦ ἵϲημι. αἱ δὲ τοῦ δευτέρου ἀορίϲτου ἢ ἐνεϲτῶτοϲ καὶ παρατατικοῦ τῶν εἰϲ μι πᾶϲαι ὀξύνονται, ϲτάϲ, φθάϲ, ἱϲτάϲ, κιχράϲ.

Αἱ δὲ εἰϲ ειϲ καὶ εἰϲ ουϲ καὶ εἰϲ ωϲ καὶ εἰϲ υϲ πᾶϲαι ὀξύνονται, τυφθείϲ, δαρείϲ, τυπείϲ, τιθείϲ, διδούϲ, βιούϲ, πεποιηκώϲ, τετυφώϲ, τετυπώϲ, ἑϲτώϲ, βεβώϲ, πηγνύϲ, ὀλλύϲ, ὀμνῦϲ.

Αἱ δὲ εἰϲ μενοϲ πᾶϲαι προπαροξύνονται χωρὶϲ τῶν τοῦ παρακειμένου, τυπτόμενοϲ, γραφόμενοϲ, τυψόμενοϲ, τυψάμενοϲ, γραψάμενοϲ, τυπούμενοϲ· αἱ γὰρ τοῦ παρακειμένου πρὸ μιᾶϲ ἔχουϲι τὸν τόνον, τετυμμένοϲ, πεποιημένοϲ, πεφιλημένοϲ, πεπταμένοϲ, χωρὶϲ εἰ μὴ πάθωϲι· τότε γὰρ ἀναβιβάζουϲι καὶ αὗται τὸν τόνον μὴ οὖϲαι ὑπὲρ τρεῖϲ ϲυλλαβὰϲ ὡϲ ὦρκα ὦρμαι ὅρμενοϲ, ἥδω ἧϲω ἧϲμαι ἡϲμένοϲ καὶ ἄϲμενοϲ, καὶ βεβλημένοϲ βλήμενοϲ καὶ ἄρχμενοϲ καὶ δέγμενοϲ καὶ ἄλμενοϲ καὶ ἐμπλήμενοϲ, εἴτε παρακειμένου εἶεν παθητικοῦ εἴτε ἄλλου χρόνου, εἰκότωϲ προπαροξύνονται. πρόϲκειται «μὴ οὖϲαι ὑπὲρ τρεῖϲ ϲυλλαβάϲ» διὰ τὸ ἀκαχῶ ἀκαχήϲω ἠκάχημαι ἠκαχημένοϲ ἀκαχημένοϲ. τὸ γὰρ οὐτάμενοϲ καὶ ἐλη-

---

ϲυζυγίαϲ οἷον ἱϲτάϲ κιχράϲ· ἔϲτιν οὖν εἰπεῖν ὅτι ὁ χαρακτὴρ ἐϲτιν αἴτιοϲ τῆϲ βαρείαϲ τάϲεωϲ. πᾶϲα γὰρ μετοχὴ διὰ τοῦ ιϲαϲ βαρύνεται, γεμίϲαϲ κτλ. cf. Ep. Cr. I 214, 2, E. M. 466, 13; βρίϲαϲ — λακτίϲαϲ ex An. Par. III 297, 18. — l. 1 αἱ δὲ τοῦ δευτέρου ἀορίϲτου ἢ inserui propter Arcadii 177, 6 exempla ϲτάϲ φθάϲ, quae apposui. l. 3 εἰϲ υϲ addidi ex Arc. 177, 7, ex quo etiam exempla praeter τιθείϲ βιούϲ πεποιηκώϲ, quae sola habet Io. Al., addita sunt. l. 6 ex Io. Al., additis l. 7 exemplis praeter τυπτόμενοϲ, γραφόμενοϲ, γραψάμενοϲ ex Arc., l. 9 τετυμμένοϲ ex Arc., πεπταμένοϲ ex Schol. ad Apoll. B 1270: πεπταμένον Ἡρωδιανὸϲ παροξυτόνωϲ. — l. 10 χωρὶϲ εἰ μὴ πάθωϲι usque ad finem ex Choer. 837, 8, ubi τὸ οὐτάμενοϲ καὶ ἐληλάμενοϲ ὁ Ἡρωδιανὸϲ ἐν τῇ καθόλου οὐ δοξάζει κατὰ πάθοϲ κτλ., l. 12 βεβλημένοϲ βλήμενοϲ — usque ad εἰκότωϲ προπαροξύνονται sunt ex Io. Al., apud quem corrupte ἀρχόμενοϲ pro ἄρχμενοϲ et δεδ, pro quo δέγμενοϲ Choer. praebet, scripta sunt. — De omnibus participiis fusius explicatum et quae pro una aut altera explicatione proferri possent, proposita fuisse et per se intellegitur et ex adnotamentis Il. Pr. claret. Io. Alexandrini verba εἴτε παρακειμένου παθητικοῦ εἶεν εἴτε ἄλλου χρόνου innuunt Herodianum disquisivisse, utrum ὅρμενοϲ ex ὡρμένοϲ an ex ὀρόμενοϲ (E. M. 631, 40), ἄρχμενοϲ (sic emendavit Lob. El. I 187 not. 5) ex ἀρχόμενοϲ an ex ἠργμένοϲ, βλήμενοϲ πλήμενοϲ perfecti an aoristi participia sint; de ἄϲμενοϲ Herod. Mon. 28, 26 dicit: ζητοῦμεν εἰ καὶ μετοχαὶ ὑπάρχουϲιν ὥϲπερ καὶ ἐπὶ τῆϲ ἄϲμενοϲ (E. M. 155, 23); ex Arcad. p. 64, 28 etiam κλύμενοϲ et ἵκμενοϲ hic memorata fuisse concludimus. Quum de δέγμενοϲ, quod Choer. ex δεδεγμένοϲ repetit, disputaret, fortasse mentionem iniecit formae δεδέχμενοϲ. Schol. AB ad Il. Θ 296 δεδεγμένοϲ: οὕτωϲ αἱ Ἀριϲτάρχου διὰ τοῦ γ δεδεγμένοϲ, Ἡρωδιανὸϲ δὲ διὰ τοῦ χ, quod Lob. El. I 186 ab Herodiano δεδέχμενοϲ proparoxytonos exhibitum esse opinatur, ita ut δεχόμενοϲ primum δέχμενοϲ (Schol. A ad Il. Ι 191 δέγμενοϲ γράφεται καὶ δέχμενοϲ) per syncopen existeret, tum per reduplicationem δεδέχμενοϲ. — De ἀκαχημένοϲ dubitabatur, utrum sit praesens Aeolicum ἀκαχήμενοϲ an perfectum: E. M. 45, 51 τὸ ἀκαχήμενοϲ, ἐπεὶ ὤφειλε παροξύνεϲθαι ὡϲ τὸ πεποιημένοϲ, οὐκ ἔϲτι παρακείμενοϲ, ἀλλ᾽ ἔϲτιν ἀπὸ τοῦ ἀκάχω ἀκάχημι· ὁ παθητικὸϲ ἐνεϲτὼϲ ἀκάχημαι· οἱ γὰρ Αἰολεῖϲ τὴν παραλήγουϲαν οὐ ϲυϲτέλλουϲι καὶ ἡ μετοχὴ ἀκαχήμενοϲ; tum sequitur altera explicatio, ex qua ut participium perfect. praegravandum est. atque probabile est Herodianum de participio similiter disseruisse atque de infinitivis ἀκαχῆϲθαι et ἀκάχηϲθαι in Il. Pr. Τ 335. Ex Choer. ubi ἠκαχημένοϲ καὶ «ἀκαχμένοϲ ὀξέϊ χαλκῷ» omisso ἀκαχημένοϲ componitur, coniectari licet etiam ἀκαχμένοϲ propter augmenti amissionem prolatum fuisse: E. M. 45, 48 ἀκαχμένον: ἀπὸ τοῦ ἀκάζω ὁ μέλλων ἀκάϲω ἤκακα ἤκαϲμαι ἠκαϲμένον καὶ τροπῇ τοῦ ϲ εἰϲ

λάμενος οὐ κατὰ πάθος γίνονται προπαροξυτόνως ἀπὸ τοῦ οὐτασμένος καὶ ἐληλασμένος, ἐπειδὴ ὡς ὄντα ὑπὲρ τρεῖς συλλαβὰς ὤφειλον τὸν αὐτὸν τόνον φυλάξαι, ἀλλ' ἀπὸ τῶν εἰς μι εἰσίν, ὡς ἀπὸ τοῦ οὔτημι καὶ ἐλήλημι, ἵνα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ ὥσπερ ἵστημι ἵσταμαι ἱστάμενος.

Αἱ εἰς η̄ λήγουσαι θηλυκαὶ παροξύνονται, τυπτομένη, τετυμμένη.

Αἱ εἰς ᾱ θηλυκαὶ προπαροξύνονται ἢ προπερισπῶνται. καὶ προπερισπῶνται μέν, ὅσαι ἀπὸ ὀξυτόνων εἰσὶν ἀρσενικῶν ἢ περισπωμένων, νοῶν νοοῦσα, εὐφρανῶν εὐφρανοῦσα, τυπείς τυπεῖσα, τετυφώς τετυφυῖα. προπαροξύνονται δέ, ὅσαι ἀπὸ βαρυτόνων εἰσὶν ἀρσενικῶν, λέγων λέγουσα, τύψων τύψουσα, ποιήσας ποιήσασα.

Αἱ οὐδέτεραι μετοχαὶ ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, ὁ τύπτων τὸ τύπτον, ὁ ποιῶν τὸ ποιοῦν, ὁ λαβών τὸ λαβόν, ὁ ποιήσας τὸ ποιῆσαν, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα.

Αἱ συντιθέμεναι μετοχαὶ οὐκ ἀναβιβάζουσι τὸν τόνον, λέγων καταλέγων, φέρων περιφέρων, ἐλθών ἀνελθών, σπών μετασπών, πατῶν περιπατῶν. εἰ δὲ ἀναβιβάζουσι τὸν τόνον, οὐκέτι μένουσι μετοχαί, ἀλλ' ὀνόματα γίνονται, τλάς Ἄτλας, βάς Ἄβας, φάς Περίφας, χωρὶς τῆς ἑκών καὶ ἀέκων. καὶ ἔστιν εἰπεῖν διαφόρους λύσεις,

---

χ̄ ἠκαχμένον. Porro hic, opinor, ἀλιτήμενος sic explicavit ut in Prosod. Odyss. δ 207: τὸ ἀλιτήμενος εἰ μὲν παροξύνεται, παρακείμενός ἐστι κατὰ συστολὴν τῆς ἀρχούσης· εἰ δὲ προπαροξύνεται, ἐνεστώς ἐστι Αἰολικὸς ὡς ἀλαλήμενος καὶ ἀκαχήμενος. De ἐληλάμενος et οὐτάμενος duplex interpretatio prolata fuit, quarum alteram Herodianus praeoptavit. Quomodo in explanando processerit, clarissime patefit ex Il. Pr. Λ 659: οὐτάμενοι: Ἀρίσταρχος ὡς ἱστάμενοι καὶ κιχράμενοι. Πάμφιλος δὲ ὡς δεδαρμένοι, ἐπεὶ καὶ τὸ βεβλημένοι συντελικόν. καὶ δοκεῖ τὸ τοιοῦτον ἀπὸ ἑνικοῦ ἀριθμοῦ πολὺ πρότερον τεθεωρῆσθαι παρ' αὐτῷ· φησὶ γὰρ «οὔτ' ἄρ βεβλημένος ὀξέϊ χαλκῷ οὔτ' αὐτοσχεδίην οὐτασμένος» (Od. λ 536). συντελικῇ γὰρ μετοχῇ συντελικὴν ἐπήνεγκεν· οὕτως οὖν καὶ ἐπὶ τῶν πληθυντικῶν ἀναγινώσκειν ἔδει, εἰ μὴ ἄρα ἐκεῖνό τις ὑπὲρ τοῦ Ἀριστάρχου λέγοι, ὅτι οὐκ ἐνεστῶτα ἐκδεχόμενος οὕτως ἀνεγίνωσκεν, ἀλλὰ παρακείμενον πεπονθότα. ἔχει δὲ οὕτως. παρὰ τὸ οὐτῶ περισπώμενον ἐκπίπτει παραγωγὸν εἰς μι λῆγον τὸ οὔτημι, ἀφ' οὗ ἀπαρέμφατον τὸ οὐτάναι καὶ οὐτάμεναι. ἀπὸ δὲ τοῦ οὔτημι γίνεται παθητικὴ μετοχὴ οὐτάμενος καὶ οὐτάμενοι ὡς κιχράμενοι. ἀλλ' οὔ φαμεν ταύτην εἶναι ἐν τῇ (νῦν? Lehrs) συντάξει, ἀλλ' ἕτερόν τι αὐτῷ σύνηθες ῥῆμα εἶναι τὸ οὐτάζω, ὅθεν καὶ οὔτασεν ὁ ἀόριστος· οὐ γὰρ δὴ συστολὴ τοῦ οὔτησεν, ὡς πρόδηλον κἀκ τοῦ ἀπαρεμφάτου «οὐτάσαι οὐδὲ βαλεῖν» (Il. Ξ 424) καὶ ἐκ τοῦ «οὔτασται δ' Ὀδυσσεύς» (Λ 661). τούτῳ δὴ τῷ οὔτασται παρέθηκε μετοχὴν τὴν οὐτασμένος «οὔ τ' αὐτοσχεδίην οὐτασμένος» (Od. λ 536) ἥτις κατ' ἔλλειψιν τοῦ σ̄ γίνεται οὐτάμενος. προπαρωξύνθη δὲ ὑπὸ τοῦ Ἀριστάρχου διὰ τὸν χαρακτῆρα, ἐπεὶ αἱ τοιαῦται μετοχαὶ προπαρωξύνοντο, ἱστάμενος, κιχράμενος. ὁ γὰρ ἀνὴρ τῷ χαρακτῆρι μᾶλλον τοὺς τόνους προσνέμει. ἄλλως τε καὶ ἡ γινομένη τοῦ σ̄ ὕφεσις καὶ ἀναδρομὴν ἐργάζεται τόνου. cf. Lehrs Arist. 255 ed. II. l. 6—20 χωρὶς τῆς ἑκών καὶ ἀέκων sunt ex Arc. 177, 18 seqq., σπών μετασπών inserui ex Il. Pr. Ρ 190: μετασπών ὡς καταλαβών· ἔστι γὰρ δεύτερος ἀόριστος. οὐδεμία δὲ μετοχὴ ἐν συνθέσει ἀναβιβάζει τὸν τόνον, ὅτι μὴ μόνη ἡ ἀέκων, περὶ ἧς ζητοῦμεν. Haec ζήτησις eiusque solutio contineri videtur in iis, quae Choeroboscus servavit. Nam in utramque partem disceptatur, primum cur participium ἀέκων accentum retrahere possit, tum cur non potius propter retractum accentum ἀέκων nomen quam participium existimetur. Quae disputandi ratio quam maxime Herodianea est. Quare inde ab l. 20 usque l. 26 pag. seq. Choerobosci expositionem

ῶν πρώτη ἐστὶν αὕτη. αἱ μετοχαὶ ἢ ἁπλαῖ εἰσιν ἢ παρασύνθετοι, οὐδέποτε δὲ σύνθετοι· ἐπειδὴ οὖν ἡ ἀέκων σύνθετός ἐστιν, οὐδὲ γὰρ ἔχει ῥῆμα προϋπάρχον ἐν συνθέσει, ἵνα παρασύνθετον αὐτὴν εἴπωμεν, ἀλλ' ἐν τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις οἷον ἑκών ἀέκων, τούτου χάριν ἐν τῇ συνθέσει ἀνεβίβασε τὸν τόνον, ἵνα δείξῃ, ὅτι σύνθετός ἐστι καὶ οὐ παρασύνθετος ὡς ἄλλαι μετοχαί. δευτέρα δὲ αἰτία ἐστὶν αὕτη· ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ γέγονε ἡ ἑκών κατὰ πάθος τουτέστι κατὰ ἀποβολὴν τοῦ ῑ, καὶ ἐπειδὴ τὸ εἴκω ῥῆμα συνέστειλε τὴν παραλήγουσαν ἐν τῇ ἑκών μετοχῇ, τούτου χάριν ὠξύνθη ὁμοίως ταῖς ἄλλαις μετοχαῖς ταῖς βραχείᾳ παραληγομέναις, φημὶ δὴ ταῖς τοῦ δευτέρου ἀορίστου, ἀλλ' ἐπειδὴ ἡ ἑκών οὐκ ἔστι δευτέρου ἀορίστου, ἀλλ' ἐνεστῶτος καὶ παρατατικοῦ, δηλονότι οὐκ ὤφειλεν ὀξύνεσθαι ὁμοίως ἐκείναις. Ἐπειδὴ οὖν παραλόγως συνέδραμεν ἐκείναις καὶ ὠξύνθη ἡ ἑκών μετοχή, τούτου χάριν ἐν τῇ συνθέσει, φημὶ δὴ ἐν τῇ ἀέκων ἐβαρύνθη, ἵνα τὴν παράλογον τάσιν τοῦ ἁπλοῦ ἐκφύγῃ, φημὶ δὴ τὴν ὀξεῖαν. — ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί ἡ ἑκών μετοχὴ ἐν τῇ ἀέκων ἀναβιβάσασα τὸν τόνον ἔμεινε μετοχὴ καὶ οὐκ ἐγένετο ὄνομα; καὶ ἔστιν εἰπεῖν, ὅτι λέξις ἐκ τῆς ᾱ στερήσεως συντιθεμένη καὶ φυλάττουσα τὸ τέλος, φυλάττει καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου οἷον δοῦλος ἄδουλος, φίλος ἄφιλος, σεμνός ἄσεμνος, κακός ἄκακος, ψευδής ἀψευδής, σαφής ἀσαφής· τὸ γὰρ τλάς Ἄτλας καὶ τὸ βάς Ἄβας φυλάξαντα τὸ τέλος καὶ μὴ φυλάξαντα τὸ αὐτὸ μέρος τοῦ λόγου, ἀλλὰ γενόμενα ὀνόματα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουσι τὴν ᾱ στέρησιν, ἀλλὰ τὴν ᾶ ἐπίτασίν οἱονεὶ ὁ πάνυ καρτερῶν, πάνυ βαίνων· ἐπειδὴ οὖν ἡ ἀέκων ἐφύλαξε τὸ τέλος τῆς ἑκών, τούτου χάριν καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου ἐφύλαξε καὶ ἔμεινε μετοχή.

ΠΕΡΙ ΤΟΝΟΥ ΑΡΘΡΩΝ ΑΝΤΩΝΥΜΙΩΝ ΚΑΙ ΠΡΟΘΕΣΕΩΝ.

ΒΙΒΛΙΟΝ ιη'.

Περὶ ἄρθρων.

Πᾶν ἄρθρον ὀξύνεται, χωρὶς τῶν γενικῶν καὶ δοτικῶν· αὗται γὰρ περισπῶνται, τοῦ τῷ, τῆς τῇ, τοῖν ταῖν, τῶν, τοῖς ταῖς. καὶ τὰ τούτων δὲ ὑποτακτικά, ἀποβολῇ τοῦ τ̄ γινόμενα, περισπῶνται. ὁμοίως καὶ τὸ κλητικὸν ὦ ἄρθρον μὲν οὐκ ἔστιν, ἀλλ' ἐπίρρημα, περισπᾶται δὲ ὅμως καὶ ψιλοῦται τῶν ἀπὸ φωνηέντων ἀρχομένων ἄρθρων δασυ-

---

transscripsi ex p. 818, 15, cf. eundem p. 734, 1. Eustath. 1098 init.: τὸ ἀέκων παροξύνεται παραδόξως· οὐδεμία γὰρ μετοχὴ ἀναβιβάζει τὸν τόνον ὅτι μὴ μόνη ἡ ἀέκων. τὸ Εὐέλθων οὐκ ἀντίκειται πρὸς τὸν τοιοῦτον κανόνα, οὐ γὰρ ἁπλῶς μετοχή, ἀλλὰ κύριον παρ' Ἡροδότῳ μετοχικόν ἐστιν ὄνομα. **l. 30—2 pag. seq. ex Io. Al. 22, 26; l. 32 pro** κλινόμενα **scripsi** γινόμενα**; l. 34 lacu-**

νομένων «ῷ ἐχαρισάμην». τὰ δὲ λοιπὰ πάντα ὀξύνονται, ὅ, τόν, οἵ, τούς, οὕς, ἥ, ἥν, τήν, τά, ἅ.

Περὶ ἀντωνυμίας.

Πᾶσα πρωτότυπος ἀντωνυμία ἑνικὴ ἀπαθής, ὑπεσταλμένων τῶν καλουμένων μονοπροσώπων, ὀξύνεσθαι θέλει κατὰ πᾶσαν πτῶσιν ἐν τοῖς τρισὶ προσώποις, πλὴν τῆς εἰς ου γενικῆς, ἐγώ, σύ, ἵ. ἐπεκτεινομένη δὲ ἡ ἐγώ παρ' Ἀθηναίοις ἐν τῷ ἔγωγε τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς καὶ ἡ ἔμοιγε δοτική. ἡ δὲ σύγε φυλάττει τὸν τόνον. ὀξύνονται αἱ δοτικαὶ καὶ αἰτιατικαὶ εἴτε δισυλλάβως εἴτε μονοσυλλάβως προφερόμεναι, μέ ἐμέ σέ ἕ, μοί ἐμοί σοί. ἡ δὲ τοῦ τρίτου οἷ ἔχει περισπωμένην, ὀφείλουσα καὶ αὐτὴ ὀξύνεσθαι. τὰ γὰρ ἀπὸ τοῦ σ ἀρχόμενα καὶ τὰ κατὰ ἀποβολὴν τοῦ σ ἀπὸ δευτέρων γινόμενα ὁμοτονεῖ. καὶ τὰ παραδείγματα πρόκειται. αἱ γενικαὶ μοῦ ἐμοῦ σοῦ οὗ περισπῶνται. εἴπομεν γὰρ ὅτι ἡ διὰ τοῦ υ δίφθογγος ἀπέστραπται τὴν ὀξεῖαν τάσιν χωρὶς τῆς οὐ ἀποφάσεως καὶ τοῦ ἰδού δεικτικοῦ καὶ τοῦ ἰού σχετλιαστικοῦ. αἱ δὲ ἐκ τούτων διαλυθεῖσαι ἢ πλεονάσασαι τῷ ι ἢ κατὰ φωνὴν παραχθεῖσαι εἰς θεν πρὸ μιᾶς ἔχουσι τὸν τόνον ἐμέο ἐμεῖο, ἐμέθεν. ἡ δὲ ἐμεῦ συνῃρημένη παρ' Ἴωσι

---

nam insertis καὶ ψιλοῦται explevi ex Theogn. 154, 11 πᾶν ἄρθρον δασύνεται ἀπὸ φωνήεντος ἀρχόμενον, τὸ δὲ ὦ ψιλοῦται· οὐκ ἄρα ἄρθρον τὸ ὦ, qui has praeterea causas, cur ὦ articulus non sit, profert: πᾶσα κλητικὴ κατὰ τὴν ἐσχάτην συλλαβὴν ἢ ἴσον ἔχει χρόνον τῇ εὐθείᾳ ἢ ἐλάττω, οὐδέποτε δὲ μείζω, ὁ λέβης ὦ λέβης, ὁ Ἀλκμάν ὦ Ἀλκμάν, ὁ σπινθήρ ὦ σπινθήρ, ὁ Αἴας ὦ Αἶαν, ὁ γείτων ὦ γεῖτον, ὁ ῥήτωρ ὦ ῥῆτορ. τὸ ἄρθρον μικρὸν ἐν τῇ εὐθείᾳ, μέγα δὲ ἐν τῇ κλητικῇ καὶ μεῖζον ὂν τῆς εὐθείας οὐκ ἄρθρον. — Πᾶν ἄρθρον ἀριθμῷ διαφέρει· τὸ δὲ ὦ οὐκ οἶδεν ἀριθμόν, οὐκ ἄρα ἄρθρον τὸ ὦ. — Πᾶν ἄρθρον ὑπισχνεῖται γένος· τὸ δὲ ὦ οὐκ οἶδε γένος· οὐκ ἄρα ἄρθρον τὸ ὦ, ἀλλ' ἔστιν ἐπίρρημα κλήσεως. — l. 1 ὅ, τόν usque ad finem apposui ex Arcad. 178, 13. l. 3 doctrina de pronominibus ex Io. Al. p. 23 sumpta est paucis ex Arcadio, quae indicabo, appositis. l. 6 lacunam . . . . νομένη explevi voce ἐπεκτεινομένη, quod Bloch. proposuit προπαροξυνομένη inanis repetitio verborum τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν foret. l. 9 . . . . σέ μονοσυλλάβως sic explevi, ut feci: ὀξύνονται — προφερόμεναι. l. 10 μέ et μοί inserui, l. 12 καὶ τὰ ad lacunam explendam interposuit Bloch. l. 13 lacunam vocabulo παραδείγματα explevi. — l. 14 pro εἴπωμεν . . . . ἀπὸ τοῦ ου διφθόγγου ἀπέστραπται consulto Io. Al. 13, 13 exhibui εἴπομεν γὰρ ὅτι ἡ διὰ τοῦ υ δίφθογγος ἀπέστραπται. — l. 15 ἀποφάσεως adiecit Bloch., l. 16 pro αἱ ἐκ τούτων δ . . . . λυθεῖσαι scr. Bloch. αἱ ἐκ τούτων δὲ λυθεῖσαι, ipse δὲ post αἱ reieci et διαλυθεῖσαι restitui. — l. 17 ἢ ante κατὰ inserui. — l. 6 de ἵ cf. Il. Pr. X 410: ὡς εἰ ἅπασα: τινὲς περιέργως διὰ μόνου τοῦ ι γράφοντες ἀποδιδόασιν ὡς αὐτὴ ἅπασα (cf. Apoll. de pron. p. 70)· οὐκ οἶδε δὲ ὁ ποιητὴς οὔτε τὴν ι (ἵ) οὔτε τὴν σφεῖς. ἔστιν οὖν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ (κ 419), σοὶ μὲν νοστήσαντες διοτρεφές, ὡς ἐχάρημεν ὡς εἴτ' εἰς Ἰθάκην ἀφικόμεθα. — l. 7 de ἔγωγε Il. Pr. Α 173: οὕτως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν, de ἔμοιγε Α 174: τὴν ἔμοιγε προπαροξυτονητέον. ἔστι γὰρ Ἀττικὴ ὡς καὶ ἡ ἔγωγε. cf. E. M. 314, 55. l. 11 de οἷ Il. Pr. Ι 392: δείκνυται ἐν τοῖς περὶ ἀντωνυμιῶν ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἡ σοί ὀξύνεται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως. l. 14 ad εἴπομεν cf. Io. Al. 13, 13 et 32, 21. — l. 18 de ἐμέο ἐμεῖο ἐμέθεν cf. Il. Pr. Α 396: πολλάκις γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα: Ἀρίσταρχος ἐγκλιτικὴν παρέλαβε τὴν ἀντωνυμίαν σέο, λέγων τὸ δηλούμενον εἶναι τοιοῦτο, πολλάκις γάρ σου ἐν τοῖς τοῦ πατρός μου δόμου ἤκουσα καυχωμένης· ἐὰν γάρ, φησί,

περιϲπᾶται «ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον» (Od. δ 746). ὁμοίωϲ τοῦ δευτέρου καὶ τοῦ τρίτου, ϲέο ϲεῖο ϲεῦ ϲέθεν, ἕο εἷο εὗ ἕθεν.

Αἱ δυϊκαὶ πρώτου καὶ δευτέρου προϲώπου κοιναὶ καὶ ἀπαθεῖϲ βαρύνονται, νῶϊ, ϲφῶϊ. καὶ αἰτιατικῇ ταύταϲ κατὰ ἀποβολὴν τοῦ ῑ μονοϲυλλάβωϲ Ἀθηναῖοι προφέρουϲι, νώ ϲφώ, οὐκέτι περιϲπωμένωϲ, καίτοι τῷ λόγῳ τῆϲ ἀποκοπῆϲ ὀφειλούϲαϲ περιϲπᾶϲθαι ὡϲ τὸ Ποϲειδῶ κυκεῶ. ἀλλ' οὐδὲν δυϊκῶν εὐθείαϲ πτώϲεωϲ καὶ αἰτιατικῆϲ εἰϲ ω̅ περιϲπᾶται, ὅθεν ὠξύνθηϲαν μετὰ τὴν ἀποκοπήν. αἱ δὲ τούτων γενικαὶ νῶϊν ϲφῶϊν προπεριϲπῶνται. ταύταϲ δὲ κατὰ ϲυναίρεϲιν Ἀττικοὶ προφέρονται μονοϲυλλάβωϲ, τοῦ ῑ γραφομένου μὴ ϲυνεκφωνουμένου. ὧν καὶ ἡ περιϲπωμένη μένει μετὰ τὴν ϲυναίρεϲιν οἷον νῷν ϲφῷν. Αἱ τρίτου προϲώπου ὀξύνονται πᾶϲαι καὶ ἐγκλίνονται πᾶϲαι, αἰτιατικῆϲ μὲν ϲφωέ «τίϲ τάρ ϲφωε θεῶν ἔριδι ξυνέηκε μάχεϲθαι»; (Α 8). εὐθεῖα γὰρ τούτου οὐκ ἔϲτι, διότι οὐδεμία ἐϲτὶν εὐθεῖα ἀντωνυμίαϲ ἐγκλινομένηϲ. γενικῆϲ καὶ δοτικῆϲ ϲφωῒν «καί ϲφωϊν δὸϲ ἄγειν» (Α 338)· τόνῳ μὲν μόνῳ τῆϲ τοῦ δευτέρου διήνεγκεν. ὥϲτε ὅτε μὲν περὶ Ἀθηνᾶϲ καὶ Ἥραϲ Ζεὺϲ πρὸϲ τὴν Ἶρίν φηϲιν, ἐγκλιτικῶϲ ἀναγινώϲκομεν «γυιώϲω μέν ϲφωϊν ὑφ' ἅρμαϲιν ὠκέαϲ ἵππουϲ» (Θ 402). τρίτου γὰρ προϲώπου. ὅτε δὲ πρὸϲ αὐτὰϲ ἡ Ἶριϲ, ὀρθοτονοῦντεϲ προπεριϲπῶμεν «γυιώϲειν μὲν ϲφῶϊν ὕφ' ἅρμαϲιν ὠκέαϲ ἵππουϲ» (Θ 416).

κατ' ὀρθὸν τόνον ἀναγνῶμεν, ἔϲται ἐν τοῖϲ τοῦ Νηρέωϲ οἴκοιϲ ὁ Ἀχιλλεὺϲ αὐτὴν ἀκηκοώϲ. ταύτην δὲ τὴν ἱϲτορίαν οὐκ οἶδεν Ὅμηροϲ· τοϲαῦτα ὁ Ἀρίϲταρχοϲ καὶ οἱ ἀπ' αὐτοῦ. Πτολεμαῖοϲ δὲ ϲυγκατατίθεται μὲν τῇ ἐγκλιτικῇ ἀναγνώϲει, οὐ μὴν τῇ προκειμένῃ αἰτίᾳ, εἴγε ἤδη καὶ αὐτὸϲ ὁ Ἀρίϲταρχοϲ τὸ τοιοῦτο, φηϲί, παρεφύλαϲϲεν, ὡϲ ὅτι ταῖϲ μὲν πρωτοτύποιϲ οὕτωϲ χρῆται κατὰ τὴν γενικήν, ἐμέο ἐμεῖο, ἐμεῦ, ἐμέθεν, ὁμοίωϲ καὶ ἐπὶ δευτέρου καὶ τρίτου, ταῖϲ δὲ κτητικαῖϲ ἤτοι ἐμοῦ ἢ ἐμοῖο, ϲοῦ ϲοῖο· ἐγένετο οὖν, εἴπερ ἦν κτητική, ϲοῖο, ὥϲτε κἂν ὀρθοτονήϲωμεν τὴν ϲέο, οὐ δύναται ἀμφίβολοϲ καθίϲταϲθαι. ἡ γὰρ γραφὴ διελέγχει, ὅτι πρωτότυπόϲ ἐϲτιν. ἐγένετο οὖν ἐγκλιτικὴ ἡ ἀνάγνωϲιϲ, ἐπειδήπερ ἁπλῆ ἐϲτι καὶ οὐκ ἔχει ἀντιδιαϲτολήν. καὶ ἐπεκράτηϲεν ἡ ἀνάγνωϲιϲ. cf. Apoll. de synt. p. 158 seqq. et de pron. 136. l. 2 de ἕθεν cf. E. Gud. 161, 58, Ep. Cr. I 142: ἕθεν: εἴδουϲ πρωτοτύπου. οἱ μὲν νέοι κατὰ διάλυϲιν ποιοῦϲιν ἐκ τοῦ ϲοῦ ϲέο ϲεόθεν καὶ κατὰ ϲυγκοπὴν καὶ ἀποβολὴν τοῦ ο̅ ἕθεν. ὁ δὲ Ἡρωδιανὸϲ ἐκ τοῦ ἐμέ, ϲέ, ἕ τρίτου προϲώπου κατ' ἐπέκταϲιν τῆϲ θεν. l. 3 προϲώπου add. Bloch., l. 7 lacunam explevit Blochius verbis καὶ αἰτιατικῆϲ, quibus ipse εἰϲ ω̅ apposui, idem l. 11 μένει inseruit. — l. 14 lacunam explevi verbis ἐϲτὶν εὐθεῖα secundum Charac. Bekk. An. 1151: ἐν ταῖϲ εὐθείαιϲ ἀντωνυμίαϲ μὴ ἐγκλινομένηϲ; l. 19 ὀρθοτονοῦντεϲ προπεριϲπῶμεν scripsi pro ὀρθοτο ..... περιϲπῶνται. De dualibus primae et secundae personae cf. hos locos: Il. Pr. Α 574: ϲφώ: οὐ πρωτόθετον αὐτήν φηϲιν Ἡρωδιανόϲ. δυϊκὸν ἀπὸ τῆϲ ϲφῶϊ: διὸ ὀξύνεται· τὸ γὰρ ω̅ τῶν δυϊκῶν ἀπέϲτραπται τὴν περιϲπωμένην. Ε 219: νώ: τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυϲϲείᾳ τῷ νώ ἐχρήϲατο κατ' αἰτιατικὴν πτῶϲιν, ὥϲπερ καὶ ἐνθάδε· «νὼ ἀναβηϲάμενοι» (Od. ο 475). ὁπότε μέντοιγε ϲὺν τῷ ῑ λέγεται, καὶ ἐπ' εὐθείαϲ αὐτὸ τάϲϲει καὶ ἐπ' αἰτιατικῆϲ καὶ προπεριϲπᾶται «νῶϊ δ' ἐγὼ Ϲθένελοϲ» (Il. Ι 48) καὶ «οὐ δ' ἂν νῶϊ διαδράκοι ἠέλιόϲ περ» (Il. Ξ 344). περὶ δὲ τάϲεωϲ τοῦ μονοϲυλλάβου, διὰ τί οὐ περιεϲπάϲθη, ἐν τῷ περὶ ἀντωνυμιῶν δηλοῦται· καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰϲ ω λῆγον περιϲπᾶται· οὕτωϲ γὰρ ἔχει καὶ τὸ ϲφώ, ταϲϲόμενον καὶ ἐπ' εὐθείαϲ καὶ ἐπ' αἰτιατικῆϲ. καὶ παρ' αὐτῷ «ϲφὼ δὲ μάλ' ἠθέλετον» (Il. Λ 782) «Ζεὺϲ ϲφὼ ἐϲ Ἴδην» (Il. Ο 146). Β 262: τὸ πτωτικὸν ω̅ ἀπέϲτραπται τὸν περιϲπώμενον τόνον. Egregium de his formis fragmentum exstat Herodiani in E. M. 609, 30: νώ: ἅπαξ ἐχρήϲατο ταύτῃ τῇ λέξει ὁ ποιητὴϲ ἐν τῇ

Πληθυντικὴ ἀντωνυμία ἀπαθὴς μὴ κατὰ διάλεκτον ἐκφερομένη, ἀλλὰ κοινῶς καὶ Ἀττικῶς περισπᾶται, ἡμεῖς ὑμεῖς σφεῖς, ἡμῶν ὑμῶν σφῶν, ἡμᾶς ὑμᾶς, ἡμῖν ὑμῖν. σημειώδης κἀνταῦθα ἡ τοῦ τρίτου σφίν καὶ βραχυνομένη καὶ ὀξυνομένη, δέον ἀκολούθως τοῖς τοῦ πρώτου καὶ δευτέρου ἐκτείνεσθαι καὶ περισπᾶσθαι. ἐν ἑνικοῖς ἡ οἷ παραλόγως περιεσπάσθη. οὕτως ἐκ τοῦ ἐναντίου ἡ σφίν πληθυντικὴ συσταλεῖσα ὠξύνθη· ὥστε ἀμοιβὴ τῶν τόνων ἐν αὐταῖς γέγονεν. βαρύνεται δὲ ἡ σφίν ἐν τῇ σφίσιν καὶ δισυλλαβήσασα ἐπεκτείνεται. τὴν σφᾶς οἱ μὲν ὀξύνουσιν, οἱ δὲ περισπῶσι.

Ὀδυσσείᾳ καὶ ἐν Ἰλιάδος Ε (219) «πρίν γ' ἐπὶ νώ τῷδ' ἀνδρί». τὸ νώ καὶ τὸ σφώ σὺν τῷ ῑ τινὲς γράφουσι, λέγοντες ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γίνεσθαι κατὰ συναίρεσιν τοῦ ω καὶ ῑ εἰς τὴν ῳ δίφθογγον. ἀλλ' ἡ παράδοσις οὐκ οἶδε τὸ ῑ ἐγκείμενον. ἕτεροι (pro ἔτι γὰρ) κατὰ συγκοπὴν λέγουσι χωρὶς τοῦ ῑ. ἀλλὰ λέγει ὁ τεχνικός, ὅτε εἰ ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ συνεκόπη, ὤφειλε περισπᾶσθαι. ἄλλοι δὲ λέγουσι, τὸ νώ καὶ σφώ οὐκ ἐγένετο ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ, ἀλλὰ καὶ ταῦτα ἑτέρων θέματά εἰσι καὶ ἐκείνων ἕτερα θέματα. λέγει δὲ ὁ τεχνικός, ὅτι ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γέγονε κατὰ συγκοπὴν τοῦ ῑ καὶ ὀξύνεται ἀναλόγως· καὶ γὰρ τὸ ἐν τοῖς δυϊκοῖς ῶ ἀποστρέφεται τὴν περισπωμένην τάσιν. διατί δὲ ἡ νῶϊ καὶ σφῶϊ δυϊκαὶ ἀντωνυμίαι ἀποκόπτονται καὶ γίνονται νώ καὶ σφώ; ὅτι οὐδέποτε ἐν τοῖς πτωτικοῖς τὸ ω εὑρίσκεται πρὸ τοῦ ῑ περισπώμενον, ἀλλ' ἢ προπαροξυνόμενον ὡς ἐπὶ τοῦ ἥρωϊ ἢ ὀξυνόμενον ὡς ἐπὶ τοῦ Τρωΐ. ἐπεὶ οὖν αὗται προπερισπῶνται, διὰ τοῦτο πάσχουσιν, ἵνα διὰ τῆς ἀποκοπῆς ἐξαμαυρωθῇ ἡ παράλογος τάσις. τοῦτο γὰρ ἔπαθον καὶ ἡ νῶϊν καὶ σφῶϊν, κατὰ συναίρεσιν γενόμεναι νῷν καὶ σφῷν, ἵνα διὰ τῆς συναιρέσεως ἐξαμαυρωθῇ ἡ παράλογος τάσις. — Δεῖ γινώσκειν, ὅτι Ἀρίσταρχος τὸ «οὐ γάρ σφων ἀπόλωλε τοκήων» (ἔστι δὲ Ὁμήρου [Od. δ 62]) χωρὶς τοῦ ῑ ἀξιοῖ γράφεσθαι, λέγων ὅτι τρίτου προσώπου ἐστὶ τῶν πληθυντικῶν, ἡμῶν, ὑμῶν, σφῶν, ἀντὶ δευτέρου δυϊκοῦ· ἀντὶ γὰρ τοῦ σφῶϊν κεῖσθαι. ἀλλ' ἔστιν εἰπεῖν ὅτι χωρὶς τοῦ ῑ γράφεται, ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ δοτικῇ δυϊκῶν κέχρηται ὁ ποιητής, εἰ μὴ κατὰ διάλυσιν, τοῖν τοῖϊν, ὤμοιν ὤμοιϊν. εἰ οὖν ἐνταῦθα τὸ ῑ εἶχεν ὤφειλε κατὰ διάλυσιν εἶναι. Schol. ad Od. δ 62: οὐ γὰρ σφῶν γένος: χωρὶς τοῦ ῑ ἡ σφῶν, ὡς Ἀρίσταρχος καὶ Ἡρωδιανός. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 110) γράφει αὐτὴν μετὰ τοῦ ῑ, ἵν' ᾖ δευτέρου προσώπου κατὰ συναίρεσιν. ἀλλ' οὐκ ἔστι ποτὲ παρὰ τῷ ποιητῇ γενικὴ καὶ δοτικὴ μὴ ἐκφωνοῦσα τὸ ῑ. τὸ γὰρ ὤμοιν καὶ ποδοῖν λέγει ὤμοιϊν καὶ ποδοῖϊν καὶ τὸ τοῖν μετὰ τοῦ ῑ λέγει τοῖϊν δισυλλάβως. — Similia in brevius contracta habet Eustath. 153, 42, cf. Apollon. de pron. 110 seqq. — De σφωέ cf. Il. Pr. X 546: ἤ τίς σφωε πόρεν: τὸ ῥῆμα ἀπὸ τοῦ π ἄρχεται καὶ ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς «τίς τ' ἄρ σφωε θεῶν» (Il. A 8), «ἀλλά σφωε δόλος καὶ δεσμός» (Od. θ 317)· ὥστε οὐκ οἶδεν ὁ ποιητὴς οὐδὲ μονοσύλλαβον τὴν σφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προσώπου ἐστὶ καὶ σημαίνει τὸ ὑμεῖς ἢ ὑμᾶς. σφὼ δὲ μάλ' ἠθέλετον» (Il. Λ 782)· ἔνθεν οὖν οἱ ἀκριβέστεροι αὐτὰ παραφυλάξαντες ἔκθλιψιν δεδώκασι τοῦ ε̄ ἐν τῷ «εἰ μή σφω' Αἴαντε διέκρινον» (Il. P 531), ἵνα τὸ διηνεκὲς φυλαχθῇ. cf. Apollon. de pron. p. 113. — De σφωΐν cf. Il. Pros. Θ 402: γυιώσει μέν σφωϊν: σφωϊν ἐγκλιτικὴ νῦν ἐστιν ἡ ἀντωνυμία. τρίτου γὰρ προσώπου, τὰ δὲ τρίτα δυϊκὰ τό τε σφωέ καὶ σφωΐν ἐγκλιτικά ἐστιν. ὅτε μέντοι δευτέρου γίνεται τὸ σφωϊν, περισπᾶται· ὀρθοτονεῖται γάρ· «γυιώσειν μὲν σφῶϊν» (416). Ψ 281: ἐγκλιτικῶς τὴν σφωϊν ἀντωνυμίαν ἀναγνωστέον· ἔστι γὰρ τρίτου προσώπου. cf. Apoll. de pron. 115.
l. 8 ἐπεκτείνεται pro ἐκτείνεται scripsi; nam coll. Arcad. 143, 16 Herodianum idem atque Apollonium de pron. 125 (ἡ σφίσιν ἀπὸ τῆς σφίν ἐπεκτέταται) de σφίσιν indicasse videtur, nativum esse σφῖν, unde per epectasin σφίσιν ortum sit, ν in utraque forma mobile esse. — τὴν σφᾶς — περισπῶσι addidi ex Arcad. 179, 8. Lehrsius qu. ep. 124 dicit obscurius esse, quid in his insit; fortasse dictum fuit ab Herodiano σφᾶς productum esse perispomenon, correptum quum a perispasi exclusum sit, inter oxytona relatum esse. cf. Apoll. de pron. 127: ἡ σφᾶς ἔσθ' ὅτε συστέλλει τὸ ᾱ κατ' ἔγκλισιν, συζύγως τῷ «μηδ' ἥμας» ἐν τῷ «μέγα δέ σφας ἀποσφήλειε πόνοιο».

Αἱ ἀντωνυμίαι μονοπρόσωποι ὑπὲρ μίαν συλλαβὴν οὖσαι, μὴ ἐπεκτεταμέναι διὰ τοῦ ῑ, βαρύνονται χωρὶς τῆς αὐτός. αὕτη γὰρ μόνη ὀξύνεται. αἱ δὲ βαρύνονται οὗτος ἐκεῖνος ὅδε. κλίσιν δὲ εἴς τε τὰς πτώσεις καὶ εἰς τὰ γένη καὶ εἰς ἀριθμοὺς αὗται κατὰ τὴν ὀνομάτων ἔχουσιν ἀναλογίαν τῶν οὕτως παρηγμένων, λέγω δὲ τὸ τόσος τοσοῦτος τοσόσδε, τόση τοσαύτη τοσῆδε, τόσον τοσοῦτον τοσόνδε. Αἱ δὲ διὰ τοῦ ῑ ἐπεκτεταμέναι ὀξύνονται, οὑτοσί, ἐκεινοσί, ὁδί. Αἱ μονοσύλλαβοι κατ' εὐθεῖαν μὲν καὶ αἰτιατικὴν ὀξύνονται, ὅς, ἕ, μίν, νίν, κατὰ δὲ γενικὴν καὶ δοτικὴν περισπῶνται, οὗ οἷ.

Αἱ δὲ σύνθετοι τῶν ἀντωνυμιῶν τὸν αὐτὸν ταῖς ἁπλαῖς τόνον φυλάττουσιν, ἐμοῦ αὐτοῦ ἐμαυτοῦ, ἐμοὶ αὐτῷ ἐμαυτῷ, ἐμὲ αὐτόν

—

l. 3 de ἐκεῖνος cf. E. M. 508, 26 (Ep. Cr. I 234, II 442) καθὸ μὲν ἔστι λέγειν, ὅτι οὐδέποτε πρωτότυπος ἀντωνυμία ἀπαθὴς οὖσα ὑπερβαίνει τὴν δισυλλαβίαν, οἷον ἐγώ, αὐτός, οὗτος, τὸ ἐκεῖνος ἐστὶν ἀναλογώτερον, καθὸ δὲ αἱ μονοπρόσωποι ἀντωνυμίαι ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι οἷον οὗτος αὐτός ὅδε ἀναλογώτερόν ἐστι τὸ ἐκεῖνος, ἵνα ἀπὸ φωνήεντος ἄρξηται. — de ὅδε et οὗτος cf. Apoll. de pron. 71: καὶ δῆλον ὡς ἀπ' αὐτῆς (sc. τῆς ὅς) καὶ ἡ ὅδε παρῆκται καὶ ἡ οὗτος — ᾧ λόγῳ καὶ ἀπὸ τοῦ τηλίκος τηλικοῦτος τηλικόσδε καὶ ἀπὸ τοῦ τόσος τοσόσδε καὶ τοσοῦτος, οὐδὲν πλέον σημαίνοντα τῶν πρωτοτύπων. — l. 6 accentum formarum τόσοσδε, τόσηδε τόσονδε ap. Io. Al. proparoxytonarum mutavi ex Herodiani doctrina ab ipso Io. Al. p. 34, 13 relata: τὰ φωνὴν παραχθέντα εἰς δε μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα πρὸ μιᾶς ἔχει τὸν τόνον τοσόσδε, τηλικόσδε. cf. Il. Pr. X 41 τοσσόνδε: πρὸ τέλους ἡ ὀξεῖα· ἓν γάρ ἐστι μέρος λόγου. Γ 157: τοιῆδ': ἕν ἐστι· διὸ περισπαστέον τὸ τοιῆδε. δ 665: ἐκ τοσσωνδε: οἱ πλείους ὡς δύο μέρη τοῦ λόγου ἀνέγνωσαν ἐν δυσὶ ὀξείαις ὡς τὸ «τοίῃ δ' ἀμφὶ γυναικί» (Γ 157), ὁ δὲ Ἀσκαλωνίτης κατ' ἐπέκτασιν. B 346: τοῦσδε: ἕν ἐστι τὸ τοῦσδε· διὸ προπερισπαστέον. Λ 409: Ἀλεξίων τὸ τόνδε ἓν μέρος λόγου ἐκδέχεται καὶ παροξύνει, ἵνα ἰσοδυναμῇ ἀναφορικῇ τῇ τοῦτον. Τυραννίων δὲ δύο μέρη λόγου ποιεῖ, ἵνα ᾖ τοῦτον δέ, κατὰ ἀναφορὰν ὁμοίως· ἔφαμεν δὲ ὅτι παρὰ τῷ ποιητῇ ἡ διὰ τοῦ δε ἐπὶ ταύτης τῆς ἀντωνυμίας ἐπέκτασις σπανίως μὲν εὑρέθη ἐπ' ἀναφορᾶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ «τοῦσδε δ' ἔα φθινύθειν» (B 346) ὥστε οὐδὲν κεκώλυκε καὶ ἐνθάδε τὸ τοιοῦτο παραδέξασθαι διὰ τὸ ἤδη πεπεῖσθαι τὴν παράδοσιν. βεβαιοτέρα μέντοι ἐστὶν ἡ τοῦ Τυραννίωνος ἀνάγνωσις· οὐδὲν γὰρ ἐναντιοῦται. Υ 357: τοσσουσδ': ὁ Ἀσκαλωνίτης προπερισπᾷ, ἐπεί, φησί, κατὰ δεῖξιν λέγεται, καὶ τὸ «τοσσῆσδ' ὑσμίνης» (359). Ἀρίσταρχος μέντοι καὶ οἱ πλείους παρολκὴν ἐξεδέξαντο τοῦ δε καὶ ἐπείσθη ταύτῃ τῇ ἀναγνώσει ἡ παράδοσις· οὐκ ἀδόκιμος δὲ καὶ ἡ τοῦ Ἀσκαλωνίτου. Z 146: τοίη δέ: δύο μέρη λόγου τὸ τοίη δέ, τοίη καὶ δέ. διὸ οὐ περισπαστέον τὸ τοιηδε. Θ 110: τώδε: παροξύνεται τὸ τώδε· παραλόγως· ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ «τώδε δὲ νῶϊ» εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ Z, ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει. Λ 432: τοιώδ' ἄνδρε κατακτείνας: ἔφαμεν τὴν διὰ τοῦ δε ἐπέκτασιν προπερισπᾶσθαι, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν. διὸ σημειούμεθα τὸ «τώδε δὲ νῶϊ». Schol. ad Od. α 185: νηῦς δέ μοι ἡδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος: περισπαστέον τὸ ἧδε. ἔστι γὰρ ἀντωνυμία ἀναφορική (non ἠδέ coniunctio) cf. Apoll. de pron. 73 et de hac tota materia Lehrs. qu. ep. 133 seqq. — l. 7 ὀξύνονται addidi ex Arc. 179, 15. de οὑτοσί ἐκεινοσί ὁδί cf. technicum (Herod.) in E. M. 341, 44. — l. 11 de ἐμαυτοῦ cf. Bekk. An. 920, 15: ἰστέον ὅτι οὐκ ἀπὸ τῆς ἐμοῦ κτητικῆς ἀντωνυμίας ἐγένετο ἡ ἐμαυτοῦ σύνθετος ἀντωνυμία, διὰ τίνα γενικὴν αἰτίαν, μαθησόμεθα προσέχοντες πρὸς τὰς βιωφελεῖς τέχνας τῶν μεγάλων τεχνογράφων (Ἡρωδιανοῦ καὶ Ἀπολλωνίου) καὶ τὸ τρίτον πρόσωπον τῆς κτητικῆς ἀντωνυμίας ὅς (scr. pro πῶς) πολλάκις εἰς σύνθετον μεταλαμβάνεται, unde concludas Herodianum idem fere de ἐμαυτοῦ dixisse, quod contra Tryphonem Apoll. de pron. 86. de synt. 169 seqq.

ἐμαυτόν. ὁμοίωϲ ἐπὶ δευτέρου καὶ τρίτου καὶ ἐπὶ θηλυκῶν ὁμοίωϲ. αἱ γὰρ οὐδέτεραι κατὰ γενικὴν καὶ δοτικὴν τῷ ἀρϲενικῷ ὁμοφωνοῦϲιν, ἡ δὲ αἰτιατικὴ τῶν οὐδετέρων ἐκλέλοιπεν. ἐπεὶ ὁμόφωνοι μὲν ἐν οὐδετέροιϲ ἡ εὐθεῖα καὶ αἰτιατική, οὐδέποτε δὲ εὐθεῖα ἀντωνυμίαϲ ϲυντίθεται, ἔνθεν ϲυνεκλείπει ἡ αἰτιατική. εἰ δὲ ἅπαξ που παρ' Εὐριπίδῃ εὕρηται τὸ ϲεαυτό (fr. 694 Nauck)

εἶα δή, φίλον ξύλον
ἔγειρέ μοι ϲεαυτό

καὶ παρὰ Φιλήμονι τὸ αὐτό, ἀλλ' οὐ τὸ ϲπάνιον τοῦ ὅλου κατέϲτηϲε κανόναϲ.

Ἡ ὁ δεῖν περιϲπᾶται, κλίνεται δὲ τοῦ δεῖνοϲ τῷ δεῖνι, τὸν δεῖνα. ἡ ὁ δεῖνα προπεριϲπᾶται, κλίνεται δὲ τοῦ δείνατοϲ, τῷ δείνατι. εἰϲὶ δὲ κοιναὶ τῶν τριῶν γενῶν.

Αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν, ὀνομάτων ἔχουϲαι χαρακτῆρα, καὶ τὴν τῶν ὀνομάτων ἀναλογίαν ἔχουϲιν. ἡ μὲν οὖν τῶν ἑνικῶν εὐθειῶν ὀξύνεται, ἀπὸ τῆϲ ἐμοῦ ὁ ἐμόϲ καὶ κατ' ἀκολουθίαν ταύτηϲ καὶ ἡ αἰτιατικὴ ἐμόν, ἡ δὲ γενικὴ καὶ δοτικὴ περιϲπᾶται, ἐμοῦ, ἐμῷ. οἱ δὲ ἀριθμοὶ καὶ τὰ γένη ἀκολούθωϲ τονοῦνται, ὡϲ καὶ τὰ εἰϲ οϲ ὀνόματα. ὁμοίωϲ καὶ ἡ ϲόϲ καὶ ἑόϲ.

Αἱ διὰ τοῦ τεροϲ, αἵτινέϲ εἰϲι δυϊκαὶ ἢ καὶ πληθυντικαί, πᾶϲαι τρίτην ἀπὸ τέλουϲ ἔχουϲι τὴν ὀξεῖαν, δυϊκαὶ μὲν ἀπὸ τῆϲ νῶϊ νωΐτεροϲ καὶ ἀπὸ τῆϲ ϲφῶϊ ϲφωΐτεροϲ. ἀπὸ γὰρ τῆϲ τοῦ τρίτου δυϊκῆϲ οὐ γίνεται κτητικὴ παραγωγή, διότι αἱ μὲν τοῦ τρίτου δυϊκαὶ πᾶϲαι ἐγκλίνονται, ἀπὸ δὲ ἐγκλινομένων οὐ γίνεται κτητικὴ ἀντωνυμία. πληθυντικαὶ δὲ ἀπὸ μὲν τῆϲ ἡμῶν ἡμέτεροϲ καὶ ἀπὸ τῆϲ ὑμῶν ὑμέτεροϲ καὶ ἀπὸ τῆϲ ϲφῶν ϲφέτεροϲ. ἀπὸ δὲ τῆϲ ἡμῶν καὶ ὑμῶν ἐγένετο ἐθνικὴ παραγωγή, ἡμεδαπόϲ καὶ ὑμεδαπόϲ, αἵτινεϲ ὠξύνθηϲαν

et de ὅϲ idem, quod Apoll. de pron. p. 59 exposuit. l. 2 pro ἄρθρῳ scripsi ἀρϲενικῷ. l. 6 locus sumptus est ex dramate satyrico Συλεύϲ teste Eustath. 107, 30, de re cf. Apoll. de pron. p. 93. — l. 12 de ὁ δεῖνα cf. Choerob. orth. 246, 7 et E. M. 614, 47 Apoll. de pron. 75 seqq. l. 19 ὁμοίωϲ καὶ ἡ ϲόϲ καὶ ἑόϲ addidi ex Arc. 179, 25. — De pronominibus possessivis cf. Apoll. de pron. 129. — Excidit hic annotatio de ἀμόϲ: Il. Pr. Z 110: ἁμόν: Δημήτριόϲ φηϲιν ἀντὶ τοῦ ἐμόν. διὸ καὶ ἄντικρυϲ ψιλοῖ. πιθανώτερον δέ ἐϲτι Δωρικώτερον εἶναι, ἀντὶ τοῦ ἡμέτερον ἁμόν. οὕτωϲ Ἀπολλώνιοϲ (de pron. 142 et 144). N 96: ἁμάϲ: ἡμετέραϲ· τὸ ἁμάϲ ἐκτείνεται κατὰ τὸ τέλοϲ, καίτοι Δώριον ἔχον τὴν πρὸ τέλουϲ ϲυλλαβήν, ἐπεὶ ἑνικῷ παράκειται τῷ διὰ τοῦ η λεγομένῳ, ἁμήν, ὅπερ ὁλόκληρον ἂν ἦν Δωρικόν, εἴπερ εἰϲ αν κατέληγεν. Sed Herodianus quamquam Apollonii sententiam de significatu adoptavit, tamen in forma explicanda ab eo declinavisse videtur. Nam Apollonius ἀμόϲ ex ἀμέτεροϲ per syncopen ortum esse contra eos, qui duarum syllabarum concisionem reprobarunt, contendit; Herodianus autem, qui in E. M. 52, 18 diserte dicit: μὴ γίνεϲθαι δύο ϲυλλαβῶν ϲυγκοπήν, metaschematismum statuisse putandus est. — l. 27 ex hoc Catholicae loco apparet Herodianum idem sensisse de ἡμεδαπόϲ reliquis atque Apollonium de pron. 38 synt. 190: haec vocabula non esse composita, sed simplicia mera paragoge aucta. Quare falsum est, quod in Schol. ad Il. Ω 657 Herodiano impingitur eum ποδαπόϲ ex ποῖοϲ et δάπεδον compositum habuisse, quod fugit Lobeck. ad Ai. 402. Veram Herodiani sententiam retulit etiam Epimerista Cr. I 398, 32 τηλεδαπόϲ: ὄνομα ἐπιθετικόν. τινὲϲ δ' ᾠήθηϲαν τὸ ἔδαφοϲ ἐγκεῖϲθαι. ἀλόγωϲ. παραγωγὴ γάρ ἐϲτι διὰ τοῦ δαποϲ

τῷ χαρακτῆρι τῶν ὁμοίων τοῦ ἀλλοδαπός καὶ παντοδαπός καὶ τηλεδαπός.

Περὶ προθέσεως.

Πρόθεσις εἴρηται ἐκ τοῦ πάσης λέξεως ἐθέλειν προτίθεσθαι, λέγω δὲ ὀνομάτων περὶ Ἀριστάρχου, ῥημάτων καταγράφω, μετοχῶν καταγράψας — λέγομεν δὲ ὅτι οὐκ ἔστιν ἡ κατά πρόθεσις ἐν τῷ καταγράφω, καταγράψας, ἀλλὰ μέρος ἐστὶ τοῦ ῥήματος, εἰ καὶ μετὰ προθέσεως ἐγένετο ἡ σύνθεσις. ὥσπερ γὰρ ἐν τῷ εὐγενής οὐκ ἔστι τὸ ευ ἐπίρρημα, ἀλλὰ μέρος ἐγένετο τοῦ ὀνόματος, εἰ καὶ ἀπὸ ἐπιρρήματος ἐγένετο ἡ σύνθεσις, οὕτω καὶ ἐν τῷ καταγράφω οὐ λέγομεν, ὅτι πρόθεσίς ἐστιν ἡ κατά, ἀλλὰ μέρος τοῦ ῥήματος, εἰ καὶ ἀπὸ προθέσεως ἐγένετο ἡ σύνθεσις — ἀντωνυμιῶν περὶ ἐμοῦ, ἄρθρων τῶν προτατικῶν περὶ τοῦ στεφάνου.

* Οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφί. λέγεται δ' ἔσθ' ὅτε καὶ ἀμπί ἐν συνθέσει διὰ τοῦ π καὶ ἴσως ἀναλογώτερον.

* Οὐδεμία πρόθεσις μονοσύλλαβος εἰς φωνῆεν λήγει, ἀλλὰ μόνον ἡ πρό.

* Οὐδεμία πρόθεσις εἰς διπλοῦν λήγει, ἀλλὰ μόνη ἡ ἐξ.

* Αἱ εἰς ᾱ λήγουσαι προθέσεις σύμφωνον ἔχουσι πρὸ τοῦ ᾱ, ἀλλὰ μόνη ἡ διά τὸ ᾱ καθαρεύει.

* Οὐδεμία πρόθεσις δισύλλαβος εἰς σύμφωνον καταλήγει, ἀλλὰ μόνη ἡ ὑπέρ.

* Αἱ ὑπὲρ μίαν συλλαβὴν προθέσεις εἰς φωνῆεν λήγουσι δίχρονον ὑπεσταλμένης τῆς ἀπό καὶ ὑπό· ἀναλογώτεροι ἄρα οἱ Αἰολεῖς τὴν ὑπό ὕπα λέγοντες, τὴν δὲ ἀπό ἄπυ, ἴσως ἵνα τὸ ῡ ληκτικὸν γένηται τῆς προθέσεως ὡς τὸ ᾱ καὶ ῑ.

Πᾶσα πρόθεσις εἴτε μονοσύλλαβος εἴτε δισύλλαβος ὀξύνεται — εἰ μὴ κατὰ ἀναστροφὴν παραληφθῶσι· τότε γὰρ βαρύνονται αἱ δισύλλαβοι οἷον «ἄστυ κάτα Ξάνθοιο» — ὅθεν καὶ ἡ ἀπό καὶ ὑπό, μηδεμιᾶς ληγούσης λέξεως εἰς ο̄ ὀξυνομένης, διὰ τὸ εἶναι προθέσεις ὠξύνθησαν· διὸ σημειούμεθα τὴν αὐτό ἀντωνυμίαν, ὅτι ὠξύνθη διὰ τὴν αὐτός ἀρ-

---

καὶ ἐπὶ ἔθνους τίθεται. l. 4 definitionem praepositionis in fronte huius sectionis posui; Io. Al. eam demum profert, postquam de accentu dixit, his verbis: p. 26, 7 ὅτι μὲν οὖν ὀξύνονται αἱ προθέσεις, εἴπομεν· διὰ τί δὲ προθέσεις εἴρηνται; ἐκ τοῦ πάσης κτλ. — l. 6 λέγομεν δὲ ὅτι οὐκ ἔστιν — l. 11 ἡ σύνθεσις inserui ex Herod. ap. Choer. Dict. 522, quum simile quid etiam hoc loco, non in libro περὶ ῥημάτων tantum disseruisse Herodianum ex Schol. ad Dionys. p. 926 seqq. coniectari liceat. l. 14 transscripsi ex Mon. 45, 25 cf. Ep. Cr. I 67, 19.
l. 19—23 ex eodem Monadicorum loco recepi, l. 24—27 ex Ep. Cr. I 68, 6. Similia traduntur in Schol. ad Dionys. p. 929 seqq. l. 28—l. 5 pag. seq. sunt ex Io. Al. 25, 33 insertis initio verbis εἴτε μονοσύλλαβος εἴτε δισύλλαβος propter verba — εἰ μὴ κατὰ ἀναστροφὴν ἄστυ κάτα Ξάνθοιο ex Arcad. 180, 1 recepta.

ξενικήν. διὰ δὲ τὴν αὐτὴν αἰτίαν ἐγένετο, ὅτι ἡ ὑπέρ πάλιν ὠξύνθη καὶ ταῦτα μηδεμιᾶς λέξεως εἰς ερ ληγούσης μετὰ βραχείας καὶ ὀξυνομένης. καὶ διὰ τοῦτο καὶ τὸν αὐτάρ σύνδεσμον τῷ λόγῳ τῶν συμπλεκτικῶν πάλιν ὠξύνομεν, ἐπειδὴ πᾶς σύνδεσμος συμπλεκτικὸς ὀξύνεται χωρὶς τοῦ ἤτοι.

Εἰσὶ δὲ προθέσεις δέκα καὶ ὀκτώ. τούτων αἱ μὲν ὀρθοτονούμεναι δέκα, ἀνά, διά, ἀμφί, ἀντί, σύν, ἐξ, εἰς, ἐν, πρός, πρό. ἐγκλινόμεναι δὲ καὶ ἀναστρεφόμεναι ὀκτώ, κατά, μετά, παρά, περί, ἀπό, ἐπί, ὑπό, ὑπέρ.

Καθόλου δὲ αἱ ἀναστρεφόμεναι δισύλλαβοί τε εἶναι θέλουσι καὶ δίχρονοι· ὅθεν τριχρονοῦσαι ἡ ἀντί καὶ ἀμφί οὐκ ἀναστρέφονται, οὐδὲ αἱ τῷ ῑ πλεονάζουσαι, καταί, παραί, ὑπαί, ὑπείρ. σημειούμεθα τὴν διά χώραν ἔχουσαν ἀναστροφῆς καὶ μὴ ἀναστρεφομένην διὰ τὴν πρὸς τὸν Δία «Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος» (Β 2) συνέμπτωσιν καὶ τὴν ἀνά μὴ ἀναστρεφομένην, ἵνα μὴ σημαίνῃ τὸν ἄνακτα ὡς ἐν τῷ «Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ» (Π 233) ἢ τὸ ῥῆμα «ἀλλ' ἄνα, εἰ μέμονάς γε» (Ι 247). ἡ δὲ ἐν πλεονάσασα τῷ ῑ ἀνεστράφη «ᾧ ἔνι κούρη κοιμᾶτο» (ζ 15). καὶ τὰς μονοσυλλάβους δὲ ἐὰν ἐπὶ τέλει ὦσι στίχου, ἀναστρέφουσιν οἷον «ἐλθὼν δ' ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν» (ο 410)· ῥώννυται γὰρ ὁ τόνος τῆς σύν προθέσεως, ἵνα νοῆται ἡ ἀναστροφή. τοιοῦτό ἐστι καὶ τὸ «οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ» (Ξ 472).

---

l. 1 lacunam explevi verbis διὰ δὲ τὴν αὐτὴν αἰτίαν ἐγένετο omissa, post ὅτι particula δέ. — l. 3 de accentu coniunctionis αὐτάρ cf. praeter Io. Al. 40, 5, Choer. Dict. 432, 7, Ep. in Psalm. 8, 27. l. 6—9 sumpsi ex Arcad. 180, 3. l. 10—22 ex Io. Al. 27, 27 huc retraxi. — l. 10 θέλουσι cum Blochio inserui.

l. 11 de ἀντί cf. Il. pr. Θ 163: ἀντ': κακῶς ὅσοι ἀναστρέφουσιν· ἡ γὰρ ἀντί ἀναστρέφεται οὔποτε. — l. 12 ὑπαί inserui propter Il. Pr. Β 824: ὑπαὶ πόδα: οὕτως ὑπαί ὡς καταί καὶ παραί. αἱ γὰρ προθέσεις ἐπαυξανόμεναι διὰ τοῦ ῑ φυλάσσει τὸν αὐτὸν τόνον. Γ 217: ὑπαί: ὡς εἰ καὶ ἐντελὴς ἦν, οὕτως ἀναγνωστέον, φυλάττοντας τῆς προθέσεως τὸν τόνον. Ο 4: ὑπαὶ δέους: ἡ ὑπὸ πρόθεσις ὑπαί ἐγένετο ὁμοίως τῷ «ὑπαὶ πόδα νείατον Ἴδης» καὶ ἔστι τὸ ἑξῆς ὑπὸ δέους. οὕτω καὶ Ἀρίσταρχος. διὸ παραιτητέον τὸν Τυραννίωνα βαρύνοντα τὴν ὕπαι καὶ ἡγούμενον ἀπὸ τοῦ ὕπαιθα εἶναι πάθος τῆς ἀποκοπῆς. — l. 14 verba Homerica ex Β 2 recepi ex Schol. ad Dionys. p. 931, qui locus nostro simillimus est, et ex eodem Schol. Dionys. loco addidi καὶ τὴν ἀνά — μέμονάς γε» l. 17. Nam casu haec apud Io. Al. excidisse observavit Lehrs. qu. ep. 72. Compluribus enim locis Herodianus de anastrophe praepositionis ἀνά egit: Il. Pr. Ε 824: μάχην ἀνὰ κοιρανέοντο: ἀνά: οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται ἀνὰ τὴν μάχην. Ἀρίσταρχος δὲ παρῃτήσατο τὴν ἀνά ἀναστρέψαι, ὁπότε μὴ σημαντικὴ εἴη τοῦ ἀνάστηθι, ἵνα μὴ συνεμπέσῃ τῷ «Ζεῦ ἄνα Δωδωναῖε» (Il. Π 233). E. M. 95, 47. ἄνα: ἀλλ' ἄνα, εἰ μέμονας ἀντὶ τοῦ ἀνάστηθι ὅλη ἡ λέξις ἀπεσπάσθη. οὐκ ἔστι δὲ ἀποκοπὴ ἐπὶ τοῦ τοιούτου. Ἡρωδιανός. — l. 17 de ἔνι Schol. ad Od. ζ 15: ᾧ ἔνι κούρη: ἀναστρεπτέον τὴν ἔνι, ἔστι γὰρ ἐν ᾧ. Cum ἐνί comparari potest ποτί, de quo Herodianus in libro περὶ παθῶν egit Cr. An. III 267, 32, sed anastrophen non patitur cf. Lehrs qu. ep. 72. — l. 22 de ἐξ cf. Lehrs qu. ep. 97, Lob. El. II 162. De re cf. Schol. ad Od. γ 137: ἀγορὴν ἐς πάντας Ἀχαιούς: βούλονται τὴν ἐς πρόθεσιν ῥωννύναι τὸν τόνον, ἵνα δυνάμει ἀναστροφὴ γένηται κατὰ τὸ ὄρνιθες ὥς.

Αἱ ὀρθοτονούμεναι.

Ἡ ἀνά ὀρθοτονουμένη οἰκείᾳ πτώϲει αἰτιατικῇ «ἀνὰ ϲτρατόν» (Α 10). κατὰ δὲ Ἀττικοὺϲ καὶ Ἴωναϲ δοτικῇ «χρυϲέῳ ἀνὰ ϲκήπτρῳ» (Α 15) ἀντὶ τῆϲ ϲύν.

Ἡ διά ὀρθοτονουμένη οἰκείαιϲ πτώϲεϲι γενικῇ καὶ αἰτιατικῇ «διὰ προμάχων» (Δ 495) «διὰ δρυμὰ πυκνά» (Λ 118).

Ἡ ἀμφί ὀρθοτονουμένη οἰκείαιϲ πτώϲεϲι γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ ἀντί ὀρθοτονουμένη οἰκείᾳ πτώϲει γενικῇ.

Ἡ ϲύν καὶ ξύν ὀρθοτονουμένη οἰκείᾳ πτώϲει δοτικῇ.

Ἡ ἐξ καὶ ἐκ ὀρθοτονουμένη οἰκείᾳ πτώϲει γενικῇ.

Ἡ εἰϲ καὶ ἐϲ ὀρθοτονουμένη οἰκείᾳ πτώϲει αἰτιατικῇ καὶ γενικῇ Ἀττικῶϲ.

Ἡ ἐν ὀρθοτονουμένη οἰκείᾳ πτώϲει δοτικῇ καὶ γενικῇ Ἀττικῶϲ.

Ἡ πρόϲ ὀρθοτονουμένη γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ πρό ὀρθοτονουμένη γενικῇ.

Αἱ δὲ ἐγκλινόμεναι καὶ ἀναϲτρεφόμεναι αἵδε.

Ἡ κατά ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ καὶ αἰτιατικῇ.

Ἡ μετά ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. τὸ δὲ «μετά ϲφιϲιν» ἀντὶ τοῦ ἐν.

Ἡ παρά ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ περί ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ ἐπί ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ ϲυντάϲϲεται.

Ἡ ὑπό ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ ἀπό ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ.

Ἡ ὑπέρ ἐγκλινομένη καὶ ἀναϲτρεφομένη γενικῇ καὶ αἰτιατικῇ.

* Ὅταν πρόθεϲιϲ τὴν ϲύνταξιν ἔχῃ πρὸϲ τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουϲα τὴν τάξιν «νήπιοι, οἳ κατὰ βοῦϲ Ὑπερίονοϲ Ἠελίοιο — ἤϲθιον (α 8).

Ἐὰν μεταξὺ πέϲωϲιν ὀνόματοϲ καὶ ῥήματοϲ ἢ μετοχῆϲ, πρὸϲ διάφορον ϲημαϲίαν ἢ ἀναϲτρέφονται ἢ οὔ, οἷον «Ἰθάκην κατακοιρανέουϲιν»

l. 1—27 recepi ex Arc. 180, 8—181, 16; l. 4 post ἀντί inserui τῆϲ et l. 19 post ἀντὶ — τοῦ. l. 28—30 inserui ex Il. Pr. Α 67 exemplo addito ex Θ 4: θεοὶ δ' ὑπὸ πάντεϲ ἄκουον: ἡ ὑπό φέρεται ἐπὶ τὸ ἄκουον· διὸ καὶ ἀναϲτρεπτέον. τὸ αὐτὸ καὶ ἐπὶ πάϲηϲ προθέϲεώϲ ἐϲτιν ἰδεῖν ἐχούϲηϲ ϲύνταξιν πρὸϲ τὸ ἐπιφερόμενον «οἳ κατὰ βοῦϲ κτλ.» — Π 75: ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἑξῆϲ ἐϲτιν ἀπαμῦναι· διὸ οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν. Η 6: καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται: ὑπό: οὐκ ἀναϲτρεπτέον διὰ τὸν ϲύνδεϲμον· ἄλλωϲ τε καὶ τὸ ἑξῆϲ ἐϲτιν ὑπολέλυνται. Λ 36: τῇ δ' ἐπὶ — ἐϲτεφάνωτο: ἡ ἐπί πρὸϲ τὸ ἐϲτεφάνωτο ϲυντάϲϲεται· διὸ τὸν τόνον φυλακτέον. C 92: πρῶτοϲ ἐμῷ ὑπὸ δουρὶ τυπεὶϲ ἀπὸ θυμὸν ὀλέϲϲῃ: τὸ ἑξῆϲ ἐϲτιν ἀπολέϲῃ· διὸ οὐκ ἀναϲτρεπτέον τὴν ἀπό. Φ 446: ἤτοι ἐγὼ Τρώεϲϲι πόλιν περὶ τεῖχοϲ ἔδειμα: ἡ περὶ τῷ ῥήματι ϲυντάϲϲεται· διὸ φυλακτέον τὸν τόνον. Ψ 160: παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων: τὸ ἑξῆϲ παραμενέτωϲαν· διὸ φυλακτέον τὸν τόνον τῆϲ προθέϲεωϲ. — l. 32 cf. Il. Pr. Ε 332: πόλεμον κατακοι-

(α 247)· εἰ μὲν πρὸς τὴν Ἰθάκην συντάττοις τὴν κατά, ἵνα τοπικὴν δηλώσῃς σχέσιν κατὰ Ἰθάκην, ἀναστρέψεις τὴν πρόθεσιν· εἰ δὲ πρὸς τὸ κοιρανέουσιν, ἵνα πλείονα ἔμφασιν δηλώσῃς τῆς τῶν μνηστήρων ἐπικρατείας, ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσεις τὴν πρόθεσιν. τὸ αὐτὸ καὶ ἐν τῷ «εὗρε δὲ Πατρόκλῳ περικείμενον» (Τ 4)· εἰ γὰρ περὶ τῷ Πατρόκλῳ κείμενον, καὶ ἀναστραφήσεται ὁ τόνος· εἰ δὲ τῷ Πατρόκλῳ περικείμενον, ἵνα ᾖ οἷον περικεχυμένον αὐτῷ, ὀρθοτονηθήσεται, ἔμφασιν γὰρ πλείονα δηλοῖ.

Εἰ δὲ μεταξὺ πέσῃ δύο ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου ὄντος, τοῦ δὲ προσηγορικοῦ, ἢ ἐπιθετικοῦ καὶ προσηγορικοῦ, ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν, ἵνα τῆς ὅλης συντάξεως προηγήσηται· «ποταμοῦ ἄπο Σελλήεντος» (Μ 97) ἀπὸ τοῦ ποταμοῦ. «Ξάνθῳ

ρανέουσιν: ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵνα γένηται κατὰ πόλεμον· δύναται δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν καί ἐστιν ὅμοιον τῷ «Ἰθάκην κατακοιρανέουσιν», et Ε 824, quem locum p. 480, 14 proposui. — l. 5 περικείμενον pro παρακείμενον scripsi, l. 6 post Πατρόκλῳ addidi κείμενον et pro ἢ scripsi εἰ δὲ et l. 7 ὀρθοτονηθήσεται inserui et δηλοῖ ex grammatico MS. a Dindorfio ad h. l. prolato. — De re cf. Il. Pr. Τ 4: εὗρε δὲ Πατρόκλῳ περικείμενον: τινὲς ἀνέστρεψαν τὴν περί, ἵν' ᾖ περὶ Πατρόκλῳ κείμενον, ἐπεὶ καὶ ἐν ἑτέροις ἔφη (284) «ἀμφ' αὐτῷ χυμένη» τῇ δοτικῇ συντάξας τὴν πρόθεσιν, οὐ τῇ μετοχῇ· ἡμῖν δὲ δοκεῖ, ὥσπερ ἔτι καὶ τοῖς πλείοσι καὶ τῷ Ἀσκαλωνίτῃ, ἓν εἶναι τὸ περικείμενον. ἔμφασις γὰρ μείζων νοεῖται. — Β 312 πετάλοις ὑποπεπτηῶτες: δύναται κἂν ἀναστρέφεσθαι, πιθανώτερον δὲ συντάσσειν τῇ μετοχῇ τὴν πρόθεσιν διὰ τὴν ἔμφασιν. Δ 94: τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν: ἐπιπροέμεν: Ἀρίσταρχος ἀναστρέφει, ἵνα τὸ ἑξῆς γένηται ἐπὶ Μενελάῳ, ὡς καὶ ἐπ' ἐκείνου «ἦ καὶ ἐπ' Ἀντινόῳ ἴθυνεν» (Od. χ 8). Μενεκράτης δὲ ὁ Μιλήσιος ὑφ' ἕν, ἐπιπροέμεν ὁμοίως τῷ ἐπιπροΐηλε καὶ ἐπιπροέηκε, ἵν' ἔμφασις μᾶλλον γένηται. Ε 138 αὐλῆς ὑπεράλμενον: Διονύσιος ἀναστρέφει τὴν ὑπέρ. ὁ δὲ Ἀσκαλωνίτης ἓν ἐποίει, ὃ καὶ πιθανώτερον. Δ 99: πυρῆς ἐπιβάντ': οὐκ ἀναγκαῖον ἀναστρέφειν, ἵνα γένηται τὸ ἑξῆς ἐπὶ πυρῆς βάντα. ἔμφασις γὰρ γίνεται τῇ μετοχῇ εἰ συνταγείη ἡ πρόθεσις. Υ 327: θεοῦ ἀπὸ χειρὸς ὀρούσας: δύναται ἡ ἀπό καὶ ἀναστρέφεσθαι, ἵν' ᾖ ἀπὸ θεοῦ, καὶ φυλάσσειν τὸν τόνον, ἵν' ᾖ ἀπορούσας, ὅπερ καὶ βέλτιον. Ι 449: περιχώσατο: οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται περὶ παλλακίδος. οἱ δὲ περιχώσατο ἀνέγνωσαν, ἵνα σημαίνηται τὸ περισσῶς. καὶ οὕτως μᾶλλον ἐπεκράτησεν ἡ παράδοσις. οὕτως δὲ καὶ Ἀλεξίων. Κ 93: αἰνῶς γὰρ Δαναῶν πέρι δείδια: πιθανώτερόν πώς ἐστιν ἀναστρέφειν· δύναται δὲ καὶ ἕτερον. Κ 38: Τρώεσσιν ἐπίσκοπον: Ἀρίσταρχος ἐπίσκοπον ὡς κατάσκοπον. Νικίας δὲ ἀναστρέφει τὴν ἐπί, ἵν' ᾖ ἐπὶ Τρώεσσιν. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ἐπισκοπόν ὡς ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι. Ν 450: Κρήτῃ ἐπίουρον: τοῦτο τριχῶς ἀνεγνώσθη. Ζηνόδοτος γὰρ ὡς ἐπίκουρον, ἐκδεχόμενος βασιλέα καὶ φύλακα. καὶ Ἀρίσταρχος δὲ οὕτως, ἐκδεχόμενος τὸν φύλακα, μέμνηται καὶ ὁ Δίδυμος τῆς ἀποδόσεως καὶ Τρύφων. ἐκεῖνο δὲ προστίθησιν ὁ Τρύφων, ὅτι ὁ ἐπίουρος ὡς ἐπίσκοπος οὐ πάντως ἔχει ἐγκείμενον τὸν οὖρον τὸν φύλακα κατὰ ταύτην τὴν ἀπόδοσιν. τί γὰρ κεκώλυκε παρὰ τὸ ὁρῶ εἶναι ἐπίορον καὶ ἐπίουρον τὸν ἐπιορῶντα, ἐψιλῶσθαι δὲ διὰ τὴν ἐπένθεσιν τοῦ ῡ. καὶ ἡμεῖς δὲ συγκατατιθέμεθα τούτοις. εἰσὶ δὲ οἳ ἀνέστρεψαν τὴν πρόθεσιν, Κρήτῃ ἔπι. ὁ δὲ Ἀσκαλωνίτης παρέλκειν ἡγεῖται τὴν ἐπί. διὸ καὶ τὸν τόνον φυλάττει τῆς προθέσεως ὁμοίως τῷ «βοῶν ἐπιβουκόλος ἀνήρ» (Od. γ 422). l. 9 de hoc praecepto cf. praeter Io. Al. in Prooem. 4, 2 (supra p. 7, 13): Il. Pros. Β 839: ποταμοῦ ἀπὸ Σελλήεντος: Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἀναστρέφει πρὸς τὰ προσηγορικώτερα ποιούμενος τὰς συντάξεις. ὁμοίως καὶ Νικίας. οὐκέτι μέντοι ἐπὶ τοῦ «Ξάνθῳ ἐπὶ δινήεντι» (Il. Ε 479) «μάχῃ ἐνὶ κυδιανείρῃ» (Il. Ζ 124). ἐπεφέρετο γὰρ τὰ προσηγορικώτερα. ὁ μέντοι Ἀρίσταρχος τοῖς κυριωτέροις συνέτταττε τὰς προθέσεις· διὸ ἀναστρέφων ἀνεγίνωσκε «Ξάνθου ἄπο δινήεντος» (877). φυλάσσων δὲ τὸν τόνον ἐπὶ τοῦ «ποταμοῦ ἀπὸ Σελλήεντος». εἶτα πολλὰ εἰπὼν ὁ Ἡρωδιανός φησι ὅτι ἐμοὶ μέντοι δοκεῖ τὸ τοιοῦτον ὅλον εἶδος ἀναγινώσκειν κατὰ ἀναστροφήν. εἰ γὰρ δύο ὀνόματά ἐστι καθ'

ἔπι δινήεντι» (Є 479) ἐπὶ τῷ δινήεντι ποταμῷ· «μάχῃ ἔνι κυδιανείρῃ» (Ζ 124) ἐν τῇ κυδιανείρῃ μάχῃ.

Ὁμοίως καὶ ἐὰν μεταξὺ δύο κυρίων ᾖ ἢ δύο προσηγορικῶν, ἀναστρέφεται, συνδέσμου συμπαραλαμβανομένου μετὰ τὴν πρόθεσιν· «νηῶν ἄπο καὶ κλισιάων» (Β 91), «Ἀγαμέμνονος πέρι καὶ Ἀχιλῆος», ἵνα πάλιν προηγῆται ἡ πρόθεσις· εἰ δὲ μὴ μεταξὺ εἴη, ὑποταγείη δὲ τούτῳ, οὗπερ ἔδει αὐτὴν προηγεῖσθαι, μηδενὸς λόγου μεταξὺ πίπτοντος, πάλιν ἀναστρέφεται «ᾧ ἔπι πόλλ' ἐμόγησα» (Α 162)· τὸ γὰρ ἑξῆς ἐστιν ἐφ' ᾧ

ἑνὸς ὑποκειμένου λαμβανόμενα καὶ σχεδὸν ἕν ἐστι τὸ ὅλον, καὶ θέλει ἡ πρόθεσις προηγεῖσθαι, μέση δὲ παρείληπται καθ' ὑποταγήν, ὡς ὑποτεταγμένη ἀναστραφήσεται. Ψ 718: τρίποδος πέρι ποιητοῖο: ἔφαμεν περὶ τῶν τοιούτων, πότερον δεῖ ἀναστρέφειν τὰς προθέσεις μεταξὺ κειμένας δύο ὀνομάτων ἢ οὔ, ὡς ἐπὶ τοῦ «μάχῃ ἔνι κυδιανείρῃ» (Il. Ζ 124), καὶ ὡς οἱ πλείους θέλουσι τοῖς ἐπιθετικοῖς συντάσσειν αὐτάς. διὸ καὶ ὁ Ἀσκαλωνίτης ἐνθάδε οὐκ ἀναστρέφει. — Κ 18: Νέστορ' ἔπι πρῶτον: Πάμφιλος τὴν ἐπὶ ἀναστρέφει. πιθανώτερον δέ ἐστι τὸ ἀκόλουθον φυλάττοντας ἀναγινώσκειν ἐπὶ πρῶτον Νέστορα. οὕτως ὁ Ἀσκαλωνίτης. Γ 240: νέεσσ' ἐνὶ ποντοπόροισιν: Νικίας οὐκ ἀναστρέφει· οὐ συμφωνεῖ δὲ τὰ τῆς ἱστορίας αὐτῷ· φασὶ γὰρ Ἀρίσταρχον τοῖς κυριωτέροις συντάσσειν τὰς προθέσεις. C 92: πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ: τὴν ὑπὸ ἀναστρεπτέον, ἐπεὶ τὸ ἀκόλουθόν ἐστιν ὑπ' ἐμῷ. εἰσὶ δὲ μέντοι οἳ οὐκ ἀνέστρεψαν, ἀλλὰ συνέταξαν τῇ δοτικῇ, δουρὶ ἐμῷ· ἐν ἑτέροις γὰρ οὕτως αὐτὸν εἰρηκέναι «δουρὶ δ' ἐμῷ κτεάτισσα» (Il. Π 57). Schol. ad Od. ο 58: Ἑλένης πάρα καλλικόμοιο: ἀναστρεπτέον τὴν παρά. Ζ 89 ποταμὸν πάρα δινήεντα: Ἀρίσταρχος ἀναστρέφει τοῖς κυριωτέροις συντάσσων τὰς προθέσεις. Υ 53 θεῶν ἐπὶ Καλλικολώνῃ: Ἡρόδικος βαρέως ἀνεγίνωσκεν ὡς τρέχων, μετοχὴν ποιῶν. ὁ μέντοι Ἀρίσταρχος περιέσπα λέγων οὕτως καλεῖσθαι τὸν τόπον τῶν θεῶν Καλλικολώνη, ὥσπερ καὶ Ἀχαιῶν λιμήν. οὕτως δὲ ἐχούσης τῆς ἱστορίας περισσὴ ἡ τοῦ Ἡροδίκου ἀνάγνωσις. ἡ μέντοι ἐπὶ πρόθεσις κατὰ ταύτην τὴν ἔννοιαν ὤφειλε προηγεῖσθαι τοῦ λόγου, ὥστε εἶναι ἐπὶ θεῶν Καλλικολώνῃ· διὸ ἐτόλμησάν τινες ἀναστρέψαι· οἱ μέντοι περὶ Ἀσκαλωνίτην οὐκ ἀνέστρεψαν, ἀλλὰ συνέταξαν τῇ ἑξῆς λέξει. καὶ οὕτως ἐπείσθη ἡ παράδοσις, λέγω δὲ τῇ συντάξει τῆς δοτικῆς. καὶ γὰρ διὰ τῶν ἑξῆς (151) Καλλικολώνης φησὶν οὐ προσνείμας τὸ θεῶν «οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης». Β 523: πηγῆς ἔπι Κηφισοῖο: Πτολεμαῖος ἀναστρέφει καὶ Πάμφιλος· Ἀλεξίων συντάσσει τῇ γενικῇ τὴν πρόθεσιν καὶ οὐκ ἀναστρέφει. Ἀρίσταρχος δὲ τοῖς κυριωτέροις συνέτασσε τὰς προθέσεις. cf. Lehrs, qu. ep. p. 79.

l. 6 supersunt haec de anastrophe praecepta: Il. Pr. Є 739: ἣν πέρι μὲν πάντῃ φόβος ἐστεφάνωτο: ἀναστρεπτέον τὴν πρόθεσιν, ἵνα πρὸς τὸ ἣν συντάττηται. Λ 370: Τυδείδῃ ἔπι τόξα τιταίνετο: οἱ ἀκριβῶς ἀναγινώσκοντες ἀναστρέφουσι τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστιν ἐπὶ Τυδείδῃ. Ο 142: θρόνῳ ἔνι: ἀναστρεπτέον τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστιν ἐν θρόνῳ ὁμοίως τῷ «υἱός γάρ οἱ ὄλωλε μάχῃ ἔνι» (111). Ο 665: τῶν ὕπερ: ἀναστρεπτέον τὴν πρόθεσιν. C 7: νηυσὶν ἔπι κλονέονται: ἐπὶ τὰς ναῦς· ἀναστρεπτέον τὴν πρόθεσιν, ὁμοίως καὶ ἐπὶ τοῦ «νηυσὶν ἔπι προέηκα» (439). Τ 10: τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο: ἀναστρεπτέον τὴν πρόθεσιν· ἔστι γὰρ παρ' Ἡφαίστου. Υ 221: ἕλος κάτα βουκολέοντο: τὸ ἑξῆς ἐστι καθ' ἕλος· διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. — Schol. ad Od. ε 106: ἄστυ πέρι: ἀναστρεπτέον· ἔστι γὰρ περὶ ἄστυ ὡς «ἀμφὶ πόλιν Καλυδῶνα» (Ι 530). π 466: ἄστυ κάτα βλώσκοντα: ἀναστρεπτέον τὴν κατά. π 234: φόνου πέρι βουλεύσωμεν: ἀναστρεπτέον τὴν πέρι. Ζ 357: οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον: ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵν' ᾖ ἐφ' οἷς. δύναται δὲ τὸ ἐφεξῆς εἶναι ἐπέθηκεν. οὕτως γὰρ βούλεται καὶ ὁ Ἀλεξίων. οὐδὲν μέντοι κεκώλυκε καὶ τὸ τοῦ Ἀσκαλωνίτου, ἐπεὶ οὐχ ὁρῶ τινα λόγον ἀναγκαστικόν. Η 63: πόντον ἔπι φρίξ: ὁ Ἀσκαλωνίτης ἀναστρέφει πόντον ἔπι· οὕτως καὶ οἱ ἄλλοι. καὶ ἄμεινον· οὐδὲν γάρ ἐστι τὸ ἐπιφρίξ, χωρὶς εἰ μὴ παρέλκῃ ἡ πρόθεσις. ὅπερ ἀπίθανον. οὐ γὰρ κατεπείγει. Υ 188: ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα σεῦα: ἀναστρεπτέον τὴν πρόθεσιν· ἔστι γὰρ τὸ ἐφεξῆς ἀπὸ βοῶν. ἔνιοι δὲ συντάσσουσι τὴν ἀπὸ τῷ σεῦα. Ξ 7: θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα: τὴν πρόθεσιν ἀναστρεπτέον. τὸ γὰρ ἑξῆς ἐστιν ἀπολούσῃ. Ρ 91: λίπω κάτα τεύχεα: τὸ ἑξῆς ἐστι καταλίπω, διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. Β 699: τότε δ' ἤδη ἔχεν κάτα γαῖα

πόλλ' ἐμόγησα. «θεῶν ἄπο μήδεα εἰδώς» (ζ 12) ἀπὸ θεῶν εἰδὼς μήδεα. εἰ δὲ μεταξὺ τῆς προθέσεως καὶ τοῦ προσηγορικοῦ ὀνόματος ἢ ῥήματος, πρὸς ὃ τὴν σύνταξιν ἔχει ἡ πρόθεσις, ἕτερον μέρος λόγου πέσῃ, ὡς ἐπὶ τοῦ «τῷ δ' ἐπὶ Τυδείδης ἦλθε κρατερὸς Διομήδης» (Η 163, Ψ 290)· ἔστι γὰρ τὸ ἑξῆς ἐπὶ τούτῳ δὲ ὁ Τυδείδης ἦλθε· οὐκ ἀναστρέφεται ἡ πρόθεσις διὰ τὸ μεσοσυλλαβῆσαι τὸν δέ. τοιοῦτό ἐστι καὶ τὸ «ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος» (σ 1).

Εἰ μέντοι ἐν τέλει στίχου εἴη ἢ ἁπλῶς ἐν τέλει ὀνόματος, μεθ' ἣν τίθεται στιγμή, ἀναστρέφεται πάντως οἷόν ἐστι «τῶν πάντων δ' ἔπτυσε πουλὺ κάτα». ἀναστρέφομεν γὰρ τὴν πρόθεσιν, τοῦ ἑξῆς ὄντος κατέπτυσε, κἂν μεσοσυλλαβήσῃ τινὰ μόρια. διὸ σημειοῦνται τὴν παρὰ τῷ Πλάτωνι ἀνάγνωσιν «ἀρετῆς δ' αὖ πέρι», διότι ἀνεστράφη ἡ πρόθεσις, μεσοσυλλαβοῦντος τοῦ δέ συνδέσμου καὶ τοῦ αὖ. τὸ γὰρ ἑξῆς ἐστι περὶ ἀρετῆς δ' αὖ.

* Ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται, οὐκ ἀναστρέφεται οἷον «οἱ περὶ μὲν βουλήν» (Α 258)· ἡ περί γὰρ ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ.

μέλαινα: κάτα: εἰ συντάσσεται τῷ ἔχεν, δῆλον ὅτι καὶ ἀναστρέφεται. πρόδηλον δὲ ὅτι συντάσσεται, ἐν οἷς φησιν ἐν ἄλλοις «τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα» (Il. Γ 243). Η 425: νίζοντες ἄπο: τὸ ἑξῆς ἀπονίζοντες. διὸ ἀναστρεπτέον. Schol. ad Od. ε 196: ἐτίθει πάρα πᾶσαν: ἀναστρεπτέον τὴν πρόθεσιν. π 47: χεῦεν ὕπο: ἀναστρεπτέον τὴν ὑπό. μ 313: ὦρσεν ἔπι ζαῆν ἄνεμον: οὕτως χωρὶς τοῦ δέ Ἀρίσταρχος γράφει, καὶ ἀναστρεπτέον τὴν πρόθεσιν. ἐὰν δὲ μετὰ τοῦ δέ, οὐκ ἀναστρέφεται. — l. 4 Il. Pr. Η 163: ἐπί: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ σύνδεσμος. Κ 335: κρατὶ δ' ἐπὶ κτιδέην κυνέην: ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵνα γένηται ἔπι κρατί, οὐχ ὑγιῶς. μέσος γὰρ πέπτωκεν ὁ δέ. Κ 351: ἐπί: οὐδὲ ἐνθάδε ἀναστρεπτέον, μεταξὺ γὰρ πάλιν σύνδεσμος, ἐφ' ὅσον ὄρια. Ψ 377: τὰς δὲ μετ': οὐκ ἀναστρεπτέον τὴν μετά. πέπτωκε γὰρ μέσος ὁ δέ. Schol. ad Od. μ 104: τῷ δ' ὑπὸ δῖα Χάρυβδις ἀναρροιβδεῖ: οὐκ ἀναστρεπτέον τὴν ὑπό πρόθεσιν. Ε 308: ὦσε δ' ἀπό: οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀναστρέφεται ἡ πρόθεσις, ἐπεὶ τὸ ἑξῆς ἐστιν ἀπῶσε· μεταξὺ γὰρ πέπτωκε ὁ δέ. Κ 95: ὑπό: κακῶς ὁ Νικίας ἀναστρέφει. μεταξὺ γὰρ πέπτωκεν ὁ δέ. Κ 273: λιπέτην δὲ κατ' αὐτόθι: φασὶ παρέλκειν τὴν κατά· διὸ φυλάσσειν τὸν τόνον· κἂν μὴ παρέλκῃ δέ, συντάσσηται δὲ τῷ λιπέτην, οὐ δύναται ἀναστρέφεσθαι κατὰ δύο τρόπους, καὶ ἐπεὶ συνήλειπται καὶ ἐπεὶ μεταξὺ πέπτωκεν ὁ δέ σύνδεσμος. l. 11 μεσοσυλλαβήσῃ pro μεσοσυλλαβῆσαι emend. Dind. De re cf. Il. Pr. Ε 283: τῷ δ' ἐπὶ μακρὸν ἄϋσε: ἐπί. οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν. πρὸς γὰρ τὸ ἄϋσε φέρεται. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, ἀνεστρέφετο, δι' ὃν προείπομεν πολλάκις λόγον, ὡς ὅτι ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, οὐ γίνεται ἀναστροφὴ προθέσεως, ἐὰν μὴ τελευταία στίχου τεθῇ, ὡς τὸ «ἔπτυσε πουλὺ κάτα».

l. 15—17 recepi ex Il. Pr. Ε 824: ἔστι δὲ καὶ ἐκεῖνον προσθεῖναι τὸν λόγον ὡς ὅτι ὅταν πρόθεσις ἀντὶ ἑτέρας παραλαμβάνηται, οὐκ ἀναστρέφεται· «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι» (Il. Α 284), «θεῖναι Ἀθηναίης ἐπὶ γούνασι» (Il. Ζ 92). οὕτως οὖν ἐνθάδε ἡ ἀνά ἀντὶ τοῦ κατά; exemplum petivi ex Il. Pr. Α 258: οἱ περὶ μὲν βουλήν: ἡ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ. τὸν ἴδιον οὖν τόνον φυλάξει. πρόθεσις γὰρ ἀντὶ ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει· οὕτως ἔχει καὶ τὸ «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων» (287). εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τοῦ περίεστε, φυλάξει τὸν ἴδιον τόνον. πάλιν γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει ὡς τὸ «νήπιοι οἳ κατὰ βοῦς Ὑπερίονος ἠελίοιο ἤσθιον». Β 831: περὶ πάντων: οὕτως φυλακτέον τὸν τόνον τῆς προθέσεως. εἴτε γὰρ πρόθεσίς ἐστιν ἀντὶ προθέσεως παρειλημμένη, ἀντὶ τοῦ ὑπὲρ πάντων, φυλάσσεται ὁ τόνος, καθότι πᾶσα πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβανομένη φυλάσσει τὸν αὐτὸν τόνον. εἴτε ἀντὶ περισσῶς, φυλάσσει τὸν αὐτὸν τόνον ὡς τὸ «ὃς περὶ μὲν

* Ὅταν παρέλκῃ ἡ πρόθεϲιϲ, οὐ ποιεῖται ἐναλλαγὴν ὡϲ ἐν τῷ «τοὺϲ δ' ἄρ' ὑπὸ τρόμοϲ εἷλεν» (Ε 862) βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ.

Καὶ πᾶϲα δὲ πρόθεϲιϲ ῥῆμα ϲημαίνουϲα βαρύνεται «ἔνθ' ἔνι μὲν φιλότηϲ (Ξ 216) «πάρα δ' ἀνήρ, ὃϲ καταθήϲει» (π 45).

νόον ἐϲτὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖϲιν» (Od. α 66), «οὗ περὶ μὲν πρόφρων κραδίη» (Il. Κ 244). καὶ τὸ αἴτιον ἐν ἑτέροιϲ εἴπομεν, ὡϲ ὅτι πρὸϲ αὐτοὺϲ τοὺϲ τόνουϲ τῶν ἐπιρρημάτων καὶ αὗται ὀρθοτονοῦνται. Π 497: ἐμεῦ περὶ μάρναο: δύναται ἀναϲτρέφεϲθαι ἡ περί, ἵνα τοιοῦτό τι ᾖ, περὶ ἐμοῦ μάχου. δύναται δὲ καὶ ὡϲ ὁ Ἀϲκαλωνίτηϲ ἀξιοῖ φυλάϲϲειν τὸν τόνον, ἀντὶ τῆϲ ὑπέρ κειμένη, ἀντὶ τοῦ ὑπερμάχει. εἴρηται δὲ περὶ τῶν ἐναλλαϲϲόντων προθέϲεων ὡϲ φυλάϲϲουϲι τοὺϲ αὐτοὺϲ τόνουϲ. Φ 57: φυγὼν ὕπο νηλεὲϲ ἦμαρ: ἔφαμεν ὅτι ἐὰν πρόθεϲιϲ ἀντὶ ἑτέραϲ προθέϲεωϲ κέηται, μὴ γίνεϲθαι ἀναϲτροφήν, ὥϲπερ ἐνθάδε. cf. Schol. ad Od. α 218: ὃν κτεάτεϲϲιν ἑοῖϲ ἔπι γῆραϲ ἔτετμεν: οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν, ubi Herodiani sententia verbis huiuscemodi παραλαμβάνεται γὰρ πρόθεϲιϲ ἀντὶ προθέϲεωϲ ἡ ἐπί ἀντὶ τῆϲ παρά supplenda est. l. 1—3 recepi ex Il. Pr. Ε 178: χαλεπὴ δὲ θεοῦ ἔπι μῆνιϲ: Ἀρίϲταρχοϲ παρολκὴν οἴεται τῆϲ ἐπί, ὁμοίωϲ τῷ ἐπιϲμυγερῶϲ (Od. γ 195) καὶ «βοῶν ἐπιβουκόλοϲ ἀνήρ» (ibid. 422)· ὅταν δὲ παρέλκῃ ἡ πρόθεϲιϲ, οὐ ποιεῖται ἐναλλαγὴν τόνου· εἰϲὶ δὲ οἳ ἀνεγνώκαϲιν ὁμοίωϲ τῷ «ἐπεὶ οὔτοι ἔπι δέοϲ, ἵνα τὸ ἔπεϲτι ϲημαίνηται. ἄλλοι δὲ ἐπίμηνιϲ, ἓν μέροϲ λόγου ποιοῦντεϲ. ἄμεινον δὲ τῷ Ἀριϲτάρχῳ ϲυγκατατίθεϲθαι. Exemplum apposui ex Il. Pr. Ε 862 cf. praeterea Δ 423: Ζεφύρου ὕπο κινήϲαντοϲ: Πτολεμαῖοϲ ὁ τοῦ Ἀριϲτονίκου καὶ Νικίαϲ καὶ Τυραννίων ἀναϲτρέφουϲι· οἱ δὲ ἄλλοι παρέλκειν φαϲὶ τὴν πρόθεϲιν, ἔνθεν καὶ φυλάϲϲεται ὁ τόνοϲ ὁμοίωϲ τῷ «ἔϲκεν ὑφηνίοχοϲ» (Il. Ζ 19) καὶ «Ποϲειδάωνοϲ ὑποδμώϲ» (Od. δ 386). Π 669: πολλὸν ἀπὸ πρὸ φέρων: τινὲϲ τὴν ἀπό ἀναϲτρέφουϲιν, ἵνα ϲημαίνῃ τὸ ἄπωθεν, ὥϲπερ καὶ ὁ Ἀϲκαλωνίτηϲ· εἰϲὶ δὲ μέντοι οἳ παρολκὴν ἐδέξαντο τὴν πρό καὶ ἐφύλαξαν τῆϲ ἀπό τὴν προϲῳδίαν, ἵνα ᾖ τὸ ἑξῆϲ ἀποφέρων. οὕτωϲ δὲ καὶ Φιλόξενοϲ ἠξίου, ἐπεὶ πολλή ἐϲτι παρέλκουϲα ἡ πρό «νώτου ἀπὸ πρὸ ταμών» (Od. θ 475)· «ἡ δὲ διὰ πρὸ Πηλιὰϲ ἦϊξε» (Il. Υ 276)· «περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν» (699)· οὕτωϲ δὲ καὶ ἐγὼ ϲυγκατατίθεμαι. Ψ 561: ᾧ πέρι χεῦμα φαεινοῦ καϲϲιτέροιο ἀμφιδεδίνηται: εἰϲὶν οἳ ἀνέϲτρεψαν τὴν περί· ὁ μέντοι Ἀϲκαλωνίτηϲ καὶ οἱ πλείουϲ κατὰ τὴν παρολκὴν ἐξεδέξαντο κεῖϲθαι, διὰ τὸ ἀμφιδεδίνηται· διὸ καὶ ἀναϲτρέφουϲιν. cf. Ι 147 ἐπιμείλια et 456 ἐπαράϲ. ε 40: λαχὼν ἀπὸ ληΐδοϲ αἶϲαν: ἡ ἀπό παρέλκει, διὸ τηρεῖ τὸν τόνον. ν 138: λαχὼν ἀπὸ ληΐδοϲ αἶϲαν: οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν· πρὸϲ γὰρ τὸ ἑξῆϲ ἐϲτιν ἢ παρέλκει. δ 386: ὑποδμώϲ: περέλκει ἡ ὑπό, φυλάττει δὲ τὴν ὀξεῖαν. γ 195: ἐπιϲμυγερῶϲ: περιϲϲὴ ἡ ἐπί ὡϲ ἐν τῷ «βοῶν ἐπιβουκόλοϲ» (422). l. 4 cf. Il. Pr. Α 174: πάρ' ἔμοιγε: τὴν παρά πρόθεϲιν κατὰ τὴν ἄρχουϲαν ὀξυτονητέον καὶ καθόλου ὅτε ϲημαντικαί εἰϲι ῥημάτων αἱ προθέϲειϲ, τοῦτον τὸν τόνον ἀναδέχονται «ἐπεὶ οὔτοι ἔπι δέοϲ» (515 cf. An. Paris. III 362, 27) καὶ «οὐ γὰρ ἔπ' ἀνὴρ οἷον Ὀδυϲϲεύϲ» (Od. β 58). Ψ 479: πάρα γὰρ καὶ ἀμείνονεϲ ἄλλοι: τὸ πάρα ἀντὶ τοῦ πάρειϲι· διὸ τὴν πρώτην ὀξυτονητέον ὁμοίωϲ τῷ «πάρα δ' ἀνὴρ ὃϲ καταθήϲει» (Od. π 45). Φ 110: ἀλλ' ἐπί τοι καὶ ἐμοὶ θάνατοϲ καὶ μοῖρα κραταιή: Ἀρίϲταρχόϲ φηϲι τὴν ἐπί ἀναϲτρέψαι, ἵνα ϲημαίνῃ τὸ ἔπεϲτιν, ὁμοίωϲ τῷ «ϲοὶ δ' ἔπι καὶ μορφὴ ἐπέων» (Od. λ 367). οἱ δ' ἐφύλαξαν τὸν τόνον τῇ ἐμοί ϲυντάϲϲοντεϲ αὐτήν, ὥϲτε τὸ ἑξῆϲ εἶναι ἀλλὰ καὶ ἐπ' ἐμοί. καὶ οὕτωϲ ἔχει τὰ τῆϲ ἀναγνώϲεωϲ. Schol. Od. ε 16: οὐ γάρ οἱ πάρα νῆεϲ: ἀναϲτρεπτέον τὴν πρόθεϲιν· ἀντὶ γὰρ τοῦ πάρειϲί ἐϲτι. ibid. 364: πάρα: ἀναϲτρεπτέον τὴν πάρα. δηλοῖ γὰρ τὸ πάρειϲιν. δ 846 ἔνι: ἔνειϲι· διὸ ἀναϲτρέφεται. λ 367: ϲοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένεϲ ἐϲθλαί: ἀναϲτρεπτέον τὴν ἔπι καὶ τὴν ἔνι. E. M. 651, 55: πάρα ϲημαίνει τρία «τίϲ δ' ἔϲθ' ὁ πωλῶν ἀνδράποδα; ἐγὼ πάρα» ἀντὶ τοῦ πάρειμι. «πάρα δ' ἀνήρ» ἀντὶ τοῦ πάρεϲτι. πάρ' ἔμοιγε καὶ ἄλλοι» (Α 174) ἀντὶ τοῦ πάρειϲί μοι. τίνοϲ ἄρα ἡ ἀποκοπή; τοῦ εἰμί καὶ τοῦ ἐϲτί καὶ τοῦ εἰϲί. πρὸϲ τὸ ϲημαινόμενον καὶ ἡ ἀποκοπή. περὶ παθῶν. — Neque tamen tum tantum, si praepositio posita est pro verbo εἰμί cum ea composito, sed etiam, ubi praepositio seiuncta est a verbo εἰμί sequente, anastrophe locum habet: Il. Pr. Γ 440: πάρα γὰρ θεοί εἰϲι καὶ ἡμῖν: ὀξυτονητέον τὴν παρά πρόθεϲιν κατὰ τὴν ἐπάρχουϲαν. ἔϲτι δὲ οὐκ ἀναϲτροφή, ἀλλὰ καθ' ὑπέρβατον κεῖται, διαλελυμένου τοῦ πάρειϲιν. εἰκότωϲ τινέϲ φαϲιν, ὅτι αἱ προθέϲειϲ, ὅταν κατὰ

Αἱ cυναληλιμμέναι οὐκ ἀναςτρέφονται, εἰ μὴ cτιγμῆς ἐπιφέροιτο ἀνάπαυcιc ἢ κινδυνεύοι τὸ cημαινόμενον λυμαίνεcθαι «τῆcι παρ' εἰνάε-

---

διάλυcιν λέγωνται πρὸc τὰ ἐπιφερόμενα, φυλάccουcι τοὺc τόνουc «κατὰ ταῦρον ἐδηδώc» (Il. P 542), «κατὰ βοῦc Ὑπερίονοc ἤcθιον» (Od. α 8), «ἀνὰ δ' ὁ πτολίπορθοc Ὀδυccεὺc ἔcτη» (Il. B 278). ἐχρῆν οὖν καὶ τῆc παρά ἐνθάδε, εἰ πρὸc τὸ ἐπιφερόμενον cυντάττεται, φυλάccεcθαι τὸν τόνον. πρὸc οὖc πιθανῶc ὑπαντητέον, ὅτι ἐκεῖνα μέν, ἅπερ ἐτίθεντο, καὶ ἐν τῇ cυνθέcει φυλακτικὰ ἐγένετο τοῦ τόνου τῶν προθέcεων οἷον κατήcθιον, κατεδηδώc. οὐ γάρ τιc τῶν προθέcεων τούτων ἐπὶ τὴν ἄρχουcαν cυλλαβὴν ἑαυτῆc μετεβίβαζε τὸν τόνον. τὸ δὲ πάρειcι μεταβιβάζει· ἔνθεν καὶ τὸ κατὰ διάλυcιν οὕτωc ἀναγινώcκομεν. Sed in Od. Z 40: πολλὸν γὰρ ἄπο πλυνοί εἰcι πόληοc non hac ratione accentum praepositionis ἄπο explicavit, sed alia, ut statim videbimus. — Praetermissa est ab Io. Al. doctrina de praepositionibus adverbiorum vim induentibus, quae continetur his Il. Pr. adnotamentis: C 64: ἀπὸ πτολέμοιο μένοντοc: Ἀρίcταρχοc φυλάττει τὸν τόνον τῆc προθέcεωc· ἔφαμεν δὲ ἐν ἑτέροιc (B 162) ὅτι ἡ ἀπό ἐὰν cυντάccηται τῇ γενικῇ μὴ μεταξὺ πιπτουcῶν λέξεων καὶ cημαίνῃ τὸ ἄποθεν φυλάccει τὸν τόνον· οὕτωc οὖν ἀνέγνωμεν «ἀπὸ πατρίδοc ἄνδρα κατακτάc» (Il. N 696) καὶ «οὐκ ἐθέλεcκε μάχην ἀπὸ τείχεοc» (Il. I 353)· «καὶ γάρ τιc θ' ἕνα μῆνα μένων ἀπὸ ἧc ἀλόχοιο» (Il. B 292). προcέθηκα δὲ μὴ μεταξὺ πιπτουcῶν λέξεων διὰ τό «ἄπο πλυνοί εἰcι πόληοc» (Od. Z 49), οὐ γὰρ ἐπληcίαcε τῇ γενικῇ, ἀλλὰ μεταξὺ ἀνεδέξατο λέξειc. B 162: φίληc ἀπὸ πατρίδοc αἴηc: οὐκ ἀναcτρεπτέον τὴν πρόθεcιν, ὡc Τυραννίων καὶ Πτολεμαῖοc· ὁπότε γὰρ γενικῇ cυντάccεται ἡ ἀπό μὴ μεταξὺ πιπτουcῶν λέξεων καὶ cημαίνῃ τὸ ἄποθεν τηρεῖ τὸν τόνον· «καὶ γάρ τίc θ' ἕνα μῆνα μένων ἀπὸ ἧc ἀλόχοιο». B 292: ἀπὸ ἧc ἀλόχοιο: τινὲc ἀνέγνωcαν ἄπο ἧc ἀλόχοιο κατὰ ἀναcτροφήν, ἵνα cημαίνηται τὸ ἄπωθεν. ἄμεινον δὲ πείθεcθαι τῇ κατειθιcμένῃ ἀναγνώcει· cυντέτακται γὰρ τῇ γενικῇ. I 353: οὐκ ἐθέλεcκε μάχην ἀπὸ τείχεοc ὀρνύμεν Ἕκτωρ: δύναται τῇ γενικῇ cυντάccεcθαι καὶ μὴ πάντωc cημαίνειν τὸ ἄπωθεν. E 322: νόcφιν ἀπὸ φλοίcβοιο: οὐκ ἀναcτρεπτέον. δύναται γὰρ καὶ τῇ γενικῇ cυντάccεcθαι καὶ cημαίνειν τὸ ἄποθεν, ἵνα ὅμοιον ᾖ τῷ «οὐκ ἐθέλεcκε μάχην ἀπὸ τείχεοc» (Il. I 353). ἢ καὶ παρέλκεται. Lehrs qu. ep. p. 94—96. — περὶ pro περιccῶc positum non mutare accentum adnotatur in Il. Pr. Δ 46: περὶ κῆρι: περιccῶc τῷ κέαρι· τὸ περί φυλάccει τὸν τόνον, ὅτε cημαίνει τὸ περιccῶc, ὁμοίωc τῷ «ὡc περὶ μὲν νόον ἐcτί, περὶ δ' ἱρὰ θεοῖcιν» (Od. α 66). N 52: τῇ δὲ δὴ αἰνότατον περιδείδια (περὶ δείδια) μή τι πάθωμεν: ἔφαμεν ὅτι ἡ περί οὐκ ἀναcτρέφεται, ὅτε cημαντικὴ ὑπάρχει τοῦ περιccῶc. ibid. 727: οὕνεκά τοι περὶ δῶκε θεὸc πολεμήϊα ἔργα: τὸ περί ἀντὶ τοῦ περιccῶc. τὸ δὲ δῶκε περιcπαcτέον cf. B 831. l. 1 de praepositionum synaloephe agunt hi loci: Il. Pr. C 400: τῇcι παρ': ἔcτι μὲν τὸ ἑξῆc παρὰ τῇcι, οὐκ ἀναcτρεπτέον δὲ διὰ τὴν cυναλοιφήν. B 150: νῆαc ἐπ' ἐccεύοντο: οὕτωc ἐπ' ἐccεύοντο: οὐκ ἀναcτρέφεται ἡ πρόθεcιc, ὅτι cυνήλιπται. διὸ καὶ ἐλέγχομεν ἕνεκα ἑτέρου cημαινομένου τὸν Ἀρίcταρχον κατ' ἀναcτροφὴν ἀνεγνωκέναι τὸ «cτεῦτο γὰρ Ἡφαίcτοιο πάρ' οἰcέμεν» (Il. C 191). οὐκ ἀναcτρέφονται γάρ, εἰ μὴ ἐπὶ τέλουc κέωνται ἢ ῥῆμα δηλῶcι. B 6: ἐπ' Ἀτρείδῃ: οὐκ ἀναcτρέφεται ἡ πρόθεcιc· αἱ γὰρ cυναλειφόμεναι οὐκ ἀναcτρέφονται, εἰc μονοcυλλαβίαν περιιcτάμεναι. H 167: ἐπ': ἐνθάδε οὐκ ἀναcτρεπτέον, καὶ ὅτι cυνήλειπται. C 244: ἔλυcαν ὑφ' ἅρμαcιν: ἀντὶ τοῦ ὑπέλυcαν τῶν ἁρμάτων. πῶc οὖν οὐκ ἀναcτρέφεται; ὅτι cυνήλειπται. Φ 588: cὺ δ' ἐνθάδε πότμον ἐφ' ἕψειc: Νικίαc ἀναcτρέφει τὴν πρόθεcιν, οὐκ εὖ. προείπομεν δὲ περὶ τῶν τοιούτων προθέcεων ὡc οὐ θέλουcιν ἀναcτρέφεcθαι· καὶ cημειούμεθα ἀναγκαίωc ἀναcτραφεῖcαν τὴν «cτεῦτο γὰρ Ἡφαίcτοιο πάρ' οἰcέμεν» (Il. C 191). Schol. ad Od. δ 311: Τηλεμάχῳ δὲ πάριζεν: ἐὰν ἓν μέροc λόγου ᾖ τὸ πάριζεν, προπαροξυνθήcεται ὡc «Νέcτωρ αὖ τότ' ἔφιζεν» (γ 411). ἐὰν δὲ ἡ παρὰ τῷ Τηλεμάχῳ cυντάccηται, προπεριcπᾶται. οὐκ ἀναcτρέφεται δὲ ἡ παρά, ἐπεὶ κατ' ἔκθλιψίν ἐcτιν. ἄλλωc τε καὶ μέcοc πέπτωκε ὁ δέ. — Schol. ad Od. ρ 246: ἄcτυ κάτ': εἰ καὶ cυναλοιφή, ὅμωc δύναται ἀναcτρέφεcθαι διὰ τὴν ἀνάπαυcιν. C 191: cτεῦτο γὰρ Ἡφαίcτοιο πάρ' οἰcέμεν ἔντεα καλά: Ἀρίcταρχοc ἀναcτρέφει τὴν πρόθεcιν πρὸc τὸ μὴ ἀμφιβάλλεcθαι τὸν λόγον, καίτοι τῶν cυναλειφομένων μὴ ἀναcτρεφομένων, ὡc καὶ Ἀπολλώνιόc φηcιν· ἐπείcθη δὲ ἡ παράδοcιc Ἀριcτάρχῳ. ὅτι δὲ καὶ ἐν ἄλλοιc ἀναγνώcμαcιν ὁ ἀνὴρ τοιοῦτοc, προείπομεν ἤδη (B 150). I 456: θεοὶ δ' ἐτέλειον ἐπαράc: εἴτε παρέλκει ἡ ἐπί, φυλαχθήcεται ὁ τόνοc ὁ αὐτόc ὡc «ἐπιβουκόλοc ἀνήρ» (Od. γ 422) καὶ «ἐπιcμυγερῶc» (ibid. 195).

τες» (C 400)· τὸ γὰρ ἑξῆς παρὰ τῇσι· «νῆας ἐπ᾿ ἐσσεύοντο» (B 150) ἐπὶ τὰς νῆας· οὐκ ἀναστρέφονται οὖν διὰ τὴν συναλοιφήν· ἐν μέντοι τῷ «ἄστυ κάτ᾿· αὐτὰρ μῆλα κακοὶ φθινύθουσι νομῆες» (ρ 246) ἀναστρέφεται ἡ κατά, διότι μετ᾿ αὐτὴν κεῖται στιγμή. καὶ ἐν τῷ «στεῦτο γὰρ Ἡφαίστοιο παρ᾿ οἰσέμεν» (C 191) τὴν παρά ἀναστρέφουσιν, ἵνα ᾖ παρὰ τοῦ Ἡφαίστου οἰσέμεν καὶ μὴ νομίζηται τοῦ Ἡφαίστου ὅπλα παροισέμεν.

ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΕΠΙΡΡΗΜΑΤΩΝ ΚΑΙ ΣΥΝΔΕΣΜΩΜ.

ΒΙΒΛΙΟΝ ιθʹ.

Περὶ ἐπιρρημάτων.

Τῶν ἐπιρρημάτων τὰ μὲν ἀπὸ πτωτικῶν σύνταξιν ἐπιρρηματικὴν μετῆλθον, τὰ δὲ θεματικά εἰσιν.

Τὰ ἐπιρρήματα ἀπὸ πασῶν τῶν πτώσεων γίνεται. πολλὰ μὲν οὖν ἐπιρρήματα ὁμοφωνοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν οὐδετέρων «ψεύσομαι

εἴτε τὸ ἑξῆς ἐστιν ἐπετέλουν, οὐκ ἀναστρέφεται πάλιν, καθότι αἱ συναλειφθεῖσαι οὐκ ἀναστρέφονται σεσημειωμένου ἐκείνου «στεῦτο γὰρ Ἡφαίστοιο πάρ᾿ οἰσέμεν». **Diversus est ab hoc loco Δ 97:** τοῦ κεν δὴ πάμπρωτα παρ᾿ ἀγλαὰ δῶρα φέροιο: πάμπρωτα παρ᾿ ἀγλαά: τινὲς ἀναστρέφουσι τὴν παρά, κακῶς. οὐδέποτε γὰρ ἀναστρέφεται πρόθεσις συναληλιμμένη. ἀλλ᾿ οὐδὲ ἔστι νῦν τῇ γενικῇ συντασσομένη πτώσει· ἔστι γὰρ τὸ ἑξῆς παραφέροιο. **Lehrs qu. ep. 78. Breviter Herodiani de anastrophe doctrina concepta est in An. Paris. III 314, 8:** ἐνὶ οἴκῳ (A 30). ὀρθοτονεῖται ἡ ἐνί πρόθεσις. ἰστέον δὲ ὅτι τότε ἀναστρέφονται αἱ προθέσεις, ὅταν λείπῃ ῥῆμα· γράφεται γὰρ ἀντὶ ῥήματος οἷον «πάρ᾿ ἔμοιγε καὶ ἄλλοι» (A 174), «πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν» (Γ 440). καὶ ὅταν μετὰ δύο ὀνομάτων τεθῶσιν· ἔστι δὲ ἡ σύνταξις αὕτη οἷον «ξύλοχον κάτα βοσκομενάων» (E 162), «Ξάνθῳ ἔπι δινήεντι» (E 479), «νηῶν ἄπο καὶ κλισιάων» (B 91). καὶ ὅτε ὑποτέτακταί τινι ἀμέσως «ᾧ ἔπι πόλλ᾿ ἔπαθον καὶ πολλ᾿ ἐμόγησα» (I 492, **ubi nunc legitur** ὧς ἐπὶ σοὶ μάλα πόλλ᾿ κτλ.): ἀντὶ τοῦ ἐφ᾿ ᾧ. καὶ ὅτε εὑρέθη ἐπὶ τέλους οὖσα οἷον «Ἀρτέμιδι ξύν» (ο 410). εἰ δὲ μὴ οὕτως ἔχει, ὀρθοτονεῖται καὶ φυλάττει τὸν ἴδιον τόνον. τὸ δὲ ἐνί ὀρθοτονεῖται μετὰ ὀνόματος, ἵνα μὴ ἀναστρεφόμενον ῥῆμα σημαίνῃ. ἀναστρεφομένη γὰρ ἡ παρά καὶ ἐνί ῥῆμα σημαίνουσιν. ἔστι δὲ καθόλου εἰπεῖν, ὅτι τότε ἀναστρέφονται, ἡνίκα ὑποταγῶσι τῇ λέξει μεθ᾿ ἧς ὀφείλουσι συντάσσεσθαι, μὴ παρεντιθεμένης ἐν τῷ μέσῳ οἱασδήποτε συλλαβῆς.

In tota adverbiorum doctrina secutus sum Io. Alexandrinum consultis Arcadio, fragmento τοῦ Ἡρωδιανοῦ περὶ τόνων τῶν ἐπιρρημάτων **e cod. Barocc. a Cramero in Anecd. Ox. III p. 279 edito et Theognosto. l. 11 et 12 ipse constitui ex Io. Alex. verbis 28, 21:** τὴν τῶν ἐπιρρημάτων προσῳδίαν ποικίλην οὖσαν καὶ λίαν χρειώδη τοῖς στίζειν ἐθέλουσιν, ὡς ἂν οἷός τε ὦ, ἐκ τῶν Ἡρωδιανοῦ ὡς ἐν ἐπιτομῇ διεξελεύσομαι. τὰ μὲν οὖν ἀπὸ τῶν πτωτικῶν σύνταξιν ἐπιρρηματικὴν μετελθόντων σύνταξιν ὀλίγην παραθήσομαι **et 30, 30:** λοιπὸν καὶ περὶ τῶν θεματικῶν λεκτέον. **l. 13** τὰ ἐπιρρήματα — γίνεται **sunt ex Arcad. 181, 19, verba** πολλὰ μὲν — οὐδετέρων **l. 14 ipse supplevi duce Herodiano in E. M. 349, 3 (cod. Par. 2670).** ἔξοχος παρὰ τὸ ἐξέχω· τὸ οὐδέτερον ἔξοχον· ἡ εὐθεῖα τῶν πληθυντικῶν ἔξοχα καὶ ἀποβολῇ τοῦ ἐξ ὄχα· ὅθεν τὸ «ὄχ᾿ ἄριστος πάντων (Od. ι 432) ὡς καταιγίς αἰγίς, εὐηνορέα ἠνορέα· καὶ οὕτως Ἡρωδιανός, **unde patet Herodianum pluralia certe ex nominativo in adverbialem syntaxin translata esse putavisse similiter atque Apoll. de adverb. 550, 7** ὁμοφωνοῦντα

ἦ ἔτυμον ἐρέω» (K 534, δ 140), «ἠὲ νέον μεθέπεις» (α 175), «νέον δ' ἀπέληγεν ἐδωδῆς» (Ω 475), «οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι» (P 19), «Ἕκτωρ δ' ἐχάρη μέγα μῦθον ἀκούσας» (Γ 76), «οὐ μὲν καλὸν ἀτέμβειν» (Od. φ 312), «δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ (Υ 30), «ὡς καὶ νῦν Αἴγισθος ὑπέρμορον» (α 34)· δύναται δὲ ταῦτα καὶ κατὰ διάλυσιν ἀναγινώσκεσθαι ὁμοίως τῷ «μὴ καὶ ὑπὲρ μοῖραν Ἄϊδος» (Υ 336). πολλὰ δὲ καὶ τῇ εὐθείᾳ τῶν πληθυντικῶν οὐδετέρων «ἤ μευ καλὰ πατὴρ ὥς κήδεαι» (Od. ρ 397), «οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο» (Il. Z 326), «δεῖξ' ἐνδέξια πᾶσιν» (H 184), «ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος ἐτύχθη» (B 155), «πυκνὰ μάλα στενάχοντα» (Φ 417), «πύκα ποιητοῖο» (C 608) μὴ φυλάξαν τὴν φωνὴν τοῦ ὀνόματος, ἀλλὰ ἀποβολῇ τοῦ ν̄ πεποιηκὸς βαρύτονον· ὠκέα ὦκα, σαφέα σάφα, κρατέα κράτα καὶ ἐν ὑπερθέσει κάρτα, ἀντία οἷον «ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα» (Il. Γ 425) καὶ ἄντα, καὶ τούτων ἀνεβιβάσθη ὁ τόνος μετὰ τὴν ὑπεξαίρεσιν τοῦ ε̄ ἢ τοῦ ῑ. τὸ δὲ θαμά ὀξότονον ἀπὸ θαμός ὀξυτόνου. «καλλιγραφεῖς καὶ ταχύτατα διαλέγῃ». ἀπὸ τοῦ ἐτεόν ὀξυτόνου «ἀλλ' ἐτεὸν μὲν ἐοικότες» καὶ ἐτεά. καὶ ἀπὸ τοῦ ἐτός πάλιν ὀξυτόνου ἐτά ὀξυτόνως, ὡς «ἐτὰ Τημενίδεω χρύσεον γένος» καὶ ἐπὶ πάντων ὁμοίως.

ὀνομαστικῇ πληθυντικῇ οὐδέτερα. l. 2 οὐ μὲν καλὸν — l. 7 Ἄϊδος recepi ex Il. Pr. Υ 30: δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ: ὑπέρμορον: Ἀριστοφάνης ὡς ὑπέρβιον, ἓν μέρος λόγου ποιῶν, καὶ ὁ Ἀσκαλωνίτης, ἐπεὶ ἀντὶ ἐπιρρήματος τοῦ ὑπερμόρως παρείληπται ὁμοίως πληθυντικῷ τῷ «ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος» (Il. B 155) καὶ ὃν τρόπον «οὐ μὲν καλὸν ἀτέμβειν» ἀντὶ τοῦ καλῶς ἐστί καὶ τὸ πληθυντικόν «οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο» (Il. Z 326), οὕτως καὶ τὸ προκείμενον ἑνικῶς καὶ πληθυντικῶς εἰς σύνταξιν παρελεύσεται ἐπιρρήματος «δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ» καὶ «ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος». ἐντελῶς δὲ ἐν τῇ B (155) περὶ τῆς προσῳδίας διελάβομεν. διὸ νῦν παρίημι. ἐκεῖνο μέντοι ὑπομνήσω, ὡς ὅτι δύναται καὶ τοῦτο καὶ τὸ ἐν Ὀδυσσείᾳ (α 35) λέγω δὲ τὸ «ὡς καὶ νῦν Αἴγισθος ὑπέμορον» κατὰ διάλυσιν ἀναγινώσκεσθαι ὁμοίως τῷ «μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος, ὥσπερ ἤδη ἀπεφηνάμην». — l. 7 πολλὰ — οὐδετέρων ipse adieci, exemplum ex Od. ρ 397 apposui ex Il. Pr. B 155: ὑπέρμορα: οὕτως ὑφ' ἓν τὸ ὑπέρμορα· οὐ γάρ, ὥς τινες, κατὰ διάστασιν· ἔστιν οὖν τι μόρος, ὃ συντεθὲν γίνεται ὑπέρμορος ὡς ὠκύμορος, οὗ οὐδέτερον τὸ ὑπέρμορον καὶ πληθυντικὸν τὰ ὑπέρμορα· ὡς οὖν τὸ καλὰ καὶ ὄνομα ἀλλὰ καὶ ἐπίρρημα «ἤ μευ καλὰ πατὴρ ὥς κήδεαι» (Od. ρ 397) καὶ «πυκνὰ μάλα στενάχων» (Il. C 318), οὕτως καὶ ὑπέρμορα νόστος ἐτύχθη. cf. Ep. Cr. I 419, 9 et 422, 32. exemplum ex Il. Z 326 huc transtuli ex Il. Pr. Υ 30. — l. 9 exemplum adverbii ἐνδέξια ex Il. Pr. H 184: ἐνδέξια: ὅταν ἀντὶ ἐπιρρήματος ᾖ τοῦ ἐπιδεξίως τὸ ἐνδέξια, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. cf. I 236, exemplum adverbii ὑπέρμορα recepi ex Il. Pr. B 155. — l. 13 κρατέα — κάρτα inserui ex E. M. 492, 44: κάρτα: παρὰ τὸ κρατύς κρατέα ὡς ταχύς ταχέα· καὶ κατὰ συγκοπὴν καὶ μεταθέσει κάρτα. κάρτα habet etiam Arc. 184, 7. ἀντία et ἄντα l. 14 addidi ex Herod. in E. M. 111, 50: ὥσπερ ἀπὸ τοῦ ὠκέα ὦκα, οὕτως ἀντία ἄντα, ἢ παρὰ τὸ ἀντῶ ὡς σιγῶ σῖγα, ἠρεμῶ ἠρέμα. Similiter An. Paris. III 306, 13 (Ep. Cr. I 348, 30; 448, 8): τὰ ἐπιρρήματα γινόμενα ἀπὸ οὐδετέρων τὸν αὐτὸν τόνον θέλουσι φυλάττειν, τὸ σάφα παρὰ τὸ σαφέα συγκοπῇ τοῦ ε̄ καὶ ἐκ τοῦ ὠκέα ὦκα. σεσημείωται κατὰ τὸν τόνον τὸ σφόδρα τοῦ ὀνόματος ὀξυνομένου. Idem de his indicat etiam Apoll. de adv. 563, 5. l. 16 aliter Apoll. de adv. 563, 7 θαμά a θαμύς repetit accentu abnormi, qui in affecta forma ἅμα in integrum restituatur. — In Il. Pr. B 655 sic canonem statuit Herod. τὰ εἰς ως· λήγοντα ἐπιρρήματα, εἰ ἔχοι παρακείμενα εἰς ᾱ λήγοντα, μὴ συμπίπτοντα ὀνόμασι, πάντως βαρυνόμενα ἔχει οἷον σαφῶς σάφα, ὅθεν εἴ τι τριχῶς τρίχα. — l. 17 ἐοικότες scripsi pro ἀεικότες et l. 19 pro

Τὰ εἰς ῆ μετὰ τοῦ ῑ, εἰ ἀπὸ δοτικῶν εἴη μηδὲ θαυμαστικά, ἢ βαρύνεται ἢ περισπᾶται, οὐδέποτε δὲ ὀξύνεται. περισπᾶται μὲν διπλῇ καὶ τριπλῇ, πεζῇ, πῇ, ὁμαρτῇ καὶ ἁμαρτῇ, κομιδῇ, διχῇ, τριχῇ, τετραχῇ, ἀλλαχῇ, μοναχῇ, ἡσυχῇ, ὁμῇ, σιωπῇ, ἐνωπῇ. βαρύνεται δὲ πάντῃ, ἄλλῃ, ταύτῃ· τοιοῦτόν ἐστι καὶ τὸ ἀμηγέπῃ παρ' Ἀττικοῖς. τὸ ἤδη τῶν βαρυτονουμένων χωρὶς τοῦ ῑ γράφεται καὶ τὸ νῦν δή, ὅτε σημαίνει τὸ πρὸ ὀλίγου «οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος» (ω 260), ἐστὶ σύνθετον ὡς καὶ τὸ δηλαδή ὀξυνόμενον. τὸ δὲ μή ἀπαγορευτικὸν καὶ νή καὶ ἤ ἀντὶ τοῦ ὡς καὶ φή «φὴ νέος οὐκ ἀπάλαμνος» χωρὶς τοῦ ῑ γράφεται καὶ ὀξύνεται. καὶ τὰ καθαρεύοντα μὴ δηλοῦντα χρόνον ὀξύνεται οἷον ἰή ὠή ἰωή. ὥστε λοιπὸν εἴ τι εἰς ῆ λήγει καὶ ἐπὶ τέλει τὸν τόνον ἔχει, τοῦτο καὶ περισπᾶται καὶ τὸ ῑ ἔχει προσγεγραμμένον.

Καὶ τὸ ἰδίᾳ δὲ καὶ δημοσίᾳ ἀπὸ δοτικῆς γέγονε· καὶ τὸ κατωκάρᾳ παρ' Ἀθηναίοις «κατωκάρᾳ ῥίψας με βουκολήσεται» (Arist. Pac. 153) ἐπίρρημά ἐστι σύνθετον καὶ σὺν τῷ ῑ γράφεται. τὸ ἁμᾷ οἱ Δωριεῖς περισπῶσι καὶ τὸ παντᾷ ὥσπερ καὶ τὸ κρυφᾷ παρὰ Πινδάρῳ (Olymp. I 75)· τοιοῦτόν δέ ἐστι καὶ τὸ ἁμᾷ (Pyth. III 65) ἀπὸ τοῦ ἁμῇ γινόμενον. Ζητεῖται δὲ ἐν τῷ περισπωμένῳ ἁμᾷ, εἰ προστεθήσεται τὸ ῑ.

Τημενίδος cum Lob. El. I 253 not. 26 Τημενίδεω. l. 1 pro εἴτε ἀπὸ δοτικῶν εἴη εἴτε θαυμαστικὰ scripsi propter sententiam εἰ ἀπὸ — μηδὲ θαυμαστικά. — l. 3 ὁμαρτῇ — κομιδῇ adieci ex Arcad. 183, 6. de ἁμαρτῇ cf. Il. Pr. Φ 162: ἁμαρτῇ: περισπαστέον καὶ σὺν τῷ ῑ γραπτέον κατὰ τὸν χαρακτῆρα τῶν εἰς τῆ ληγόντων ἐπιρρημάτων· καὶ ἐλέγχει ἡ παράδοσις τὸν Ἀρίσταρχον ἔχουσα τὸ ῑ. Ε 656: τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους· ὀξύνει δὲ ὁ Ἀρίσταρχος βουλόμενος αὐτὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ῑ γεγράψεται· ἐπικρατεῖ μέντοι τὸ περισπώμενον, γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ (quod adnotamentum transiit in E. M. 78, 20). l. 3 διχῇ — ἡσυχῇ sunt ex Theogn. 160, 28, σιωπῇ ἐνωπῇ Theogn. 155, 5. — l. 7 de νῦν δή cf. Schol. ad Od. λ 160: ἢ νῦν δὴ Τροίηθεν: τινὲς ὡς ἓν μέρος λόγου παροξύνουσιν ἀντὶ τοῦ ἀρτίως ὁμοίως τῷ «οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος», quem locum inserui, post ἐστι addidi σύνθετον ex hoc loco et Schol. ad Arist. Pac. 153, quod statim proponam. — l. 9 καὶ ἤ ἀντὶ τοῦ ὡς apposui ex Theogn. 155, 18. de φή Zenodoti scriptura cf. Aristonic. B 144 cum Lehrsii annotatione. — l. 12 de ι subscripto cf. Il. Pros. O 209: ὁμῇ: περισπαστέον κατὰ τὴν δοτικὴν πτῶσιν, ὁμοίως ἐπιθετικῷ τῷ θερμῇ. καὶ γὰρ ὁμός αὐτοῦ τὸ ἀρσενικὸν ὁμοίως κατ' ὀξεῖαν τάσιν «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος» (Il. Δ 437)· καὶ τὸ οὐδέτερον «ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος» (Il. N 354). παράκειταί τε τὸ ἐπίρρημα τὸ εἰς ῶς λῆγον περισπώμενον ὡς θερμῶς «ὁμῶς δέ τοι ἤπια οἶδεν» (Od. ν 405). Quum ι vocalis subscriptio a quibusdam grammaticis reprobaretur, Herodianus pariter atque Apollon. de adverb. p. 561 causas eius scripturae hoc loco accuratius exposuisse putandus est, quo ducit etiam E. M. 78, 43, ubi ex Choerobosci libro περὶ ποσότητος haec citantur: λέγει ὁ τεχνικὸς τὸ ἡσυχῇ καὶ ἄλλῃ καὶ τὰ τοιαῦτα διὰ τοῦτο σὺν τῷ ῑ γράφεσθαι, ἐπειδὴ ἀπὸ δοτικῆς γέγονε· ὅτι γὰρ ἀπὸ δοτικῆς γέγονε, δηλοῖ τὸ ταύτῃ· ἔστι γὰρ αὕτη ἡ εὐθεῖα, ἡ γενικὴ ταύτης καὶ ἡ δοτικὴ ταύτῃ· εἰ ἄρα οὖν λέγομεν «ταύτῃ ἀπέλθωμεν» καὶ οὐ λέγομεν «αὕτη ἀπέλθωμεν» δῆλον ὅτι ἀπὸ δοτικῆς γέγονεν· εἰ δὲ τοῦτο ἀπὸ δοτικῆς γέγονεν, δῆλον ὅτι καὶ τὰ ἄλλα τὰ ἔχοντα τὸ ῑ ἀπὸ δοτικῆς γεγόνασιν. cf. praeterea Ep. Cr. I 185, 15, qui cum nostro loco omnino congruit, Epim. in Psalm. 96, 30. l. 14 de ἰδίᾳ δημοσίᾳ cf. Apollon. de adv. 560 seqq., qui de his contra Tryphonem accuratissime egit. — de κατωκάρᾳ Schol. ad Arist. Pac. 153: ἐπίρρημα σύνθετον καὶ σὺν τῷ ῑ γράφει Ἡρωδιανός. — l. 16—19 sunt ex Schol. ad Pind. Pyth. III 65 ubi: τὸ ἁμᾷ, ὡς Ἡρωδιανός φησιν ἐν τῇ ιθ', οἱ Δωρ. εἰς κτλ. Caeterum in

Ἔcτι δέ τινα καὶ παρ' αἰτιατικῆc γεγονότα, οἷον τὸ πέραν καὶ πέρην «ἀλλ' ὅcοι ναίουcι πέρην» (B 535) καὶ μετὰ προθέcεωc «ἀντιπέραν λεύccουcα πυρὸc cέλαc» καὶ ἀπὸ δοτικῆc «ἐπίcχεc αὐτοῦ, μὴ πέρᾳ προβῇc λόγου» Κρατῖνοc ἐν ¡Єὐνείδαιc. καὶ τὸ πρῴην δὲ παρ' αἰτιατικὴν cχηματίζουcι — ἐκ τῆc πρό προθέcεωc γέγονε προΐα, ἐξ οὗ καὶ ἡ αἰτιατικὴ προΐαν καὶ ἐκτάcει τοῦ ο̄ εἰc ω̄ πρωΐαν καὶ Ἰωνικῶc πρωΐην καὶ κατὰ cυναίρεcιν τοῦ ω̄ καὶ τοῦ ῑ εἰc τὴν ῳ̄ δίφθογγον πρῴην — «τῇδε πρῴαν» καὶ τὸ «ἀκὴν ἐγένοντο cιωπῇ» (Il. Γ 95) καὶ «ἀκμήν τοι βρύα τῆμοc ἐπὶ cτήθεccι κέχυνται». ὡc παρὰ ἀεικέc ὄνομα ὀξύτονον ἐπίρρημα τὸ «οὔ οἱ ἀεικὲc ἀμυνομένῳ περὶ πάτρηc τεθνάμεν (O 496) καὶ τὸ «ἐπιεικὲc ὀπυιέμεν ἐcτὶν ἑκάcτῳ (β 207) καὶ τὸ «ὗε δ' ἄρα Ζεὺc cυνεχέc» (M 25) ἀτρεκέc, διαμπερέc, οὕτωc ἔδει καὶ παρὰ τὸ ἀληθέc ὄνομα τὸ ἐπίρρημα ὀξύνεcθαι. ἀλλὰ καὶ παρ' Ἀθηναίοιc διαcτολῆc ἔτυχεν καὶ ἐπὶ μὲν τοῦ ὀνόματοc ὀξύνεται, ἐπὶ δὲ τοῦ ἐπιρρήματοc βαρύνεται· «ἄληθεc, ὦ παῖ τῆc ἀρουραίαc θεᾶc;» Ἀριcτοφάνηc Βατράχοιc (840) καὶ ἐν Νεφέλαιc (840) «τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηcτόc τιc ἄν; ἄληθεc; ὅcα περ ἔcτ' ἐν ἀνθρώποιc cοφά». τοιοῦτό ἐcτι καὶ τὸ ἐπιτηδέc ὀξυνόμενον, ἐπιρρηματικῶc προπαροξυνόμενον. καὶ τὸ αὐτοετέc ὁμοίωc. καὶ τὸ χάριεν δὲ παρ' αὐτοῖc προπαροξυνόμενον, ὅτε καὶ ἐπιρρηματικῶc λέγεται· ὄνομα δὲ ὃν παροξύνεται. καὶ τὸ cφόδρα βαρύνεται ἐπίρρημα ὄν, καὶ τὸ ἠρέμα παροξύνεται, ἐπίρρημα ὄν, δέον προπαροξύνεcθαι ὡc τὸ ἧcυχα, πλὴν εἰ μὴ παρὰ τὸ ἠρεμῶ γέγονεν ὡc ἀτρεμῶ ἀτρέμα, cιγῶ cῖγα, ἀντῶ ἄντα· τό τε ἡcυχῇ περιcπᾶται παραλόγωc, εἰ μὴ cυνεξέδραμε τοῖc εἰc χη̄ ἐπιρρήμαcι περι-

---

ἁμᾷ παντᾷ κρυφᾷ exhibui ῑ, nam quamquam quaesitum esse, utrum haec adverbia ῑ habeant an non, traditur, tamen Herodianum eam ob ipsam causam quaestionem instituisse videtur, ut ῑ exhibendum esse demonstraret, quod more epitomatorum excidit cf. Ahrens de dial. Dor. p. 368 seqq., et quem citat, Apoll. de adv. 625. l. 1 de πέραν et ἀντιπέραν cf. Lob. El. I 624 et II 206. — l. 4 ἐν Єὐνείδαιc pro Єὐμένιcιν scribendum esse probat Mein. fragm. com. I 20 ed. min. l. 5 verba ἐκ τῆc πρό — l. 7 δίφθογγον πρῴην recepi ex Theogn. 154, 32. cf. E. M. 266, 18 δηρόν: ὀνοματικὸν ἐπίρρημα· πολλὰ γάρ εἰcι τὰ τοιαῦτα· ὥcπερ ἡ πέρα τῆc πέραc τὴν πέραν καὶ ἐπίρρημα πέραν «πέραν τοῦ χειμάρρου τῶν κέδρων» καὶ πρωΐοc πρωΐα ἡ αἰτιατικὴ πρωΐαν καὶ τροπῇ Ἰωνικῇ (pro Βοιωτιακῇ) πρωΐην, ἐξ οὗ τὸ πρῴην ἐπίρρημα· οὕτω δηρόν τὸ ἐπὶ πολὺν χρόνον. l. 12 ἀτρεκέc, pro quo Theogn. 155, 13 habet αὐτάρκεc, et διαμπερέc recepi ex Ep. Cr. I 140 (E. M. 358, 54), qui cum ἄληθεc et ἐπίτηδεc componunt etiam ἐπάναγκεc. cf. Lehrs qu. ep. 138—143. — l. 18 de αὐτοετέc cf. Ammon. p. 131: τρίετεc βαρυτόνωc καὶ τριετέc ὀξυτόνωc διαφέρει, φηcὶ Πτολεμαῖοc ὁ Ἀcκαλωνίτηc· ἐὰν μὲν γὰρ βαρυτονήcωμεν, ἔcται ἐπὶ χρόνου, διὸ καὶ ὁ ποιητήc φηcιν· «ὡc τρίετεc μὲν ἔληθε δόλῳ» (Od. β 106, ω 141)· ἐὰν δὲ ὀξυτονήcωμεν τριετέc ὡc εὐφυέc ἔcται ἐπὶ ἡλικίαc, οἷον τριετὲc τὸ παιδίον. ὅθεν τὸ ἐξετέ' ἀδμήτην (ἔδει προπαροξυτονεῖcθαι πλὴν ὅτι Ἀττικόν supplet Lehrs qu. ep. p. 147). χρὴ οὖν ἀναγινώcκειν ὡc ἀξιοῖ ὁ Ἀcκαλωνίτηc. Lehrs qu. ep. p. 136 seqq. l. 19 de χάριεν E. M. 807, 15 τὴν τρίτην ἀπὸ τέλουc ὀξύνει Ἡρωδιανόc, quod de adverbio intellegendum esse patet et ex nostro loco et ex Theogn. 119: τὰ εἰc ε̄ν̄ λήγοντα οὐδέτερα ἀπὸ ἀρcενικοῦ γεγενημένα εἴτε ὀνόματα εἴτε μετοχαὶ . . . ὁμοτονεῖ τῇ κλητικῇ τοῦ ἀρcενικοῦ, τὸ χαρίεν ὦ χαρίεν· τὸ γὰρ προπαροξύτονον ἐπίρρημά ἐcτιν. cf. Lehrs qu. ep. p. 143. l. 23 cιγῶ cῖγα, ἀντῶ ἄντα addidi ex Herod. in E. M. 111, 15 loco

ϲπωμένοιϲ, τριχῇ, τετραχῇ, πενταχῇ. καὶ τὸ αὐθημερόν ὀξύνεται ἀπὸ τοῦ αὐθήμεροϲ προπαροξυνομένου. ἔϲτι τινὰ ϲύνθετα ἀναβιβάζοντα τὸν τόνον ὡϲ τὸ παντάπαϲι, πάμπαν. τὰ παρὰ τὸ ἦμαρ ϲυντιθέμενα φυλάττει τοῦ ἁπλοῦ τὸν τόνον, αὐτῆμαρ, ἐννῆμαρ, ἐξῆμαρ, ποϲϲῆμαρ. τὰ μὲν οὖν ἐξ ὀνομάτων γενόμενα ἐπιρρήματα τοιαῦτά ἐϲτι. λοιπὸν καὶ περὶ τῶν θεματικῶν λεκτέον.

Πᾶν μονοϲύλλαβον ἐπίρρημα, εἰ μὲν ἔχει φύϲει βραχεῖαν, δῆλον ὡϲ ὀξύνεται, πάξ, μάψ, λάξ, χθέϲ, ἄψ, δάξ παρὰ τὸ δήκω, ὅπερ καὶ ὀδάξ λέγεται, μίξ, πύξ, πρίν, δίϲ, τρίϲ, ψό παρὰ τῷ Ϲοφοκλεῖ ἐν ποιμέϲι μόνον εἰϲ ο̅ λῆγον ἐπίρρημα, καὶ εἴτι ὅμοιον. Τούτοιϲ ὁμοίωϲ ὀξύνεται καὶ τὰ ἐπιτατικὰ καὶ ϲτερητικὰ μόρια, ζά, δά, δύϲ, νό, νέ, νή, ἐρί, ἀρί, ἃ οὐδέποτε καθ' αὑτὰ λέγονται, ἀλλ' ἐν ϲυνθέϲει. τῶν δὲ μακρὰν ἐχόντων φύϲει τὰ μὲν περιϲπᾶται, τὰ δὲ ὀξύνεται. τὰ πυϲματικὰ περιϲπᾶται, πῇ, ποῦ, πῶϲ. ταῦτα δὲ ἀοριϲτούμενα ἐγκλίνεται· οὔ πωϲ ἔϲτ' Ἀγέλαε» (χ 136), «ἀλλά που ἄλλῃ», «οὐ γάρ πω τοιούτουϲ ἴδον» (Α 262). τὸ δὲ πῶ ϲυνταϲϲόμενον τῇ οὐ ἀποφάϲει καὶ τῇ μή ἀπαγορεύϲει ὑπιϲχνεῖται τὸ μετὰ ταῦτα γίνεϲθαι τὸ ϲυνταϲϲόμενον αὐτοῖϲ πρᾶγμα, οἷον οὔπω ἔφαγον, οὔπω ἐδείπνηϲα· μέλλων γάρ τιϲ δειπνεῖν τοῦτο ἀποφαίνεται. τὸ γὰρ οὐ δειπνῶ ἀπό-

---

iam supra p. 488, 14 laudato. cf. Apollon. de adv. 562. l. 1 τετραχῇ accessit ex Arc. 183, 4. — l. 3 de πάμπαν cf. E. Gud. 450, 20: ἐϲτὶ πᾶν καὶ κατ' ἀναδιπλαϲιαϲμὸν πάμπαν, τὸ δὲ μ̅ διὰ τὴν ϲύνταξιν. οὕτωϲ Ἡρωδιανόϲ. cf. Lehrs Herod. p. 290, Apoll..de adv. 569. l. 4 de αὐτῆμαρ et reliquis cf. Il. Pr. Α 81: αὐτῆμαρ: ἐπίρρημα ὡϲ τὸ ἐννῆμαρ καὶ ἐξῆμαρ, καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον ὡϲ βούκερωϲ. ἀλλ' ἐπειδὴ οὐδὲν τῶν εἰϲ α̅ρ̅ ϲυντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸϲ τὴν παρηλλαγμένην ϲύνθεϲιν ἣν παρηλλαγμένοϲ ὁ τόνοϲ. Α 53: ἐννῆμαρ: ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ὡϲ παρ' οὐδέτερον ϲυγκείμενον. ἀλλ' ὁ τόνοϲ παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ ϲύνθεϲιϲ· οὐδὲν γὰρ τῶν εἰϲ α̅ρ̅ ϲυνετέθη οὐδετέρων (cf. An. Par. III 322, 35). Ω 657: ποϲϲῆμαρ: ὑφ' ἕν, περιϲπωμένηϲ οὔϲηϲ πρὸ τέλουϲ, ὡϲ καὶ ἐν τῷ αὐτῆμαρ καὶ ἐννῆμαρ ἐξῆμαρ· προείρηται δὲ ἤδη περὶ τῆϲ λέξεωϲ, ἀλλὰ καὶ ἐζήτητο ἐν ταῖϲ προτάϲεϲι. παραιτητέον οὖν τοὺϲ κατὰ διάλυϲιν ἀναγινώϲκονταϲ. Schol. ad Od. ν 34: πανῆμαρ: ὁ Ἀριϲτοφάνηϲ οὐκ ἐν ϲυνθέϲει φηϲὶ τὸ ἦμαρ, ἀλλὰ πᾶν, εἶτα κατ' ἰδίαν τὸ ἦμαρ. Ep. Cr. I 155, 6: ἐχρῆν αὐτὸ (sc. ἐννῆμαρ) προπαροξύνεϲθαι ὡϲ παρ' οὐδετέρου ϲυγκείμενον, ἀλλ' ὁ τόνοϲ παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ ϲύνθεϲιϲ· τὰ δὲ ἀπὸ τοῦ ἦμαρ ϲυντιθέμενα ἐπιρρήματα προπεριϲπῶνται οἷον ἐξῆμαρ, ἐννῆμαρ. l. 8 ἄψ — τρίϲ addidi ex Arc. 181, 21. de χθέϲ cf. Mon. 47, 3: οὐδὲν εἰϲ ε̅ϲ̅ λῆγον ἐπίρρημα, ἀλλὰ μόνον τὸ ἐχθέϲ καὶ χθέϲ. Ep. Cr. I 437, 22, Apoll. de adv. 556 seqq., de ἄψ E. M. 184, 3 Ἡρωδιανὸϲ μηδέποτε τὰ διπλᾶ πλεονάζειν, quod in libro περὶ παθῶν contra eos dictum videtur, qui ἄψ ἀπὸ τοῦ α̅ ϲημαίνοντοϲ τὸ ὀπίϲω κατὰ πλεοναϲμὸν τοῦ ψ̅ duxerunt; de λάξ et πύξ cf. Apoll. de adv. 551, de πρίν Mon. 45, 22: οὐδὲν εἰϲ ι̅ν̅ μονοϲύλλαβον, ἀλλὰ μόνον τὸ πρίν. Theogn. 155, 3. — de δίϲ et τρίϲ Trypho ap. Apoll. de adv. 557 observavit: τὰ εἰϲ ϲ̅ λήγοντα μετὰ βραχείαϲ ἐκφορᾶϲ ἐϲτιν ὑπὲρ μίαν ϲυλλαβήν, unde δίϲ et τρίϲ per syncopen ex δυάκιϲ et τριάκιϲ orta existimavit, sed contra hanc duarum syllabarum syncopen Herod. in E. M. (cod. Paris. 346) p. 279, 7 disputavit: καὶ λέγουϲί τινεϲ δύο ϲυλλαβῶν ἐγένετο ϲυγκοπή· καὶ πῶϲ δύναται τριϲύλλαβοϲ δύο ϲυλλαβὰϲ ἐκκεκόφθαι; περὶ τούτου λέγομεν ὅτι ἀπὸ τοῦ δυάκιϲ καὶ τριάκιϲ ἆρον τὸ α̅ καὶ κ̅ καὶ κατὰ ϲυνίζηϲιν (καὶ ϲυϲτολὴν addidi propter Lob. El. I 388) δίϲ καὶ τρίϲ. οὕτωϲ Ἡρωδιανόϲ. — l. 9 ψό addidi ex Mon. 46, 17. l. 10 τούτοιϲ ὁμοίωϲ — ἐν ϲυνθέϲει l. 13 adieci ex Arc. 181, 24. cf. Ep. Cr. I 294, 4, Lob. El. I 191 not. 2. Iacobi νώ excidisse suspicatur.
l. 15 de οὔπωϲ cf. Il. Pr. Υ 464, Lehrs qu. ep. 129, de οὔπω Il. Pr. Α 542. — l. 16 τὸ

φασιν ὑπιςχνεῖται τελείαν, τὸ δὲ οὔπω δειπνῶ τὸ μέλλον ὑπιςχνεῖται. ἀνταποδοτικὰ δὲ ταῦτα γινόμενα μεταβάλλει τὸν τόνον, ὅπως, ὅπῃ, ὅποι, ὅπου. ἐκ δὲ τοῦ πω καὶ τοῦ μάλα τὸ πώμαλα προπαροξύνουςιν Ἀθηναῖοι καὶ ἔτι τὸ πώποτε ἐκ τοῦ πω καὶ τοῦ ποτέ. τὸ δὲ πῶς ποτε περιςπᾶται.

Τὰ ἔχοντα δίχρονον ἐκτεταμένον περιςπᾶται, «ἆ δειλὲ πάντων» «ἆ γῆρας» καὶ τὸ βᾶ ἐν τῇ ςυνηθείᾳ παρὰ ἀρχαίοις ἔκπληξιν δηλοῦν, καὶ νῦν χρονικόν, γρῦ, μῦ, κρῖ καὶ εἴ τι ὅμοιον. ὁπότε δὲ ςυςτέλλεται, ὀξύνεται, μά, μύ τὸ θρηνητικόν. τὸ δὲ αἵ ὀξύνεται ὡς ἔχον τὸ ῑ.

Τὰ μέντοι τὸ η̄ ἔχοντα μονοςύλλαβα μὴ προςκειμένου τοῦ ῑ ὀξύνεται ὡς καὶ ἤδη εἶπον, νή, μή, πλήν καὶ τὸ δήν καὶ τὸ ἥ ἰςοδυναμοῦν τῷ ὡς «ἣ θέμις ἐςτί» (Β 37), φή ἀντὶ τοῦ καθάπερ «φὴ νέος οὐκ ἀπάλαμνος». τὸ δὲ ᾗ ἀντὶ τοῦ ὅπου καὶ ἀντὶ τοῦ καθά τοῦ ῑ προςκειμένου περιςπᾶται ὡς καὶ τὸ πῇ τὸ ἐρωτηματικὸν καὶ αὐτὸ ςὺν τῷ ῑ καὶ τὸ κῇ ἀντὶ τοῦ ἐκεῖ τροπῇ τῆς ει διφθόγγου εἰς η Αἰολικῶς καὶ βῆ μίμημα φωνῆς ἀλόγου ἰςοδυναμοῦν τῷ βληχᾶςθαι.

Τὰ ἔχοντα τὸ ω̄ ὀξύνεται καὶ περιςπᾶται· τὸ τώς ἀνταποδοτικόν «τὼς δέ ς' ἀπεχθήρω» (Γ 415). τὸ τώ, ὅτε τὸ διό ςημαίνει «τὼ οὐκ

δὲ πῶ — l. 1 ὑπιςχνεῖται ex Schol. A ad Il. Ξ 143, ubi subscriptum est οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. Inde ab ἀνταποδοτικὰ — l. 3 ὅπου ex Arc. 182, 7 recepi. — l. 4 de πώποτε cf. Il. Pr. A 154: πώποτ': οὕτως ὑφ' ἕν, πώποτε, Ἀρίςταρχος. — Arc. 184, 11 habet: τὸ πώποτε προπαροξύνεται καὶ περιςπᾶται (BC) προπεριςπᾶται (A), ubi Schmidt. praeeunte Lehrsio qu. ep. p. 130 πῶς ποτε excidisse suspicatur, quod recepi. l. 8 Theogn. 155, 29 νῦ γρῦ μῦ περιςπᾶται, μῦ Lehrsius ap. Arc. 182, 9 suspicatus erat pro νῦν, sed tuetur νῦν Io. Al. addens χρονικόν, cf. Il. Pr. Γ 97: τὸ νῦν περιςπαςτέον, κἂν παρέλκῃ παρὰ τῷ ποιητῇ. A 421: τὸ νῦν ἀντὶ τοῦ δή· διὸ καὶ Τυραννίων ἠξίου ὀξύνειν αὐτό, οὐκ εὖ. Φ 428: εἴρηται ὅτι τὸ νῦν ἀεὶ παρὰ τῷ ποιητῇ περιςπᾶται, κἂν παρέλκῃ, χωρὶς εἰ μὴ μέτρον κωλύοι ὡς ἐπὶ τοῦ «δεῦρό νυν ἢ τρίποδος» καὶ «ἐκτελέει ὅςα πού νυν ἐέλπεται». K 105: ὅςα νύ που ἐέλπεται: τὸ νῦν ἐνθάδε ςυςταλτέον διὰ τὸ μέτρον ὥςπερ καὶ ἐπὶ τοῦ «δεῦρό νυν ἢ τρίποδος» (Il. Ψ 485). Ψ 485: ἐνθάδε τὸ νυν ςυςταλτέον διὰ τὸ μέτρον. cf. Lehrs qu. ep. 130 seqq. μῦ addidi ex Theogn., γρῦ et κρῖ ex Arcadio accesserunt, pro κρῖ Lob. El. I 286 ex Choer. Ep. in Psalm. 95, 10 βρῦ proponit ipsum κρῖ non repudians. — l. 9 fortasse excidit ἆ, de quo Eustath. 855, 19: ἰςτέον ὅτι εὕρηται παρὰ τοῖς παλαιοῖς τὸ ᾱ καὶ μετὰ δαςέος πνεύματος καὶ ὀξείας προφερόμενον. καὶ κεῖται ἐν ἐπιλογῇ λέξεων ἀρχαίᾳ, ὅτι ἃ ἃ δαςυνθὲν γέλωτα δηλοῖ. οὕτως καὶ βᾶ ἐπίρρημα παρ' Ἑρμίππῳ, ὅπερ εἰώθαμεν ἐπιβοῶντες λέγειν, ὡς καὶ τοῦτό φαςιν οἱ ἀρχαῖοι. Lehrs. Arist. p. 325 ed. II. l. 12 et 13 emendavit Lehrs qu. ep. 44 seqq. — De ἧ cf. Il. Pr. B 73: ἣ θέμις ἐςτί: τὸ ἣ δαςυντέον. οὐ γάρ ἐςτι ςύνδεςμος ἀλλ' ἰςοδυναμοῦν τῷ ὡς ἐπίρρημα. I 134: ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν: τὸ η̄ τὸ πρῶτον δαςυντέον· ἔςτι γὰρ ἰςοδυναμοῦν τῷ ὡς, διὸ καὶ ὁ τέ προςτίθεται ςύνδεςμος πολλάκις. ὡς γὰρ λέγομεν «ὥςτε γὰρ ἢ παῖδες νεαροί» (Il. B 209), οὕτως «ἥτε ξείνων θέμις ἐςτίν» (Od. ι 268). l. 14 τὸ δὲ ᾗ — περιςπᾶται ex Arc. 183, 6 adieci insertis τοῦ ῑ προςκειμένου monente Lehrs p. 45. de ᾗ locali cf. Il. Pr. M 430, ὡς καὶ τὸ πῇ usque ad finem ex Theogn. 155, 18, apud quem pro βῆ scriptum est βλῆ. cf. E. M. 78, 40 et 196, 7 βῆ τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς, οὐχὶ βαί λέγεται Ἀττικῶς. Κρατῖνος Διονυςαλεξάνδρῳ «ὁ δ' ἠλίθιος ὥςπερ πρόβατον βῆ βῆ λέγων βαδίζει» cf. Mein. Com. p. 14 ed. min.

l. 19 veteres distinxerunt τώ i. q. διό et τω i. q. οὕτως utrumque sine ῑ scribentes. Illud oxytonos exhibuerunt, hoc quo accentu notaverint (utrum τώ

ἂν βαϲιλῆαϲ» (B 250). τὸ ὥϲ ἀεὶ ὀξύνεται, κἂν ἐν ἀρχῇ κἂν ἐν μέϲῳ κἂν ἐν τέλει ᾖ, πλὴν μόνον ὅτε ϲημαίνει τὸ οὕτωϲ, ὁπότε γε ὑποτάϲϲοιτο ϲυνδέϲμῳ, ὡϲ Ἀρίϲταρχοϲ καὶ Τυραννίων, ἢ ὡϲ ἐγὼ ἡγοῦμαι τὸ ὅμωϲ. τότε γὰρ περιϲπᾶται. ὀξύνεται μὲν ἐν ἀρχῇ οὕτωϲ «ὣϲ δὲ λέων ἐχάρη (Γ 23) κοιμιζομένηϲ ἐν τούτῳ τῆϲ ὀξείαϲ διὰ τὸ μὴ εἶναι τὸ δέ ἐγκλιτικόν. καὶ ἐν μέϲῳ «ὡϲ ἀεὶ τὸν ὁμοῖον ἄγει ὡϲ τὸν ὁμοῖον» (ρ 218) «τὼϲ δέ ϲ' ἀπεχθήρω, ὡϲ νῦν ἔκπαγλα φίληϲα» (Γ 415) καὶ ἐν τέλει «Τρῶεϲ μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴϲαν ὄρνιθεϲ ὥϲ» (Γ 2). τοῦ δὲ περιϲπωμένου, ὅτε δηλοῖ τὸ ὅμωϲ «ἀλλὰ καὶ ὣϲ ἐθέλω δόμεναι πάλιν, εἰ τόγ' ἄμεινον» (A 116) «ἀλλὰ καὶ ὣϲ ἱππεῦϲι μετέπρεπον ἡμετέροιϲιν — καὶ πεζόϲ περ ἐών, ἐπεὶ ὣϲ ἄγε νεῖκοϲ Ἀθήνη» (Λ 720 et 721), τὸ μὲν πρότερον ὣϲ περιϲπωμένωϲ, τὸ δὲ ἕτερον κατ' ἔγκλιϲιν, ἐπειδήπερ τὸ μεταφραϲτικὸν αὐτοῦ ἐϲτιν, ἐπεὶ οὕτωϲ ἦγε τὸ νεῖκοϲ Ἀθήνη. «ἀλλὰ καὶ ὣϲ ἱππεῦϲι μετέϲϲομαι» (Δ 322) «ἐμὲ δ' οὐδ' ὣϲ θυμὸϲ ἀνῆκεν».

an ut fere videtur τῷ) non certo traditum est. Qua de re quid iudicaverit Lehrsius in Museo Rhenano (Neue Folge II zu Herodian und Apollonius) hic repetere additis quibusdam, quae ipse nunc se additurum esse mecum communicavit, utilissimum arbitror. Postquam animadvertit in Apollon. de adv. p. 612 nunc magnum vitium inesse, quum lector opinatus de ἕωϲ et εἰϲ ὅ sermonem esse subito deprehendat de alia particula agi eamque esse τώ, quam Apollonius sic scripsit adnotans etiam μαρτυρούϲηϲ καὶ τῆϲ παραδόϲεωϲ καὶ κατὰ τάϲιν καὶ γραφὴν sic pergit: Ueber Apollonius berichtet das Etymologicum unter dem Worte richtig. Wenn aber ebendaselbst gesagt wird, Herodian schreibe τῷ und sage, so habe die Paradosis [jenes sagen auch die Epimerismen Cram. I 416, nicht übereinstimmend mit ihrer Ableitung aus τό, dieses nicht], so ist beides ohne Zweifel ein Fehler oder ein Missverständniss: das letztere, weil Herodian keine andere Paradosis haben konnte als Apollonius: das erstere, weil der Verdacht wenigstens, den man schon aus innern Gründen dagegen haben müsste, bestätigt wird durch Io. Alex. S. 31 τὸ τώ, ὅτε τὸ διὸ ϲημαίνει «τὼ οὐκ ἂν βαϲιλῆαϲ». Dass sich später τῷ Geltung verschaffte, sieht man. Zu Od. β 281 hat Harl. γρ. καὶ τὸ τῷ μετὰ ὀξείαϲ. Also doch wohl im Gegensatze gegen τῷ. [Und das τῷ ϲφεων: ἐγκλικτικὴ μὲν ἡ ϲφεων ὅμωϲ τὸ τῷ πάλιν περιϲπαϲθήϲεται im Marc. zu Od. γ 134 mag, wiewohl jetzt unverständlich, ebenfalls auf ein τῷ führen.] Man sieht ein solches auch deutlich aus dem Etymologicum, wo auch verschiedene Begründungen dafür enthalten sind. Aber vom ῑ ist auch da keine Spur. — Wie die Alten das τῶ schrieben, welches bedeutet «dann», οὕτωϲ paraphrasirt, weiss ich nicht. Bei τώ κε τάχ' ἠμύϲειε πόλιϲ B 373 ist das Scholion aus A zwar, doch von unbekanntem Ursprung: τὸ τω πολλὰ ϲημαίνει· ἐπὶ μὲν τοῦ τοιούτου περιϲπᾶται καὶ τὸ ῑ οὐκ ἔχει. Eustathius scheint in beider Bedeutung unser τῷ zu haben, ausdrücklich redet er über Bildung und Schreibung nicht. — cf. etiam Herodiani Orthographiam sub τώ, ubi Photii locum a Lehrsio emendatum et explicatum proponam. — l. 2 post οὕτωϲ apposui ὁπότε γε — Τυραννίων ex Ep. Cr. I 448, 26 et II 472, 14 et l. 3 pro καὶ scribens ἢ ὡϲ ἐγὼ ἡγοῦμαι ex Herodiani sententia secutus Lehrs. Arist. p. 386 seqq. ed. II, ubi accuratissime de hoc loco tractatum est. l. 9 τὸ οὕτω ἢ omisi, quum iam ante diversae explicationis circumflexi ὣϲ mentio facta sit, quea insertis, quae modo dixi, verbis monitu Lehrsii significavi. Aristarchi et Tyrannionis sententia de perispasi adverbii ὣϲ locis laudatis sic refertur: Ἀρίϲταρχοϲ καὶ Τυραννίων παρῄνει τὸ ὡϲ ἐν μέϲῃ φράϲει περιϲπᾶν, εἰ ὑποτάϲϲοιτο ϲυνδέϲμῳ «ἀλλὰ καὶ ὣϲ ἐθέλω κτλ.» — l. 11 ap. Io. Al. ἐπεὶ ὣϲ ἄγε νεῖκοϲ Ἀθήνη cum falso accentu scriptum est, equidem Lehrsio praeeunte locum plenius protuli et explicavi adnotamento Iliacae Pros. Λ 720 et 721 usque ad l. 14 νεῖκοϲ Ἀθήνη. — Caeterum haec Herodianeae de ὡϲ sententiae testimonia supersunt Il. Pr. H 31: ἐπεὶ ὣϲ φίλον ἔπλετο θυμῷ: βαρυτονητέον τὸ ὥϲ. δηλοῖ γὰρ τὸ οὕτωϲ. Arc. 182, 18: τὸ

Καὶ τὸ ὦ κλητικὸν περιςπᾶται «ὦ ἄνθρωπε». ὅτε δὲ cχετλιαςτικόν, ὀξύνεται «ὤ τί c' εἴπω» (Ar. Nub. 1378) καὶ ὅτε προςγράφεται αὐτῷ τὸ ῑ καὶ ταὐτὸν cημαίνει τῷ ὥςπερ «ἀλλ' ἔχον ᾥτε τάλαντα γυνὴ χερνῆτις ἀληθής» (Μ 433) καὶ ᾥπερ· γίνεται δὲ οὕτως· ὡςείτε καὶ ὡςείπερ καὶ ἀποβολῇ τοῦ c̄ καὶ κράcει τοῦ ω̄ καὶ ε̄ εἰς τὴν ῳ̄ δίφθογγον διὰ τὴν τοῦ ῑ cυναίρεςιν ᾥτε καὶ ᾥπερ.

Τὸ μέντοι πρῴ μονοςύλλαβον παρ' Ἀττικοῖς ὀξύνεται, ἐπεὶ ἐκ τοῦ πρωΐ διςυλλάβου ὀξυνομένου κατὰ cυναίρεςιν γέγονε. τὸ δὲ πρῷν περιςπᾶται «οὐ πρῷν μὲν ἡμῖν ὁ τραγῳδὸς ἤγειρεν» (Callim. chol. fr. 18 Mein.), ἐπεὶ ἐκ τοῦ πρώϊν.

Τὰ ἔχοντα τὴν οι̅ δίφθογγον ἢ τὴν ει̅ περιςπᾶται. Ἀριστοφάνης ἐν Βατράχοις (199) «ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευςάς με cύ». ποῖ, εἶ «εἶ τὰ τῶν χοιραγχᾶν». Cώφρων. «πεῖ γὰρ ἁ ἄςφαλτος». κεῖ παρὰ Ἀρχιλόχῳ. ὅτε δὲ ἐπίρρημά ἐςτιν εὐκτικόν, τὸ εἴ ὀξύνεται ὁμοίως τῷ cυνδέςμῳ «εἴγ' ὤφελες». τὸ γὰρ cτοιχεῖον περιςπᾶται. καὶ τὸ φνεί παρ' Ἀριστοφάνει· ἔςτι δὲ μίμημα φωνῆς ὀρνέου. καὶ πάντα ὅςα εἰς τὴν διὰ τοῦ ῡ δίφθογγον περιςπᾶται, εὖ, φεῦ, ποῦ, οὗ τὸ δαςυνόμενον. κἂν ὑπὲρ μίαν cυλλαβὴν εἴη, ὁμοίως περιςπᾶται πλὴν τῶν ἀναφορικῶν, αὐτοῦ, τηλοῦ, ἀγχοῦ, πανταχοῦ, ἀλλαχοῦ, ὁμοῦ καὶ τὰ λοιπὰ πάντα. cημειωτέον ἰδού ἰού καὶ οὐ ἀρνητικόν. ταῦτα γὰρ

καθὼς καὶ ὡς ἀντὶ τοῦ οὕτως ὀξύνεται. Mon. 25, 29: ὥς τώς: οὐδὲν εἰς ω̅c̅ λῆγον ἐπίρρημα ὀξυνόμενον, ὑπεςταλμένης Δωρίδος διαλέκτου, ἀλλὰ μόνον τὸ ὥς καὶ τώς ἀνταποδοτικὸν αὐτῷ ὑπάρχον. οὐκ ἀγνοῶ μέντοι, ὅτι ἐν διαφόρῳ cημαινομένῳ καὶ διαφόρῳ cυντάξει ἔςθ' ὅτε περιςπᾶται. Il. Pr. A 116 καὶ ὣς: τὸ ὡς, ὁπότε cημαντικόν ἐςτι τοῦ ὅμως, περιςπᾶται. Γ 159 ὣς: περιςπαςτέον τὸ ὣς· ἀντὶ γὰρ τοῦ ὅμως. l. 3 locum Iliadis M plenius exhibui et pro ὥςτε, cui Bloch. substituerat circumflexum ᾧτε, scripsi paroxytonon ᾥτε, quem accentum requirit Herodiani etymologia ab Eustathio 117, 40 servata, nam gravis et acutus coeuntes efficiunt acutúm, non circumflexum. Eustathius, unde addidi καὶ ᾧπερ usque ad finem (γίνεται δὲ κατὰ Ἡρωδιανὸν οὕτως· ὡςείτε καὶ ὡςείπερ κτλ.), circumflexum praebet, ut E. M. 825, 23, sed Ep. Cr. I 446, ubi idem auctore tacito traditur, acutum. cf. Bergk. in Philol. XXII 8, qui Alcmani hym. in Diosc. v. 12 ᾥπερ restituit. l. 8 de πρωΐ cf. Ep. Cr. I 293, 29: τὰ εἰς ῑ λήγοντα ἐπιρρήματα cυνεςταλμένον ἔχοντα τὸ ῑ βαρύνεται οἷον αὖθι, νόςφι, ἶφι, ναίχι, ἦχι, ὅθεν καὶ τὸ πρωΐ ἀναλογώτερόν ἐςτι παρὰ τῷ ποιητῇ βαρυνόμενον οἷον «πρῶϊ δ' ὑπηοῖο» (Θ 530) atque sic scripserunt Bekkerus et Dindorfius, Spitzner πρωΐ ex Herodiani praecepto. Pro πρῶϊν περιςπᾶται scripsi, quod habet etiam Suidas s. v. πρῴ: τοῦ πρωΐ cυναίρεςίς ἐςτι τὸ πρῴ· διὸ ὀξύνεται· τὸ δὲ πρῷν περιςπᾶται «οὐ πρῷν μὲν ἡμᾶς ὁ τραγῳδὸς ἤγειρε». Καλλίμαχος cf. Schol. ad Arist. Av. 129 et Bernhardy ad Suid., Lob. El. II 120 et 277, Ahrens de dial. Dor. 182. — l. 10 pro πρώην scripsi πρῶϊν. l. 13 de πεῖ cf. Apoll. de adv. 625, Bast ad Gregor. 351 seqq., Ahrens de dial. Dor. 361 seqq. — κεῖ παρ' Ἀρχιλόχῳ apposui ex Ep. Cr. I 249, 27 κεῖθι καὶ κεῖ παρ' Ἀρχιλόχῳ. — l. 15 τὸ φνεί adieci ex Theogn. 155, 23, ubi sine accentu exhibetur, Choerobosci in E. M. 796, 46 explicatum de hoc adnotamentum exstat, ubi acutus scriptus est. — l. 17 de εὖ cf. E. M. 388, 14 εὖ: cημαίνει τὸ ἰςχυρῶς καὶ καλῶς. παρὰ τὸ ἐΰς ἐΰ καὶ ἐν cυναιρέςει εὖ ὡς ἀπὸ τοῦ ταχύς ταχύ ἐπίρρημα καὶ ὄνομα ταχὺ παιδίον καὶ ἀπὸ τοῦ εὐρύς ἐπίρρημα εὐρύ καὶ ὄνομα εὐρύ· ὤφειλε δὲ βαρύνεςθαι, ὅτι ἡ βαρεῖα εἰς ὀξεῖαν, οὐκ εἰς περιςπωμένην μεθίςταται. περιςπᾶται δὲ ὅτι πᾶςα δίφθογγος τελικὴ εἰς ῡ λήγουςα περιςπᾶται. l. 19 πανταχοῦ, ἀλλαχοῦ, ὁμοῦ accesserunt ex Arc. 183, 23, cημειωτέον addidit Bloch., de re cf. Io. Al. 13, 13 et 23, 13, Choer. Ep. in Psalm. 10, 12.

ὀξύνεται. τὰ δὲ ἀναφορικὰ βαρύνεται, ὅπου, ὅκου. καὶ τὸ βαύ κατὰ μίμηcιν κυνὸc ὀξύνεται «βαὺ βαὺ καὶ κυνὸc φωνὴν ἱείc». ἐξ οὗ καὶ τὸ βαύζω ῥῆμα.

Τὰ τὴν ᾱῑ δίφθογγον ἔχοντα ὀξύνεται, οἷον αἴ τάλαc καὶ αἴ τὸ εὐκτικόν, ὅπερ ἀπὸ τοῦ εἴ γέγονε Δωρικῇ τροπῇ τοῦ ε̄ εἰc ᾱ ὡc κύπειρον κύπαιρον, καὶ τὸ ναί cυγκαταθέcεωc.

Ταῦτά ἐcτι μονοcύλλαβα.

Οὐδὲν τῶν ὑπὲρ μίαν cυλλαβὴν εἰc ᾱ ληγόντων ἐπιρρημάτων περιcπᾶται, ἀλλὰ ὀξύνεται, ὡc τὸ ἀναφανδά, τριχθά, δηθά ἢ βαρύνεται ὡc τὸ αἶψα, ἤλιθα, αὐτίκα.

Τὰ εἰc ᾱ διcύλλαβα, ὑπεcταλμένων τῶν εἰc δᾱ καὶ θᾱ, βαρύνεcθαι θέλει, ῥέα ῥεῖα, cάφα, μίγα, ὅπερ μίγδα λέγεται, ἅμα, κάρτα, τέττα, ἔμπα, ὅπερ καὶ cύνδεcμόc ἐcτιν, αἶψα, ὦκα, ἦκα, οἷα ἀντὶ τοῦ καθά, εἶα τὸ παρακελευcτικὸν ἐπίρρημα, ὄκκα τὸ ὅτε παρ' Ἀλκμᾶνι. καὶ τὸ τρόπα δὲ ὀφείλει βαρύνεcθαι, ἔcτι δὲ παιδιά· τινὲc δὲ ὤξυναν. cυντιθέμενα δὲ διcύλλαβα προπαροξύνεται, ἄναντα, πάραντα. τὰ εἰc δᾱ ἐπὶ παιδιᾶc κείμενα, παραληγόμενα τῷ ῑ καὶ ῡ παροξύνεται, βαcιλίνδα, χυτρίνδα, φαινίνδα, ὀcτρακίνδα, μυΐνδα ἀπὸ τοῦ μύειν τοὺc ὀφθαλμοὺc καὶ ἐρωτώμενον λέγειν τίνα τάδε καὶ πόcα τάδε, ἔcτ' ἂν ἐπιτύχῃ, δραπετίνδα, ποcίνδα, ἐπαιτίνδα, ξιφίνδα, δαληκίνδα, φυγίνδα. τὸ cκαπέρδα ἐπὶ παιδιᾶc μὲν κεῖται, ὄνομα δέ ἐcτι καὶ οὐκ ἐπίρρημα. τὰ δὲ λοιπὰ τῶν εἰc δᾱ ὀξύνεται, χωρὶc εἰ μὴ πρὸ τοῦ δ ἕν τι τῶν μέcων, ἀναφανδά, καναχηδά, παμπηδά,

l. 1 pro ὅτου scripsi ὅκου. l. 2 ἱείc pro ἵειc scripsit G. Dindorf. in Thesaur. s. βαΰζω. l. 5 ὅπερ — κύπαιρον inserui ex Theogn. 155, 32, qui ibidem αἶ τάλαc aspirandum dicit. l. 12 ἔνθα hic, ubi de adverbiis in ᾱ exceptis in δᾱ et θᾱ agitur, omisi, ἅμα et κάρτα addidi ex Arc. 184, 4: τὰ διὰ τοῦ ᾱ πρὸ μιᾶc ἔχοντα τὸν τόνον καὶ μακρᾷ παραληγόμενα προπεριcπῶνται, ὦκα, ἦκα, αἶψα, οἷα ἀντὶ τοῦ καθά. τὸ ἅμα παροξύνει τὴν παραλήγουcαν καὶ τὸ κάρτα διὰ τὸ θέcει μακρόν, hinc etiam l. 13 αἶψα — καθά. — εἶα addidi ex Schol. A ad Il. I 260: τὸ παρακελευcτικὸν ἐπίρρημα ἀπὸ τούτου τοῦ cυνδέcμου (εἰ) γέγονε τοῦ ᾱ περιττεύοντοc, τοῦ τόνου ἀλλαγέντοc εἰc περιcπώμενον ἀναγκαίωc καὶ τῆc δαcείαc Ἀττικῶc προcελθούcηc cf. Lehrs de Arist. 325 ed. II, aliter Choer. Orth. 123: εἶα: ἔcτι δὲ παρακελευcματικὸν ἐπίρρημα καὶ γράφεται διὰ τῆc ει̅ διφθόγγου· ὥcπερ γὰρ παρά τὸ ῥέα γίνεται ῥεῖα, διὰ τῆc ει διφθόγγου κατὰ πλεοναcμὸν τοῦ ῑ, οὕτωc καὶ ἀπὸ τοῦ ἕω τοῦ cημαίνοντοc τὸ πέμπω γίνεται ἕα καὶ εἶα κατὰ πλεοναcμὸν τοῦ ῑ, in E. M. 294, 45, in quod hoc adnotamentum transiit, adiecta sunt verba, quae in Orthogr. ipsa ap. Cram. non exstant: παρατίθεται δὲ τὴν χρῆcιν ὁ τεχνικὸc οὕτωc· εἶα δὴ ξύλον ἄγειρέ μοι cεαυτό, Eustath. 107, 30 diserte hoc testimonium Georgium Choeroboscum proferre dicit. ὄκκα addidi ex Herod. περὶ παθῶν in E. M. 620, 30 «ὄκκα δὴ τύνη εἴην» παρ' Ἀλκμᾶνι cf. Apoll. de adv. 606, 30, Ahrens de dial. Dor. p. 376. — l. 16 cum κατέναντα confert Herod. Il. Pr. O 320 κατένωπα: Ἀρίcταρχοc προπεριcπᾷ κατενῶπα ὡc κατὰ δῶμα, ἀπ' εὐθείαc τῆc ὦψ, ἥτιc αἰτιατικὴν ἔχει τὴν ὦπα. ὁ δὲ Ἀλεξίων καὶ οἱ πλείουc ὡc κατέναντα, οἷc καὶ βέλτιον πείθεcθαι, ἵνα ᾖ ἀπὸ τοῦ κατενώπια κατὰ cυγκοπὴν κατένωπα ὡc μηρία μῆρα, cιτία cῖτα cf. Lehrs Arist. p. 299 seqq. ed. II. — l. 18 μυΐνδα explevi ex Theogn. 164, 28, Bekk. An. 1353 pro ἐάν τιc ἐπιτύχῃ scribens ἔcτ' ἂν collato Polluc. IX 110, ex Theogn. apposui etiam δραπετίνδα — φυγίνδα. — l. 23 παμπηδά pro πανηδά substitui. De adverbiis in δᾱ Apoll. de adv. 562 tradit acui ea, quibus altera forma in δον adsit καναχηδόν καναχηδά, αὐτοcχεδόν αὐτοcχεδά, χανδόν

ἀποκριδά. τὸ δὲ κρύβδα καὶ μίγδα πρὸ τοῦ δα μέcον ἔχουcι τὸ β καὶ γ. τὸ χύδα οἱ μὲν ὤξυναν, οἱ δὲ ἐβάρυναν, ὅπερ καὶ ἐπεκράτηcεν. τὰ εἰc θα, εἰ μὲν πρὸ τοῦ θ τὸ χ, ὀξύνεται, τριχθά, τετραχθά. εἰ δὲ μὴ ἔχῃ, βαρύνεται, ὑπὲρ δύο cυλλαβὰc ὄντα προπαροξύνεται, ὑπεcταλμένου τοῦ ἐνταῦθα προπεριcπωμένου, ἔνθα, πρόcθα, πάροιθα, ἄτερθα, ὄπιcθα, ὕπιcθα, ἤλιθα, ὕπαιθα «ὁ δ' ὕπαιθα λιάcθη» (Ο 520), μίνυνθα. τὰ εἰc χα λήγοντα ἐπὶ ποcότητοc βαρύνεται, δίχα «δίχα δέ cφιν ἥνδανε βουλή» (C 510), τρίχα· τὸ «διὰ τρίχα κοcμηθέντεc» (Β 655) οὐ cύνθετον. ἔμελλε γὰρ προπαροξύνεcθαι ὡc διάνδιχα, ἀλλ' ἔcτι τὸ ἑξῆc διακοcμηθέντεc τρίχα. τὰ γὰρ ὑπὲρ δύο cυλλαβὰc προπαροξύνεται, τέτραχα, πένταχα, ἕξαχα. τὰ διὰ τοῦ δεια δίφθογγον ἔχοντα ὑπὲρ δύο cυλλαβὰc τρίτην ἀπὸ τέλουc ἔχει τὴν ὀξεῖαν, διχάδεια, τροπάδεια, ἐγκρικάδεια, καταλοφάδεια «βῆν δὲ καταλοφάδεια φέρων» (Od. κ 169), κρυφάδεια. τὰ εἰc α λήγοντα, ὅτε δικαταληκτοῦντα καὶ εἰc cύμφωνον λήγει, πρὸ μιᾶc ἔχει τὸν τόνον, ἀτρέμα καὶ ἀτρέμαc, ἠρέμα καὶ ἠρέμαc, ὑπόδρα καὶ ὑποδράξ λέγεται, χωρὶc δὲ τοῦ ξ παροξύνεται. καὶ τὰ εἰc κα τῷ ι παραληγόμενα πρὸ μιᾶc ἔχει τὸν τόνον, κἂν ἁπλᾶ ᾖ κἂν cύνθετα, αὐτίκα, παραυτίκα, ἡνίκα, πηνίκα, ὁπηνίκα.

Τὰ εἰc τε λήγοντα ὑπὲρ δύο cυλλαβὰc πάντα προπαροξύνεται, ἄλλοτε, ἐνίοτε, ἑκάcτοτε, ἔκτοτε. μόνον τὸ ἠΰτε πρὸ μιᾶc ἔχει τὸν τόνον· τὸ δὲ αἴτιον, ὅτι μόνον τῷ υ παραλήγεται, τὰ γὰρ ἄλλα ο. τὰ δὲ δicύλλαβα μὴ ἔχοντα τὸ τ πρὸ τοῦ ε καὶ αὐτὰ βαρύνεται, ὑπεcταλμένων ὀλίγων, τῆλε, πόcε, κεῖcε, ὧδε, βάλε. τὸ δὲ εἶθε

χανδά, quapropter μίγδα specie in δον destitutum gravetur, l. 6 pro πάροιcθα cum Ahrens de dial. Aeol. p. 153 not. 3 extr. scripsi πάροιθα, ἄτερθα addidi ex Herod. ap. Zonar. 1299: τὰ εἰc θεν λήγοντα εἰc α ποιοῦcιν οἷον ὄπιcθεν ὄπιcθα, ἄτερθεν ἄτερθα χωρὶc τοῦ ν· ὅτε γὰρ ᾖ εἰc ε τὰ ἐπιρρήματα, τότε καὶ τὸ ν οἷον ὄπιcθεν. ὅτε δὲ εἰc α, ἀφίcταται τὸ ν ὥcπερ καὶ τὸ λεγόμεθα, εἶτα λεγόμεθεν ἐπλεόναcεν τὸ ν. οὕτωc Ἡρωδιανὸc περὶ παθῶν. Similiter Apoll. de adv. 563 ἔνθα et πρόcθα ex ἔνθεν πρόcθεν orta putat et omnia in θα quibus altera forma in θεν adsit, gravari, reliqua ut τριχθά τετραχθά δηθά acui docet cf. Ep. Cr. I 406, 30. E. M. 341, 38: ἀποροῦcί τινεc λέγοντεc, πόθεν γίνεται τὸ ἔνθα. καὶ λέγομεν ἐκ τοῦ ἔνθεν. πόθεν δῆλον; ἐντεῦθεν· τὰ εἰc θα διcύλλαβα ἐπιρρήματα οὐκ ἐκ μεταθέcεωc ὄντα τοῦ θεν ὀξύνεcθαι θέλουcιν οἷον δηθά, τριχθά. εἰ οὖν ἔνθα οὐκ ἐκ μεταθέcεωc ὑπῆρχε τοῦ ἔνθεν, ὤφειλεν ὀξύνεcθαι. οὐκ ἄρα ἐcτὶ τὸ ἔνθεν ἀπὸ τοῦ ἔνθα. l. 6 ὕπαιθα et μίνυνθα apposui ex Ep. Cr. I 418, 7 ὕπαιθα: βαρύνεται· τέccαρά εἰcι παρὰ τῷ ποιητῇ βαρυνόμενα εἰc θα «ὁ δ' ὕπαιθα λιάcθη» μίνυνθα, ἤλιθα καὶ ἔνθα. φυcικῶc δὲ τρία εἰcὶ εἰc θα βαρυνόμενα· τοῦ ῥήματόc ἐcτι τὸ θ τοῦ μινύθω. ἠρεμῶ ἠρέμα καὶ οὐκ αὐτοῦ τοῦ ἐπιρρήματοc τὸ μα ὡc ἀτρεμῶ ἀτρέμα τοῦ προκατάρχοντοc ῥήματοc τὸ μ. — l. 8 de τρίχα cf. Schol. ad Od. θ 506: βαρυτόνωc τὸ τρίχα. — l. 13 διχάδεια — ἐγκρικάδεια recepi ex Theogn. 164, 26, Bekk. An. 1364, ubi quod legitur τελλοφάδεια corruptum est ex καταλοφάδεια, pro quo Io. Al. λοφάδεια, l. 16 de ὑπόδρα cf. Ep. Cr. I 420, 50, Schol. B ad Il. A 148: ὁ Ἡρωδιανὸc λέγει ὅτι τὸ ὑπόδρα ἐκ τοῦ ὑποδράξ γίνεται — ἀποβαλὸν τὸ cύμφωνον ἀνεβίβαcε τὸν τόνον ὥcπερ ἀνυcτήc ἀνύτηc, δεcποcτήc δεcπότηc. — l. 19 πηνίκα addidi ex Theogn. 156, 2. l. 21 ἔκτοτε accessit ex Theogn. 156, 6. — l. 24 de ὧδε cf. Mon. 25, 12: οὐδὲν εἰc δε λῆγον ἐπίρρημα

καὶ αἶθε βαρύνεται μέν, οὐ περιcπᾶται δὲ ὡc τὸ τῆλε καὶ ὧδε, ἀλλὰ παροξύνεται, ὅτι περιττή ἐcτιν ἡ θε cυλλαβή. τὸ μέντοι ὀψέ ὀξύνεται· ἔcτι δὲ μόνον εἰc ψε λῆγον ἐπίρρημα, ὅπερ ἐν cυνθέcει φιλεῖ τρέπειν τὸ ε̄ εἰc ῑ· διὸ τὸ «ὀψὲ δύων» (Φ 232) ἐν δυcὶ μέρεcι λόγου· εἰ γὰρ ἦν cύνθετον, διὰ τοῦ ῑ ἐγράφετο ὀψιδύων ὡc ὀψιμαθήc, ὀψιτέλεcτον. οὕτωc δὲ καὶ τὸ «ὀψὲ δύοντα Βοώτην» (ε 272). ἤδη μέντοι Αἰολεῖc καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ῑ αὐτὸ ἀποφαίνονται «ὄψι γὰρ ἄρξατο». καὶ τὸ αἰέ ὀξύνεται, ὃ χωρὶc τοῦ ν̄ καὶ μετὰ τοῦ ν̄ λέγεται. δωδεκαχῶc δὲ λέγεται ἀεί τὸ ἐπίρρημα. αἰεί αἰέν παρὰ Δωριεῦcιν· παρὰ δὲ Ἀττικοῖc κατὰ cυcτολὴν τοῦ ᾱ ἀεί. ἀλλὰ καὶ κατ' ἔκταcιν τοῦ ᾱ ἀεί. παρὰ δὲ Αἰολεῦcιν τῆc ἀρχούcηc ἐχούcηc τὴν αι̅ δίφθογγον, τοῦ δὲ τέλουc τὸ ῑ cυcτελλόμενον βαρυτόνωc αἶι· λέγεται δὲ παρ' αὐτοῖc καὶ cὺν τῷ ν̄ αἶιν. γίνεται δὲ παρ' αὐτοῖc καὶ κατὰ cυcτολὴν τῆc ἀρχούcηc ἄϊν καὶ ἀποβολῇ τοῦ ν̄ ἄϊ βαρυτόνωc. Λάκωνεc δὲ αἰέc φαcίν. λέγεται δὲ καὶ αἰέ δίχα τοῦ ν̄ καὶ τοῦ c̄ διὰ τῆc αι̅ διφθόγγου κατ' ἀρχὴν καὶ διὰ τοῦ ε̄ κατὰ τὸ τέλοc. Βοιωτοὶ δὲ ἠΐ διὰ τοῦ η̄ καὶ μακροῦ τοῦ ῑ κατὰ τὴν λήγουcαν· λέγεται δὲ καὶ αἰή διὰ τοῦ η̄ παρὰ Ταραντίνοιc φυλαττομένηc τῆc κατ' ἀρχὴν αι διφθόγγου τροπῇ τῆc ει̅ διφθόγγου εἰc η̄. — τὰ δὲ ἔχοντα τὸ τ̄, πυcματικὰ μὲν ὄντα ἢ ἀντα-

---

διcύλλαβόν ἐcτι τῷ ω̄ παραληγόμενον, ἀλλὰ μόνον τὸ ὧδε, quod Apoll. de adv. 591, 10 ex ὥc et paragoge δε natum putat accentu propterea mutato, quod syllaba natura longa paragogen δε praecedens circumflexum in se recipere debeat ut τοιοῦδε τοιῷδε (cf. p. 616 seqq.), localem vero significatum non esse primitivum, sed propter formae cum localibus in δε similitudinem ei attributum iudicat. — βάλε, quod Apollonio de adv. 568 cum ἆ unum corpus efficit, ab Herodiano ab ἆ seiungitur: Dichr. 297, 1: τὸ ᾱ πρὸ τοῦ β̄ cυcτέλλεται — οὐ μάχεται τὸ ἆ βάλε ἐκτεῖνον τὸ ἆ· δύο γὰρ μέρη λόγου εἰcί. Il. Pr. Ω 343: τὸ ᾱ πρὸ τοῦ β̄ cυcτέλλεcθαι θέλει· διὸ τὸ ἄβαλε καὶ κατὰ τοῦτο ἐcημειοῦτο. Choer. Orth. 183: ἆ βάλε· τὸ λε ψιλόν. λέγει δὲ ὁ Ἡρωδιανὸc ὅτι δύο μέρη λόγου εἰcίν. — De εἶθε et αἶθε cf. Io. Al. 5, 20, Il. Pr. Κ 292: ὀξεῖα κατὰ μακρᾶc βραχείαc ἐπιφερομένηc οὐ πίπτει κατὰ τὸ κοινὸν ἔθοc, ὑπεcταλμένων τῶν cεcημειωμένων, λέγω δὲ τοῦ εἶθε, αἶθε, ναίχι, περὶ ὧν καὶ λόγον δεδώκαμεν. — l. 3 verba ἔcτι δὲ — εἰc ῑ l. 4 recepi ex Mon. 26, 2: ὀψέ: οὐδὲν εἰc ψε λῆγον ἐπίρρημα, ἀλλὰ μόνον τὸ ὀψέ, ὅπερ ἐν cυνθέcει φιλεῖ τρέπειν τὸ ε̄ εἰc τὸ ῑ, ὥcπερ ἐπὶ τοῦ ὀψιμαθήc, ὀψίτυχοc, ὀψιτέλεcτον «ἔκ τε καὶ ὀψὲ τελεῖ», ὀψίγονοc· διὸ καὶ τὸ «δείελοc ὀψὲ δύων» παρὰ ποιητῇ τό τε «ὀψὲ δύοντα Βοώτην» παρὰ τῷ ποιητῇ καὶ Ἀράτῳ οὐ cύνθετον· ἐπεὶ κἂν ἔτρεπε τὸ ε̄ εἰc ῑ. ἤδη μέντοι Αἰολεῖc καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ῑ αὐτὸ ἀποφαίνονται «ὄψι γὰρ ἄρξατο», ἴcωc ἀναλογώτερον, ὡc δείκνυται ἐν τῷ περὶ ἐπιρρημάτων. Inde ab τὸ ὀψὲ δύων — Βοώτην recepi ex Il. Pr. Φ 232, ubi verbis prolatis subiungitur: ταῦτα ὁ Ἡρωδιανὸc ἐν τῷ ιθ' τῆc καθόλου, tum verba ἤδη — ἄρξατο ex Mon. Nam ex comparatione Il. Pr. et Mon. patet idem fere iisdem verbis Herodianum in Catholica atque in libro περὶ μονήρουc λέξεωc docuisse neque dubitandum, quin idem etiam in libro περὶ ἐπιρρημάτων traditum fuerit. — l. 8 αἰέ scripsi pro αἰέν, nam in hoc canone agitur de adverbiis in ε̄ terminatis. — Inde ab δωδεκαχῶc usque ad l. 19 διφθόγγου εἰc η̄ accesserunt ex Theogn. 3, 1 ἀεὶ τὸ ἐπίρρημα λέγεται δωδεκαχῶc, καθὼc Ἡρωδιανὸc ἐν τῇ καθόλου· οὕτωc γὰρ αὐτὸ παρίcτηcιν κτλ. Ex eodem loco Catholicae fluxit An. Paris. III 321, 14, ubi postquam duodecim formae prolatae sunt, additur: ἔcτι δὲ καὶ ἀέ παρὰ Πειcάνδρῳ Καμιρεῖ cf. Ahrens de dial. Dor. p. 378 seqq., qui quattuordecim species ennumerat; deest enim praeter ἀέ etiam ἀέν. cf. prae-

ποδοτικὰ ἢ ἀναφορικά, βαρύνεται, πότε, τότε, ὅτε, εὖτε, ὃ ἐκ τοῦ ὅτε καὶ πλεοναcμῷ τοῦ ε̄ καὶ κράcει τοῦ εο̄ εἰc τὴν εῡ δίφθογγον Δωρικῶc γίνεται. ἀόριcτα δὲ ὀξύνεται καὶ ἐγκλίνεται, ὡc τὸ «ὣc Ἕκτωρ ὁτὲ μὲν μετὰ πρώτοιcι φάνεcκεν» (Il. Λ 64) ὀξυτόνωc δεῖ ἀναγινώcκεcθαι.

Τὰ εἰc δε̄ ἐπιρρήματα, τὴν εἰc τόπον cχέcιν cημαίνοντα, τρίτην ἀπὸ τέλουc ἔχει τὴν ὀξεῖαν, οἴκαδε, ἄγραδε, ἅλαδε, Παλλήναδε, φύγαδε «ὁ μὲν φύγαδ' αὖθιc ὑποcτρέψαc» (Λ 446), ὃ ἰcοδυναμεῖ τῷ εἰc φυγήν, οὐ μὴν τὸ «τοὺc ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο» (Π 697)· ἀντὶ γὰρ αἰτιατικῆc οὐ μετὰ τῆc εἰc, διὸ καί τινεc ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου εἰcίν, ἤτοι κατὰ μεταπλαcμὸν γενομένηc τῆc αἰτιατικῆc ποιητικῶc ὡc cκέπην cκέπα, φυγήν φύγα, ἢ ὡc οἴεται ὁ Ἀcκαλωνίτηc ἀπ' 'εὐθείαc τῆc φύξ, ὡc Cτύξ Cτύγα, τοῦ δε̄ ἐνθάδε παρέλκοντοc. ἢ ἐπίρρημά ἐcτι ταὐτὸ cημαῖνον τῇ αἰτιατικῇ, ὡc καὶ ἄλλα παραγωγὰ ἐπιρρήματα ἰcοδυναμοῦντα τοῖc πρωτοτύποιc «Ἴδηθεν μεδέων» (Il. Γ 276), «δόρυ δ' ἔκβαλεν ἔκτοcε χειρόc» (Od. Ξ 277). ἀλλ' οὖν γε ὡc ἂν ἔχῃ, οὐκ ἐναντιοῦται τὸ τοῦ τόνου· ἤτοι γὰρ δύο τόνοι ἔcονται φύγα δέ, ὡc Οὔλυμπον δέ, ἢ εἷc ὡc ἄγραδε. τὸ γοῦν ἅλαδ' ἑλκομενάων» (Il. Ξ 100) δύναται καὶ δύο μέρη λόγου εἶναι, ὡc οἶκον δέ, ἐντελοῦc οὔcηc τῆc αἰτιατικῆc, ἢ πάλιν κατὰ παραγωγήν, ὡc ἄγραδε ἅλαδε. τὸ οἶκον δέ, ἀγρὸν δέ δύο μέρη λόγου, τὴν ἰδίαν ἕκαcτον ἔχον προcῳδίαν, ἰcοδυναμοῦντα τοῖc ἐπιρρήμαcι, τὸ ἀγρὸν δὲ τῷ ἄγραδε, τὸ οἶκον δὲ τῷ οἴκαδε. οὕτωc Ἄϊδοc δέ, οὐκ Ἄϊδοc δῶ. τὸ ἐνθάδε παροξυνόμενον οὐκ ἀντίκειται· οὐδὲν γὰρ πλέον cημαίνει τοῦ ἐνταῦθα, ὥcτε περιττὴ ἡ cυλλαβή, οὐδὲ τῆc παραγωγῆc τὸ ᾱ,

---

terea Mon. 46, 2: τὸ ἀεὶ παρ' Ἀττικοῖc αἰὲν παρὰ Δωριεῦcιν, αἶιν παρ' Αἰολεῦcι· λέγεται ταῦτα καὶ ἄνευ τοῦ ν̄. De corruptelis ap. Theogn. dixi in Iahn. Annal. 91, 126. l. 1 ὅτε addidi ex Theogn. 156, 6, εὖτε ex Ep. Cr. I 127, 30: ὁ μὲν Ἀπολλώνιοc λέγει, ὅτι ἐκ τοῦ ὅτε ἐcτὶ καὶ πλεοναcμῷ τοῦ ῡ οὖτε καὶ μεταθέcει τοῦ ō εἰc ε̄ εὖτε (cf. de adverb. p. 568), ὁ δὲ Ἡρωδιανὸc λέγει, ὅτι ἐκ τοῦ ὅτε ἐcτὶ κτλ. — l. 3 ὡc τὸ usque ad finem deprompsi ex Il. Pr. A 493: ὅτε δή ῥ' ἐκ τοῖο: Ἀρίcταρχοc ὁτεδή ὡc δηλαδή παραλόγωc ἀνεγίνωcκε. Πάμφιλοc δὲ τὸ ὅτε κατ' ἰδίαν ἀναφορὰν ἀναλόγωc. διαφέρει γὰρ ὅτε ὀξυνόμενον κατὰ τὴν πρώτην τοῦ ὁτέ ἀορίcτου. ὥcτε ἐὰν θελήcῃ ὁ Ἀρίcταρχοc ἀναγινώcκειν ὁτεδή ὡc δηλαδή, πρῶτον τὴν μὴ οὖcαν χρῆcιν παρὰ τῷ ποιητῇ παραλήψεται, δεύτερον τὸ cημαινόμενον παραφθερεῖ — ἀποφήναcθαι δεῖ, ὅτι ὁ Ἡρωδιανὸc ἐν τῇ Ἰλιακῇ προcῳδίᾳ (Є 266) διαλαμβάνων περὶ τοῦ «ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο» λέγει, ὅτι τοῦ ὁτέ ὀξυτόνου ἀορίcτου οὐκ ἔcτιν χρῆcιc παρὰ τῷ ποιητῇ· ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆc καθόλου κτλ. Hinc fluxit Choer. Ep. in Psalm. 80, 18. l. 8 ὁ μὲν φύγαδ' — l. 11 δύο μέρη λόγου εἰcίν composui ex Il. Pr. Λ 446: φύγαδε ὡc οἴκαδε ἰcοδυναμεῖ τῷ εἰc φυγήν, οὐ μὴν ἐν τῷ «τοὺc ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο». ἀντὶ γὰρ τῆc αἰτιατικῆc οὐ μετὰ τῆc εἰc, διὸ καί τινεc ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου εἰcίν· οὕτωc Ἡρωδιανὸc ἐν τῇ καθόλου et Il. Pr. Π 697, in cuius adnotamenti fine additum est ταῦτα Ἡρωδιανὸc ἐν τῷ ιθ' τῆc καθόλου: φύγαδε μνώοντο: τοῦτο οὐκ ἰcοδυναμεῖ τῷ εἰc φυγήν ὡc τὸ «ὁ μὲν φύγαδ' αὖθιc ὑποcτρέψαc»· ἀντὶ γὰρ αἰτιατικῆc οὐ μετὰ τῆc εἰc. διὸ καί τινεc ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου ἐcτίν. — Ex hoc posteriore loco sunt, quae inde a l. 11 ἤτοι κατὰ μεταπλαcμὸν — l. 21 ἅλαδε pertinent. l. 23 οὕτωc — δῶ accesserunt ex Il. Pr. Ψ 137, ubi additum: ὁ Ἡρωδιανόc φηcιν ἐν τῷ ιθ'

ἀλλὰ τοῦ πρωτοτύπου. τοιοῦτό ἐστι καὶ τὸ πηνικάδε ἀπὸ τοῦ πηνίκα. τὰ γὰρ φωνὴν παραχθέντα εἰς δε, μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα, πρὸ μιᾶς ἔχει τὸν τόνον, τοιόσδε, τοσόσδε, τηλικόσδε. οὕτως οὖν καὶ ἐπὶ τῶν ἐπιρρημάτων, τημόσδε, τηνικάδε, ἐνθάδε. οὐδὲν γὰρ πλέον δηλοῖ τοῦ τῆμος, τηνίκα, ἔνθα.

Τὰ εἰς ζε, εἰ μὲν ἔχει πρὸ τέλους βραχὺ τὸ ᾰ, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν οἷον ἔραζε, θύραζε· παραιτητέον δὲ τοὺς περισπῶντας τὸ θύραζε· Ἀθήναζε, Ὀλυμπίαζε, Θήβαζε, Ἀφίδναζε, μέταζε μόνον τῶν εἰς αζε ἐπὶ χρόνου τεθειμένον «μέταζε χατίζων» (Hesiod. opp. 396) παρὰ πρόθεσιν παρηγμένον. τὰ φύσει μακρᾷ παραληγόμενα προπαροξύνεται ἢ προπερισπᾶται· προπαροξύνεται μὲν ὅσα ἔχει βαρύτονον τὸ πρωτότυπον, ὡς παρὰ τὸ Οἰνόη Οἰνόηζε, προπερισπᾶται δὲ τὰ ἀπὸ ὀξυτόνων, ὡς παρὰ τὸ Ἀχαρνή Ἀχαρνῆζε, κεφαλή κεφαλῆζε, χαμαί χαμᾶζε.

Τὰ εἰς σε τοῖς εἰς θεν ὁμοτονεῖ· ἐπεὶ γὰρ τὸ πάντοθεν προπαροξύνεται, διὰ τοῦτο καὶ πάντοσε, ἔκτοθεν ἔκτοσε, ἄλλοθεν ἄλλοσε, ἑτέρωθεν ἑτέρωσε, ἀμφοτέρωθεν ἀμφοτέρωσε, ἑκατέρωθεν ἑκατέρωσε· προπερισπᾶται δὲ τὸ Θριῶσε, ἐπεὶ καὶ τὸ Θριῶθεν ὁμοίως, ἐκεῖθεν ἐκεῖσε. τό τε κυκλόθεν παροξύνεται καὶ τὸ κυκλόσε, τηλόθεν τηλόσε, ὁμόθεν ὁμόσε.

Τὰ εἰς θεν πάντα δισύλλαβα μὲν ὄντα πρὸ μιᾶς ἔχει τὸν τόνον,

τῆς καθόλου. l. 2 παραχθέντα pro πραχθέντα correxit Bloch., extrema verba emendavit Dindorf pro τημόσδε, τηνικόσδε· οὐδὲν γὰρ πλέον δηλοῖ τοῦ τημόσδε τηνικάδε ἐνθάδε, cui debetur etiam Παλλήναδε pro Παλίναδε. l. 7 παραιτητέον δὲ — θύραζε supplevi ex Mon. 46, 19: χαμᾶζε: οὐδὲν εἰς ζε λῆγον ἐπίρρημα τῷ ᾱ παραληγόμενον προπερισπᾶται, ἀλλὰ μόνον τὸ χαμᾶζε. παραιτοῦμαι δὲ τοὺς περισπῶντας θύραζε. — l. 8 de Ὀλυμπίαζε cf. St. B. 491, 7: Ὀλυμπία: τὰ τοπικὰ Ὀλυμπίαθεν Ὀλυμπίαζε. Θήβαζε, quod ap. Theogn. 15 in Φοίβαζε corruptum est, et Ἀφίδναζε recepi ex Il. Pr. Γ 29: χαμᾶζε: προπερισπᾶται· ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν συστελλομένου τοῦ ᾱ ὥσπερ τὸ Ἀφίδναζε, Θήβαζε, ἔραζε, χωρὶς εἰ μή ἐστιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τοῦτο δὲ ἀπὸ ἐπιρρήματος τοῦ χαμαί. τὸ δὲ μέταζε χρονικὸν παρὰ πρόθεσιν παρῆκται. — Hinc etiam addidi μέταζε collat. Mon. 46, 22: οὐδὲν ἐπίρρημα διὰ τοῦ αζε ἐκφερόμενον ἐπὶ χρόνου τέθειται, ἀλλὰ μόνον τὸ «μέταζε χατίζων». l. 13 de Ἀχαρνῆζε cf. St. B. 151, 4: Ἀχαρναί: Ἡρωδιανὸς Ἀχάρνης (Mein. Ἀχάρνας) βαρύτονον· τὰ τοπικὰ ὡς ἀπὸ ὀξυτόνου, Ἀχαρνῆθεν [Ἀχαρνῆσι, Ἀχαρνῆζε]. cf. de his praeterea Dichr. 292, 27, Ep. Cr. 439, 7, E. M. 806, 10: χαμᾶζε: διατί προπερισπᾶται τοῦ κανόνος λέγοντος, ὅτι τὰ εἰς ζε λήγοντα ἐπιρρήματα τῷ ᾱ παραληγόμενα προπαροξύνεται οἷον θύραζε, ἔραζε; ὅτι ἐκεῖνα μὲν ἀπὸ ὀνόματος γίνεται οἷον θύραζε ἐκ τῆς θύρας, ἔραζε ἐκ τῆς ἔρας καὶ Ἀθήναζε ἀπ' Ἀθήνας, τοῦτο δὲ ἀπὸ ἐπιρρήματός ἐστιν· ἀπὸ γὰρ τοῦ χαμαί γέγονε καὶ ὡς διήλλαξε πρὸς τὰ ἄλλα περὶ τὸ σημαινόμενον (? ἔτυμον), διήλλαξε καὶ περὶ τὸν τόνον· ἢ ὅτι ἐκεῖνα μὲν βραχὺ ἔχει τὸ ᾰ, τοῦτο δὲ μακρόν. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ζε ἐπιρρήματα συνεσταλμένον ἔχει τὸ πρὸ τέλους ᾱ οἷον θύραζε, ἔραζε πλὴν τοῦ χαμᾶζε. Apoll. de adv. 601 seqq. l. 16 ἔκτοσε, ἄλλοσε et l. 17 ἑκατέρωσε et l. 20 ὁμόσε accesserunt ex Theogn. 156, 17. — De Θριῶσε cf. St. B. 317, 10 Θρῖα — λέγεται καὶ Θριώ. — τὰ πλεῖστα διὰ τοῦ ω̄ Θριῶθεν Θριῶζε [Θριῶσι] καὶ Θριᾶσι. — De κυκλόσε Il. Pr. Δ 212: περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι Κύκλος: Ἀρίσταρχος μὲν ὀνοματικῶς, ἵν' ᾖ ἀγηγέρατο δῆμος — Νικίας δὲ καὶ ὁ Ἀσκαλωνίτης κυκλόσε ὡς «πόσε φεύγετε» (Il. Π 42), ὅπερ

οἷον νέρθεν, πόθεν, πρόσθεν, ὅθεν, τόθεν, κεῖθεν, γῆθεν, δῆθεν, κρῆθεν «ἀπὸ κρῆθεν» (Π 548). τὰ δὲ ὑπὲρ δύο συλλαβὰς εἰ ἔχοι πρὸ τοῦ $\bar{\theta}$ σύμφωνον, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὕπερθεν, ἔνερθεν, ὄπισθεν. καὶ τὰ τῷ $\bar{o}$ παραληγόμενα παροξύνεσθαι θέλει, πλὴν τῶν ἐχόντων ἐγκειμένην πρόθεσιν ἢ παρ' ὄνομα ἐπιμεριζόμενον παρηγμένων· ταῦτα γὰρ προπαροξύνεται· τὸ μὲν γὰρ ἔνδοθεν, ἔκτοθεν, ἀπόπροθεν πρόθεσιν ἕκαστον ἔχει καὶ ἔτι τὸ πάροιθεν πλεονάσαν τὸ $\bar{\iota}$. τὸ δὲ ἄλλοθεν, ἑκάστοθεν ὀνόματα ἔχει ἐπιμεριζόμενα. τὰ δὲ λοιπὰ πάντα παροξύνεται, ἀγρόθεν, οὐρανόθεν, κυκλόθεν, Λεσβόθεν, Ἰλιόθεν, Ἀβυδόθεν, ποντόθεν, αὐτόθεν, πρυμνόθεν — τὸ δὲ πρύμνηθεν τῷ $\bar{\eta}$ παραληγόμενον προπαροξύνεται — τηλόθεν καὶ ἄλλα μυρία. σημειούμεθα τὸ οἴκοθεν, πάντοθεν προπαροξυνόμενα. τὰ μέντοι τῷ $\bar{\alpha}$ μακρῷ παραληγόμενα ἢ τῷ $\bar{\eta}$ ἢ τῷ $\bar{\omega}$, εἰ μὲν πρωτότυπον αὐτῶν βαρύτονον ᾖ, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ δὲ ὀξύτονον, προπερισπᾶται. τῶν μὲν προπαροξυνομένων ὑποδείγματα πρῷρα πρῴραθεν, Φθία Φθίαθεν, Πιερία Πιερίαθεν, τὸ δὲ Πιερίηθεν τροπῇ τοῦ $\bar{\alpha}$ εἰς $\bar{\eta}$, Ὀλυμπία Ὀλυμπίαθεν, θύρα θύραθεν, Ἀφίδνηθεν, Αἰγίνηθεν, κλισίηθεν, Μυκήνηθεν, Ἴδηθεν, πρύμνηθεν, τὸ μέντοι πρυμνόθεν διὰ τοῦ $\bar{o}$ παροξύνεται. τῶν δὲ προπερισπωμένων ὑποδείγματα ταῦτα, Ὑσιαί ὀξυτόνως, προπερισπωμένως Ὑσιᾶθεν, Θεσπιᾶθεν, Πλαταιᾶθεν, Δεκελιᾶθεν, παρὰ δὲ Καλλιμάχῳ Δεκελειόθεν, ἀρχῆθεν, ὅτι ἀρχή. ἔσω ἔσωθεν, ἔξω ἔξωθεν, πρόσω πρόσωθεν, ἄνω ἄνωθεν, κάτω κάτωθεν, προτέρωθεν, ἑκατέρωθεν, ὁποτέρωθεν, ἑτέρωθεν, ἀμφοτέρωθεν, καὶ ὡς ἀπὸ τοῦ ἄπω μὴ εἰρημένου τὸ ἄπω-

---

καὶ πιθανώτερον. l. 1 de νέρθεν cf. Apoll. de adverb. 603, 15 et in universum de adverbiis in $\overline{\theta\epsilon\nu}$ p. 596 seqq. pro πόθεν scripsi ὅθεν. — γῆθεν δῆθεν accesserunt ex Theogn. 156, 22, κρῆθεν ex Il. Pr. Π 548, παρὰ τὸ καρή ὀξυνόμενον καρῆθέν ἐστι καὶ κρῆθεν ἐν συγκοπῇ. — l. 4 ὄπισθεν ex ὀπίσωθεν concisum putat Apoll. de adv. 603, 5; cf. Arc. 129, 10: αἱ συγκοπαὶ ἀναβιβάζουσιν ὀπίσωθεν ὄπισθεν, ὁμόπατρος ὄπατρος. — $\bar{o}$ scripsi pro $\bar{\eta}$. — l. 6 πρόσωθεν ante ἔνδοθεν ab hoc loco alienum infra transtuli. — l. 7 de πάροιθεν cf. Mon. 46, 27: οὐδὲν εἰς θεν ἐπίρρημα λῆγον τῇ $\overline{o\iota}$ διφθόγγῳ παραλήγειν θέλει, ἀλλὰ μόνον τὸ πάροιθεν. l. 10 κυκλόθεν, Ἰλιόθεν, Ἀβυδόθεν sunt ex Theogn. 156, 27 et 157, 7. verba τὸ δὲ πρύμνηθεν — προπαροξύνεται, quae ap. Io. Al. post ἄλλα μυρία posita sunt, retraxi et τηλόθεν addidi propter τηλῶθεν a Theogn. prolatum, de quo statim agitur. l. 13 πάντοθεν Theogn. 157, 8 componit cum ἄλλοθεν ἑκάστοθεν, Apoll. de adv. 605, 16 dicit quosdam praeter οἴκοθεν ἄλλοθεν ἔνδοθεν etiam πάντοθεν pronunciare. Cum Io. Al. congruit Eust. 918, 42. l. 13 eundem canonem St. B. 224, 7 s. Δεκέλεια proponit: τὰ ἀπὸ ὀξυτόνων εἰς $\bar{\alpha}$ ἢ εἰς $\bar{\eta}$ γινόμενα διὰ τοῦ $\overline{\eta\theta\epsilon\nu}$ ἢ $\overline{\alpha\theta\epsilon\nu}$ προπερισπᾶται. — l. 17 Πιερία Πιερίαθεν inserui. — l. 18 de Ἀφίδνηθεν St. B. 149, 15: Ἄφιδνα: τὰ τοπικὰ δῆλα Ἀφίδνηθεν. — Αἰγίνηθεν — Ἴδηθεν sunt ex Theogn. 157, 16. — l. 20 παροξύνεται verbis διὰ τοῦ $\bar{o}$ postposui et pro περισπωμένων scripsi προπερισπωμένων. Pro Ὑγειᾶθεν corrupto exhibui ex St. B. Ὑσιαί Ὑσιᾶθεν, Δεκελιᾶθεν — Δεκελειόθεν ex St. B. s. Δεκέλεια addidi Meinekii sententiam hic praeter Δεκελειόθεν etiam speciem Δεκελιᾶθεν memoratam fuisse amplexus. ἔσωθεν, quod ap. Io. Al. adverbio ἀρχῆθεν praemissum est, hic omisi ut male ex sequentibus repetitum. — l. 23 ἄνωθεν — ἀμφοτέρωθεν apposui ex Theogn. 156, 26 et 34.

θεν. διὰ τοῦτο ἀπὸ μὲν τοῦ ἕως βαρυτόνου τὸ ἕωθεν, ἀπὸ δὲ τοῦ ἠώς ὀξυτονουμένου ἠῶθεν προπερισπᾶται ὡς ἀπὸ τοῦ Πυθώ Πυθῶθεν διὰ τοῦ ω̄ ὡς Κριῶθεν καὶ μετὰ συστολῆς Πυθόθεν ὡς Λεσβόθεν καὶ Θριώ ὄνομα δήμου Ἀττικοῦ Θριῶθεν, μεθ᾽ ὧν τηλῶθεν ποιητικῶς ἐκτεταμένον. παρὰ τὸ ἄνευ ἄνευθεν φυλάττει τοῦ πρωτοτύπου τὸν τόνον. ὁμοίως ἄτερ ἄτερθεν. τὸ ἐντεῦθεν προπερισπᾶται παρὰ τὸ ἐνταῦθα, καὶ παρὰ τὸ ἐκεῖ περισπώμενον ἐκεῖθεν προπερισπώμενον. παρὰ τὸ ἐγγύς ὀξύτονον ἐγγύθεν παροξυνόμενον καὶ ἀπὸ τοῦ πρωΐ πρωΐθεν. τὸ ἕκαθεν καὶ ἀνέκαθεν προπαροξύτονα, οὐκ οὖν παρὰ τὸ ἑκάς ὀξυνόμενον γενόμενα.

Τὰ εἰς θι καὶ εἰς σι τὸν τῶν εἰς θεν ἐπιρρημάτων ἔχει τόνον, οἷον οἴκοθεν οἴκοθι, ἀγρόθεν ἀγρόθι, οὐρανόθεν οὐρανόθι, ὑψόθι, αὐτόθι, Ὀλυμπίαθεν Ὀλυμπίασιν, θύραθεν θύρασι, Θήβηθεν Θήβησι, Ἀθήνησι, Ἀλωπεκῆθεν Ἀλωπεκῆσιν, Ἑρχιᾶθεν Ἑρχιᾶσι, Πλατειᾶθεν Πλατειᾶσιν, Θριᾶθεν Θριᾶσι, Θριῶθεν Θριῶσιν. Τὸ ὥρασι «μὴ ὥρας᾽ ἵκοισθε» (Arist. Lysistr. 1037) προπαροξύνεται

---

l. 2 pro ὀρθοτονουμένου scripsi ὀξυτονουμένου. ὡς ἀπὸ τοῦ Πυθώ — Λεσβόθεν ex St. B. 139, 14, καὶ Θριώ — Θριῶθεν ex St. B. et Theogn. 156, 33, ubi pro Θριώ Θρῖος, ex eodem p. 157, 9 τηλῶθεν, quod quum primitiva forma τηλόθεν sit, recte ap. Cram. properispomenos scriptum est, quamquam Bekk. An. 1423 e cod. Barocc. τήλωθεν dedit. De Κριῶθεν Theogn.: τὸ Κριῶθεν ἀπὸ τοῦ Κριώαθεν γέγονεν συγκοπέντος τοῦ ᾱ, St. B. 385, 9: Κριώα: τὰ τοπικὰ Κριῶθεν κατὰ συγκοπὴν καὶ Κριῶζε καὶ Κριῶσιν. Theogn. praeterea profert: τοιοῦτο δὲ καὶ τὸ τήνωθεν (? τηνῶθεν) παρὰ Θεοκρίτῳ, quod exemplum Ahrens de dial. Dor. 375 not. a Theognosto reliquis Herodianeis additum esse suspicatur. De adverbiis in οθεν et ωθεν cf. Ep. Cr. I 318, 4 et de adverb. in θεν in universum p. 360, 11. — l. 7 de ἐκεῖθεν cf. Mon. 27, 5: ἐκεῖθεν: οὐδὲν εἰς θεν λῆγον ἐπίρρημα τοπικὸν τῇ ει̅ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐκεῖθεν. αἴτιον δὲ τὸ πάθος· ὁ γοῦν Ἀλκαῖος κεινόθεν ἐστὶν ὅπου ἀπεφήνατο αὐτό· «αἲ γάρ κ᾽ ἄλλοθεν ἔλθῃ, τί δὲ φὴ κήνοθεν ἔμμεναι». τὸ δὲ εἶθε ἐπέκτασις καὶ οὐ τοπικόν. Apoll. de adv. 574, 2. — de ἐγγύθεν Mon. 46, 25: οὐδὲν εἰς θεν λῆγον ἐπίρρημα τῷ ῡ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐγγύθεν. His solitariis ex Theogn. 157, 17 addidi πρωΐθεν ῑ praefinitum. In fine ex Apollon. de adv. 570, 26 supplendum est: ἀλλὰ παρὰ τὸ ἕκας καὶ ἄνεκας, ut Atticos nulla cogente necessitate accentu retracto pronunciare haec adverbia perhibet, sed ipse Apoll. p. 605, 10 ἕκαθεν ab ἑκάς oxytono propagat. Sed priusquam ab adverbiis in θεν discedamus, libet legem, quam Apoll. de adv. 605 de horum accentu constituit, enarrare: quae a nominibus proveniunt neque vocali ο̄ praefiniuntur, accentum in ea syllaba, in qua genetivus nominis eum habet, servant ἀρχῆς ἀρχῆθεν, Θήβης Θήβηθεν, Ἀθήνης Ἀθήνηθεν, γῆς γῆθεν, Λυκίας Λυκίαθεν. Quae vero ο̄ ante exitum θεν habent, omnia fere paroxytona sunt exceptis οἴκοθεν, ἄλλοθεν et ἔκτοθεν, ἔνδοθεν, quibus quidam πάντοθεν addunt; quod quum ei genetivus acuto notatus subsit, minus excusabile est quam ἄλλοθεν et οἴκοθεν, quibus barytoni genetivi ἄλλου οἴκου substructi sunt. Neque minus offensionis quam πάντοθεν eadem de causa habet ἔκτοθεν ab oxytono ἐκτός descendens. Quae non a nominibus originem ducunt et alia atque ο̄ vocali praefiniuntur, vel si ab oxytonis ut ἕκαθεν ab ἑκάς propagantur, proparoxytona sunt praeter ἐγγύθεν et χαμᾶθεν, ἐκεῖθεν vero per syncopen excusatur. l. 12 οὐρανόθεν — αὐτόθι sunt ex Theogn. 157, 20, Ὀλυμπίαθεν Ὀλυμπίασι pro Ὀλυμπιᾶθεν Ὀλυμπιᾶσιν emend. Dindorf., θύραθεν — Ἀθήνησι recepi ex Theogn. 157, 26, Ἀλωπεκῆθεν pro Ἀλωπήκηθεν scribendum esse vidit Goettling. de accent. p. 351 cf. St. B. 80, 10: Ἀλωπεκή: τὰ τοπικὰ Ἀλωπεκῆθεν Ἀλωπεκήνδε Ἀλωπεκῆσι. Ἑρχιᾶθεν — Θριῶσιν accesserunt ex Theogn. — De ὥρασι cf. Apoll. de adv. 537, 14, Lob. El. II 299 et 250 seqq.

μὲν εὐλόγως παρὰ βαρυτόνου τοῦ ὥρα, οὐκ ἔχει δὲ προϋποκείμενον εἰς θεν.

Τὰ εἰς ο̅ι̅ ἐπιρρήματα, ὅτε δηλοῖ τὴν ἐν τόπῳ ἢ τὴν εἰς τόπον σχέσιν, ὑπὲρ δύο συλλαβὰς ὄντα, περισπᾶται, Μεγαροῖ, Πυθοῖ, Φρεαροῖ, Παιανιοῖ, Ἁθμονοῖ, οὐδαμοῖ, μηδαμοῖ, πανταχοῖ, ἑκασταχοῖ, ἐνταυθοῖ, ὃ τὴν αὐτὴν ἔχει σημασίαν τῷ ἐνταῦθα τῷ πρωτοτύπῳ. τὰ δὲ δισύλλαβα τῶν εἰς ο̅ι̅ βαρύνεται καὶ περισπᾶται· περισπᾶται μέν, ὅτε ἔχει πρωτότυπον ὀξύτονον, παρὰ τὸ σφίγξ σφιγγοῖ, ἰσθμός ἰσθμοῖ, βυθός βυθοῖ, τὸ ἁρμοῖ συμπερισπᾶται τῷ ἁρμῷ. ἔστι δὲ τὸ ἁρμοῖ Συρακουσίων· ἁρμός γὰρ ἁρμοῦ ἁρμῷ καὶ συστολῇ ἁρμοῖ ὡς παρὰ Καλλιμάχῳ

ἁρμοῖ πὰρ Δαναὸν γῆς ἀπὸ βουγενέων (fr. 230)
ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος (fr. 44).

οὕτως Θέων ὁ Ἀρτεμιδώρου. τὰ δὲ ἀπὸ βαρυτόνων βαρύνεται, ἔξω ἔξοι, πέδον πέδοι «πέδοι δὲ βᾶσαι» Αἰσχύλος Προμηθεῖ δεσμώτῃ (v. 280), ἔνδον ἔνδοι «ἔνδοι Πραξινόα» ὁ Θεόκριτος (XV 1) οἶκος οἶκοι.

Τὰ σχετλιαστικὰ τῶν εἰς ο̅ι̅ καὶ α̅ι̅ ἄλογον ἔχει τὸν τόνον. ἃ μὲν γὰρ αὐτῶν περισπᾶται, ὡς τὸ ὀτοτοῖ ἔχον συμπαρακείμενον καὶ τὸ ἀταταῖ, καὶ τὸ οὐαῖ καὶ αἰαῖ, σαβοῖ τε καὶ αἰβοῖ καὶ τὸ σαβαῖ παρ' Εὐπόλιδι ἐν Βάπταις. τὸ δὲ εὐαί παρὰ τῷ αὐτῷ ὀξύνεται «εὐαὶ σαβαῖ» ὡς τὸ αἴ, οὐαί, βαβαί. βαρύνεται δὲ τὸ οἴμοι ὤμοι. τὸ

---

l. 4 de Μεγαροῖ cf. St. B. 439, 7: τὰ τοπικὰ Μεγαρόθεν ἐκ τόπου, καὶ ἐν τόπῳ Μεγαροῖ ὡς Πυθοῖ, quod addidi hinc, de Φρεαροῖ St. B. 671, 13 s. Φρέαροι, de Ἁθμονοῖ cf. eundem 35, 14 Ἅθμονον. μηδαμοῖ — ἑκασταχοῖ sunt ex Theogn. 157, 30, de ἐνταυθοῖ cf. Schol. ad Il. Φ 122 in An. Par. III p. 291. — l. 10 ἔστι δὲ τὸ ἁρμοῖ — l. 14 Θέων ὁ Ἀρτεμιδώρου composui ex Il. Pr. A 486: ἕρματα: τὰ ἕρματα εἰ καὶ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλοῦται, ὥς τινες, ἐπεὶ τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ̅ ἐπιφερομένου τοῦ μ̅ δασύνεται, ὅρμος, ἅρμα, ὅρμαθος, ἔνθεν ἡ πλείων χρῆσις τὸ ἁρμοῖ δασύνει [Συρακοσίων ὂν κατὰ τὸν τεχνικόν. ἁρμός γάρ, φησιν, ἁρμοῦ ἁρμῷ καὶ συστολῇ ἁρμοῖ κατὰ τὸ ἔξω ἔξοι (pro ἐξοῖ) καὶ ἔνδον ἔνδοι παρὰ Θεοκρίτῳ]. Verba uncis inclusa ex Eustath. 140, 10 accesserunt neque dubium est, quin technicus sit Herodianus, nam praecedentia prorsus cum Herodiano in Il. Pr. congruunt. Hinc coniectari licet etiam E. M. 144, 47 ex Herodiano fluxisse et testimonium Theonis ab ipso Herodiano appositum esse: ἁρμῷ: ἁρμός ἁρμοῦ ἁρμῷ· οὕτη ἡ δοτικὴ μετῆλθεν εἰς ἐπιρρηματικὴν σημασίαν καὶ ἐφύλαξε τὴν αὐτοῦ γραφὴν οἷον ἁρμῷ. σημαίνει τὸ ἀρτίως. ὁ δὲ τεχνικὸς λέγει, ὅτι παρὰ τοῖς Συρακουσίοις διὰ τοῦ ι̅ γράφεται. ἐκεῖνοι γὰρ ἁρμοῖ λέγουσι κατὰ συστολὴν τοῦ ω̅ εἰς τὸ ο̅ ὡς παρὰ Καλλιμάχῳ — οὕτως Θέων ὁ Ἀρτεμιδώρου, de quo cf. Ranke de Hesych. p. 136. cf. praeterea Ep. Cr. I 163, 15. — de ἔνδοι cf. Apoll. de adv. 588, 30 et 610. E. M. 663, 27: λέγει ὁ τεχνικός, ὅτι εἴ τις τὸ ἔξω σὺν τῷ ι̅ γράφει, ἐπειδὴ οἱ Συρακούσιοι ἔξοι λέγουσιν, οὐκ ἐπιχειρεῖ καλῶς. ἰδοὺ γὰρ τὸ ἔνδον ἔνδοι λέγουσιν ὡς παρὰ Θεοκρίτῳ «ἔνδοι Πραξινόα» — καὶ ὅμως τὸ ἔνδον οὐ γράφεται διὰ τοῦ ο̅ καὶ τοῦ ι̅. τί οὖν ἄτοπον, καὶ τὸ ἔξω γράφεσθαι χωρὶς τοῦ ι̅, εἰ καὶ λέγουσιν οἱ Συρακούσιοι ἔξοι; Ep. Cr. I 137, 28: εἴνατος: ἐκ τοῦ ἔννατος κατὰ μεταβολὴν τοῦ ν̅ εἰς ι̅. καὶ ἡ μὲν τῶν Ἀργείων διάλεκτος μεταβάλλει τὸ ι̅ εἰς ν̅· τὸ γὰρ σπείδω σπένδω λέγουσι καὶ τὸ αἰεί αἰέν· ἡ δὲ Σικελῶν τὸ ἔμπαλιν τὸ ν̅ εἰς ι̅ μεταβάλλουσι· τὸ γὰρ ἐννάνυχες εἰνάνυχες (I 466) λέγουσι καὶ τὸ ἔνδον ἔνδοι. l. 19 ὀτοτοῖ scripsi pro οἰοῖ cum Lehrs. ad Herod. p. 96, l. 21 αἴ οὐαί βαβαί adieci ex Arcad. 183, 19, pro οὐαί Uhligius in Museo Rhen. XIX p. 34 εὐαί substituere vult, de βαβαί Cod. Vat. 1766 fol. 142—183, Bekk. An. 1352: οἱ ἰδιῶται τῆς αἰ

δὲ ὢ πόποι δυσὶ τόνοις χρῆται. Ἀρίσταρχος δέ φησιν ἀπίθανον εἶναι τὸ τὸν Δία ὢ πόποι οἷον ὢ θεοί λέγειν· ἀλλ' ἐπεὶ ἔδει τὸ πόποι σχετλιαστικὸν ὑπάρχον καὶ ἄνευ τοῦ ὢ λέγεσθαι καὶ ἐπεὶ παράκειται αὐτῷ τὸ παπαῖ, ὥστε εἰ μὴ ὀνοματικόν ἐστιν, ὀφείλει περισπᾶσθαι ὡς εἶναι δύο περισπωμένας ὢ ποποῖ, λέγομεν βαρύνεσθαι αὐτὸ ὡς τὸ ὢ φίλοι, ἐκ τοῦ ὑπολαβεῖν ὄνομα εἶναι τὸ πόποι. καὶ τὸ ἰατταταῖ δὲ περισπᾶται καὶ τὸ ἀππαπαῖ· ἡ δὲ συνήθεια ὀξύνει τὸ παπαί καὶ ἀταταί. καὶ καθόλου δὲ οὐ δεῖ τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων οἱονεὶ βακχικὰ ὄντα ὑπὸ τὴν ἔντεχνον ἀκολουθίαν ἄγειν, εἴγε οὐδὲ μέρη λόγου τινὲς ταῦτα ἐνόμισαν· πασχούσης γὰρ ψυχῆς ἢ διακόρου ὑπὸ οἴνου οὔσης ἄλογοι δηλονότι καὶ αἱ ἐκφωνήσεις αὐτῆς. διὸ ἐπ' αὐτῶν ἔσθ' ὅτε τὸ δασὺ πνεῦμα ἀλόγως ἐν τῇ ληγούσῃ συλλαβῇ ὁρᾶται, ὡς ἔχει τὸ εὐοῖ εὐάν, εὐαῖ. τὸ γὰρ λέγειν ὅτι εὖ σοι ἦν καὶ κατὰ ἔλλειψιν τοῦ σ̄ γέγονε εὐ οἵ καὶ κατὰ συναφὴν εὐοῖ ἀμφίβολον, εἰ μὴ ἄρα παρὰ τὸ εὐοῖ Εὔϊος παρῆκται. τὸ δὲ χαμαί ὀξύνεται, οὐκ ὂν σχετλιαστικόν. τὸ δὲ πάλαι χρονικὸν βαρύνεται καὶ συντιθέμενον προπαροξύνεται, πρόπαλαι, τρίπαλαι.

διφθόγγου τὸ ῑ κατ' ἰδικὴν συλλαβὴν προφερόμενοί φασι βαβαῖ. οὐ δεῖ δέ, ἀλλὰ δισυλλάβως βαβαί θαυμάζοντά τι ἢ ἐπαινοῦντα λέγειν. Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως τονικῶν παραγγελμάτων ἐν ἐπιτομῇ. — ὤμοι addidi ex Arcad. 183, 21. l. 1 Ἀρίσταρχος δέ — l. 6 εἶναι τὸ πόποι adieci pro decurtata annotatione Ioannis: ἔδει δὲ αὐτὸ δύο περισπωμένας ἔχειν, ἐπεὶ καὶ παράκειται αὐτῷ τὸ παπαῖ ex Theogn. p. 158, ubi καθὼς Ἡρωδιανὸς ἐν καθόλου emendationibus Lehrsii Arist. p. 119 ed. II receptis et omissis iis, quae a Theognosto ipso assuta esse probat: Σκύθαι γὰρ τὰ παρ' αὐτοῖς ἀγαλμάτιά τινα πόπους λέγουσι. l. 6 ἰατταταῖ Lehrsius pro ἀτταταῖ scripsit ex Schol. ad Lycophr. 31: αἶ αἶ ἐπίρρημα θρηνητικόν, ὃ πάντες οἱ νῦν βαρύνουσι. Στέφανος δὲ καὶ Μελάμπους περισπᾶν ἀξιοῦσι, λέγοντες τουτονὶ τὸν κανόνα· τὰ εἰς ᾱῑ δίφθογγον λήγοντα ἐπιρρήματα, ἃν ἐπὶ τέλους ἔχωσι τὸν τόνον, περισπῶνται, ἰατταταῖ, παπαῖ, αἶ καὶ τὰ ὅμοια. πλὴν τοῦ βαβαί καὶ τοῦ ναί, ἐγὼ δέ φημι καὶ τοῦ οὐαί, quo firmatur Arcadii οὐαί ab Uhligio addubitatum, pro παπαῖ cum Lehrsio scripsi ἀππαπαῖ, quod locum suum cum παπαῖ mutavit, nam irrepsit eo, ubi παπαῖ efflagitatur, παπαῖ autem ibi positum est, ubi ἀππαπαῖ requiritur. — verba ἡ δὲ συνήθεια — ἀταταί ex Arcadio 183, 21 huc retuli. — Tum καὶ καθόλου δὲ οὐ δεῖ τὰ σχετλιαστικὰ — l. 15 Εὔϊος ex Theogn. l. c. inserui, ubi καὶ αὖθις ὁ αὐτὸς (sc. Herodianus) περὶ τῶν αὐτῶν φησιν, ὡς οὐ δεῖ τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων οἱονεὶ βακχικὰ ὄντα (sic enim Lehrsius emendavit pro τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων εὐκτικὰ οἱονεὶ βακχικὰ ὄντα, Uhligius l. c. scribi vult τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων οἷον τὰ βακχευτικά). — l. 13 εὐοῖ cum acuto praebet Theogn., εὐάν pro εὐἄν scripsi cum Uhlig., cum eodem εὐαῖ pro εὐἕν. l. 13 post ἦν inserui καί et l. 14 post εὐοῖ et pro συγκοπὴν συναφήν posui. — Theogn. 158, 30 habet χαμαί· τοῦτο ὀξύνεται ὡς καὶ τὸ νυμαί, ὑμαί, quod posterius Usenerus in Iahnii Ann. 91, 256 idem atque ὁμῇ = ὁμοῦ esse suspicatur. Equidem utrumque omisi, quia a Theognosto ipso addita esse possunt ut ab eo contra Herodiani sententiam traditur ὁμοίως καὶ τὸ ὕπαι βαρύνεται, λέγεται δὲ καὶ ὕπαιθα κατ' ἐπέκτασιν τῆς θᾱ συλλαβῆς, nam Il. Pr. O 4 traditur: ὑπαὶ δείους: ἡ ὑπό πρόθεσις ὑπαί ἐγένετο ὁμοίως τῇ «ὑπαὶ πόδα νείατον Ἴδης» (B 824)· καὶ ἔστι τὸ ἑξῆς ὑπὸ δέους· οὕτω καὶ Ἀρίσταρχος· διὸ παραιτητέον τὸν Τυραννίωνα βαρύνοντα τὴν ὑπαί καὶ ἡγούμενον ἀπὸ τοῦ ὕπαιθα εἶναι πάθος τὸ τῆς ἀποκοπῆς (cf. Γ 217, B 824), nisi forte barytonesis referenda est ad Aeolum consuetudinem. Nam in Ep. Cr. I 418, 3 legimus: λέγεται δὲ καὶ (sc. ὕπαιθα) καὶ ἄνευ τῆς θᾱ παρ' Ἀλκμᾶνι καὶ σημαίνει τὸ πρότερον «ὁπότε ὑπὸ τοῦ Ἱππολόχου, κλέος δ' ἔβαλλον οὐ νῦν ὑπεστάντων, quo in desperato loco non in priore ὑπὸ, sed in ὑπεστάντων hoc ὕπαι oppositum praecedenti οὐ νῦν contineri arbitror. — De adverbiis in ᾱῑ cf. Mon. 27, 13 χαμαί:

Τὰ εἰς ου͞ περισπῶνται, πανταχοῦ, ἀγχοῦ «ἀγχοῦ δ' ἱσταμένη» (Β 172), ὁμοῦ, αὐτοῦ ἀντὶ τοῦ εἰς τὸν τόπον αὐτόν «αὐτοῦ πρόσθε ποδῶν» (χ 4), ὑψοῦ «ὑψοῦ δ' ἐπὶ ψαμάθοισι» (Α 486) τηλοῦ, ἀλλαχοῦ, οὐδαμοῦ, ἑκασταχοῦ ὡς παρὰ Δημοσθένει (p. 308, 28) «καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας» καὶ τὰ λοιπὰ πλὴν τοῦ ἰδού τὸ δεικτικόν, ἰού τὸ σχετλιαστικὸν καὶ οὔ τὸ ἀρνητικόν. τοῦτο δὲ καὶ ἐν τῇ συνεπείᾳ ὀξύνεται. οὐ μάχεται τὸ ὅπου βαρυνόμενον, ἀλλ' ἀνέδωκε τὸν τόνον ὁμοίως τῷ πῇ ὅπῃ, ποῦ ὅπου.

Ὀλίγα ἐστὶν εἰς ευ͞. τὸ μὲν εὖ περισπᾶται καὶ τὸ φεῦ. καὶ τὸ ἄνευ βαρύνεται καὶ τὸ ὑπέρφευ συντεθέν. τὸ ἐλελεῦ περισπᾶται.

Τὰ εἰς ει͞ δίφθογγον λήγοντα ἐπιρρήματα ὀξυνόμενα δύο ἐστί, τὸ ἀεί καὶ τὸ ἐπεί χρονικὸν «ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς» (θ 452). ἔστι γὰρ ὁ ἐπεί καὶ σύνδεσμος. βαρύτονα δὲ τὸ ἄγρει, ὃ κατὰ συνεκδρομὴν τοῦ ῥήματος πληθυντικῶς εἴρηται «ἀγρεῖθ' αἱ μὲν δῶμα κορήσατε» (υ 149), ὁ δέ γε Ἀντίμαχος ἀργεῖτε ἔφη ὑπερβιβάσας τὸ ρ͞. καὶ ἔτι τὸ οἴκει παρὰ Μενάνδρῳ ἀντὶ τοῦ οἴκοι. περισπώμενα δὲ τοπικὰ Δώρια, τηνεῖ, τουτεῖ, πεῖ, αὐτεῖ. τὸ δὲ ἐκεῖ ἀποκέκοπται.

οὐδὲν εἰς αι λῆγον ἐπίρρημα ὑπὲρ μίαν συλλαβὴν ὀξύνεται, λέγω δὲ μὴ σχετλιαστικόν. τὰ δὲ τοιαῦτα καὶ ὀξύνεται, οὐαί, βαβαί, καὶ περισπᾶται, ἀτταταῖ, αἰαῖ, παπαῖ. τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιρρημάτων.

l. 1 canonem de adverbiis in ου͞ recepi ex Arc. 183, 24. exempla ad ἀγχοῦ et αὐτοῦ apposui ex Choer. Dict. 429, 22: τὰ ἐπιρρήματα τὰ εἰς τὴν ου͞ δίφθογγον λήγοντα ἢ τοπικά εἰσιν ἢ παρηγμένα διὰ τοῦ χου͞ ἀπὸ λέξεως ποσότητα δηλούσης καὶ πάντα περισπῶνται· τοπικὰ μὲν οἷον ἀγχοῦ «ἀγχοῦ δ' ἱσταμένη», ὑψοῦ «ὑψοῦ δ' ἐπὶ ψαμάθοισι» (Α 486), τηλοῦ, πανταχοῦ, ἀλλαχοῦ, οὐδαμοῦ, ἑκασταχοῦ τουτέστι ἐν ἑκάστῳ τόπῳ ὡς παρὰ Δημοσθένει «καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας» «αὐτοῦ πρόσθε ποδῶν». παρηγμένα δὲ διὰ τοῦ χου͞ ἀπὸ λέξεως ποσότητα δηλούσης οἷον δίς διχοῦ, τρίς τριχοῦ, τετράκις τετραχοῦ, πεντάκις πενταχοῦ. τὸ γὰρ δίς τρίς τετράκις ποσότητα δηλοῖ. τὸ ὅπου τοπικὸν ὂν καὶ μὴ περισπώμενον ἀλλὰ βαρυνόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδή, ὥς φησιν Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιρρημάτων (p. 588) τὰ μονοσύλλαβα πευστικὰ περισπώμενα ὄντα προσλαμβάνοντα τὸ ο͞ καὶ γινόμενα ἀναφορικὰ βαρύνονται οἷον πῶς ὅπως, πῇ ὅπῃ. οὕτως οὖν καὶ τὸ ὅπου. ἐπειδὴ οὖν τὰ τρία μόνα ταῦτα, λέγω τὸ ἰδού καὶ ἰού καὶ οὖ, εὑρέθησαν εἰς τὴν ου͞ δίφθογγον λήγοντα καὶ μὴ ὄντα μήτε τοπικὰ μήτε διὰ τοῦ χου͞ παρηγμένα ἀπὸ λέξεως ποσότητα δηλούσης (τὸ μὲν γὰρ ἰδού δεικτικόν ἐστι, τὸ δὲ ἰού σχετλιαστικόν, τὸ δὲ οὖ ἀρνητικόν) εἰκότως ὡς παραλλάξαντα περὶ τὸ σημαινόμενον διήλλαξε καὶ περὶ τὴν τάσιν καὶ οὐ περισπῶνται. — Ex hoc loco addidi l. 3 ὑψοῦ — l. 5 ἑκασταχοῦ βραδυτῆτας et ad ἰδού τὸ δεικτικὸν et τὸ σχετλιαστικὸν ad ἰού. l. 7 pro ἐν τῇ συνηθείᾳ scripsi cum Goettl. de accent. 389 ἐν τῇ συνεπείᾳ. verba οὐ μάχεται usque ad finem apposui ex Ep. Cr. I 418, 26: ὑψοῦ περισπᾶται, ἑκασταχοῦ, πανταχοῦ, αὐτοῦ, τηλοῦ. οὐ μάχεται — ὅπου. τὸ ὑψοῦ ὕψοι λέγουσιν οἱ Αἰολεῖς τροπῇ τοῦ υ͞ εἰς ι͞ ὁμοίως τοῖς Ἀττικοῖς πανταχοῦ καὶ πανταχοῖ, οὐδαμοῦ καὶ οὐδαμοῖ, ποῦ καὶ ποῖ. οὐκ ἀεί, ἀλλ' ἐπὶ πολλῶν. l. 9 de adverbiis in ευ͞ cf. E. M. 104, 53 ἄνευ: αἱ μὲν εἰς ευ͞ λέξεις βαρυνόμεναι ἄπτωτοί εἰσι· περισπώμεναι δὲ πτωτικαὶ Ἀχιλλεῦ Πηλεῦ.

l. 12 cum hoc loco θ 452 componitur ap. Apoll. de coni. 512, 14 et in Ep. Cr. I 161, 13 et 71, 32: ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν cf. Eustath. 1382, 43, qui interpretatur ἐπίρρημα χρονικὸν ἐπεί ἀντὶ τοῦ ἀφ' οὗ et Choer. Orth. 212, 28. — l. 15 ὁ δέ γε Ἀντίμαχος — τὸ ρ͞ adieci ex Ep. Cr. I 71, 25, qui locus nostro simillimus est. — de Doricis cf. Ahrens de dial. Dor. p. 361 cum nota. — De ἐκεῖ similiter iudicat Apoll. de adv. 624, 10, cf. etiam An. Ox. II 366, 31: ἐκεῖ: εἰς τὸ κει͞ περισπωμένη· αἱ ἀποκοπαὶ ἡνίκα φυλάσσωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουσι οἷον δῶμα δῶ.

Τὰ διὰ τοῦ ῑ ἐπεκτεταμένα δεικτικῶς ὀξύνεται, δευρί, νυνί, οὑτωςί, ὡδί, ἐνθαδί, ἐντευθενί. τὸ κοΐ μίμημά ἐστι φωνῆς ἀλόγου ζῴου. ἐχρήσατο δὲ καὶ Ἀριστοφάνης τῇ λέξει. καὶ τὰ παρωνύμως παρηγμένα ὀξύνεται, ἅπερ τινὲς διὰ τῆς ει διφθόγγου, τινὲς δὲ διὰ τοῦ ι γράφουσι μακροῦ, πάνδημος πανδημεί, ἄπνευστος ἀπνευστί, ἀναιμωτί, ἀκλαυτί, ἀνιδρωτί, ἀπηρωτί, ἀπαυστί, ἀγελαστί, αὐτονυχί, ἀκονιτί, πανθοινί, ἀκριτί, ἐρρεντί παρὰ Ἀλκαίῳ. ἀπὸ τοῦ ἔρρω ἢ ἐρρῶ περισπωμένου ἡ μετοχὴ ἐρρείς ἐρρέντος ἐρρεντί ὡς παρὰ τὸ ἐθέλοντος ἐθελοντί, ἀμισθί, ἀμογητί. τὸ δὲ ῑ ἐσθ' ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ «Νέστωρ δ' ὁ γέρων ἀμογητί» (Λ 636) «ἀμισθὶ γάρ σε πάμπαν» (Archil.). Τὰ δὲ εἰς βραχὺ ι καταλήγοντα δισύλλαβα ὄντα βαρύνεσθαι θέλει, ἔτι, αὖθι, νόσφι, ἶφι, ἄγχι, μέχρι, ἄχρι, κεῖθι, πόθι, ἄρτι, ἦρι, ὕψι — τινὲς δὲ τοῦτο ὀξύνουσι — ᾗχι τὸ γενόμενον ἐπεκτάσει τῆς χι συλλαβῆς, οἱ Δωριεῖς ᾇχι λέγουσι διὰ τοῦ ᾱ «ᾇχι Λίχα μέγα σᾶμα»

ᾇχι ὁ κλεινὸς
Ἀμφιτρυωνίδας

Ἀρίσταρχος τὸ ᾗχι ἄνευ τοῦ ι φησί καθάπερ καὶ τὸ ἦφι βίηφι, ἡ μέντοι

---

l. 1 pro τουτί scripsi οὑτωςί cf. Dichr. 301, 3: αἱ διὰ τοῦ ῑ μόνου ἐπεκτάσεις ἐν οἱῳδήποτε μέρει λόγου ἐκτεταμένον ἔχουσι τὸ ῑ, ὡδί, ἐνθαδί, νυνί, δευρί. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, ἐκεινοσί, οὑτοσί. E. M. 341, 44. — l. 3 ἐχρήσατο — τῇ λέξει addidi ex Ep. Cr. I 294, 3 loco nostro simillimo. — l. 5 πάνδημος πανδημεί, ne absit exemplum scripturae per ει, adieci ex fragm. cod. Barocc., ἀναιμωτί — αὐτονυχί ex Theogn. 159, 19, ἀκονιτί — ἀκριτί ex Dichr. 300, 17: τὰ εἰς τι λήγοντα ἐπιρρήματα, εἰ γένοιτο ἀπὸ τῶν εἰς ζω ληγόντων ῥημάτων ἢ ἀπὸ τῶν εἰς ως ἐπιρρημάτων συστέλλειν θέλει τὸ ῑ, Ἰαστί, Λυδιστί, Φρυγιστί, Δωριστί, μεγαλωστί, δημιωστί, ἱερωστί, νεωστί. τὸ μέντοι ἀπνευστί καὶ ἀνωϊστί παρὰ τὸ ἄπνευστος καὶ ἀνώϊστος· τὰ δὲ ἀπὸ πτωτικῶν οὕτω μηκύνεται· ὡς ἔχει τὸ ἀκονιτί, ἀναιμωτί, ἀκλαυτί, πανθοινί, ἀκριτί, ἀμογητί· τὸ δὲ ῑ ἐσθ' ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ «Νέστωρ δ' ὁ γέρων ἀμογητί»· οὕτω δὲ καὶ ἀμισθί «ἀμισθὶ γάρ σε πάμπαν». cf. Apoll. de adv. 571 seqq. — ἐρρεντί — ἐθελοντί recepi ex E. M. 377, 19, ἀμισθί — l. 11 πάμπαν (Archil.) ex Dichr. l. c. — Ut ex Eustath. 708, 2 concludi potest: τὸ αὐτονυχεί ἐν μὲν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου διὰ τοῦ ῑ γράφεται, ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν et Dichr. l. c., Herodianus haec adverbia per ῑ scripsit, Theogn. 165, 7 unum ἀμισθί ex adverbiis in θει per ῑ scribi affirmat, reliqua ut ἀμοθεί, ἀμοχθεί per ει pronunciari iubet pari modo atque adverbia, quorum finem vocalis praecedit ἀθεεί, ἀεί, αὐτοβοεί et adverbia in λει ἀσυλεί, πανομιλεί, ἀναυλεί et in μει exeuntia πανδημεί, ἀτρεμεί, ἠρεμεί. — l. 12 ἔτι addidi ex An. Ox. II 365, 23, ἶφι ex Theogn. 159, 22 et Arc. 41, 24. de terminatione φι cf. Mon. 38, 13 Λιβυαφιγενής: ἡ διὰ τοῦ φι ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηκολούθησεν ἐν τῷ ἐπιρρήματι τῷ ἶφι τὸ τοιοῦτο, Ἰφιγένεια Ἰφικλῆς Ἰφιάνασσα καὶ ὅσα ἄλλα ἐστὶ τοιαῦτα. πεπλάνηται οὖν Ἴβυκος εἰπὼν Λιβυαφιγενής. Lob. El. II 255. μέχρι — πόθι ex Theogn. — τινὲς δὲ τοῦτο ὀξύνουσιν addidi ex Il. Pr. N 140: ὕψι: ὡς οἴκοθι καὶ ἄγχι, ὥς φησι Πτολεμαῖος. τινὲς δὲ κτλ. — l. 14 τὸ γενόμενον — l. 1 p. seq. ἔχει τὸ ῑ composui ex E. M. 417, 1: ἰστέον ὅτι τὸ ᾗχι τὸ γινόμενον ἐπεκτάσει τῆς χι συλλαβῆς, ὡς τὸ ναί ναίχι, οἱ Δωριεῖς ᾇχι λέγουσι — Ἀμφιτρυωνίδας. πολλῶν δὲ λεγόντων σὺν τῷ ῑ γράφεσθαι καὶ πολλῶν ἀντιλεγόντων χωρὶς τοῦ ῑ, τῆς μέντοι παραδόσεως ἐχούσης τὸ ῑ (δίκαιον ἥγημαι et quae sequuntur ineptiae, assuta sunt ab epitomatore) et Schol. ad Od. γ 87: ᾗχι: Ἀρίσταρχος τὸ ἦχι ἄνευ τοῦ ῑ φησί, καθάπερ καὶ τὸ ἦφι βίηφι, ubi quod Herodianus contradixerat, ut saepius excidit. Nam Herodianum haec

παράδοcιc ἔχει τὸ ῑ. ναίχι, ὅπερ παροξύνεται διὰ τῆc χῑ ἐπεκτεταμένον. ἐχρῆν δὲ καὶ τὸ οὐχί βαρύνεcθαι· ἔcτὶ γὰρ ἐπέκταcιc τῆc οὔ. ἀλλ' ἐπειδὴ παραλόγωc ὀξύνεται πρὸ τῆc ἐπεκτάcεωc — ὤφειλε γὰρ περιcπᾶcθαι, ἐπεὶ πᾶcα cυλλαβὴ τελικὴ εἰc ου̅ λήγουcα καὶ ἐφ' ἑαυτῆc τὸν τόνον ἔχουcα περιcπᾶται — τούτου χάριν παραλόγωc ὀξύνεται καὶ μετὰ τὴν ἐπέκταcιν· οὐδέποτε δὲ ἀποβολὴν τοῦ ῑ πάcχει. ὀξύνεται δὲ καὶ τὸ οὐκί καὶ τὸ πρωΐ. καὶ τὸ γίγγρι ἐπιφώνημά τι ὂν ἐν καταμωκήcει λεγόμενον, εἰ ὠξύνετο, οὐκ ἄτοπον. ἀχαρακτήριcτον γάρ ἐcτιν. τὸ δὲ «χῶρι διατμήγουcι» (Callim. fr. 48 Bentl.) βαρύνεται. τὰ ὑπὲρ δύο cυλλαβὰc εἰc τῑ ὀξύνεται, Ἰαcτί, Ἰαονιcτί, Δωριcτί, Cυριcτί, Ἀττικιcτί, Μεγαριcτί, Θρᾳκιcτί, Περcιcτί, Cκυθιcτί, Λυδιcτί, Φρυγιcτί, μεγαλωcτί, ἱερωcτί, νεωcτί, δημιωcτί. εἰ δὲ μὴ ἔχοι τὸ c̄ πρὸ τοῦ τ̄, βαρύνεcθαι θέλει, ἔκητι. τὸ δὲ ἀπαρτί παρ' Ἀθηναίοιc ὀξύνεται καὶ τὸ ἐγκυτί «cὺ δ' ἐγκυτὶ τέκνον ἐκέρcω» (Callim. fr. 311 Bentl.). τὸ ἱνατί καὶ διατί καὶ ἐν τῇ cυνεπείᾳ ὀξύνεται. Καὶ τὰ ἀπὸ τῶν εἰc ιc̄ κατ' ἀποβολὴν τοῦ c̄ βαρύνεται, πολλάκι, τουτάκι, θαμάκι, δυάκι, τριάκι, ἑξάκι.

Τὰ εἰc ῡ λήγοντα διcύλλαβα, μὴ καθαρεύοντα μηδὲ μελετήcαντα τὸ c̄ ἔχειν, βαρύνεται, κόκκυ τὸ ἐλάχιcτον, πάγχυ, πρόχνυ, δεῦρυ, πῆλυ, ἄρρυ ἐπίφθεγμα τῶν ἐρετῶν. τὸ ἰύ, ὃ λέγεται καὶ ἰηῦ, ὀξυνόμενον καθαρεύει ἐπὶ θαύματοc κείμενον. τὸ δὲ ἔϋ βαρύνεται· ἔcτιν ἐΰc ἐῦ εὖ καὶ ἀπὸ τοῦ εὖ κατὰ διάλυcιν τῆc ευ̅ διφθόγγου εἰc ε̄ καὶ

adverbia per ῑ exhibuisse elucet ex Io. Al. 29, 9 seq., de spiritu cf. Il. Pr. M 260: πᾶν φωνῆεν πρὸ τοῦ χ̄ ψιλοῦται· περὶ δὲ τοῦ ἦχι δαcυνομένου εἴπομεν. — l. 1 ὅπερ — ἐπεκτεταμένον addidi ex Io. Al. 5, 20. — l. 2 Io. Al. post βαρύνεcθαι addit: νῦν δὲ παραλόγωc ὀξύνεται. Schol. ad Dionys. 947, 10: ἰcτέον ὅτι τὸ οὐχί ἐπέκταcιc μέν ἐcτι τῆc οὔ (ὡc καὶ τὰ ἄλλα ἐπιρρήματα ἀρνήcεωc, quibus significantur οὐ δῆτα οὐδαμῶc quae quum ab Herodiano cum οὐχί comparata esse parum credibile sit, pro epitomatoris additamento habenda sunt), ὀξύνεται δὲ καὶ οὐδέποτε ἀποβολὴν τοῦ ῑ πάcχει, ὥc φηcιν Ἡρωδιανόc. Ex hoc loco et Ep. Cr. I 494, 7 coll. Favorin. 333, 20 ubi causa abnormis accentus explicatur, composui quae in textu posui usque ad l. 6 πάcχει. Cur Herodianus nunquam οὐχί abiicere ῑ addiderit, patet ex Eustath. 809, 3: ἐν τῷ «οὐχ ἅλιοc cκοπὸc ἔcομαι» (Κ 324) γράφουcιν οἱ περὶ Ἡρόδωρον, ὅτι εὕρομεν ἐν πολλοῖc εἰc τὸ χ̄ ἀπόcτροφον· τοῦτο δὲ παρεcημειωcάμεθα, ὡc ἂν φανείη ὅτι ἐν τῷ «οὐχ ἅλιc» καὶ «οὐχ οὕτωc» καὶ τοῖc ὁμοίοιc ἀμφιβόλωc εἶχον οἱ παλαιοί, οἱ μὲν μετ' ἀποcτρόφου καὶ δαcείαc ποιούμενοι τὴν γραφήν, οἱ δὲ τὸ μὲν πάθοc ἤγουν τὴν ἀπόcτροφον μὴ προcιέμενοι, μόνον δὲ πνευματίζοντεc. — l. 7 οὐκί addidi ex Theogn. 159, 24. de μήχι, quod hic commemorasse Herodianum verisimile est cf. Antiatt. p. 108, 14 et Mein. philol. exercitt. in Athen. II 20. πρωΐ et γίγγρι — γάρ ἐcτιν l. 8 ex Theogn. 159, 26 recepi, pro ἀπαραcχημάτιcτον scripsi ἀχαρακτήριcτον. de χῶρι cf. Ep. Cr. I 443, 27, Apoll. de adv. 549 et 573. — l. 11 Θρᾳκιcτί — Cκυθιcτί recepi ex St. B. ut paullo ante Ἰαονιcτί; Λυδιcτί Φρυγιcτί ex Dichr., μεγαλωcτί — δημιωcτί ex Theogn. 160, 2 cf. Lob. El. I 630. De ἕκητι cf. Apoll. de adv. 553 seqq., qui ab ἀεκάζω ἀεκαcτί c̄ extrito et ᾱ in η̄ mutato ἀέκητι et abiecto ᾱ privativo ἕκητι oriri sumit et retractionem accentus ex defectu literae c̄ comparatis δεcποcτήc δεcπότηc similibus repetit similiterque iudicasse Herodianum arbitror. — l. 15 τὸ ἱνατί — ὀξύνεται accesserunt ex Arcad. 184, 12, δυάκι — ἑξάκι ex Theogn. 160, 5. l. 19 τὸ ἐλάχιcτον — τῶν ἐρετῶν inserui ex Theogn. 161, 7. — ὃ λέγεται καὶ ἰηῦ ex eodem, τὸ δὲ ἔϋ βαρύνεται — εἰc ε̄ καὶ ῡ ἔϋ ipse composui consulto Theogn., apud quem legitur ἰηῦ, ἀπὸ τοῦ ἠΰc·

ῡ ἔϋ. εἶπον δὲ μὴ μελετήσαντα τὸ ϲ̄ ἔχειν, διὰ τὸ ἰθύϲ ἰθύ, εὐθύϲ εὐθύ ὀξυνόμενα· διϲύλλαβα διὰ τὸ μεταξύ, μεϲϲηγύ καὶ τὸ ἀντικρύ, ὅτε χωρὶϲ τοῦ ϲ̄· ὅτε γάρ ἐϲτι μετὰ τοῦ ϲ̄, προπαροξύνεται· ὡϲ καὶ τὸ ἐμβραχύ ϲημαῖνον τὸ ἀπαξαπλῶϲ ἢ καθάπαξ.

* Τὰ Αἰολικῶϲ διὰ τοῦ ῡϊ ἐκφερόμενα βαρύνεται καὶ τοπικὴν ϲχέϲιν δηλοῖ οἷον πήλυϊ, ἄλλυϊ, ἀτέρυϊ, τούτυϊ· τὸ ὀτοτύϊ παρὰ τὸ ὀτοτοῖ παροξυνόμενον ἀπολογίαν ἔχει ὡϲ οὐκ ἔϲτιν τοπικὸν οὔτε Αἰολικόν, ϲχετλιαϲτικὸν δέ· τὰ ϲχετλιαϲτικὰ οὐ πεφρόντικε τῆϲ ἀκριβοῦϲ ἐξετάϲεωϲ, ὡϲ πολλάκιϲ διείληπται.

* Τὰ εἰϲ ō λήγοντα ἐπιρρήματα ὑπὲρ μίαν ϲυλλαβὴν οὐκ ἔϲτιν ὅτι μὴ τὸ δεῦρο βαρυνόμενον. τὸ γὰρ εἰϲ ὅ δύο μέρη λόγου εἰϲίν καὶ τὸ ἀπό πρόθεϲίϲ ἐϲτιν ἰϲοδυναμοῦϲα τῷ ἄποθεν ἐπιρρήματι. τὸ γοῦν δεῦρο παρακελευϲματικὸν ὂν ἔχει τὸ δεῦτε πληθυντικόν· γίνεται δὲ καὶ δευρί παρὰ Ἀττικοῖϲ· ποιητικῶϲ δὲ κατ' ἐπέκταϲιν τοῦ ō εἰϲ ω̄ δεύρω. ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ ἐν τῷ «ἢ δεύρω μὲν ἕποντο» (Γ 240), ἐνίοτε καὶ δεῦρυ.

Πᾶν ἐπίρρημα εἰϲ ω̄ λῆγον παραγωγόν, μὴ Δώριον πρὸ μιᾶϲ ἔχει τὸν τόνον, ἄνω, κάτω, ἔξω, εἴϲω, πρόϲω καὶ πόρϲω καὶ τροπῇ Ἀττικῇ τοῦ ϲ̄ εἰϲ ρ̄ ὡϲ ἄρϲην ἄρρην πόρρω, ἄφνω· παρὰ τὸ ἀφανήϲ ἀφανῶϲ ὡϲ εὐϲεβήϲ εὐϲεβῶϲ καὶ ϲυγκοπῇ καὶ ἀποβολῇ τοῦ ϲ̄ καὶ ἀναδρομῇ τοῦ τόνου διὰ τὸν χαρακτῆρα ἄφνω. ἑκαϲτέρω τὸ πορρωτέρω ἀπὸ τοῦ ἑκάϲ, ὃ ϲημαίνει τὸ ἄποθεν, καὶ οὐ παρὰ τὸ ἑκάτεροϲ, ἑκατέρω γὰρ ἦν. πορρωτέρω, ἐγγυτέρω, ἀνωτάτω, ἐγγυτάτω, ἀπωτέρω, περαιτέρω. τὸ δὲ ἄνεῳ προπαροξύνεται· τὸ ἰώ ὀξύνεται, ἀνακλητικὸν ὂν καὶ οὐκ ὂν παραγωγόν· καὶ τὸ ἐπιϲχερώ ὀξύτονον. τὸ δὲ

ἐῦ ἀπὸ τοῦ εὖ κατὰ διάλυϲιν τῆϲ ευ διφθόγγου εἰϲ ε̄ καὶ ῡ, quod sic restituendum est ἀπὸ τοῦ ἐΰϲ ἐῦ εὖ καὶ ἀπὸ τοῦ εὖ κτλ., nam iure Lehrsius Arist. p. 384 ed. II adnot. hic de ἔϋ barytono agi iudicat. l. 5 hunc canonem recepi ex Theogn. 160, 7 cum emendationibus Ahrensii de dial. Aeol. p. 154 not. coll. p. 17, τὸ ὀτοτύϊ παρὰ τὸ ὀτοτοῖ παροξυνόμενον ipse correxi pro τοῦτο παρὰ τὸ ὅτοι παροξυνόμενον. l. 10 etiam hunc canonem ex Theogn. 160, 31 recepi, l. 14 παρὰ Ἀττικοῖϲ addidi et pro πολλάκιϲ καὶ διὰ μετρικὴν χρείαν καὶ διὰ τοῦ ω̄ posui κατ' ἐπέκταϲιν — ἕποντο (Γ 240) ex Mon. 26, 31 οὐδὲν εἰϲ ō λήγει ὑπὲρ μίαν ϲυλλαβήν (monosyllabum ψό commemoratum est 46, 17), ἀλλὰ μόνον τὸ δεῦρο, ὃ εἴρηται — ἕποντο». παρὰ δὲ τοῖϲ Αἰολεῦϲι καὶ δεῦρυ διὰ τοῦ ῡ. παρὰ δὲ Ἀττικοῖϲ ἔϲθ' ὅτε καὶ δευρί λέγεται διὰ τοῦ ῑ. τετόλμηται δὲ αὐτοῦ καὶ θεματιϲθῆναι πληθυντικὸν τὸ δεῦτε, cum quo comparat Apoll. de adv. 553, 6 ἄγετε cf. Ep. Cr. I 3, 5. l. 18 εἴϲω inserui ex Theogn. 161, 16, item καὶ πόρϲω — πόρρω; ἄφνω addidi ex Herod. περὶ παθῶν in E. Gud. 97, 18, cum Herodiano congruit Apollon. de adverb. 580, 20. ad ἑκαϲτέρω apposui τὸ πορρωτέρω — γὰρ ἦν ex E. M. 320, 15 ubi subiectum est οὕτωϲ Ἡρωδιανόϲ. ἐγγυτέρω — περαιτέρω accesserunt ex Theogn. Adverbio ἄνεῳ subdidi ῑ, ex hoc loco patet Herodianum cum Apollonio pro adverb. habuisse ἄνεῳ, atque opinor explicationem largiorem, quae similis fuit Apollonio de adv. p. 555 et 577, 9 huic loco adnexam ab epitomatore recisam esse. cf. Lob. El. II 284. — l. 24 pro ἀνάκλητον scripsi ἀνακλητικόν, de ἰώ Herod. περὶ παθῶν in E. M. 481, 15: ἰώ τὸ ἐπίρρημα. ἐκ τοῦ ἰωή κατὰ ϲυγκοπήν. Τρύφων δὲ λέγει, ὅτι τὸ ὦ κλητικὸν προϲέλαβε τὸ ῑ καὶ ἐγένετο ἰώ. εἶτα τὸ ὦ περιϲπᾶται· τὸ δὲ ἰώ ὀξύνεται οἷον «ἰὼ ὦ Ἀπολλώνιε, ἰὼ Λακεδαῖμον». ἀλλὰ ϲχετλιαϲτικὸν ικαὶ βακχευτικὸν οὐχ ὑποπίπτει τῇ ἀναλογίᾳ. περὶ παθῶν. De ἐπιϲχερώ cf. Il. Pr. C 68: ἐπι-

τουτῶ αὐτῶ κατὰ ἀποκοπὴν τῆς θεν συλλαβῆς καὶ ἐκτάσει τοῦ ō εἰς ω Δώριά ἐστιν.

Τὰ εἰς αν λήγοντα καὶ μακρὸν ἔχει τὸ ᾱ καὶ βαρύνεται, λίαν, ἄγαν, εὔάν, πέραν, ὅπερ Ἰωνικῶς πέρην λέγεται «πέρην κλυτοῦ ὠκεανοῖο» Διονύσιος. τὸ πάμπαν καὶ τάλαν συστέλλει τὸ ᾰ. τὸ δὲ ὅταν δύο μέρη λόγου, ὅτε καὶ ἄν. τὸ δοάν ὀξυνόμενον πλεονασμὸν ἔχει τοῦ ο, δήν δάν δοάν. τὸ ῶ τᾶν δύο περισπωμένας ἔχει.

* Σπάνια τὰ εἰς εν λήγοντα ἐπιρρήματα τὰ μὴ ἔχοντα πρὸ τοῦ ε τὸ θ καὶ εὐαρίθμητα· ἔστι γὰρ τὸ ἔπειτεν ἀπὸ τοῦ ἔπειτα γεγονός καὶ εἶεν, ὅ τινες ὀξύνουσιν. καὶ τὸ αἰέν ὁμότονον καὶ ὁμόσημον τῷ ἀεί.

Τὰ εἰς δην πάντα βαρύνεται, κλίδην, μίγδην, ἐμπλήγδην, ἅδην, ἐπαΐγδην, βάδην, χύδην, κρύβδην, φύρδην, σποράδην, ἀλλάγδην, παμπήδην, διαρρήδην καὶ ἄλλα μυρία. καὶ τὰ εἰς ην ἐπιρρήματα μὴ προηγουμένου τοῦ δ πρῴην, μάτην, βύζην, ἔμπλην καὶ ἄντην βαρύνεται· τὸ γὰρ ἀκμήν, ἐθελοντήν, ἑκοντήν ὀνοματικά· διὸ καὶ συνοξύνονται τοῖς ὀνόμασιν. τὸ δὲ ἠμήν ὁρκικὸν ἐπίρρημα ὀξύνεται. ὁ δὲ ποιητὴς ἀεὶ διὰ τοῦ ε προφέρεται «ἦ μέν μοι πρόφρων» (Α 77) «ἠμὲν ἐμοὶ δώσειν» (Ξ 275). τὸ δὲ ἐχρῆν περισπώμενον οὐκ ἐπίρρημα, ἀλλὰ ῥῆμα.

* Τὰ εἰς ιν ἐπιρρήματα ἐκ πλεονασμοῦ ἔχει τὸ ν οἷον αὖθι αὖθιν, οὕτω γὰρ λέγεται παρὰ Ῥηγίνοις. πάλι πάλιν, πέρυσι πέρυσιν, ὃ

σχερώ: ὀξύνεται καὶ σεσημείωται, ὥσπερ καὶ τὸ ἰώ. οὐδὲν γὰρ εἰς ω̄ λῆγον ἐπίρρημα θέλει ὀξύνεσθαι cf. Apoll. de adv. 576, 14. — τὸ δὲ τουτῶ αὐτῶ ipse addidi propter canonis conformationem atque Herodianum de his idem sensisse atque Apollonium de adv. 604, 622 patet ex Herod. περὶ παθῶν in E. M. 331, 14 πόθεν πῶ. l. 4 εὐαν barytonon praescribitur ab Io. Alex., pariter in Schol. ad Dionys. 949, 19, quamquam εὐάν oxytonos scriptum est: τὰ εἰς ᾱν βαρύνεται, λίαν, ἄγαν, πέραν, ὀνοματικὸν εὐάν βακχικόν. τὸ δὲ ὅταν δύο μέρη λόγου. τὸ δοάν παρ' Ἀλκμᾶνι Δωρικῶς ὀξύνεται. cf. Dichr. 290, 13: τὰ εἰς ᾱν λήγοντα ἐπιρρήματα ἐκτείνουσι τὸ ᾱ, ἄγαν, λίαν, πέραν, εὔάν, ὑπεσταλμένου τοῦ πάμπαν. τὸ γὰρ ὅταν δύο μέρη λόγου ἐστι, ὅτε καὶ ἄν. τὸ δὲ τάλαν ὀνοματικόν ἐστι (de πάμπαν cf. Herod. in E. Gud. 450, An. Par. III 355, 7). Il. Pr. Α 519: πρόδηλον δὲ ἐκ τοῦ χαρακτῆρος (τοῦ ὅταν) ὅτι οὐ δύναται ἓν εἶναι, εἴγε τὰ εἰς αν ἐπιρρήματα οὐδέποτε συστέλλει τὸ ᾱ. τὸ γὰρ πάμπαν οὐ φύσει ἐπίρρημα. cf. Apoll. de adv. 570 seqq., Ep. Cr. I 328, 11; 346, 11, An. Ox. II 385, 23. l. 8 hunc canonem apposui ex Theogn. 161, 28, quem Uhligius in Museo Rhenano XIX p. 34 quum dicat εἶεν a quibusdam acui, parum meminisse scripturae εἶἔν iudicat; sed fieri potuit, ut re vera quidam ad analogiam adverbii αἰέν scriberent εἰέν. l. 13 pro ἐπαΐγδην non necesse est cum Schmidt. ad Hesych., ubi vitiose ἐπαΐχθην scriptum est, ponere ἐπιλίγδην, nam E. M. 494, 49 tradit: καταΐγδην ἀπὸ τοῦ καταΐσσω «ἐπέτρεχε κύματι λάβρῳ προπροκαταΐγδην κοίλης ἁλός» (Apoll. Rhod. II 594), idem poeta habet ἀΐγδην II 827. χύδην — διαρρήδην accesserunt ex Theogn. 161, 19. — l. 15 πρῴην et μάτην et l. 16 ἑκοντήν praebet Theogn., ex eodem ἠμήν (ἠμῖν τὸ ὅρκιον i. e. ἠμήν τὸ ὁρκικόν), quod explevi ex Il. Pr. Α 477 cf. An. Par. III 302, 20. τὸ δὲ ἐχρῆν usque ad finem debentur Theognosto, qui addit: καθάπερ φησὶν ὁ τεχνικὸς ἐν τῇ καθόλου. De adverbiis in η̄ν cf. Apoll. de adv. 611 et 612, Ep. Cr. I 361, 5, E. M. 781, 23. l. 21 hunc canonem recepi ex Theogn. 161, 32, pro

καὶ πέρυτις λέγεται Δωρικῶς. αἶιν, ὅπερ ἀπὸ τοῦ ἀεί παρὰ Αἰολεῦςι γέγονεν. νυνίν, οὑτωςίν.

Τὰ εἰς δον ὀξύνεται, χανδόν, σχεδόν, βοτρυδόν «βοτρυδὸν δὲ πέτονται ἐπ᾽ ἄνθεςιν εἰαρινοῖςι». ἔςτι δὲ μονῆρες τὸ βοτρυδόν. τὰ γὰρ εἰς δον ἐπιρρήματα ὀξυνόμενα οὐ θέλει ἀπὸ τῶν εἰς ῡς ὀνομάτων παράγεςθαι καὶ πρὸ τέλους ἔχειν τὸ ῡ· ὁ μέντοι Εὐφορίων παρὰ τὸ εἰς ῡς παραγωγὸν ποιήςας ἐπίρρημα οὐκ ἔδωκε πρὸ τέλους τὸ ῡ, ἀλλὰ τὸ η̄ «πάντα δέ οἱ νεκυηδὸν ἐλευκαίνοντο πρόςωπα». ἀγεληδόν, ςωρηδόν, ποταμηδόν, κιονηδόν, ταυρηδόν, κρουνηδόν, βομβηδόν, ἰλαδόν, ἐνωπαδόν, ςτοχανδόν, φανδόν, ἑλκηδόν, παραςταδόν, παρακλιδόν, ῥυδόν «ῥυδὸν ἀφνειοῖο» (ο 426), ἀμφαδόν· καὶ ἐν ςυνθέςει φυλάςςουςι τὸν τόνον οἷον αὐτοςχεδόν. μόνον τὸ ἔνδον βαρύνεται, διότι μόνον παρὰ προθέςεως καὶ ὅτι μόνον τοπικὸν τῶν εἰς δον. λήγει δὲ καὶ δος, ἔνδος γὰρ λέγεται πολλάκις καὶ εἰς δοι ἔνδοι. τέςςαρςιν οὖν διαφοραῖς διαλλάξαν οὐδὲν θαυμαςτὸν εἰ καὶ κατὰ τόνον διήλλαξεν. εἰδέναι δὲ δεῖ ὡς τὰ εἰς δον ςπανίως κατ᾽ ἀρχὴν λέξεως ςυντίθενται, ὡς ἔχει τὸ ἐνδόμυχος, ἐνδόπυρος, ἔνδορχις. Τὰ εἰς ον ἐπιρρήματα μὴ ἔχοντα πρὸ τοῦ ο̄ δ̄ ἀλλ᾽ ἢ ἕτερον ςύμφωνον ἢ τὸ ῑ βαρύνεται, ςήμερον, αὔριον, πόρςιον, ἔγγιον, μᾶλλον, ἧττον, ἄςςον. τὸ δὲ αὐθημερόν ὀξύνεται ἀπὸ τοῦ αὐθήμερος προπαροξυνομένου.

* Εἰς ῡν λῆγον οὐδέν ἐςτιν, εἰ μὴ τὸ βίςχυν βαρύτονον μόνον ὄν.

Τὰ εἰς ων πάντα ὀξύνονται, ἐμποδών, ἐκποδών, ἐκδεξιών, ἐξαριςτερών, τελευτών. καὶ τὸ χρεών μετοχικὸν ὀξύνεται, τὸ δὲ ἀκέων καὶ αὐτὸ μετοχικὸν παροξύνεται.

αἰίν scripsi cum Lob. El. II 155 adn. 3 αἶιν accentu Aeolico. l. 3 βοτρυδόν explevi ex Mon. 46, 7. l. 8 ἀγεληδόν — φανδόν apposui ex Theogn. 155, 9 et 162, 4. — ἑλκηδόν — ἀμφαδόν ex Mon. 25, 14: ἔνδον: οὐδὲν εἰς δον λῆγον ἐπίρρημα βαρύνεςθαι θέλει, πάντα δὲ ὀξύνεται, ὡς ἔχει τὸ ςχεδόν, ταυρηδόν, ἑλκηδόν, παραςταδόν, παρακλιδόν «ῥυδὸν ἀφνειοῖο», ἀμφαδόν. ἄφθονος ἡ ἐν ἀκολουθίᾳ παράθεςίς ἐςτι τῶν ὀξυνομένων. ἀλλὰ μόνον τὸ ἔνδον βαρύνεται. τῆς διαλλαγῆς ἐν ἑτέροις δίδοται ἡ αἰτία, quod hoc loco Catholicae factum esse patet ex Io. Al. et Theogn. — καὶ ἐν ςυνθέςει — αὐτοςχεδόν inserui ex Il. Pr. Η 273: ὀξυντέον τὸ αὐτοςχεδόν, τὰ γὰρ εἰς δον ἐπιρρήματα ἐν ςυνθέςει φυλάςςουςι τὸν τόνον. — l. 14 λήγει δὲ καὶ εἰς δος — l. 17 ἔνδορχις accesserunt ex Theogn., de adverbiis in δον cf. Apoll. de adv. 611. Etiam τὰ εἰς ον — l. 19 sumpsi ex Theogn. pro Io. Alexandrini verbis τὰ εἰς ον λήγοντα πρὸ τοῦ ο̄ ῑ ἔχοντα πόρριον, pro quo recepi πόρςιον, ἔψιον (scr. ἔγγιον). — De μᾶλλον cf. Mon. 26, 13: οὐδὲν ὅμοιον τῷ μᾶλλον κατὰ χρόνον· τὸ γὰρ ᾱ, εἰ ἔχοι ἐν ἐπιφορᾷ διπλαςιαζόμενον τὸ λλ ἐν μιᾷ λέξει, ςυςτέλλεςθαι φιλεῖ χωρὶς εἰ μὴ τροπή τις εἴη τοῦ η̄ εἰς ᾱ παρὰ διαλέκτῳ· — ςημειωτέον ἄρα περὶ χρόνον τὸ μᾶλλον. αὐθημερόν, quod habet etiam Theogn., sed proparoxytonos scriptum, apposui ex Io. Al. 30, 25, omisi autem αὔθωρον, quod ap. Theogn. 155, 9 αὐθωρόν, sed 162, 16 αὔθωρον scriptum est. τὸ ἐξόν μετοχικὸν ἐκ τῆς ἐξ προθέςεως καὶ τοῦ ὄν οὐδετέρου a Theognosto additum videtur, quamquam etiam profertur a Choer. Ep. in Psalm. 89, 24: τὰ εἰς ον λήγοντα ἐπιρρήματα παραληγόμενα τῷ ῑ ἢ ε̄ βαρύνονται οἷον ςήμερον αὔριον, πλὴν τοῦ αὐθημερόν καὶ ἐξόν, ὑπεςταλμένων τῶν ὀνοματικῶν, τὸ αὐθημερόν παρώνυμον, τὸ ἐξόν μετοχή. — l. 21 canonem de adverbiis in ῡν ex Theogn. 162, 19 recepi. l. 22 hunc canonem recepi ex Arc. 182, 21, χρεών explevi ex Theogn. 162, 19 et ἀκέων addidi ex eodem, sed mutato accentu, nam ex Apoll. de adv. 533 seqq., qui se

* Οὐδὲν εἰς ο̅υ̅ν̅ ἐπίρρημα, ἀλλὰ μόνον τὸ ἀθροῦν· ὅπερ καὶ ἐπεκτάσεσι ποιητικαῖς κέχρηται καὶ παραθέσει ἄρθρου ἑνικοῦ καὶ πληθυντικοῦ. παραιτοῦμαι δὲ αἰσχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺς εἴλω ταςαίμην· ἀλλὰ μισχοῦν καθήμενοι· ἐπεὶ ὀνοματικά ἐστι.

Τὰ εἰς ξ̅ λήγοντα ἐπιρρήματα ὀξύνεσθαι θέλει πλὴν τῶν ἀπὸ προθέσεως· ταῦτα γὰρ βαρύνεται, εὐράξ, μουνάξ, ὀκλάξ, ὀδάξ, ἐναλλάξ, αὐτοδάξ, ἐπιτάξ, κοάξ, ὑποδράξ, ἰατταταιάξ, διαμπάξ, βεβρεκέξ, κουρίξ, ἀπρίξ, ἀναμίξ, ἐπιμίξ. τὸ δὲ πέριξ βαρύνεται ἀπὸ προθέσεως ὂν καὶ πάρεξ· τὸ δὲ πάρεξ βαρυνόμενον καὶ γενικῇ συντασσόμενον ἔχει τι παράσημον, ὡς καὶ παρὰ δύο προθέσεις ἐγένετο. ὁπότε γὰρ ὀξύνεται, οὔ φαμεν εἶναι ἐπίρρημα, ἀλλὰ δύο προθέσεις. σημειούμεθα δὲ καὶ τὸ ἅπαξ βαρυνόμενον. διὸ ἐν τῇ συντάξει μεταλαμβάνει τὸν ἴδιον τόνον ἁπαξάπαντες, ἁπαξάπλῶς κεκοιμισμένου τοῦ τόνου.

---

in libro περὶ μετοχῶν accuratius de χρεών et ἀκέων exposuisse dicit, concludi potest etiam Herodianum hoc ἀκέων gravandum censuisse, non acuendum, ut est ap. Theogn. l. 1 canonem de adverbiis in ο̅υ̅ν̅ inserui ex Mon. 26, 24, quem locum cum Lehrsio intactum reliqui; adverbii οὔκουν alio loco, ubi de coniunctionibus egit, mentionem fecit Ep. Cr. II 395: οὔκουν ἐστὶν ἐπίρρημα ἀρνήσεως ἀντὶ τοῦ οὐδαμῶς. l. 5 adverbia in ξ̅ ordinavi secundum praecedentem vocalem. — εὐράξ recepi ex Il. Pr. Λ 257: εὐράξ ὀξύνεται, καθότι τὰ εἰς α̅ξ̅ λήγοντα ἐπιρρήματα ὀξύνεται ὑπεσταλμένου τοῦ ἅπαξ· σημαίνει δὲ τὸ ἐκ πλαγίου; μουνάξ ex Schol. ad. Od. θ 371 μουνάξ: ὀξυτόνως; ὀκλάξ — ἐπιτάξ ex Mon. 25, 6: τὰ εἰς α̅ξ̅ λήγοντα ἐπιρρήματα ὀξύνεσθαι θέλει, ὀκλάξ — ἐπιτάξ. ἀλλὰ μόνον τὸ ἅπαξ βαρύνεται, ὅπερ ἐν συντάξει τοῦ ἅπαντες ἢ ἁπλῶς ἐκκλίνει τὸν τόνον ὡσεὶ ὀξύνοιτο τὸ ἅπαξ. ἁπαξάπαντες γὰρ λέγομεν καὶ ἁπαξάπλῶς ἐν τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ cf. Ep. Cr. I 172, 32 unde addidi verba διὸ — τοῦ τόνου, 420, 6 et An. Ox. II 346, 25; διαμπάξ addidi ex Arc. 184, 1, ἀπρίξ ἀναμίξ ex Mon. 46, 4: πέριξ: τὰ εἰς ι̅ξ̅ λήγοντα ἐπιρρήματα φιλεῖ πως ὀξύνεσθαι, κουρίξ, ἀπρίξ, ἀναμίξ. ἀλλὰ τὸ πέριξ μόνον βαρύνεται — ἐπιμίξ ex Il. Pr. Ξ 60: ἐπιμίξ. Ἀρίσταρχος ὡς κουρίξ. καὶ εἴπομεν ὅτι τὰ εἰς ι̅ξ̅ ἐπιρρήματα ὀξύνεται, σημειωσάμενοι τὸ πέριξ βαρυνόμενον. Φ 16: περὶ τοῦ ὀξύνεσθαι τὸ ἐπιμίξ εἴπομεν ἤδη πολλάκις. — l. 9 τὸ δὲ πάρεξ — l. 10 δύο προθέσεις ex Ep. Cr. I 380, 7: φησὶν ἐν τῇ καθόλου ὁ τεχνικὸς αὐταῖς λέξεσι· τὸ πάρεξ βαρυνόμενον κτλ. — De πάρεξ disputavit praeterea in Mon. 25, 20: πάρεξ: οὐδὲν εἰς ε̅ξ̅ ἐπίρρημα βαρυνόμενον ἐκ δύο προθέσεων συνεστηκός, ὅπερ καὶ γενικῇ θέλει συντάττεσθαι, ἀλλὰ μόνον τὸ πάρεξ· καὶ γὰρ ἡ συνήθεια οὕτως ἔσθ' ὅτε φησὶ «πάρεξ Ἀπολλωνίου». ὃν τρόπον καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ ἔφη «πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος». παρὰ μέντοι τῷ ποιητῇ ἕτερόν ἐστι τὸ ὀξυνόμενον· «ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε, παρὲξ περιμήκεα δοῦρα». εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ. Il. Pr. Ι 7: τὸ παρέξ παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστί, καὶ ἐγκλίνονται αἱ δύο προθέσεις, διὸ καὶ πολλάκις εὑρίσκεται καὶ διὰ τοῦ κ̅ λήγουσα ἡ ἐξ «παρὲκ μέγα τειχίον αὐλῆς (Od. π 165). ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ προθέσεως, ἔσθ' ὅτε καὶ τῆς παρά. «ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετον» (Od. μ 276), «ὣς ἄρα φωνήσασα παρὲξ ὁδοῦ» (Il. Κ 349). ἐνθάδε μὲν οὖν ἡγεῖται ὁ Ἀσκαλωνίτης παρέλκειν τὴν παρά, ἵν' ᾖ ἐξ ἁλός (ἔξαλος suspicatur Lehrs). ἄλλοι δὲ τὴν παρά κυρίως κεῖσθαι, ἵνα γένηται παρ' ἅλα φῦκος, καὶ τὴν ἐξ συντάσσεσθαι πρὸς τὸ ἔχευαν, ὅπερ καὶ βέλτιον· παρ' ἁλὶ φῦκος ἐξέχευαν. μετὰ γοῦν τῆς διά οὖσα ἡ ἐξ οὐ τρέπει τὸ ξ̅ «διὲξ σωλῆνος εἰς ἄγγος» (Archil. E. M. 324, 16). Τυραννίων δὲ ἓν μέρος λόγου ἤκουσεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει. καὶ ἔχει λόγον, ὡς Ἡρόδοτος ἐν δ' (46) «πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος». ἀλλ' οὐ παρ' Ὁμήρῳ. Schol. ad Od. ε 439: νῆχε παρέξ: ὀξύτονον τὸ παρέξ.

Εἰϲ ρ̄ λήγοντα ἐπιρρήματα ὀξύτονα οὐκ ἔϲτιν καὶ τὰ ἁπλᾶ βαρύτονα ϲπάνια καὶ μονήρη ὡϲ ἔχει τὸ νύκτωρ μόνον, εἰϲ ω̄ρ̄ καὶ τὸ ἄτερ μόνον εἰϲ ε̄ρ̄. τὸ γὰρ Δάματερ κλητικὴ ὡϲ τὸ Ἥρακλεϲ, καὶ ἄφαρ. τὸ γὰρ αὐτῆμαρ, ποϲϲῆμαρ, ἐννῆμαρ ϲύνθετα παρώνυμά εἰϲιν.

Τὰ εἰϲ α̅ϲ̅ μὴ παραληγόμενα τῷ ε̄ ϲὺν ἐμεταβόλῳ ὀξύνεται, ἑκάϲ, ἀνεκάϲ, ἀγκάϲ, ἐντυπάϲ, ἀνδρακάϲ. τὸ μέντοι πέλαϲ βαρύνεται καὶ τὸ ἀτρέμαϲ «ἀτρέμαϲ ἧϲο» (Β 200), ὅπερ καὶ χωρὶϲ τοῦ ϲ̄ λέγεται ἀτρέμα. τὸ δὲ ἄλιαϲ παρ' Ἱππώνακτι προπαροξύνεται ἀπὸ τοῦ ἅλιϲ πλεονάϲαν τὸ ᾱ.

* Τὰ εἰϲ ε̅ϲ̅ λήγοντα ἐπιρρήματα ἁπλᾶ φυϲικῶϲ οὐκ ἔϲτιν, εἰ μὴ τὸ ἐχθέϲ διϲύλλαβον καὶ χθέϲ μονοϲύλλαβον καὶ ἐνδελιϲτέϲ ὀξύτονον παρὰ Ϲυρακοϲϲίοιϲ, ὃ καὶ ἐλλιϲτέϲ λέγεται· τὸ γὰρ ἀέϲ ἀπὸ τοῦ ἀεί· τὸ δὲ ἄληθεϲ, ἐπίτηδεϲ ὀνοματικὰ καὶ βαρύτονα.

Τὰ εἰϲ η̅ϲ̅ βαρύνεται, ἔμπηϲ, ἐξαίφνηϲ, ἐξαπίνηϲ, ἐξείηϲ· τὸ δὲ ἑξῆϲ τὸ ἀπ' αὐτοῦ περιϲπᾶται. καὶ τὸ ἀκαρήϲ ὀξυνόμενον ὀνοματικόν ἐϲτιν ὅμοιον τῷ εὐρυπυλήϲ.

Τὰ εἰϲ ι̅ϲ̅ λήγοντα διϲύλλαβα βαρύνεται, μόλιϲ, μόγιϲ, ἅλιϲ, ἄνιϲ ἀντὶ τοῦ χωρίϲ, μέχριϲ καὶ τὸ παρ' αὐτὸ ἄχριϲ. λέγεται δὲ καὶ μέχρι καὶ ἄχρι ἄνευ τοῦ ϲ̄, αὖθιϲ, ὃ λέγεται καὶ αὖθι καὶ αὖθιν. μόνα τὸ χωρίϲ καὶ ἀμφίϲ ὀξύνονται. τὰ δὲ ὑπὲρ δύο ϲυλλαβὰϲ εἰϲ ι̅ϲ̅ λήγοντα, ὑπεϲταλμένων τῶν διὰ τοῦ αδιϲ καὶ α̅κ̅ι̅ϲ̅ ὀξύνονται, ἐγκυτίϲ, ὃ χωρὶϲ τοῦ ϲ̄ Καλλίμαχοϲ εἶπεν «ϲὺ δ' ἐγκυτὶ τέκνον ἐκέρϲω»,

l. 1 pro Io. Alex. canone τὰ εἰϲ ρ̄ λήγοντα βαρύνεται, ἄφαρ, νύκτωρ, ἄτερ recepi Theognosti praeceptum, in quo ἁπλᾶ ante ὀξύτονα aberravit, comparatum cum Mon. 46, 29: νύκτωρ: οὐδὲν εἰϲ ω̅ρ̅ ἐπίρρημα, ἀλλὰ μόνον τὸ νύκτωρ. δείκνυται γὰρ ἐπίρρημα. — ἄτερ: οὐδὲν εἰϲ τ̅ε̅ρ̅ ἐπίρρημα, ἀλλὰ μόνον τὸ ἄτερ· τὸ γὰρ Δάματερ κλητικὴ ὡϲ τὸ Ἥρακλεϲ. l. 6 ἑκάϲ addidi ex Schol. ad Od. ν 14: ἀνδρακάϲ: τινὲϲ γράφουϲι ἄνδρα κάτα· ὁ δὲ Φρύνιχοϲ ἀνδρακάδα φηϲὶ τὴν τῶν ἀνδρῶν δεκάδα. ἔϲτι δὲ ἐπίρρημα ὡϲ ἑκάϲ καὶ ἐντυπάϲ. ad ἀτρέμαϲ addidi verba Homerica ex E. M. 63, 18: ἄλιαϲ: ἔϲτιν ἅλιϲ καὶ πλεοναϲμῷ τοῦ ᾱ· ἄλιαϲ. ἔϲτι δὲ μονῆρεϲ τὸ ἐπίρρημα· οὐδὲν γάρ ἐϲτιν εἰϲ α̅ϲ̅ ἐπίρρημα προπαροξύτονον ἀλλ' ἢ ὀξύτονον ἑκάϲ, ἀγκάϲ (Lob. El. I 409 pro ἐμπάϲ) ἢ παροξύτονον ὡϲ τὸ «ἀτρέμαϲ ἧϲο». cf. Apoll. de adv. 570, 24. l. 11 hunc canonem de adverbiis in ε̅ϲ̅ recepi ex Theogn. 162, 31. — ἐνδελιϲτέϲ et ἐλλιϲτέϲ intacta reliqui, ap. Hesych. ἐνδελιϲπέϲ· παντελέϲ, pro quo Schmidt. ἀνελλιπέϲ scribendum censet. l. 16 τὸ ἀπ' αὐτοῦ adieci ex Theogn. 163, 4, apud quem ἐξείηϲ, ἀφ' οὗ τὸ ἑξῆϲ περιϲπώμενον, ex eodem ὅμοιον τῷ εὐρυπυλήϲ. l. 18 μόλιϲ μόγιϲ ex Theogn. apposui, ἄνιϲ explevi verbis ἀντὶ τοῦ χωρίϲ. μέχριϲ καὶ τὸ ἀπ' αὐτοῦ inserui ex Il. Pr. Π 324: ἄχριϲ: Ἀρίϲταρχοϲ ὡϲ μέχριϲ ἀνεγίνωϲκε, παρ' ὃ καὶ ἐγένετο. ἐκεῖνο δὲ ἔχομεν λέγειν, ὡϲ τὰ εἰϲ ιϲ ἐπιρρήματα διϲύλλαβα βαρύνεται, ὡϲ ἔχει τὸ ἄνιϲ, ἅλιϲ, μόγιϲ, ἄχριϲ, αὖθιϲ. ὀξύνεται δὲ τὸ χωρίϲ καὶ ἀμφίϲ, διότι μακρὰν ἔϲχεν ἤτοι φύϲει ἢ θέϲει. τὰ μέντοι βαρυνόμενα ἤτοι βραχεῖαν εἶχεν ἢ τὴν κοινὴν καλουμένην, ἥτιϲ ἐδύνατο ϲχεδὸν βραχεῖα εἶναι. διὸ ἐμάχετο τὸ αὖθιϲ βαρυνόμενον. δοκεῖ δέ μοι ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶϲ ἐλέγετο κατὰ τὸ τέλοϲ, αὖθιϲ, αὖθι, αὖθιν. τὸ δὲ τοιοῦτον ἑωρᾶτο καὶ ἐπὶ τοῦ πέρυϲι βαρυνομένου. cf. Lob. El. II 210 seqq. — λέγεται δὲ καὶ — ἄνευ τοῦ ϲ̄ ex Theogn., post αὖθιϲ ὃ λέγεται — αὖθιν ex Il. Pr. l. c. — l. 22 αδιϲ καὶ α̅κ̅ι̅ϲ̅ pro δ̅ι̅ϲ̅ καὶ κ̅ι̅ϲ̅ scribendum esse vidit Lob. El. II 213. — de oxytonis in ι̅ϲ̅ cf. Il. Pr. Ξ 463:

λικριφίς, κραταιΐς, αὐτονυχίς. λέγεται δὲ καὶ αὐτονυχιδίς καὶ αὐτονυχί, παμπηδονίς, λέγεται δὲ καὶ πάμπαν καὶ παμπήδην καὶ παμπηδόν, σολικρίς (?), ἀμφικελεμνίς. τὸ μέντοι πέρυτις προπαροξυνόμενον Δώριόν ἐστιν ἐκ τοῦ πέρυσι μεταποιηθὲν καὶ οὐ μάχεται. τὰ διὰ τοῦ ακις παροξύνεται, πολλάκις, ὀλιγάκις, τοσαυτάκις. καὶ τὰ εἰς δις τρισύλλαβα τῷ ᾱ παραληγόμενα παροξύνεται, χαμάδις, φυγάδις, ὀκλάδις, κρυφάδις, ἐσχάδις (?), πτακάδις, μιγάδις, ἀμάδις. τὸ ὠμαδίς ὀξύνεται καὶ ἴσως ἐκ τοῦ κατωμαδίς ἀφῃρέθη. τὸ οἴκαδις σεσημείωται προπαροξυνόμενον. τὰ δὲ ὑπερτρισύλλαβα ἢ ὅσα μακρᾷ φύσει ἢ θέσει παραλήγεται, πάντα ὀξύνεται, λαθρηδίς, κωπηδίς, αἰφνηδίς, στοιχηδίς, ἀντηδίς, ἀμοιβηδίς· λέγεται καὶ ἀμοιβηδόν, ἐπαμοιβαδίς «ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς» (Od. ε 481), ἐμβολαδίς, κατωμαδίς, ἀμφουδίς, ἐπουδίς, ἀκροπουδίς. Τὰ δὲ τῷ ῡ παραληγόμενα προπαροξύνεται, ἄλλυδις, ἄμυδις Αἰολικὸν ἔχον τὸ πνεῦμα.

* Τὰ εἰς δις ἐπιρρήματα ἔχοντα πρὸ τοῦ δ τὴν αν συλλαβὴν Δώριά ἐστι καὶ παροξύνεται, χαμάνδις, ἀγράνδις, Ὀλυμπιάνδις.

Τὰ εἰς ος ἀπὸ προθέσεως παραχθέντα, εἰ ἔχοι τὸ τ, ὀξύνεται, ἐντός, ἐκτός. τὰ δὲ ἄλλα βαρύνεται, πάρος, ἦμος, τῆμος, ὁπῆμος, τημοῦτος, κῆχος. «ποῖ κῆχος; εἰς οὐρανόν» καὶ Ἀριστοφάνης

λικριφίς: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ «ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς» (Od. ε 481) καὶ οὕτως ἐπεκράτησεν ἡ ἀνάγνωσις. C 506: τὸ ἀμοιβηδίς κατ' ὀξεῖαν τάσιν· εἴρηται δὲ περὶ τῶν εἰς δις ληγόντων ἐπιρρημάτων. Schol. Od. λ 597: τότ' ἀπεστρέψασκε κραταιΐς. ὁ μὲν Ἀρίσταρχος καὶ Ἡρωδιανὸς ὀξυτόνως κατὰ συστολὴν ὡς λικριφίς, ἀμφουδίς ἐπιρρηματικῶς. ὁ δὲ Ἀσκαλωνίτης τὸ πλῆρες κραταιὰ ἴς οἷον ἰσχυρὰ δύναμις, ᾧ ἐπείσθη καὶ ἡ συνήθεια. μ 124: βωστρεῖν δὲ κράταιιν μητέρα τῆς Σκύλλης: ἄμεινον γράφειν κραταιίς ἀντὶ τοῦ ἰσχυρῶς ὡς ἀλλαχοῦ «τότ' ἀποστρέψασκε κραταιίς», ἵνα λέγῃ, κραταιῶς ἐπιβοῶ τὴν μητέρα τῆς Σκύλλης· καὶ ὀξύνεται· ἐὰν δὲ ᾖ κύριον, προπαροξύνεται. Il. Pr. Λ 677: τὸ κραταιις ἐπὶ τοῦ κυρίου βεβαρυτονῆσθαι διὰ τὴν αἰτιατικὴν «βωστρεῖν δὲ κράταιιν»· τάχα δὲ καὶ τοῦτο πρὸς ἀντιδιαστολήν. — l. 1 αὐτονυχίς — l. 4 οὐ μάχεται adieci ex Theogn., item l. 7 ἐσχάδις (pro quo in Bekk. An. 1317 ἐχάδις scriptum est) — ἀμάδις, porro οἴκαδις — προπαροξυνόμενον cf. Ahrens de dial. Dor. 373. — l. 11 ἀντηδίς recepi ex Theogn., ex quo etiam ad ἀμοιβαδίς addidi λέγεται καὶ ἀμοιβηδόν. — ἐπαμοιβαδίς adieci ex Il. Pr. Ξ 463, ἀμφουδίς — ἀκροπουδίς ex Theogn., apud quem oxytona sunt, pariter atque in Schol. Od. λ 597 ἀμφουδίς acuitur et diserte praescribitur in Schol. ad Od. ρ 237: τὸ ἀμφουδίς ὀξύνεται ὡς λικριφίς, quare etiam in Mon. 46, 15 ἀμφουδίς pro ἄμφουδις scribendum arbitror: ἄμφουδις: οὐδὲν εἰς δις λῆγον ἐπίρρημα τῇ ου διφθόγγῳ παραλήγει, ἀλλὰ μόνον τὸ ἄμφουδις, sed in Cathol. videtur duo huic ἀμφουδίς assimilata ἐπουδίς (Theogn. ἐπιουδίς) ἀκροπουδίς adnexuisse. — l. 14 Αἰολικὸν ἔχον τὸ πνεῦμα addit Theogn. cf. Il. Pr. Ι 6: Νικίας καὶ Πάμφιλος δασύνουσι τὸ ἅμυδις, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο. ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦσι, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων πολλάκις μετασχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα ἦμαρ, ἡδονὴ ἦδος· πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς «πάντ' ἄμυδις κεφαλῆς» (Il. Μ 385). ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο ὡς ὅτι τὸ ἄλλυδις καὶ ἄμυδις ἐξαιρέτως τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ἢ διὰ τοῦ ῡ ἐξηνέχθησαν. ἐχρῆν οὖν ἀμάδις τι εἶναι ὡς χαμάδις. τροπὴ δὲ τοῦ ᾱ ἐγένετο εἰς τὸ ῡ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. l. 16 canon de adverbiis in ανδις accessit ex Theogn. 163, 31. l. 19 πάρος et ὁπῆμος addidi ex Theogn. 164, 6, κῆχος explevi ex

«ποῖ κῆχοϲ, εὐθὺ Ϲικελίαϲ» καὶ παρὰ Φερεκράτει «ποῖ κῆχοϲ;» τὸ πῇ κῇ· πῇ ἐγγύϲ πῇ ἄγχοϲ, ὅπερ ἐϲτὶν ἐν τῷ ἔναγχοϲ· ἐλλείψει τοῦ γ κῆχοϲ. τὸ δὲ ἔναγχοϲ προπαροξύνεται· τὸ εἰκόϲ ὀξυνόμενον οὐδέτερον ἦν μετοχὴ οὐδετέρου γένουϲ εἰϲ ϲύνταξιν ἐπιρρηματικὴν ἐλθοῦϲα. τὸ γοῦν ἔνδοϲ, ἔξοϲ βαρύτονα Δώρια.

Τὰ εἰϲ υϲ ϲυϲτελλόμενον ἔχοντα τὸ ῠ ὀξύνεϲθαι θέλει, πλὴν εἰ μὴ τριϲύλλαβα ὄντα ἀπὸ προθέϲεωϲ ἄρχοιτο, ἐγγύϲ, εὐθύϲ, ἰθύϲ, μεϲϲηγύϲ, ἃ εἰ λέγοιτο ἄνευ τοῦ ϲ̄ ἰϲόχρονα λέγεται ἰθύ εὐθύ μεϲϲηγύ. τὸ δὲ ἄντικρυϲ καὶ ϲύνεγγυϲ πρόθεϲιν ἔχει. τὸ ἀντικρύ ὀξυνόμενον ἐκτείνει τὸ ῡ. τὸ ἀλλῦϲ μακρὸν ἔχον τὸ ῡ περιϲπᾶται.

Τὰ εἰϲ χωϲ ἐπὶ ποϲότητοϲ περιϲπᾶϲθαι θέλει, διχῶϲ, τριχῶϲ, τετραχῶϲ, ἑξαχῶϲ, ἑπταχῶϲ, ποϲαχῶϲ. τὸ ἐξόχωϲ, ἡϲύχωϲ βαρύνεται· ἀπὸ ὀνομάτων γάρ.

Τὰ καλούμενα τῆϲ μεϲότητοϲ ἀπὸ γενικῶν πληθυντικῶν γενόμενα καὶ τὸν αὐτὸν τόνον αὐταῖϲ ἔχει, εἴτε παρ' ὀνόματα γένοιτο εἴτε παρὰ μετοχάϲ, εἴτε παρ' ἀντωνυμίαϲ, κούφων κούφωϲ, βαρέων βαρέωϲ, καλῶν δὲ καλῶϲ περιϲπωμένωϲ καὶ ϲεμνῶν ϲεμνῶϲ ἀϲέμνων ἀϲέμνωϲ, καὶ τὰ παρὰ τὸ πᾶϲ δὲ καὶ μέγαϲ πάντων μεγάλων ὁμοίωϲ πάντωϲ, μεγάλωϲ ὡϲ καὶ ἐξόχων ἐξόχωϲ καὶ ἡϲύχων ἡϲύχωϲ. τὸ

Herodian. περὶ παθῶν in E. M. 682, 52. Apollon. de adv. 596, 5 seqq. ἐναγχόϲ scribendum dicit, quum ab ἀγχόϲ metaplasmo adverbii ἀγχοῦ existat praepositione per abundantiam ut in ἐναντίοϲ addita, qua re accentus non mutetur. Eundem accentum tribuit Apollon. adverbio κηγχόϲ nullis nisi anaphoricis barytonesin concedens. l. 3 τὸ εἰκόϲ usque ad finem ex Theogn. accesserunt.
l. 8 ἃ εἰ — μεϲϲηγύ apposui ex Dichr. 301: τὰ εἰϲ υϲ ἐπιρρήματα εἰ λέγοιτο ἄνευ τοῦ ϲ̄ ἰϲόχρονα λέγεται, μεϲϲηγύϲ μεϲϲηγύ. ἄντικρυϲ μεταβαλὸν τὸν τόνον μετέβαλε καὶ τὸν χρόνον. — l. 9 τὸ ἀντικρύ — τὸ ῡ ex Theogn. apposui. cf. Il. Pr. Ε 100: ἀντικρύ: ὀξύνεται καὶ ἐκτείνεται· ὅταν δὲ ἔχῃ τὸ ϲ̄, ϲυϲτέλλεται καὶ βαρύνεται· τὸ δὲ αἴτιον ἐν τῷ περὶ ἐπιρρήματοϲ ἐροῦμεν. v. 130: ἐνθάδε βούλονται τοῦ ἀντικρύ τὴν τελευταίαν ϲυϲτέλλειν διὰ τὸ μέτρον. In E. M. 114, 33, An. Ox. II 339, 26 — τὰ εἰϲ ῡ λήγοντα ἐπιρρήματα ϲυϲτέλλουϲι τὸ ῡ, μεταξύ, μεϲϲηγύ χωρὶϲ τοῦ ἀντικρύ. ὤφειλεν εἶναι ἄντικρυ. ἀλλὰ τὰ εἰϲ ϲ̄ λήγοντα ἐπιρρήματα, εἰ μὲν φυλάττει τὸ αὐτὸ ϲημαινόμενον, καὶ τὸν αὐτὸν τόνον φυλάττει οἷον οὕτωϲ οὕτω, μέχριϲ μέχρι· ἐπεὶ οὖν τοῦτο οὐκ ἐφύλαξε τὸ αὐτὸ ϲημαινόμενον τῷ ἄντικρυϲ, οὔτε τὸν τόνον ἐδέξατο — causa, cur ἄντικρυϲ et ἀντικρύ accentu differant, in diversa significatione posita esse existimatur pariter atque ap. Ammon. de diff. 17, 3; sed haec ratio ab Herodiano aliena est, quippe qui propter quantitatis mutationem etiam accentum mutatum esse iudicaverit. — In fine τὸ δὲ ἀλλῦϲ ab omni parte dubium (cf. Ahrens de dial. Dor. 368) ex Theogn. apposui. — l. 12 ἑξαχῶϲ — ποϲαχῶϲ accesserunt ex Theogn. 164, 22, de his cf. Apoll. de adv. 585, 27; de ἡϲύχωϲ Apoll. 587, 10 quin ϲυνεκδρομῇ τῶν εἰϲ χωϲ ληγόντων ἐπιρρημάτων circumflectatur pariter atque ἡϲυχῇ ad analogiam adverbiorum διχῇ et τριχῇ accommodetur, nihil obstare pronunciat atque de ἡϲυχῇ assentientem habet Herodianum; fortasse etiam de ἡϲυχῶϲ, quum ab epitomatorum consuetudine non abhorreat alteram ab Herodiano propositarum sententiarum omittere.

l. 18 pro Io. Alex. verbis καὶ τὰ παρὰ τὸ ἄναξ δὲ ἀνάκτων ὁμοίωϲ ἀνάκτωϲ scripsi τὰ παρὰ τὸ πᾶϲ δὲ καὶ μέγαϲ κτλ. consulto Apollonio p. 581, qui haec exempla profert. Nam articulus pluralis τὰ indicat hic plura exempla proposita esse et probabile est Herodianum etiam exempla eiusmodi adverbiorum attulisse, quorum adiectiva in genetivo plurali abnormem accentum haberent ad demonstrandum hunc accentum etiam in adverbiis retineri. Caeterum ἀνάκτωϲ ignotum est, ἀνακῶϲ reperitur. — l. 19 pro τὸ δὲ αὐταρκῶϲ, εὐωδῶϲ περιϲπᾷ Ἡρωδιανόϲ

δὲ αὐτάρκως, εὐώδως τῷ μὲν λόγῳ περισπασθήσεται, ἐπεὶ καὶ αἱ γενικαὶ αὐτῶν, ὁ δὲ Ἀρίσταρχος βαρύνει. καὶ τὴν κακοήθων γενικὴν καὶ αὐθάδων βαρύνειν μεμελετήκασι παραλόγως, αἷς συμβαρύνουσι καὶ τὰ ἐπιρρήματα, κακοήθως, αὐθάδως. ὁ δὲ Ἀρίσταρχος καὶ τὸ νοσώδων ἐβάρυνεν ἀλόγως. καὶ ἀπὸ μετοχῶν, ἀγαπώντων ἀγαπώντως, ἐπαρκούντων ἐπαρκούντως, προσηκόντων προσηκόντως. παρὰ τὸ ζάφελος προπαροξυνόμενον ὀφείλει καὶ τὸ ζαφελῶς ἐπίρρημα βαρύνεσθαι, ὡς ἀπὸ τοῦ ζάθεος ζαθέως· οὐ γάρ ἐστι παρὰ τῷ ποιητῇ ζαφελής. περιεσπάσθη δὲ τὸ ζαφελῶς, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιρρήματα παραληγόμενα τῷ ε̄ ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶς, ἐπιμελῶς, ἀμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται «ὡς ἐπὶ τὸ πλεῖστον» διὰ τὸ εὐτραπέλως, ἰκέλως. τὸ νουνεχόντως ἀπὸ δύο κατὰ διάστασιν λέξεων παρήχθη, τῆς νοῦν καὶ τῆς ἐχόντων. τὸ ἕως καὶ ἀνταποδοτικὸν τὸ τέως πρωτότυπά ἐστι καὶ οὐχ ὡς τὰ λοιπὰ παρῆκται. τὸ ὥς παρ' εὐθεῖαν γέγονε τὸ ὅς, ὅθεν καὶ ὀξύνεται καὶ συνετέθη καθώς. καὶ τὸ οὕτως καὶ τὸ αὕτως βαρύνεται. οὐκ ἔστι δὲ τὸ οὕτως ἀπὸ τῆς γενικῆς, ἀλλ' ἀπὸ εὐθείας γίνεται. εἰ γὰρ ἀπὸ γενικῆς, ὤφειλεν εἶναι τούτως. καὶ ὅτε μὲν ἐπιφέρεται σύμφωνον, ἐξέρχεται τὸ ς̄. ὅτε δὲ φωνῆεν, φυλάττεται τὸ ς̄. ἔστι δὲ οὕτως ἀναλογώτερον τοῦ οὕτω· ἐπειδὴ τὰ ἀπὸ τριγενῶν ὀνομάτων γινόμενα μεσότητος ἐπιρρήματα εἰς ως λήγειν ὀφείλει· ὅταν δὲ μὴ τριγενῆ ᾖ, εἰς ω λήγει, κύκλος κύκλῳ. ἴδωμεν οὖν, εἰ τοῦτο τριγενές. οὗτος αὕτη τοῦτο. οὕτως ἄρα τὸ ἀνάλογον. τὸ δὲ οὕτω ἀπὸ τοῦ οὕτως γέγονε κατ' ἀποβολὴν τοῦ ς̄.

---

posui quae Herodianus docuisse putandus est collato Io. Al. 19, 15 seqq. et Arcadio 136, 21 seqq. cf. Lehrs Arist. 254 ed. II. Parum accurate de his E. M. 171, 38: τέσσαρά εἰσιν ἐπιρρήματα παραλαμβανόμενα βαρύτονα· συμπερισπᾶσθαι γὰρ ἔδει τῇ γενικῇ τῶν πληθυντικῶν, αὐτάρκως, αὐθάδως, νοσώδως, κακοήθως.

l. 7 pro δείκνυσι δὲ Ἡρωδιανός, ὡς ὅτι κατὰ συνεκδρομὴν τοῦ ἀμελῶς καὶ ἐντελῶς περιεσπάσθη τὸ ζαφελῶς substitui quae praebet Il. Pr. I 516 ζαφελῶς: ὡς χαλεπῶς. παρέλκει δὲ πάλιν ἡ ἐπί. ἐχρῆν δέ, ἐπεὶ παρὰ τὸ ζάφελος γέγονε, καὶ ζαφέλως ἡμᾶς ἀνεγνωκέναι βαρυτόνως, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέρεσθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τούτῳ, ὡς τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάθεος, ζάκοτος· οὕτως ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λως κτλ. — l. 12 de νουνεχόντως cf. Apoll. de adv. 587, 15, E. M. 606, 35 νουνεχόντως ὑφ' ἓν ἀναγνωστέον. πολλάκις γὰρ ἀπὸ δύο διεστώτων μερῶν τοῦ λόγου γίνεται ἑνότης οἷον Ἄρειος πάγος Ἀρειοπαγίτης, Νέα πόλις Νεαπολίτης· τὸ αὐτό ταὐτότης. οὕτω νοῦν ἔχων σύνθετον νουνεχόντως. — l. 15 annotationem de ὡς et καθώς praeposui praecepto de οὕτως. — l. 16—24 sumpta sunt ex Herodian. in E. M. 643, 33, Cod. Par. 2720 in An. Paris. IV 13 omissis post τούτως l. 18 verbis ἐκ τοῦ εἰπεῖν καὶ τὸν τεχνικὸν «τὸ δὲ ὡς ὀξύνεται, ἐπεὶ ἀπὸ τοῦ ὅς γέγονεν ὡς τὸ οὕτως ἀπὸ τοῦ οὗτος». — In Ep. Cr. I 307, 1 altera etiam causa additur: δεύτερος δὲ ὁ λόγος, ὅτι τὰ εἰς ω̄ λήγοντα ἐπιρρήματα οὐδέποτε φύσει μακρᾷ παραλήγονται οἷον ἄνω κάτω πρόσω ἔξω, ἄφνω πλὴν τοῦ εἴσω. οὕτως ἄρα τὸ οὕτω κατὰ πάθος. Lob. El. II 213 seqq. ut τῶ ex τῷ, ἤ ex ᾗ orta sint, sic οὕτω ex τούτῳ effictum esse coniicit. — De adverbiis in ως̄ cf. etiam Il. Pr. Θ 355: ἀνεκτῶς: ὡς ἀνδρικῶς Ἀρίσταρχος περισπᾷ· λέλεκται δὲ ἡμῖν περὶ τῆς προσῳδίας, ὁπότε διελάβομεν περὶ τοῦ «ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐκέτ' ἀνεκτά» (Il. A 573). Caeterum

Τὰ εἰς ω̅ς μέγα ἐπιρρήματα ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπῶνται ἀληθῶς, ἀψευδῶς πλὴν τοῦ ὥς. Δωριεῖς δὲ τὰ ἀπὸ τῶν εἰς ο̆ς ὀξυτόνων ἐπιρρήματα ὀξύνουσι σοφός σοφώς, καλός καλώς.

Περὶ συνδέσμων.

Πᾶς σύνδεσμος μονοσύλλαβος μὴ ἔχων φύσει μακρὰν ὀξύνεται, γάρ, τάρ, ἄρ, ῥά, δέ, τέ, μέν, κέν, ἄν, πέρ.

Οἱ δὲ εἰς ᾱ λήγοντες καὶ ὑπὲρ μίαν συλλαβὴν ὄντες πάντες βαρύνονται, ὡς ἔχει τὸ ἆρα, ὅτε διαπορητικός ἐστι, ἐκτείνων τὸ πρῶτον ᾱ, καὶ ὁ συλλογιστὸς καὶ παραπληρωματικὸς ἑκάτερον συστέλλων. τοιοῦτος καὶ ὁ κᾶτα μακρὸν ἔχων τὸ ᾱ τὸ πρῶτον, ὄφρα, ἵνα, ἔμπα, ἕνεκα, οὕνεκα, δῆτα. ὅθεν σημειούμεθα τὸν ἀλλά ὀξυνόμενον. καθόλου γὰρ οἱ συμπλεκτικοὶ ὀξύνονται, μέν, δέ, τέ, καί, ἠμέν, ἠδέ, ἀτάρ, αὐτάρ· οὕτως οὖν καὶ ὁ ἀλλά. σημειούμεθα ἐν τοῖς συμπλεκτικοῖς τὸν ἦτοι βαρυνόμενον, ὃς οὐ μόνον συμπλεκτικός ἐστιν, ἀλλὰ καὶ διαζευκτικός οἷον «ἦτοι ἄξιον ἢ οὐκ ἄξιον».

Πᾶς σύνδεσμος εἰς ς̆ λήγων μακροκατάληκτος βαρύνεται, εἰσὶ δὲ

---

attendendum est Herodianum id discrimen, quod Ammon. p. 26, E. M. 162, 54, Bekk. An. 459, 11 inter ἀτέχνως et ἀτεχνῶς statuunt, non agnovisse videri.
l. 1 τὰ εἰς ω̅ς — πλὴν τοῦ ὥς sunt ex Arcad. 182, 16 recepta, reliqua de Doriensium oxytonesi ex Theogn. 164, 18. De re cf. Mon. 25, 29 οὐδὲν εἰς ω̅ς λῆγον ἐπίρρημα ὀξυνόμενον, ὑπεσταλμένης Δωρίδος διαλέκτου. Apoll. de adv. 580, 33 παρὰ Δωριεῦσιν ἔνια (sc. εἰς ως) ὀξύνεται, ὅτε (pro ὥστε Ahrens) κατ' ἔγκλισιν ἀνεγνώσθη. ἦ ῥα καλώς ἀποκαθάρασα ἐξελεπύρωσεν. cf. Ahrens de dial. Dor. p. 32 et 33. Doctrinam de coniunctionibus composui ex Io. Alexandrino, quem pro fundamento subieci, et Arcad. et fragm. in Cr. An. Ox. III 280. l. 6 coniunctiones recèpi ex Arc. 184, 16, nam Io. Al. habet tantum μέν, δέ, τέ καὶ τὰ λοιπά. τάρ apposui ex Il. Pr. A 65. l. 8 de ἆρα cf. Apoll. de coniunct. p. 490 seqq. — l. 10 ap. Io. Alex. scriptum est κᾆτα, ap. Arcad. et ap. Cr. κάτα, atque quum Herodianus ῑ subscripti mentionem non faciat productionem syllabae tantum commemorans, existimo eum idem de hac voce iudicasse atque Apollonium, qui quum de coni. 496 seqq. κᾶτα ex καὶ εἶτα altero ῑ eliso ortum putaret, particulae κᾶτα ι subtraxit, de ἕνεκα cf. Apoll. p. 505, de οὕνεκα p. 502, de δῆτα p. 497. — l. 12 καί, ἠμέν, ἠδέ addunt Arcad. et Cr. An. — De αὐτάρ cf. praeter Io. Al. 26, 5 Ep. Cr. I 2, 18 (E. M. 172, 17) ὀξύνεται τὸ ἀτάρ ἢ βαρύνεται; οἱ μὲν ὀξυτόνως ἀνέγνωσαν, ὡς Καλλίμαχος, οἱ δὲ βαρυτόνως λόγῳ τοιῷδε· πᾶσα λέξις εἰς α̅ρ λήγουσα βαρύνεται οἷον ἄφαρ, εἶθαρ, δάμαρ, στέαρ (Choer. 273, 12), οὖθαρ· ῥητέον οὖν ὅτι οὐδεὶς συμπλεκτικὸς σύνδεσμος ἢ βαρύνεται ἢ περισπᾶται, πάντες δὲ ὀξύνονται πλὴν τοῦ ἦτοι. Ibidem quaestio, utrum αὐτάρ an ἀτάρ primitivum sit, solvitur ita: λέγομεν ὅτι κατὰ πλεονασμόν ἐστι τὸ αὐτάρ· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι παρεπόμενόν ἐστι τῇ τοῦ ἐκ τοῦ ᾱ συνεστώσῃ διφθόγγῳ μετὰ τὴν ἀπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος ἐκτείνειν τὸ ᾱ οἷον κλαίω κλάω, αἰετός ἀετός. εἴπερ οὖν καὶ ὁ αὐτάρ σύνδεσμος ἔνδειαν εἶχεν τοῦ ῡ ἐν τῷ ἀτάρ, παρείπετο ἂν καὶ ἡ τοῦ ᾱ ἐπέκτασις. p. 67, 15 Τυραννίων ἄταρ ἀναγινώσκει, ἐπεὶ οὐδὲν εἰς ρ̅ λῆγον ὑπὲρ μίαν συλλαβὴν βραχυκατάληκτον ὀξύνεται, στέαρ, θέναρ, κέαρ, φρέαρ, νέκταρ, ὡσαύτως τὸ πατήρ ὅτε συστέλλεται ἐπὶ τέλους, βαρύνεται, πάτερ, ὁμοίως ἀνήρ ἄνερ, δαήρ δᾶερ· ἀντέπιπτε μὲν ἡ ὑπὲρ πρόθεσις, εἰ μὴ κατώρθωτο τὸ πᾶσαν ὀξύνεσθαι πρόθεσιν. cf. Choer. 432, 7. — l. 14 de ἦτοι cf. Eustath. 1404, 32 et 50, 10. l. 15 οἷον — ἄξιον ex Cr. An. accesserunt.

σπάνιοι, ὅπως, ἔμπης, ὅμως ὅτε σύνδεσμος, ὅτε δὲ ἐπίρρημα, περισπᾶται ὁμῶς ὡς σαφῶς.

Καὶ οἱ παραπληρωματικοὶ πάντες ὀξύνονται, δή, θήν, νύ, τάρ, ἄρ, ῥά, τοί, γέ, πέρ, ἄν, κέν, μήν. Ὁ δὲ αὖ καὶ ὁ οὖν περιεσπάσθησαν διὰ τὸ τὴν εἰς ῡ λήγουσαν δίφθογγον ἀποστρέφεσθαι τὴν ὀξεῖαν, ὡς πολλάκις εἴπομεν.

Πᾶς αἰτιολογικὸς σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, οὕνεκα, ἕνεκα, ὄφρα, ἵνα, ὅτι, χάριν, δηλοῖ γὰρ οὐκ ὄνομα μόνον, ἀλλὰ καὶ σύνδεσμον αἰτιολογικὸν «χάριν Δίωνος» ἀντὶ τοῦ ἕνεκα Δίωνος.

Ὁ εἰ συναπτικὸς καὶ ὁ ἐπεί παρασυναπτικὸς συνεστηκὸς παρὰ τὴν ἐπί πρόθεσιν καὶ τὸν εἰ σύνδεσμον συναπτικὸν ὀξύνονται· τούτῳ ἠκολούθησε καὶ ὁ ἐάν, ὅτι καὶ αὐτὸς σύνδεσμός ἐστιν ἀπὸ τοῦ εἰ συναπτικοῦ συνδέσμου καὶ τοῦ ἄν παραπληρωματικοῦ. ὁμοίως καὶ ὁ ἤν καὶ ὁ ἐπήν καὶ ὁ ἐπεάν καὶ ὁ μήν· ἔτι δὲ καὶ ὁ ἀλλαμήν εἴτε δύο λέξεις εἶεν εἴτε μία, ὀξύνεται. ὁ εἰδή καὶ ἐπειδή δύο μέρη λόγου ἐστὶν ὀξυνόμενα. ὁμοίως καὶ ὁ εἴπερ καὶ ὁ ἐπείπερ καὶ ἐπειδήπερ. ἀλλ' ἐπειδὴ ἐγκλιτικός ἐστιν ὁ πέρ, ἐγείρει τὴν πρὸ αὐτοῦ βαρεῖαν εἰς ὀξεῖαν ὡς ὁ κέ ἐν εἴκε, αἴκε.

Πᾶς σύνδεσμος δίφθογγον ἔχων τὴν διὰ τοῦ ῑ ὀξύνεται, τοί, δαί, εἰ.

Ὁ μῶν παρ' Ἀθηναίοις διαπορητικὸς ὢν περισπᾶται· ἀπὸ γὰρ τοῦ μὴ καὶ τοῦ οὖν σύγκειται, Δωρικώτερον τραπείσης τῆς ο̅υ̅ διφθόγγου εἰς τὸ ω̅, τὴν δὲ οὖν εἴπομεν περισπᾶσθαι. Οὕτως δὲ καὶ ὁ οὖν συντασσόμενος τῇ οὐ ἀποφάσει ἐν τῷ οὔκουν, ὅτε μὲν παραπληροῖ, ὀξύνει τὴν οὐ ἀπόφασιν οὔκουν ὡς εὔρουν· ὅτε δὲ τὴν ἰδίαν ἔχει δύναμιν, τουτέστιν συλλογιστικός ἐστι, φυλάττει τὴν ἰδίαν περισπωμένην, ὡς χρυσοῦν, οὕτως καὶ οὐκοῦν.

Ὁ ἤ ὀξύνεται ἢ περισπᾶται. διαζευκτικὸς μὲν οὖν ὑπάρχων ἤ

---

l. 1 ἕως, quod post ὅπως habet Io. Al., sed abest ab Arcadio, eieci, quia ἕως Herodiano (cf. Io. Al. 39, 25) adverbium temporale est. — de ὅμως cf. Schol. ad Od. λ 565: ἔνθα χ' ὁμῶς: περισπαστέον· ἐπίρρημα γάρ. τῷ συνδέσμῳ οὐ χρῆται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ἔμπης. διὸ καὶ τὸ «ὅμως δ' οὐ λήθετο χάρμης» (M 393) οἱ πλείους περισπῶσιν cf. Il. Pr. O 209, Lehrs de Arist. p. 156[2] seqq. l. 3 Io. Al. δή, ῥά, θήν, πέρ, κέν καὶ οἱ λοιποί, reliquas coniunctiones ex Arc. et Cr. addidi, τάρ ex Il. Pr. l. c. — coniunctionibus expletivis particulas πως πω πῃ ποθι adnumerare Herodianum falso refert Charax in Bekk. An. 1155. l. 7 exscripsit hunc locum Epim. An. Ox. II 367, 27 cf. Apoll. de coni. 514. l. 8 ὄφρα et ἵνα apposui ex Cr., ἵνα ap. Arc. deest. l. 10 de εἰ cf. Io. Al. 32, 15, Lehrs quaest. ep. 98 not. l. 11 τούτῳ — παραπληρωματικοῦ l. 13 inserui ex Cr. 280, 25. — l. 14 ἐπήν scripsi pro ἐμπλήν, quod sive πλησίον sive χωρίς significat, Herodianus pro adverbio habuit et in proxima ultimae acuit cf. Io. Al. 37, 35. l. 21 de μῶν cf. Apoll. de coni. 494 et 496. l. 25 de οὔκουν cf. Ep. Cr. II 395, 27: οὔκουν ἐστὶν ἐπίρρημα ἀρνήσεως ἀντὶ τοῦ οὐδαμῶς. τὸ δὲ οὐκοῦν ἐστιν σύνδεσμος συλλογιστικός. οὕτως Ἡρωδιανός. Apoll. de coni. 496. l. 28 de ἤ coniunctione ex Catholica, ut videtur, servatum est fragmentum valde decurtatum et depravatum in E. M. 415, 15: τὸν η̅ σύνδεσμον ἓξ διαφόρως σημαίνειν φησὶν Ἡρωδιανὸς περισπώμενον

παραδιαζευκτικὸς ἢ διασαφητικὸς ὀξύνεται πάντως· εἰ δὲ καὶ πλεονάζει τὸ ε̄, ἐπὶ τέλους ἔχει τὴν ὀξεῖαν. διαζευκτικὸς μὲν «ἢ νύξ ἐστιν ἢ ἡμέρα»· τὸ γὰρ ἕτερον ἀληθές, τὸ δὲ ἕτερον ψευδές. καὶ τὸ

Αἰδώς, Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν» (Ο 502 et 503).

παραδιαζευκτικὸς δὲ «Φαίδων ἢ περὶ ψυχῆς» «ἢ νέος ἠὲ παλαιός» (Ξ 108)· ἢ γὰρ τὸ ἓν ἢ καὶ τὸ ἕτερον ἢ καὶ ἀμφότερα· ἡ γὰρ τῶν διαζευκτικῶν δύναμις τοιαύτη ἐστί. διασαφητικὸς δὲ «πλουτεῖν ἢ πένεσθαι» ὃς καὶ τὸ περ λαμβάνει, ἤπερ πένεσθαι.

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι (Α 117).

διασαφεῖ γὰρ τὸ ἕτερον, ὅπερ αἱρεῖται.

Ἡνίκα εὑρέθη διαπόρησις μετὰ διαζεύξεως, τότε τὸν μὲν πρῶτον η̄ ὀξυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον οἷον

ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα (Od. λ 172).

ἐναντία γὰρ ταῦτα μαχόμενα καὶ ἅμα εἶναι οὐ δυνάμενα. καὶ διὰ τοῦτο ἐρώτησις καὶ ἀπορία μετὰ διαζεύξεως. τοιοῦτό ἐστι καὶ τὸ

τρία καὶ βαρυνόμενον (i. e. ὀξυνόμενον) τρία. περισπώμενος μὲν γάρ ἐστι παραπληρωματικός (sed Herodianus ἤ hoc intellectu in τί ἤ acuendum esse praescribit, in ἐπεὶ ἤ vero ei ἤ non παραπληρωματικόν, sed significativum fuit cf. Lehrs quaest. ep. 63 not.), βεβαιωτικός, διαπορητικός. βαρυνόμενος δέ ἐστι διαζευκτικός, παραδιαζευκτικός, διασαφητικός· ὁ μὲν διαζευκτικὸς οὕτως «ἢ ἡμέρα ἐστὶν ἢ νύξ». ὁ δὲ παραδιαζευκτικὸς κεῖται ἀντὶ τοῦ καί ὡς παρὰ Πλάτωνι «Μίνως ἢ περὶ νόμων» ἀντὶ τοῦ καὶ περὶ νόμων (cf. Apoll. de coni. 485, 15). τὸ δὲ «βούλομαι πλουτεῖν ἢ πένεσθαι» (cf. Apoll. p. 487, 25) τοῦ διασαφητικοῦ ἐστιν. ἔθος δὲ τοῖς διασαφητικοῖς συνδέσμοις δύο πραγμάτων τοῦ μὲν ἑνὸς ποιεῖσθαι αἵρεσιν, τοῦ δὲ ἑτέρου ἀποβολήν. καὶ ἀποβολὴ μὲν ὡς τὸ «βούλομαι ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι» (Α 117), αἵρεσις δὲ ὡς τὸ «ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς τύχης». Caeterum cf. cum hoc fragmento Cr. Epim. I 188 seqq., ubi ex posteriorum more pro παραδιαζευκτικὸς positum est ὑποδιαζευκτικός (cf. Lehrs qu. ep. 51) et An. Paris. III 302 ubi ὁρκικὸν ὡς Ἡρωδιανός φησιν «ἠμέν μοι» (Α 77) non de ἤ, sed de ἠμέν i. q. ἠμήν intellegendum est. l. 2 de ἤ διαζευκτικῷ his locis Herod. agit: Il. Pr. Ε 812: ἤ νύ σε: ὁ ἤ ὀξύνεται· διαζευκτικὸς γάρ. Κ 174: ἤ: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον. διαζευκτικοὶ γάρ εἰσιν. Ε 885. 887: ἤ — ἤ: διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικὰ χωρὶς εἰ μὴ ὁ δεύτερος βεβαιωτικός. καὶ γὰρ τοῦτο μᾶλλον αἰτεῖ ἡ διάνοια. Ζ 439: ἤ — ἤ: διὰ τὸ πού καὶ νύ τὸν ἤ ὀξυτονητέον, ὃς δύναται εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικός. Schol. ad Od. ι 273: νήπιός εἰς, ὦ ξεῖνε, ἢ τηλόθεν εἰλήλουθας: βαρυντέον τὸν ἤ. διαζευκτικὸς γάρ ἐστι· οὐ γὰρ ἐρωτᾷ, ἀλλ' ἀποφαίνεται, ὅτι δι' ἀφροσύνην ἢ διὰ ἀπειρίαν ὡς ἂν μακρόθεν ἐληλυθὼς τὰ τῶν Κυκλώπων ἀγνοεῖ. λ 403: ἠὲ περὶ πόλιος μαχεούμενον: ἐνταῦθα διαζευκτικῶς νοεῖται — 459: ἤπου ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ: ὀξυτονητέον τοὺς συνδέσμους. διαζευκτικοὶ (pro διστακτικοὶ) γάρ εἰσιν. cf. β 29 et δ 372. l. 6 de ἤ παραδιαζευκτικῷ cf. Il. Pr. Θ 290: ἢ τρίποδ' ἠὲ δύω ἵππους: παραδιαζευκτικὸς ὁ ἤ ὡς τὸ «ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι» (Od. ε 484) cf. Ο 105 et 106. Schol. ad Od. λ 120: ἠὲ δόλῳ ἢ ἀμφαδόν: οὐ διστάζει, ἀλλ' ὁ ἤ ἀντὶ τοῦ καί. l. 8 de ἤ διασαφητικῷ cf. Schol. ad Od. θ 188: ἢ οἵῳ Φαίηκες: ἤπερ ᾧ Φαίηκες: διασαφητικὸς ὁ η̄. α 165: ἢ ἀφνειότεροι: κοιμιστέον τὸν ἤ. διασαφητικὸς γάρ ἐστιν ἀντὶ τοῦ ἤπερ, οὐ διαζευκτικός. εὔξονται γὰρ μᾶλλον ταχεῖς εἶναι ἤπερ πλούσιοι.

l. 12 pro οὗτος ὁ διαζευκτικὸς μετὰ διαπορήσεως προφερόμενος τὸν δεύτερον ἐρωτηματικὸν ὄντα πάντως περισπᾷ (pro περισπῶσιν) οἷον κτλ. quae ab epitomatore perversa esse docet Lehrs. qu. ep. 52, posui ἡνίκα εὑρέθη διαπόρησις μετὰ διαζεύξεως ex Arc. 185, 9 coll. cod. Barocc. et τὸν μὲν πρῶτον ὀξυτονητέον — περισπαστέον ex Il. Pr. Π 436. l. 15 pro διὰ τοῦτο διάζευξιν μετ' ἐρωτή-

ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐςςι (α 175).

διαζευκτικῆς οὖν οὔςης τῆς τάξεως τῶν διαπορητικῶν, ὁ μὲν πρότερος ὀξύνεται, ὁ δὲ δεύτερος περιςπᾶται. οὗτος δὲ ὁ περιςπώμενος, ἐὰν προςλάβῃ τὸ ε̄, φυλάττει τὴν περιςπωμένην, οἷόν ἐςτιν·

ἦ ὅγε φάςγανον ὀξὺ ἐρυςςάμενος παρὰ μηροῦ
τοὺς μὲν ἀναςτήςειεν, ὁ δ' Ἀτρείδην ἐναρίζοι,
ἦε χόλον παύςειεν ἐρητύςειέ τε θυμόν (Α 190—192).

τὸν μὲν πρότερον cύνδεςμον βαρυτονητέον, τὸν δὲ δεύτερον περιςπαςτέον. διαπορητικὴ γάρ ἐςτιν ἡ cύνταξις.

Ὅτε δὲ μόνως ἐρωτηματικός ἐςτιν ὁ ἦ χωρὶς διαζεύξεως, κἂν ἅπαξ κἂν πολλάκις παραληφθῇ, περιςπᾶται, μὴ οὔςης τῆς ἐρωτήςεως ἐν διαζεύξει. ἔν μὲν γὰρ τῷ «ἢ δολιχὴ νοῦςος ἢ Ἄρτεμις ἰοχέαιρα» διαζευκτικὸν τὸ αἰφνιδίως τελευτῆςαι τοῦ μακροχρονεῖν. ὅθεν ὁ πρῶτος ἐγκλίνεται, ὁ δὲ δεύτερος περιςπᾶται. ἐν μέντοι τοῖς ὑποκειμένοις ἔπεςι πάντες περιςπῶνται ἐρωτηματικοὶ ὄντες, οὐκ ἐν διαζεύξει·

ἦέ τι Μυρμιδόνεςςι πιφαύςκεαι ἦ ἐμοὶ αὐτῷ;

ἦ τῷ Ἀχιλλεῖ ἦ τοῖς Μυρμιδόςιν, ἀντὶ τοῦ τούτῳ κἀκείνοις.

ςεως καὶ ἀπορίας posui ex Herodiani sententia, quae scripsi. l. 2 pro διαζευκτικοί emendavit Lehrs. l. c. διαζευκτικῆς. — De re cf. Il. Pr. Α 190: ἦ — ἦε: τὸν μὲν πρότερον cύνδεςμον βαρυτονητέον, τὸν δὲ δεύτερον περιςπαςτέον, διαπορητικὴ γάρ ἐςτιν ἡ cύνταξις. καὶ οὕτως ἐν τῇ καθόλου. Γ 239 et 240: ἠ — ἦ: ὁ μὲν πρῶτος ἢ cύνδεςμος βαρύνεται, ὁ δὲ δεύτερος περιςπᾶται, ἵνα τοιαύτη ἡ φράςις γένηται, ἦ οὐκ ἠκολούθηςαν ἢ ἠκολούθηςαν μὲν οὐκ ἐθέλουςι δὲ μάχην καταδύμεναι ἀνδρῶν. Ε 672 et 673: ἤ: ὁ μὲν πρότερος κεῖται ἀντὶ τοῦ πότερον, τὸν δὲ δεύτερον περιςπαςτέον. Κ 505—507: ἠ: διαπορητικὸς ὁ ὕςτερος, διὸ περιςπαςτέος. τὸν δὲ πρῶτον καὶ δεύτερον (qui est ἢ διαζευκτικός) ἐγκλιτέον. cf. Lehrs qu. ep. 55. Π 436: τὸν μὲν πρῶτον ἡ ὀξυτονητέον, τὸν δὲ δεύτερον περιςπαςτέον, ἦ ἤδη χείρεςςι. Χ 246: περιςπαςτέον τὸν ἡ cύνδεςμον: ἀδύνατον γὰρ τῷ ἡ cυνδέςμῳ ἑπόμενον αὐτὸν ὀξύνεςθαι. Schol. ad Od. γ 72: ἤ τι κατὰ πρῆξιν ἤ: ὁ πρῶτος η̄ cύνδεςμος ὀξύνεται διὰ τό τι, ὁ δὲ δεύτερος περιςπᾶται. ἐρωτηματικὸς γάρ. 214: ὁ πρῶτος ἤ ὀξύνεται, ὁ δὲ δεύτερος περιςπᾶται. Ζ 149: θεός νύ τις ἦ βροτός ἐςςι: τὸν η̄ ὁ Ἀςκαλωνίτης περιςπᾷ ἐρωτηματικὸν νομίζων, ὃ καὶ χαριέςτερον. οἱ δὲ ἐνέκλιναν ὡς εἰ ἔλεγεν εἴτε θεὸς εἴτε ἄνθρωπος. 280: ἤ: οὗτος ὀξύνεται, ὁ δὲ ἑξῆς (283) περιςπᾶται. ι 280: ἤ που ἐπ' ἐςχατιῆς ἦ καὶ cχεδόν: περιςπαςτέον τὸν δεύτερον η̄. τινὲς δὲ ὤξυναν. κ 52: ὁ δεύτερος η̄ περιςπαςθήςεται. ο 168: ἠ — ἦ: τὸν δεύτερον περιςπαςτέον ὡς ἐρωτηματικόν. π 95: ἠὲ ἑκὼν ὑποδάμναςαι ἤ cέ γε λαοί: ὁ δεύτερος ἦ περιςπᾶται. ρ 237: τὸ η̄ τὸ δεύτερον περιςπαςτέον. γ 170: ἢ καθύπερθε Χίοιο νεοίμεθα (sequuntur v. 172 ἢ ὑπένερθε Χίοιο): ὁ η̄ δύο τόνω ἐπιδέχεται ἢ περιςπωμένην ἢ βαρεῖαν, ὅπερ κάλλιον. δ 372: (νήπιός εἰς) ἦε ἑκὼν μεθίεις: ἄμεινον κοιμίζειν τοῦ ἠέ τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός· ὅτε γὰρ ἐςτι διαπορητικὸς ὁ η̄, περιςπᾶται ὡς τὸ «ἦε χόλον παύςειεν ἐρητύςειέ τε θυμόν» (Α 192), quo loco sic Herodiani sententiam processisse arbitror: κομίζουςί τινες τοῦ ἠέ τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός· ἄμεινον δὲ ἐκδέχεςθαι διαπορητικόν· ὁ γὰρ διαπορητικὸς η̄ περιςπᾶται ὡς τὸ κτλ. Β 368: ἤ: Πτολεμαῖος περιςπᾷ τὸν η̄, διαπορητικὸν ἐκδεχόμενος· εἰςὶ δὲ οἳ ὀξύνουςιν, ὥςπερ καὶ οἱ περὶ Ἀλεξίωνα, ἐκδεχόμενοι παραδιαζευκτικὸν τὸν ἤ. Ν 308: ἢ ἐπὶ δεξιόφιν παντὸς ςτρατοῦ ἢ ἀνὰ μέςςους ἢ ἐπ' ἀριςτερόφιν: τινὲς τὸν ἡ δεύτερον καὶ τρίτον περιέςπαςαν· διαπορητικὸς γάρ ἐςτιν cf. Lehrs qu. ep. 57. — l. 8 pro Io. Al. verbis διαζευκτικὴ γὰρ ἡ φράςις (μετὰ addit Lehrs) διαπορήςεως. ἀλλ' ὁ δεύτερος προπεριςπᾶται dedi, quae sunt in textu, ex Il. Pr. Α 190, ubi diserte additur: καὶ οὕτως ἐν τῇ καθόλου. potuit etiam dici διαπορητικὴ γὰρ ἡ φράςις μετὰ διαζεύξεως. l. 10 pro μόνος scripsi μόνως — l. 17 ἦ τῷ Ἀχιλλεῖ — κἀκείνοις addidi ex Arc. 185, 14,

ἠέ τιν' ἀγγελίην Φθίης ἐξ ἔκλυες οἶος (Π 12 et 13);
ἦε σύγ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται (Π 17).

Περισπῶσι καὶ τὸν βεβαιωτικόν·

τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
ἦ μοῦνοι φιλέους' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; (Ι 338—341.)

---

ubi ante haec verba versum Homericum excidisse animadvertit Lehrsius p. 58. — De ἦ ἐρωτηματικῷ cf. Ξ 265: ἦ φῂς ὡς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν' περιχώσατο: ὁ Ἀσκαλωνίτης βαρύνει τὸν ῆ. ἄμεινον δὲ περισπᾶν· καὶ γὰρ εἰ διαπορεῖ, οὐκ ἀναγκαῖον ἐγκλίνειν αὐτόν. οὐ γὰρ ἕτερος ἐπιφέρεται περισπώμενος ὡς ἐπὶ τοῦ «ἦ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα». Υ 17: ἦ: ἐρωτηματικὸς ὁ σύνδεσμος καὶ ἅπαξ εἰλημμένος κατὰ μίαν διάνοιαν. διὸ περισπαστέος. τοῦτο δέ φημι πρὸς τὰ τοιαῦτα «ἦ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα», «ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι» (Od. α 175). ἐν γὰρ ταῖς τοιαύταις συντάξεσιν ὁ μὲν πρότερος ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται. Ζ 56: ἦ: περισπαστέον τὸν ἦ. διαπορητικὸς γάρ ἐστιν. Schol. ad Od. δ 29: ἦ ἄλλον: περισπαστέον τὸν ἦ ὡς ἐρωτηματικόν. ζ 110: ἦ ῥ' οἵ γ': ὡς διαπορητικὸν περισπᾶται. 125: ἦ νύ που: ὁ ἦ περισπᾶται. 200: ἦ μή που: περισπᾶται ἡ ῆ. κ 380: ἦ τινά που δόλον ἄλλον ὀΐεαι: περισπαστέον τὸν ῆ. διαπορητικὸς γάρ ἐστιν. Τ 56: τὸν ἦ σύνδεσμον περισπαστέον. ἔστι γὰρ διστακτικὸς ἀρκτικὸς τῆς κλητικῆς ἀνάπαυσιν λαβούσης. cf. Lehrs qu. ep. 53 not. Θ 379: ἦ τις: περισπαστέον τὸν ἦ σύνδεσμον, ἵνα διαπορητικὸς γένηται· καὶ βεβαιωτικὸς δὲ ὢν περισπασθήσεται. Ο 105 et 106: ἔφαμεν τὸν ῆ κατ' ἀρχὴν ὄντα διαπορητικὸν περισπᾶσθαι, ὥσπερ καὶ ἐνθάδε. τοὺς μέντοι ἑξῆς ἐγκλιτέον ἐν τῇ συντάξει. εἰσὶ γὰρ ἤτοι διαζευκτικοὶ ἢ παραδιαζευκτικοὶ ὡς τὸ ἢ ἔπει ἠὲ βίῃ (putat Lehrs ἢ ἔπει ἢ ἔργῳ Λ 504). — Π 12: ἦ: πάντες περιεσπάσθησαν οἱ σύνδεσμοι κατὰ λόγον τῶν ἐρωτηματικῶν. Od. ν 234: ἤ πού τις νήσων εὐδείελος ἠέ τις ἀκτή: ἐνθάδε ὁ ῆ ἐρωτηματικός. διὸ περισπασθήσεται. ἐπὶ δὲ τοῦ Κύκλωπος ἀποφαντικός, διὸ ὀξύνεται cf. Od. ι 273. — Od. β 29: οὗτοι (sc. οἱ σύνδεσμοι ῆ, v. 29) μὲν ἐγκλίνονται διαζευκτικοὶ ὄντες, οἱ δὲ ἑξῆς v. 30 et 32 περισπῶνται· ἐρωτηματικοὶ γάρ. l. 6 verba ἦ μοῦνοι — Ἀτρεΐδαι; addidi monente Lehrsio p. 57 adnot. de ἦ βεβαιωτικῷ cf. Il. Pr. Α 232: ἦ — λωβήσαιο: τὸν ἦ περισπαστέον· βεβαιωτικὸς γάρ ἐστιν. 255: ἦ κεν γηθήσαι Πρίαμος: περισπαστέον τὸν ἦ βεβαιωτικὸς γάρ. 229: ἦ: περισπαστέον τὸν ἡ· κατ' ἀρχὴν γὰρ κεῖται ἰσοδυναμῶν τῷ δή. Β 272: ἦ: τὸν ἦ περισπαστέον· παραλλήλως γὰρ κεῖται τῷ δή, βεβαιωτικὸς ὢν ὁμοίως τῷ «ἦ δὴ λοίγια ἔργα» (Α 573). 291: ὁμοίως τὸν (βεβαιωτικὸν τὸν?) ἦ περισπαστέον. 798: τὸν ἦ περισπαστέον. ἔστι γὰρ βεβαιωτικός. Γ 43: ἦ: περισπαστέον τὸν ἦ. βεβαιωτικὸς γάρ ἐστιν καὶ ἰσοδυναμῶν τῷ δή. 336: ἦ: περισπᾶται ὁ ἡ· βεβαιωτικὸς γάρ. Ε 278: ἦ μάλα: περισπαστέον τὸν ἦ: ἔστι γὰρ μᾶλλον βεβαιωτικός. 800: ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς: τὸν ἦ περισπαστέον· βούλονται γὰρ αὐτὸν ἰσοδυναμεῖν τῷ δή καὶ βεβαιωτικὸν εἶναι. τοιοῦτος γὰρ ὁ κατ' ἀρχὴν ῆ. Η 393: ἦ μήν; περισπᾶται ὁ ἦ. ἰσοδυναμεῖ γὰρ τῷ βεβαιωτικῷ. ὅμοιον δέ ἐστι τὸ «ἦ μὴν καὶ πόνος ἐστίν» (Il. Β 291). Ι 197: ἦ φίλοι ἄνδρες ἱκάνετον ἦ τι μάλα χρεώ: ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον. βεβαιωτικοὶ γάρ. Ο 288: ἦ: διαβεβαιωτικός ἐστι. διὸ περισπαστέον αὐτόν. Ρ 38: περισπαστέον τὸν ἦ βεβαιωτικόν. 143: περισπαστέον τὸν ἦ, εἴτε θαυμαστικῶς εἴτε βεβαιωτικῶς κεῖται. Υ 452: περισπαστέον τὸν ἦ. ἔστι γὰρ βεβαιωτικός, ἴσος τῷ δή. Χ 356: τὸν ἦ σύνδεσμον περισπαστέον. ἔστι γὰρ βεβαιωτικός. Schol. Od. ζ 278: ἦ: βεβαιωτικῶς ἀναγνωστέον. Od. ε 182: ἦ δή: περισπαστέον τὸν ῆ. ἔστι γὰρ βεβαιωτικός. Υ 583: τινὲς τὸ ηδη χρονικὸν ἐκδέχονται καὶ παροξύνουσιν, οὐκ εὖ, ἄμεινον γὰρ περισπᾶν ἐκ παραλλήλου τοῦ συνδέσμου κειμένου. Od. δ 260: χαῖρ' ἐπεὶ ἤδη μοι: ἄμεινον ἤδη χρονικῶς ἐκδέχεσθαι κατ' Ἀρίσταρχον. Κράτης δὲ δύο ποιεῖ ἦ καὶ δή, διὸ καὶ περισπᾷ τὸ ῆ. οὐδέποτε δὲ ὁ ἦ ὢν βεβαιωτικὸς μεταξὺ ὢν τοῦ ἐπεί καὶ τοῦ δή εὑρέθη. Ω 72: ἦ γὰρ οἱ αἰεὶ μήτηρ παρμέμβλωκεν: οὐκ ἀναγκαῖον τὸ ῆ ἄρθρον ἐκδέχεσθαι· ἔθος γὰρ αὐτῷ ἐσθ' ὅτε παραλείπειν τὰ ἄρθρα «ἀλλὰ φίλη μήτηρ» (Il. Φ 276), «μήτηρ μέν τέ μέ φησι» (Od. α 215). σύνδεσμος οὖν ἐστιν βεβαιωτικός. διὸ περισπαστέον. Locis quibusdam interpretatio fluctuabat, utrum

ἐνταῦθα μὲν βεβαιωτικός ἐστιν ὁ ἤ μεθ' ὑπερωτήσεως· ἔστι δὲ καὶ μόνως διαβεβαιωτικὸς χωρὶς ἐρωτήσεως·

ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός (C 12),
ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾷ (Π 745)
ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται (Α 573).

ἀλλὰ κἂν ὑποτάσσηται τῷ ἐπεί διαβεβαιωτικὸς ὤν, ὁμοίως περισπᾶται

ἐπεὶ ἦ φάτ' ἄρ' ἀσφαλές.
ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα (Α 156 et 157)

Ὅτε παραπληροῖ μετὰ τί τὸ πυσματικόν, ὀξύνεται

τί ἤ δὲ σὺ κήδεαι αὔτως
Ἀργείων; (Ζ 55 et 56)
ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός; (Λ 407).

ΠΕΡΙ ΧΡΟΝΩΝ ΤΩΝ ΕΝ ΦΩΝΗΕΣΙ ΚΑΙ ΠΝΕΥΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ κ'.

Περὶ χρόνων.

Τῶν χρόνων οἱ μὲν μακροί, οἱ δὲ βραχεῖς. καὶ μακρὸς χρόνος ἐστὶ φωνήεντος ἔκτασις· βραχὺς δὲ τοὐναντίον, οὗ παραδείγματα πάντα τὰ βραχυκατάληκτα.

σύνδεσμος διαζευκτικὸς an βεβαιωτικὸς sit: Schol. Od. α 60: ἢ καὶ ἔπειτα: οἱ μὲν γράφουσι περισπωμένως, οἱ δὲ ὀξυτόνως· καλῶς δ' ἔχουσιν οἱ δύο, interdum utraque coniunctio coniunctim reperitur: ibid. 325: ἦ μάλα: ὁ μὲν πρῶτος ἤ περισπᾶται, οἱ δὲ ἑξῆς ἅπαντες ἐγκλίνονται, πλὴν τοῦ δευτέρου, ὅς ὀξύνεται διὰ τὸ τινάς. — l. 7 verba incerti auctoris correxit Lehrs qu. ep. 62 pro φατ' et ἐσφαλές scribens φάτ' et ἀσφαλές. — de ἐπεὶ ἤ cf. Il. Pr. Α 156: ἐπεὶ ἦ: περισπαστέον τὸν ἦ· ἔστι γὰρ βεβαιωτικός. Υ 251: περὶ τοῦ ἤ τοῦ ὑποτασσομένου τῷ τί καὶ τῷ ἐπεί ἐδηλώσαμεν ἐν τοῖς πρὸ τούτων ὡς τῷ τί ὑποτασσόμενος μὲν ἐγκλίνεται, τῷ δὲ ἐπεί περισπᾶται. cf. E. M. 356, 19 et 758, 9. l. 14 titulum sumpsi ex conspectu librorum Arcadio praefixo, in cod. C exstat haec inscriptio περὶ τῆς τῶν τόνων εὑρέσεως καὶ τῶν σχημάτων αὐτῶν καὶ περὶ χρόνων καὶ πνευμάτων, in AB omnia haec usque ad finem desunt. Sectionem περὶ τῆς τῶν τόνων εὑρέσεως, quam in Praefatione ab Herodiano non profectam esse demonstrare conatus sum, hic omisi; quae de quantitate et de spiritibus in cod. C tradita sunt, ex vero Herodiano translata sunt. In parte περὶ χρόνων praeter Arcadium adhibui libellum περὶ διχρόνων, qui in iis, quae ap. Arcadium servata sunt, fere congruit, sed multo explicatiora praebet, et continet multa praecepta, quae ap. Arcadium desunt, sed in catholica sine dubio lecta sunt. Quare et eos canones, quos praebet Arcadius, ope libri περὶ διχρόνων explevi et eos, qui ap. Arcadium omissi sunt, ex eodem libro addidi. Perpaucos ex aliis fontibus inserui, omnes autem, qui ap. Arcadium desiderantur, stellula significavi. Praeterea confusum ordinem Arcadii in melius restitui ita, ut canonibus generalibus praemissis speciales canones eo fere ordine subsequi iuberem, qui in totius Catholicae conformatione et adornatione institutus est. l. 17—19 sunt recepta ex Arcad. 190, 18 omissis, quae ibi in fine addita sunt verba τοῦ δὲ μακροῦ χρόνου ταῦτα; nam non solum exempla

Πᾶν δίχρονον ἐκ κράσεως ὂν ἐκτείνεται, ἀέκων ἄκων, κρέαα κρέα, κέραα κέρα· εἰ μέντοι ἀποκοπήν τινα δέξεται τῆς τᾱ συλλαβῆς, τοῦ κέρατα κέρα καὶ κρέατα κρέα συνεσταλμένον ἐστὶ τὸ δίχρονον. Θέτιι Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ (Σ 407), μήτιι μήτι «μήτι δ' ἡνίοχος περιγίγνεται» (Ψ 318), μάστι (Ψ 500), Χίος Χίιος καὶ Χῖος, ἱερεύς ἱρεύς, ἴρηξ, οἱ νέκυες οἱ νέκυς τοὺς νέκυας τοὺς νέκυς «ἐκ δὲ νέκυς οἴκων φόρεον» (Od. ω 417), οἱ βότρυς, ἐρύεσθαι ῥῦσθαι «πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε» (Il. Ο 147), δαινύατο δαινῦτο «τῇ δεκάτῃ δέ κε θάπτομεν δαινῦτό τε λαός» (Ω 665), λελῦτο δὲ γυῖα ἑκάστου» (Od. σ 237), χοᾶ, Ἐρετριᾶ Πειραιᾶ Στειριᾶ, εὐφυᾶ διφυᾶ, εὐκλεᾶ. τὸ μέντοι «ὑπερδέα δῆμον ἔχοντας» (Ρ 330), καὶ «δυσκλέα Ἄργος ἱκέσθαι» (Β 115), καὶ «νηλέα θυμόν» (Γ 229), οὐκ ἔστι κατὰ κρᾶσιν, ἀλλὰ κατὰ ἔνδειαν τοῦ ἑνὸς ε̄.

* Πᾶν δίχρονον ἔχον διπλασιασμὸν ἀμεταβόλου ἐπιφερομένου συστέλλεσθαι θέλει, Πράξιλλα, Τελέσιλλα, ἄμμος, Κόριννα, ἄλλος, γάλλος, θαλλός, θάλλω, πάλλω, ἅλλομαι, ἀγάλλομαι, πυρρός. παραλόγως οὖν ἐκτέτατο τὸ μᾶλλον. τὸ δὲ

ἄλλα, μὴ μεγαλύνεο δακτυλίω πέρι

καὶ

ἄλλαν, μήτι κατ' ἀμμετέραν φρένα

καὶ

ἄβρα δηὖτε πάχῃ σπόλᾳ ἀλλόμαν

κατὰ διάλεκτόν ἐστιν.

* Τὸ ᾱ ἡ στέρησις συστέλλεσθαι θέλει, ἄκακος, ἄσεμνος, ἄφιλος. τὸ γὰρ ἀθάνατος καὶ ἀκάματος ἐξέτειναν τὸ ᾱ διὰ τὰς ἐπαλλήλας τέσσαρας βραχείας, αἵ τινες ἄθετοί εἰσιν εἰς ἡρωϊκὸν μέτρον.

Τὸ ᾰ πρὸ τοῦ β̄ συστέλλεται, ῥάβδος, Λάβδακος, βλάβη, βλάβος, Ἄβυδος, στραβός, Ἄβος, ἁβρός, Ἄβδηρος, Ἀβαρβαρέη, ἐπιγράβδην. οὐ μάχεται τὸ ᾶ βάλε. δύο γὰρ μέρη λόγου εἰσί. τὸ δὲ ἀβάσομεν, ἄναβος κατὰ διάλεκτον ἐγένετο ἐκ τοῦ ἡβήσομεν καὶ ἄνηβος.

Τὸ ᾱ πρὸ τοῦ μ̈ συστέλλεται, ἅμιλλα, ἀμύμων, ἅμα, ἀμύσσω, ἅμαξα, ἀμνός, ἀμάρα, ἄμυστις, ἄμεινον, ἀμίς, ἀμύνω, ἄμα-

---

productarum, sed etiam correptarum vocalium in sequentibus proponuntur.
l. 1 Arcad. 196, 17. ἀέκων — τὸ δίχρονον l. 3 ex Dichr. 282, 4 apposui, ex iisdem Θέτι explevi, μήτι addidi; μάστι — Χῖος ex St. B. 693, 14, praeceptum de Χῖος praebent etiam regulae Prosod. Hermann. 426, 27. — l. 6 τοὺς νέκυς addidi ex Il. Pr. Μ 286, ex quo loco etiam ῥῦσθαι explevi, δαινῦτο et λελῦτο deprompta sunt ex Il. Pr. Ω 665, Χοᾶ — Στειριᾶ ex Dichr. 291, 14, διφυᾶ ex Il. Pr. Θ 441. — De δυσκλέα cf. Il. Pr. Β 115: συσταλτέον τὴν τελευταίαν τοῦ δυσκλέα ὡς ἀμφηρεφέα, ὁμοίως τῷ ἀκλέα ἀνδρῶν. cf. Lob. El. I 264. l. 14 Dichr. 292, 7 coll. Mon. 26, 13. l. 24 Dichr. 295. l. 27 apud Arcadium p. 195, 26 duo canones Dichronorum coniuncti sunt τὸ ᾱ πρὸ τοῦ β̄ ἢ μ̄, quos seiunxi; in priore ex Dichr. 296, 24 addidi βλάβος usque ad finem exceptis Ἄβδηρος — ἐπιγράβδην quae sunt ex Il. Pr. Ω 343; in posteriore apposui ἀμύσσω — ἀμάρα ex Dichr. 297, 4, reliqua usque ad finem ex Mon. 43, 1.

θος. σημειούμεθα τὸ ἀμῶ ῥῆμα ἐκτεινόμενον «εἰς ὥρας ἀμῷεν» (ι 135), ᾧ ἀκόλουθα ῥηματικά «οἱ δ' ὥστ' ἀμητῆρης» (Λ 67), καὶ «ὀλίγος δ' ἀμητὸς ἔην». «ἀμητὸς δ' ὀλίγιστος» (Ι 223). τὸ δὲ ἀμέρα, ἆμος, ἆμαρ διαλέκτῳ κατὰ τροπὴν ἐγένετο.

* Ἡ α̅ρ̅ συλλαβὴ ἄρχουσα ἀσυνάλειπτος οὖσα, ἐπιφερομένου συμφώνου μὴ τοῦ δ̅, συστέλλεσθαι θέλει, ἄρβηλος, ἄρκευθος, ἀρκῶ, ἄρκιον, ἄρτος, ἄρχων, ἀργής, Ἄργυννος. τὸ ἀργός ἐκτεινόμενον ἐκ τοῦ ἀεργός συναληλιμμένον· τὸ δὲ δ̅ ἐφυλαξάμην, ἐπεὶ τὸ μὲν ἄρδις συστέλλεται, τὸ δὲ ἄρδω ἐκτείνεται «τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν» (Aristoph. Eqq. 96, 114). καὶ τὸ ἄρδην δὲ ἐκτείνουσιν.

* Τὸ ᾱ ἐπιφερομένου τοῦ σ̅, ᾧ ὑποτέτακται ἄφωνον, συστέλλεσθαι θέλει, ἄσθμα, ἀσπίς, ἄστυ, Ἀσκληπιός, ἀσχάλλω, ἄσβολος, ἀσκός. οὕτως ἄρα ὀφείλει καὶ τὸ ἀσκήσας καὶ ἀσκηθείς.

* Τὸ ᾱ ἔχον ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ξ̅ ἢ ψ̅ μὴ ἐν ῥηματικῇ κλίσει φιλεῖ συστέλλεσθαι, ἄξων, ἀξίνη, ἀψίς, ἄψεα, Ἄψυρτος, ἀψευδής. τὸ δὲ «ἆξον δὴ ἔγχος Διομήδεος» (Ζ 306), καὶ τὸ κρᾶξον ἐκτεταμένον ἔχουσι τὸ ᾱ, διὸ ἔφην μὴ ἐν ῥηματικῇ κλίσει.

* Τὸ ᾱ πρὸ τοῦ ζ̅ ἐν ὀνόμασι συστέλλεται, γάζα, χάλαζα, ἀζηχές, μαζός· σεσημειωμένου τοῦ μᾶζα καὶ Ἀμαζών καὶ ἀλαζών.

Τὸ ῑ κατ' ἀρχὴν πρὸ τοῦ τ̅ συστέλλεται, ἴτυς, ἰταμός, Ἰταλός, Ἰταμών, ἰτέα. τὸ γὰρ «Ἴτωνά τε» (Β 696) καὶ «ἰτέαι» (κ 510), ποιητικά. τὸ δὲ Ἰτυμονεύς (Λ 671) ἐκτέταται, ὀφείλει δὲ συστέλλεσθαι, διὰ τὸ ῡ. καὶ τὸ ἴτριον ἐκτέταται.

* Τὸ ῑ ἐπιφερομένου ἑνὸς συμφώνου ἁπλοῦ, ὅπερ ἔχει ὑποτασσόμενον ῑ ἢ ῡ, φιλεῖ ἐκτείνεσθαι ὑπεσταλμένων τῶν κατὰ κλίσιν, ἶβις, Ἴβυκος, ἰδίω, ἰθύς, Ἶρις, Ἴλιον, ἰνίον, ἶφι, Ἰτυμονεύς. τὸ δὲ ἴτυς συστέλλει τὸ ῑ. τὸ δὲ ἴθι κλίσις ῥηματική.

* Τὸ ῑ κατ' ἀρχὴν ἐπιφερομένων δύο συμφώνων μὴ κατὰ κλίσιν συστέλλεσθαι θέλει, ἴσχω, ἱστός, ἴκτινος, Ἴσμαρος, ἴφθιμος. ἐφυλαξάμην δὲ κατὰ κλίσιν διὰ τὸ ἵστανον καὶ ἵστην. σεσημείωται τὸ ἴκριον.

* Τὸ ῑ κατ' ἀρχὴν ἔχον τὴν δευτέραν συλλαβὴν ἀρχομένην ἀπὸ

---

l. 5 Dichr. 297, 14 cf. Il. Pr. C 521: ἐκτατέον τὴν πρώτην συλλαβὴν τοῦ ἀρδμός, ἐπεὶ καὶ τὸ ἄρδω ἔχει ἐκτεινόμενον τὸ ᾱ· «τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν». οὐχ ὅσα μέντοι ἐν ῥήμασιν ἔκτασιν ἔχει, καὶ ἐν ὀνόμασιν· παρὰ γὰρ τὸ ἄσσω καὶ κατάσσω καὶ μέλλοντα τὸν ἄξω καὶ προστακτικὸν «ἆξον δὴ ἔγχος Διομήδεος» (Il. Ζ 306) ἡ ἀξίνη συστέλλει τὸ ᾱ, παρά τε ἀρῶ καὶ ἀρῶμαι ἐκτεινόμενον συστέλλομεν ὄνομα Ἄρην «πισσοκωνίας Ἄρην». Κρατῖνος. Schol. Harl. ad Od. ν 247. l. 11 Dichr. 297, 10. l. 14 Dichr. 293, 5. l. 18 Dichr. 293, 9.

l. 20 Arc. 195, 28 ἰταμός — Ἰταμών et τὸ δὲ Ἰτυμονεύς usque ad διὰ τοῦ ῡ addidi ex Dichr. 297, 21; ἴτριον, quod in σεσημειωμένοις apud Herodianum fuit, et ap. Arcad. et in Dichr. inter ea irrepsit, quae regulam faciunt, quare καὶ τὸ ἴτριον ἐκτέταται in fine apposui. l. 24 Dichr. 298, 19. l. 28 Dichr. 298, 1. ἴκριον, quod post ἱστός in alienum locum invasit, in fine ut σεσημειωμένον adieci monente Lehrsio. l. 32 Dichr. 298, 5.

τοῦ ῡ, μὴ κατὰ κλίσιν ῥηματικήν, ἐκτείνεσθαι θέλει, Ἰνώ, Ἴναχος, ἰνίον. ἀντιπίπτει τὸ ἵνα εἴτε ἐπίρρημα εἴη εἴτε σύνδεσμος. προσέθηκα δὲ μὴ ἐν κλίσει ῥηματικῇ διὰ τὸ ἶναι καὶ ἐξῖναι ἀπαρέμφατα.

* Αἱ διὰ τοῦ ῑ μόνου ἐπεκτάσεις ἐν οἱῳδήποτε μέρει λόγου ἐκτεταμένον ἔχουσι τὸ ῑ, ὡδί, ἐνθαδί, νυνί, δευρί. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, ἐκεινοσί, οὑτοσί.

Πᾶν ὄνομα μονοσύλλαβον μακροκατάληκτόν ἐστι φύσει ἢ θέσει οἷον, στύξ, νύξ, πᾶς, Γρᾶς, Πράς, κράς, λίς, κίς, ῥίς, ἴς, μῦς, σῦς, δρῦς, πῦρ, ψάρ, Κάρ. διὸ τὸ τίς σημειούμεθα συστελλόμενον τὸ ῑ. εἰ δέ τινες τοῦ Ἶς ἐπὶ ποταμοῦ τὸ ῑ εἰς ἀποφυγὴν τούτου «οὐ γὰρ ἐμὴ ἲς Ἔσθ' οἵη πάρος ἔσκεν» (Λ 668), πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν. τὸ δὲ «στάδα λίμνην» ἢ «κλάδα χρυσεόκαρπον» οὐχ ἕξει τινὰ εὐθεῖαν στάς ἢ κλάς. μεταπλασμοὶ γάρ εἰσι. τὸ δὲ «ἐξ ὀρέων ἐπὶ κὰρ» (Π 392) κατὰ πάθος. ἀπὸ γὰρ τοῦ κάρη κατὰ ἀποκοπὴν τοῦ η̄ γέγονεν.

Πᾶν ἀρσενικὸν ἢ θηλυκὸν εἰς ἀμετάβολον λῆγον μακροκαταληκτεῖ, Ἀλκμάν, παιάν, Τιτάν, δελφίν, ἀκτίν, ῥίν, Σαλαμίν, κάρ, ψάρ, μάρτυρ. καὶ τοῦ Φόρκυν, Πόλτυν τινὲς μὲν ἀξιοῦσι καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνεσθαι τὸ ῡ, ἐμοὶ δὲ δοκεῖ, ὅτι ἐν μὲν τῇ εὐθείᾳ συστέλλεται τὸ ῡ, ἐν δὲ ταῖς πλαγίαις ἐκτείνεται. σεσημείωται τὸ μάκαρ, δάμαρ.

* Τὰ εἰς αρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἐπὶ παντὸς γένους συστέλλει τὸ ᾱ, μάκαρ, ὄαρ, θέναρ, φρέαρ, στέαρ. Ἀττικοὺς δέ φασιν ἐκτείνειν τὸ στέαρ καὶ φρέαρ.

* Τὰ εἰς ων λήγοντα καθαρὰ συγκριτικά, ὁπότε παραλήγοιτο τῷ ῑ, ἐκτεταμένῳ αὐτῷ παραλήγονται, καλλίων, ἡδίων, βελτίων, γλυκίων, κακίων. Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς λέξεσιν Ἀττικοὺς ἱστορεῖ προφέρεσθαι ἐκτεταμένως.

Τὰ εἰς σσων συγκριτικὰ οὐδέποτε ἐκτεταμένῳ διχρόνῳ παραλήγεται, βράσσων (Κ 226), πάσσων (Ζ 229), μάσσων, γλύσσων, βάσ-

---

l. 4 Dichr. 301, 3. l. 8 Arc. 193, 1. Γρᾶς — κράς recepi ex Dichr. 282, 12, ῥίς ἴς ex Mon. 19, 1, μῦς — ψάρ ex Dichr. l. c. l. 9 pro Arcadii verbis πλὴν τοῦ τίς posui διὸ τὸ τίς — τὸ ῑ ex Dichr., εἰ δέ τινες — περὶ τὴν ἱστορίαν adieci ex Mon., τὸ δὲ στάδα usque ad finem ex Dichr. l. 16 Arc. 193, 4. Τιτάν inserui ex Dichr. 283, 9. Vocem μάρτυρ sequitur ap. Arcad. φόρην, in quo Φόρκυν contineri videtur, desideratur enim nomen in liquidam finitum praecedente ancipiti. Quae pro hac simplici voce posui καὶ τοῦ Φόρκυν — πλαγίαις ἐκτείνεται, constitui ex Choer. Dict. 283, 10: ἱστέον ὅτι διάφοροι δόξαι περὶ τοῦ χρόνου τῆς εὐθείας γεγόνασιν, οἱ μὲν γὰρ ἀξιοῦσι καὶ ἐν τῇ εὐθείᾳ καὶ ἐν πάσαις ταῖς πτώσεσιν ἐκτείνεσθαι τὸ ῡ, οἱ δὲ λέγουσιν ὅτι ἐν μὲν τῇ εὐθείᾳ συστέλλεται τὸ ῡ, ἐν δὲ ταῖς ἄλλαις πτώσεσι ταῖς πλαγίαις ἐκτείνεται. καὶ διάφοροί εἰσι δόξαι τῶν τεχνικῶν περὶ τούτου collato Arcad. 193, 24: τὸ μόσυνος, Φόρκυνος, Πόλτυνος τῶν εὐθειῶν συστελλομένων ἐξέτειναν τὸ ῡ, ὡς Ἡρωδιανός. l. 22 Dichr. 289, 19. l. 25 Dichr. 291, 10. l. 29 Arcad. 195, 1, πάσσων — γλύσσων addidi ex Dichr. 291, 5, βράσσων cum Epicharmi testimonio apposui ex Mon. 37, 4. cf. E. M. 158, 13, ubi diserte ἄσσον bibreve esse pronunciatur et additur Eudaemonem etiam ῥᾶσσον et Νάσσων ᾱ productum habere docere.

cων, ἔνθεν παρ' Ἐπιχάρμῳ βάccoν. τὸ ἐλάccων, θάccων «θάccονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους» (Ν 819) cεcημείωται, ὅτι φύcει μακρᾷ παραλήγεται.

* Τὰ εἰc ῶν διcύλλαβα τῷ ῑ παραληγόμενα μὴ ὄντα κύρια ἐκτείνει αὐτό, κίων, πρίων, πίων. τὸ δὲ Δίων, Ἴων κύριά εἰcιν.

* Τὰ εἰc αξ λήγοντα καὶ ἐκτείνει τὸ ᾱ καὶ cυcτέλλει· ὅcα μὲν οὖν διcύλλαβα ὄντα ἔχει πρὸ τέλους μὴ φύcει μακράν, ἀλλ' ἢ βραχεῖαν ἢ θέcει μακράν, ἀδιάφορον ἔχει τὸν χρόνον τοῦ ᾱ, κόραξ, κόλαξ, φύλαξ, ἄναξ, βόαξ, νέαξ, ὄμφαξ, φόρταξ. εἰ μέντοι ἡ πρὸ τέλους φύcει μακρὰ εἴη, ἡ δὲ τελευταία cυcτέλλοιτο, γένος θηλυκὸν ὁρᾶται, πῖδαξ, κλῖμαξ, λεῖμαξ, βῶλαξ. διὸ καὶ τὸ μεῖραξ ἐπὶ θηλυκῷ τιθέμενον εὖ ἂν ἔχοι. οὐκ ἀγνοῶ δὲ ὡc ἔcθ' ὅτε οἱ κωμικοὶ καὶ ἀρcενικῷ γένει τὴν cύνταξιν ποιοῦνται· ἀλλ' εἰκὸc αὐτοὺc θηλυκῇ προcηγορίᾳ cκώπτειν τοὺc παcχητιῶνταc. ὅcα μέντοι ἔχει τὴν πρὸ τέλους φύcει μακρὰν ἀρcενικὰ ὄντα καὶ τὸ ᾱ θέλει ἔχειν ἐκτεταμένον, ὡc ἔχει τὸ Φαίαξ, θώραξ, οἴαξ, πλούταξ, βώμαξ, κνώδαξ· cημειούμεθα τὸ Γῦναξ καὶ Γῦλαξ, ἔχοντα φύcει μακρὰν τὴν παραλήγουcαν καὶ cυcτέλλοντα τὸ ᾰ. εἰcὶ δὲ ταῦτα κύρια ὀνόματα, καὶ τὸ cαῦcαξ, φαcὶ δὲ εἶναι τοῦτο ὄcπρεον, καὶ τὸ καύαξ διφορούμενον. τοῦτο γάρ ποτὲ μὲν cυcτέλλει τὸ ᾱ, ποτὲ δὲ ἐκτείνει αὐτό. ἔcτι δὲ ὄρνεον. Τὰ μέντοι ὑπὲρ δύο cυλλαβὰc ἐκτείνει τὸ ᾱ μὴ ὄντα cύνθετα, ἱέραξ, Ἐπιδαύραξ, ὀρθίαξ, θυμέλαξ. τὰ δὲ cύνθετα βαρύτονα καὶ τὸν τῶν ἁπλῶν χρόνον φυλάττει, Ἀχαρνοφαίαξ, Ἱππῶναξ, Ἀρχεάναξ, ἐριβῶλαξ, πολυπῖδαξ. τὰ δὲ ὀξύτονα cύνθετα cυcτέλλει τὸ ᾰ, διαcφάξ, βλεφαροcπάξ. τὰ μέντοι μονοcύλλαβα θηλυκὰ μὲν ὄντα, θέλει cυcτέλλειν τὸ ᾰ, cπάξ, οὕτωc ὁ κύων παρὰ Πέρcαιc, [κλάξ], πλάξ, γλάξ, δράξ, ἡ δὲ ῥάξ ἐκτέταται. τὰ δὲ ἐκτείνοντα τὸ ᾱ ἀρcενικά ἐcτι, βλάξ, κράξ, πτάξ· τὸ δὲ Πράξ ἱcτορεῖται μὲν ἐκτείνεcθαι· ἐγένετο δὲ Ἀχιλλέωc ἀπόγονοc, ἔνθεν οἱ Πρᾶκεc· cυcτέλλεται δὲ ἐcθ' ὅτε τὸ ᾰ.

* Τὰ μέντοι εἰc ιξ μονοcύλλαβα cυcτέλλει τὸ ῐ ἔχοντα δύο cύμφωνα πρὸ τοῦ ῐ, cτίξ, φρίξ, θρίξ. τὸ μέντοι ἴξ καὶ Φίξ ἐκτείνεται. τὰ μέντοι εἰc ιξ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν πάντα cυcτέλλει τὸ ῐ. ἐπὶ μέντοι γενικῇ πῇ μὲν φυλάττει τὸ ῐ cυνεcταλμένον, πῇ δὲ ἐκτείνει. καί φαcι τήρηcίν τινα εἶναι τοιαύτην, ὡc τὰ ἔχοντα πρὸ τέλουc μακρὸν ἔχει ἐν τῇ γενικῇ ἐκτεινόμενον τὸ ῑ, φοῖνιξ, βέμβιξ, Τέμμιξ, πέμφιξ, τέττιξ, cκάνδιξ, πέρδιξ, χοῖνιξ. Πτολεμαῖοc δὲ ὁ Ἀcκαλωνίτηc φηcὶν ὡc τῆc πέρδικοc καὶ χοίνικοc γενικῆc ἡ μέcη cυcτέλλεται, πειcθεὶc Ἀριcτοφάνει τῷ γραμματικῷ καὶ τοῖc οὕτω χρηcαμένοιc

l. 4 hunc canonem recepi ex E. M. 674, 5 collato Arcad. 18, 5 propria Δίων addens ex Choer. 286, 16, Ἴων ex St. B. 49, 9. l. 6 Dichr. 283, 25. l. 31 Dichr. 285, 5.

ποιηταῖϲ διὰ μέτρον· ἀλλὰ ταῦτα διὰ μέτρον ἐγένετο. ἔϲτι γὰρ αὐτὰ εὑρεῖν ἐκτεταμένα πολλάκιϲ· τὸ μέντοι Θρήϊκοϲ ϲυϲτέλλει τὸ ῑ, ἔχον διαλλαγήν. λέγεται γὰρ καὶ κατὰ ϲυναλοιφὴν Θρηκόϲ. τὸ δὲ ἧλιξ ϲυνεξῆλθε τοῖϲ ἔχουϲι τὸ λ̄ πρὸ τοῦ ῑ, χόλικοϲ, ἕλικοϲ, χάλικοϲ, κύλικοϲ. τὸ ϲύμμιγοϲ ϲύνθετόν ἐϲτι.

* Τὰ εἰϲ υξ μονοϲύλλαβα ϲυϲτέλλει τὸ ῡ, τρύξ, Φρύξ, πτύξ, Cτύξ. χρόνοϲ ὁ αὐτὸϲ καὶ ἐπὶ γενικῆϲ. τὰ εἰϲ υξ διϲύλλαβα καὶ αὐτὰ ϲυϲτέλλει τὸ ῡ, φυλάττει μέντοι τὸ ῡ ϲυνεϲταλμένον, ὁπότε τὸ χ̄ ἢ τὸ γ̄ ἐπὶ γενικῆϲ ἔχει, ϲτόνυχοϲ, ὄνυχοϲ, ὄρτυγοϲ, ἤλυγοϲ, δίζυγοϲ, φάρυγοϲ, τὸ δὲ κόκκυγοϲ ϲυϲτέλλουϲι καὶ ἐκτείνουϲιν. εἰ μέντοι διὰ τοῦ κ̄ ἡ κλίϲιϲ ὑπάρχοι, πῇ μὲν φυλάττει τὸ ῡ ϲυνεϲταλμένον, πῇ δὲ ἐκτείνει. Ἔρυκοϲ γὰρ ϲυνεϲταλμένωϲ καὶ ἄμβυκοϲ, Βέβρυκοϲ, κάλυκοϲ, Γάνυκοϲ, ἴβυκοϲ, ἐκτεταμένωϲ δὲ βόμβυκοϲ, αἴθυκοϲ, κήρυκοϲ. τὸ «κήρυκι Ἠπυτίδῃ» (Ρ 324) διὰ μέτρον φαϲὶν ἔχειν ϲυϲτολήν. τὰ μέντοι εἰϲ υξ ὑπὲρ δύο ϲυλλαβὰϲ ἤτοι ϲύνθετα ἢ καὶ ἁπλᾶ πρόδηλον ἔχει τὸν χρόνον.

* Τὰ εἰϲ αψ ὑπὲρ μίαν ϲυλλαβήν φαμεν ϲυϲτέλλειν τὸ ᾱ, λαῖλαψ. ἐν δὲ μονοϲυλλάβοιϲ τὸ δράψ ἐκτείνεται κείμενον παρὰ Ἀριϲτοφάνει· καὶ τὸ λάψ παρὰ Ταραντίνοιϲ. ἡ δὲ γράψ καὶ φάψ θηλυκῷ γένει κατακλειόμενα ϲυϲτέλλεται.

* Τὰ εἰϲ ιψ μονοϲύλλαβα ἐκτείνεται, ὁμοίωϲ καὶ ἐπὶ γενικῆϲ. διὸ ἡ λιβόϲ γενικὴ ϲημειώδηϲ. τὰ δὲ ὑπὲρ μίαν ϲυλλαβὴν ϲυϲτέλλεται. θέλουϲι δὲ πεδότριψ ἐκτείνειν, πλανώμενοι ἐκ τοῦ παρ' Ἀρχιλόχῳ «ἄνδραϲ ἀμφιτρίβαϲ».

* Τὰ εἰϲ αϲ περιϲπώμενα ἀναγκαίωϲ ἔχει τὸ ᾱ μακρόν, ἀλλᾶϲ, Ἡρᾶϲ, Βορρᾶϲ, πελεκᾶϲ.

Τὰ εἰϲ αϲ ἀρϲενικὰ βαρύτονα εἴτε ὀνόματα εἴτε μετοχαὶ ἐκτείνονται, Αἴαϲ, Θόαϲ, Δρύαϲ, Αἰνείαϲ, λέξαϲ, γράψαϲ, ποιήϲαϲ. ϲεϲημείωται τὸ μέγαϲ ἐπίθετον καὶ τὸ «λᾶαϲ ἀναιδήϲ» (λ 598). τὸ «δουρὶ δὲ ξυϲτῷ μέμηνεν Αἶαϲ» (Alcmanis) καὶ ὅϲα τοιαῦτα κατὰ διάλεκτον, «δῆϲαϲ ἀλυκτοπέδηϲι» (Theogn. 521).

Τὰ εἰϲ αϲ ὀξύτονα, εἰ μὲν εἴη ὀνόματα, ϲυϲτέλλονται, εἰ δὲ μετοχαί, ἐκτείνονται, Ἀρκάϲ, φυγάϲ, ἐθάϲ, πολυδειράϲ, κιχράϲ, ἱϲτάϲ, πιμπράϲ, βιβάϲ. ϲεϲημείωται τὸ ἱμάϲ καὶ ἀνδριάϲ καὶ ὅϲα παρὰ τὸ κέκραμαι, ἰϲοκράϲ, ἀλικράϲ.

Τὰ εἰϲ ιϲ εἴτε καθαρὸν εἴτε μὴ βαρύτονα εἴτε ἀρϲενικὰ εἴτε θηλυκὰ ϲυϲτέλλει τὸ ῑ, ὄϊϲ, πάϊϲ, ἔριϲ, Θέτιϲ, μῆνιϲ, Πάριϲ, ἔχιϲ,

---

l. 6 Dichr. 285, 19. l. 17 Dichr. 286, 14. l. 21 Dichr. 286, 9. l. 25 Dichr. 283, 20. l. 27 Arcad. 193, 8. Δρύαϲ γράψαϲ adieci ex Dichr. 283, 12, ex eodem loco ad μέγαϲ addidi ἐπίθετον et pro λᾶαϲ posui locum Homericum, τὸ δὲ δουρί usque ad finem ex Dichr. apposui. l. 32 Arc. 193, 11, πολυδειράϲ addidi ex Dichr. 283, 18, βιβάϲ ex Dichr. 291, 1. l. 36 Arc. 196, 4, εἴτε ante καθαρὸν et tum εἴτε μὴ ipse apposui et propter καθαρὸν postea ὄϊϲ πάϊϲ ex Arc. 28, 15,

ὄφις, κόνις, δῆρις, μάντις, ὄρχις, λάτρις, ὄρνις, Ἀριστοκλῆς δὲ ἐν τῷ περὶ διαλέκτων φησὶν Ἀττικοὺς ἐκτείνειν. εἰ δὲ σύνθετα ὑπάρχοι ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ῑ, ἐκτείνονται, κνημίς εὐκνήμις, ψηφίς μελαμψήφις καὶ ὅσα τοιαῦτα. οὕτως καὶ ἐν τῷ «ἐϋκλήϊς ἀραρυῖα» (Ω 318) Ἀρίσταρχος ἀναγινώσκει ἐϋκλήϊς ὡς ἐϋκνήμις σύνθετον ποιῶν τὴν λέξιν, οὕτως καὶ Ἀσκαλωνίτης. εἰσὶ δὲ οἳ διεῖλον «ἐῢ κληῖς' ἀραρυῖα», οἷς συγκατατίθεται καὶ Τρύφων, οὐκ εὖ. ἄμεινον γὰρ ἐπιθετικῶς ἀκούειν καὶ μὴ πάθος ἐκδέχεσθαι πληθυντικῆς δοτικῆς, λέγω δὲ τὸ τῆς ἐκθλίψεως. ὃ δέ φημι, τοιοῦτόν ἐστι, ὡς ὅτι ἐκθλίβεται μὲν τὸ ῑ τῆς δοτικῆς παρὰ τῷ ποιητῇ καὶ ἑνικῆς ὑπαρχούσης καὶ πληθυντικῆς «κέρκιδ' ὕφαινε» (Od. ε 62), «χέρς' ἐρετάων» (Od. ν 115), «καὶ νήεσς' ἡγήσατ' Ἀχαιῶν» (Il. Α 71), οὔ γε μὴν τὸ ἀπὸ τῶν εἰς ῑς ἐκτεταμένον θηλυκῶν· εἰ δ' ἡ προκειμένη λέξις κρίσεως δεῖται κατὰ τὴν ἀνάγνωσιν, δῆλον ὅτι συνθέτως ἀναγνωσόμεθα, ὅπως μὴ πληθυντικοῦ δῶμεν τὴν χρῆσιν παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ καὶ ἔκθλιψιν σημειώδη. εἰ δὴ σύνθετόν ἐστι τὸ εὐκλήϊς, καὶ παροξύνειν δεῖ αὐτό, μακρὸν γὰρ τὸ ῑ καὶ ἐν τῇ συνθέσει· ἀπὸ γὰρ τοῦ χρόνου τὸν τόνον ἐστήσαμεν.

Τὰ ὀξύτονα θηλυκὰ εἰς ῑς λήγοντα μὴ καθαρεύοντα μεμελέτηκε καὶ ἐκτείνεσθαι καὶ συστέλλεσθαι. τοῖς μὲν οὖν συστέλλουσι τὸ ῑ ἀδιάφορος ἡ πρὸ τέλους εἴτε μακρὰ εἴη εἴτε βραχεῖα, βολίς, ῥανίς, αἰγίς, μηλίς, Δωρίς· τοῖς δὲ ἐκτείνουσι τὸ ῑ, καὶ μάλιστα ἐπὶ δισυλλάβων, ἡ πρὸ τέλους μακρὰ ὑπῆρχεν ἤτοι φύσει ἢ θέσει, κρηνίς, ψηφίς, κηκίς, κηλίς, νησίς, σφραγίς, βαλβίς, φαρκίς, ἁρπίς, ἁψίς. δικαίως οὖν οἱ Ἀττικοὶ τὸ ῥιπίς καὶ καρίς, ἃ ἡ κοινὴ συνήθεια ἐκτείνει, συστέλλουσι. δισύλλαβα δὲ παρεθέμην, ἐπεὶ ὁρᾶται τρισύλλαβα βραχείᾳ παραληγόμενα καὶ κατὰ τὴν συνήθη χρῆσιν καὶ κατὰ τὴν τῶν Ἰώνων ἐκτείνοντα τὸ ῑ· κατὰ δὲ τοὺς Ἀττικοὺς συστέλλονται. πλοκαμίς, κεραμίς, καλαμίς, βλεφαρίς, ῥαφανίς. τὸ δὲ ἀγαθίς ἀεὶ συστελλομένως· οὕτω δὲ καὶ ἡ τρυφαλίς συστέλλεται. καὶ ἐπίστασιν ἔχει τὸ κληΐς ἐκτεινόμενον καὶ καθαρεῦον. τὰ δὲ λοιπὰ πάντα συστέλλονται, Λαΐς, Ναΐς, Θησηΐς, δμωΐς, ἡρωΐς, Μινωΐς.

κόνις — λάτρις ex Dichr. 298, 23. Finis canonis ap. Arcad. sic procedit: τὸ ὄρνις εὐκνήμις καὶ τὰ ὅμοια σύνθετα ἐκτείνουσιν Ἀττικοί. Pro his posui ὄρνις, Ἀριστοκλῆς — καὶ ὅσα τοιαῦτα ex Dichr. l. c. οὕτως καὶ ἐν τῷ ἐϋκλήϊς usque ad finem recepi ex Il. Pr. Ω 318: Ἀρίσταρχος εὐκλήϊς ὡς εὐκνήμις σύνθετον ποιῶν τὴν λέξιν κτλ., quum in h. loco l. 17 post ἐν τῇ συνθέσει diserte addatur: ὡς ἐν τῷ κ' τῆς καθόλου φησὶν ὁ αὐτός. cf. Il. Pr. Β 175, An. Paris. III 310, 2.

l. 18 Arcad. 196, 8, sed pro Arcadii canone (τὰ εἰς ῑς ὀξύτονα θηλυκὰ ἐκτείνει τὸ ῑ καὶ μακρᾷ παραλήγει, κρηνίς [sic pro κορωνίς scr.], ψηφίς, βαλβίς, φαρκίς, ἁρπίς [pro ἀρωπίς cum Schmidt]· δικαίως οὖν οἱ Ἀττικοὶ τὸ ῥιπίς [pro ἐλπίς] καὶ καρίς συστέλλουσι) praetuli canonem ex Dichr. 299, 4, ubi canon cum praecedente coniunctus est, recipere retentis verbis δικαίως οὖν — συστέλλουσι, inter quae ex Dichr.: τὸ μέντοι καρίς καὶ ῥιπίς ἡ μὲν κοινὴ συνήθεια ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτος συστέλλει inserui ἃ ἡ κοινὴ συνήθεια ἐκτείνει. cf. Ep. Cr. I 229, 20.

* Τὰ εἰϲ υϲ θηλυκὰ ὀξύτονα διὰ τοῦ δ κλινόμενα ϲυϲτέλλονται, κροκύϲ κροκύδοϲ, χλαμύϲ χλαμύδοϲ, πηλαμύϲ πηλαμύδοϲ. τὰ δὲ εἰϲ υϲ θηλυκὰ ὀξύτονα διὰ καθαροῦ τοῦ οϲ κλινόμενα ἐκτεταμένον ἔχουϲι τὸ ῡ, πληθύϲ, ἐδητύϲ, ὀϊζύϲ, ἐρινύϲ, ἰξύϲ ἡ ῥάχιϲ, ἰϲχύϲ, ἰλύϲ, τὸ δὲ νηδύϲ ποιητικῇ ἀδείᾳ ϲυϲτέλλεται. φιλεῖ δὲ τὸ ῡ ἐπ' εὐθείαϲ ἐκτεινόμενον ϲυϲτέλλειν τὰϲ ἄλλαϲ πτώϲειϲ οὐ μόνον ἐν τῷ πῦρ πυρόϲ, ἀλλὰ καὶ ἐν τῷ ἰχθύοϲ, δρυόϲ, ἰϲχύοϲ, ἰλύοϲ. ἐν δὲ τῷ «ἰλύοϲ» (Φ 318) τὸ ῡ ἐκτέταται διὰ τὸ μέτρον.

* Τὰ εἰϲ υϲ βαρύτονα εἴτε θηλυκὰ εἴτε ἀρϲενικὰ ϲυϲτέλλονται, γένυϲ, πίτυϲ, χέλυϲ, γῆρυϛ, ἀτράφαξυϲ, Πόλτυϲ, βότρυϲ, Ἕρπυϲ, Ἅλυϲ, ἥμιϲυϲ, πέλεκυϲ, Ῥαδάμανθυϲ.

* Τὰ εἰϲ υϲ ὀξύτονα ἐπιθετικὰ ϲυϲτέλλεται, πολύϲ, ἠΰϲ, ἡδύϲ, βραδύϲ.

* Τὰ εἰϲ υϲ ϲύνθετα πάντα ϲυνεϲταλμένον ἔχει τὸ ῠ καὶ προπαροξύνεται, ϲύνοφρυϲ, λεύκοφρυϲ, κάλλιχθυϲ, δίβραχυϲ.

* Τὰ εἰϲ οϲ ὀξύτονα ἀρϲενικὰ διϲύλλαβα καθαρὰ διχρόνῳ παραληγόμενα ἐκτείνει αὐτὸ οἷον ναόϲ, λαόϲ, κριόϲ, ἰόϲ πλὴν τοῦ βιόϲ.

* Τὰ εἰϲ οϲ καθαρὸν ἀρϲενικὰ διϲύλλαβα εἰ παραλήγοι τῷ ᾱ, ἐκτείνει αὐτό ναόϲ, λαόϲ. δάοϲ οὐδέτερον. ϲεϲημείωται τὸ ϲάοϲ.

* Τὰ εἰϲ λοϲ λήγοντα διϲύλλαβα ὀξύτονα, ὁπότε ἔχει πρὸ τέλουϲ δίχρονον, τοῦτο ἔχει ϲυνεϲταλμένον ἢ ἐκτεινόμενον δι' ἑαυτοῦ ἢ διὰ ϲυμφώνου μεγεθυνόμενον. καὶ τὰ μὲν διὰ ϲυμφώνων μεγεθυνόμενα τὰ τοιαῦτά ἐϲτι, κυλλόϲ, μαλλόϲ, θαλλόϲ, τὰ δὲ δι' ἑαυτῶν τὰ τοιαῦτα, ψιλόϲ, χυλόϲ, δαλόϲ, βαλόϲ, οὕτωϲ ὁ βαθμόϲ καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ κωμῳδίᾳ. ἐχρῆν οὖν καὶ τὸ καλόϲ ἢ βοηθεῖϲθαι ϲυμφώνῳ ἢ αὐτόθεν ἐκτείνεϲθαι. ὑγιὴϲ οὖν ἡ ἔκταϲιϲ παρὰ τῷ ποιητῇ.

* Τὰ διὰ τοῦ ιμοϲ παραγωγὰ ὑπὲρ δύο ϲυλλαβὰϲ ϲυνεϲταλμένον ἔχει τὸ ῐ, κύδιμοϲ, ὠφέλιμοϲ, ὤκιμοϲ. τὸ μέντοι ἄτιμοϲ ἐκτεῖνον τὸ ῑ ϲύνθετόν ἐϲτιν. οὕτωϲ δὲ ἀξιοῦται καὶ τὸ βούλιμοϲ ἐκτείνεϲθαι κατὰ τὴν δευτέραν ϲυλλαβὴν ϲυνθέτου ὑπάρχοντοϲ τοῦ ὀνόματοϲ· ἀντὶ γὰρ τοῦ ὁ μέγαϲ λιμόϲ. καὶ τὸ ἴφθιμοϲ δὲ ἐκτείνει τὸ πρὸ τέλουϲ ῑ.

Τὰ εἰϲ μοϲ καθαρὸν διϲύλλαβα ἔχοντα τὸ ῡ ἐκτείνουϲιν αὐτὸ καὶ ὀξύνονται, χυμόϲ, θυμόϲ, δρυμόϲ, ῥυμόϲ. εἰ δὲ ὑπὲρ δύο ϲυλλαβὰϲ ὑπάρχει, καὶ προπαροξύνεϲθαι θέλουϲι καὶ ϲυϲτέλλουϲι τὸ ῠ, εἰ μὴ

---

l. 1 hunc et sequentes canones de nominibus in ῠϲ — l. 14 ipse composui ex Arcad. 91, 9 collato Herodiano ap. Eustath. 1859, 10, Il. Pr. Φ 318 et Mon. 32, 33, quos locos in initio libri X proposui. l. 16 canonem recepi ex E. M. 553, 50. Choer. Ep. in Psalm. 69, 4, ubi βιόϲ omissum est, ipse secundum Arc. 37, 22 pro βιόϲ scripsi πλὴν τοῦ βιόϲ. l. 18 canon promptus est ex Ep. Cr. I 342, 14. l. 20 Dichr. 295, 20. l. 27 Dichr. 293, 18. l. 33 Arcad. 196, 15. καὶ ὀξύνονται addidi ex Dichr. 300, 3 ubi τὰ εἰϲ μοϲ καθαρὰ διϲύλλαβα ἔχοντα τὸ ῡ παραληγόμενον ὀξύνεϲθαι θέλουϲι καὶ ἐκτείνειν τὸ ῡ, ex eodem loco δρυμόϲ usque ad finem apposui.

ἐκ συνθέσεως ὑπάρχει, οἷον ἔρυμος, ἔλυμος, δίδυμος, ἔτυμος ὁ ἀληθής. τὸ δὲ πρόθυμος καὶ τὸ μεγάθυμος καὶ τὰ τοιαῦτα ἐκ συνθέσεως ἔσχον τὸ ῡ.

* Τὰ εἰς νος λήγοντα δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου εἰ ἔχοι πρὸ τέλους ἕν τι τῶν διχρόνων συνεσταλμένον αὐτὸ ἔχει, καπνός, θαλπνός, ἁγνός, ἀμνός, γυμνός, πρυμνός, συχνός, πυκνός, στυγνός. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς, ἀλαπαδνός, ἀκιδνός, ὀλοφυδνός. τὸ μέντοι στρυφνός οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ ῡ. οὕτω γὰρ ἀνέγνωμεν παρ' Ἀριστοφάνει ἐν Σφηξί (877)

παῦσόν τ' αὐτοῦ τοῦτο τὸ λίαν στρυφνόν.

* Τὰ εἰς νος λήγοντα δισύλλαβα ὀξύτονα καθαρεύοντος τοῦ ν, εἰ ἔχοιεν ἐν τῇ πρὸ τέλους τὸ ᾱ, ἐκτεταμένον αὐτὸ ἔχουσι, δανός ὁ ξηρός, τρανός, μανός. τοῦτο δὲ παρὰ τοῖς Ἀττικοῖς συστέλλεται.

* Τὰ εἰς νος λήγοντα ὀνόματα τρισύλλαβα ὀξυνόμενα καὶ ἔχοντα τὸ ᾰ συνεσταλμένον πρὸ τέλους μὴ καθαρεῦον οὐδέποτε τὴν ἄρχουσαν ἔχει φύσει μακράν, οἷον ἱκανός, καίτοιγε τὸ ῥῆμα ἐξέτεινε τὸ ῑ, πείθω πιθανός, εἴδω ἰδανός «σὰς ἰδανὰς χάριτας» ὁ Καλλίμαχος, τρώγω τραγανός, ἥδω ἑδανός, ἄγω ἀγανός, στέγω στεγανός, σφεδανός, ὀρφανός, πεδανός, ῥοδανός. σημειῶδες ἄρα τὸ οὐρανός, ὅτι ἤρξατο ἀπὸ φύσει μακρᾶς. Ἀλκαῖος δὲ καὶ εἰς ω ἀποφαίνεται τὸ ὄνομα, ὠρανός λέγων κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς τὸ ω καὶ ἄνευ τοῦ ῡ ὀρανός, ὥστε τὸ ἐπιζητούμενον παρ' αὐτῷ λελύσθαι. καὶ Σαπφώ· «ψαύην δ' οὐ δοκίμωμ' ὀράνω δυσαπάχεα». προσέθηκα μὴ καθαρεῦον, ἵνα μὴ ἐπιζητῶμεν περὶ τοῦ «εἱανοῦ ἁπτομένη» (Π 9) καὶ «ἑανοῦ κασσιτέροιο» (Σ 613).

Τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα κατὰ καιροῦ ἢ χρόνου παραλαμβανόμενα συστέλλει τὸ ῐ, ἐαρινός, θερινός, νυκτερινός, χειμαρινός, ἑωθινός, πρωϊνός, ἡμερινός, ὀπωρινός. παρὰ μέντοι τῷ ποιητῇ κατ' ἔκτασιν ἀναγινώσκομεν τοῦτο ἐπιζητοῦντος τοῦ μέτρου «ὡς δ' ὅτ' ὀπωρινὸς βορέης» (Φ 346) καὶ πάλιν «ἀστέρ' ὀπωρινῷ ἐναλίγκιος» (Ε 5).

* Τὰ διὰ τοῦ ινος ἀπὸ ἐπιρρήματος ὀξύτονα τὸ ῐ βραχὺ ἔχουσι, ταχινός, ἀληθινός, πυκινός, ἀδινός.

* Τὰ διὰ τοῦ ινος σημαίνοντα μετουσίαν προπαροξύτονα τὸ ῐ βραχὺ ἔχουσι, κρίθινος, δάφνινος, πύρινος, ξύλινος, λίθινος. τὰ δὲ μὴ οὕτως ἔχοντα ἐκτείνουσι τὸ ῑ, κάμινος, κύμινος, κυκλάμινος.

---

l. 4 Dichr. 293, 12, ex Mon. 41, 11 addidi γυμνός — στυγνός et οὕτω γὰρ ἀνέγνωμεν usque ad finem. l. 11 Dichr. 292, 3. l. 14 canonem composui ex Il. Pr. Ξ 172 et Mon. 7, 18. l. 26 pro Arcadii canone p. 195, 9 τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα παρὰ καιροῦ συντιθέμενα (scr. κατὰ καιροῦ τιθέμενα) συστέλλει τὸ ῐ, ἐαρινός νυκτερινός, θερινός. οἱ δὲ ποιηταὶ πολλάκις ἐκτείνουσι posui praeceptum Dichr. 293, 24 voce θερινός ex Arcadio addita.
l. 32 hunc canonem composui ex Choer. Orth. 179, 33, Theogn. 67, 29 collato Arcadio 65, 12. l. 34 canonem constitui ex Mon. 20, 9 et Theogn. 67, 15.

* Τὰ διὰ τοῦ ινος πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἐκτείνουσι τὸ ῑ, ἐχῖνος, κορακῖνος, φοξῖνος πλὴν τοῦ καρκίνος.

* Τὰ διὰ τοῦ ινος ὀνόματα ὀξύτονα μὴ ὄντα παρώνυμα διὰ βραχέος τοῦ ῐ ἐκφέρεται· οἷον ἀδινός, πεδινός, ταχινός, πυκινός, ἀληθινός. σεσημείωται τὸ χαλινός καὶ λαρινός. τὸ μὲν χαλινός, ὅτι ἐστὶ καὶ οὐδέτερον. λέγεται γὰρ τὰ χαλινά καὶ ὡς διαλλάξαν κατὰ τὰ ἄλλα, διήλλαξε καὶ κατὰ τὸν χρόνον. τὸ δὲ λαρινός ἐκτοῦ ῥινός βύρσης καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ σύνθετον.

Τὰ διὰ τοῦ ῡνος δισύλλαβα ἐκτείνει τὸ ῡ, φρυνός, γρυνός, θυνός, Κῦνος. σεσημείωται τὸ πλυνός κατὰ χρόνον, καίτοιγε τὸ πλύνω ἐκτεινόμενον τὸ ῡ.

Τὰ διὰ τοῦ ῡνος ὑπὲρ δύο συλλαβάς, εἰ μὲν παραλήγει τὸ σ̄, συστέλλει τὸ ῠ, δεσπόσυνος, πίσυνος, θάρσυνος. τὸ δὲ μόσυνος ἐκτεταμένον ἀπὸ γενικῆς ἐστι γενόμενον, αἱ δὲ γενικαὶ αἱ διὰ τοῦ ῡνος ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι Φόρκυνος, Πόλτυνος τῶν εὐθειῶν συστελλομένων ἐξέτειναν τὸ ῡ. εἰ δὲ μὴ παραλήγει τὸ σ̄, ἐκτείνει τὸ ῡ, κίνδυνος, εὔθυνος, Πάχυνος, Λάμυνος, διὸ καὶ τὸ βόθυνος ἀναλόγως ἐκτείνουσιν Ἀττικοί. κἂν ὀξύνηται δὲ τοιαῦτά ἐστι, Μαρυανδυνός, Βιθυνός. τὸ ἀνδρόγυνος, ἄγυνος καὶ τὰ ὅμοια τοῦ γυνή ἐτήρησαν τὸ ῡ.

Τὰ εἰς ρος καθαρὸν δισύλλαβα τῷ ᾱ παραληγόμενα ὀξυνόμενα μὲν ἔχει ἐκτεινόμενον τὸ ᾱ ψαρός, ναρός, ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ σατυρικῷ «ναράς τε πατρὸς κυμάτων ἐπιρροὰς — ἐπώμοσα». Λαρός «λαρὸς ἄμης», ἔνθεν τὸ οὐδέτερον «λαρὸν τετυκοίμεθα δόρπον» (μ 283). βαρυνόμενα δέ, εἰ καὶ ἀρσενικὰ ὑπάρχοι ἢ θηλυκά, συστέλλειν θέλει τὸ ᾰ, λάρος «λάρῳ ὄρνιθι ἐοικώς» (ε 51), γάρος. Αἰσχύλος Πρωτεῖ σατυρικῷ «καὶ τὸν ἰχθύων γάρον», σκάρος, φάρος. λέγω δὲ τὸ ἀρσενικὸν ἢ καὶ τὸ θηλυκόν, Κλάρος, Νίκανδρος (Ther. 958) «μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρος νιφόεσσα πολίχνη», Πάρος νῆσος, σπάρος, Σάρος ὁ ποταμός. τὸ τοίνυν βᾶρος καὶ Ῥᾶρος παρ' Ἀττικοῖς σημειώδη. τὸ δὲ κλᾶρος κατὰ Δωρίδα διάλεκτον ἐκ τοῦ κλῆρος. τά τε ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα πάμπολλα ὄντα συνεσταλμένον ἔχουσι τὸ ᾰ, μὴ ὄντα Δώρια μήτε σύνθετα, μάρμαρος, βάρβαρος, τάλαρος, κύλλαρος· ἐπίστασιν οὖν ἔχει τὸ ἄγγαρος

---

l. 1 canonem finxi ex Arcad. 65, 14. l. 3 canonem composui ex Ep. Cr. I 3, 17; 350, 4; E. M. 805, 17 collato Arcad. 65, 18 et 23. l. 9 Arcad. 193, 16 Κῦνος recepi ex Dichr. 286, 25 et in fine verba κατὰ χρόνον, καίτοιγε κτλ. ex Mon. 33, 12. l. 13 verba τὸ δὲ μόσυνος — ἐξέτειναν τὸ ῡ constitui ex Dichr. 287, 5 et Arc. 193, 24 ubi τὸ μόσυνος, Φόρκυνος Πόλτυνος τῶν εὐθειῶν συστελλομένων ἐξέτειναν τὸ ῡ, ὡς Ἡρωδιανός. l. 17 Λάμυνος ex Dichr. l. c. addidi pariter atque κἂν ὀξύνηται — Βιθυνός, ex eodem loco ἄγυνος posui pro λάγυνος. l. 21 Arc. 196, 12 τὰ εἰς ρος καθαρὸν δισύλλαβα ἀρσενικὰ τῷ ᾰ παραληγόμενα συστέλλει τὸ ᾱ, λάρος, γάρος, σκάρος. Ἀττικοὶ ἐκτείνουσι. canonem sumpsi ex Mon. 35, 9 consultis Dichr. 299, 20, unde petivi l. 32 τά τε ὑπὲρ δύο

καὶ Αἴcαροc. τὸ δὲ φλύαροc ὀφείλει cυcτέλλεcθαι. τούτου δέ τινεc ἐκτείνουcι τὸ ᾱ, καὶ μάλιcτα παρ' Ἀττικοῖc.

* Τὰ διὰ τοῦ αροc ὀξύτονα cυcτέλλει τὸ ᾱ, μαδαρόc, χαλαρόc, ῥυπαρόc, καὶ ὅcα ἄλλα ἐcτὶ τοιαῦτα. χρὴ οὖν καὶ τὸ ἀνιαρόc cυcτέλλειν τὸ ᾱ. δηλονότι τὸ νομιζόμενον Ἴωcιν ἀνιηρόc πρότερόν ἐcτι καὶ λοιπὸν τὸ ἀνιαρόc ὡc ἐδέξατο τροπὴν Ἰωνικὴν (?) ἔμεινεν ἐκτεινόμενον.

* Τὰ εἰc ροc λήγοντα ὀξύτονα, ὅτε ἔχει τὴν τρίτην ἀπὸ τέλουc ἤτοι θέcει μακρὰν ἢ φύcει, πάντωc ἔχει τὴν πρὸ τέλουc μηκυνομένην. εἰ δὲ ἡ πρὸ τέλουc εἴη βραχεῖα, καὶ ἡ τρίτη ἀπὸ τέλουc, βλαβερόc, φανερόc, ῥυπαρόc, ὀχυρόc, καπυρόc, ἱερόc. τὸ γὰρ ἐκτεῖνον τὸ ῑ ποιητικόν ἐcτι· κρατερόc, τὸ γὰρ καρτερόc ὑπέρθεcιν ἔχει. τὰ μέντοι ἔχοντα τὴν πρὸ τέλουc τρίτην μακράν, ὡc ἔφην, ἔχει καὶ τὴν πρὸ τέλουc μακράν, ποιηρόc, ἀτηρόc, ἀλγηρόc, πνιγηρόc, ἀνθηρόc, τολμηρόc, ἰcχυρόc. ὅθεν ἐπεὶ τὸ ἁλμυρόc ἔχει τὴν τρίτην ἀπὸ τέλουc μακρὰν ὑγιῶc ἕξει καὶ τὴν πρὸ τέλουc μακράν. ἀναλογώτεροι οὖν οἱ Ἀττικοὶ ἐκτείνοντεc αὐτό. παρὰ μέντοι τῷ ποιητῇ ἀνέγνωμεν «ἁλμυρὸν ὕδωρ» (δ 511). ἀντιπίπτει τὸ πενθερόc μακρὰν ἔχον τὴν τρίτην ἀπὸ τέλουc, βραχεῖαν τὴν πρὸ τέλουc. ἀλλ' οὖν γε εἴρηται πενθηρόc τὸ ἐπίθετον διὰ τοῦ η̄ ὥcπερ ἐπὶ ἱματίου μέλανοc «Α. φέρ' αὔτ' ἀνύcαc. Β. ἀλλ' ἐcτὶ πενθηρὸν πάνυ». οὕτωc γὰρ ἔφη Ἀναξίλαc. οὐκ ἀναcτρέφει ὁ κανών. οὐ γὰρ πάντωc τὰ ἔχοντα πρὸ τέλουc μακρὰν ἔχουcι καὶ τὴν τρίτην μακράν. ἰδοὺ γὰρ πονηρόc, τυχηρόc.

* Τὰ εἰc coc λήγοντα ὑπὲρ δύο cυλλαβὰc προπαροξυνόμενα καὶ ἔχοντα πρὸ τέλουc ᾰ cυνεcταλμένον αὐτὸ ἔχουcι· ταύτῃ μοι δοκεῖ καὶ τὸ Ἴαcοc τὸ ᾱ cυcτέλλειν τῷ χαρακτῆρι πειcθέν. ἐπὶ δὲ τῶν ὀξυτόνων τῶν ἐχόντων τὸ ᾱ ὁρᾶται καὶ ἡ cυcτολὴ καὶ ἡ ἔκταcιc, (?) ὡc ἐν τῷ Τάμαcοc καὶ Ἐγγύαcοc, ἀλλὰ καὶ κέραcοc καὶ Ἔραcοc (?).

Πᾶν θηλυκὸν εἰc ᾱ λῆγον ὀξυνόμενον ἢ περιcπώμενον ἐκτείνει αὐτό, φοβερά, Ἀθηνᾶ, πυρκαϊά, μνᾶ. διὸ καὶ τὸ ἀγυιά καὶ ὀργυιά ὁτὲ μὲν ἐκτείνεται ὀξυνόμενον παρ' Ἴωcι, ὁτὲ δὲ βαρύνεται καὶ cυcτέλλεται.

Τὰ εἰc ᾱ λήγοντα θηλυκὰ παρεcχηματιcμένα ἀρcενικῷ ὁμόχρονον ἔχει τῷ τέλει τῆc γενικῆc τοῦ ἀρcενικοῦ τὸ ᾱ, ὀξέοc ὀξεῖα, τάλανοc

---

cυλλαβὰc — l. 1 cυcτέλλεcθαι, extrema verba τούτου δέ τινεc ex Mon. 21, 10. l. 3 Dichr. 296, 19. l. 7 Dichr. 294. l. 23 Dichr. 300, 10. l. 28 Arc. 194, 6. pro ἀργυρᾶ καὶ ἀργυρᾶ scripsi cum Schmidt. ἀγυιά καὶ ὀργυιά et pro cυcτέλλει αὐτό — cυcτέλλεται. cf. Choer. 405, 27: ἐπὶ τῶν εἰc ᾱ βραχυκαταλήκτων εὐώθαcιν οἱ Ἴωνεc βαρυτονεῖν τὰc λέξειc ὡc καὶ ἡμεῖc, οἷον ἄγυια, ἅρπυια, Πλάταια· ὅταν δὲ γένηται ἡ τελευταία cυλλαβὴ μακρά, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνοc οἷον ὀργυιᾶc ἀγυιᾶc Θεcπιᾶc Πλαταιᾶc· ἰδοὺ ταῦτα ἐν τῇ τελευταίᾳ cυλλαβῇ ἐπιδέχονται τὸν τόνον. Il. Pr. Ζ 422: τὸ ἴα βαρυτόνωc ἀνέγνω ὁ ἀνὴρ (sc. Aristarchus) καὶ τὸ μία· τὰc μέντοι δοτικὰc περιέcπαcεν· καί φαcί γε τὸ τοιοῦτο Ἰώνων εἶναι· τινὲc δὲ ἐτόλμηcαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ τὸ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβαcμὸν γενέcθαι τόνου. οὕτωc οὖν καὶ «μέcην ἐc ἄγυιαν» (Il. Υ 254) ἀνέγνω· «ἐΰκτιμέναc» δὲ «κατ' ἀγυιάc» (391). de Θέcπεια et Θεcπιά cf. Il. Pr. Β 498 et in universum Arcad. 98, 1 seqq. l. 32 Arcad. 194, 22 — Ῥοδίου et

τάλαινα, χαρίεντος χαρίεσσα. Ῥόδιος δὲ Ῥοδίου Ῥοδία καὶ Σάμιος Σαμίου Σαμία. διὸ Ἀττικοὶ ἱερέως λέγοντες ἱερεία ἐκτεταμένως λέγουσιν, ἀλλ' οὐκέτι πανδόκεια, βασίλεια. σεσημείωται τὸ ἶα ἀπὸ τοῦ ἴος ἴου «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἶα γῆρυς» (Δ 437), ὅπερ λέγεται καὶ μία, καὶ «δῖα γυναικῶν» (Β 714) καὶ τὸ πέπειρα.

* Πᾶν εἰς ᾱ λῆγον θηλυκὸν προπαροξυνόμενον ἢ προπερισπώμενον συνεσταλμένον ἔχει τὸ ᾱ Ἀντιόχεια, ταχεῖα, ὀξεῖα.

Τὰ διὰ τοῦ αια παρώνυμα παραγόμενα ἐκ θηλυκῶν εἰς ᾱ ἢ εἰς η̄ ἐκτεταμένον ἔχει τὸ ᾱ, σελήνη σεληναία, ἅμαξα ἁμαξαία, οὐρά οὐραία, ἀρχαία, ἀναγκαία. ὅθεν ἐχρῆν καὶ τὸ γαῖα ἐκτείνεσθαι, χωρὶς εἰ μὴ ἡ ποσότης τῶν συλλαβῶν ποιεῖ συνεσταλμένον τὸ ᾰ. τοιαῦτα γὰρ τὰ δισύλλαβα, γραῖα, μαῖα.

* Τὰ εἰς ᾱ λήγοντα καθαρὸν συνεσταλμένον, ὁπότε ἐστὶ ὑπὲρ δύο συλλαβάς, τὴν πρὸ τέλους ἔχει φύσει μακράν, Μήδεια, Θάλεια, Πηνελόπεια, εὔνοια, εὔχροια, ὑπεσταλμένων τῶν πρὸ τέλους ἐχόντων τὴν τρι συλλαβήν, οἷον ποιήτρια, μεσήτρια, ὁδηγήτρια, ὀρχήστρια, αὐλήτρια, μαθήτρια. παράλογος οὖν ὁ πρὸ τέλους χρόνος τοῦ πότνια, ὄμπνια, Πολύμνια, Ἰάμνια, Λάμια. ὅσα γὰρ ἔχει πρὸ τοῦ τέλους τὸ ῑ ὑπὲρ δύο συλλαβὰς ὄντα μὴ διὰ τοῦ τρια οὐκ ἐν συστολῇ ἔχει τὸ ᾱ, ἀλλ' ἐκτάσει, κακία, φιλία, κοπία, ἐσχατιά. τοῦ οὖν πότνια καὶ ὄμπνια καὶ τῶν τοιούτων ἢ ἡ πρὸ τέλους ἠλάττωται ἢ ἡ ἐπὶ τέλους.

Τὰ ἀπὸ τῶν εἰς ης ὀξυτόνων διὰ τοῦ εια προπαροξύτονα συστέλλει τὸ ᾱ, παροξύτονα δὲ ἐκτείνει, εὐσέβεια καὶ εὐσεβία, ἀμέλεια καὶ ἀμελία, συνήθεια καὶ συνηθία. τὸ μέντοι ἀμαθία μόνον παροξύνεται καὶ διὰ βραχέος ῑ γράφεται.

* Τὰ διὰ τοῦ νια θηλυκὰ τῷ ῑ παραληγόμενα συστέλλουσιν αὐτὸ ἔχοντα μακρὸν τὸ ᾱ οἷον γωνία, πενία, ξενία. σεσημείωται τὸ

Σαμίου genetivos propter canonis conformationem inserui. ἶα quod ap. Arc. in fine positum est, praemisi voci μία, cui ex Dichr. 290, 22 ὅπερ λέγεται καὶ ex Dichr. 290, 22 praeposui, et ex eodem loco in fine adieci πέπειρα. — De ἱερεία cf. Dichr. 290, 20, de βασίλεια πανδόκεια supra p. 248, 24 dixi. l. 6 Dichr. 288, 1. l. 7 Arcad. 194, 20. οὐρά οὐραία addidi ex Excerptis ex cod. Barocc. in Cr. An. Ox. III 267: λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ διχρόνων ὅτι τὰ διὰ τοῦ αια γεγονότα ἐκ θηλυκῶν πρωτοτύπων ληγουσῶν εἰς α ἢ εἰς η̄ μακρὸν ἔχουσι τὸ ᾱ οἷον ἅμαξα ἁμαξαία, σελήνη σεληναία, οὐρά οὐραία πλὴν τοῦ γαῖα. μήποτε οὖν διὰ τὴν βραχυσυλλαβίαν διηλλάγη. τοιαῦτα γὰρ καὶ τὰ δισύλλαβα τὰ μὴ ὄντα παρώνυμα οἷον γραῖα, μαῖα. ἀναγκαία adieci ex Dichr. 288, 24, unde etiam pro Arcadii verbis τὸ γαῖα συνέσταλται posui ὅθεν ἐχρῆν usque ad finem. l. 13 Dichr. 289, 4. l. 23 Arcad. 195, 18. cf. Choer. Orth. 179: ἀμέλεια. δίφθογγον παρὰ τὸ ἀμελής. Ἀμαθία: ῑ ἡ παράδοσις καὶ βραχύ. Ἀλήθεια: ἔστιν κανὼν ὁ λέγων, ὅτι τὰ εἰς ης ἀρσενικὰ εἰς ᾱ θηλυκὸν μεταγόμενα διὰ τῆς ει διφθόγγου γράφεται· καὶ μάλιστα ὀξύτονα ὄντα οἷον ἀληθής ἀλήθεια πλὴν τοῦ ἀμαθία. ῑ γὰρ κατὰ παράδοσιν. Theogn. 105: τὰ ἀπὸ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν διὰ τοῦ ιᾱ γινόμενα πρὸ τέλους ἔχοντα τὸν τόνον διὰ τοῦ ῑ γράφονται οἷον εὐώδης εὐώδους εὐωδία, δυσώδης δυσώδους δυσωδία, εὐφυής εὐφυοῦς εὐφυΐα, εὐτυχής εὐτυχοῦς εὐτυχία, τριετής τριετοῦς τριετία. πρὸ τέλους ἔχοντα τὸν τόνον πρόσκειται, ἐπεὶ τὰ προπαροξυνόμενα διὰ τῆς ει γράφονται οἷον εὐλαβής εὐλάβεια καὶ εἴ τι ὅμοιον. l. 27 canonem sumpsi ex E. M. 110, 21, ex An. Ox. III 339, 18

ἀνία, ἐπειδὴ ἀπὸ τοῦ ἰῶ γίνεται, ὅπερ ἔχει μακρὸν τὸ ῑ. τὸ δὲ κονία διφορεῖται.

* Πᾶν εἰϲ ᾱ λῆγον θηλυκὸν ὄνομα ἔχον πρὸ τοῦ ᾱ ἕν τι τῶν διπλῶν ἢ τὸ ϲ̄ ἢ τὸ ν̄, μὴ κατὰ πάθοϲ ἢ διάλεκτον, ἔχει τὸ ᾱ ϲυνεϲταλμένον, χάλαζα, ἅμαξα, ἀμφίϲβαινα, Λάκαινα, χαρίεϲϲα, μοῦϲα. τὸ δὲ Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ καὶ ὅϲα τοιαῦτα, ἐϲτὶ κατὰ πάθοϲ, τὸ δὲ Ἑλένα καὶ ὅϲα τοιαῦτα, ἐϲτὶ κατὰ διάλεκτον.

* Τὰ εἰϲ ᾱ λήγοντα, ὁπότε ἔχει πρὸ τοῦ ᾱ διπλοῦν, δίχρονον δὲ πρὸ τοῦ διπλοῦ, πάντωϲ ϲυνεϲταλμένον αὐτὸ ἔχει, ὡϲ τὸ ῥίζα, ϲχίζα, ϲπίζα, δίψα, Δούριζα λίμνη, Βόρυζα πόλιϲ Περϲική, Ἀράβυζα τῆϲ Καυκωνίδοϲ πόλιϲ, ὄρυζα, φύζα, ἄζα, γάζα, χάλαζα. ϲημειῶδεϲ ἄρα ἡ μᾶζα ἐκτείνουϲα τὸ πρὸ τέλουϲ ᾱ.

* Τὰ εἰϲ ϲ̄ᾱ λήγοντα θηλυκὰ εἴτε ἐπ' ὀνομάτων εἴτε καὶ ἐπὶ μετοχῶν, εἰ ἔχοι τὴν πρὸ τέλουϲ ϲυλλαβὴν εἰϲ δίχρονον καταλήγουϲαν, πάντωϲ ἐκτεταμένον αὐτὸ ἔχει, πᾶϲα, πτᾶϲα, φῦϲα, δῦϲα, Τῖϲα, Κρῖϲα, κνῖϲα· οὐκ ἀγνοῶ δὲ ὅτι Πίϲαν εἶπεν κατὰ ϲυϲτολὴν Πίνδαροϲ (Ol. I 28). εἰ μέντοι εἰϲ ϲύμφωνον λήγει ἡ πρὸ τέλουϲ ϲυλλαβή, τὸ δίχρονον ϲυϲτέλλεται, θάλαϲϲα, ἄναϲϲα, πίϲϲα, νύϲϲα, λύϲϲα.

Τὰ διὰ τοῦ ῡρᾱ θηλυκὰ ἀμοιβὴν ποιοῦνται τοῦ χρόνου· ἢ γὰρ ἐκτείνουϲι τὸ ῡ καὶ ϲυϲτέλλουϲι τὸ ᾰ καὶ προπαροξύνονται, ἄγκυρα, Κέρκυρα, ὄλυρα, γόργυρα. ἢ ἐκτείνοντα τὸ ᾱ ϲυϲτέλλει τὸ ῠ καὶ παροξύνεται, Ἐφύρα, πορφύρα, Ζεφύρα. ϲεϲημείωται τὸ κολλύρα τὰϲ δύο ἐκτεῖνον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν διϲυλλάβων. πυρά ἐκτείνει τὸ ᾱ, ϲυϲτέλλει δὲ τὸ ῠ, τό τε λύρα καὶ θύρα βαρυνόμενα, τὸ δὲ ϲφῦρα ἐκτεῖνον τὸ ῡ καὶ ϲυϲτέλλον τὸ ᾰ.

* Τὰ εἰϲ ρᾱ λήγοντα διϲύλλαβα μὴ ἐπὶ τέλουϲ ἔχοντα τὸν τόνον, εἰ μὲν διφθόγγῳ παραλήγεται, ϲυϲτέλλει τὸ ᾰ, πεῖρα, ϲτεῖρα, ϲπεῖρα, ϲφαῖρα, πρῷρα, εἰ δὲ ἑνὶ φωνήεντι μακρῷ, ἐκτείνει αὐτὸ χώρα, ψώρα, χήρα, πήρα, ὤρα, ὥρα.

Τὰ εἰϲ ρᾱ μετ' ἐπιπλοκῆϲ ϲυμφώνου ἐκτείνει τὸ ᾱ, Ἠλέκτρα, ποτίϲτρα, καλύπτρα, ἐνέδρα, κολυμβήθρα. ϲεϲημείωται τὸ Τάναγρα καὶ ϲκολόπενδρα.

* Τὰ εἰϲ κ̄η̄ λήγοντα θηλυκὰ διϲύλλαβα μονογενῆ βαρύτονα, ὅτε ἔχει πρὸ τέλουϲ τὸ ῐ, ἤτοι ϲυνεϲταλμένον ἔχει αὐτὸ ἢ ἐκτεταμένον. καὶ τότε μὲν ϲυνεϲταλμένον ὁπότε ϲύμφωνον ὁρᾶται πρὸ τοῦ κ̄ καταλῆγον, τότε δὲ ἐκτεταμένον ὁπότε οὐχ οὕτωϲ ἔχει. οἷον Κίρκη, Δίρκη, Τρίκκη. ϲυνέϲταλται δὲ τούτων τὸ ῐ, ἐπεὶ ϲύμφωνον ἦν

---

addens τὸ δὲ κονία διφορεῖται. l. 3 Dichr. 288, 3 cf. Mon. 7, 32. l. 8 canonem composui ex Dichr. 288, 20 et Mon. 31, 19. l. 13 Dichr. 289, 22. l. 19 Arc. 194, 11. pro τοῦ τόνου scripsi τοῦ χρόνου. — γόργυρα adieci ex Mon. 17, 24, indidem Ζεφύρα, verba τὸ δὲ αὐτὸ καὶ ἐπὶ διϲυλλάβων usque ad finem ex Dichr. 288, 8. l. 26 canonem sumpsi ex Ep. Cr. I 449, 19, E. M. 823, πρῷρα addens ex Arcad. 101, 17. l. 30 Arcad. 194, 17, κολυμβήθρα apposui ex Dichr. 288, 18. l. 33 Mon. 14, 1.

πρὸ τοῦ κ̄. τοῦ δὲ ἑτέρου νίκη, φρίκη. ἡ τοίνυν δίκη cημειῶδεc· λείπει γὰρ ἢ χρόνῳ ἢ cυμφώνῳ.

Τὰ διὰ τοῦ ινη ὑπὲρ τρεῖc cυλλαβὰc ἐκτείνει τὸ ῑ, Αἰητίνη, θριδακίνη, ἡρωΐνη, ἰατρίνη, Ὠκεανίνη. τὸ εἰλαπίνη, Μολυβδίνη ὄνομα πόλεωc cυνέcταλται. ὑπὲρ τρεῖc cυλλαβὰc ἔφην διὰ τὸ cατίνη, ἔcτι δὲ εἶδοc ἅρματοc, καὶ τὸ Ἀcίνη, ἔcτι δὲ ὄνομα πόλεωc, καὶ μυρcίνη, οὐκ ἐκείνου ἀποφαινομένου ὡc τὸ τριcύλλαβον cυcτέλλει τὸ ῑ· πολλάκιc γάρ ἐcτι τὰ ἐκτείνοντα τὸ ῑ, ὡc ἔχει τὸ δωτίνη, ὑcμίνη, πυτίνη.

Τὰ εἰc υνη θηλυκὰ διcύλλαβα ἐκτείνει τὸ ῡ, μύνη, Φρύνη, Βύνη πλὴν τοῦ γυνή. τὰ δὲ ὑπὲρ δύο cυλλαβὰc cυcτέλλει τὸ ῡ διὰ τοῦ cυνη ὄντα, κερδοcύνη, βριθοcύνη, ὑποθημοcύνη, καλλοcύνη. εἰ δὲ μὴ ἔχοι τὸ c̄ πρὸ τοῦ ῡ, ἀδιάφορον ἔχει τὸν χρόνον. Δελφύνη γὰρ καὶ χελύνη ἐκτεταμένωc, κορύνη δὲ καὶ Ταμύνη cυνεcταλμένωc ὡc τορύνη. ἐκτείνουcι δὲ Ἀττικοὶ τὸ τορύνη.

* Τὰ εἰc τη λήγοντα διcύλλαβα μονογενῆ καθαρά, εἰ ἔχοι πρὸ τέλουc τὸ ᾱ, cυνεcταλμένον αὐτὸ ἔχει, πλάτη, μάτη, ἔνθεν καὶ γενικὴ παρὰ Cοφοκλεῖ «οὔτι τοι μέτρον μάταc», Βατή δῆμοc Ἀττικοῖc. ἀδιάφορα γὰρ τὰ τοῦ τόνου. cημειῶδεc ἄρα τὸ ἄτη ἐκτεῖνον τὸ ᾱ. λέγεται δὲ καὶ τριcυλλάβωc ἐν cυcτολῇ τοῦ ᾱ, ὡc παρὰ τῷ Κυρηναίῳ «εἴτε μιν Ἀργείων χρὴ καλέειν Ἀάτην».

* Πᾶν εἰc ᾱ λῆγον οὐδέτερον ἑνικὸν cυνεcταλμένον ἔχει τὸ ᾱ, βῆμα, αἷμα, ποίημα, νόημα. τὸ τοίνυν κάρα ἐκτεινόμενον ἐξ ἀποκοπῆc ἐcτι τοῦ κάρανον.

* Τὰ εἰc μα διcύλλαβα τῷ ῡ παραληγόμενα cυcτέλλειν αὐτὸ θέλει, πλύμα, χύμα, ῥύμα, φύμα, θύμα, λύμα. διὸ cημειούμεθα τὸ κῦμα μόνωc ἐκτεινόμενον. ἱcτοροῦcι μέντοι Ἀττικοὺc τὸ λῦμα ἐκτείνειν καὶ τὸ φῦμα.

* Πᾶν εἰc αν λῆγον οὐδέτερον τὸν χρόνον ἔχει τοῦ ᾱ τοῦ κατὰ τὴν γενικὴν τοῦ ἀρcενικοῦ, τάλανοc τάλαν, μέλανοc μέλαν, cτάντοc cτάν, βάντοc βάν. ποιητικῶc γὰρ ἐκτέτατο «ἵνα μὴ τὸ γῆραc ἐπαναβὰν αὐτὸν λάθῃ». ἐπεὶ οὖν παντόc φαμεν κατὰ cυcτολὴν καὶ πάν ὀφείλομεν λέγειν κατὰ cυcτολήν, ὥcπερ Αἰολεῖc καὶ Δωριεῖc ἀποφαίνονται. ἡ μέντοι παρ' ἡμῖν ἔκταcιc τοῦ ᾱ καὶ παρὰ τοῖc Ἀττικοῖc καὶ παρὰ τοῖc Ἴωcιν ἀφορμὴν ἔχει τὸν τόνον. διὰ γὰρ τὸ δέξαcθαι τὴν

---

l. 3 Arcad. 195, 6, ἰατρίνη, Ὠκεανίνη adieci ex Dichr. 291, 23, unde etiam verba ὑπὲρ τρεῖc cυλλαβὰc ἔφην usque ad finem sumpsi. l. 10 Arcad. 193, 27, Βύνη addidi ex Dichr. 287, 19, pro διὰ τὸ cυνη scripsi διὰ τοῦ cυνη ὄντα, καλλοcύνη addidi ex Dichr. l. c., unde etiam pro Arcadii verbis ἀλλὰ καὶ κορύνη, χελύνη, Ταμύνη· ἐκτείνουcι δὲ Ἀττικοὶ τὸ τορύνη posui εἰ δὲ μὴ ἔχοι — ὡc τορύνη servatis extremis Arcadii verbis, pro quibus in Dichr. leguntur Ἀττικῶc δὲ ἐκτεταμένωc. l. 16 Mon. 42, 22 s. ἄτη, ubi additur τὸ δὲ αἴτιον τῆc ἐκτάcεωc ἐν τῇ διcυλλάβῳ προφορᾷ ἐν ἑτέροιc εἴπομεν. l. 22 Dichr. 289, 15. l. 25 Dichr. 294, 4. l. 29 Dichr. 290, 1.

περισπωμένην τοῦ πᾶς ἀρσενικοῦ ἐκτείνει τὸ ᾱ. ὅταν μέντοι τὸ πᾶν δισυλλάβως λέγηται, τότε ἕξει τὸ ᾱ συνεσταλμένον, σύμπαν, ἅπαν. εὕρηται παρ' Ἀθηναίοις ἐκτεῖνον τὸ ᾱ.

Τὰ διὰ τοῦ αριον ὑποκοριστικὰ παρὰ τοῖς παλαιοῖς Ἕλλησι συστέλλει τὸ ᾰ, ἱππάριον, πλοιάριον, φυτάριον. ἡ μέντοι νῦν συνήθεια ἀπὸ τῆς τῶν Ῥωμαίων διαλέκτου πολλὰ ἐπίσταται διὰ τοῦ αριον ἐκτεταμένα, σουδάριον λέγουσα καὶ κελλάριον.

* Τὰ διὰ τοῦ υλον οὐδέτερα δισύλλαβα καθαρὰ μονογενῆ ἐκτείνει τὸ ῡ οἷον σκῦλον, φῦλον, κῦλον. σεσημείωται τὸ ξύλον.

* Τὰ εἰς ας λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλονται, κρέας, τέρας, δέπας, κέρας.

Τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἔχοντα πρὸ τοῦ τέλους τὸ ᾱ, συνεσταλμένον αὐτὸ ἔχει, δάος, φάος, χάος, ἄχος, σάκος, βάρος, πάθος, κράτος, θράσος. πλὴν τοῦ φᾶρος «φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς ἠδὲ χιτῶνα» (π 173)· οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ ᾱ καὶ συστέλλουσι. καὶ τοῦ πρᾶγος· τοῦτο δὲ παρὰ τὸ πρήσσω καὶ πράσσω γενόμενον συνεκτεινόμενον ἔσχε τῷ ῥήματι τὸ ᾱ. τὸ δὲ μᾶκος ἐστὶ κατὰ διάλεκτον ἐκ τοῦ μῆκος.

* Πᾶσα αἰτιατικὴ ἀπαθὴς εἰς ᾱ λήγουσα συστέλλεσθαι θέλει, Ἀλκμᾶνα, ποιμένα, Ἕκτορα, θώρακα, Αἴαντα, Ἀχιλλέα, βασιλέα. Ἀττικοὶ μέντοι ἐκτείνουσι τὰς ἀπὸ τῶν εἰς ευς, Ἀτρέα λέγοντες καὶ ἱερέα. πρόσκειται ἀπαθὴς διὰ τὸ χοᾶ καὶ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ.

* Τὰ εἰς ιν λήγοντα ἐν τῇ αἰτιατικῇ πάντα βραχέα ἐστίν, οἷον Εὔπολιν, Ἄλεξιν, ἔχιν, Θέτιν. οὕτω γοῦν καὶ μῆνιν, διὸ τὴν κνημῖδα καὶ σφραγῖδα οἱ Αἰολεῖς κνᾶμιν καὶ σφρᾶγιν λέγοντες μετὰ ὀλιγότητος συλλαβῶν συστέλλουσιν.

Αἱ εἰς αι λήγουσαι εὐθεῖαι πληθυντικαὶ ἐκτείνουσαι τυγχάνουσι τὸ α τῶν αἰτιατικῶν, Σκύθαι Σκύθας, καλαί καλάς, οἱ δὲ Δωριεῖς συστέλλουσι Σκύθας, ναῦτας.

* Τὰ εἰς ω λήγοντα καθαρὰ βαρύτονα ῥήματα, ὑπὲρ δύο συλλαβὰς ὑπάρχοντα, εἰ παραλήγοιτο τῷ ῑ, μόνῳ ἐκτεταμένῳ αὐτῷ παραλήγεται, χωρὶς εἰ μὴ σύνθετα εἴη ἢ κατ' ἔλλειψιν τοῦ ζ, κυλίω, ἀλίω, μηνίω, δηρίω, κονίω, ἰδίω. τὸ δὲ ἐσθίω συστέλλει τὸ ῐ. ἐφυλαξάμην δὲ σύνθετα διὰ τὸ ἀτίω τήν τε ἔλλειψιν τοῦ ζ διὰ τὸ μαστίω. τὸ δὲ δειδίω οὐ ῥητόν. τὸ δὲ κηκίω ἐκ διπλασιασμοῦ «πολλὴ δ' ἀνεκήκιεν ἅλμη».

---

l. 4 Arcad. 195, 4, φυτάριον usque ad finem addidi ex Dichr. 291, 19. l. 8 canonem recepi ex Ep. Cr. I 427, E. M. 802, 17. l. 10 Dichr. 283, 22. l. 12 Arcad. 195, 13. ἄχος — θράσος addidi ex Dichr. 295, 3, item verba Homerica ad φᾶρος, οἱ μέντοι τραγικοὶ — συστέλλουσι ex Mon. 36, 20 et τοῦτο δὲ usque ad finem ex Dichr. l. c. l. 19 Dichr. 291, 14. l. 24 ex Herodian. ap. Eustath. 8, 42. l. 28 Arcad. 195, 23 adhibitis Dichr. 296, 17, unde οἱ δὲ Δωριεῖς usque ad finem recepi. l. 31 Dichr. 298, 10 cf. Mon. 43, 31.

* Τὰ εἰς πτω λήγοντα ῥήματα, εἰ ἔχοι τὸ ῑ πρὸ τοῦ τέλους, συνεσταλμένον αὐτὸ ἔχει, λίπτω, ἴπτω, χρίπτω· διὸ σημειούμεθα τὸ πίπτω καὶ ῥίπτω.

* Τὰ διὰ δύο σσ παραγωγὰ ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα ὅτε ἔχει δίχρονον πρὸ τέλους συστελλόμενον αὐτὸ ἔχει, ἀράσσω, πατάσσω, χαράσσω, ἀλλάσσω, ἀφύσσω. δῆλον οὖν ὅτι καὶ τὸ θαάσσω ὀφείλει τὸ ᾱ συστελλόμενον ἔχειν. τὸ δὲ ἐλασσῶ περισπᾶται παρὰ τὸ ἔλασσον γενόμενον. διὸ βαρύτονα πρόσκειται.

* Τὰ διὰ τοῦ αζω δισύλλαβα συστέλλει τὸ ᾱ, ὑπεσταλμένων τῶν Αἰολικῶν, διὰ τὸ πτάζω καὶ πλάζω, ὅθεν ἐπιπλάζω ἀντὶ τοῦ ἐπιπλήσσω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· στάζω, φράζω, βάζω, σφάζω. παραλόγως ἄρα τὸ κράζω ἐκτέταται. καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχει συνεσταλμένον τὸ ᾱ, χωρὶς εἰ μὴ ἔχοι πρὸς τῷ ᾱ τὸ ῑ, διὰ τὸ ματᾴζω, σφαδᾴζω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· σκιάζω, ἐνθουσιάζω, ἀγοράζω. τινὲς δὲ ἐκτείνουσι τὸ «ὅδ' ἀγοράζει κλεῖδ', ἔχων». τουτέστιν ἐν ἀγορᾷ διατρίβει, πρὸς διαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι.

* Πᾶν ῥῆμα εἰς ζω λῆγον ἔχον πρὸ τέλους τὸ ῑ συνεσταλμένον αὐτὸ ἔχει, οἰκίζω, κιθαρίζω, πολεμίζω, ἐλπίζω, σκελίζω. τὸ μέντοι δανείζω διὰ τῆς ει διφθόγγου γράφεται, οὐ μέντοι διὰ ἐκτεταμένου τοῦ ῑ.

Τὰ διὰ τοῦ ανω ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ ᾱ, λιμπάνω, ἀνδάνω, λαμβάνω, μανθάνω, λανθάνω, τὸ μέντοι ἱκάνω καὶ κιχάνω ἄλογον ἔχοντα τὸν πρῶτον χρόνον τοῦ ἀορίστου ἐκτείνει τὸν δεύτερον.

Τὰ διὰ τοῦ υνω ῥήματα ὑπερδισύλλαβα βαρύτονα ἐκτείνει τὸ ῡ, ὀτρύνω, μολύνω.

Τὰ εἰς σι λήγοντα ῥήματα μακρᾷ παραλήγει, ἱστᾶσι, κιχρᾶσι, ἑστήκασι, βεβασιλεύκασι, τετύφασι, γεγράφασι, νενοήκασι. ποιηταὶ δὲ ἐνίοτε συστέλλουσι, ὡς παρὰ Ξενοφάνει «ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες» καὶ πάλιν «ὁππόσα δὴ θνητοῖσι πεφήνασιν εἰσοράασθαι», καὶ παρ' Ἀντιμάχῳ «οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ» καὶ παρὰ Ὁμήρῳ (λ 304) «τιμὴν δὲ λελόγχασι». τοιοῦτον δὲ καὶ τὸ «ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασι» (η 114) καὶ ἕτερα πλεῖστα.

* Τὰ διὰ τοῦ σκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουσαν «ὧδε δέ τις εἴπεσκε» (Β 271) καὶ «τὴν αὐτὸς φορέεσκε» (Il. Ο 646). οὕτως καὶ ἔασκε.

---

l. 1 Dichr. 286, 22. l. 4 Dichr. 292, 11. l. 9 Dichr. 292, 17 cf. Mon. 22, 33. l. 18 Dichr. 301, 6. l. 22 Arcad. 196, 1. μανθάνω λανθάνω recepi ex Dichr. 286, 18, unde etiam sumpsi τὸ μέντοι ἱκάνω usque ad finem pro Arcadii verbis πλὴν τοῦ ἱκάνω κιχάνω. l. 26 Arc. 194, 3. l. 28 Arc. 195, 16. ἑστήκασι — νενοήκασι adieci ex Dichr. 296, 4, unde etiam verba ὡς παρὰ Ξενοφάνει usque ad finem apposui. l. 36 Il. Pr. B 832.

* Πᾶς δεύτερος ἀόριστος ἐπὶ τῶν εἰς μι μακροκατάληκτός ἐστιν, ἔγνων, ἑάλων, ἐξέτρων, ἔτλην, ἔστην, ἔδην, ἔφην. ἔφυν ἄρα καὶ ἔδυν.

* Τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα μὴ κατὰ Αἰολίδα διάλεκτον τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν φιλεῖ πρὸ τέλους βραχύνεσθαι, λέγεσθαι, τίθεσθαι, ἵστασθαι, πίμπρασθαι. τὰ γὰρ τοιαῦτα δίζησθαι, φίλησθαι ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. οὕτως οὖν καὶ ταῦτα ἀναγνωστέον τῆς παραληγούσης βραχυνομένης, δεδάασθαι, μηχανάασθαι, αἰτιάασθαι, ἑδριάασθαι, μνάασθαι. τὸ δὲ δηριαάσθων (Φ 467) τὸ δεύτερον ᾱ ἐκτατέον. τοῦτο γὰρ ὁ χαρακτὴρ βούλεται.

* Αἱ εἰς ς λήγουσαι μετοχαὶ ἀρσενικαὶ ἤτοι βραχυκατάληκτοί εἰσιν, ὡς αἱ εἰς ος λήγουσαι, τυπτόμενος, λεγόμενος ἢ μακροκατάληκτοι ὡς αἱ μὴ οὕτως ἔχουσαι, πεποιθώς, διδούς, βιούς· εἰ δὲ εἰς δίχρονον λήγουσιν, ἐκτεταμένον αὐτὸ ἔχουσιν, ἱστάς, βιβάς, ζευγνύς, δύς, φύς.

* Τὰ εἰς ζε λήγοντα ἐπιρρήματα, ὁπότε ἔχει πρὸ τέλους τὸ ᾰ, συνεσταλμένον αὐτὸ ἔχει, Ἀθήναζε, θύραζε, Θήβαζε, ἔραζε. τὸ μέντοι χαμᾶζε ἐκτείνει τὸ ᾱ καὶ προπερισπᾶται.

* Τὰ εἰς τι λήγοντα ἐπιρρήματα, εἰ γένοιτο ἀπὸ τῶν εἰς ζω ληγόντων ῥημάτων ἢ ἀπὸ τῶν εἰς ως ἐπιρρημάτων, συστέλλειν θέλει τὸ ῐ, Ἰαστί, Λυδιστί, Φρυγιστί, Δωριστί, μεγαλωστί, δημιωστί, ἱερωστί, νεωστί. τὸ μέντοι ἀπνευστί καὶ ἀνωιστί παρὰ τὸ ἄπνευστος καὶ ἀνώϊστος. τὰ δὲ ἀπὸ τῶν πτωτικῶν οὕτω μηκύνεται, ὡς ἔχει τὸ ἀκονιτί, ἀναιμωτί, ἀκλαυτί, πανθοινί, ἀκριτί, ἀμογητί. τὸ ῑ δὲ ἔσθ' ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ «Νέστωρ δ' ὁ γέρων ἀμογητί» καὶ τὰ ἑξῆς (Λ 636). οὕτω δὲ καὶ ἀμισθί «ἀμισθὶ γάρ σε πάμπαν».

* Τὰ εἰς αν λήγοντα ἐπιρρήματα ἐκτείνουσι τὸ ᾱ, ἄγαν, λίαν, πέραν, εὐάν, ὑπεσταλμένου τοῦ πάμπαν. τὸ γὰρ ὅταν δύο μέρη λόγου ἐστί, ὅτε καὶ ἄν. τὸ δὲ τάλαν ὀνοματικόν ἐστι.

* Τὰ εἰς υς ἐπιρρήματα εἰ λέγοιτο ἄνευ τοῦ ς ἰσόχρονα λέγεται, μεσσηγύς μεσσηγύ. τὸ μέντοι ἄντικρυς μεταβαλὸν τὸν τόνον μετέβαλε καὶ τὸν χρόνον.

Περὶ πνευμάτων.

Πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, ὅ, οὗ, ᾧ. τὸ δὲ ὦ ψιλοῦται, οὐ γὰρ ἄρθρον, ἀλλ' ἐπίρρημα κλητικόν.

---

l. 1 Il. Pr. Δ 222. l. 4—9 μνάασθαι ex Il. Pr. Z 268 in brevius contraxi, quum eundem canonem iam supra p. 467, 7 proposuerim, τὸ δὲ δηριαάσθων usque ad finem apposui ex Il. Pr. Φ 467. l. 11 Dichr. 291, 1. l. 16 Dichr. 292, 28 cf. Mon. 46, 19, Il. Pr. Γ 29. l. 19 Dichr. 300, 16. l. 28 Dichr. 290, 13. l. 31 Dichr. 301, 1. In spirituum doctrina adornanda sic egi, ut canones ab Arcadio valde disturbatos certo ordini adstringerem et quae ab eo omissa sunt, et ex fragmentis Catholicae dispersis explerem et ex praeceptis in Prosodia Homerica servatis. l. 35 Arcad. 200, 16.

Πᾶϲα ἀντωνυμία ἀποβαλλομένη τὸ ϲ̄ δαϲύνεται, ϲόϲ ὅϲ, ϲοῦ οὗ, ϲέθεν ἕθεν.

Πᾶϲα πρόθεϲιϲ ἀπὸ φωνήεντοϲ ἀρχομένη ψιλοῦται, πλὴν τῆϲ ὑπό καὶ ὑπέρ οἷον ἀντί, ἐπί, ἀμφί, ἀπό, ἐν, ἐξ.

* Τὰ πλεονάζοντα φωνήεντα ἐν λέξεϲι ταῖϲ ἀπὸ φωνήεντοϲ δαϲυνομένου ἀρχομέναιϲ μεταληπτικὰ γίνονται τοῦ δαϲέοϲ πνεύματοϲ οἷον ἥνδανεν ἑήνδανεν, ἕερϲα, ἕεδνα, ἑώρων.

Τὸ ῡ πλεονάζον ψιλοῖ τὰ πρὸ αὐτοῦ φωνήεντα, ὅροϲ οὖροϲ, ἕκηλοϲ εὔκηλοϲ, ὁδόϲ οὐδόϲ, ἕαδε εὔαδε, ὅλοϲ οὖλοϲ.

* Τὰ εἰϲ ο̅ϲ̅ λήγοντα οὐδέτερα διϲύλλαβα ἀρχόμενα ἀπὸ φύϲει μακρᾶϲ ψιλοῦται, αἶϲχοϲ, ἦθοϲ, εὖροϲ, εἶδοϲ. οὕτωϲ οὖν καὶ ἦδοϲ ἀπὸ τοῦ ἡδονή μεταϲχηματιζόμενον.

Πᾶν φωνῆεν πρὸ τοῦ χ̄ ψιλοῦται, ἔχω, ἄχοϲ, ἠχώ. τὸ γὰρ ᾗχι δαϲύνεται, ὅτι κατ' ἐπέκταϲίν ἐϲτι τῆϲ χι̅. τὸ δὲ ῡ καθαρὸν ἐν ἀρχῇ λέξεωϲ παρὰ πᾶϲιν Ἕλληϲι πρὸ τοῦ χ̄ εἶναι ἀπείρηται. καὶ τὸ αἴτιον ἐχυρόν. πᾶν γὰρ φωνῆεν πρὸ τοῦ χ̄ ψιλοῦται καὶ τὸ ῡ ἐν ἀρχῇ λέξεωϲ δαϲύνεται, δύο οὖν κανόνων ἀλλήλοιϲ ἀνθιϲταμένων ἐξέφυγεν τὸ ῡ πρὸ τοῦ χ̄ καθαρὸν εὑρίϲκεϲθαι.

Τὸ ε̄ καὶ ο̄ πρὸ δαϲέοϲ ψιλοῦται, ὄφιϲ, ἔθνοϲ, Ἔφεϲοϲ.

Πᾶν φωνῆεν, πλὴν τοῦ ῡ, ἐπαγομένων δύο δαϲέων, ἢ δαϲέοϲ ϲὺν ἀμεταβόλῳ ψιλοῦται, ἴφθιμοϲ, ἄφνω, ἰχθῦϲ. ϲεϲημείωται τὸ ἑφθόϲ.

---

l. 1 Arcad. 200, 19. ϲέθεν ἕθεν addidi ex Il. Pr. I 540 cf. Apoll. de pron. 74. l. 3 Arcad. 196, 25. l. 5 Ep. Cr. I 316, 20, ubi λέγει ὁ Ἡρωδιανὸϲ ὅτι τὰ πλεονάζοντα κτλ. cf. E. M. 614, 44. Il. Pr. Υ 171, Ω 134, Ν 543 τὸ προϲερχόμενον ε̄ ἐν ταῖϲ δαϲυνομέναιϲ λέξεϲι μεταληπτικὸν γίνεται τῆϲ ἐκείνων δαϲύτητοϲ, πρόδηλον κἀκ τοῦ ἕερϲα, ἕεδνα, ἑήνδανε ἑώρων, οὕτωϲ οὖν καὶ τὸ ἑάφθη ἔχει. ϲημαίνει δὲ τὸ οἱονεὶ ϲυνήφθη αὐτῷ. ταῦτα μὲν ὁ Τυραννίων. εἰ δὲ ἠβούλετο καὶ διαίρεϲιν παραλαμβάνειν ὁ ἀνήρ, οὐδὲν ἦν κωλῦον. Hinc addidi ἕερϲα — ἑώρων. Ad spiritum nihil interest, utrum diaeresis an pleonasmus locum habeat, nam ὅου spiritum integri οὗ retinet, quamquam ο̄ non ex pleonasmo habet, sed ex distractione, ut exponit Herodian. in E. M. l. c. l. 8 Arcad. 197, 3. ὅλοϲ οὖλοϲ adieci ex Il. Pr. Ξ 340: τὰ δαϲυνόμενα ἐν τῇ ἐπενθέϲει τοῦ ῡ ψιλοῦται ὡϲ ὅλοϲ οὖλοϲ· οὕτωϲ οὖν καὶ τὸ ἕαδεν εὔαδεν γένοιτο ψιλούμενον. Α 554, Β 153. l. 10 Schol. ad Apollon. Α 1294, ubi: Ἡρωδιανὸϲ ἐν τῷ εἰκοϲτῷ φηϲὶν ὅτι τὰ εἰϲ ο̅ϲ̅ λήγοντα usque ad οὕτωϲ οὖν καὶ ἦδοϲ, cui ex Il. Pr. Α 576 coll. I 6 addidi ἀπὸ τοῦ ἡδονή μεταϲχηματιζόμενον. Parum apte in Schol. ad Apoll. additur τὸ δὲ ἠθμόϲ δαϲύνεται κτλ. quae sumpta sunt ex canone de η̄ ante aspiratam literam leniendo, cui infra p. 543, 23 apposui. Eundem canonem auctore Herodiano nominato servavit etiam Suid. s. v. ἦμαρ, qui inconvenienter ἦμαρ coniungit cum neutris in ο̅ϲ̅: ὁ Ἡρωδιανόϲ φηϲιν, ὅτι τὰ εἰ ϲ̅ο̅ϲ̅ οὐδέτερα εἰ ἀπὸ φύϲει μακρᾶϲ ἄρχονται ψιλοῦνται, οἷον αἶϲχοϲ, εὖχοϲ, εὖροϲ, ἦθοϲ. οὕτω καὶ ἦδοϲ καὶ ἦμαρ. Σοφοκλῆϲ, quem locum infra p. 543, 11 proposui. Transiit hic canon in Ep. Cr. I 193, 26, ubi Tryphonis Herodiano contraria opinio, ut videtur, ex ipso Herodiano profertur: Τρύφων ὁ γραμματικὸϲ ϲυγκατατίθεται τοῖϲ δαϲύνουϲι τὴν λέξιν ταύτην, διότι ἀπὸ τοῦ ἥδεϲθαι, ὅπερ ϲημαίνει τὸ τέρπεϲθαι, γέγονε καὶ ὥϲπερ ἀπὸ τοῦ ἕλκεϲθαι ἐγένετο ἕλκοϲ καὶ ἐφυλάχθη τὸ αὐτὸ πνεῦμα, οὕτωϲ καὶ ἀπὸ τοῦ ἥδεϲθαι φυλάξει τὸ αὐτὸ πνεῦμα. cf. An. Paris. III 367, 14. l. 13 Arcad. 196, 28. τὸ δὲ ῡ usque ad finem addidi ex Herod. ἐν τῇ τάξει τῶν κδ' ϲτοιχείων ap. Theogn. p. 26, quae transscripsit auctore tacito Choer. Dict. 637, 24.
l. 19 Arcad. 199, 9. l. 20 Arcad. 198, 5.

Πᾶν φωνῆεν πρὸ δαςέος καὶ τοῦ ρ̄ ψιλοῦται, ὀφρῦς, ἀφρός, ὄφρα, ἀθρῶ «ἡ δ' οὔτ' ἀθρῆςαι δύνατο» (Od. τ 478). τὸ ἁθρόος, ὅτε ἐπιτατικὸν ἔχει τὸ ᾱ, δαςύνεται παρ' Ἀττικοῖς.

Πᾶν φωνῆεν εἰς ρ̄ λῆγον ἐπιφερομένου δαςέος ψιλοῦται, ἄρχω, ἔρχομαι, ὄρχος, ὀρφανός, ὕρχα τὸ ταριχηρὸν ἀγγεῖον. Ἀττικοὶ δὲ δαςύνουςι τὸ εἱρκτή εἱρχθῆναι.

* Τὰ φωνήεντα καταλήγοντα εἰς τὸ ρ̄ ἐπιφερομένου τοῦ ς̄ ψιλοῦςθαι φιλεῖ, ἄρςαντες, Ἀρςινόη «ἐς δὲ σταθμοὺς ἄρςε» (Od. φ 45), ὄρςας «ὄρςεο κυλλοπόδιον» (Il. Φ 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερςα τριςυλλάβως.

* Τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ̄ ἐπιφερομένου τοῦ μ̄ δαςύνεται, ὅρμος, ἅρμα, Ἑρμῆς, ὅρμαθος. ἔνθεν ἡ πλείων χρῆςις τὸ ἁρμοῖ δαςύνει. τὸ μέντοι ἄρμενον καὶ ὄρμενον ψιλὸν πνεῦμα ἀνεδέξατο. καὶ τὸ ἕρματα (Α 486) εἰ καὶ ἐκ τοῦ ἐρείςματα, οὐ ψιλοῦται, ὥς τινες.

* Τὰ ᾱ καὶ τὸ ε̄ καταλήγοντα εἰς τὸ ρ̄ ἑπομένου τοῦ π̄ δαςύνεςθαι ἤθελεν, ὡς ἔχει τὸ ἅρπη, ἁρπάζω, ἁρπαλέος, ἑρπετόν, ἑρπύζω, Ἅρπυια καὶ τὸ ὅρπηξ τούτοις ἐξομοιοῦντές τινες ἠθέληςαν δαςύνειν, οἷς οὐκ ἐπείςθη ἡ παράδοςις, ἀλλὰ τῇ ἐτυμολογίᾳ· παρὰ γὰρ τὸ ὄρω πλεοναςμῷ τοῦ π̄ γεγένηται τὸ ὄνομα.

* Τὸ ε̄ καὶ ᾱ πρὸ τοῦ ρ̄ φωνήεντος ἐπιφερομένου ψιλοῦται, ἔρος, ἄρω.

Πᾶν φωνῆεν πρὸ τοῦ γ̄ ψιλοῦται, πλὴν τοῦ η̄ καὶ ῡ, ἀγορά, ἄγαν, ὠγύγιος, ἐγγύς. τὸ μέντοι ἁγνός καὶ ἅγιος τοῦ ἅζω ῥήματος τὴν δαςεῖαν ἐφύλαξαν.

* Πᾶν φωνῆεν καταλῆγον ἢ εἰς ν̄ ἢ εἰς γ̄, τῆς ἑξῆς ςυλλαβῆς ἀρ-

l. 1 Arcad. 197, 9. ἀθρῶ cum exemplo addidi ex Il. Pr. Μ 391: ἀθρήςειε: ψιλωτέον· πᾶν γὰρ φωνῆεν πρὸ δαςέος καὶ τοῦ ρ̄ ψιλοῦται, ἴδρις, Ὄθρυς, ἄχρις, ἀφρός, ὄφρα, ὑπεςταλμένου τοῦ ἅθρους πρὸς διάφορον σημαινόμενον. πρόδηλον δὲ κἀκ τῆς ςυναλοιφῆς «ἡ δ' οὔ τ' ἀθρῆςαι δύνατο». Pro ἅθρους ap. Arc. scripsi ἁθρόος coll. Ep. Cr. I 19, 12: ἁθρόος: ἄθροος καὶ ἀθρόος διαφέρει· προπαροξύτονον σημαίνει τὸ αἰφνίδιον. παροξύτονον σημαίνει τὸ ςυνηθροιςμένον, καὶ Ὅμηρος «ἡμεῖς ἀθρόοι ὧδε» (Β 439). τὸ γὰρ ἀθροιςτικὸν ᾱ δαςύνεται. Schol. ad Il. Ξ 38: ἀθρόοι δαςύνει Ἀρίςταρχος, εἰςὶ δὲ οἳ ἐψίλωςαν, ἵν' ᾖ ἄφωνοι· ἄμεινον δὲ πείθεςθαι τῷ Ἀριςτάρχῳ. Schol. ad Od. α: ἀθρόοι: δαςυντέον τὸ ᾱ καὶ πρὸ τέλους ἡ ὀξεῖα, ἐπειδὴ σημαίνει τὸ ὁμοῦ. l. 4 Arc. 197, 6. ὄρχος scripsi pro ὀρχός, ὕρχα addidi ex Choer. Dict. 638, 13, ubi idem canon proponitur. l. 7 canonem recepi ex Il. Pr. Ζ 348. l. 11 Il. Pr. Α 486. l. 16 Il. Pr. Φ 38, cuius adnotamenti initium hoc est: ὁ Ἀςκαλωνίτης ἐνθάδε γενόμενος ἀξιοῖ ψιλοῦςθαι τοὺς ὄρπηκας, ἐπεί, φηςί, παρὰ τὸ ὀρούειν ἐγένετο, ἐπιλαθόμενος ἑαυτοῦ. ἐν γὰρ ταῖς Ὀδυςςειακαῖς προςῳδίαις φηςί, ὅςα ὀνοματικῶς σχηματίζεται ἀπὸ ψιλῶν ῥημάτων, ταῦτα δαςυνθήςεται, ὡς ἀπὸ τοῦ ὀρούει ὅρπηξ. γελοῖον δὲ τὸ τοιοῦτον. ἄμεινον οὖν ἐςτιν ἐκεῖνο λέγειν, ὡς ἐπεὶ τὸ ᾱ κτλ. l. 21 Il. Pr. Α 469, ubi τὸ ἔρον ὡς Αἰολικὸν ψιλωτέον ἢ καθὸ κτλ., ἄρω recepi ex Il. Pr. Α 136: ἄρςαντες: Ἀρίςταρχος δαςύνει· ἔνθεν γάρ φηςι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρςω· τὸ δὲ ᾱ καὶ τὸ ε̄ πρὸ τοῦ ρ̄ ὄντα ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. l. 23 Arcad. 197, 26. l. 26 Il. Pr. Β 96.

χομένης ἀπὸ cυμφώνου, ψιλοῦται, ἀντίος, ἐννέα, ἔγχος, τοῦ ἀνδάνω ὑπεξαιρουμένου.

* Τὰ φωνήεντα ψιλοῦcθαι θέλει ἐπιφερομένου τοῦ c̄ ἔχοντος ἓν τῶν δαcέων, ὀcφῦc, ὀcφραίνεcθαι, ἀcφόδελοc, ἀcφάραγοc, ἀcχάλλω, ὀcχεόc, ἴcχω, ἰcχύc, ἀcθενήc, ἐcθλόc, ἆcθμα, ἔcθω, ἔcθοc, ἐcθήc.

Τὸ ᾱ ῑ ο̄ ἐπαγομένου τοῦ ψ̄ ψιλοῦται, ἄψορρον, ἴψαc, ὀψέ. τὰ δὲ παρὰ τὸ ἅψω δαcύνεται, ἅψεα, ἁψίc.

Τὸ ᾱ ῑ η̄ ο̄ πρὸ φωνήεντοc ὄντα κατὰ διάcταcιν ψιλοῦται, ἀάπτουc, ἀήcυλα, ἀΐccω, ἰάπτω, ἰατρόc, ἠΐθεοc, Ἠετίων, ἠέλιοc, ὀΐω, ὀϊcτόc. cεcημείωται τὸ ἵημι καὶ ὅcα γέγονε παρ' αὐτό, ἱερεύc, ἱέραξ, ἱόμωροc. καὶ τὸ ἰάλλω Ἀττικοὶ δαcύνουcι.

Τὸ cτερητικὸν ᾱ ψιλοῦται, ἄφιλοc, ἄοικοc, ἀλίαcτοc πλὴν τοῦ ἅλυcιc καὶ Ἅιδηc.

* Τὸ ᾱ πρὸ τοῦ γ̄ ψιλοῦται, οἷον ἀγανόc.

* Τὸ ᾱ πρὸ τοῦ δ̄ ὂν καὶ μὴ ἔχον cτερητικὴν ἔννοιαν ἢ κρᾶcίν τινα δαcύνεcθαι θέλει, cτερητικὴν μὲν οὕτωc, ἀδαήc, ἀδρανήc, ἀδευκήc, ἀδολέcχηc, κατὰ κρᾶcιν Ἅιδηc. μὴ οὕτωc δὲ ἔχον «ἅδε Ἕκτορι μῦθοc ἀπήμων» (Il. Μ 80), ἅδοc δέ μιν ἵκετο θυμὸν (Il. Λ 88), ἅδην, ἁδινόc, ἁδρόc, ἁδήν ἡ νόcοc. διὸ καὶ τὸ Ἄδωνιc κρεῖττόν ἐcτι δαcύνειν, ἵνα καὶ παρὰ τὸ ἁδεῖν τῇ δαίμονι ἐτυμολογηθῇ. μάχεται τὸ ἀδράφαξυc δεκτικὸν ἔχον τὸ ᾱ καὶ δαcυνόμενον καὶ τὸ Ἁδρίαc ψιλούμενον.

---

l. 3 Il. Pr. Ω 94, ubi ἔcθοc: ψιλῶc τὸ ἔcθοc καὶ ἐcθήc, οὐ μόνον διὰ τὴν cυναλοιφήν (e. g. ἐν τ' ἐcθῆτι Od. ω 67), ἀλλὰ καὶ καθ' ὃν λόγον ἡμεῖc προείπομεν ἀναcκευάcαντεc τοὺc ὑπὸ τῶν πρὸ ἐμοῦ εἰρημένουc· τὰ γὰρ φωνήεντα κτλ. l. 7 Arc. 199, 6. l. 9 Arc. 197, 12; l. 11 pro παρὰ τοῦ scripsi παρ' αὐτό ex Ep. Cr. I 21, 3. — De ια cf. Il. Pr. Μ 193: Ἰαμενόν: Ἀρίcταρχοc ψιλοῖ. ὁ δὲ Ἀcκαλωνίτηc φηcίν, ἐὰν μὲν ἀπὸ τῆc ἰάcεωc, ψιλωτέον, ἐὰν δὲ ἀπὸ τῆc ὁρμῆc, δαcυντέον. ἄμεινον δὲ προκρίνειν τὴν Ἀριcτάρχου· οὐδὲν γάρ ἐcτι κωλῦον τὴν ἀνάγνωcιν αὐτοῦ. De ἵημι Il. Pr. Μ 33: ἴεν: οὕτωc φέρουcι τὴν γραφήν, ἴεν ὡc τίθεν· καὶ γίνεται ἀμφίβολον πότερον αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα τοῦ ἵεcαν cυγκοπὴ ὑπάρχῃ, ὡc ἀπὸ τοῦ ἐτίθεcαν τὸ ἔτιθεν· καὶ δέον δαcύνειν· εἰ δὲ ἑνικὸν εἴη τὸ ἴεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλωτέον, ὁμοίωc τῷ «ἆccον ἴεν πολυκάρπου ἀλωῆc» (Od. ω 221)· ὅπερ οὐ πιθανόν. Τ 209: ἱείη ψιλῶc. καὶ παράκειται τὸ ἰέναι ἀπαρέμφατον. l. 13 Arc. 197, 18. cf. Μ 471: τὸ ἀλίαcτοc ψιλωτέον· ἔcτι γὰρ cτέρηcιc ἀπὸ τοῦ λιαcτόc, ὅπερ πέπτωκεν ἀπὸ τοῦ λιάζω «ἠγεῖτ', ἀμφὶ δ' ἄρα cφι λιάζετο κῦμα» (Il. Ω 96). l. 15 Il. Pr. Β 164. Canon de αβ ante hunc excidit, eum lex. de spir. sic concipit: τὸ ᾱ πρὸ τοῦ β̄, εἰ μὴ ἐπάγοιτο τῷ β̄ τὸ ρ̄, ψιλοῦται. τὸ ἁβρόc καὶ ὅcα ἀπὸ τούτου δαcύνονται. cεcημείωται τὸ ἀβρότη καὶ ἀβροτάζω τὸ ἁμαρτάνω, κυρίωc δὲ βροτοῦ ἀποτυγχάνω. De hoc Herod. in Il. Pr. Κ 65: τὸ ἀβροτάξομεν ψιλωτέον, ὁμοίωc τῷ ἤμβροτεc· τινὲc γοῦν κυρίωc ἡγοῦνται τὸ βροτοῦ μὴ ἐπιτυχεῖν ἀλλ' ἁμαρτάνειν, ὥcτε καὶ cτέρηcιν ἔγκειcθαι. l. 16 priorem partem canonis usque ad l. 21 ἐτυμολογηθῇ sumpsi ex Il. Pr. Λ 88, ἀδολέcχηc et ἅδε — θυμόν receptis ex Il. Pr. Ε 203 et ἅδην ἁδινόc ex Il. Pr. Β 87, ἁδήν ex Polluc. 8, 23: ἁδήν: ὀξύνεται ἡ λέξιc καὶ δαcύνεται παραλόγωc, ὥc φηcιν Ἡρωδιανόc, sed παραλόγωc, quum contra Herodiani sententiam sit, monente Lehrsio omisi. Extrema verba μάχεται — δαcυνόμενον apposui ex Il. Pr. Ε 203, καὶ τὸ Ἁδρίαc ψιλούμενον ex lexic. de spiritibus post Ammonium p. 208: τὸ Ἁδρίαc παρ' Ὁμήρῳ δαcύνεcθαί φηcιν Ἡρωδιανόc, ἐν δὲ τῷ καθόλου ψιλοῦcθαι, quod pervertit Moschop. p. 32: Ἁδρίαc, εἰ καὶ

Τὸ ᾱ πρὸ τοῦ ζ̄ ψιλοῦται, τὸ ἄζω ἐπὶ τοῦ ξηραίνω ψιλοῦται, ἐπὶ δὲ τοῦ cέβομαι δαcύνεται, ἅζω.

Τὸ ᾱ πρὸ τοῦ κ̄ ψιλοῦται, ἀκοή, ἄκμων, ἀκόνη.

Τὸ ᾱ πρὸ τοῦ λ̄ ἑνὸc ἢ διccοῦ ψιλοῦται οἷον ἄλλοc, ἀλλότριοc, ἀλύω «δινεύεcκ' ἀλύων» (Ω 12), «ἄλεται» (Λ 192), ἀλήμεναι. ἠλόγητο τὸ ἅλλομαι δαcυνόμενον καὶ τάχα μὲν τὸ ἆλτο ἀπέλαβε τὸ προοφειλόμενον πνεῦμα· τάχα δ' ὅπερ καὶ μᾶλλον, ἐπεὶ τὸ ᾱ καταλῆγον εἰc λ̄ ἐπιφερομένου cτοιχείου ἑνὸc τῶν τῆc τρίτηc cυζυγίαc ψιλοῦται «Ἀλτεω δc Λελέγεccι» (Il. Φ 86), «ληΐου ἀλδήcκοντοc» (Il. Ψ 599), «ἄλθετο χείρ» (Il. Є 417)· ἔνθεν τινὲc καὶ τὸ «ὃc τοῦτον τὸν ἄναλτον» (Od. c 114) ψιλῶc προφέρονται. δαcύνεται τὸ ἅλc καὶ τὰ παρ' αὐτό, ἅλιοc παρὰ τὴν ἁλόc γενικὴν ποιητικῶc μετενεχθέν. cημαντικὸν δέ ἐcτι τοῦ ματαίου, ἐπεὶ οὐκ εὔχρηcτον εἰc πόcιν τὸ θαλάccιον ὕδωρ, τὸ γοῦν ἐναντίον πότιμον καὶ ποταμόc λέγεται. Ἁλίζωνεc. Ἁλαί, ὡc καὶ ἐν δράματι Μενάνδρου ἀπὸ τοῦ Ἀραφηνίcιν Ἁλαῖc διακεῖcθαι τὰ πράγματα, ὅ ἐcτι τόποc Ἀττικῆc. τὸ Ἀλήϊον (Ζ 201) οἱ μὲν ἐψίλωcαν ἀπὸ τῆc ἄληc τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάcυναν ἀπὸ τοῦ ἅλαc ἐκεῖ πήγνυcθαι· βέλτιον δὲ τὸ πρότερον. τὸ ἀλωή, εἰ μὲν cημαίνει τὴν ἅλωνα, δαcύνεται, εἰ δὲ τὴν ἀμπελόφυτον γῆν, ψιλοῦται.

Ὁμοίωc καὶ τὸ ῑ πρὸ τοῦ λ̄ ἑνὸc ἢ διccοῦ ψιλοῦται, ἴλλειν καὶ τὸ ω̄, ὦλλοc καὶ τὸ ε̄. cεcημείωται τὸ Ἕλλην, Ἑλλάc.

* Τὸ ᾱ πρὸ τοῦ μ̄ ἢ ἑνὸc ἢ διccοῦ ψιλοῦται, ἀμνόc, ἄμαχοc πλὴν τοῦ ἅμα καὶ τῶν ἐξ αὐτοῦ, ἁμαρτῇ, ἁματροχιά. τὸ δὲ ἅμαξα εἰc ἰδιότητα ἐψίλωcαν οἱ πρὸ ἡμῶν, ἐπεὶ ἡ cυναλοιφὴ οὕτωc εὑρέθη «τιλλέcθην ἐπ' ἄμαξαν» (Ω 711) καὶ «οἱ δ' ὑπ' ἀμάξῃcιν» (Ω 782) ὥcπερ καὶ τὸ ἅλυcιc ἐκ τοῦ ἐναντίου ἐδαcύνθη εἰc ἰδιότητα. Ἀττικοὶ μέντοι

Ἡρωδιανὸc ἐν τῇ Ὁμηρικῇ προcῳδίᾳ ψιλοῦcθαι θέλει. In Il. Pr. Λ 88 Ἁδρίαc inter aspirata vocabula relatum est. — De ἅδε cf. praeterea Il. Pr. Ξ 340, de ἁδινόc Eustath. 178, 23: ἁδιναὶ μέλιccαι αἱ πυκναὶ παρὰ τὸ ἅδην — διὸ καὶ δαcύνεcθαι αὐτό τινεc βούλονται, καθὰ ἐν τοῖc Ἀπίωνοc καὶ Ἡροδώρου δηλοῦται, ὡc τοῦ ἅδην δαcυνομένου παρὰ τοῖc Ἀττικοῖc. l. 1 Arc. 198, 1 verba τὸ ἄζω — ψιλοῦται ex lexico de spir. 208 supplevi. de ἅζω aspirato cf. Herod. περὶ παθῶν in E. M. 22, 30. l. 3 Arc. 198, 8. l. 4 Arc. 198, 9 ubi canon breviter sic conceptus est: τὸ ᾱ πρὸ τοῦ λ ἑνὸc ἢ διccοῦ ψιλοῦται οἷον ἄλλωc· ὁμοίωc καὶ τὸ ῑ, ἴλλειν καὶ τὸ ω̄ ὦλλοc [καὶ τὸ ε̄ inserenda sunt] cεcημείωται τὸ Ἕλλην Ἑλλάc. Eum in duas partes dispescui, quarum altera l. 20 posita est. — ἀλύω recepi ex Il. Pr. Ω 12, ubi additur: δῆλον κἀκ cυναλοιφῆc cf. Schol. Є 352, ἄλεται ex Il. Pr. Λ 192, ἀλήμεναι ex C 76, ἠλόγητο τὸ ἅλλομαι — l. 11 ψιλῶc προφέρονται ex Il. Pr. Α 532, unde etiam in initio canonis ἀλλότριοc sumpsi; ἅλc et ἅλιοc ex Δ 26, Ἁλίζωνεc ex Є 39, ubi δαcυντέον τὸ Ἁλιζώνων. οὕτω γὰρ ἱcτοροῦνται λεγόμενοι. Ἁλαί ex St. B. 68, 2 de dramate Menandri Ἁλαεῖc cf. Mein. Com. II 870 ed. min., eius meminit etiam lexicon περὶ πνευμάτων, quod in Catalogo Herodiano tribuitur, in Anecd. Paris. I 397, 25 commemoratum. Ἀλήϊον adieci ex Il. Pr. Ζ 201, ἀλωή ex Eustath. 1218, 38, ubi: ἐν τοῖc Ἀπίωνοc καὶ Ἡροδώρου κεῖται ἐν τῷ «νεοαρδέα ἀλωήν» κατὰ τὴν Φ ῥαψῳδίαν (v. 346), ὅτι ἀλωή εἰ μὲν δαcύνεται, cημαίνει τὴν ἅλωνα, εἰ δὲ ψιλοῦται, τὴν ἀμπελόφυτον γῆν. l. 22 canonem generalem recepi ex Ep. in Psalm. 23, 3 coll. Il. Pr. Θ 276. ἁμαρτῇ addidi ex Il. Pr. Φ 162, ἁματροχιά ex Il. Pr. Ψ 422: δαcέωc τὴν ἄρχουcαν. τὸ δὲ ἅμαξα ex Il. Pr. C 487.

οἱ νεώτεροι τὴν ἅμαξαν δαϲύνουϲιν, ἴϲωϲ διὰ τὸν ϲχηματιϲμὸν καὶ διὰ τὸ φιληδεῖν τῇ δαϲείᾳ· ἔνθεν παρ' αὐτοῖϲ καὶ ἡ ϲυναλοιφὴ διὰ δαϲέοϲ «καθημαξευμένα». τὸ ἄμυδιϲ ψιλωτέον καίτοι παρὰ τὸ ἅμα γενόμενον, ἐπεὶ Αἰολικὸν χαρακτῆρα ἀνεδέξατο. Νικίαϲ μὲν καὶ Πάμφιλοϲ δαϲύνουϲιν, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο. ὁ δὲ Ἀϲκαλωνίτηϲ καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦϲιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίϲταρχον, καθότι, φαϲί, φιλεῖ πωϲ τὰ ἀπὸ δαϲέων πολλάκιϲ μεταϲχηματιζόμενα ψιλοῦϲθαι, ἡμέρα ἦμαρ, ἡδονή ἦδοϲ. πρόδηλον δὲ κἀκ τῆϲ ϲυναλοιφῆϲ «πάντ' ἄμυδιϲ κεφαλῆϲ» (Il. Μ 385). ἐχρῆν δὲ αὐτοὺϲ προϲθεῖναι ἐκεῖνο, ὡϲ ὅτι τὸ ἄλλυδιϲ καὶ ἄμυδιϲ καὶ ἐξαιρέτωϲ τρίτην ἀπὸ τέλουϲ ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παραληγούϲῃ ἐξαιρέτῳ ἐχρήϲαντο, ἢ διὰ τοῦ ῡ ἐξηνέχθηϲαν. ἐχρῆν οὖν ἀμάδιϲ τι εἶναι ὡϲ χαμάδιϲ. τροπὴ δὲ ἐγένετο τοῦ ᾱ εἰϲ τὸ ῡ, ὡϲ τὸ ϲάρκεϲ ϲύρκεϲ. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνοϲ Αἰολικὸϲ καὶ τὸ πνεῦμα. — τὸ ἁμαρτάνω δείκνυται καὶ ἐκ τῆϲ ϲυναλοιφῆϲ δαϲυνόμενον, ἐφαμαρτάνω γάρ. τὸ δὲ ἀμόν (Ζ 414) Δημήτριόϲ φηϲι ἀντὶ τοῦ ἐμόν. διὸ καὶ ἄντικρυϲ ψιλοῖ. πιθανώτερον δέ ἐϲτι Δωρικώτερον εἶναι ἀντὶ τοῦ ἡμέτερον ἀμόν. οὕτωϲ Ἀπολλώνιοϲ.

Τὸ ᾱ ἐπιφερομένου τοῦ ν̄ ψιλοῦται, ἄνεμοϲ, ἀντίοϲ, ἄνυϲιϲ πλὴν τοῦ ἁνδάνω. τὸ ἀνύω Ἀττικοὶ δαϲύνουϲι.

Τὸ ᾱ ἐπαγομένου τοῦ ρ̄ μετὰ φωνήεντοϲ ψιλοῦται, ἄραβοϲ, ἀρετή, ἀριθμόϲ. τὸ δὲ «χεῖρα ἁραιήν» (Ε 425) δαϲύνεται. ἀπὸ γὰρ τοῦ ῥαίω ῥήματοϲ, ὃ δηλοῖ φθείρω, γέγονε ῥαιόϲ καὶ ἐν πλεοναϲμῷ τοῦ ᾱ ἁραιόϲ μετελθούϲηϲ τῆϲ δαϲείαϲ τοῦ ρ̄ εἰϲ τὸ ᾱ, καθὼϲ καὶ ἐπὶ τοῦ ῥέζω ἔρδω.

Τὸ ᾱ ἐν ταῖϲ ὑπὲρ μίαν ϲυλλαβὴν λέξεϲιν, ἐπαγομένου τοῦ ϲ̄ ἢ ἑνὸϲ ἢ διϲϲοῦ, ψιλοῦται, Ἀϲία, ἄϲτυ, ἀϲτράγαλοϲ, ἀϲάμινθοϲ. τὸ ἄϲϲα, ὃ δηλοῖ τὸ ἅτινα, παραλόγωϲ δαϲύνεται «ἅϲϲ' ἐθέληϲθα» (Α 554) Ἀρίϲταρχοϲ μέν φηϲι τρία ϲημαίνειν τὴν λέξιν, τινά, ἅτινα, ὅϲϲα καὶ ἀεὶ ψιλοῦϲθαι. δαϲύνεται δὲ ὅτε δηλοῖ τὸ ἅτινα καὶ ἔϲτι δύο μέρη λόγου, τὸ ᾱ ἄρθρον καὶ τὸ ϲ̅α̅, ὅ ἐϲτι Μεγαρικόν, δηλοῦν τὸ τινά.

---

l. 3 adnotamentum de ἄμυδιϲ adiectum est ex Il. Pr. Υ 114 — ἀνεδέξατο, inde ab Νικίαϲ usque ad l. 14 πνεῦμα ex Il. Pr. Ι 6. — l. 14 ἁμαρτάνω apposui ex Choer. Ep. in Psalm. l. c., τὸ δὲ ἀμόν usque ad finem ex Il. Pr. Ζ 414.
l. 19 Arc. 198, 24, ἀντίοϲ addidi ex Il. Pr. Β 96, ἄνυϲιϲ — πλὴν τοῦ ἁνδάνω ex Schol. ad Il. Β 347, transiit canon in Choer. Ep. in Psalm. 6, 17. — Excidit canon de α̅π̅. cf. Aristonic. ad Θ 209: Ἥρη ἀπτοεπέϲ: ἡ διπλῆ, ὅτι δαϲύνουϲιν ἁπτοεπέϲ, καθαπτομένη ταῖϲ ἔπεϲιν. Ἀρίϲταρχοϲ δὲ ψιλοῖ. καὶ ἴϲωϲ ἦν παρὰ τὸ πτοεῖϲθαι, ἡ ἄγαν πτοοῦϲα· ἢ παρὰ τὸ ἀπτόν τὸ ἰϲχυρόν, ὥϲτε εἶναι δεινοεπέϲ cum Lehrsii adnotatione, de ἅπαϲ E. M. 655, 24: ὁ Ἡρωδιανὸϲ βούλεται ἐκ τοῦ ἅμα πᾶϲ εἶναι ἐν ϲυγκοπῇ, περὶ παθῶν. l. 21 Arc. 198, 26. — de χεῖρα ἁραιήν Schol. Ε 425: Ἀρίϲταρχοϲ τὸ ἁραιήν ἐπὶ τοῦ ἀϲθενῆ δαϲύνει, ἐπὶ δὲ τοῦ ἀβλαβῆ ψιλοῖ. Il. Pr. Ϲ 411: δαϲύνεται τὸ ἁραιαί. verba ἀπὸ γὰρ τοῦ ῥαίω sunt ex Theogn. 52, 18, E. M. 134, 19, ubi οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῇ καθόλου. De α̅ρ̅μ̅: ἅρμα ἁρμοῖ ἅρμενον cf. Il. Pr. Α 486, de ἅρπη ἁρπάζω Ἅρπυια Φ 38, de α̅ρ̅ϲ̅ Ζ 348. l. 26 Arc. 198, 28. — παραλόγωϲ l. 28 addidi ex E. M. 157, 45, unde etiam sequentia verba ἅϲϲ' ἐθέληϲθα usque ad finem adieci, ubi καὶ ἔϲτι κατὰ Ἡρωδιανὸν δύο μέρη κτλ.

Τὸ ᾱ πρὸ τοῦ τ̄ ἑνὸς ἢ διττοῦ ψιλοῦται πλὴν τοῦ ἅτε καὶ ἅτερος.

Τὸ ᾱ πρὸ δασέος ψιλοῦται. σεσημείωται τὸ ἀφή καὶ τὰ παρ' αὐτοῦ.

Τὸ ε̄ κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀποπῖπτον ψιλοῦται, ἔλεγον λέγον, ἔστην στῆν «ἔσταν ἅπαντες» (Α 535), ἐπεὶ γίνεται «στὰν δὲ μεταστοιχεί» (Il. Ψ 328), ἔστησα, ἐπεὶ «στῆσε δ' ἐν Ἀμνισῷ ποταμῷ» (Od. τ 188), τὸ δὲ «ἕστασαν» (Β 777), δασύνεται, ἐπειδήπερ τὸ αὐτὸ ἐστὶ τῷ ἑστήκεσαν, τὸ δὲ ε̄ τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου ἐπὶ τούτου τοῦ ῥήματος δασύνεται. τὸ δὲ ἑήνδανε καὶ ἑώρων, ἑέσσατο (Il. Κ 177) οὐκ ἐκ κλίσεως, ἀλλ' ἐκ πλεονασμοῦ.

Τὸ ἐν ἀντωνυμίαις ε̄ πρὸ συμφώνου ψιλοῦται, ἐμοί, ἐκεῖνος, πλὴν τοῦ ἕθεν.

Τὸ ε̄ τῶν ἀριθμῶν δασύνεται, ἕν, ἕξ, ἑπτά καὶ τὰ λοιπὰ πλὴν τοῦ ἐννέα καὶ ἐννενήκοντα. καὶ καθόλου εἰπεῖν, πᾶς ἀριθμὸς ἀπὸ φωνήεντος ἀρχόμενος δασύνεται.

* Τὸ ε̄ πρὸ τοῦ θ̄ οὐ δασύνεται, ἔθων (Ι 540), καθότι ἐδιδασκόμεθα καὶ ἐκ τῆς συναλοιφῆς «ἥ ἑ μάλιστ' εἴωθε» (Ε 766), εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆς τοῦ σ̄, σέθεν ἕθεν.

* Τὸ ε̄ πρὸ τοῦ κ̄ δασύνεται μὴ ὂν ἐκ κλίσεως ὡς ἐκάλουν, ἔκρινον, ἢ προθέσεως ὡς ἔκπωμα, ἐκτός ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι, ὡς ἐκεῖνος, οἷον, ἑκάς, Ἑκάβη, ἕκηλος, ἑκυρός, ἕκαστος. μάχεται τὸ ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήσιον τὸ κ̄, ἀπὸ τοῦ ἔχειν γενόμενον.

Τὸ ε̄ ἐπιφερομένου τοῦ μ̄ ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν ψιλοῦσθαι θέλει, ἔμπλην, Ἔμπουσσα.

* Τὸ ε̄ πρὸ τοῦ ἑνὸς ν̄ ψιλοῦσθαι θέλει οἷον Ἐνυώ, ἔνδιοι,

---

l. 1 Arc. 199, 4. l. 2 Arc. 198, 3. l. 3 Arc. 197, 20. — ἔσταν ἅπαντες — μεταστοιχεί ex Il. Pr. Β 777, ἔστησα — ποταμῷ ex Α 535, τὸ δὲ ἕστασαν — τοῦ ῥήματος δασύνεται ex Μ 55 et 56 adieci, ἑέσσατο ex Δ 3. l. 10 Arc. 197, 24 cf. Arc. 200, 19, Il. Pr. Ι 540 de ἕθεν. l. 12 Arc. 200, 26. l. 15 Il. Pr. Ι 540. — de εᾱ canon generalis Herodiani non reperitur, de ἑάφθη cf. Il. Pr. Ν 543, de ἑάλη Ϲ 76, ἔασον ψιλῶς· ἔστι γὰρ ἄφες, ἀπὸ τοῦ ἐῶ περισπωμένου κείμενον, ἔασας Il. Pr. Ω 557: ἐπεί με πρῶτον ἔασας: δασύνει Δίδυμος τὸ ἕασας ἐν πρώτῳ διορθωτικῶν, ὁμοίως καὶ Ἑρμαππίας μεταλαμβάνοντες εἰς τὸ ἤδυνας — δύναται δὲ καὶ τὸ ψιλούμενον, ὥς φησι Τρύφων· καὶ συμφωνεῖ (sc. Ἡρωδιανός). Nullum exstat de εβ̄, εγ̄ praeceptum, ex vocabulis ab εδ̄ ordientibus commemoratur ἑδανός Il. Pr. Ξ 172: δασυντέον τὸ ἑδανῷ· τὸ γὰρ ἡδύ βούλεται σημᾶναι· παρὰ τὸ ἥδω τὸ ἑδανός γένοιτ' ἄν, τοῦ η̄ εἰς ε̄ τραπέντος· διὸ δασυντέον τὴν λέξιν. l. 18 Il. Pr. Ε 759 collat. Ep. I 249, 26 ubi idem canon paullo plenior servatus est. cf. etiam Λ 75. — De ελ̄ canon generalis cum αλ̄ coniunctus reperitur, qui supra propositus est; de singulis vocibus haec traduntur: Il. Pr. Κ 266: Ἐλεῶνος: εἰσὶν οἳ ψιλοῦσιν· ὁ δὲ Ἀσκαλωνίτης φησὶ δασύνεσθαι· ἔστι δέ τινα ἃ ἱστορίᾳ τοπικῇ κατέχεται. οὕτως οὖν καὶ ἐπὶ τούτου. ἱστοροῦσι γὰρ οὕτως δασέως τὴν πόλιν λέγεσθαι· πῶς οὖν ἐν τῷ καταλόγῳ ψιλῶς ἀνέγνωμεν «οἵ τ' Ἐλεῶν' εἶχον» (Il. Β 500), φασὶ γὰρ κἀνταῦθα τὴν Βοιωτιακὴν εἶναι πόλιν. εἰ μὴ λέγομεν ὅτι οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν. Λ 413: ψιλωτέον τὸ ἔλσαν, ὅτι Αἰολικωτέρα ἡ κλίσις. l. 23 Arc. 198, 21, Ἔμπουσσα pro Ἔμπουσα ex Arc. 97, 18 correxit Schmidt. — Il. Pr. Λ 141: ἕμεν: δασυντέον. τὸ γὰρ εἶναι καὶ ἀφεῖναι παραγωγῶς γέγονεν ἕμεναι ὡς τὸ θεῖναι θέμεναι. l. 25 Ep. Cr. I 129, 16 (E. M. 343, 12) ubi: ἔνατος ὁ Ἡρωδιανὸς ψιλοῖ. τὸ ε̄ πρὸ τοῦ ἑνὸς ν̄ κτλ. cf. An. Paris. III 311, 13.

ἔνατος· ὁμοίως δὲ καὶ τὸ ῆ, χωρὶς τῶν συνδέσμων καὶ εἰ μὴ ἐκ κλίσεως εἴη οἷον «ἦνις ἠκέστας» (Il. Z 94). τὸ ἡνία, ἐπειδὴ παρὰ τὸν ἥσω μέλλοντα γίνεται, ὁμοίως τῷ ποιήσαντι ἐδασύνθη. πρόσκειται χωρὶς τῶν συνδέσμων διὰ τὸ ἕνεκα καὶ εἵνεκα, ταῦτα γὰρ δασύνονται, καὶ χωρὶς εἰ μὴ ἐκ κλίσεως εἴη διὰ τὴν ἕντος μετοχήν. αὕτη γὰρ δασύνεται.

* Τὸ ε̄ πρὸ τοῦ ξ̄, ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξις, ἑξῆς, ἕξω. οὕτως καὶ τὸ Ἐξάδιος (A 264) πρὸς τὸν χαρακτῆρα ἐχρῆν δασύνεσθαι, χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι.

Τὸ η̄ ἐν τροχαϊκῇ λέξει, ἀμεταβόλου ἐπαγομένου, ψιλοῦται, πλὴν τῶν παρὰ τοῦ ἥσω μέλλοντος, ἧμαρ Σοφοκλῆς (Ai. 475)

Τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
προσθεῖσα κἀναθεῖσα τοῦγε κατθανεῖν;

ἧμος, ἧνις, ἧρα. τὸ ἧλος παρὰ τὸ ἵημι καὶ ἥσω.

* Ἀεὶ τὸ η̄ πρὸ φωνήεντος ψιλοῦται, ἠώς, ἠϊα. ταύτῃ καὶ τὸ «ᾗ τε ξείνων θέμις ἐστί» (Od. ι 268) δασύνεται, τὸ δὲ ἠΰτε ψιλοῦται, καὶ τὸ ἕως δασύνεται, τὸ δὲ ἠώς ψιλοῦται, καὶ τὸ ἥλιος δασύνεται, τὸ δὲ ἠέλιος ἐψιλώθη· ὥστε τὸ «ἤϊε Φοῖβε» (O 365) εἴτε ἐκ τοῦ ἤϊος δασυνομένου ἐστίν — ἀπὸ τῆς ἕσεως τῶν βελῶν, ὡς Ἀρίσταρχος — εἴτε ἐκ τοῦ ψιλουμένου — ἀπὸ τῆς ἰάσεως, ὡς οἱ περὶ τὸν Κράτητα — πρὸς τὸν χαρακτῆρα μόνως ψιλωτέον.

* Τὸ η̄ πρὸ δασέος ψιλοῦται, ἦθος. τὸ δὲ ἡθμός δασύνεται τῇ ἐννοίᾳ τοῦ ἥσω μέλλοντος δασυνομένου. καὶ τὸ Ἥφαιστος δασύνεται διὰ τὴν ἐτυμολογίαν. παρὰ γὰρ τὸ ἅπτω ἐγένετο.

---

l. 7 Il. Pr. A 264. De ἕξω Il. Pr. I 102: τὸ ἕξεται δασυντέον. ἀπὸ γὰρ τοῦ ἕξω μέλλοντος δασυνομένου μέσος ἐστίν. cf. Choer. Dict. 638, 17. De ε̄π̄ nihil restat nisi hoc de ἕπω adnotamentum in Il. Pr. B 207: δασυντέον τὸ ἕπω· πρόδηλον κἀκ τῆς συναλοιφῆς. De ε̄ρ̄μ̄ cf. Il. Pr. A 486, de ἕρον ibid. 469, de ε̄ρ̄π̄ Φ 38. de ἕρδω cf. supra sub ᾱρ̄. De ε̄σ̄θ̄ Il. Pr. Ω 94, de ἑσπόμεθα similibus Il. Pr. K 246: εἰ Ἀρίσταρχος δασύνει τὸ «ἀλλὰ σοί, ὦ μέγ' ἀναιδές, ἅμ' ἑσπόμεθ» (Il. A 158), ἀνάγκη πᾶσα κατ' αὐτὸν δασύνειν καὶ τὴν μετοχὴν καὶ ἀπὸ τοῦ ε̄ ἄρχεσθαι. Ex vocabulis ab ετ ordientibus commemoratur ἔτης Il. Pros. Z 239: ἔτας: ὁ Ἀσκαλωνίτης ψιλοῖ ἐφ' οὗ ἂν τάσσηται, φησί, σημαινομένου· πολλὰ γὰρ ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἥλατο ἆλτο. πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκούειν ἐπὶ τῶν συγγενῶν. Ἀλεξίων δὲ δασύνει. ὁ δὲ Ἀρίσταρχος οὐδὲν ἄντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο· ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι.· εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλοιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλοιφή, οὐδέποτε δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι· παρὰ γοῦν Αἰσχύλῳ οὕτως εὕρομεν «οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ» (fr. 262) καὶ παρ' Εὐριπίδῃ τὸ «πόλει μὲν ἄρχων φωτὶ δ' οὐκ ἔτη πρέπων». De ἑταῖρος ex Herodiani Epimerismis refert Theogn. 71: γέγονε παρὰ τὸ ἔθος ἐθαῖος ὡς δρόμος δρομαῖος καὶ τροπῇ τοῦ θ̄ εἰς τ̄ πλεονασμῷ τοῦ ρ̄ ἑταῖρος μεταθέσει τῆς ψιλῆς εἰς δασεῖαν. l. 11 Arc. 198, 14, Sophoclis versus ad ἧμαρ apposui ex Herod. ap. Suidam s. ἧμαρ. — pro ἥρατο scripsi ἧρα. τό. — cf. de hoc canone Il. Pr. A 576, I 6, E. M. 420, 30, Schol. Od. β 1, Choer. Dict. 178, 7. l. 16 Il. Pr. O 365, de ἤϊε cf. E. M. 469, 48; 462, 53; E. Gud. 269, 3.
l. 23 canonem constitui ex Schol. Apoll. A 1294, ubi de ἡθμός traditur, et ex Il. Pr. A 600, ubi de Ἥφαιστος.

* Τὸ η̄ πρὸ τοῦ κ̄ δασύνεται. τὸ δὲ ἥκιστα (Ψ 531) ψιλοῦται παραλόγως, δασύνεται δὲ Ἀττικῶς, ἐπειδὴ ἐκ τοῦ ἥσσω τοῦ δασυνομένου γίνεται. δείκνυται δὲ ἐκ τῆς συναλοιφῆς δασυνόμενον. «οὐχ ἥκιστα» γάρ.

Τὸ η̄ πρὸ τοῦ λ̄ ψιλοῦται, ἠλίβατος ἀπὸ τοῦ ἀλιτεῖν ἐσχηματισμένον· οἱ μέντοι δασύνοντες ἐτυμολογοῦσι παρὰ τὸν ἥλιον, τὴν ἡλίῳ βατὴν οὖσαν μόνῳ· οὐκ ἐπείσθη δὲ ἡ παράδοσις, ὡς πρόδηλον ἐκ τῆς συναλοιφῆς «τὸν μέν τ' ἠλίβατος πέτρη» (Ο 273), ἠλιτόμηνος, πλὴν τοῦ ἥλιος· τὸ δὲ Ἦλις, ἀφ' ἧς οἱ Ἠλεῖοι, διφορεῖται κατὰ τὸ πνεῦμα. καὶ δασύνεται γάρ. ἀπὸ τοῦ ἁλίζω τὸ ἀθροίζω διὰ τὸ πολλοὺς ἐκεῖ ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων ἀθροίζεσθαι. καὶ ψιλοῦται μάλιστα διὰ τὸν χαρακτῆρα. ὡσαύτως καὶ Ἠλιαία δικαστήριον Ἀθηναίων παρὰ τὸ «ἀλέες δεῦτε» παραγωγὸν ἁλία καὶ ἡλιαία.

* Τὸ η̄ πρὸ τοῦ μ̄ δασύνεται καὶ ψιλοῦται, ἡμέρα δασύνεται, τὸ δὲ μετασχηματιζόμενον ἦμαρ ψιλοῦται, ἧμην ἐπὶ τοῦ καθῆσθαι δασύνεται, τὸ δὲ σημαντικὸν τοῦ ὑπάρχειν, ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν τῶν Ἑλλήνων, ὁ μέντοι ποιητὴς οὐκ ἐχρήσατο, ψιλοῦται. τὸ ἥμονες ἀκοντισταὶ καὶ ῥήτορες καὶ ὀρχησταὶ δασυντέον. τὸ θέμα ἵημι. παρὰ τὸν ἥσω μέλλοντα «ἥσω γὰρ καὶ ἐγώ» (Il. Ρ 515), παρὰ δὲ τοῦτο καὶ τὸ ἧμα ἐγεγόνει πάλιν δασυνόμενον «καὶ ἥμασιν ἔπλευ ἄριστος» (Ψ 891) καὶ ἡμοσύνη καὶ μεθημοσύνη.

Τὸ ῑ πρὸ δασέος ψιλοῦται, ἶφις, ἰχθῦς, ἰχανόων.

* Τὸ ῑ πρὸ τοῦ σ̄τ̄ μόνου δασύνεται, ἱστῶ, ἱστίον, ἵστημι, ἵστωρ. πρόσκειται τὸ μόνου, ἐπεὶ τὸ Ἴστρος ψιλοῦται.

Τὸ ō πρὸ τῶν διπλῶν ψιλοῦται, ὄξος, ὀψέ, ὄζαινα.

---

l. 1 canonem finxi ex An. Ox. II 372, E. M. 424, 32, E. Gud. 239, 5, ubi λέγει ὁ Ἡρωδιανός, ὅτι ἥκιστα ψιλοῦται παραλόγως κτλ. l. 5 Arc. 199, 16. ἠλίβατος explevi ex Il. Pr. Ο 619, Herodiani sententia refertur etiam in Ep. Cr. I 194, 9: ἠλίβατος: ὁ ὑψηλὸς ἀπὸ τοῦ ἐκεῖ πρῶτον ἐπιβαίνειν τὸν ἥλιον — ὁ δὲ Ἡλιόδωρος (Ἡρωδιανὸς) ἀλίβατον, ἐφ' ἣν ἀλιτεῖν ἐστι βαίνοντα ἢ δι' ὕψος ἢ διὰ τραχύτητα. — Ἦλις addidi ex Eustath. ad Dionys. 409, nam petita videtur haec annotatio ex pleoniore Stephani exemplari. Cum Ἦλις composui Ἠλιαία, quod apud Arcadium statim post ἠλίβατος positum est, propter originationem ap. Steph. prolatam, unde ex comparatione cum Arcadio coniectari licet de spiritu vocis Ἠλιαία dubitatum fuisse sic ut propter etymon aspirari, propter literarum symplocen leniri pronunciatum sit. l. 14 canonem generalem ipse praeposui, singula vocabula ex Herodiano petivi et ἦμαρ-cum ἡμέρα ex Il. Pr. Ι 6, ἧμην ex Il. Pr. Ζ 336, ἥμονες ex lexic. Cyrill. in Anecd. Paris. IV 183, E. Gud. 244, 32, ubi: ἥμονες: ἀκοντισταὶ καὶ ῥήτορες καὶ ὀρχησταὶ ὡς Ἡρωδιανὸς ἐν τῇ καθόλου. τὸ θέμα κτλ. — verba inde ab l. 19 ἥσω γὰρ — ἔπλευ ἄριστος addidi ex Il. Pr. Ψ 886, ἡμοσύνη et μεθημοσύνη sumpsi ex Il. Pr. Χ 261. l. 22 Arc. 199, 15, pro ἰσχανόων scripsi cum Schmidt. in programm. Sedin. p. 20 ἰχανόων. — Dubitavi in textum recipere canonem de ι̅ρ̅ Eustath. 515, 37: τὸ ἱρεύς ψιλοῦται, ὡς ἐν τοῖς Ἀπίωνος κεῖται καὶ Ἡροδώρου (i. e. Herodiani), συναλιφὲν ἐκ τοῦ ἱερεύς ὡς τὸ πόλιες πόλις καὶ λέγουσιν οἱ αὐτοὶ καὶ κανόνα αἰτιολογικὸν τῆς ψιλώσεως οὐκ ἀναγκαῖον. Schol. B ad Il. Ε 10: τὸ ῑ μακρὸν ψιλοῦται μὴ ὂν ἐκ κλίσεως μηδὲ διὰ χρείαν ἐκτεινόμενον. — de ι̅α̅ cf. supra p. 539, 9, de ι̅δ̅ Il. Pr. Μ 205: ἰδνωθείς: ψιλωτέον Schol. ad Α 266. l. 23 Il. Pr. Σ 501. l. 25 Arc. 199, 11. de ο̅λ̅ cf. E. M. 622, 39: ὀλοοίτροχος: Ἰλιάδος Ν (137) Πτολεμαῖος καὶ

Τὸ ο̄ πρὸ τοῦ ν̄ ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, ὄνυξ, ὄναρ, ὄνομα.

Τὸ ο̄ πρὸ τοῦ π̄ ψιλοῦται, εἰ μὴ τὸ λ̄ ἐπάγοιτο, ὀπίσω, ὀπιπεύω, ὀπή, ὀπώρα· παρὰ τὸ ἕπω δασυνόμενον ψιλούμενον ἐγένετο ὀπάων. οὕτως ἔχει καὶ τὸ ὄπατρος· οὐκ ἔστι δὲ ψιλωτέον ὡς οἴονται διὰ τὴν συγκοπήν. πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι. ἀλλὰ καὶ δασύνεται, ἑστήκαμεν ἕσταμεν, Ἡράκλεες Ἥρακλες. πρόσκειται «εἰ μὴ τὸ λ̄ ἐπάγοιτο» διὰ τὸ ὁπλή καὶ ὅπλον καὶ τὰ ἀπὸ τούτων παρηγμένα. τὸ δὲ ὁπόσος, ὁποῖος, ὅπως καὶ τὰ ὅμοια ὡς ἀναφορικὰ δασύνεται.

Τὸ ο̄ ἐπιφερομένου τοῦ ρ̄ ψιλοῦται, ὄρος τὸ οὐδέτερον, ὄρυζα, ὀρεύς, ὀρέγω, Ὀρέστης, πλὴν τοῦ ὁρῶ ὁρᾷς καὶ ὅρος ἀρσενικὸν ὅπερ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω γέγονεν. καὶ γὰρ ὁ ὅρος εὐόρατα καὶ εὔοπτα ποιεῖ ἡμῖν τὰ ὁριζόμενα. καὶ ὁρίζω καὶ ὅρκος ἐκ τοῦ ὅρος. καὶ γὰρ οἱ ὀμνύοντες ὁρίζονται καὶ ὀμνύουσιν.

Τὸ ο̄ πρὸ τοῦ τ̄ ψιλοῦται, ὀτρηρός, ὀτοτύζειν, ὄτλος. οὐ μάχεται τὸ ὅτε καὶ ὅτι δασυνόμενα.

Τὸ ῡ πάσης λέξεως ἄρχον δασύνεται πλὴν τῶν Αἰολικῶν. τὸ ὐββάλλειν ψιλωτέον. ἔστι γὰρ Αἰολικόν. καὶ ὔμμες ψιλωτέον· ἡ γὰρ λέξις Αἰολική. τὸ υ καθαρὸν ἐν ἀρχῇ λέξεως παρὰ τοῖς Ἕλλησιν πρὸ τοῦ χ̄ ἀπείρηται. καθαρὸν δὲ εἶπον, ἐπεὶ τὸ ὕρχα οὐ καθαρὸν ἔχον τὸ ῡ εὕρηται. πρὸ τοῦ ζ̄ ἢ ξ̄ ἢ ψ̄ τὸ υ οὐχ εὕρηται, εἰ μὴ ἐν τῷ ὕψος. γεγονέναι δὲ καὶ αὐτό φασι παρὰ τὸ ὄπτω τὸ βλέπω, ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος.

Ἡ αῡ δίφθογγος ψιλοῦται, αὔξω, αὐδῶ, αὐτός, αὔριον, πλὴν τοῦ αὕτη βαρύτονον ἀπὸ τοῦ οὗτος καὶ αὑτόν ἀντὶ τοῦ ἑαυτόν. τὸ

Ἀριστόνικος ψιλοῦσι παροξύνοντες, ἀκούοντες τὸν ἐπὶ τὸ τρέχειν ὀλοόν. ἐπένθεσις δὲ τοῦ ῑ περιττή· οἱ δὲ δασύνουσιν, ἵν' ᾖ ὅλος τροχοειδὴς καὶ κατὰ πᾶν μέρος ἀστήρικτος. Δημόκριτος δέ, τὸ κυλινδρικὸν σχῆμα ὁλοοίτροχον καλεῖ cf. Eustath. 925, 1. — Eustath. 1389, 57: Ὀλοόφρονα τὸν Ἄτλαντα νοοῦσιν, ὡς τὸν ὑπὲρ ὅλων φρονοῦντα ἤγουν τῶν ὅλων φροντιστικόν· διὸ καὶ ὁ Κλεάνθης, ὥς φασιν, ἐδάσυνε τὸ ο̄ τῆς ἀρχούσης. de ομ̄ Il. Pr. Μ 471: τὸ ὅμαδος δασυντέον. ἔχει γὰρ τὸ ὁμοῦ ἐγκείμενον cf. Ep. Cr. I 318, 27: τὸ ο̄ πρὸ τοῦ ἑνὸς μ̄ δασύνεται, Ὅμηρος, ὅμιλος, ὅμοιος· τὸ ὀμιχῶ σεσημείωται, τὸ δὲ ἠΰτ' ὀμίχλη» παρὰ τῷ ποιητῇ (Α 359) κατὰ διάλεκτον Ἰωνικήν ἐστιν. l. 1 Arcad. 199, 11. l. 3 Arcad. 198, 18, ὀπιπεύω usque ad παρηγμένα l. 8 adieci ex Il. Pros. Λ 257, unde etiam ὅπως accessit. l. 10 Arcad. 199, 18, τὸ οὐδέτερον apposui propter ὅρος ἀρσενικόν, verba inde ab ὅπερ usque ad τὰ ὁριζόμενα adieci ex Bekk. Anecd. 649, 20, ubi: Ἡρωδιανὸς λέγει ὅτι ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω γέγονεν ὅρος· καὶ γὰρ κτλ. — καὶ ὅρκος usque ad finem addidi ex Ep. Cr. I 308, ubi ὅρκος: δασύνει ὁ Ἡρωδιανός· ἐκ τοῦ ὅρος· ἐξ αὐτοῦ γὰρ ὅρκος· καὶ γὰρ κτλ. l. 15 Arcad. 198, 12, pro ὄθλος scripsi ὄτλος. l. 17 Arcad. 200, 14. τὸ ὐββάλλειν — Αἰολικὸν apposui ex Il. Pr. Τ 80, ubi ἔστι γὰρ Αἰολικόν, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ κ' τῆς καθόλου. — καὶ ὔμμες — Αἰολική adieci ex Il. Pr. Α 335, ubi ὔμμες: οὕτως ψιλωτέον τὸ ῡ τοῦ ὔμμες. ἡ γὰρ λέξις Αἰολική: ἐπιμαρτυρεῖ καὶ ἡ συναλοιφὴ «αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων» (Il. Δ 249), τὸ ῡ καθαρὸν — ῡ εὕρηται ex Herod. ap. Theogn. p. 26. — πρὸ τοῦ ζ̄ ἢ ξ̄ usque ad finem ex Theogn. 19, 30, ubi: οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ πνευμάτων. cf. Mon. 22, 3.
l. 24 Arcad. 199, 24, αὐτόν et ἑαυτόν scripsi ex lexic. de spirit. 240 pro

αὔω ἐπὶ τοῦ φωνεῖν ψιλοῦται, ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν τάσσηται, τότε δασυντέον ἐστί.

Ἡ ε̅ι̅ δίφθογγος ψιλοῦται οἷον εἶδος, εἰκάζω, εἴρων καὶ τὰ λοιπὰ πλὴν τοῦ εἱρκτή, Εἵλως ὁ δοῦλος καὶ εἱκώς ὁ πέμψας, καὶ εἱλίζω τὸ συστρέφω, καὶ εἱλόμην καὶ εἷμα τὸ ἱμάτιον, καὶ εἱμένος ὁ ἐνδεδυμένος καὶ εἷνα τὸ ἕνα καὶ εἵποντο ἀντὶ τοῦ ἠκολούθουν καὶ εἷσεν ἀντὶ τοῦ ἐκάθισεν, εἱστήκει καὶ εἵως ἀντὶ τοῦ ἕως καὶ εἵατο καὶ εἵλη ἡ θερμασία καὶ εἱαμενή ἀπὸ τῆς ἕσεως τῶν ὑδάτων. σεσημείωται καὶ τὸ εἷς ἀριθμητικόν.

Ἡ ε̅υ̅ δίφθογγος ψιλοῦται, οἷον εὐλή εὐλαί οἱ σκώληκες, εὐδία, εὐθεῖα, εὐνή, εὐχή, εὖρος, εὔκηλος καὶ τὰ λοιπὰ πλὴν τοῦ εὕδω τὸ καθεύδω καὶ εὕω τὸ φλογίζω καὶ εὕρω, ἀφ' οὗ καὶ εὑρίσκω. καὶ εὗ ἀντὶ τοῦ ἑαυτοῦ κατὰ κρᾶσιν τοῦ ε̅ καὶ ο̅ εἰς τὴν ε̅υ̅ δίφθογγον Δωρικῶς.

Ἡ ο̅ι̅ ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, εἰ μὴ τὸ μ̅ ἐπάγοιτο, οἷον οἶστρος, οἶκος· τὸ οἷος ἀναφορικὸν δασύνεται. τὸ οἷμος οἱμῶ δασύνεται. τὸ δὲ οἶμοι ἐπηύξηται ἀπὸ τοῦ οἴ ψιλουμένου.

Ἡ ο̅υ̅ ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, οὐρανός, οὐλή, οὐρῶ, οὖλος, οὐρός. οὕτω δὲ ἧ οὕτως δασύνεται.

Τὸ ρ̅ ἀρχόμενον λέξεως δασύνεσθαι θέλει, ῥά, ῥανίς, ῥάξ χωρὶς τοῦ Ῥᾶρος (ἔστι δὲ ὄνομα κύριον) καὶ χωρὶς τῶν ἐξ αὐτοῦ οἷον

αὐτὸς ἑαυτός. τὸ αὔω usque ad finem apposui ex Il. Pr. Λ 461, ubi sequuntur ἔστι γὰρ σύνθετον quod Lehrsius supplet τὸ ἀφαύω, Lobeckius Rhem. 11 παρὰ τὸ α̅ καὶ ὕω. cf. etiam Il. Pr. Ν 441: τὸ αὖον: δασυντέον. σημαίνει δὲ τὸ ξηρόν, Ψ 327: δασυντέον καὶ προπερισπαστέον τὸ αὖον. — De α̅ι̅ diphthongo haec servata sunt: Il. Pr. Β 154: ἥρεον. δασυντέον τὸ ἥρεον· ἀπὸ γὰρ τοῦ αἱρῶ περισπωμένου καὶ δασυνομένου γέγονεν. Φ 327: αἱρῶ περισπώμενον δασύνεται σημαῖνον τὸ καταλαμβάνω. διὸ καὶ ἐνθάδε δασυντέον. Ω 579: ἥρεον. δασυντέον· ἔφαμεν γὰρ τὸ περισπώμενον αἱρῶ δασύνεσθαι. — De αἱμνίον altera vocabuli ἀμνίον scriptura cf. Schol. Od. γ 444; de αἴνω (τὸ δασυνόμενον καὶ βαρυνόμενον τὸ παρὰ Ἀττικοῖς. Φερεκράτης «αἴνειν, πτίσσειν») diverso ab αἰνῶ cf. Mon. 24, 16 cum Lehrsii adnotatione. l. 3 Arcad. 200, 3. — de εἷνα cf. Buttmann. gramm. additamenta II p. 412, ἐκάθισεν pro ἐκάθησεν emendavit Iacobi, εἵατο scripsi pro εἵαντο, de hoc cf. Il. Pr. Ο 10: ἔνιοι τὸ εἵαθ' ψιλῶς: «ἔνθ' ἄρα οἱ μύλαι εἵατο» (Od. υ 106) ἀντὶ τοῦ ἦσαν. καὶ Ἀρίσταρχος δὲ ψιλοῖ τὸ εἵατο. ὁμοίως καὶ ἐπὶ τοῦ «εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι εἵαθ' ὁμηγερέες» (Il. Ω 83)· ἐκδέχεταί τε κλίσιν τὴν ἀπὸ τοῦ εἰμί εἰς παθητικοῦ ὑπερσυντελίκου χρόνον καὶ μεταλαμβάνει εἰς τὸ ὑπῆρχον· ἔχει δὲ ἐπίστασιν εἰ τοῦ εἰμί τὰ παθητικὰ δύναται συστῆναι κατὰ σημαινόμενον ἢ χρῆσιν Ἑλληνικήν. διὸ ἄμεινον δασύνειν καὶ ἐκδέχεσθαι ἐνδιέτριβον καὶ ἐκάθηντο. cf. Ω 84. — εἱαμενή — ὑδάτων inserui ex Il. Pr. Ο 631 cf. Δ 483. l. 10 Arcad. 199, 27. εὐνή — εὔκηλος addidi ex Il. Pr. Α 554, ubi: εὔκηλον ψιλοῦται κατὰ δύο λόγους, καὶ ὅτι τὸ υ̅ ἐπεντιθέμενον ψιλοῖ τὰ δασυνόμενα φωνήεντα — καὶ ὅτι ἡ ε̅υ̅ δίφθογγος ἐπιφερομένου συμφώνου ψιλοῦται, εὐνή εὐχή εὖρος. ἐναντιοῦται τὸ εὕδω καὶ εὑρίσκω. τὸ γὰρ εὗσεν δασυνόμενον ἀπὸ θέματος τοῦ εὕω. l. 15 Arcad. 199, 21, ἡ ο̅ι̅ scripsi pro τὸ ο̅ι̅ monente Schmidt. Sedinensi. τὸ δὲ οἶμοι usque ad finem addidi ex E. M. 618, 17: τὸ οἶμοι ἐπηύξηται, φησὶν Ἡρωδιανός, ἀπὸ τοῦ οἴ ψιλουμένου. τὰ δὲ ἄλλα δασύνονται (i. e. reliqua ab ο̅ι̅μ̅ ordientia vocabula). l. 18 Arcad. 200, 11 cf. Il. Pr. Β 153, unde recepi οὖλος, οὐρός, Ξ 340. l. 20 Arcad. 200, 21. ῥά addidi ex Il. Pr. Α 56. pro πλὴν τοῦ Ῥᾶρος καὶ Ῥάριον recepi quae cod. Barocc. Choerob. ap. Gaisford. p. 905 praebet, ubi: τὸ ρ̅ ἀρχόμενον λέξεως δασύνεσθαι θέλει χωρὶς τοῦ

«Ῥαρίδος Δηοῦς» καὶ Ῥαρία γῆ καὶ Ῥαριάς, σημαίνει δὲ τὴν Δήμητρα, καὶ Ῥάριον πεδίον ἐν Ἐλευσῖνι, ἐπὶ τούτων γάρ φασι τὸ μὲν πρῶτον ρ̄ ψιλοῦσθαι, τὸ δὲ δεύτερον δασύνεσθαι. ἀλλὰ τὰ δύο ρ̄ρ̄ ψιλωτέον ἐπὶ τούτων καὶ κατὰ τὴν πρώτην συλλαβὴν καὶ κατὰ τὴν δευτέραν.

Τὸ ρ̄, ἐὰν δισσὸν γένηται ἐν μέσῃ λέξει, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται οἷον συῤῥάπτω.

* Τὸ πνεῦμα κατὰ τὴν ἀρχὴν ἀεὶ φαίνεται, καὶ μέσον ὀλιγάκις.

* Ἐπὶ τῶν σχετλιαστικῶν ἔσθ' ὅτε τὸ δασὺ πνεῦμα ἀλόγως ἐν τῇ ληγούσῃ συλλαβῇ ὁρᾶται, ὡς ἔχει τὸ εὐοῖ, εὐἅν, εὐαΐ.

* Δασυνομένου φωνήεντος ἐπιφερομένου τὸ προηγούμενον ψιλὸν τρέπεται εἰς τὸ ἀντίστοιχον δασύ, κατὰ ἡμῶν καθ' ἡμῶν. τὸ δὲ ἀνάπαλιν οὔ, εἰ μὴ κατὰ διάλεκτον τραπῇ. τὸ γὰρ ἀμπέχεσθαι Αἰολικόν ἐστιν.

Ῥᾶρος — καὶ χωρὶς τῶν ἐξ αὐτοῦ οἷον — Ῥαρίδος Δηοῦς inserui ex Mon. 35, 6 — καὶ Ῥαρία γῆ καὶ Ῥαριάς — Ῥαρία γῆ et Ῥαριάς ἡ Δημήτηρ habet etiam St. B. 543, 12 — καὶ Ῥάριον πεδίον — ἐν Ἐλευσῖνι adieci ex St. B. — etc. usque ad δασύνεσθαι. tum sequitur ὁ μέντοι Ἡρωδιανὸς ἐν τῷ εἰκοστῷ βιβλίῳ τῆς καθόλου τὰ δύο ρ̄ρ̄ κτλ. l. 5 Arcad. 200, 23. l. 7 haec verba ipse ope Arcadii p. 190, 25 finxi. Nam interaspirationis doctrinam quamquam in Prosodia Homerica plurimis locis explicite tractata fuit, tamen in Catholica obiter certe tactam fuisse crediderim. Nolui hic iterare quae praeceptor clarissimus in Arist. stud. p. 304—330 ed. II de hac materia exposuit copiosissime, satis habui unum praeceptum de hac re ex Theogn. 158, 20 hic repetere l. 8 et 9 et locos Prosodiae Homericae, in quibus hic prosodiae locus tangitur, enumerare Α 8 ξυνέηκε, Β 207 δίεπε cf. Ω 247, Δ 346 μελιηδέος, Χ 261 συνημοσύνας, Ψ 135 καταείνυον, Λ 358 καταείσατο, Κ 466 δέελον, Ζ 348 ἀπόερσε, Ε 163 ἀέκοντας cf. Α 301. — Σ 584 ἐνδίεσαν, ubi Ptolem. ἐνδίεσαν. β 185 ἀνιείης, ubi Hellanicus ἀνιείης. Ν 381 συνώμεθα, Ω 235 ἐξεσίην, Π 558 ἐσήλατο. Α 533 ἄναλτον. Φ 262 προάλεϊ. Ξ 340 εὔαδεν, Ν 450 ἐπίουρον, ρ 352 προΐκτῃ, ρ 455 οὐδ' ἅλα, ubi Callistratus οὔδαλα τὰ κόπρια. ψ 3 ὑπερικταίνοντο, Α 567 ἀάπτους, μ 89 ἄωροι. Ω 540 παναώριον. Ε 76 Εὐαιμονίδης — Φίλιππος Μελάνιππος, πολύμνια, Εὐρύαλος, Ἀγχίαλος, Πάνορμος, Ἔφιππος — cf. Η 167, Θ 276. — Ο 705 ὠκύαλος, Π 635 εὐρυοδείης. Ε 289 ταλαύρινον. — l. 10 Arcad. 175, 18. Nam quum ea, quae ibidem l. 1—17 de accentibus traduntur, congruant fere cum Ioanne Alexandr. in prooemio, ut supra p. 10, 3 ostendi, coniicio etiam haec de spiritus asperi in praecedentem consonam vi ex Herodiano deprompta et de suo loco, qui fuit in libro περὶ πνευμάτων, mota esse. Nam inde quod in Mon. 45, 19 (ἀμφί: οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφί. λέγεται δ' ἔσθ' ὅτε καὶ ἀμπί ἐν συνθέσει διὰ τοῦ π̄ καὶ ἴσως ἀναλογώτερον) Herodianus Aeolicum esse ἀμπί non diserte dicit, non cum Ahrensio de dial. Aeol. p. 43 not. 8 concluserim ei Aeolicum ἀμπί ignotum fuisse. In Mon. loco nihil interfuit, cui dialecto ἀμπί privum esset, sed tantum, esse alteram formam analogiae convenientiorem. In Ep. Cr. I 66, 23 loco Monad. simillimo legimus: σημειῶδες ἡ ἀμφί, ὅτι μόνη ἔχει δασὺ σύμφωνον· διόπερ Αἰολεῖς ἀμπί λέγουσι διὰ τοῦ ψιλοῦ, τὸ ὀφειλόμενον πνεῦμα ἀποδιδόντες· εὕρηται δὲ καὶ ἐν συνθέσει τὸ π̄ ἔχουσα παρὰ Ἀττικοῖς ἀμπεχόνη, ἀμπίσχουσι. Praeterea verba τὸ δὲ ἀνάπαλιν οὔ excitant memoriam Herodianeae dictionis οὐκ ἀναστρέφει ὁ κανών (e. g. Il. Pr. I 150). Arcadio similia habet Choerob. in Bekk. An. 704, 28: δασυνομένου φωνήεντος ἐπιφερομένου τρέπεται τὸ προηγούμενον ψιλὸν εἰς τὸ ἀντίστοιχον τὸ δασὺ οἷον κατὰ ἡμῶν — καθ' ἡμῶν· τὰ δὲ δασέα ψιλουμένου φωνήεντος ἐπιφερομένου, ἅτε δὴ ἰσχυρότερα ὄντα, οὐ τρέπονται, οἷον ἀμφὶ ἀγαθόν — ἀμφ' ἀγαθὸν θεράποντα. δεῖ προσθεῖναι χωρὶς εἰ μὴ κατὰ διάλεκτον τραπῇ. πολλάκις γὰρ αἱ διάλεκτοι ψιλουμένου φωνήεντος ἐπιφερομένου τρέπουσι τὸ δασύ, οἷον ἔχεσθαι καὶ τὸ ἀμφί πρόθεσις· ἐκ τούτου γίνεται ἀμφέχεσθαι καὶ Αἰολικῶς ἀμπέχεσθαι, sunt autem etiam alia in hoc Choerobosci περὶ προσῳδιῶν tractatu ex Herodiano petita atque ex p. 708, 6 supra p. 7, 10 in Herodiani Prooemio ap. Io. Al. 3, 27 lacunam explevimus.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΠΕΡΙ

ΠΡΟΣΩιΔΙΑΣ ΤΗΣ ΚΑΤΑ ΣΥΝΤΑΞΙΝ

ΤΩΝ ΛΕΞΕΩΝ.

ЄΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ

περὶ ἐγκλινομένων.

Ἐγκλινόμενόν ἐστι μόριον λέξις κατὰ τὸ τέλος ὀξυνομένη, τρέπουσα δὲ εἰς βαρεῖαν κατὰ τὴν τοῦ λόγου σύνταξιν, καθάπερ ἔχει «εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια» (Є 389). Ἐγκλιτικὸν δέ ἐστι μόριον, ὃ τὴν ἰδίαν ὀξεῖαν κοιμίζον τὴν προκειμένην βαρεῖαν εἰς ὀξεῖαν μεθίστησιν, ᾧ ἢ δυνάμει ἢ φύσει ἑτέρα βαρεῖα ὑπέρκειται, δυνάμει μὲν ὡς τὸ «δώματά μοι», φύσει δὲ καθάπερ «Ἀρκεσίλαός τε». Συνεγκλιτικὸν δέ ἐστι σύνταξις δυοῖν ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπαλλήλων ὀξυνομένων, ὡς ἔχει τὰ τοιαῦτα «ἤ νύ cέ που δέος ἴσχει» (Є 812). ὁ μὲν γὰρ ἤ ὀξύνεται διὰ τὸ νύ ἐγκλιτικόν, τὸ δὲ νύ διὰ τὴν ἀντωνυμίαν τὴν cέ, ἡ δὲ cέ ἀντωνυμία διὰ τὸν ποῦ παραπληρωματικὸν σύνδεσμον. εἴρηται δὲ συνεγκλιτικὸν διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑπερκειμένην ἐν τῷ τέλει τῆς λέξεως ὀξεῖαν.

E scriptione viginti libris Catholicae subiecta (Arcad. p. 5) duae apud Arcadium de enclisi epitomae reperiuntur in alienum locum ad libr. XV casu aliquo delatae, una brevior p. 139, 1—141, 19 περὶ τῶν ἐγκλινομένων μορίων, altera amplior p. 141, 20—148, 9 ἔτι περὶ τῶν ἐγκλινομένων. Praeterea in Bekk. Anecd. p. 1142—1148 exstat scriptio: Ἡρωδιανοῦ περὶ ἐγκλινομένων καὶ ἐγκλιτικῶν καὶ συνεγκλινομένων μορίων, quae item ex Herodiano excerpta est; Herodianeum ortum produnt ibidem p. 1157 excerpta, quae inscripta sunt Αἰλίου περὶ ἐγκλινομένων λέξεων; quae ibidem leguntur p. 1155 περὶ ἐγκλινομένων, non Herodianea esse inde apparet, quod μέν et δέ inter enclitica relata sunt; p. 1156 καὶ ἄλλως περὶ ἐγκλινομένων congruunt fere cum Arcadio. Equidem in concinnanda Herodiani de enclisi doctrina eam inii rationem, ut Arcadii ampliorem epitomen pro fundamento iacerem, ex reliquis excerptis quae melius quam ap. Arcad. servata sunt, reciperem, quae ap. eum desunt, supplerem, in annotatione omnia aliunde cognita Herodiani praecepta componerem, ut congruentia epitomarum cum germano Herodiano patesceret, additis praeterea, quae ad rem illustrandam apta videbantur, religiosissime secutus vestigia Lehrsii praeceptoris clarissimi. l. 3—l. 6 pag. seq. prompsi ex Bekk. epit. Herod. p. 1142, in caeteris omnibus excerptis haec omissa sunt. De discrimine vocabulorum ἐγκλινόμενον et ἐγκλιτικόν cf. Apoll. de pron. p. 43 C: αἱ μὲν οὖν ὀρθοτονούμεναι καὶ προτάσσονται καὶ ὑποτάσσονται, ἐμοὶ ἔδωκαν, ἔδωκεν ἐμοί. αἱ δὲ ἐγκλινόμεναι μόνως εἰσὶν ὑποτακτικαί. διαφέρει δὲ ὑποτακτικὸν ὑποτασσομένου, ᾗ τὸ μὲν πάντοτε ἐν ὑποταγῇ, τὸν δὲ ἴδιον τόνον οὐκ ἔχει, τὸ δὲ ὑποτασσόμενον καὶ προτάσσεται καὶ τὸν τόνον τὸν ἑαυτοῦ ἔχει, ἐμοὶ γὰρ ἔδωκας, ἔδωκας ἐμοί, λέγω δὲ δισυλλάβως. τὸ δὲ ἔδωκέ μοι καὶ βαρύτονον καὶ μονοσύλλαβον καὶ οὐδέποτε πάντως προτακτικόν. ὃν τρόπον καὶ ἐγκλινόμενον ἐγκλιτικοῦ. τὸ μὲν γὰρ ἐγκλινόμενον αὐτὸ μόνον κοιμίζει

Διαφέρει δὲ ἐγκλινόμενον ἐγκλιτικοῦ, ᾗ τὸ μὲν ἐγκλινόμενον κοινὸν ὄνομα πάσης λέξεώς ἐστι κατὰ τὸ τέλος ὀξυνομένης τρεπούσης τε εἰς βαρεῖαν, τὸ δὲ ἐν ἰδίοις θέμασι καταλειπόμενον ἀριθμῷ ἰδίῳ· καὶ ὅτι τὸ μὲν αὐτὴν μόνην τὴν ἐπὶ τέλους ὀξεῖαν ἀμείβει εἰς βαρεῖαν, τὸ δὲ καὶ μετατίθησιν εἰς τὴν ὑπερκειμένην συλλαβήν, εἰ καὶ τὰ τοῦ λόγου ἐπιδέχοιτο.

Πᾶν τοίνυν ἐγκλιτικὸν μόριον ἢ μονοσύλλαβόν ἐστιν ἢ δισύλλαβον καὶ πᾶν ἐγκλιτικὸν ὑπὲρ μίαν συλλαβὴν ἢ δίχρονον ἢ τρίχρονόν ἐστιν.

Πᾶν ἐγκλινόμενον μόριον ἢ ὀξύνεται ἢ περισπᾶται, οὐδὲν δὲ βαρύνεται.

Πᾶν ἐγκλινόμενον ὑποτάσσεται πάντως ἐκείνῳ, ᾧ καὶ τὸν ἑαυτοῦ τόνον ἐγκλίνει, ἦλθέ τις, ἔδωκάς μοι, ἤκουσά σου.

Ὀκτὼ δὲ ὄντων τῶν μερῶν τοῦ λόγου τὰ πέντε ἐγκλίνονται, ὄνομα, ῥῆμα, ἀντωνυμία, ἐπίρρημα, σύνδεσμος. Πάλιν τῶν ἐγκλινομένων τὰ μὲν χάριν κόσμου ἐγκλίνονται, ὡς τὰ ῥήματα καὶ οἱ σύνδεσμοι, τὰ δὲ σημασίας, ὡς τὰ λοιπά.

Ἐν μὲν οὖν ὀνόμασι τὸ τίς μόνον ἐγκλίνεται καὶ αἱ τούτου πτώσεις καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, ὅτε ἀοριστωδῶς ἐκφέρεται, οἷον ἦλθέ τις, ἐλάλησέ τις, ἐν οἷς καὶ πάντοτε ὑποτακτικόν ἐστι. τὸ μὲν οὖν τίς ἐγείρει ἐν τῷ «εἰ μέν τις τὸν ὄνειρον» (Β 80), τινός «μή τινος», τινί «οὔ τινι κοιμηθεῖσα» (Hesiod. Theog. 213), τινά «καί τινα Τρωϊάδων» (C 122), τινές «οἵτινες ἀνέρες εἶεν» (Od. ι 89), τινάς «οὕστινας αὖ μεθιέντας ἴδοι» (Δ 240). ἰσοδυναμεῖ δὲ τῷ μὲν τινός τὸ τεῦ «ἀλλ' οὔ τευ οἶδα». τῷ δὲ τινί τὸ τῷ οἷον «οὔτε σοὶ οὔτέ τῳ ἄλλῳ»

τὴν ὀξεῖαν «αὐτὰρ ἐγὼ καὶ Τυδείδης». τὸ δὲ ἐγκλιτικὸν μετὰ τοῦ τὸν τόνον ἀποσβεννύειν καὶ τὴν πρὸ ἑαυτοῦ βαρεῖαν ὀξύνει, Ἀπολλώνιός μοι, ἐτίμησάς με, et Ioann. Charac. ap. Bekk. 1150, qui fere totus ex Herodiano pendet: ἰστέον δὲ ὅτι διαφέρει ἐγκλιτικὸν ἐγκλινομένου, οὐχ ὡς λέγει ὁ Φιλόπονος ἐν τῇ ἀντωνυμίᾳ, ὃν ἐλέγχομεν ἐκεῖ, ἀλλὰ τῷ καθόλου καὶ τῷ μερικῷ· πᾶν μὲν γὰρ ἐγκλιτικὸν καὶ ἐγκλινόμενόν ἐστιν, οὐ πᾶν δὲ ἐγκλινόμενον καὶ ἐγκλιτικόν ἐστιν. αἱ μὲν γὰρ λέξεις αἱ ὀξύτονοι ἐν τῇ συνεχείᾳ κοιμίζουσαι τοὺς τόνους ἐγκλινόμεναι καλοῦνται, οἷον «εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια». ἰδοὺ αὗται κοιμίζουσαι ἐν τῇ συνεχείᾳ τὸν τόνον ἐγκλινόμεναι καλοῦνται καὶ οὐχὶ ἐγκλιτικαί· ἀλλὰ πᾶν ἐγκλιτικὸν ἐγκλινόμενον. **l. 7—8 Bekk. Anecd. l. c.** ἢ δίχρονον ἢ **inserui ex Char. p. 1150. l. 9—10 Arcad. 141, 21 cf. 141, 13:** οὐδὲ τὰ βαρυνόμενα αὐτὰ καθ' αὑτὰ ἐν τῇ συντάξει δύνανται ἐγκλίνεσθαι· τὰ γὰρ ἐγκλινόμενα αὐτὰ καθ' ἑαυτὰ θέλουσιν ἔχειν ἐπὶ τέλους τὸν τόνον. — cf. Charac. p. 1152: βαρύτονος φύσει οὐκ ἐγκλίνεται· εἴπομεν δὲ φύσει βαρύτονος, ὡς ὅτι εἰσί τινες κατὰ πάθος βαρυνόμεναι καὶ ἐγκλινόμεναι, ὡς τὸ ἡμέων κατὰ διαίρεσιν· καὶ γὰρ ἐβαρύνθη οὐ φύσει· καὶ τὸ σέο δὲ παρὰ τὸ σοῦ ἐνεκλίθη ὡς ἐπὶ Πάριδος «ὡς σεο νῦν ἔραμαι». ἐπὶ γὰρ τοῦ Διὸς ὀρθοτονεῖται. ἀντιδιαστολὴν γὰρ ἔχει πρὸς ἄλλας γενικάς, ἐπὶ δὲ τοῦ Πάριδος οὐκ ἔστι διαστολὴ πρὸς ἄλλην. Ἐν τοῖς δυϊκοῖς τοῦ πρώτου καὶ δευτέρου προσώπου ἀεὶ ὀρθοτονοῦνται, ὅτι ἀεὶ βαρύνονται, κἂν περισπῶσι, νῶϊν σφῶϊν. ὥσπερ τοὐναντίον εἴπομεν ἐπὶ τοῦ ἡμέων, ὅτι ἐγκλίνεται· οὐ γὰρ φύσει βαρύνεται. ἐγκλίνονται δὲ ἀεὶ αἱ τοῦ τρίτου δυϊκαί, «ἀλλ' εἴπ' εἴ σφωϊν καταλύσομεν ὠκέας ἵππους» καὶ «τίς τάρ σφωε θεῶν ἔριδι». καὶ ἐν τοῖς πληθυντικοῖς τοῦ τρίτου προσώπου σφίσι σφέας ἀναβιβάζεται ὁ τόνος τῇ πρώτῃ λέξει «ἐπεὶ οὔ σφισι» «καί σφεας φωνήσας», ἐπεὶ οὐ φύσει ἐβαρύνοντο, ἀλλὰ κατὰ πάθος σφῖν σφίσιν, σφᾶς σφέας **cf. Lob. El. I 485 coll. p. 421. l. 11—12 Bekk. 1157 cf. 1143. l. 13—16 Arcad. 141, 22—27. l. 17—24 Bekk. Anecd. 1143, in initio verba** ἐν μὲν οὖν ὀνόμασι τὸ τίς μόνον ἐγκλίνεται **ex Arc. 141, 27.**

(Α 299). τὸν δὲ κατὰ φύϲιν τόνον ἔχοντα πυϲματικὰ γίνονται· τίϲ τίνοϲ τίνι τίνα.

Ἐν δὲ ῥήμαϲιν ἐγκλίνεται τὸ φημί καὶ τὸ εἰμί· «πεζὸϲ δ' ἔνδεκά φημι» (Ι 329) «τόϲϲον ἐγώ φημι» (Β 129). τούτου τὸ δεύτερον φῄϲ ἀνέγκλιτον. τὸ δὲ τρίτον ἐγκλίνεται «τί φηϲιν οὗτοϲ»; ἐϲθ' ὅτε καὶ τὰ πληθυντικὰ ἐγκλίνονται «ἐκεῖνό φαμεν ἢ φατε ἢ φαϲιν». ἔτι καὶ τὸ εἰμί «Διὸϲ δέ τοι ἄγγελόϲ εἰμι» (Β 26). τὸ δὲ εἶ ἀνέγκλιτον, καθότι οὐ τῶν εἰϲ $\overline{\mu\iota}$ ἐϲτί. τὸ δὲ εἶϲ ἐγκλιτικὸν οἷον «αἵματόϲ εἰϲ ἀγαθοῖο» (Δ 611). καὶ ἐϲϲί δεύτερον ἑνικὸν ἐγκλίνεται «ϲχέτλιόϲ ἐϲϲι γεραιέ» (Κ 164). τὸ ἔϲτιν ἡνίκα ἄρχεται λόγου ἢ ὅτε ὑποτάϲϲεται τῇ οὔ ἀποφάϲει ἢ τῷ καί ἢ εἴ ἢ ἀλλά ϲυνδέϲμῳ ἢ τῷ ὡϲ ἐπιρρήματι ἢ τῷ τοῦτο, τηνικαῦτα τὴν ὀξεῖαν ἔχει ἐπὶ τοῦ $\overline{\epsilon}$ οἷον

ἔϲτι πόλιϲ Ἐφύρη μυχῷ Ἄργεοϲ ἱπποβότοιο (Ζ 152)
οὐκ ἔϲτ' οὐδὲ ἔοικε τεὸν ἔποϲ ἀρνήϲαϲθαι (Θ 357)

«ὡϲ ἔϲτι κακὸν ἀμαθία, εἰ ἔϲτιν οὕτωϲ, ἀλλ' ἔϲτιν εἰπεῖν, τοῦτ' ἔϲτιν ἁμάρτημα». ἐὰν δὲ ὑποτάϲϲηται ὀξυτόνῳ λέξει ἢ περιϲπωμένῃ, ἐγκλίνεται οἷον «καλόϲ ἐϲτιν, Ἑρμῆϲ ἐϲτιν», ἢ τροχαίῳ μὴ παροξυτόνῳ, ἀλλὰ προπεριϲπωμένῳ οἷον «οἶκόϲ ἐϲτι, δῆμόϲ ἐϲτι». δεῖ προϲθεῖναι, εἰ μὴ ἔχοι τὴν τελευταίαν ϲυλλαβὴν ὁ τροχαῖοϲ θέϲει μακράν, ὡϲ ἔχει τὸ «φοῖνιξ ἐϲτί, κῆρυξ ἐϲτί». διὰ γὰρ τὴν τοῦ $\overline{\xi}$ ἐπιφορὰν οὐ γίνεται ἔγκλιϲιϲ. μὴ παροξυτόνῳ δὲ εἶπον διὰ τὸ «φύλλα ἐϲτίν». παροξύτο-

l. 1 Arc. 142, 4; de τίϲ nomine cf. Lehrs ad Mon. 19, 1, Dichr. 282; de τι Schol. ad Od. η 200; ι 11; de τῳ ϲ 289, τεῳ λ 502. — l. 3—9 Arc. 142, 6—19 verba καθότι οὐ τῶν εἰϲ $\overline{\mu\iota}$ ἐϲτί inserta sunt ex Bekk. 1158. Herodianus enim εἶ non ab εἰμί declinavit, sed ut Apollonius ap. Choer. 583, 33 ab ἔομαι. de verbis in universum cf. Arc. 141, 16: τὰ μὴ ὀξυνόμενα ῥήματα οὐκ ἐγκλίνονται καὶ τὰ ἐγκλινόμενα κατὰ τὸν ἐνεϲτῶτα οὐ πάντωϲ κατὰ τὰ λοιπὰ ἐγκλίνονται; de φημί Charax 1152: τινὲϲ ἔλεγον αὐτὸ (sc. φημί) μὴ ἐγκλίνεϲθαι, ὡϲ ὁ προειρημένοϲ Τήλεφοϲ, ᾧ οὐκ ἐπείϲθη ἡ παράδοϲιϲ; de φῄϲ Char.: τὸ φῄϲ δεύτερον οὐκ ἐγκλίνεται μήποτε διὰ τὸ πλεόναϲμα τοῦ $\overline{\iota}$. ἀλλ' οὐδέποτε τὸ ἀπ' αὐτοῦ γεγονὸϲ κατὰ ἀποβολὴν ἠμί ἐγκλίνεται; de plurali verbi φημί Char.: τὰ πληθυντικὰ (sc. τοῦ φημί) οὐκ ἐξωμάλιϲται, ἀλλὰ παρὰ μὲν τοῖϲ πολλοῖϲ καὶ μάλιϲτα τοῖϲ ἀκριβέϲιν ἐγκλίνεται ἄνθρωπόν φαμεν, ἄνθρωπόν φατε, ἄνθρωπόν φαϲι, παρά τιϲι δ' οὔ, οἷϲ ἡ ἀκριβὴϲ ἀνάγνωϲιϲ οὐκ ἐπείϲθη; de φαϲί cf. etiam Choer. 510, 21; de εἰμί Il. Pr. Β 26: Διὸϲ δέ τοι ἄγγελόϲ εἰμι: τὴν $\overline{\lambda o\varsigma}$ ὀξυτονητέον διὰ τὸ εἰμί. de εἶϲ Schol. Od. α 170: πόθεν εἶϲ: ἐγκλιτέον τὴν εἰϲ cf. δ 317, Mon. 44, 23. Charax p. 1151: τοῦ εἰμί ἐγκλίνεται καὶ τὸ δεύτερον πρόϲωπον εἶϲ «αἵματόϲ εἰϲ ἀγαθοῖο» καὶ ταῦτα οὐ πρὸϲ διάφορον ϲημαινόμενον ἐγκλίνεται, ἀλλὰ πρὸϲ εὐπρεπῆ φαϲιν οὕτωϲ ἀρέϲαι τοῖϲ παλαιοῖϲ. τὸ δὲ εἶ οὐκ ἐγκλίνεται, εἴτε ἀπὸ τοῦ εἰμί ἐϲτι διὰ τὸ πάθοϲ εἴτε ἑτέρωθεν, ἀλλ' ὀρθοτονεῖται καὶ ἐν τῷ ἄνθρωποϲ εἶ. — l. 10 τὸ ἔϲτι usque ad l. 12 pag. seq. ex Bekk. 1148 περὶ τοῦ ἔϲτιν, quod fragmentum Herodianeum esse persuasit Lehrs qu. ep. 104, pro Θωμᾶϲ ἐϲτι ab epitomatore invecto scripsi l. 4 pag. proximae Ἑρμῆϲ ἐϲτι. De re cf. Charac. 1151, unde hausit Eustath. 1600, 13 sua, quae in ipsis paene verbis cum Herodianeis conspirare observavit Lehrs p. 125. Il. Pr. Ζ 152: ἔϲτι πόλιϲ Ἐφύρη: τὸ ἔϲτι, ἐπὶ τῆϲ πρώτηϲ ϲυλλαβῆϲ ἔχει τὴν ὀξεῖαν, ὅταν ἄρχηται «ἔϲτι δέ τιϲ προπάροιθε πόλιοϲ» (Il. Β 811) καὶ ὅταν ὑποτάϲϲηται τῇ οὔ ἀποφάϲει «ὡϲ οὐκ ἔϲθ' ὅδε μῦθοϲ» (Od. ψ 62)· εἰ μέντοι γε μὴ εἴη τὸ τοιοῦτο, οὐκέτι ἐπὶ τῆϲ πρώτηϲ ϲυλλαβῆϲ ἔχει τὴν ὀξεῖαν οἷον «ὃ δὴ τετελεϲμένον ἐϲτίν». Α 63: τὸ ἔϲτιν ἐγκλιτικόν ἐϲτιν, εἰ μὴ ἄρχεται ἢ μὴ προηγεῖται ἡ οὔ ἀπόφαϲιϲ, ex quibus locis l. 10 scripsi ἄρχεται pro ἄρχει.

νος γὰρ οὗτος ὁ τροχαῖος, οὐχὶ προπερισπώμενος καὶ διὰ τοῦτο τὸ ἔστιν οὐκ ἐγκλίνεται, ἀλλ' ἐπὶ τοῦ ῑ ἔχει τὴν ὀξεῖαν. Γίνεται οὖν ἡ ἔγκλισις ὀξυτόνῳ μὲν λέξει «κακός ἐστι», προπαροξυτόνῳ δὲ «ἄκακός ἐστι», περισπωμένῃ δὲ «Ἑρμῆς ἐστι», προπερισπωμένῃ δὲ «φαῦλός ἐστιν». καὶ γὰρ ἐπαναγωγὴν τῶν αὐτῶν πεποιήμεθα διὰ σαφεστέραν γνῶσιν. ἐὰν δὲ μὴ οὕτως ἔχῃ ἤγουν ὡς προτέτακται, τὴν ὀξεῖαν ἐπὶ τοῦ ῑ δέχεται, καὶ ἐὰν προκέηται αὐτοῦ ἢ τροχαῖος παροξύτονος οἷον μάντις, πόρνος, ἢ περισπώμενος μέν, ἔχων δὲ τὴν τελευταίαν θέσει μακράν, ὡς ἔχει τὸ φοῖνιξ, κῆρυξ, ἢ σπονδεῖος ὁμοίως παροξύτονος ὥσπερ τὸ ἥρως, εἵλως, ἢ ἴαμβος πάλιν παροξύτονος ὡς τὸ ἔρως, γέλως, ἢ πυρρίχιος, καθάπερ τὸ λόγος, πόνος, τηνικαῦτα τὸν τόνον ἐπὶ τοῦ ῑ δέχεται οἷον «μάντις ἐστίν, φοῖνιξ ἐστί, ἥρως ἐστί, γέλως ἐστί, λόγος ἐστί».

Καὶ τὸ δυϊκὸν δέ ἐστόν ἐγκλίνεται «οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον». (Ι 198) καὶ τὰ πληθυντικά «ἄνθρωποί ἐσμεν, ἄνθρωποί ἐστε, οὗτοί εἰσι».

Ἐκ δὲ μετοχῶν οὐχ οἷόν τέ ἐστιν ἐγκλιτικὸν μόριον. ἀεὶ γὰρ ταῦτα ἐκ θέματος ἀνάγεται, εἴγε μεταλήψεις ῥημάτων εἰσίν. ἀλλ' οὐδὲ ἐξ ἄρθρου. τῇ γὰρ συντάξει ἡ παράθεσις τῶν ἄρθρων μάχεται· ἅπαντα γὰρ ταῦτα προτακτικά ἐστιν, ἀρκτικώτερα ὄντα τῶν καλουμένων προτακτικῶν, ᾗ κατάρχει ὅλου λόγου «ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν» καὶ «ὃς μάλα πολλὰ πλάγχθη». διὰ τοῦτο καὶ ἰδίῳ ῥήματι κατακλείεται, πρὸ αὐτοῦ τε πίπτουσιν αἱ στιγμαί. καὶ ἐξ ἁπάντων τῶν ὄντων οὐ πολλά ἐστι μόρια εὑρεῖν, ἃ εἰς τὴν προκειμένην σύνταξιν ὑπάγεται.

Ἐκ δὲ ἀντωνυμιῶν αἱ μὲν ἐγείρουσαι τὴν ὀξεῖαν τὴν πρὸ αὐτῶν ἐγκλιματικαὶ καλοῦνται, αἱ δὲ μὴ ἐγείρουσαι ὀρθοτονούμεναι.

Τῶν ἀντωνυμιῶν αἱ μὲν κτητικαὶ οὐδέποτε ἐγκλίνονται, ἀλλ' οὐδὲ αἱ εὐθεῖαι τῶν πρωτοτύπων. αἱ δὲ τῶν πρωτοτύπων πτώσεις χωρὶς τῆς κλητικῆς ἐγκλίνονται, ἡ γενικὴ καὶ δοτικὴ καὶ αἰτιατική. ἀλλ' αἱ μὲν τοῦ πρώτου προσώπου ἐγκλινόμεναι καὶ τὸ κατ' ἀρχὴν ε̄ ἀποβάλλουσιν. «ἤκουσάς μου, ἔδωκάς μοι, ἐδίδαξάς με». αἱ δὲ τοῦ δευτέρου

---

l. 8 et 9 de φοῖνιξ κῆρυξ cf. Arcad. 140, 1. — l. 13—15 Bekk. 1158. imperativus ἔστε non est encliticus Il. Pr. Γ 280: μάρτυροι ἔστε: παροξύνεται τὸ ἔστε, ἵνα προστακτικὸν γένηται ὁμοίως τῷ φυλάσσετε· πιθανωτέρα γὰρ ἡ τοιαύτη ἀνάγνωσις. πολλὰ γάρ ἐστι προστακτικὰ ὡς πρὸς τοὺς θεοὺς «Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ποίησόν τ' αἴθρην, δός τ' ὀφθαλμοῖσιν» (Il. Ρ 645). ἀναγκαῖον μέντοι ἐστὶ παραφυλάξαι ἐκεῖνο ὡς ὅτι τὰ εἰς τε̄ λήγοντα πληθυντικὰ ὁριστικὰ καὶ προστακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεσταλμένου τοῦ ἔστε, οἷον λέγετε — ὅτι λέγετε, ἄγε — ὅτι ἄγετε. Idem praescribit E. M. 382, 1 addens: ὁμοίως καὶ τὸ φάτε. — l. 16—23 Bekk. 1144 cf. Arcad. 141, 8: γίνωσκε, ὅτι οὐδὲν προτακτικὸν ἐγκλίνεσθαι δύναται· τίνι γὰρ παραπέμψουσι τὸν ἴδιον τόνον; ἀλλ' οὐδὲ τὰ ἔχοντα προηγουμένην στιγμήν. πῶς γὰρ διαζεύξεως προηγουμένης ἔγκλισις γένηται; καὶ τούτου χάριν τὰ ἄρθρα οὐκ ἐγκλίνονται. — τὰ ἐγκλινόμενα κατὰ τὴν εὐθεῖαν καὶ κατὰ τὰς ἄλλας πτώσεις ἐγκλίνεσθαι δύναται [διὸ οὔτε αἱ προθέσεις οὔτε αἱ μετοχαὶ ἐγκλίνεσθαι θέλουσιν margo], horum prius praeceptum ad τίς τινός referendum videtur, alterum cum illo cohaerens ad particulam omissam pertinere, quae de vocabulis encliseos expertibus agebat. l. 24—25 Bekk. 1144. — l. 26—l. 3 pag. seq. Arcad. 142, 20 - 143, 5; l. 27 pro παραγώγων scripsi πρωτοτύπων.

καὶ τρίτου προςώπου μονοςύλλαβοι οὖςαι οὐδεμίαν ςτοιχείου ἀποβολὴν ποιοῦςιν· «ἤκουςά ςου, ἔδωκά ςοι, ἐδίδαξά ςε» «καί οἱ ἐπευχόμενος» (Π 829) «καί ἑ νέον πόλεςιν» «καί μιν φωνήςας» (Π 6).

Αἱ μὲν οὖν ἀεὶ ἐγείρουςαι τὴν πρὸ αὐτῶν ὀξεῖάν εἰςιν αἵδε, μεῦ μοῦ, μοί τοί, μέ μίν, ςφίν ςφέ ςφωέ. τούτων παραδείγματα τῆς μὲν μεῦ «κλῦθί μευ ἀργυροτόξε» (Α 37), μοί «οὐ γάρ μοί ποτε βωμός (Δ 48, Ω 69), τοί «καί τοι ἐγὼ ςυνέριθος» (ζ 32), με «καί με φίληςεν ὡς εἴτε πατήρ (ρ 111), μίν «καί μιν φωνήςας ἔπεα πτερόεντα προςηύδα» (Π 6); ςφίν «καί ςφιν ἅμ' ἐςτὶ Μέδων» (Π 252), ςφε «γιγνώςκων· καὶ γάρ ςφε πάρος» (Λ 111).

Αἱ δὲ ποτὲ μὲν ἐγείρουςαι τὴν πρὸ αὐτῶν ποτὲ δὲ μή, ςεῦ ςέο ςοῦ ςοί ςέ, εὗ οἷ ἕθεν, ςφί ςφώ, ςφίςι ςφέας. ὅτε μὲν οὖν ἀπολελυμένως λέγονται καὶ οὐχὶ πρὸς ἕτερον πρόςωπον ἀντιδιαςτέλλονται, ἐγείρουςι τὴν πρὸ αὐτῶν ὀξεῖαν· ὅτε δὲ κατὰ τὴν πρός τι ἕτερον διαςτολὴν ἐκφέρονται, ὀρθοτονοῦνται· οἷον ἀπολελυμένως, ςεῦ «ἀλλά ςευ ἀκάματος», ὀρθοτονουμένως «ςεῦ δ' ἐπεὶ ἐξέλετο ψυχήν» (Ω 754), ςέο, ἀπολελυμένως «ὥς ςεο νῦν ἔραμαι» (Γ 446), ὀρθοτονουμένως δὲ «ὡς ςέο νῦν ἔραμαι» (Ξ 328), ςέ ἀπολελυμένως «ἐπεί ςε πρῶτον ἔθηκα» (Ζ 355), ὀρθοτονουμένως δὲ «μὴ ςέγ' ἐν ἀμφιάλῳ Ἰθάκῃ» (α 386).

---

l. 4—19 Bekk. 1145. l. 7 locus Hom. ρ 111 sic legitur: ἐνδυκέως ἐφίλει, ὡςεί τε πατὴρ ἑὸν υἱόν, quem Herodianus ex memoria proferens immutavit. l. 17 eo, quod bis eadem verba, sed ςέο pronomine diverso accentu pronunciato proposita erant, corruptela orta est; additis ὀρθοτονουμένως δὲ et repetitis ὡς ςέο νῦν ἔραμαι locum sanavi; etiam duo sequentia Homeri exempla in cod. corrupta sunt, pro ἐπεί enim in priore loco καί et in altero μήτε ςέο pro μή ςέγ' scriptum est aeque atque l. 9 γίνωςκε γάρ ςφε πάρος pro γιγνώςκων· καὶ γάρ ςφε πάρος. — De ςφίν Il. Pr. Κ 574: τοῦ ἐπεί τὴν τελευταίαν ὀξυτονητέον· ἐγκλιτικὴ γὰρ ἡ ςφίν. Sequuntur loci, in quibus Herodianus pronomina primae et secundae personae aut inclinari aut recto accentu scribi annotat. De prima persona hi agunt: μοι Α 524: οὐδέ τί πώ μοι: τὸ πω ὀξύνεται διὰ τὴν μοί ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐςτιν. Ο 162: εἰ δέ μοι: τὸν δέ ὀξυτονητέον. ἔςτι γὰρ νῦν ἡ μοί ἐγκλιτικὴ καὶ ἀπόλυτος. Υ 356. Λ 719: ὀφείλει τὸ τί ὀξύνεςθαι διὰ τὴν μέ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖςαν. Π 207. Ψ 73. Schol. Od. ο 311. Il. Pr. Ι 614: ἵνα μή μοι ἀπέχθηαι φιλέοντι: ὁ Ἀςκαλωνίτης ἀναγινώςκει ἵνα μὴ μοὶ τὰς δύο βαρυτόνως, οἷον ἵνα μὴ ἐμοὶ κατ' ὀρθὴν τάςιν. ςυγκριτικὴ γάρ ἐςτι, φηςίν, ὡς πρὸς τὸν Ἀγαμέμνονα· καὶ ὑγιῶς φηςιν. ἡ μέντοι παράδοςις ἐγκλιτικῶς ἀνέγνω, ἐπὶ τὴν μή ὀξεῖαν τιθεῖςα, ὁμοίως τῷ «μή μοι οἶνον ἄειρε» (Il. Ζ 264), τῷ μὴ εἶναι ἐν τῇ ἀντωνυμίᾳ τὸ ε, ἀλλ' ἀποβεβλῆςθαι· καὶ ὁμοία ἐςτὶν ἡ πλάνη τῷ «ἤ μ' ἀνάειρε ἢ ἐγώ ςε» (Il. Ψ 724) καὶ τῷ «τάχα δή με διαρραίςουςι καὶ αὐτόν» (Od. α 251), εἴγε ἐχρῆν καὶ ταῦτα ὀρθοτονεῖςθαι. ἀλλὰ τῷ μὴ ὁρᾶςθαι κατ' ἀρχὴν τὸ ε οὕτως ἀνέγνωςαν. τοῦτο γὰρ ἐπακολουθεῖ τοῖς πρωτοτύποις· ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι, ὅτι κρᾶςις δύναται ἐπακολουθεῖν καὶ οὕτως ῥῶςαι τὴν ὑγιῆ ἀνάγνωςιν. cf. Schol. ad Od. π 128, Il. Φ 159: τὸν δέ μέ φαςι γείναςθαι: ὁ Ἀςκαλωνίτης ἐκ πλήρους λαμβάνει τὴν ἀντωνυμίαν καὶ ὀρθοτονεῖ· εἰςὶ μέντοι οἳ ἀπολύτως ἀνέγνωςαν· ὅμοιον δέ ἐςτι τὸ ἐν Ὀδυςςείᾳ (α 215) «μήτηρ μέν τέ μέ φαςι τοῦ ἔμμεναι» καὶ οὐδέν ἐςτι τὸ κωλῦον cf. Schol. ad Od. l. c. Η 198: ἐμέ: ἐν ὀρθῇ τάςει ἀναγνωςτέον, ἵνα ᾖ ἀντιδιαςτολὴ πρὸς ἄπειρα πολέμου τινὰ πρόςωπα. Schol. Od. α 212: οὔτ' ἐμὲ κεῖνος: πλήρης ἡ ἐμέ ἀντωνυμία· πρὸς γὰρ ἀντιδιαςτολὴν παρείληπται. δ 619, η 223, μ 33. De secunda persona haec praecipiuntur: Α 396: πολλάκι γάρ ςεο πατρὸς ἐνὶ μεγάροιςιν ἄκουςα: ἐγένετο ἐγκλιτικὴ ἡ ἀνάγνωςις, ἐπειδή περ ἁπλῆ ἐςτι καὶ οὐκ ἔχει ἀντιδιαςτολήν. Γ 446: ὥς ςεο: ἐγκλιτικῶς ἀναγνωςτέον. οὐ γὰρ ἀντιδιαςτολὴ προςώπου· ἐκεῖνο δὲ ἐπὶ τοῦ Διὸς ὀρθοτονητέον: ὡς ςέο νῦν ἔραμαι (Ξ 328).

Ἰστέον ὅτι ἡ cοί καὶ ὀρθοτονουμένη ἐcτὶ καὶ ἐγκλιτική. ἐὰν δὲ φθάcῃ γενέcθαι διὰ τοῦ τ̄, μόνωc ἐγκλιτική, ὥcτε ἡ φωνὴ ποιεῖ τὸ ἐγκλιτικόν. καὶ τοῦτο ἐπὶ δευτέρου προcώπου ἐξαίρετον. ἐπὶ γὰρ πρώτων ἐγένετο διὰ τῆc γραφῆc τὸ ὀρθοτονούμενον καὶ ἐγκλιτικὸν διαcτέλλεcθαι οἷον ἐμέ τὸ ὀρθοτονούμενον, τὸ ἐγκλιτικὸν μέ, ἐμοί καὶ μοί. ἀξιοῖ οὖν ἀναγινώcκειν Ζηνόδοτοc «οὐ τοί, τέκνον ἐμὸν, δέδοται πολεμήϊα ἔργα» (Ε 428), ἔcτι γάρ, φηcί, διαcτολή. εἰ δὲ διαcτολή, ὀρθοτονητέον. ὅτι δὲ διαcτολή, δῆλον ἐκ τοῦ ἐπιφερομένου· ἀλλὰ πρῶτον μὲν οὐ δίδωcιν ἐγκλιτικὸν μόριον ἐνθάδε ἡ γραφή. ἡ οὖν γραφή, εἰ καὶ διαcτολή ἐcτι, κωλύει ὀρθοτονεῖν τὴν ἀντωνυμίαν. εἰ δὲ cοί ἦν, ὀρθοτονεῖcθαι ἠδύνατο δευτέρου οὖcα προcώπου. ἡ δὲ τοί μόνωc ἐγκλιτική. δεύτερον δὲ οὐδὲ ἔcτιν ἐκ τῆc ἀντωνυμίαc ταύτηc διαcτολή. τὸ γὰρ «ταῦτα δ' Ἄρηϊ θοῷ» (Ε 430) πρὸc τὸ «ἀλλὰ cύγ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο» (Ε 429). ἀλλὰ καὶ ἀλλαχοῦ δὲ ἐμφάcεωc οὔcηc καὶ διαcτολῆc ἄντικρυc ἐγκλιτικῶc ἀνέγνωμεν «νῦν δέ τοι οἴῳ πάμπαν ἀπώλετο νόcτιμον ἦμαρ» (ρ 253). ἀντιδιαcτέλλει γὰρ πρὸc τοὺc ἄλλουc· καὶ ἔcτιν ἐπίταcιc ἐκ τοῦ λέγειν «τοι οἴῳ». ἀλλὰ πάλιν διὰ τὴν γραφὴν τῆc ἀντωνυμίαc τὸ ἐγκλιτικὸν ἐπεκράτηcεν.

ἀντιδιαcτολὴ γὰρ πρὸc ἄλλα πρόcωπα. Β 28: θωρῆξαί cε: τοῦ θωρῆξαι τὴν τελευταίαν ὀξυτονητέον. ἀπολελυμένη γάρ ἐcτιν ἡ cέ; 190: οὔ cε: ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ cυνήθεια Lehrs qu. ep. 121, Θ 161. 283, Ι 485, Λ 383, Schol. Od. ζ 159. Il. Ζ 355: ἐπεί cε: τὴν cέ ἀντωνυμίαν ὀξυτονοῦcι, τουτέcτιν ὀρθοτονοῦcιν, ἐπεὶ πρόc τί ἐcτιν. ἔcτι μὲν οὖν ἀληθέc, ὅτι ἀντιδιαcταλτική ἐcτιν νῦν ἡ ἀντωνυμία. ἡ μέντοι κοινὴ ἀνάγνωcιc ἀνέγνω ἐγκλιτικῶc ἀεὶ τὴν τοιαύτην cύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐcτιν. τὸ ἐπεί cε εὑρέθη cυνεχῶc οὕτωc ἀνεγνωcμένον, ἐγκλιτικῶc ἀεί, μὴ ἐπιφερομένου cυνδέcμου «ἐπεί c' εἴαcεν Ἀχιλλεύc» (Il. Ω 684), «ἐπεί cε πρῶτα κιχάνω» (Od. ν 228), «ἐπεί cε φυγὼν ἱκέτευcα» (Od. ο 277), «ἐπεί cε λέοντα» (Il. Φ 483). οὕτωc δὲ καὶ «ἐπεί cε μάλιcτα πόνοc φρέναc». καί μοι δοκοῦcι τῷ πρώτῳ προcώπῳ ἀκολουθεῖν οἱ οὕτωc ἀνεγνωκότεc, πιθανῶc πάνυ. διὰ γὰρ τῆc φωνῆc τὸ πρῶτον πρόcωπον ἐπιδείκνυται, τό τε ὀρθοτονούμενον καὶ τὸ ἐγκλιτικόν, εἴγε ἡ ἐμέ αἰτιατική, ὅτε φυλάccει τὸ ε̄, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐcτιν. εὑρέθη τοίνυν μετὰ τοῦ ἐπεί cυνδέcμου παρὰ τῷ ποιητῇ κατὰ ταύτην τὴν cύνταξιν ἀποβάλλουcα τὸ ε̄ «Ἕκτωρ ἐπεί με κατ' αἶcαν» (Il. Γ 59), «ἐπεί μ' ἀφέλεcθέ γε δόντεc» (Il. Α 299). τούτῳ τοίνυν τῷ λόγῳ πιθανὸν ἂν εἴη κατακολουθήcανταc ἡμᾶc ἀναγινώcκειν ἐγκλιτικῶc «ἐπεί cε μάλιcτα» cf. Schol. ad Od. ν 228, Β 201, Ξ 309, Schol. Od. ο 19, Α 443, Γ 63, Δ 43, Ε 252: οὐδὲ cέ: ὁ Ἀcκαλωνίτηc τὸν δέ ὀξύνει, ἵνα ἐγκλιτικῶc ἀναγνῷ· οὐκ ἀναγκαῖον δέ, ἀλλ' ὀρθοτονεῖν. καὶ γὰρ δύναται cυνδεδέcθαι. Ι 494: ἀλλὰ cέ: ἐνθάδε ὀρθοτονητέον· ἔμφαcιc γὰρ δείξεωc. Υ 105: καὶ δὲ cέ φαcι: ὁ Ἀcκαλωνίτηc ὠρθοτόνηcε τὴν ἀντωνυμίαν, τὸν δὲ cύνδεcμον ἀντὶ τοῦ γάρ παραλαβών. καὶ οὕτωc ἔχει τὰ τῆc ἀναγνώcεωc καὶ τῆc διανοίαc. Schol. Od. π 418. De pronominibus primae et secundae personae pluralibus infra testimonia proferam. l. 1—18 sunt ex Epim. Hom. 409, 8, quod fragmentum Herodianeum esse facile et per se perspicitur et collatis Il. Pr. Α 294: εἰ δὴ cοί: οὕτωc ὀρθοτονητέον τὴν ἀντωνυμίαν. ἀντιδιαcταλτικὴ γάρ ἐcτιν. διδάcκει καὶ ἡ γραφὴ διὰ τοῦ c̄ οὖcα· εἰ γὰρ ἦν ἐγκλιτική, ὁμοίωc ἂν ἐγράφετο τῷ «εἰ δή τοι cοῦ πατρόc» (Od. β 271) καὶ τῷ «καί τοι ἐγὼ cυνέριθοc» (Od. ζ 32). περὶ δὲ ταύτηc τῆc ἀναγνώcεωc ἐντελέcτερον δὲ διαληψόμεθα ἐν τῇ Γ τῆc Ὀδυccείαc (50), ὅταν περὶ τῆc Ζηνοδοτείου γραφῆc ἐπιζητῶμεν, πότερον τοῦ ἕνεκα cοὶ προτέρῳ ἢ τοῦ ἕνεκά τοι. Schol. ad Od. γ 50: ἐχρῆν ὀρθοτονεῖν τὴν cοί. Ζηνόδοτοc δὲ «τοὔνεκά τοι» γράφει ἀγνοῶν, ὅτι ἐπὶ τῆc διαcτολῆc οὐ λαμβάνεται ἡ τοί. Schol. α 214: τοι γὰρ ἐγώ τοι: τὸ πρῶτον τοί οὐκ ἔcτιν ἀντωνυμία. οὐδέποτε γὰρ ἀρκτικὸν τὸ τοί, ἀλλ' ἔcτιν ἀντὶ τοῦ δή. Lehrs qu. ep. 122. l. 9 post ἐνθάδε inserui ἡ γραφή.

Ἡ cφώ ὅτε μὲν ἐπὶ τοῦ τρίτου προcώπου λέγεται, ἐγείρει τὴν πρὸ αὐτῆc ὀξεῖαν. αἱ δὲ τοῦ τρίτου προcώπου ἑνικαί τε καὶ πληθυντικαί, ὅτε μὲν τὸ ἐξ αὐτῶν μεταφραζόμενόν ἐcτιν αὐτόc, ὃ καὶ ἐπίταγμα λέγεται, ἐγείρει τὴν πρὸ αὐτῶν ὀξεῖαν. ἡ μὲν ἕο «ἐπεί ἑο κήδετο λίην» (ξ 461). ἔcτι γὰρ ἐπεὶ αὐτοῦ (τοῦ Ὀδυccέωc) ἐκήδετο λίαν ὁ Εὔμαιοc. ὅτε δὲ μεταφραζομένη μετὰ τοῦ ε̄ λέγεται ἡ ἀντωνυμία τοῦ ε̄ ἐκφερομένου δαcυνομένου, οὐκ ἐγείρουcιν οἷον «Δηΐφοβοc δὲ — ἀcπίδα ταυρείην cχέθ' ἀπὸ ἕο» (Ν 162 et 163). ἔcτι γὰρ ἀφ' ἑαυτοῦ. εἰcὶ δὲ ἕο εὗ ἕθεν οἷ ἕ cφέων cφίcι cφέαc. αὗται δὲ καὶ cὺν τοῖc ἐπιτάγμαcι λέγονται, ὅτε δὴ καὶ ὀρθοτονοῦνται πάντωc οἷον «παρ' δὲ οἷ αὐτῷ» (Od. ο 285). ἐὰν δὲ ἐκ περιccοῦ τὸ ἐπίταγμα λαμβάνηται, ἐγκλίνονται «ἀλλά οἱ αὐτῷ — Ζεὺc ὀλέcειε βίην» (δ 667). ἔcτι γὰρ ἀλλ' αὐτῷ ψιλῶc. ὑποδείγματα τῶν ἐγκλινομένων, ἕο «ἐπεί ἑο κήδετο λίην», εὗ «ἐπεί εὑ φημι βίῃ πολὺ φέρτεροc» (Ο 165), ἕθεν «ἐπεὶ οὔ ἑθέν ἐcτι χερείων» (Α 114), οἷ «καί

---

l. 1—l. 9 pag. seq. Bekk. Anecd. 1145, 1146, 1147. l. 3 addidi αὐτόc ante ὃ καὶ ἐπίταγμα et 6 Εὔμαιοc pro Εὔμηλοc, ἀντωνυμία pro χώρα scripsi. de cφώ cf. Il. Pr. Κ 546: ἤ τίc cφωε πόρεν: τὸ ῥῆμα ἀπὸ τοῦ π̄ ἄρχεται καὶ ἡ cφωέ τρίτου προcώπου ἐγκλιτική ἐcτι, cημαίνουcα τὸ αὐτούc· «τίc τ' ἄρ cφωε θεῶν» (Il. Α 8)· «ἀλλά cφωε δόλοc καὶ δεcμόc» (Od. θ 317)· ὥcτε οὐκ οἶδεν ὁ ποιητὴc οὐδὲ μονοcύλλαβον τὴν cφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προcώπου ἐcτὶ καὶ cημαίνει τὸ ὑμεῖc ἢ ὑμᾶc «cφὼ δὲ μάλ' ἠθέλετον» (Il. Λ 782)· ἔνθεν οὖν οἱ ἀκριβέcτερον αὐτὰ παραφυλάξαντεc ἔκθλιψιν δεδώκαcι τοῦ ε̄ ἐν τῷ «εἰ μή cφω' Αἴαντε διέκρινον» (Il. Ρ 531)· ἵνα τὸ διηνεκὲc φυλαχθῇ. Ο 146: καὶ τὸ Ζεύc καὶ τὸ cφώ ἐγκλιτέον, τουτέcτι βαρυτονητέον, ἐπεὶ δευτέρου προcώπου ἐcτὶ καὶ μεταλαμβάνεται εἰc τὸ ὑμᾶc. Ad l. 11 οἱ αὐτῷ hoc animadvertendum: Hoc loco Catholicae edicit in οἱ αὐτῷ, ubi nihil nisi αὐτῷ significet, οἱ inclinandum esse, sed in Prosodia Homerica orthotonesin etiam hoc intellectu legitimam esse pertendit, nonnunquam tamen rectum accentum et positura et oppositione atque copulatione defendit. Exposite de diversa scriptura etiam in Catholica disseruisse Herodianum ostendit locus infra ex Arcadio receptus, in quo Herodiani quam in Prosodia Homerica obtinuit sententia servata est, quum hic in Bekk. epitome lex generalis ex Aristarcheo textu repetita, ut in Catholica solet, tradita sit cf. Lehrs qu. ep. 118 Arist. 256[2] not. — Iam proferam exempla pronominis tertiae personae ita, ut primum inclinata, tum orthotonumena in conspectum veniant: Il. Pr. Ο 165: ἐπεί εὖ φημι: ἐπὶ τούτου ἐγκλιτική ἐcτιν ἡ ἀντωνυμία καὶ ἀπόλυτοc· διὸ τὸν ἐπεί cύνδεcμον ὀξυτονητέον ὁμοφώνωc τῷ «καί εὑ κράτοc ἐcτὶ μέγιcτον» (Il. Ω 293). Υ 464. — Α 114: οὔ ἑθεν: οὕτωc ὀξυτονητέον τὴν οὔ ἀπόφαcιν, ἵν' εἰc ἁπλῆν μεταληφθῇ ἀντωνυμίαν. τοῦτο γὰρ καὶ Ἀρίcταρχοc παρήγγειλεν· ἐὰν γὰρ ὀρθοτονήcωμεν, ἔcται τὸ ἑαυτῆc cύνθετον. οὕτωc οὖν καὶ τὸ «οἵ ἑθεν ὀτρύνοντοc» (Il. Ο 199) καὶ «οὕc ἑθεν εἵνεκ' ἔπαcχον» (Il. Γ 120). Γ 128: οὕc ἑθεν: ἐγκλιτικῶc ἀνεγνώcθη διὰ τὸ μεταλαμβανόμενον, ἐπεὶ εἰc ἁπλῆν ἡ μετάληψιc οὓc αὐτῆc. τοῦτο δὲ ἐπὶ τῆc ἕθεν φαcίν, ὅτι εἰ μὲν εἰc ἁπλῆν μεταλαμβάνοιτο, ἐγκλιτικῶc ἀναγινώcκειν δεῖ, εἰ δὲ εἰc cύνθετον, ὀρθοτονητέον. διὸ κἀκεῖνα οὕτωc ἀνεγνώcθη «ἐπεὶ οὔ ἑθέν ἐcτι χερείων» (Il. Α 114), οἵ ἑθεν ὀτρύνοντοc» (Il. Ο 199). ἐκεῖνο δὲ κατ' ὀρθὴν τάcιν «ἀπὸ ἕθεν ὤcατο χειρί» (Il. Ζ 62). ὅθεν Cιδώνιοc μέμφεται Ἀριcτάρχῳ μὴ ἐγκλιτικῶc ἀναγνόντι τὸ «πρόcθεν ἕθεν φεύγοντα» (Il. Ε 80). ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν. — Ο 199. — Ν 803 πρὸ ἕθεν: ὁμοίωc τῷ «ἀπὸ ἕθεν» (Il. Ζ 62), ἀναγνωcτέον κατ' ὀρθὴν τάcιν. προείρηται δὲ περὶ τῆc ἀντωνυμίαc. Lehrs qu. ep. 120. — Β 665 γάρ οἱ: ὁ γάρ ὀξύνεται, ἵνα ἀντωνυμία γένηται ἐγκλιτικὴ δοτικῆc πτώcεωc τὸ οἱ καὶ μὴ ἄρθρον. — Υ 384. — Ζ 90. Φ 174: ἆλτ' ἐπί οἱ μεμαώc: ἡ οἱ ἀντωνυμία ἀπόλυτόc ἐcτι καὶ ἐγκλιτική· διὸ τῆc ἐπί προθέcεωc τὸ τέλοc ὀξύνουcι. qu. ep. 119. — Φ 507: προτὶ οἷ: τὴν ἀντωνυμίαν ὀρθοτονοῦcιν, οὐ διὰ τὴν πρόθεcιν, ἀλλ' ὅτι εἰc cύνθετον παρελαμβάνετο. Υ 418. Ε 800. Κ 307. Λ 239. Ν 542. Ι 392: ὅcτιc οἷ: εἰc ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅcτιc

οἱ ἐπευχόμενος» (Π 6), ἕ «καί ἑ κακὴ βούβρωςτις» (Ω 532), cφέων «τῷ cφεων πολέες κακὸν οἶτον ἐπέcπον» (γ 134), cφίcιν «ἀπό τέ cφιcιν ὕπνος ὄλωλεν» (Κ 186), cφέας «καί cφεας φωνήcας» (Δ 284). τῶν δὲ ὀρθοτονουμένων, ἕο «Δηΐφοβος δὲ — ἀcπίδα ταυρείην cχέθ' ἀπὸ ἕο», εὗ «φρίξας δ' εὗ λοφιήν» (Od. τ 446), ἕθεν «Αἰνείας δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀcπίδ' ἀνέcχεν» (Є 278), οἷ «ἐπεὶ οὔ τινά φηcιν ὁμοῖον — οἷ ἔμμεναι Δαναῶν» (Ι 305), ἕ «κάλεόν τέ μιν εἰς ἓ ἕκαστος» (Ψ 203), cφῶν «cφῶν τ' αὐτῶν καὶ κλιcιάων (Μ 155), cφίcι «καὶ τὰ μὲν εὖ δάcαντο μετὰ cφίcι» (Α 368), cφέας «ἐρχόμενον κατὰ ἄcτυ διὰ cφέας» (η 40).

Αἱ δυϊκαὶ τοῦ πρωτοτύπτου τοῦ α' καὶ β' προcώπου οὐδέποτε ἐγκλίνονται διὰ τὴν βαρεῖαν τάcιν, νῶϊν, cφῶϊν. προπεριcπῶνται γάρ. αἱ δὲ τοῦ τρίτου ὀξυνόμεναι ἐγκλίνονται «τίc τάρ cφωε θεῶν» (Α 8) «καί cφωϊν δὸc ἄγειν» (Α 338). Καὶ τὰ πληθυντικὰ τοῦ τε πρώτου προcώπου καὶ δευτέρου, ἡμῶν ὑμῶν ἡμῖν ὑμῖν ἡμᾶc ὑμᾶc τετράχρονοι οὖcαι, ἐπειδὰν ἐγκλίνωνται, τὴν πρώτην cυλλαβὴν ὀξύνουcιν «ἤκουcεν ἥμων, ἔδωκεν ἥμιν καὶ ἐπὶ τῶν λοιπῶν οὕτωc. ἀδύνατον γὰρ ὑπερβῆναι τοὺc τέccαραc χρόνουc τὴν ὀξεῖαν. καὶ αἱ τοῦ τρίτου προcώπου πληθυντικαὶ περιcπώμεναι καὶ ὀξυνόμεναι ἐγκλίνονται, καί cφων, καί cφιν, καί cφαc, καί cφεων, καί cφιcι, καί cφεαc. καὶ εὔλογόν γε οἶμαι λέγειν ὅτι μετὰ τὴν ἔγκλιcιν τὸ πάθοc ἐπηκολούθηcεν, ἵνα μὴ βαρύτονοι οὖcαι ἐγκλίνωνται. τῶν καλουμένων μονοπροcώπων μόνη ἡ αἰτιατικὴ τῆc

---

αὐτῷ. ὅμωc δὲ ὀρθοτονητέον. Apoll. pron. 54 Lehr. qu. ep. 118. — Δ 534 οἵ ἑ: ἐγκλιτικῶc ἀναγνωcτέον, ἵνα εἰc ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψιc γένηται. Β 11. Schol. Od. δ 527. — Δ 497: ἀμφὶ ἕ: δαcυντέον τὸ ε̄ καὶ ὀρθοτονητέον. μεταλαμβάνεται γὰρ εἰc cύνθετον. Ο 241: κατ' ὀρθὸν τόνον ἀναγνωcτέον «ἀμφὶ ἓ γινώcκων», ἔcτι γὰρ εἰc ἑκάτερον ἑαυτοῦ μέροc cκοπῶν. — Il. Pr. Δ 2 μετὰ δέ cφιcι: τὸ cφιcι κατ' ἔγκλιcιν ἀναγνωcτέον νῦν, ἵνα εἰc ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψιc γένηται. τοῦτο δὲ τὸ παρατήρημα οἱ ἀπ' Ἀριcτάρχου παραγγείλαντεc διηνεκῆ τὴν ἀνάγνωcιν οὐκ ἐφύλαξαν. ἀληθὲc γάρ ἐcτιν, ὅτι ἡ cφίcιν ἐγκλιτικὴ οὖcα εἰc ἁπλῆν μεταλαμβάνεται, ὥcπερ καὶ ἐπὶ τοῦ «ἔτι γάρ cφιcι κῦδοc ὀρέξω» (Il. Ρ 453). οὐ μὴν ὀρθοτονουμένη πάντωc εἰc cύνθετον· ἔcτι γὰρ ὅτε καὶ εἰc ἁπλῆν. εἰc μὲν οὖν cύνθετον οὕτωc «αἵ ἑ μετὰ cφίcιν εἶχον» (Il. Χ 474), εἰc ἁπλῆν δὲ οὕτωc· «τοὺc ἄναγον ζωοὺc cφίcιν ἐργάζεcθαι» (Od. ξ 272), «cφίcι δ' αὐτοῖc δαῖτα πένεcθαι» (Od. δ 683)· οὐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖc ἐργάζεcθαι, ἀλλ' αὐτοῖc τοῖc ἄγουcιν· οὐδὲ οἱ μνηcτῆρεc τὰ πρὸc τὴν δαῖτα ἑαυτοῖc παρεcκεύαζον, ἕτεροι δὲ αὐτοῖc. Il. Pr. Α 368: δάccαντο μετὰ cφίcιν: τοῦ cφίcιν τὴν πρώτην ὀξυτονητέον, ἐπειδήπερ εἰc cύνθετον ἡ μετάληψιc, εἰ καὶ οὐ διηνεκὴc ὁ λόγοc· ἔcτι γάρ τινα ἐναντιούμενα; τοὺc δ' ἄναγον ζωοὺc cφίcιν ἐργάζεcθαι ἀνάγκῃ» (Od. ρ 441) καὶ ὅτι μετὰ προθέcεώc ἐcτιν. ὅταν γὰρ ἡ πρόθεcιc ᾖ μετὰ ἀντωνυμίαc, ὀρθοτονεῖται ἡ ἀντωνυμία «cὺν coὶ δῖα θεά» (Il. Κ 290), «προτὶ οἷ δ' ἔλαβ' ἔντεα» (Il. Υ 418), «κατὰ cφέαc γὰρ μαχέοντο» (Il. Β 367), «ἀπὸ ἕο κάββαλεν» (Il. Є 343), «ἀμφὶ ἓ παπτήναc (Il. Δ 497), τοῦ «ἆλτ' ἐπι οἱ μεμαώc» (Il. Φ 174), ζήτηcιν ἔχοντοc cf. qu. ep. 118, 19. — Schol. Od. ο 317. Il. Pr. Κ 208. Χ 474. Ψ 698 et 703. — Schol. ad Od. ζ 6: οἵ cφεαc: ὀξυτονητέον τὸ οἱ ἄρθρον. ἐγκλιτικὸν γάρ ἐcτιν νῦν cφέαc. ν 213, 276; η 40: διὰ cφέαc: ὀρθοτονητέον τὴν ἀντωνυμίαν διὰ τὴν πρόθεcιν. l. 11—3 p. seq. Arc. 143, 6—23. l. 12 scripsi βαρεῖαν pro βραχεῖαν. l. 19 inserui περιcπώμεναι καὶ et l. 20 καί cφεων, καί cφιcι, καί cφεαc; nam hic non de sola systole cφῖν cφίν, cφᾶc cφάc, sed de pleonasmo sermonem esse indicant verba ἵνα μὴ βαρύτονοι οὖcαι, quibus significantur formae non natura, sed affectione barytonae, de quibus cf. E. M. 498, 16. — l. 22 in libris ἡ αἰτιατικὴ ἔλαβέν αὐτον, quae sic cor-

αὐτός ἐνέκλινε τὸν τόνον «κόψε γάρ αὐτον» (Μ 204). ἐγκλίνεται δὲ ἀεὶ καὶ ἡ μίν «καί μιν φωνήcαc» καὶ ἡ ἕθεν παραλόγωc, διότι παραγωγὸc καὶ βαρύτονοc.

Αἱ μὲν οὖν ἐγκλινόμεναι τῶν ἀντωνυμιῶν αὗταί εἰcιν, αἵτινεc ὀρθοτονούμεναι μὲν ἀντιδιαcτολὴν ἔχουcιν ἑτέρου προcώπου, ἐμοῦ ἤκουcαc, οὐκ ἄλλου· ἐμοὶ ἔδωκαc, οὐκ ἄλλῳ· ἐμὲ ἐδίδαξαc, οὐκ ἄλλον. ἐγκλινόμεναι δὲ ἀπόλυτα πρόcωπα δηλοῦcιν, ἤκουcά cου, ἔδωκά coι. καὶ ἡ μὲν γενικωτάτη αἰτία τῆc ὀρθῆc τάcεωc ἡ ἀντιδιαcτολὴ τοῦ προcώπου. αὕτη δὲ διαιρεῖται εἰc πλείονα εἴδη· αἵ τε γὰρ διεζευγμέναι ὀρθοτονοῦνται, καὶ ἐμοὶ καὶ Ἀπολλωνίῳ, ἢ ἐμοὶ ἢ Ἀπολλωνίῳ· καὶ αἱ μετὰ τοῦ ἕνεκα cυνδέcμου ἕνεκα cοῦ, ἕνεκα ἐμοῦ. καὶ αἱ μετὰ προθέcεωc δὲ ἀεὶ ὀρθοτονοῦνται, διὰ cέ, περὶ cοῦ, κατ' ἐμέ, ἐπὶ coί.

---

rexi, ut sententia flagitat, nam αὐτόc desideratur ad αἰτιατική et unicum encliseos acc. αὐτόν exemplum est Il. l. c., ad quem in Il. Pr. annotatur: γάρ αὐτον: οὕτωc ἐγκλιτέον τὴν ἀντωνυμίαν κατ' αἰτιατικὴν πτῶcιν· μέμνηται καὶ Ἡρωδιανὸc καὶ Ἀπολλώνιοc. cf. Lehrs. qu. ep. p. 124. — De cφῶϊν Schol. ad Od. π 171: ἀπὸ cφῶϊν: ὀρθοτονητέον τὴν cφῶϊν; de cφωῒν Il. Pr. Θ 402: γυιώcω μέν cφωϊν: cφωϊν: ἐγκλιτικὴ νῦν ἐcτιν ἡ ἀντωνυμία, τρίτου γὰρ προcώπου, τὰ δὲ τρίτα δυϊκὰ τό τε cφωέ καὶ cφωῒν ἐγκλιτικά ἐcτιν. ὅτε μέντοι δευτέρου γίνεται τὸ cφωϊν, προπεριcπᾶται· ὀρθοτονεῖται γὰρ «γυιώcειν μὲν cφῶϊν» (416), cf. Io. Al. 24, 5. Schol. Od. δ 28 Il. Pr. Λ 627. Ψ 281. — De orthotonesi et enclisi pluralium primae et secundae personae haec praecepta exstant: Il. Pr. Α 214: cὺ δ' ἴcχεο, πείθεο δ' ἡμῖν: ἡ ἡμῖν ὀρθοτονεῖται· ἀντιδιέcταλται γὰρ ἀντὶ τοῦ ἡμῖν πείθου καὶ μὴ τῇ cῇ ὀργῇ. κακῶc οὖν Ἀρίcταρχοc cυcτέλλει τὴν μιν. Γ 160: ἡμῖν ὀρθοτονητέον τὴν ἡμῖν· ἔcτι γὰρ ἐν cυμπλοκῇ διαcταλτικῇ εἰλημμένη, ἡμῖν καὶ τέκνοιc. Α 147: ἧμιν: οὕτωc ὀξυτόνωc τὴν ἄρχουcαν τοῦ ἧμιν. ἁπλῆ γάρ ἐcτιν. ἐκτατέον δὲ καὶ τὴν τελευταίαν. δεῖ γὰρ ῥωννύναι μᾶλλον τὸ μέτρον. Α 579 Schol. Od. β 31, ν 183, ν 177, δ 294, ζ 297, Il. Pr. Ο 494. Od. κ 69, Il. Pr. Ω 33, Od. ο 452, β 210 cf. Lehrs qu. ep. 123. l. 4—7 p. seq. Arc. 143, 24—144, 16. — De re libet comparare Apollonium, cum quo Herodianum ad ipsa paene verba consentire in hac tota materia monuit Lehrs qu. ep. 108, de synt. 121, 13: ἔcτιν οὖν ὁ γενικώτατοc τρόποc τῆc ἐν αὐταῖc (sc. ταῖc ἀντωνυμίαιc) ὀρθῆc τάcεωc, ἐπὰν ἔμφαcιc ἑτέρου προcώπου παραλαμβάνηται· τὸ γὰρ «παῖδα δ' ἐμοὶ λύcαιτε» εἴρηται πρὸc τὸ «ὑμῖν μὲν θεοὶ δοῖεν» καὶ cαφὲc ὅτι τὸ ὑμῖν μὲν θεοὶ δοῖεν διὰ τῆc cυνούcηc τάcεωc προcυνίcτηcι τὸ ἀνθυπαχθηcόμενον πρόcωπον. — De diazeuxi cf. Il. Pr. Ο 226 ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῷ ἔπλετο, ubi Ptolemaeus Ascalonita propterea quod οἷ αὐτῷ pro simplici αὐτῷ positum sit, οἱ inclinari voluit, Herodianus praeter alteram causam, quod οἷ praecedat epitagmaticum αὐτῷ, etiam eam profert, quod οἷ αὐτῷ oppositum sit pronomini ἐμοί: de Il. Ψ 724 ἤ μ' ἀνάειρε ἢ ἐγώ cε dixit ad Ι 614 loco iam proposito cf. Lehrs qu. ep. 112. — de ἕνεκα Apollon. synt. 125, 22: ἀνάπαλιν οὖν ὁ ἕνεκα cύνδεcμοc φερόμενοc πάντοτε ἐπὶ γενικὴν μόνον ὀρθοτονεῖ τὴν ἀντωνυμίαν, ἡνίκα τὰc τούτων γενικὰc cυνδεῖ, εἵνεκ' ἐμεῖο κυνόc». τίc γὰρ ἂν θαρρήcειεν Ἑλλήνων ἐγκλίνειν τὸ ἕνεκά μου cf. Char. 1154, Lehrs qu. ep. 110. — De pronomine tertiae personae cum praepositione connexo fluctuavit scriptura, ut ex adnotamentis supra propositis apparet cf. Lehrs qu. ep. 118 seqq., de reliquis pronominibus haec praecepta occurrunt. Il. Pr. Υ 152 ἀμφὶ cέ: ὀρθοτονητέον τὴν ἀντωνυμίαν ὁμοίωc τῷ «ἀμφὶ cέ, Πηλέοc υἱέ» (2). Χ 59 πρὸc δ' ἐμέ. Od. δ 652: μεθ' ἡμέαc: πρὸ τέλουc ἡ ὀξεῖα. ὀρθοτονεῖται γὰρ διὰ τὴν πρόθεcιν καὶ τὴν ἔμφαcιν. De epitagmatico αὐτόc, quod nunquam cum pronominibus personalibus coalescere sed semper κατὰ παράθεcιν pronunciari Herodianus adnotat Il. Pr. Α 271, Ι 342 Schol. Od. δ 244, haec ad enclisin spectantia praecepta reperiuntur: Il. Pr. Ι 680: αὐτόν cε: ὁ Ἀcκαλωνίτηc ὀρθοτονεῖ τὴν cέ, ἐπεί, φηcίν, ἀεὶ μετὰ τῆc ἐπιταγματικῆc αἱ πρωτότυποι φιλοῦcιν ὀρθοτονεῖcθαι. ἐχρῆν δὲ αὐτὸν ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προcώπου ὁρίcαcθαι, παραιτήcαcθαι δέ τινα Ὁμηρικὰ ἄλλωc ἀνεγνωcμένα δι' αἰτίαν τινά· «κελεύετέ μ' αὐτὸν ἑλέcθαι» (Il. Κ 242), «εἰ μή τίc c' αὐτόν». ἄλλωc τε αἱ πρὸ

Αἱ μετὰ τῆς ἐπιταγματικῆς ἀντωνυμίας τῆς αὐτός ἀεὶ ὀρθοτονοῦνται, αὐτὸν ἐμέ, αὐτῷ ἐμοί. ὑπεξαιρείσθωσαν δὲ αἱ παρὰ τοῖς ποιηταῖς μετὰ τῆς ἐπιταγματικῆς παραλόγως ἐγκλινόμεναι «ἀλλά οἱ αὐτῷ — Ζεὺς ὀλέσειε βίην» (δ 667) καὶ «Εὐρύαλος δέ ἑ αὐτόν (θ 396) καὶ εἴ τινες ἄλλαι μετὰ προθέσεων ἢ συνδέσμων ἐνεκλίθησαν παραλόγως. αἱ κατ' ἀρχὴν τιθέμεναι, κἂν μὴ ἔχωσιν ἀντιδιαστολήν, διὰ τῶν ἀρκτικῶν τόπων ὀρθοτονοῦνται· «ἐμὲ δ' ἔγνω καὶ προσέειπεν» (λ 91).

Ἐξ ἐπιρρημάτων δὲ ἐγερτικά ἐστι τὰ ἐκ πεύσεως ἀοριστούμενα, ἔχοντα τὴν αὐτὴν ἀκολουθίαν τῶν τόνων τήν τε ποσότητα τῶν συλλαβῶν. τὸ μὲν γὰρ ποῦ ἐγκλιτικόν ἐστιν, ὡς ἐν τῷ «εἴ που ἐσαθρήσειεν» (Γ 450), τῶν πευστικῶν ἑκάστοτε ὀρθοτονουμένων. ἐκ πεύσεως δὲ ἀοριστούμενα, πότε «πότε γράφεις»; ποτέ «καί ποτέ μοι τρὶς τόσσα» (Α 213), πόθι «πόθι τοι πτόλις» (α 170), ποθί «αἴ κέ ποθι Ζεύς»

τῆς αὐτός εἰσιν αἱ ὀρθοτονούμεναι, οὐχ αἱ μετὰ τὴν αὐτός. ἐγκλιτικῶς οὖν ἀναγνωστέον. Schol. ad Od. ρ 81. Il. Pr. Κ 242: κελεύετέ μ' αὐτόν: Ἀλεξίων τὸ ε̄ τῇ ἀντωνυμίᾳ δίδωσιν, οὐ τῷ ῥήματι τελικόν, καὶ δοκεῖ ὀρθοτονεῖν, ὡς εἰ καὶ συνθέτως ἐλέγετο ἐμαυτόν, καὶ τοῦτό γε ἐχρῆν εἶναι. ἀεὶ γὰρ αἱ τοῦ πρώτου προσώπου ἀντωνυμίαι προτασσόμεναι τῆς αὐτός ὀρθοτονοῦνται. ὁ μέντοι Ἀσκαλωνίτης καὶ Ἀρίσταρχος ἐγκλιτικῶς ἀνεγνώκασιν, ἐπὶ τὴν τε̄ συλλαβὴν ποιοῦντες τὴν ὀξεῖαν, ἵνα μὴ ὡς κατάλληλον φανῇ τὸ ἐμαυτὸν ἑλέσθαι. De pronomine tertiae personae cum αὐτός composito haec adnotamenta supersunt. Ε 64: οἷ τ' αὐτῷ: ἢ οἷ ὀρθοτονητέον νῦν διὰ τὴν ἀρχήν, οὐ πάντως δὲ εἰς σύνθετον μεταληφθήσεται· ἔτι δὲ συνεπέπλεκτο· ὅμοιον δέ ἐστι τὸ «ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κάλλιον ἠδὲ οἷ αὐτῷ» (Il. Ο 226). Ο 226: ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῷ ἔπλετο: ὁ Ἀσκαλωνίτης ἀξιοῖ ἐγκλιτικῶς ἀναγινώσκειν, ἐπεὶ ἀπὸ προσώπου εἰς πρόσωπον ἡ ἀναφορὰ καὶ εἰς ἁπλῆν ἡ μετάληψις. ἀντὶ γὰρ τῆς αὐτῷ δισυλλάβου. ἄμεινον δὲ πείθεσθαι τοῖς περισπῶσι διὰ τὸ ἤδη διαστολὴν γεγενῆσθαι διὰ τῆς ἐμοί. τὸ γὰρ ἑξῆς τοιοῦτόν ἐστιν ἐμοὶ καὶ αὐτῷ ἔπλετο, ὥστε ἀπὸ κοινοῦ λαμβάνεσθαι τὸ ἔπλετο ῥῆμα. ὁμοίως δὲ καὶ ἐπ' ἐκείνου κατ' ὀρθὸν τόνον ἀνέγνωμεν τὴν οἷ «Μέντορ μή σ' ἐπέεσσι παραιπίθῃσιν Ὀδυσσεὺς μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ οἷ αὐτῷ (Od. χ 213) καὶ τὸ ἑξῆς ἐστι τοιοῦτον, μὴ πεισάτω σε Ὀδυσσεὺς ἡμῖν μάχεσθαι, αὐτῷ δὲ ἀμύνειν. καὶ καθόλου ἡ οἷ ὁπότε προηγεῖται τῆς αὐτός ἀντωνυμίας κατὰ δοτικὴν πτῶσιν, ὀρθοτονεῖσθαι θέλει, εἴτε εἰς ἁπλῆν εἴη ἡ μετάληψις εἴτε καὶ εἰς σύνθετον. διὸ μεμπτέον ἐκείνην τὴν ἀνάγνωσιν «ἀλλ' οἱ αὐτῷ Ζεὺς ὀλέσειε» (Od. δ 667). ἐχρῆν γὰρ διὰ τὴν ἐπιφερομένην ἀντιδιαστολὴν κατ' ὀρθὸν τόνον ἀναγινώσκεσθαι. Ω 292: ὅστε οἷ αὐτῷ: ἐγκλιτικῶς ἀναγινώσκουσι τὴν οἱ, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψίς ἐστιν, ὁμοίως τῷ «ἀλλ' οἱ αὐτῷ Ζεύς», ubi reliquam partem, qua contrarium defenderat Herodianus, excidisse animadvertit Lehrs ad h. l., quod idem factum est in Schol. Od. δ 667 et β 33. Schol. ad Od. ο, 285: πὰρ δὲ οἷ αὐτῷ: ἀεὶ ἡ οἷ προτασσομένη τῆς ἐπιταγματικῆς ὀρθοτονεῖται, σεσημειωμένου τοῦ «ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην» (Od. δ 667). — De pronomine initio posito cf. Lehrs qu. ep. 108, qui citat Apoll. de pron. 49, 54; de synt. 129. 146; modo vidimus in Ε 64 scripturam οἷ τ' αὐτῷ Herodianum eo etiam defendere, quod in principio collocatum sit; de τοι in Schol. Od. α 214 annotatum est in initio poni non posse, quod encliticum sit. Non improbabile est epitomatorem omisisse regulam generalem, quam Apoll. pron. 49 statuit: ἀδύνατον ἐγκλινόμενόν τι ἀρκτικὸν τίθεσθαι· πῶς γὰρ ἔτι ἐγκλινόμενον τὸ μὴ δυνάμενον τὸν ἴδιον τόνον ἐπί τι προκείμενον μεταθέσθαι, praesertim quum Charax 1152 pronunciet: ἀντωνυμία ἐν ἀρχῇ ἐγκλίνεται οὐδεμία. Neglegentia epitomatoris intercidit observatio de compositione pronominis enclitici cum vocativo, quae est ap. Apollon. pron. 67 C ad locum Il. Τ 287: ἡ κλητικὴ αὐτοτελὴς οὖσα στιγμὴν ἀπαιτεῖ· διὸ οὐδέποτε αἱ ἐγκλινόμεναι μετὰ κλητικῆς τίθενται, ὅτι μὴ μόνον ἡ μοι κατὰ πρῶτον πρόσωπον διὰ φιλοφρόνησιν «Πάτροκλέ μοι δειλῇ». Idem Charax p. 1153 habet. cf. Lehrs qu. ep. 109. l. 8—15 p. seq. Bekk. 1147 et 1148 additis ex Arcadio 144, 21 adverbiis

(Α 128), πῇ «πῇ ἤλθες;» πῇ «ἀλλά πη ἄλλη» (γ 251), πόθεν «πόθεν ἤλθεϲ», ποθέν «καί ποθεν ἐλθών», πῶϲ «πῶϲ ἤλθεν», πῶϲ «ἀλλ' οὔ πωϲ ἅμα πάντα» (Δ 320) καὶ χωρὶϲ τοῦ ϲ̄ «μηδέ πω ὑπ' ὄχεϲφιν» (Ψ 7).

Ἐκ δὲ ϲυνδέϲμων ἐγείρουϲι τὴν πρὸ αὐτῶν οἶδε, ἐκ μὲν ϲυμπλεκτικῶν, τέ «καί τε θεοὶ ξείνοιϲι» (ρ 485), κέν «καί κεν ἐλαφρότεροϲ» (Χ 287), κέ «καί κε τὸ βουλοίμην» (Γ 41), ἐκ δὲ παραπληρωματικῶν, τοί «τοίγαρ ἐγώ τοι» (α 214), γέ «εἴ γε μὲν ἤδειϲ», τάρ «εἴ ταρ ὅγ' εὐχωλῆϲ» (Α 65), νύ «μή νύ τοι οὐ χραίϲμῃ ϲκῆπτρον καὶ ϲτέμμα θεοῖο» (Α 28), νύν «δεῦρό νυν ἢ τρίποδοϲ» (Ψ 485), περ «μηδ' οὕτωϲ ἀγαθόϲ περ ἐών» (Α 131), θήν «οὔ θην Ἕκτορι πάντα» (Κ 104), ῥά «ἄλλοι μέν ῥα θεοί τε» (Β 1). ὁ δὲ ἄρα οὐ παραλαμβάνεται, ἐπεὶ ἀπὸ φωνήεντοϲ ἄρχεται. ὥϲπερ γὰρ αἱ ἀντωνυμίαι τὸ κατ' ἀρχὰϲ ε̄ ἀποβάλλουϲαι ἐγκλιτικαὶ ἐγίνοντο, ἐμοῦ — μοῦ, ἐμοί — μοί, ἐμέ — μέ, οὕτω τὸ ἄρα ἀπέβαλε τὸ ᾱ καὶ ἐγένετο ῥά καὶ ἐνεκλίθη.

Τὰ μὲν οὖν ἐγκλινόμενα μόρια ταῦτά ἐϲτιν· οὐχ ὡϲ ἔτυχε δὲ ἐγκλίνονται, ἀλλὰ κατά τινα παρατήρηϲιν τῆϲ πρὸ αὐτῶν λέξεωϲ. αἱ μὲν οὖν τετράχρονοι τῶν ἐγκλιτικῶν ἐπὶ τὴν πρώτην ϲυλλαβὴν ἑαυτῶν τὴν ἔγκλιϲιν ἀναπέμπουϲιν, ὡϲ μηδεμιᾶϲ δεόμενα παρατηρήϲεωϲ τῆϲ πρὸ αὐτῶν λέξεωϲ «ἤκουϲαν ἥμων, ἔδωκαν ἥμιν», ἐπειδὴ οὐδέποτε πρὸ

---

interrogativis cum exemplo. l. 8 τοι addidi ex Arcad., exemplum ipse apposui ex Od. — l. 10 post νύν expuli ποῦ cum exemplo εἴ που παγκαλόωϲι, nam sicut ap. Arcad. 139, 14 ποῖ additum est coniunctionibus, sic ap. Bekk. ποῦ, sed haec et similia vocabula, quamquam Char. ap. Bekk. 1155 tradit: ταῦτά τινεϲ τὰ μονοϲύλλαβα (sc. πῶϲ πῶ πῇ) καὶ τὸ ποθί ἔλεγον ϲυνδέϲμουϲ κακῶϲ καὶ Ἡρωδιανὸϲ μετ' αὐτῶν, Ἀπολλώνιοϲ δὲ ἐν πλάτει καλῶϲ ἀνατρέπει αὐτά, non inter coniunctiones ab Herodiano numerata esse ostendit Io. Al. 31, 2 πῇ ποῦ πῶϲ diserte ἀοριϲτούμενα ἐπιρρήματα dicens; unde certo concludi potest Characem, id quod saepius in epitomatoribus Herodiani animadvertere licet, Herodianum neglegenter inspexisse et quod fortasse ille cum Apollonio contra eos, qui illas voculas pro coniunctionibus habebant, disputaverat, ita accepisse, quasi Herodianus sententiam ab ipso reprobatam amplexus esset. Atque opinor Herodianum idem de his vocabulis sensisse atque Apollonium de coni. 513: ἀλλ' οὐδὲ τὸ ποῦ ϲύνδεϲμόϲ ἐϲτι παραπληρωματικόϲ· οὐ γὰρ δή γε τὰ πλεονάϲαντα μόρια ἐν λόγῳ ϲύνδεϲμοι παραπληρωματικοί. ἰδοὺ γὰρ καὶ ἄλλα ἐπιρρήματα παρέλκει καὶ οὐ πάντωϲ ϲύνδεϲμοι cf. p. 525, 20. — De ποθί cf. Schol. Od. ρ 81: καί ποθι: ἐγκλιτικὸν τὸ ποθι. l. 6 de τέ Il. Pr. Β 223: νεμέϲϲηθέν τ': ὁ τ̄ε̄ ϲύνδεϲμοϲ ἐγκλιτικὸϲ ὢν τὴν πρὸ ἑαυτοῦ ϲυλλαβὴν ὀξύνει. — de κέ Il. Pr. Ζ 260: δέ κ' αὐτόϲ: ὅϲοι ἡγοῦνται ἐγκεῖϲθαι τὸν κέ ἐγκλιτικόν, ῥωννύουϲι τοῦ δέ τὴν ὀξεῖαν, ὡϲ καὶ ὁ Ἀϲκαλωνίτηϲ· οὕτω γὰρ καὶ τὸ ἐν τῇ Ὀδυϲϲείᾳ (γ 255) ἀναγινώϲκει «ἤτοι μὲν τόδε κ' αὐτὸϲ οἴεαι». — de τ̄οι Schol. ad Od. α 214; de γέ Il. Pr. Ξ 396. Lehrs qu. ep. 132 sqq. — de τάρ Il. Pr. Α 65: εἴ ταρ· οὕτωϲ ὀξεῖα εἰϲ τὸν εἴ. τὸ γὰρ τάρ ἐϲτιν ἐγκλιτικὸϲ ϲύνδεϲμοϲ ἐπιφερόμενοϲ· καὶ οὐ δεῖ ἀπόϲτροφον βάλλειν εἰϲ τὸ τ̄· οὐ γάρ ἐϲτιν ὁ τέ ϲύνδεϲμοϲ· ἐπεφέρετο γὰρ ἂν ἕτεροϲ ϲύνδεϲμοϲ ibid. 30 cf. Lehrs qu. ep. p. 132. — de νύν Il. Pr. Κ 105: ὅϲα πού νυν ἐέλπεται: τὸ νῦν ἐνθάδε ϲυϲταλτέον διὰ τὸ μέτρον, ὥϲπερ καὶ ἐπὶ τοῦ «δεῦρό νυν ἢ τρίποδοϲ». Il. Pr. Ε 812 Schol. ad Od. ε 146. Lehrs qu. ep. 130. — de πέρ: Il. Pr. Θ 125: καὶ ἀχνύμενόϲ περ ἑταίρου: οὐκ ἔϲτιν ἡ περί πρόθεϲιϲ, ἀλλ' ὁ πέρ ϲύνδεϲμοϲ ἐναντιωματικὸϲ καὶ ἐγκλιτικόϲ. διὸ τὸ τέλοϲ τῆϲ μετοχῆϲ ὀξυτονητέον. — de ῥά Il. Pr. Δ 249: κρατερόν ῥά ἑ πένθοϲ: ὁ ῥά ϲύνδεϲμοϲ ἐγκλιτικὸϲ ὢν φυλάξει τὴν ἰδίαν ὀξεῖαν διὰ τὴν ἕ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖϲαν. l. 16—21 p. seq. Arcad. 145, 1—30. l. 20 ἐπειδὴ οὐδέποτε — πίπτει ex Arcad. 139, 18.

τεccάρων χρόνων τόνοc πίπτει. αἱ δὲ λοιπαὶ τὴν πρὸ αὐτῶν ἐγείρουcι βαρεῖαν. οὐκ ἐπὶ πάcηc cυλλαβῆc ταύτην ἐγείρειν δύνανται· οὐ γάρ, εἰ cπουδειακὴ τυγχάνοι ἡ προκειμένη λέξιc καὶ βαρύνοιτο, ἡ βαρεῖα ταύτηc ἡ ἐπὶ τέλει ἐγείρεται «οὕτω που Διΐ μέλλει ὑπερμενέϊ φίλον εἶναι» (Β 116), «ἤδη τιc εἴπεν» καὶ οὔτε τὴν τω cυλλαβὴν τοῦ «οὕτω» ὀξύνομεν οὔτε τὴν δη τοῦ «ἤδη». ἀλλ' οὔτε, εἰ ἰαμβικὴ τύχοι καὶ βαρύνοιτο οἷον «λέβηc τιc», «ὅπωc γε». οὔτε, εἰ πυρριχιακὴ τύχοι καὶ βαρύνοιτο οἷον «φίλοc τιc», «ξένοc τιc». ἐπὶ γὰρ τούτων τῷ νῷ μόνῳ καταλαμβάνεται ἡ ἔγκλιcιc. διὸ cημειοῦνται τὸ «ἔνθ' ἔcάν οἱ πέπλοι παμποίκιλοι ἔργα γυναικῶν» (Ζ 289). παραλόγωc γὰρ ἐνεκλίθη ἡ οἱ ἀντωνυμία πυρριχίου προκειμένου. cημειοῦνται καὶ τὰc διὰ τοῦ cφ ἀντωνυμίαc· αὗται γὰρ ἀναπέμπουcι τὸν τόνον τῇ προηγουμένῃ λέξει οἷον «Ἀτρείδῃc cφιcι» «ἔνθά cφεαc ἐκίχαν' υἱὸc Δολίοιο Μελανθεύc» (ρ 212) «ἵνά cφ' ἀγορή τε θέμιc τε» (Λ 807), «ἵνά cφιcι δῶκ' Ἐνοcίχθων» (η 35), «ὅτέ cφεαc εἰcαφίκηται» (μ 40), «τόξά cφεών τιc ἄριcτα Κυδώνια» (Callim. fr. 284), «πολλάκίc cφεαc». εἰ μέντοι προπαροξύνοιτο ἡ προκειμένη λέξιc τῶν ἐγκλιτικῶν μορίων, ἐγείρει τὴν ἐν τῷ τέλει αὐτῆc βαρεῖαν ὡc «ἄνθρωπόc τιc», ἐν γὰρ τῇ αν cυλλαβῇ καὶ τῇ ποc ὀξεῖα τίθεται, «Ἀρκεcίλαόc τε», «ἤκουcέ μου», «Ὅμηρόc ἐcτι», «ἄνθρωποί εἰcι», «κάκιcτοί εἰcιν». εἴπομεν γάρ, ὡc ἐν ἐπιρρήμαcι μόνοιc καὶ ἐν εὐκτικοῖc ἡ αι καὶ ἡ οι μακροί εἰcιν· ἐν δὲ τοῖc λοιποῖc οὐκ ἔτι μακραί εἰcιν.

Ὁμοίωc εἰ προπεριcπῷτο ἡ προκειμένη λέξιc ἐγκλιτικοῦ ἐπιφερομένου, ἐγείρει τὴν μετὰ τὴν περιcπωμένην βαρεῖαν οἷον «οἶκόc τιc» «Cχοῖνόν τε Cκῶλόν τε» (Β 497), «γυναῖκέc εἰcιν» — χωρὶc εἰ μὴ

---

l. 12 αὗται γὰρ ἀναπέμπουcι τὸν τόνον τῇ προηγουμένῃ λέξει posui ex Arc. 140, 25 pro iis, quae altero loco exstant: καὶ αὗται γὰρ πυρριχίου προκειμένου ἐγκλίνονται, nam hoc non de pyrrhichio, sed de omnibus pedibus valet. Bekk. 1143: πλὴν εἰ μὴ τὸ ἐπιφερόμενον μόριον (διcύλλαβον) εἴη ἀπὸ τοῦ cφ ἀρχόμενον· ἀκολουθήcει γὰρ τοῖc παροξυνομένοιc οὐκ ἐν μόνῳ τροχαίῳ, ἀλλὰ καὶ ἐν ἄλλοιc ποcί, quare exempla ex utroque Arcadii loco et Herod. ap. Bekk. ita composui, ut spondeus, trochaeus, pyrrhichius (iambus enim fortuito excidit) et pronomina una syllaba et duabus constantia (ἵνά cφ', ὅτέ cφεαc) in conspectum venirent. Item in sequentibus exemplis Ἀρκεcίλαόc τε ex Bekk. et Ὅμηρόc ἐcτι ex altero Arcadii loco adieci; διcύλλαβον in Bekk. l. c. ab epitomatore illatum esse persuadet Lehrs qu. ep. 106. — De pyrrhichio cf. Il. Pr. Β 255: τὸ ὅτι οἱ ἐν μιᾷ ὀξείᾳ προενεκτέον· πᾶcα γὰρ δίβραχυc λέξιc πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπιφέροιτο ἀντωνυμία διὰ τοῦ cφ, cεcημειωμένου τοῦ «ἔνθ' ἔcάν οἱ πέπλοι» (Od. Ο 105). Schol. ad Od. α 170: πόθεν εἰc: ἐγκλιτέον τὴν εἰc, ἀλλ' οὐκ ἐγείρει τὴν θεν cυλλαβήν· πυρριχιακὴ γάρ ἐcτιν. Il. Pr. Ζ 289: ἔνθ' ἔcάν οἱ πέπλοι: ἐγκεκλιμένωc ἀναγνωcτέον οὕτω δύο τόνουc, καίτοι πυρριχιακῆc οὔcηc τῆc λέξεωc, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οι, ἀλλ' ἀντωνυμία. Schol. ad Od. ο 105: ἔνθ' ἔcάν οἱ πέπλοι: τρεῖc ὀξεῖαι. καὶ εἴπομεν ἐν τῇ Ἰλιάδι τὸ αἴτιον. — De pronominibus a cφ incipientibus cf. Il. Pr. Ζ 367: ἔτι cφιν: οὕτωc ἔτι cφιν· εἷc τόνοc, καίτοι ἐχρῆν δύο διὰ τὸ ἐπιφέρεcθαι ἀντωνυμίαν ἀπὸ cφ ἀρχομένην ὁμοίωc τῷ «ὅθί cφιcι πέφραδ' Ἀχιλλεύc» (Il. Ψ 138). «ἦρχε δ' ἄρά cφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων» (Il. Ξ 137). cεcημείωται οὖν ἡ ἀνάγνωcιc μόνη, ὡc ἐν ἄλλοιc ὁ Ἡρωδιανὸc λέγει. l. 22 — l. 20 pag. seq. Arcad. 146, 1—21; l. 24 Cχοῖνόν τε Cκῶλόν τε ex Bekk. 1143 pro Cκῶλόν τε, γυναῖκέc εἰcι ex Arcad. 139, 28 addidi. — χωρὶc εἰ μὴ προκέηται usque ad κῆρυξ

προκέηται τροχαῖος προπερισπώμενος μέν, ἔχων δὲ τὴν τελευταίαν θέσει μακρὰν οἷον φοῖνιξ ἐστί, κῆρυξ ἐστίν — κἂν παροξύνοιτο τροχαϊκὴ οὖσα «ἄλλός τις», «ἔστί τις», «ἔνθά ποτε» «Λάμπέ τε» (Θ 185), «φύλλά τε καὶ φλοιόν» (Α 237), «τυφθέντά τε».

Ἔτι καὶ αἱ ὀξυνόμεναι λέξεις, βαρυνόμεναι δὲ διὰ τὴν συνέπειαν οἷον Ζεύς Ζεὺς δέ, καλός καλὸς ἄνθρωπος, σοφός σοφὸς ἀνήρ, ἐγκλιτικοῦ ἐπιφερομένου τὴν βαρεῖαν ἐγείρουσιν «αὐτός αὐτός μοι», «Ζεύς Ζεύς τε». τὸ δὲ τίς φυλάττει τὴν ὀξεῖαν «τίς πόθεν εἰς ἀνδρῶν» (Φ 150). ἔτι καὶ ἐπιφερομένη στιγμὴ οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν «ὠκὺς Ἀχιλλεύς·» (Α 84). εἰ δὲ περισπῷτο ἡ λέξις, φυλάττεται ἡ περισπωμένη «καλῶς μοι, σαφῶς γε», «ποῖ ποτε», «πῶς ποτε», «πῇ με φέρεις;» Ἐὰν οὖν συμβῇ πλείονα ἐφεξῆς ἐγκλιτικὰ εἶναι, πολλαὶ ἔσονται αἱ παράλληλοι ὀξεῖαι, ὡς παρ' Ὁμήρῳ «ἤ νύ σέ που δέος ἴσχει ἀκήριον» (Ε 812). τρεῖς γάρ εἰσιν ἐφεξῆς αἱ ὀξεῖαι. δυνατὸν δὲ καὶ πλείους ἐπινοῆσαι οἷον «εἴ πέρ τίς σέ μοί φησί ποτε». τὸ γὰρ «εἰ» ὀξύνεται διὰ τὴν ἐπιφορὰν τοῦ «πέρ» ἐγκλιτικοῦ. τὸ δὲ «πέρ» διὰ τὸ «τίς», τὸ δὲ «τίς» διὰ τὸ «σέ», τὸ δὲ «σέ» διὰ τὸ «μοί», τὸ δὲ «μοί» διὰ τὸ «φησί», τὸ δὲ «φησί» διὰ τὸ «ποτέ». ὥστε ἐφεξῆς εἶναι ἓξ ὀξείας, εἰ καὶ σπάνιον τὸ τοιοῦτον διὰ τὴν τοῦ πνεύματος συνέχειαν δεομένην ἀναπαύσεως.

Εἰ δὲ παραλλήλων ὄντων ἐγκλιτικῶν ἐν τῷ μεταξὺ περισπώμενον εἴη ὡς ἐπὶ τοῦ ποῦ, πῇ, πῶς, καὶ μετὰ τοῦτο ἐπιφέροιτο ἕτερον ἐγκλιτικόν, τοῦτο τὸ περισπώμενον οὔτε ὀξύνεται οὔτε περισπᾶται διὰ τὸ ἐγκλῖναι τὸν ἴδιον τόνον· ἐπεὶ μὴ πέφυκεν ἡ περισπωμένη κατὰ τὸ κοινὸν ἔθος συστολῆς μὴ παρακολουθησάσης εἰς ὀξεῖαν μετατίθεσθαι οἷον «οὔ πως ἐστ' Ἀγέλαε» (Od. χ 136) (ἐν γὰρ τῇ ου̅ διφθόγγῳ μόνῃ ἡ ὀξεῖα) «ἤ που τίς σφιν εἶπεν» (ἐν τῷ η̅ καὶ ἐν τῷ τίς ἡ ὀξεῖα) «ἄνθρωπόν τινά που φησι μελῳδεῖν» (πάλιν ἐν τῇ που̅ συλλαβῇ καὶ τῇ να ἡ ὀξεῖα τίθεται).

ἐστίν l. 2 ex Bekk. 1149 etiam hic apposui; nam verisimile est hoc memoratum esse non solum, ubi de ἔστι agebatur, sed etiam ubi de perispomenis, quae encliticum sequitur. l. 3 Λάμπέ τε — φύλλά τε ex Bekk. 1143 τυφθέντά τε ex Arcad. 139, 29 adieci; l. 6 οἷον Ζεύς — σοφὸς ἀνήρ ex altero Arcadii loco 140, 10 inserui. l. 7 Ζεύς Ζεύς τε· τὸ δὲ τίς usque ad ὠκὺς Ἀχιλλεύς· l. 10 ex Arc. 140, 3 accesserunt. l. 11 καλῶς μοι, σαφῶς γε ex altero loco Arcadii apposui, ποῖ ποτε pro πῶ ποτε scripsi monente Lehrsio qu. eq. 130 not. — De trochaica dictione cf. Schol. ad Od. η 200: ἄλλό τι: ἐχρῆν δύο εἶναι τὰς ὀξείας ἐν τῷ ἄλλό τι. Schol. Od. α 1: ἄνδρα μοι: ἔδει μὲν ἐν τῷ ἄνδρα δύο εἶναι ὀξείας ὡς τὸ «ἄνδρά τε καὶ οἶκον», ἀλλ' ἐφυλάξατο ὁ Ἀρίσταρχος διὰ τὸ μὴ ἐν τῇ εἰσβολῇ τῶν λέξεων κακοφωνίαν ποιῆσαι. cf. Char. Bekk. 1149, Lehrs qu. ep. 105. — De barytonesi oxytonorum in connexu orationis cf. Il. Pr. Λ 51: φθάν: ὁ Ἀρίσταρχος βαρύνει· καὶ δῆλον ὅτι ὑγιῶς· κοιμίζεται γὰρ ἡ ὀξεῖα ἐν τῇ συνεπείᾳ· «Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε» (Il. Ν 1); de barytonesi interpunctione impedita cf. Io. Al. 3, 26 in Prooemio, ubi idem exemplum ex Il. Α 84. — De synenclisi cf. Il. Pr. Ε 812: ἤ νύ σε: ὁ ἤ ὀξύνεται· διαζευκτικὸς γάρ. φυλάσσεται δὲ ἡ ὀξεῖα διὰ τὸ ἐπιφερόμενον νύ ἐγκλιτικόν, ὃ καὶ αὐτὸ ἔσχεν ὀξεῖαν διὰ τὴν σέ ἐγκλιτικὴν οὖσαν. l. 21 usque ad finem Arcad. 146, 21—147, 22. — pro περισπωμένων

Κἀκεῖνο παραφυλακτέον, ὅτι τῶν ἐγκλινομένων εἰ σπονδειακὴ προηγεῖται λέξις ἢ πυρριχιακὴ ἢ ἰαμβική, εἰ μὲν μονοσύλλαβον εἴη τὸ ἐπιφερόμενον ἐγκλιτικόν, ὥσπερ ἐθέμην, ἐγκλίνεται «οὕτω που, ἤδη τις, «Ἀτρείδης τε» (Α 7), πολλάκις τις, «μεταμέλει μοι» οὔτε τὸ ἐγκλιτικὸν δέχεται τὸν ἴδιον τόνον οὐδὲ ἡ βαρεῖα τῆς δευτέρας συλλαβῆς προηγουμένης ἐγείρεται λέξεως, ἀλλὰ νῷ μόνῳ νοεῖται τὰ τῆς ἐγκλίσεως, ὡς ἔφθημεν εἰπόντες. εἰ μέντοι δισύλλαβον εἴη τὸ ἐγκλιτικὸν μόριον, τότε τὸν ἴδιον δέχεται τόνον οὔτε δυνάμει οὔτε ἐνεργείᾳ ἐγκλινόμενον οἷον «ἤδη φαμέν», ὀξύνομεν γὰρ τὸ φαμέν, «οὕτω ποτέ» καὶ τὸ ποτέ ὀξύνομεν, «φίλοι εἰσίν, πολλάκις εἰσίν» ὁμοίως καὶ τὸ εἰσίν ὀξύνομεν, «μεταμέλει ἡμῖν». καὶ τοῦτο εἰκότως· οὔτε γὰρ τῆς προηγουμένης λέξεως τὴν ἐπὶ τέλει βαρεῖαν ἐγεῖραι δυνατὸν οὔτε τὴν ἔγκλισιν νοεῖσθαι κατὰ τὴν πρώτην συλλαβὴν τῶν σπονδείων ἢ τῶν πυρριχίων ἢ τῶν ἰάμβων· οὐδὲ γάρ ποτε τετάρτη ἀπὸ τέλους ἡ ὀξεῖα πίπτει.

Τὰ ἄλλα ἐκλέλοιπεν.

---

scripsi περισπώμενον εἴη. l. 2 πυρριχιακὴ posui pro τροχαϊκὴ addito ἢ ἰαμβική, ut l. 14 ἢ τῶν ἰάμβων adieci. l. 5 pro βραχεῖα exhibui βαρεῖα. In hanc sectionem recepi exempla in altero Arcadii loco p. 140 et 141 proposita: Ἀτρείδης τε, πολλάκις τις, μεταμέλει μοι et πολλάκις εἰσίν et μεταμέλει ἡμῖν. Exemplum οὔ πως ἐστ' comparatur cum εἴ πως εὐ πεφίδοιτο in Il. Pr. Υ 464: ἡ εὐ ἀντωνυμία ἐν τῇ συτάξει ἐνέκλινε τὸν τόνον. ἔστι γὰρ ἀπόλυτος· οὐχ ὃν τρόπον δ' οἴεται ὁ Ἀσκαλωνίτης τὸ πῶς πάντως ὀξυτονηθήσεται, ἐπειδὴ ἤδη ἐμελέτησε καὶ ἄλλων ἐγκλιτικῶν ἐπιφερομένων τὸ πῶ καὶ τὸ πῶς τοῦτο μὴ πάσχειν. «οὔ πως ἐστ' Ἀγέλαε διοτρεφές» (Od. χ 136), «μή πως με προϊδών» (Od. δ 396), «μή πω μ' ἐς θρόνον ἵζε διοτρεφές» (Il. Ω 553), «οὔ πω μίν φασι φαγέμεν» (Od. π 143). οὕτως οὖν καὶ τὸ «εἴ πως εὐ πεφίδοιτο» οὐκ ἀναγκαστικὴν ἕξει τὴν ἐπὶ τοῦ πως ὀξεῖαν. ὁ μέντοι Ἀρίσταρχος γενόμενος κατὰ ταύτην τὴν προσῳδίαν τοῦτο μόνον ἀπεφήνατο, ἐγκλίνοντα δεῖν τῷ τόνῳ καὶ δασύνοντα λέγειν τὴν τρίτην συλλαβήν. σημαίνει γάρ εἴ πως αὐτοῦ cf. Lehrs qu. ep. 129. De spondiaca dictione insequente monosyllaba enclitica voce cf. Il. Pr. Η 199: γενέσθαί τε: ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι σπονδειακόν ἐστιν, ἀλλ' ἴσως ἵνα ἐκφύγωμεν τὸν διπλασιασμὸν τοῦ ῥήματος, λέγω δὲ τοῦ τετραφέμεν τε, ὡς καὶ ἐν τῇ τ̄ τῆς Ὀδυσσείας (320) παραλόγως ἐνεκλίναμεν ἐν τῷ «ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε, ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν cf. Schol. ad Il. Α 7 in Anecd. Paris. III p. 271, 26, Lehrs qu. ep. 128.
